20 ἴσα ἀφαιρεθῇ, τὰ καταλειπόμενα ἴσα γίνεται, ὅτι ἐπὶ παντὸς ἢ ἡ κατά-
φασις ἢ ἡ ἀπόφασις, ὅτι πάντα τοῦ ἀγαθοῦ ἐφίεται, καὶ ὅσα τοιαῦτα.
πρὸς γὰρ τὴν τούτων πίστιν κατασκευῆς οὐ δεόμεθα, ἀλλὰ κατὰ πρώτην
ἐπιβολὴν κρεῖττον ἢ κατὰ ἀπόδειξιν ταῦτα γινώσκομεν. αὗται οὖν, ὡς
εἴπομεν, αἱ κοιναὶ ἔννοιαι αἱ διὰ πάντων χωροῦσαι ἰνδάλματα τοῦ νοῦ 15
25 ἐναργῶς εἰσιν. περὶ τούτου καὶ ἐν τοῖς Ἀποδεικτικοῖς ὁ Ἀριστοτέλης πρὸς
τοὺς νομίζοντας μὴ εἶναι ἐπιστήμην ἔλεγεν, ὅτι οὐ μόνον ἐπιστήμην εἶναι
λέγομεν, ἀλλὰ καὶ ἀρχὴν ἐπιστήμης, ᾗ τοὺς ὅρους γινώσκομεν, ὅρους λέ-
γων ἤτοι τὰς κοινὰς ἐννοίας καὶ τοὺς ἐν τοῖς συλλογισμοῖς ὅρους (δεῖ
γὰρ πάντα συλλογισμὸν ἀπὸ κοινῶν ἐννοιῶν ἔχειν τὴν ἀρχήν, αἵτινες, ὡς
30 εἴπομεν, ἀπὸ τοῦ νοῦ καὶ πρὸς ἡμᾶς φοιτῶσιν· ἀναποδείκτως γὰρ ἴσμεν 20
ὅτι τόδε τι ἄνθρωπός ἐστιν ἢ ψυχὴ ἤ τι τοιοῦτον), ἢ τὰ νοητὰ ὅρους φησὶ
ὡς πέρατα τῶν ὄντων· ὅρος γάρ ἐστιν, ὥς φησιν ὁ γεωμέτρης, ὅ τινός
ἐστι πέρας. ἀρχὴν οὖν ἐπιστήμης φησὶ τὸν νοῦν εἶναι· δι' αὐτοῦ γὰρ ἔχομεν

---

1 περιελκόντων σωμάτων D, sed corr. in mrg. περὶ ὁλκων τοῦ σωματος D[1] 2 μικρὸν D Pal.: μικρῶν t 4 καὶ μέγεθος ἔχει καὶ σχῆμα Pal. t: μέγεθος ἔχει, σχῆμα ἔχει D 5 τοῦ θεοῦ D Pal. t: τοῦ om. Suid. 6 ἑαυτῆς D Pal.: αὐτῆς t 7 περὶ D Suid.: πως Pal.: πῶς t 8 ἔτι τε D 9 τὰ μαθήματα λέγω D: om. Pal. Suid. t 11 παντελῶς D Pal.: παντελῆ t 12 Πλωτῖνος] Enn. I 3,3 13 φύσεως D Pal. t: πίστεως Plotin. 15 ἐπὶ D: περὶ Pal. t 16 τοίνυν Pal. t: om. D οὖν D: om. Pal. t 17 καὶ εἰς D: καὶ om. Pal. t 18 κρειττόνως D: κρεῖττον Pal. t 24 ἔννοιαι αἱ διὰ Suid. v. Κοιναὶ ἔννοιαι: αἱ om. D Pal. t 25 ἐναργῶς εἰσιν D: εἰσιν ἐναργῶς Pal. t post ἐναργῶς εἰσιν add. διὸ καὶ ἀρχὴν ἐπιστήμης τὸν νοῦν καλοῦσιν, ᾧτινι τὰ νοητὰ γινώσκομεν Pal. Suid. t: om. D ἐν τοῖς Ἀποδεικτικοῖς] Anal. post. A 3 p. 72b23

τὰς κοινὰς ἐννοίας. ὅθεν ἡ διάνοια ὡς ἀπὸ ἀρχῶν τὰς ἐπιστημονικὰς ἀπο- a 1v
δείξεις ποιεῖται· ἤγουν ὅρους λέγει τὰ νοητά· καὶ γὰρ αὐτὰ ἔσχατά
ἐστι τῶν ὄντων. λέγομεν οὖν, φησίν, εἶναι τὸν νοῦν, ὃν ἀρχὴν ἐπιστήμης 25
ἐκάλεσεν. ᾧτινι τὰ νοητὰ γινώσκομεν· ταῦτα γὰρ ὅροι ὡς πέρατα. ἄξιον δὲ
5 ζητῆσαι, ἐπειδὴ ἐλέγομεν τὴν δόξαν τὸ μὲν ὅτι εἰδέναι, τὸ δὲ διότι ἀγνοεῖν,
ἐλέγομεν δὲ καὶ τὸ καθόλου ἐν τοῖς αἰσθητοῖς εἰδέναι, ἔτι γε μὴν καὶ τῶν
διανοητῶν τὰ συμπεράσματα, πόθεν τῇ δόξῃ ἡ γνῶσις τοῦ καθόλου ἐν τοῖς
αἰσθητοῖς. τίνος γὰρ ἀποδείξαντος ὅτι πᾶς ἄνθρωπος δίπους λαβοῦσα τοῦτο
τὸ συμπέρασμα ἔχει παρ' ἑαυτῇ. ὥσπερ ἐπὶ τῶν διανοητῶν τῆς διανοίας
10 ἀποδειξάσης ὅτι ἡ ψυχὴ ἀθάνατος τὸ συμπέρασμα λαβοῦσα ἡ δόξα κα-
τέχει; οὔτε γὰρ ἡ διάνοια τοῦτο ἀπέδειξε, λέγω δὴ ὅτι πᾶς ἄνθρωπος 30
δίπους ἢ πᾶς ἵππος χρεμετιστικὸς ἢ ὅσα τοιαῦτα· οὐ γὰρ δυνατὸν ἐκ
τῶν μερικῶν τὸ καθόλου πιστώσασθαι. οὐ γὰρ ἐπειδὴ Ξανθὸς καὶ Βαλίος
τετράπους καὶ οἱ ἐν τῷδε καὶ τῷδε τῷ τόπῳ ἵπποι, ἤδη δυνατὸν λέγειν
15 ὅτι καὶ πάντες. οὐδ' ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα ὁ Αἰθίοψ μέλας. ἤδη δῆλον
ὅτι καὶ πᾶς Αἰθίοψ μέλας. ὅτι μὲν οὖν ἡ διάνοια τὸ αἰσθητὸν οὐκ ἀπο-
δείκνυσι δῆλον· ὅτι δὲ οὔτε ἡ φαντασία οὔτε ἡ αἴσθησις, καὶ τοῦτο πρό-
δηλον, καὶ ὅταν περὶ αὐτῶν λέγωμεν, ἔτι πολλῷ μᾶλλον φανερὸν ἔσται·
ἑκάστη γὰρ τούτων μερικόν τι γινώσκει. πόθεν οὖν τῇ δόξῃ τὸ καθόλου 35
20 τῶν αἰσθητῶν γινώσκειν; λέγομεν οὖν ὅτι μάλιστα μέν πως δυνατὸν
τὴν διάνοιαν καὶ τὸ ἐν τοῖς αἰσθητοῖς καθόλου συλλογίσασθαι, ὥσπερ
ἐποίησεν ὁ Ἀριστοτέλης ἐπὶ τῶν ἄστρων, βουλόμενος δεῖξαι ὅτι σφαιρικά,
πιστωσάμενος τοῦτο ἀπὸ ἑνὸς τῆς σελήνης· εἰ γὰρ ἐπὶ τῶν ὁμοουσίων
ὃ ἐφ' ἑνός, ἀνάγκη καὶ ἐπὶ πάντων εἶναι, ὁμοούσια δὲ πάντα τὰ ἄστρα,
25 δέδεικται δὲ ὅτι ἡ σελήνη σφαιρική, δῆλον ὅτι καὶ τὰ ἄλλα σφαιρικὰ
ἔσται. καὶ καπνόν τις ἑωρακὼς συλλογίζεται ὅτι καὶ πῦρ ὑπάρχει ἐν 40
τῷ τόπῳ οὕτως· ἐν τῷ τόπῳ τούτῳ καπνός ἐστι· πᾶς καπνὸς ἐκ πυρός
ἐστιν· ἐν τῷ τόπῳ ἄρα τούτῳ πῦρ ἐστιν. ἴσως μὲν οὖν, ὅπερ εἶπον, δυ-
νατὸν καὶ περί τινων αἰσθητῶν συλλογίζεσθαι τὸ καθόλου, εἰ καὶ μὴ ἐπὶ
30 πάντων· πλὴν λέγω ὅτι ἔχει ἡ λογικὴ ψυχὴ συνουσιωμένους τοὺς λόγους
τῶν πραγμάτων ἐν ἑαυτῇ, διὰ δὲ τὸ καταδεδυκέναι ἐν τῇ ὕλῃ οἷον
ἐγκατεχώσθησαν, ὡς ὁ ἐν τῇ τέφρᾳ κρυπτόμενος σπινθήρ. ὥσπερ οὖν ὅταν 45

2 ὅρους t: ὅρον D 9 inter συμπέρασμα et ἔχει supra lin. add. ἡ δόξα D παρ' ἑαυτῇ D: πᾶν ἑαυτῇ t 18 πολλῷ μᾶλλον huc transposuit Diels: post αἴσθησις (17) habent libri 19 τῇ δόξῃ D: ἡ δόξα Pal. t 20 γινώσκειν D: ἐπιγινώσκειν Pal. t λέγομεν οὖν D: καὶ λέγομεν Pal. t μέν πως D: μὲν Pal. t 22 ὁ Ἀριστοτέλης] de caelo B 11 p. 291b 17 sqq. βουλόμενος — εἶναι (24) D: βουλόμενος γὰρ ὅτι σφαιρικὰ δεῖξαι πιστοῦται τοῦτο δι' ἑνὸς τῆς σελήνης. φησὶ γὰρ ὅτι ἐπὶ τῶν ὁμοουσίων, ὡς ἐφ' ἑνὸς ἔχει, οὕτω καὶ ἐπὶ πάντων ἀνάγκη εἶναι t 25 ἡ σελήνη D: ἡ om. t 26 ἑωρακὼς συλλογίζεται omisso τις D: τις ἰδὼν συλλογίζεται Pal.: ἑωρακόσι συλλογίσασθαι ἔξεστι t 26. 27 ἐν τῷ τόπῳ D: ἐν ᾧ ὁ καπνός ἐστιν add. t 29 αἰσθητῶν D Pal. Suid.: μερικῶν t συλλογίζεσθαι D Pal.: συλλογίσασθαι t 31. 32 οἷον ἐγκατεχώσθησαν scripsi: οἱονεὶ κατεχώσθησαν Dt: οἷον ἐγκατεχώσθη Pal.: οἷον ἐγκαταχωσθεῖσα Suid. 32 κρυπτόμενος σπινθήρ D: ante σπινθήρ add. ἐστιν ὁ t

τις μικρὸν τὴν τέφραν διορύξῃ, ὁ σπινθὴρ εὐθὺς ἀναλάμπει. καὶ οὐχ ὁ a 1v
διορύξας τὸν σπινθῆρα ἐποίησεν, ἀλλὰ μόνον τὰ ἐμποδίζοντα ἔπαυσεν,
τοῦτον τὸν τρόπον καὶ ἡ δόξα ἐρεθιζομένη ὑπὸ τῆς αἰσθήσεως προβάλλει
τοὺς λόγους τῶν ὄντων. οὕτω καὶ τοὺς διδασκάλους φασὶ μὴ τὴν γνῶσιν
5 ἡμῖν ἐντιθέναι, ἀλλὰ τὴν οὖσαν ἐν ἡμῖν καὶ οἷον κρυπτομένην ἐκφαίνειν·
ἐπεὶ εἰ μὴ ἦσαν ἐν ἡμῖν οἱ τῶν ὄντων λόγοι, διὰ τί συναισθόμεθα, ὅταν
τις παρὰ τὴν τῶν πραγμάτων φύσιν διαλέγηται; οἷον δύο τινῶν περὶ 50
ψυχῆς διαλεγομένων τοῦ μὲν καταψηφιζόμεθα καὶ ἐλέγχομεν αὐτὸν μὴ
συμφώνως τῇ τῶν πραγμάτων φύσει διαλεγόμενον, τῷ δὲ συντιθέμεθα
10 καὶ λέγομεν μᾶλλον ἀληθεύειν· πρὸς τί οὖν παραβάλλοντες τὰ παρ' ἐκεί-
νων λεγόμενα λέγομεν τὸν μὲν ἀληθεύειν, τὸν δὲ μή, εἰ μηδεὶς ἦν τῶν
πραγμάτων παρ' ἡμῖν λόγος; ἢ δῆλον ὅτι πρὸς τὰς παρ' ἡμῖν κρυπτομένας
περὶ αὐτῶν ἐννοίας ὑπὸ τῶν προσδιαλεγομένων ἐρεθιζομένας παραβάλλοντες
ἢ ἀληθεύειν αὐτοὺς ἢ ψεύδεσθαι λέγομεν. οὕτως οὖν καὶ τὴν δόξαν | λέγω a 2r
15 τῆς αἰσθήσεως μαθούσης ὅτι ὁ δεῖνα καὶ ὁ δεῖνα δίπους, ἐρεθισθεῖσαν ὑπ'
αὐτῆς ἀναμνησθῆναι ὅτι καὶ πᾶν τὸ ὁμοφυὲς δίπουν. μᾶλλον δὲ προσφυ-
έστερον εἰπεῖν καὶ ταῦτα κοινὰς ἐννοίας καὶ τοῦ νοῦ ἀποσκιάσματα· πᾶν γὰρ
ὅπερ ἴσμεν κρειττόνως ἢ κατὰ ἀπόδειξιν, ταῦτα κατὰ κοινὴν ἔννοιαν
ἴσμεν. ἃ δὲ δείξεως δεῖται εἰς τὸ γνωσθῆναι ὑφ' ἡμῶν, τούτων τὰ
20 συμπεράσματα χωρὶς ἀποδείξεως ἔργον ἐστὶ τῆς δόξης εἰδέναι. οἷον οἶδεν 5
ἄνευ λόγου ὅτι ἡ ψυχὴ ἀθάνατος, διότι ἡ τούτου γνῶσις μετὰ ἀποδείξεώς
ἐστι, καὶ οὐ κρειττόνως ἢ κατὰ ἀπόδειξιν, ὥσπερ ἄνευ ἀποδείξεως ἴσμεν
ὅτι πᾶς ἄνθρωπος γελαστικόν.

Αἱ μὲν οὖν τῶν λογικῶν γνωστικαὶ δυνάμεις διῃρημέναι· πρακτι- 27
25 καὶ δ' εἰσὶ βούλησις καὶ προαίρεσις. καὶ ἡ μὲν βούλησις μόνου ἐστὶ τοῦ
ἀγαθοῦ. ἡ δὲ προαίρεσις ἐπαμφοτερίζει. καὶ ἡ μὲν βούλησις αὐτῆς καθ'
αὑτήν ἐστι τῆς λογικῆς ψυχῆς, ἡ δὲ προαίρεσις τῆς συμπεπλεγμένης τῇ
ἀλογίᾳ. ὅτε γάρ ἐστιν ἔξω τῆς γενέσεως ἡ ψυχή, κατὰ βούλησιν μόνην
ἐνεργεῖ· ἐν μόνῳ γάρ ἐστι τῷ ἀγαθῷ· ὅταν δὲ γένηται ἐν τῇ γενέσει.
30 ἐπειδὴ συμπλέκονται αὐτῇ αἱ ἄλογοι δυνάμεις δι' ἃς ἐροῦμεν αἰτίας, τότε
τῇ ἐπιπλοκῇ τῆς ἀλόγου ἴσχει τὴν προαίρεσιν, διότι ποτὲ μὲν πρὸς τῆς
ἀλογίας, ποτὲ δὲ πρὸς τοῦ λόγου γίνεται, καὶ αἱρεῖται τόδε πρὸ τοῦδε.
αὗται μὲν οὖν αἱ λογικαὶ τῆς ψυχῆς δυνάμεις. 34

Τῶν δὲ ἀλόγων τῆς ψυχῆς δυνάμεων αἱ μέν εἰσι γνωστικαί, αἱ δὲ
35 ζωτικαὶ καὶ ὀρεκτικαί· καὶ γνωστικαὶ μὲν φαντασία καὶ αἴσθησις. διαφέρουσι
δὲ ἀλλήλων αὗται, ὅτι ἡ μὲν αἴσθησις πρὸς τὸ ἐκτὸς ἀποτείνεται, ἡ δὲ φαντα-
σία ἔνδον ἔχει τὴν γνῶσιν. ἡ μὲν γὰρ αἴσθησις τὸ παρὸν μόνον καὶ οὐ ἀντι-
λαμβάνεται ἔξωθεν τοῦτο οἶδεν, ἡ δὲ φαντασία παρὰ τῆς αἰσθήσεως λαβοῦσα 10

---

6 συναισθόμεθα D: συνεσόμεθα t 11 μηδεὶς D Pal.: μὴ t 13 αὐτῶν D: ψυχῆς t 15 αἰσθήσεως μαθούσης Pal.: post αἰσθήσεως add. ὡς Dt 16 πᾶν τὸ ὁμοφυὲς δίπουν Pal.: πᾶς δίπους Dt 17. 18 πᾶν γὰρ ὅπερ D Pal.: πάντα γὰρ ἅπερ t 18 ταῦτα] fort. τοῦτο 21 τούτου D: τούτων t 24 Αἱ μὲν οὖν — ψυχῆς δυνάμεις (33) post ἄλογοι δυνάμεις (p. 6,25) exhibent Dt: rectum ordinem servavit Pal.

τοὺς τόπους τῶν αἰσθητῶν ἐν ἑαυτῇ τούτους ἀναπλάττει· ὅθεν καὶ παθητικὸν a 2r
νοῦν αὐτὴν καλεῖ ὁ Ἀριστοτέλης, νοῦν μὲν ὡς ἔνδον ἔχουσαν τὸ γνωστὸν καὶ
ἁπλῇ προσβολῇ, ὥσπερ ἐκεῖνος, ἐπιβάλλουσαν καὶ οὐ διὰ κατασκευῆς,
παθητικὸν δὲ διότι μετὰ τύπων καὶ οὐκ ἀσχηματίστως γινώσκει. ἐκλήθη
5 δὲ φαντασία οἱονεὶ φαοστασία τις οὖσα· φαντασία γάρ ἐστιν ἡ τῶν φαν-
θέντων στάσις· ἵστησι γὰρ ἐν ἑαυτῇ τὰ ἔξω φανέντα. ἑκατέρα δὲ αὐτῶν
περὶ μερικὸν ἀποτείνεται· τόδε γὰρ τὸ λευκὸν οἶδεν, οὐ μὴν πᾶν λευκόν. 15
διαφέρουσι δὲ τῷ τὴν μὲν τὸ ἔξω τὴν δὲ τὸ ἐντὸς εἰδέναι· καὶ ἡ μὲν
φαντασία τῶν πέντε αἰσθήσεων δέχεται τοὺς τόπους, ἑκάστη δὲ τῶν αἰσθή-
10 σεων μόνον γινώσκει τὸ ἴδιον αἰσθητόν.

Τῶν δὲ ὀρεκτικῶν καὶ ζωτικῶν ἡ μέν ἐστι θυμός, ἡ δὲ ἐπιθυμία.
ζητήσειε δ' ἄν τις πῶς λέγομεν ἀντιδιαστέλλεσθαι τὴν ἐπιθυμίαν πρὸς τὸν
θυμόν. τί γάρ; οὐχὶ καὶ ὁ θυμὸς ἐπιθυμεῖ τοῦ ἀντιλυπῆσαι τὸν προλυ-
πήσαντα; τί δέ; οὐχὶ καὶ ὁ λόγος ἐπιθυμεῖ τῶν μαθημάτων καὶ τῶν
15 θεωρημάτων; λέγω οὖν πρὸς τοῦτο ὅτι ἔστιν ἡ ἐπιθυμία καὶ κοινότερον 20
λεγομένη καὶ ἰδικώτερον· ὥσπερ γὰρ ἡ διάθεσις λέγεται καὶ κοινῶς καὶ
ἐπὶ τῆς ἕξεως, λέγεται δὲ καὶ ἰδικῶς ἡ ἀντιδιαστελλομένη πρὸς τὴν ἕξιν.
οὕτω καὶ ἡ ἐπιθυμία λέγεται καὶ κοινῶς ἐπὶ πασῶν τῶν δυνάμεων τῆς
ψυχῆς, λέγεται δὲ καὶ ἰδικώτερον ἡ ἀντιδιαστελλομένη πρὸς τὸν θυμόν.
20 ἐπειδὴ γὰρ ἔπεμψεν ἡμᾶς ἡ πρόνοια ἐνταῦθα κατακοσμήσοντας τὰ τῇδε,
ἐπίστευσεν ἡμῖν τὸν κλῆρον τοῦτον ὃν βούλεται ἡμᾶς σώζειν· καὶ ἵνα τοῦτο 25
ποιῶμεν. ἐπειδὴ πολλὰ τὰ λυμαινόμενα τὸν κλῆρον τοῦτον, ἔστι δὲ καὶ
ῥευστὸς τὴν φύσιν καὶ φθαρτός, δέδωκεν ἡμῖν θυμὸν καὶ ἐπιθυμίαν, ἵνα
τῷ μὲν τὰ λυμαινόμενα ἀποσοβῶμεν, τῇ δὲ τὸ ἀπορρέον ἀνυφαίνωμεν.
25 αὗται μὲν οὖν αἱ τῆς ψυχῆς λογικαί τε καὶ ἄλογοι δυνάμεις.

Παρὰ δὲ ταύτας εἰσὶν αἱ φυτικαὶ καλούμεναι· αὗται δέ εἰσι τρεῖς, 35
θρεπτικὴ αὐξητικὴ γεννητική. φυτικαὶ δὲ καλοῦνται, διότι αὗται μόναι ἐν
τοῖς φυτοῖς ὁρῶνται· καὶ γὰρ τρέφονται ἀρδευόμενα καὶ κοπριζόμενα
καὶ αὔξεται καὶ γεννᾷ ὅμοιον ἑαυτοῖς· ἄμπελος γὰρ ἐξ ἀμπέλου καὶ ἐλαία
30 ἐξ ἐλαίας.

Ὡς οὖν ἀνακεφαλαιωσάμενον εἰπεῖν, ἐσμὲν καὶ ἄνθρωποι καὶ ζῷα καὶ
ἔμψυχα· καὶ ὡς μὲν ἄνθρωποι τὰς λογικὰς ἃς ἀπηριθμήσαμεν δυνάμεις ἔχο-
μεν, ὡς δὲ ζῷα τὰς ἀλόγους, ὡς δὲ ἔμψυχα τὰς φυτικάς. ἔμψυχα γὰρ λέ-
γομεν καὶ τὰ φυτά· ἐμψύχων γὰρ τὸ αὔξεσθαι καὶ τρέφεσθαι καὶ γεννᾶν 40
35 ὅμοια ἑαυτοῖς. λέγονται γοῦν καὶ αὐτὰ ζῆν τε καὶ τεθνάναι· ἡ δὲ ζωὴ καὶ
ὁ θάνατος παρουσίᾳ καὶ ἀπουσίᾳ τῆς ψυχῆς γίνεται. ὅσα μὲν οὖν ἔχουσι
τὰς κρείττους ζωάς, ἐξ ἀνάγκης καὶ τὰς καταδεεστέρας, οὐκέτι δὲ καὶ
ἔμπαλιν· οὐ γὰρ δυνατὸν ἔχειν τὰς λογικὰς δυνάμεις μὴ πρότερον ἐσχη-

5 φαοστασία D Pal. cf. Sophonias de An. p. 121,19: φανστασία t Suid. v. Φαντασία
5. 6 φανθέντων D Pal.: φανέντων t 6 αὐτῶν D Pal.: τούτων t 7 μερικὸν Dt: μερικῶν Pal.: μερικὰ Suid. 13 θυμούμενος Suid. v. Θυμός 16 et 19 ἰδικώτερον D Pal. t: εἰδικώτερον Suid. 17 et 19 ἀντιστελλομένη t 27 αὐξητικὴ καὶ γεννητική t 31 ἀνακεφαλαιωσάμενος t 36 ὅσαι D 37 οὐκέτι—καταδεεστέρας (p. 7,1) om. D, in mrg. suppl. D²

κότας τὰς καταδεεστέρας. ἀμέλει καὶ τῶν αἰσθήσεων οὐκ ἔστι μετασχεῖν a 2r
τῆς κρείττονος τὸν μὴ μετασχόντα τῆς χείρονος· ὅσα γοῦν μετέχει ὄψεως,
ταῦτα καὶ ἀκοῆς καὶ τῶν λοιπῶν. καὶ ὅσα ἀκοῆς, ταῦτα καὶ ὀσφρήσεως 45
καὶ γεύσεως καὶ ἁφῆς μετέχοντα, οὐ πάντως δὲ καὶ ὄψεως, ὡς καὶ ὁ
5 σπάλαξ· ἀμέλει εἰσί τινα μόνης ἁφῆς μετέχοντα, οἷον οἱ σπόγγοι. ὥστε οὐκ
ἔστι μετασχεῖν τῆς κρείττονος τὸν μὴ τῆς ἐλάττονος μετασχόντα. τοῦτο
δὲ οὐχ ὅτι δέονται τῶν χειρόνων αἱ κρείττους, ἵνα ὑποστῶσιν, ἀλλὰ τοὐναν-
τίον τὸ σῶμα οὐ δύναται μετασχεῖν τῶν κρειττόνων μὴ πρότερον μεταλα-
βὸν τῶν καταδεεστέρων· οὐ δύναται γὰρ τὸ σῶμα μεταλαβεῖν τῆς ἀλόγου
10 μὴ πρότερον μεταλαβὸν τῆς φυτικῆς, οὐδὲ τῆς λογικῆς μὴ τούτων ἀμφο- 50
τέρων μεταλαβόν. ἐπειδὴ γὰρ ἔδει μηδὲν τῶν εἰδῶν φθείρεσθαι, ἵνα μὴ
ἀτελὲς ᾖ τὸ πᾶν (πλήρωμα γάρ ἐστι τῶν εἰδῶν ὁ κόσμος) ἀδύνατον δὲ
ἦν τὰ ἐνταῦθα τὰ αὐτὰ μένειν τῷ ἀριθμῷ, γεννητά γε ὄντα καὶ φθαρτά,
μετέσχε καὶ αὐτὰ τῆς ἀιδιότητος, ὡς ἠδύνατο, ἐπειδὴ καὶ πάντα ἐφίεται
15 τῆς τοῦ πρώτου ἀιδιότητος ὡς οἰκείας ἀρχῆς καὶ μετέχει ταύτης ἕκαστον
κατὰ τὰ ἑαυτοῦ μέτρα. διὰ τοῦτο οὖν καὶ τὰ ἐνταῦθα ὄντα κατ' ἀριθμὸν
ἀίδια μὴ δυνη|θέντα εἶναι τῷ γεννᾶν ἕκαστον οἷον αὐτὸ μετέχει τῆς ἀιδιότη- a 2v
τος· καὶ τοῦτό ἐστι τὸ σκοπιμώτατον ἔργον τῆς φύσεως, τὸ τῶν φυσικῶν
ἕκαστον γεννῆσαι ἄλλο οἷον αὐτό. ἐπειδὴ τοίνυν δεόμεθα γεννήσεως, ἡ δὲ γεν-
20 νητικὴ δύναμις ἐν ὡρισμένῳ γίνεται μεγέθει, διὰ τοῦτο δεόμεθα τῆς αὐξήσεως.
ἐπειδὴ δὲ ἡ αὔξησις γίνεται διὰ τροφῆς, δεόμεθα τῆς θρεπτικῆς δυνάμεως.
διὰ ταῦτα μετέχομεν τῶν φυτικῶν δυνάμεων καὶ ἡμεῖς καὶ τὰ ἄλογα. 5
ὥστε ὅταν μὲν ἐνεργῶμεν κατὰ ταύτας τὰς δυνάμεις, ὡς φυτὰ ἐνεργοῦ-
μεν, ὅταν δὲ κατὰ θυμὸν καὶ ἐπιθυμίαν, ὡς ἄλογα ζῷα· μόνως δὲ ὡς
25 ἄνθρωποι ἐνεργοῦμεν. ὅταν τῷ λόγῳ κεχρήμεθα. διὸ καὶ ὁ Πλωτῖνος
πάνυ θείως εἶπεν ὡς ὅσοι ἐμμανῶς κατὰ τὰς θρεπτικὰς δυνάμεις ἐνεργοῦσιν,
οὗτοι κινδυνεύουσιν ἀποδενδρωθῆναι.

Ἄξιον δὲ ἐπισκέψασθαι, τίς ἡ διαφορὰ τῆς ἐπιθυμίας πρὸς τὰς
φυτικὰς δυνάμεις γεννητικήν τε καὶ θρεπτικήν· οὐδὲ γὰρ ὁρῶμεν τὴν 10
30 ἐπιθυμίαν περὶ ἄλλο τι ἐνεργοῦσαν ἢ περὶ τροφὰς καὶ γεννητικὰς δυνά-
μεις, ὥστε κινδυνεύει ἡ ἐπιθυμία ταὐτὸν εἶναι ταῖς φυτικαῖς δυνάμεσι.
τί οὖν φαμεν; οὐκ ἔστι ταὐτόν· ἡ μὲν γὰρ ἐπιθυμία μετὰ αἰσθή-
σεως ἐνεργεῖ, αἱ δὲ φυτικαὶ δυνάμεις ἄνευ αἰσθήσεως. διὸ καὶ τὰ ἄλογα
τὰ θήλεα ἑωρακότα κινεῖται εἰς ὄρεξιν, ὥστε μετὰ γνώσεώς τινος ἡ ἐπι-
35 θυμία. ἀλλ' οὐχ αἱ φυτικαὶ ἐνέργειαι οὕτως· ἀμέλει καὶ καθεύδοντες
πολλάκις ἐκκρίνομεν τὸ σπέρμα, μηδεμιᾶς αἰσθήσεως μηδὲ φαντασίας 15

---

1 ἀμέλει D Pal.: οὐ μέλει t 4 καὶ ἁφῆς—σπόγγοι (5)] καὶ ἁφῆς· οὐχ ὅσα δὲ ὀσφρήσεως καὶ γεύσεως καὶ ἁφῆς, πάντως καὶ ὄψεως, ὥσπερ ὁ ἀσπάλαξ, οὐδ' ὅσα ἁφῆς, ταῦτα καὶ τῶν ἄλλων, οἷον οἱ σπόγγοι ἁφῆς μὲν μετέχουσιν, οὐδεμιᾶς δὲ τῶν αἰσθήσεων ἄλλης Pal. Suid. v. Φυτικαὶ δυνάμεις 4. 5 οὐ πάντως δὲ—σπόγγοι in margine add. D² 17 οἷον αὐτὸ D: ὅμοιον αὐτῷ αὐτὸ t 19 οἷον αὐτό D: ὅμοιον αὐτῷ t 21 τῆς θρεπτικῆς πάλιν δεόμεθα Pal. Suid. v. Κόσμος 22 φυτικῶν Pal.: φυσικῶν Dt Suid. 24 μόνως D: μόνον Pal. t 25 κεχρήμεθα D Pal.: χρώμεθα t ὁ Πλωτῖνος] Enn. III 4,2 26 πάνυ θείως Dt: ἀστείως λίαν Pal. Suid.

προηγησαμένης. δηλονότι κατὰ τὰς φυτικὰς δυνάμεις ἐνεργήσαντες. ὥσπερ a 2v
γὰρ ὅταν ὁ λόγος ἀνδραποδισθῇ ὑπὸ τῆς ἀλογίας, καὶ αὐτὸς κινεῖ πᾶσαν
μηχανὴν εἰς ἐκπλήρωσιν τροφῆς καὶ ἀφροδισίων. καὶ οὐ παρὰ τοῦτό
φαμεν ταὐτὸν εἶναι τὸν λόγον ταῖς φυτικαῖς δυνάμεσιν, οὕτω φαμὲν καὶ
5 ἐπὶ τῆς ἐπιθυμίας. ἀλλὰ τῶν μὲν φυτικῶν δυνάμεων ἴδιον τὸ ἁπλῶς
τροφῆς ἐφίεσθαι καὶ γονῆς ἀνεπαισθήτως, τῆς δὲ ἐπιθυμίας τὸ τοιᾶσδε
τροφῆς καὶ τοιᾶσδε μίξεως, καὶ ἁπλῶς τοῦ ἡδέος. τί οὖν; ἓν καὶ ταὐ- 20
τὸν τῶν δύο δυνάμεων ἀποτέλεσμα, τῆς ἐπιθυμίας καὶ τῆς φυτικῆς
δυνάμεως; λέγω ὅτι οὐχ ἕν, ἀλλὰ τῆς μὲν ἁπλῶς ἡ τροφὴ ἢ ἡ γονή,
10 τῆς ἐπιθυμίας δὲ τέλος ἡ ἡδονή. ἔστι δὲ τοῦτο τὸ τέλος τῆς ἐπιθυμίας,
ἵν' ὡς εἶπον τῇ ἐφέσει ταύτῃ τόν τε κλῆρον ἡμῶν φυλάττωμεν καὶ τὴν
τοῦ γένους διαδοχήν. τοῦ δὲ λόγου, ὅταν ἐξυπηρετῆται τῇ ἐπιθυμίᾳ, οὐ
λέγω ἴδιόν τι ταύτης τῆς ἐνεργείας τέλος εἶναι, ὅτι παρὰ φύσιν αὐτῷ ἡ
τοιαύτη ἐνέργεια, τὰ δὲ παρὰ φύσιν οὐκ ἀφορᾷ πρός τι τέλος. ὥσπερ γὰρ 25
15 ὑπηρέτης οὐ τὸ ἑαυτοῦ ἀλλὰ τῆς ἐπιθυμίας τὸ τέλος παρασκευάζει τὴν
ἡδονήν. μὴ ἀπορείτω δέ τις τὴν ἰδιωτικὴν ἀπορίαν ἐκείνην 'τί οὖν; τρεῖς
ψυχὰς ἔχομεν καὶ ὑπὸ τριῶν ψυχῶν διοικούμεθα'; λέγω γὰρ ὅτι ὥσπερ
ἑνωθεῖσα ἡ ψυχὴ τῷ σώματι τούτῳ δοκεῖ μὲν ἕν τι πρᾶγμα ποιεῖν, κατὰ
ἀλήθειαν δὲ οὐχ ἕν τί ἐστιν, οὕτω καὶ τῇ τε ἀλόγῳ καὶ τῇ φυτικῇ
20 συνημμένη μίαν μέν τινα συνέχειαν ποιεῖ διὰ τὴν συνάφειαν (ἐξῆπται γὰρ
προσεχῶς τῆς μὲν λογικῆς ἡ ἄλογος, τῆς δὲ ἀλόγου ἡ φυτική), διὰ δὲ
τὴν γινομένην ἐκ τῆς συναφείας ταύτης συμπάθειαν μίαν φαμέν, καὶ ὅτι ὡς 30
ὀργάνοις κέχρηται ταῖς ἄλλαις δυνάμεσιν ἡ λογική. τούτων τῶν δυνάμεων,
λέγω δὴ τῶν τε ἀλόγων καὶ τῶν φυτικῶν, αἱ μὲν μᾶλλον ἐγγίζουσι τῇ λογικῇ
25 ψυχῇ, αἱ δὲ ἧττον· αἱ μὲν ἄλογοι μᾶλλον ἐγγίζουσι, διότι πεφύκασι κατακούειν
λόγου· διὸ ἐπιπλήττοντες ταῖς ἐπιθυμίαις πραοτέρας αὐτὰς ποιοῦμεν· "στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ", καὶ πάλιν "τέτλαθι κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης", "ἔθιζε σαυτὸν κρατεῖν ὀργῆς ἡδονῆς λύπης", καὶ ὅσα τοιαῦτα. καὶ τί λέγω ἐν ἡμῖν; καὶ τῶν θηρίων πολλὰ ἡμερώτερα τῷ 35
30 λόγῳ γίνεται. αἱ δὲ φυτικαὶ ἅτε μὴ κατακούουσαι λόγου πορρωτέρω εἰσὶ τῆς λογικῆς ψυχῆς· οὐ γὰρ ἔστιν ἐπιτάξαι τῇ θρεπτικῇ δυνάμει μέχρι ποσοῦ θρέψαι ἢ τῇ αὐξητικῇ αὐξῆσαι. ἀλλ' οὐδὲ τῇ γεννητικῇ· διὸ καὶ ἀβουλήτως πολλάκις ὀνειρώττομεν· εἰ δὲ καὶ μετριωτέραν ποιοῦμεν τὴν γεννητικήν. δῆλον ὅτι οὐχ ἁπλῶς αὐτὴν τὴν δύναμιν. ἀλλὰ τὴν ἐπιθυμίαν
35 καταστέλλομεν· ἡ γὰρ δύναμις οὐδὲν ἧττον μένει καὶ μὴ ἐνεργοῦσα. αὖ- 40

---

2 πᾶσαν κινεῖ coll. D 3 τροφῆς scripsi: τρυφῆς Dt 6. 7 ἐφίεσθαι—τοιᾶσδε τροφῆς in margine add. D² 6 γονῆς Dt: γονὴν προίεσθαι Pal., fort. recte 11 εἶπον D: εἰπὼν t 16 τὴν D Pal.: om. t 19 καὶ (post οὕτω) D: om. t post οὕτω καὶ addendum videtur ἡ λογικὴ ψυχὴ 20 συνημμένη Pal.: συνημμένη Dt 23 λογική Pal.: ἄλογος Dt 26 διὸ Pal.: διότι Dt 26—28 στῆθος—ἔτλης] Od. υ 17. 18 27 δὲ πλήξας l. l.: δ' ἐμπλήξας D: δ' ἐκπλήξας t τέτλαθι δὴ κραδίη l. l. 32 ποσοῦ scripsi: πόσου libri τῇ γεννητικῇ ex τὴν γεννητικὴν ut vid. corr. D

ται μὲν αἱ δυνάμεις τῆς ψυχῆς αἵ τε λογικαὶ καὶ αἱ ἄλογοι καὶ αἱ a 2v
φυτικαί.

Καθόλου δὲ τὴν ψυχὴν οἱ μέν φασιν ἀσώματον εἶναι, οἱ δὲ σῶμα· καὶ τῶν σῶμα οἱ μὲν ἁπλοῦν, οἱ δὲ σύνθετον· καὶ τῶν σύνθετον οἱ μὲν ἐκ συνημμένων σωμάτων, οἱ δὲ ἀσυνάπτων. τῶν δὲ ἁπλοῦν σῶμα εἰρηκότων τὴν ψυχὴν εἶναι οἱ μὲν εἰρήκασιν αἰθέριον εἶναι σῶμα, ταὐτὸν δέ ἐστιν εἰπεῖν οὐράνιον. ὥσπερ Ἡρακλείδης ὁ Ποντικός, οἱ δὲ πῦρ, ὡς Ἡράκλειτος, ἐπειδὴ καὶ πῦρ ἔλεγεν εἶναι τὴν ἀρχὴν τῶν ὄντων· οὕτως οὖν καὶ τὴν ψυχὴν πυρίαν εἶναι διὰ τὸ εὐκίνητον· οἱ δὲ ἀερίαν, ὡς Ἀναξιμένης καί τινες τῶν Στωικῶν, οἱ δὲ ἐξ ὕδατος, ὡς Θαλῆς καὶ Ἵππων ὁ ἐπίκλην ἄθεος· ἐπειδὴ γὰρ τὴν γονὴν ἑώρων ἐξ ὑγρᾶς οὖσαν οὐσίας, διὰ τοῦτο καὶ ὕδωρ τὴν ἀρχὴν τῶν ὄντων ἐνόμισαν. γῆν δὲ οὐδεὶς αὐτὴν ἐτόλμησεν εἰπεῖν διὰ τὸ βαρὺ καὶ ἀκίνητον τῆς γῆς. οὗτοι μὲν οὖν οἱ ἁπλοῦν σῶμα εἰρηκότες, ἐπειδὴ καὶ ταῦτα μόνα τὰ πέντε ἐστὶν ἁπλᾶ σώματα, οἵτινες καὶ μόνοι τῶν σῶμα λεγόντων ἀθάνατον δύνανται λέγειν. τῶν δὲ σύνθετον σῶμα ὑπειληφότων οἱ μὲν ἐξ ἀσυνάπτων στοιχείων, ὡς Δημόκριτος καὶ Λεύκιππος καὶ ἁπλῶς οἱ τὰ ἄτομα εἰσάγοντες· ἔλεγον μὲν γὰρ ἀρχὰς τῶν ὄντων τὰ ἄτομα καὶ τὸ κενόν· εἶναι οὖν τὴν ψυχὴν ἐκ σφαιρικῶν ἀτόμων διὰ τὸ εὐκίνητον· οἱ δὲ ἐκ συνημμένων, ὡς Κριτίας ὁ εἷς τῶν τριάκοντα· αἷμα γὰρ ἔλεγεν εἶναι τὴν ψυχήν· "αἷμα γάρ", φησίν, "ἀνθρώποις περικάρδιόν ἐστι νόημα". τῶν δὲ ἀσώματον δοξασάντων οἱ μὲν χωριστὴν τῶν σωμάτων, οἱ δὲ ἀχώριστον. καὶ τῶν ἀχώριστον λεγόντων οἱ μὲν ἔλεγον τὸν λόγον εἶναι τῆς κράσεως, οἷον ὅτι, ἐὰν διπλάσιον πῦρ μιχθῇ τῷ | ὕδατι ἢ ἡμιόλιον ἤ τι τοιοῦτον, a 3r
ποιεῖ τὴν ψυχήν· ὁ γὰρ διπλάσιος τυχὸν ἢ ἡμιόλιος λόγος οὗτός ἐστιν ἡ ψυχή· οἱ δὲ αὐτὴν τὴν κρᾶσιν, οἱ δὲ ἐντελέχειαν· ἐντελέχεια δέ ἐστιν ἡ τελειότης καὶ τὸ εἶδος τοῦ ὑποκειμένου. διαφέρει δὲ ὁ λόγος τῆς κράσεως· ὁ μὲν γὰρ λόγος ἐν αὐτῇ τῇ ποσότητι θεωρεῖται, ἐν τῷ ἡμιολίῳ ἢ ἐν τῷ διπλασίῳ ἢ ἄλλῳ τινί, καὶ ἁπλῶς ἡ κατὰ τὸ ποσὸν ὡρισμένη σχέσις τοῦδε πρὸς τόδε τοῦτ' ἔστιν ὁ λόγος τῶν κεκραμένων· ἡ δὲ κρᾶσις ποιότης ἐστὶν ἡ ἀποτελουμένη ἐκ τῆς μίξεως τῶν ποιοτήτων, οἷον ἐκ τοῦ θερμοῦ καὶ ψυχροῦ γέγονε κρᾶσίς τις τὸ χλιαρὸν ἢ ἐκ τοῦ λευκοῦ καὶ μέλανος τὸ φαιόν. ἐντελέχεια δέ ἐστιν ἡ τελειότης τοῦ ὑποκειμένου, τουτέστι τὸ εἶδος τὸ ἐπιγινόμενον ἐκ τῆς τοιᾶσδε συνθέσεως τῶν στοιχείων τῇ ὕλῃ, ὡς τῷ πηλῷ τὸ τοῦ ὀστράκου εἶδος. τῶν δὲ χωριστὴν εἰρηκότων οἱ μὲν πᾶσαν ψυχὴν χωριστὴν σώματος εἰρήκασι. καὶ τὴν λογικὴν καὶ τὴν ἄλογον καὶ τὴν φυτικήν, οἷος ἦν Νουμήνιος πλανηθεὶς ἀπό τινων ῥησειδίων Πλάτωνος εἰπόντος ἐν Φαίδρῳ "πᾶσα ψυχὴ ἀθάνατος". σαφῶς ἐκεῖ περὶ τῆς ἀνθρωπίνης τὸν λόγον ποιουμένου· ὅτι γὰρ θνητὴν οἶδε τὴν τῶν

---

19 post ἀτόμων add. συγκειμένην Pal. Κριτίας] cf. Bergk P. L. G.[4] p. 281 adn.
31 ποιότης ἐστὶν] incipit cod. R, qui exhibet ἡ ποιότης ἐκ τῆς Dt: τῆς om. R 37 Νουμήνιος] fr. 56 Thedinga 38 ἐν Φαίδρῳ] p. 245 C 39 ποιούμενος D γὰρ om. R

ἀλόγων σαφῶς δείξομεν αὐτὰς τὰς ῥήσεις αὐτοῦ παρατιθέμενοι· οἱ δὲ a 3r
πᾶσαν ἀχώριστον καὶ διὰ τοῦτο θνητήν, ὧν ἐστιν Ἀλέξανδρος ὁ Ἀφρο-
δισιεύς. ὃς καὶ τὸν Ἀριστοτέλην πειρᾶται εἰς τὴν ἑαυτοῦ δόξαν συγκατασπᾶν·
οἱ δὲ τὴν μὲν λογικὴν χωριστήν, τὴν δὲ ἄλογον καὶ τὴν φυτικὴν ἀχώριστον.
5 τούτων δὲ οἱ μὲν ἀμφοτέρας ἀχωρίστους τοῦ παχέος τούτου σώματος, οἱ 15
δὲ τὴν μὲν φυτικὴν τούτου μόνην ἀχώριστον, τὴν δὲ ἄλογον τούτου μὲν
χωριστήν, ἄλλου μέντοι τινὸς σώματος ἀχώριστον. λέγω δὴ τοῦ πνευμα-
τικοῦ· ἥπερ ἐστὶ καὶ ἀληθὴς δόξα, ὡς δείξομεν, ἣν καὶ Πλάτων καὶ
Ἀριστοτέλης ἐπρέσβευσαν. ὅτι γὰρ καὶ Ἀριστοτέλης ταύτης ἐστὶ τῆς
10 δόξης καὶ οἶδε τὴν μὲν χωριστὴν ψυχήν, τὴν δὲ ἀχώριστον, πολλαχόθεν
ἐναργῶς ἔστι δεῖξαι· ἐν τῷ τέλει γοῦν τῆς Περὶ μορίων ζῴων πραγματείας,
ἥτις προσεχῶς πρὸ ταύτης ἐστὶ τῆς πραγματείας, εἰπὼν ὅτι ἕκαστον τῶν 20
μορίων τῶν ζῴων κατά τινα ἐνέργειαν ζωτικὴν χαρακτηρίζεται, οἷον καρδία
καὶ ἧπαρ καὶ ἐγκέφαλος καὶ τὰ λοιπά, ταύτην, φησί, τὴν ἐνέργειαν πότερον
15 ψυχὴν δεῖ καλεῖν ἢ μόριον ψυχῆς ἢ οὐκ ἄνευ ψυχῆς ζητητέον· ὥστε οἶδε
πολὺ πλάτος, μᾶλλον δὲ βάθος ψυχῶν. καὶ πότερον, φησί, περὶ πάσης
ψυχῆς τοῦ φυσικοῦ ἐστι διαλεχθῆναι, ἢ οὐ περὶ πάσης, ἀλλ' ὅση μὴ ἄνευ
τῆς ὕλης; ὥστε οἶδε ψυχὴν χωριστὴν τῆς ὕλης· εἰ γὰρ περὶ πάσης ψυχῆς 25
ὁ φυσικός, φησίν, διαλέξεται, δῆλον ὅτι καὶ περὶ τοῦ νοῦ· εἰ δὲ περὶ τοῦ
20 νοῦ, ἀνάγκη καὶ περὶ τῶν νοητῶν· ὁ γὰρ νοῦς τῶν νοητῶν ἐστι νοῦς. ὡς
ἡ αἴσθησις τῶν αἰσθητῶν ἐστιν αἴσθησις· τῶν πρός τι γὰρ ταῦτα. τὸ δὲ
περὶ τῶν νοητῶν διαλέγεσθαι τοῦ πρώτου ἐστὶν φιλοσόφου. συμβήσεται
οὖν τὸν φυσικὸν περὶ πάντων τῶν ὄντων διαλαμβάνειν. ὅπερ ἄτοπον.
τῶν τε αἰσθητῶν διὰ τὴν αἴσθησιν, καὶ τῶν νοητῶν διὰ τὸν νοῦν. καὶ
25 ἐν αὐτῇ δὲ τῇ Περὶ μορίων ζῴων πραγματείᾳ φησίν· 'ἔοικε δὲ ὁ νοῦς θύραθεν
ἐπεισιέναι καὶ εἶναι θεῖος· οὐδὲν γὰρ αὐτοῦ ἐπικοινωνεῖ ἡ ἐνέργεια σωματικῇ
ἐνεργείᾳ.' καὶ πάλιν ἐν τούτῳ τῷ βιβλίῳ εἰπὼν περὶ τῶν παθῶν τῶν 30
ψυχικῶν, θυμοῦ καὶ ἐπιθυμίας καὶ τῶν ἄλλων, ὅτι ἀχώριστά ἐστι τοῦ
σώματος, 'διὰ ταῦτα', φησί, 'φυσικοῦ τὸ θεωρῆσαι περὶ ψυχῆς ἢ πάσης
30 ἢ τῆς τοιαύτης', ὅση μὴ ἄνευ τῆς ὕλης· οἶδεν ἄρα τινὰ ψυχὴν χωριστὴν
τῆς ὕλης. καὶ ἐν τῷ δευτέρῳ λόγῳ ζητήσας περὶ τῶν ἄλλων δυνάμεων
τῆς ψυχῆς, εἴτε ἕκαστον ψυχή ἐστιν εἴτε μόριον ψυχῆς, "περὶ δὲ τοῦ νοῦ".

1 σαφῶς — παρατιθέμενοι DRt: σαφῶς ἐν τοῖς ἑαυτοῦ διαλόγοις ὡμολόγηται Pal. δείξομεν D: δείξωμεν Rt ῥήσεις t: χρήσεις DR 3 ἀριστοτέλη D 11 ἐν τῷ τέλει τῆς Περὶ μορίων ζῴων πραγματείας] immo ἐν τῇ ἀρχῇ cf. A p. 641a17 sqq. 16 πότερον κτλ.] cf. ibid. p. 641a33 19 δῆλον ὅτι Rt: om. D 20 post περὶ τῶν νοητῶν add. διαλέξεται D 22 τῶν DR: om. t 23 post ὅπερ add. ἐστὶν R 25 περὶ μορίων DR: περὶ γενέσεως t. est error Philoponi memoriter ut apparet citantis. extat re vera De gener. anim. B 3 p. 736b27 sqq. λείπεται δὲ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον· οὐθὲν γὰρ αὐτοῦ τῇ ἐνεργείᾳ κοινωνεῖ σωματικὴ ἐνέργεια 26 οὐδὲν DR Pal. Arist.: οὐδενὶ t 26. 27 σωματικῇ ἐνεργείᾳ scripsi: σώματος γὰρ ἡ ἐνέργεια DRt: ταῖς τοῦ σώματος ἐνεργείαις Pal. 27 ἐν τούτῳ τῷ βιβλίῳ] A 1 p. 403a27 30 τινὰ Dt: τὴν R 31 ἐν τῷ δευτέρῳ λόγῳ] B 2 p. 413b24 32 εἴτε μόριον DR: ἢ μόριον t

φησί. "καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέπω φανερόν, ἀλλ' ἔοικε ψυχῆς a 3r
γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεσθαι χωρίζεσθαι, καθάπερ τὸ 35
ἀίδιον τοῦ φθαρτοῦ". καὶ πάλιν ἐν τῷ τρίτῳ λόγῳ φησίν· "εἰ δή ἐστι τὸ νοεῖν
ὥσπερ τὸ αἰσθάνεσθαι, ἢ πάσχειν τι ἂν εἴη ὑπὸ τοῦ νοητοῦ ἤ τι τοιοῦτον
5 ἕτερον· ἀπαθὲς ἄρα δεῖ εἶναι". καὶ μετ' ὀλίγα "χωριστὸν δέ ἐστι μόνον
τοῦτο ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀίδιον. οὐ μνημονεύομεν
δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός". ἐναργῶς ἄρα
διὰ τούτων καὶ ἀπαθῆ καὶ ἀθάνατον καὶ ἀίδιον τὸν νοῦν φησιν εἶναι καὶ
χωριστὸν καθ' αὑτόν, τὴν δὲ φαντασίαν φθαρτήν, ἣν παθητικὸν νοῦν 40
10 ἐκάλεσεν, νοῦν μέν, ὅτι παρ' ἑαυτῇ ἔχει τὸ γνωστόν, παθητικὸν δέ, ὅτι
μετὰ τύπων. καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ "ὁ ἄρα καλούμενος τῆς ψυχῆς
νοῦς (λέγω δὲ νοῦν, ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή) οὐδέν ἐστιν
ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν. διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώ-
ματι". καὶ μετ' ὀλίγα διακρίνων τὴν αἴσθησιν ἀπὸ τοῦ νοῦ φησιν ὅτι ἡ
15 αἴσθησις τῶν μειζόνων αἰσθητῶν ἀντιλαβομένη οὐ δύναται τῶν ἀμυδροτέ-
ρων ἀντιλαβέσθαι, ὁ δὲ νοῦς ὅσῳ ἂν τῶν μειζόνων νοητῶν ἀντιλάβηται, 45
τοσούτῳ μᾶλλον ῥᾳδίως τῶν ἐλαττόνων ἀντιλαμβάνεται. τούτου δὲ αἴτιόν
φησιν ὅτι "τὸ μὲν αἰσθητικὸν οὐκ ἄνευ σώματος, ὁ δὲ χωριστός". καὶ
πάλιν "καὶ οὗτος ὁ νοῦς χωριστὸς καὶ ἀμιγὴς καὶ ἀπαθὴς τῇ οὐσίᾳ." καὶ
20 ἔτι πρὸ τούτων ἐν τῷ πρώτῳ λόγῳ "ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις
οὖσα, καὶ οὐ φθείρεσθαι· μάλιστα γὰρ ἂν ἐφθείρετο ὑπὸ τῆς ἐν τῷ γήρᾳ
ἀμαυρώσεως". καὶ πάλιν "ποῖον γὰρ μόριον ἢ πῶς ὁ νοῦς συνέξει, χαλε-
πὸν καὶ πλάσαι". καὶ πάλιν "περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνά- 50
μεως οὐδέπω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο
25 μόνον ἐνδέχεσθαι χωρίζεσθαι, καθάπερ τὸ ἀίδιον τοῦ φθαρτοῦ". ὥστε
χωριστὸν αὐτὸν βούλεται εἶναι τοῦ σώματος καὶ μὴ μετὰ σώματος ἐνεργεῖν
καὶ ἔτι ἀίδιον εἶναι. πολλῶν δὲ ὄντων ὧν δυνατὸν ἦν παραθέσθαι δεικνύντας
ὅτι ἀθάνατον οἶδε τὴν λογικὴν ψυχὴν ὁ Ἀριστοτέλης καὶ χωριστὴν παντὸς
σώματος, ἱκανὰ καὶ τὰ εἰρημένα. ἀλλὰ μὴν ὅτι καὶ Πλάτων τὴν λογικὴν
30 ψυχὴν ἀθάνατον οἶδε, περιττὸν τὸ λέγειν· ὅτι δὲ καὶ τὴν ἄλογον θνητὴν
οἶδε, ἱκανὰ τὰ ἐν | τῷ Τιμαίῳ εἰρημένα. ἐπεὶ γάρ, φησίν, ὁ δημιουργὸς a 3v
πᾶσαν τὴν θείαν φύσιν ἐποίησε, τήν τε ἐμφανῆ καὶ τὴν ἀφανῆ, λέγει,
φησί, πρὸς αὐτούς, ὅτι ἔτι λοιπὰ τρία γένη θνητὰ πρὸς τὴν τοῦ παντὸς
διακόσμησιν ἐνδεῖ, τὸ χερσαῖον λέγων καὶ ἀέριον καὶ ἔνυδρον, ὧν μὴ γενο-
35 μένων ἀτελὴς ὁ κόσμος ἔσται. "δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετα-

---

2 ἐνδέχεσθαι Dt et libri v. 25: ἐνδέχεται R(hoc loco) ex Arist. 3 ἐν τῷ τρίτῳ λόγῳ] Γ 4 p. 429a13 4 τι (post πάσχειν) Rt: ὅτι D 5 μετ' ὀλίγα] Γ 5 p. 430a22 χωριστὸν δέ ἐστι D¹R: χωρίζεται t: χωρισθεὶς δ' ἐστὶ D² et Arist. 5. 6 τοῦτο μόνον R 11 ἐν τῷ αὐτῷ λόγῳ] Γ 4 p. 429a22 14 μετ' ὀλίγα] Γ 4 p. 429a31 16 ἀντιλάβηται D: ἀντιλαμβάνεται Rt 18. 19 καὶ πάλιν] Γ 5 p. 430a17 20 ἐν τῷ πρώτῳ λόγῳ] A 4 p. 408b18 21 τῷ om. R 22 ποῖον γὰρ κτλ.] A 5 p. 411b18 23 περὶ δὲ τοῦ νοῦ — φθαρτοῦ (25) eadem leguntur p. 10,32. 11,1 sqq. 31 ἐν τῷ Τιμαίῳ] Tim. p. 41 B sq.

σχόντα θεοῖς ἐσάζοιτ' ἄν. ἵνα οὖν θνητά τε ᾖ τό τε πᾶν τοῦτο δεόντως a 3v
ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν θνητῶν ζῴων δημιουργίαν, 5
μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν. καὶ καθ' ὅσον
μὲν αὐτῶν ἀθανάτοις ὁμώνυμον εἶναι προσήκει. θεῖον λεγόμενον ἡγεμονοῦν
5 τε ἐν αὐτοῖς, σπείρας καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω· τὸ δὲ λοιπὸν
ὑμεῖς ἀθανάτῳ θνητὸν προσυφαίνοντες ἀπεργάζεσθε ζῷα". ὥστε τὴν
ἄλογον ψυχὴν προσυφαινομένην τῷ λόγῳ θνητὴν ἐναργῶς εἶναί φησιν,
ἡγεμονοῦν δὲ καὶ θεῖον καὶ ἀθάνατον ὅσον ἐν τοῖς θνητοῖς ζῴοις λογικόν,
ὡς καὶ πανταχοῦ ἡγεμονοῦν τὸν λόγον φησίν.

10 Ὅτι μὲν οὖν καὶ Πλάτωνι καὶ Ἀριστοτέλει δοκεῖ μήτε πᾶσαν ψυχὴν 10
χωριστὴν σώματος εἶναι μήτε πᾶσαν ἀχώριστον, ἀλλὰ τὴν μὲν λογικὴν
χωριστήν, ἀχώριστον δὲ τὴν λοιπήν, δῆλον. ἀλλὰ γὰρ οὐ δεῖ ταῖς τῶν
παλαιῶν ἀποφάνσεσιν ἀναπαύεσθαι, ἀλλὰ πάντων τῶν πραγμάτων τὰς ἀπο-
δείξεις κομίσαι· πρὸς ὅλον γὰρ ἡμῶν τὸν βίον τείνει τὰ δόγματα ταῦτα.
15 ἄλλως τε τί οἰκειότερον ἡμῖν τῆς ἡμῶν αὐτῶν γνώσεως; δείξομεν οὖν
ἕκαστον τῶν εἰρημένων, ὅτι τε πᾶσα ψυχὴ ἀσώματος καὶ ὅτι μόνη ἡ
λογικὴ χωριστὴ παντὸς σώματος καὶ διὰ τοῦτο ἀθάνατος, καὶ ὅτι ἡ
μὲν ἄλογος τοῦ μὲν παχέος τούτου χωριστή, ἀχώριστος δὲ τοῦ πνεύματος, 15
καὶ ἔτι εἰ ὅλως ἐστὶν αὐτὸ τοῦτο τὸ πνευματικὸν σῶμα, καὶ ὅτι ἐπιδιαμένει
20 μετὰ τὴν ἔξοδον τὴν ἐκ τούτου τοῦ σώματος ἐπί τινα χρόνον, καὶ ὅτι
ἡ φυτικὴ ἐν τῷ παχεῖ τούτῳ τῷ σώματι τὸ εἶναι ἔχει καὶ συμφθείρεται
αὐτῷ. ὅτι μὲν οὖν πᾶσαι αἱ δόξαι αἱ λέγουσαι σῶμα εἶναι τὴν ψυχήν,
εἴτε ἁπλοῦν εἴτε σύνθετον, ψευδεῖς εἰσιν, ἵνα μὴ κατὰ μίαν ἐλέγχωμεν,
κοινὸν κατὰ πασῶν τὸν ἔλεγχον ἐπαγάγωμεν. ὅτι τοίνυν οὐδεμίαν ψυχὴν
25 δυνατὸν σῶμα εἶναι, δῆλον ἐντεῦθεν. πᾶν σῶμα κατὰ τὴν ἑαυτοῦ φύσιν
σκεδαστόν ἐστι καὶ εἰς ἄπειρα διαιρετόν· διὸ δεῖται τοῦ συνέχοντος. τοῦτο 20
οὖν τὸ συνέχον ἐπειδὴ ἡ ψυχή ἐστιν ἢ ἑτέρα τις δύναμις, πότερον σῶμά
ἐστιν ἢ ἀσώματον; εἰ μὲν οὖν σῶμά ἐστι, δεήσεται πάλιν καὶ αὐτὸ τοῦ
συνέχοντος. πάλιν οὖν καὶ περὶ ἐκείνου ἐρησόμεθα, πότερον σῶμα ἢ ἀσώματον,
30 καὶ τοῦτο ἐπ' ἄπειρον. ἀνάγκη ἄρα τὴν συνεκτικὴν τῶν σωμάτων δύναμιν ἀσώ-
ματον εἶναι. ἔστιν δὲ ἐπὶ τῶν ἐμψύχων συνεκτικὴ τῶν σωμάτων ἡ ψυχή· ἡ
ψυχὴ ἄρα πᾶσα ἀσώματός ἐστιν. ἐν δὲ τῷ βιβλίῳ τούτῳ ὁ Ἀριστοτέλης
πολλαχῶς καὶ ἄλλως ἐλέγξας τὰς δόξας ταύτας καὶ τοῦτο προστίθησι· τί 25
λέγω, φησίν, ἐπὶ τῶν ἄλλων; ἡ ἐσχάτη τῶν γνωστικῶν τῆς ψυχῆς δυνά-
35 μεων ἡ αἴσθησις καὶ αὕτη ἀσώματος οὖσα γραμμικαῖς ἀνάγκαις δείκνυται.
εἰ τοίνυν ἡ ἐσχάτη ἀσώματος, πολλῷ μᾶλλον αἱ κρείττους. πῶς οὖν

---

1 τοῦτο δεόντως] τόδε ὄντως Plato 2 ἅπαν DR: ἅπερ t θνητῶν deest apud Plat. 4 ἀθάνατον R προσήκει Plato: προσήκειν libri 5 post αὐτοῖς om. Platonica τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπεσθαι libri 6 ἀπεργάζεσθαι R 15 δείξομεν Dt: δείξωμεν R 16 ὅτι τε DR: ὅτι t 21 τῷ (ante σώματι) DR: om. t 26 σχεδαστόν R ἄπειρον R 27 ἐπειδὴ Dt: αἰδειδὴ R τις om. R 28 ἐστιν post σῶμα DR: post ἀσώματον t 31 συνεκτικὴ τῶν σωμάτων DR: τῶν om. t 32 τῷ βιβλίῳ δὲ R 33 τοῦτο προστίθησι D^2t: προστίθησι τοῦτο D^1R

τοῦτο δείκνυσιν; οὐδέν, φησίν, σῶμα ἐν τῷ αὐτῷ χρόνῳ κατὰ τὸ αὐτὸ a 3v
μόριον τῶν ἐναντίων ἐστὶν ἀντιληπτικόν· ὁ γὰρ δάκτυλος οὐ δύναται κατὰ
τὸν αὐτὸν χρόνον ὅλος καὶ λευκοῦ καὶ μέλανος μεταλαβεῖν, οὐδὲ θερμαίνε-
ται ἅμα κατὰ ταὐτὸ καὶ ψύχεται. ἡ δὲ αἴσθησις ἅμα ἐν τῷ αὐτῷ
5 χρόνῳ τῶν ἐναντίων ἀντιλαμβάνεται· ἐν γὰρ τῷ ἀναγινώσκειν ἅμα τοῦ 30
λευκοῦ καὶ τοῦ μέλανος ἀντιλαμβάνεται· διὸ καὶ οἶδεν ὅτι τόδε ἐστὶ πρῶτον
καὶ τόδε δεύτερον, τῷ διακρίνειν ἐκ τοῦ λευκοῦ τὸ μέλαν. πῶς οὖν ἀντι-
λαμβάνεται ἐν τῷ αὐτῷ χρόνῳ τῶν ἐναντίων ἡ ὄψις; πότερον κατὰ τὸ αὐτὸ
μόριον ἢ καθ' ἕτερον μὲν τοῦ μέλανος, καθ' ἕτερον δὲ τοῦ λευκοῦ; εἰ
10 μὲν οὖν κατὰ τὸ αὐτό, δῆλον ὅτι ἀμερῶς αὐτῶν ἀντιλαμβάνεται καὶ ἔστιν
ἀσώματος· εἰ δὲ καθ' ἕτερον καὶ ἕτερον μόριον, ὅμοιον, φησίν, ὡς "εἰ τοῦ
μὲν ἐγώ, τοῦ δὲ σὺ αἴσθοιο", ὥσπερ, φησίν, εἰ λέγοις ὅτι ὃ ἐγὼ εἶδον
ἕτερόν ἐστιν οὗ σὺ εἶδες· δεῖ γὰρ τὸ κρῖνον ἓν καὶ τὸ αὐτὸ εἶναι καὶ 35
κατὰ τὸ αὐτὸ τῶν κρινομένων ἀντιλαμβάνεσθαι. σῶμα δὲ ἐν τῷ αὐτῷ
15 χρόνῳ κατὰ τὸ αὐτὸ μόριον προσβάλλειν τοῖς ἐναντίοις ἢ ἁπλῶς τοῖς ἑτέροις
οὐ δύναται· ἡ δὲ αἴσθησις κατὰ τὸν αὐτὸν χρόνον προσβάλλει τῷ λευκῷ
καὶ τῷ μέλανι· ἀμερῶς ἄρα προσβάλλει, καὶ διὰ τοῦτο οὖν ἀσώματος. εἰ
γὰρ καθ' ἕτερον καὶ ἕτερον μόριον τοῦ μέλανος καὶ τοῦ λευκοῦ
ἀντελαμβάνετο, οὐκ ἂν ἠδυνήθη διακρῖναι τὸ λευκὸν ἀπὸ τοῦ μέλανος·
20 οὐδεὶς γὰρ διακρίνει τὸ ὑπ' αὐτοῦ ὁραθὲν τοῦ ὑπ' ἄλλου ὁραθέντος. ὅτι 40
δὲ καὶ ἡ φαντασία ἀσώματος καὶ ἀμερής, δῆλον ἐντεῦθεν· πόθεν γὰρ οἱ
ἐπιγινόμενοι τύποι οὐκ ἠφάνισαν τοὺς προϋπάρχοντας; ὅπερ, εἴπερ ἦν σῶμα,
συνέβη ἄν, ὥσπερ ἐπὶ κηροῦ· ἀφανίζουσι γὰρ οἱ ἐπιγινόμενοι τύποι τοὺς
προϋπάρχοντας. ἀλλὰ καὶ ἡ φυτικὴ ψυχή, ἥτις καὶ τῆς αἰσθήσεώς ἐστι
25 καταδεεστέρα, καὶ αὐτοὶ οἱ φυσικοὶ λόγοι δείκνυνται ἐναργῶς ἀμερεῖς ὄντες καὶ
διὰ τοῦτο ἀσώματοι. ἐν γὰρ ἑκάστῳ μορίῳ τοῦ σπέρματος οἱ αὐτοὶ φυσικοὶ
λόγοι ἀμερίστως εἰσίν, οἵπερ καὶ ἐν τῷ παντὶ σπέρματι, οἱ θρεπτικοί, οἱ 45
αὐξητικοί, οἱ διαπλαστικοί· ὥσπερ γὰρ πᾶν τὸ καταβληθὲν σπέρμα εἰ
κατασχεθείη ὑπὸ τῆς μήτρας, τέλειον τὸ ζῷον ἀποτελεῖ, οὕτως κἂν μὴ
30 τὸ πᾶν ἀλλὰ μόριον, οὐδὲν ἧττον ποιήσει. εἰ τοίνυν οἱ φυσικοὶ τοῦ ζῴου
λόγοι σῶμα ἦσαν, οὐκ ἠδύναντο ἐν τῷ αὐτῷ μορίῳ ἅμα καὶ οἱ τῆς κεφα-
λῆς καὶ οἱ τῶν ποδῶν καὶ πάντων τῶν μορίων εἶναι· νῦν δέ εἰσιν ὡς ἐν
τῷδε τῷ μορίῳ πάντες, οὕτω καὶ ἐν ἄλλῳ πάντες· ἀμερίστως ἄρα ἐνυπάρ-
χουσι πάντες ἐν ἑκάστῳ μορίῳ· ἀσώματοι ἄρα εἰσίν· τὸ γὰρ ἀμερὲς καὶ
35 ἀσώματον. ὥσπερ γοῦν καὶ ἐν τῷ ὅλῳ δένδρῳ ἐστὶν ἥ τε θρεπτικὴ καὶ
αὐξητικὴ καὶ γεννητικὴ δύναμις, οὕτω καὶ ἐν τῷ κλάδῳ ἢ ἐν τῷ κλή- 50

---

1 οὐδέν, φησίν, σῶμα κτλ.] cf. de An. Γ 2 4 ταυτὸ D: τὸ αὐτὸ Rt 7 ἐκ DR: ἀπὸ t 10 δῆλον ὅτι Dt: δῆλον οὖν ὅτι R 11. 12 εἰ τοῦ μὲν — αἴσθοιο] Γ 2 p. 426b19 12 λέγοις DR: λέγεις t 13 εἶδες σὺ transp. D 14 τῶν — ἀντιλαμβάνεσθαι DRt: τὸ κρινόμενον προσλαμβάνεσθαι Pal. 16 προσβάλλειν τῷ t 17 οὖν Dt: αὖ R ἀσώματος DRt: ἀσωμάτως Pal. 18 γὰρ om. R 22 et 23 ἐπιγινόμενοι Dt: ἐπιγενόμενοι R 25. 26 et 30 φυσικοὶ DR Pal.: φυτικοὶ t 27 οἵπερ scripsi: ὅπερ DRt: ὥσπερ Pal. 32 ὡς DR: om. t 33. 34 πάντες οὕτω — μορίῳ Pal.: om. DRt 36 ἐν τῷ (post ἢ) om. R

ματι καὶ ἐν αὐτῇ τῇ κεγχραμίδι. // ἀλλ' ἴσως ἀπορήσειέ τις, πόθεν οὖν a 3v
τὰ τέρατα; οὐ παρὰ τὸ ἐνδεῖν ἢ πλεονάζειν τὸ σπέρμα; διὰ τί δὲ πάλιν
εἰ ἀποτμηθείη τοῦ σίτου μόριον, οὐκέτι βλαστάνει τὸ λοιπόν; διὰ τί δὲ ἢ
φλοιὸς οὐ βλαστάνει ἢ φύλλον ἤ τι τοιοῦτον; καίτοι καὶ ταῦτα μόρια τοῦ
5 δένδρου εἰσί. // λέγω οὖν περὶ μὲν τῶν τεράτων ὅτι ἡ ὕλη ἐστὶν ἡ αἰτία,
ἐπειδὴ δεῖ καὶ ἐπιτηδειότητος τῆς ὕλης κατά τε τὸ ποσὸν καὶ τὸ ποιόν·
ὕλη δὲ τῶν ζῴων τὸ καταμήνιον· αὕτη οὖν πλεονάζουσα ἢ ἐνδέουσα ἢ
παρὰ φύσιν πεποιωμένη, | τῶν τεράτων ἐστὶν αἰτία. καὶ καθόλου δέ a 4r
φημι, ὅτι αἱ δυνάμεις αὗται εἰ καὶ ἀσώματοί εἰσιν, ἀλλ' ἐν ὑποκειμένῳ
10 τῷ σώματι τὸ εἶναι ἔχουσι, καὶ ἵνα ὦσι, δέονται σύμμετρον ἔχειν τὸ ὑπο-
κείμενον καὶ ποιότητι καὶ ποσότητι. οἷον ὁ κύκλος καὶ ἁπλῶς τὸ σχῆμα
δείκνυται αὐτὸ μὲν καθ' αὑτὸ ἄποσον ὂν καὶ ἀμέγεθες καὶ ἁπλῶς ἀσώ-
ματον· οὐκ ἂν δὲ συσταίη, εἰ μὴ ἐπιλάβοιτο ὑποκειμένου καὶ μεγέθει συμ-
μέτρου καὶ ποιότητι, οἷον οὐκ ἂν ἐν σμικρῷ καὶ ἀκαριαίῳ σώματι συσταίη 5
15 ἂν κύκλος οὐδὲ ἐν ὑγρῷ καὶ διαρρέοντι. // οὕτως οὖν καὶ ἐπὶ τοῦ παρόντος
λέγω ὅτι εἰ καὶ ἀμερεῖς οἱ λόγοι καθ' ἑαυτούς, ἀλλ' ἐπειδὴ ἐν ὑποκειμένῳ
σώματι τὸ εἶναι ἔχουσιν, οὐχ ἁπλῶς δὲ πᾶν σῶμα ἢ ὡς ἔτυχεν ἔχον
οἷόν τέ ἐστι καταδέξασθαι τοὺς λόγους, διὰ τοῦτο δεῖ καὶ ἐπιτηδειότητος
τοῦ ὑποκειμένου. εἰ δὲ ὅλως εὑρίσκονται αἱ ἐν τῷ ὅλῳ δένδρῳ δυνάμεις
20 πᾶσαι ἀνελλιπῶς καὶ ἐν τοῖς μέρεσι, δῆλον ὅτι δι' οὐδεμίαν ἄλλην αἰτίαν
ἢ διὰ τὸ ἀμερεῖς εἶναι αὐτὰς καθ' αὑτάς· εἰ γὰρ ἦσαν σώματα, οὔτε ἐν
τῷ ἀποτμηθέντι κλάδῳ ὅλαι ἂν ἦσαν καὶ τὸ δένδρον κολοβὸν ἂν ἦν. εἰ 10
δέ τις εἴποι 'ἀλλὰ δύναται λέγειν ὅτι σώματά εἰσιν ὁμοιομερῆ δι' ὅλου
διήκοντα, τῶν δὲ ὁμοιομερῶν τὸ αὐτό ἐστιν εἶδος ἐν τῷ μέρει ὅπερ καὶ
25 ἐν τῷ ὅλῳ, ὡς ἐπὶ τῆς σαρκὸς ἔχει· τὸ γὰρ μέρος τῆς σαρκὸς σάρξ', λέ-
γομεν οὖν πρὸς τοῦτο ὅτι εἰ ἦσαν ὁμοιομερῆ σώματα, οὐκ ἂν ἐχώρησαν
ὅλα δι' ὅλων τῶν ὑποκειμένων· σῶμα γὰρ διὰ σώματος χωρῆσαι ἀδύνα-
τον. εἰ τοίνυν αἱ καταδεέστεραι τῶν ψυχικῶν δυνάμεων ἀσώματοι, πολλῷ 15
μᾶλλον ἡ λογικὴ κρείττων οὖσα πολλῷ. ὅτι γὰρ καὶ αὕτη ἀσώματος, δέ-
30 δεικται μὲν καὶ διὰ τῶν κοινῶν λόγων, λέγομεν δὲ καὶ ἰδίᾳ ἐπὶ αὐτῆς
οὕτως· οὐδὲν τῶν σωμάτων αὐτὸ ἑαυτὸ γινώσκει οὐδὲ πρὸς ἑαυτὸ ἐπι-
στρέφεται· οὐ γὰρ οἶδεν ἑαυτὴν ἡ χεὶρ ἢ ἄλλο τι τῶν σωμάτων. ἀλλ'
οὐδ' αἱ ἄλογοι δυνάμεις, καίτοι ἀσώματοι οὖσαι ἑαυτὰς ἴσασιν· οὐ γὰρ
οἶδεν ἑαυτὴν ἡ ὄψις ἢ ἡ ἀκοὴ ἢ ἁπλῶς ἡ αἴσθησις οὐδὲ ζητεῖ ποίας 20
35 ἐστὶ φύσεως, ἀλλ' ὁ λόγος ἐστὶν ὁ περὶ αὐτῶν ζητῶν. ἡ μέντοι ψυχὴ ἡ
λογικὴ αὐτὴ ἑαυτὴν γινώσκει· αὐτὴ γοῦν ἐστιν ἡ ζητοῦσα, αὐτὴ ἡ ζητου-
μένη, αὐτὴ ἡ εὑρίσκουσα, αὐτὴ ἡ εὑρισκομένη, ἡ γινώσκουσα καὶ γινώ-
σκομένη· ἀσώματος ἄρα ἐναργῶς ἀποδέδεικται. ἔτι αἱ ἐν ὑποκειμένῳ τῷ

---

3. 4 ἢ φλοιὸς scripsi: ἡ φλοιὸς libri 4 ἢ φύλλον Pal. et in iteratis (cf. n. ad 8) D: φύλλον Rt: utrumque om. (suo loco) D^1, suppleverat ut vid. D^2, sed locus humore evanuit 8 post ἐστὶν erasum habet ἡ ut vid. D post αἰτία iterata εἰ ἀποτμηθείη — εἰσὶ (3—5) del. D δέ D Pal.: δὴ Rt 9 εἰ DR Pal.: om. t 13 ἐπιλάβοιτο D Pal. t: ἐπιλάβοι τοῦ R 24. 25 καὶ ἐν D Pal. t: καὶ τὸ ἐν R 30 λέγομεν DR Pal.: λέγωμεν t 36 et 37 αὐτὴ ubique Pal.: αὕτη (post γινώσκει et reliquis deinceps locis) DRt 38 ἔτι Pal.: om. DRt

σώματι δυνάμεις συνακμάζουσί τε τῷ σώματι καὶ συναμαυροῦνται· τοιαῦ- a 4r
ται γοῦν αἴσθησις θυμὸς ἐπιθυμία· ἡ δὲ λογικὴ ψυχὴ τὸ ἐναντίον μαραι-
νομένου τοῦ σώματος αὐτὴ ἀκμάζει· οὐκ ἄρα ἐν ὑποκειμένῳ τῷ σώματί
ἐστιν. ἔτι οὐδὲν τὸ ἑαυτοῦ σπουδάζει φθεῖραι ὑποκείμενον· πάντα γὰρ 25
5 τοῦ εἶναι ἐφίεται· ἡ δὲ λογικὴ ψυχὴ καταφρονεῖ τοῦ σώματος, τοῖς τε
δι' ἀρετὴν πόνοις αὐτὸ δαμάζουσα καὶ τὸ σύνολον πολλάκις προϊεμένη·
οὐκ ἄρα ἐν ὑποκειμένῳ σώματι τὸ εἶναι ἔχει. οὕτω μὲν οὖν οὐδεμία
ψυχικὴ δύναμις σῶμα οὖσα δέδεικται.

Ἐπὶ τούτοις δεῖ δεῖξαι, ὅτι ἡ μὲν λογικὴ ψυχὴ ἐξῃρημένην ἔχει τὴν
10 οὐσίαν παντὸς σώματος, αἱ δὲ λοιπαὶ ἐν σώματι τὸ εἶναι ἔχουσι· καὶ ἡ
μὲν ἐν τῷ πνεύματι ἡ ἄλογος, ἡ δὲ φυτικὴ ἐν τούτῳ. ἵνα οὖν ταῦτα
δείξωμεν, προλάβωμεν τέως ἐκεῖνο. κανόνα τινὰ παραδίδωσιν ἡμῖν ὁ Ἀρι- 30
στοτέλης ἐν τῷ προοιμίῳ τοῦ προκειμένου βιβλίου κοινῶς πᾶσι τοῖς φιλο-
σόφοις ἀρέσαντα, καὶ τοῖς θνητὴν εἶναι τὴν ψυχὴν ὑπολαβοῦσι καὶ τοῖς
15 ἀθάνατον. ἔστιν δ' ὁ κανὼν οὗτος· δεῖ, φησίν, ἐκ τῶν ἐνεργειῶν τὰς
οὐσίας κρίνειν, ἐπειδὴ καὶ ἑκάστη οὐσία σύστοιχον ἔχει τὴν ἐνέργειαν.
πᾶσα οὖν, φησίν, οὐσία μηδεμίαν ἔχουσα ἐνέργειαν χωριστὴν σώματος,
ἐξ ἀνάγκης οὐδὲ τὴν οὐσίαν ἕξει χωριστὴν σώματος· εἰ γὰρ χωριστὴν ἔχουσα
τὴν οὐσίαν μηδεμίαν ἐνέργειαν ἔχοι χωρὶς σώματος, ἐπειδὰν χωρισθῇ σώ- 35
20 ματος, οὐχ ἕξει περὶ τί ἐνεργήσει· ὥστε μάτην ἔσται. οὐδὲν δὲ μάτην
οὔτε ὁ θεὸς ποιεῖ οὔτε ἡ φύσις. οὐκ ἄρα δυνατὸν τὴν χωριστὴν οὐσίαν
μηδεμίαν ἔχειν ἐνέργειαν χωρὶς σώματος. πάλιν ἕτερος κανὼν οὗτος· πᾶσα
οὐσία ἔχουσα ἐνέργειαν χωριστὴν σώματος ἐξ ἀνάγκης καὶ αὐτὴ χωριστὴ
ἔσται σώματος· εἰ δὲ μὴ εἴη χωριστή, συμβήσεται τὸ αἰτιατὸν τοῦ αἰτίου
25 κρεῖττον εἶναι καὶ τοῦ κρείττονος τὸ καταδεέστερον κρεῖττον, ὅπερ ἄτοπον· 40
δεῖ γὰρ ἀεὶ τὸ αἴτιον κρεῖττον εἶναι τοῦ αἰτιατοῦ καὶ τὸ τῇ φύσει πρό-
τερον τοῦ μετ' αὐτό· κρεῖττον δὲ τὸ τῇ φύσει πρότερον. πῶς οὖν
τοῦτο οὕτως ἔχει; ἴσμεν ὅτι πᾶσα ἐνέργεια ἐκ δυνάμεως, πᾶσα δὲ
δύναμις ἐξ οὐσίας· οὐκοῦν τρίτην τάξιν ἔχει ἀπὸ τῆς οὐσίας ἡ
30 ἐνέργεια. εἰ τοίνυν ἡ μὲν οὐσία ἀχώριστος ἢ σώματος, ἡ δὲ ἐνέργεια
χωριστή, κρεῖττον δὲ τοῦ ἀχωρίστου τὸ χωριστόν, κρείττων ἄρα ἡ ἐνέρ-
γεια τῆς οὐσίας, ταὐτὸν δὲ εἰπεῖν τὸ αἰτιατὸν τοῦ αἰτίου καὶ τοῦ φύσει
προτέρου τὸ δεύτερον, μᾶλλον δὲ τρίτον, ὅπερ ἄτοπον. ἀδύνατον ἄρα ἐνέρ-
γειαν χωριστὴν σώματος μὴ ἀπ' οὐσίας προέρχεσθαι καὶ αὐτῆς χωριστῆς. 45
35 οὗτοι μὲν οὖν οἱ Ἀριστοτελικοὶ κανόνες. χρησιμεύσει οὖν ἡμῖν ὁ μὲν

---

2 ἡ δὲ λογικὴ ψυχὴ D Pal. t: αἱ δὲ λογικαὶ ψυχαὶ R 3 αὐτὴ Pal.: αὕτη DRt 4 ἔτι Pal.: om. DRt 7 ἄρα D Pal.: ἐν τῷ παχεῖ R ante σώματι add. τῷ Pal. 9 δεῖ R Pal.: om. D: χρὴ t 11 post τούτῳ add. ἤγουν ἐν τῷ παχεῖ t: ἐν τῷ παχεῖ in mg. adnot. D² 14 ἀρέσαντα Rt: συναρέσκοντα Pal. 15 ἀθάνατον R: ἀθάνατον εἶναι Dt 18 ἐξ ἀνάγκης—χωριστὴν σώματος Pal.: om. DR: οὐδὲ αὐτὴ χωριστή t εἰ γὰρ—χωρὶς σώματος (19) om. R 19 ἔχοι D Pal.: ἔχει Rt 21 ὁ θεὸς Dt: θεὸς R οὔτε ἡ φύσις ποιεῖ coll. R 27 τοῦ DR Pal.: om. t κρεῖττον δὲ—πρότερον delenda esse videntur 31 τοῦ ἀχωρίστου τὸ χωριστόν scripsi: τὸ ἀσώματον τοῦ χωριστοῦ DR: τὸ ἀχώριστον τοῦ χωριστοῦ t κρεῖττον R 35 χρησιμεύσει DR Pal.: χρησιμεύουσιν t

ὕστερος εἰς τὸν περὶ τῆς λογικῆς ψυχῆς λόγον, ὁ δὲ πρότερος εἰς τὸν περὶ a 4r
τῶν λοιπῶν. εἴπωμεν οὖν τέως περὶ τῆς λογικῆς. εἰ μηδεμία ἀχώριστος
σώματος οὐσία ἔχει χωριστὴν τὴν ἐνέργειαν, δείξομεν δὲ ἐπὶ τῆς ψυχῆς
χωριστὴν ἐνέργειαν σώματος, πᾶσα ἀνάγκη καὶ αὐτὴν χωριστὴν εἶναι. ὅταν
5 τοίνυν σκοπῇ περὶ τῶν νοητῶν ἡ ψυχὴ καὶ τὰς περὶ τοῦ θεοῦ ἐννοίας
προχειρίζηται. δῆλον ὅτι χωριστὴν παντὸς σώματος ἔχει τὴν τοιαύτην ἐνέρ- 50
γειαν. ὁμοίως καὶ ὅταν ἑαυτὴν ζητῇ· οὐδαμοῦ γὰρ ἐν τούτοις οὔτε συνερ-
γῷ χρῆται τῷ σώματι οὔτε αὐτὴ περὶ σῶμα ἐνεργεῖ, ὥστε πάντῃ κεχώρισται
σώματος ἡ τοιαύτη ἐνέργεια, καὶ αὐτῆς δὲ τῆς φαντασίας. εἰ δὲ ἡ ἐνέργεια
10 χωριστή, ἐξ ἀνάγκης καὶ ἡ οὐσία αὐτῆς χωριστὴ ἔσται· εἰ δὲ χωριστὴ ἡ
οὐσία, κατὰ πᾶσαν ἀνάγκην καὶ ἀίδιος· τοῦτο γὰρ κοινῶς πάντες ὁμολο-|
γοῦσιν ὅτι πᾶσα χωριστὴ σωμάτων οὐσία καὶ ἀίδιός ἐστι. σκόπει γάρ, a 4v
εἰ χωριστὴ οὖσα μὴ ἔστιν ἀίδιος, ἀλλὰ γενητὴ καὶ φθαρτή, πρὶν γενέσθαι
ἢ ἠδύνατο γενέσθαι ἢ οὐκ ἠδύνατο. εἰ μὲν οὖν μὴ ἠδύνατο, οὐδ' ἂν ἐγένετο· τὸ
15 γὰρ ἀδύνατον οὐκ ἂν γένοιτο· εἰ δὲ ἠδύνατο, ὑλικὴ πάντως ἦν· τοῦτο γὰρ τὸ
δύνασθαί ποτε εἶναι ἢ μὴ εἶναι τόδε τι τῆς ὕλης ἐστίν· εἰ δὲ ἄυλα τὰ χωριστὰ
τῆς ὕλης, οὐκ ἔσονται ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀλλ' ἀεὶ ἐνεργείᾳ 5
ἔσονται. καὶ ἄλλως· πᾶν τὸ φθειρόμενον κατὰ δύο τρόπους φθείρεται, ἢ
τὸν τῶν σωμάτων τῇ εἰς τὰ στοιχεῖα ἀναλύσει ἢ τὸν τῶν ἀσωμάτων ἀπο-
20 σβεννυμένου τοῦ εἴδους τῇ ἀναρμοστίᾳ τοῦ ὑποκειμένου ἐν ᾧ τὸ εἶναι
ἔχει, ὥσπερ ἡ ἁρμονία χαλασθεισῶν τῶν χορδῶν. κατ' οὐδέτερον οὖν
τῶν τρόπων ἐνδέχεται φθαρῆναι τὴν λογικὴν ψυχήν, οὔτε τὸν τῶν σωμά-
των τρόπον (ἀσώματος γάρ) οὔτε τὸν τῶν ἀσωμάτων μὲν ἐν ὑποκειμένῳ
δὲ σώματι τὸ εἶναι ἐχόντων· δέδεικται γὰρ χωριστὴ οὖσα σώματος· 10
25 ὥστε εἰ δέδεικται χωριστὴ σώματος, συναποδέδεικται ὅτι καὶ ἀίδιος.
ταῦτα μὲν περὶ τῆς λογικῆς ψυχῆς. εἴπωμεν δὲ ἐπὶ τούτοις καὶ περὶ τῶν
λοιπῶν τῆς τε ἀλόγου καὶ τῆς φυτικῆς· ὅτι γὰρ αὗται ἀχώριστοί εἰσιν
δῆλον ἐκ τοῦ εἰρημένου κανόνος. εἰ γὰρ δείξομεν ὅτι οὐδεμίαν ἔχουσιν
ἐνέργειαν χωριστὴν σώματος, πᾶσα ἀνάγκη καὶ αὐτὰς ἀχωρίστους εἶναι.
30 πᾶσαι τοίνυν αὐτῶν αἱ ἐνέργειαι ἐν σώματι καὶ περὶ σῶμά εἰσι· καὶ γὰρ
ἡ θρεπτικὴ καὶ αὐξητικὴ καὶ γεννητικὴ καὶ ἐν σώματί εἰσι καὶ διὰ σώ- 15
ματος ἐνεργοῦσι καὶ περὶ σώματα. ἔτι μὴν καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία·
κινεῖ γὰρ ὁ μὲν τὸ περικάρδιον αἷμα, ἡ δὲ τὸ ἧπαρ τοιῶσδε διατίθησιν.
ἐν σώματι μὲν οὖν καὶ διὰ σώματος, ἀλλὰ καὶ περὶ σώματα· ἢ γὰρ
35 βρωμάτων ἢ χρημάτων ἢ ἁπλῶς σωματικῶν πραγμάτων ὄρεξίς ἐστιν ἡ
ἐπιθυμία, καὶ ὁ θυμὸς εἰς τὸ ἀντιλυπῆσαι τὸν εἴς τι τούτων βλάψαντα.

---

3 δείξομεν R Pal.: δείξωμεν Dt 7 ἑαυτὴν Pal. t: αὐτὴν DR 7. 8 οὔτε — οὔτε scripsi: οὐδὲ — οὐδὲ libri 10 ante ἔσται lit. unius litt. D post ἔσται lit. XL fere litt. D 13 γενητὴ D: γεννητὴ R Pal. t 14 οὖν Pal.: om. DRt 17 ἀεὶ ἐνεργείᾳ D Pal. t: ἀεὶ τὸ ἐνεργείᾳ R 19 τῶν ἀσωμάτων DRt: τῶν περὶ τὸ σῶμα Pal. 22 τῶν τρόπων D Pal. t: τὸν τρόπον R 24 σώματι D: τῷ σώματι Rt 28 δείξοΞμεν corr. ex δείξωμεν D 30 αὐτῶν αἱ ἐνέργειαι D: αἱ om. t: αὐτῶν post ἐνέργειαι ponit R 34 οὖν καὶ DRt: οὖν καὶ αὗται καὶ Pal. ἀλλὰ om. Pal. 35 χρημάτων Diels: χρωμάτων libri 36 τούτων Pal.: τοῦτον DRt

ὥστε εἰ αἱ ἐνέργειαι τούτων οὐκ ἄνευ σώματος, ἐξ ἀνάγκης καὶ αἱ οὐσίαι. a 4v
εἰς τί γὰρ χωρισθεῖσαι ἐνεργήσουσιν; τί θρέψουσιν ἢ αὐξήσουσιν ἢ
γεννήσουσιν; τίνα δὲ καὶ ἀντιλυπήσουσιν; ἀλλ' οὐδὲ ἡ ἐπιθυμία σχήσει 20
τι τῶν ἡδέων τῶν κινούντων αὐτὴν εἰς ὄρεξιν· ὥστε μάτην ἔσονται. εἰ
5 δὲ τοῦτο ἀδύνατον μάτην τι εἶναι, ἀχώριστος ἄρα ἡ οὐσία σωμάτων, ἐξ
ἧς προέρχονται αἱ τοιαῦται ἐνέργειαι. ἀλλ' ἡ μὲν φυτικὴ τοῦ παχέος
ἐστὶ τούτου ἀχώριστος καὶ συμφθείρεται αὐτῷ· καὶ δῆλον ἐξ ὧν εἰσιν αἱ
δυνάμεις αὗται καὶ ἐν τοῖς φυτοῖς, ἐν οἷς πνευματικὸν σῶμα οὐ θεωρεῖται.
δείκνυνται δὲ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς καὶ ἐπιδιαμένουσαι βραχύν
10 τινα χρόνον ἐν τούτῳ τῷ σώματι, ἐπεὶ [πόθεν ἡ σαθρὰ αὕτη καὶ εὐδιά- 25
λυτος δόξα;] ἐπὶ τῶν νεκρῶν καὶ ὄνυχες καὶ τρίχες αὔξονται. εἰ δ' ἐστὶν
ἐναργῶς τῆς αὐξητικῆς ἴχνος τι καὶ μετὰ τὸν θάνατον ἐν τῷ σώματι,
ἀνάγκη τι εἶναι ἴχνος καὶ τῆς θρεπτικῆς· διὰ γὰρ τὴν αὔξησιν καὶ ἡ
τροφή. ἐντεῦθεν ἄρα δῆλον ὅτι ἐν τούτῳ ἔχουσι τὸ εἶναι αἱ δυνάμεις
15 αὗται· εἰ δὲ αὗται, ἐξ ἀνάγκης καὶ ἡ γεννητική· τῆς γὰρ αὐτῆς ἐστι
συστοιχίας, διότι ὅπου ἐκεῖναί εἰσιν, ἐξ ἀνάγκης καὶ αὐτὴ φαίνεται. εἴποι
δ' ἄν τις ἴχνος τι καὶ ταύτης ἐν τῷ νεκρῷ σώματι διὰ τὰ γινόμενα ἐκ 30
τῶν νεκρῶν σωμάτων ζῷα, σφῆκας καὶ μελίσσας καὶ σκώληκας καὶ τὰ
τοιαῦτα. ἡ δὲ ἄλογος οὐκέτι ἐν τούτῳ ἔχει τὸ εἶναι· ἐπιδιαμένει γὰρ καὶ
20 μετὰ ἔξοδον τὴν ἐκ τούτου τῆς ψυχῆς, ὄχημα καὶ ὑποκείμενον ἔχουσα
τὸ πνευματικὸν σῶμα, ὃ καὶ αὐτό ἐστι μὲν ἐκ τῶν τεσσάρων, λέγεται δὲ
ἐκ τοῦ πλεονάζοντος τοῦ ἀέρος, ὥσπερ καὶ τοῦτο γήινον λέγεται ἐκ τοῦ
πλεονάζοντος. καὶ πόθεν δῆλον, εἰ ἐν τούτῳ ἔχει τὸ εἶναι ἡ ἄλογος
ζωή; μᾶλλον δὲ πρότερον, πόθεν ὅλως ὅτι ἐστὶ πνευματικὸν σῶμα; 35
25 τοῦτο γὰρ πρῶτον δίκαιον ζητῆσαι εἰ ἔστιν ὅλως, εἶτα δεῖξαι ὅτι ἐν τούτῳ
ἐστὶν ἡ ἄλογος ζωή. πόθεν οὖν ὅτι ἐστὶ τὸ πνεῦμα; ἡ ψυχὴ ἡ ἡμετέρα
μετὰ τὴν ἐκ τοῦ σώματος τούτου ἔξοδον ὁμολογεῖται, μᾶλλον δὲ ἀπο-
δείκνυται εἰς Ἅιδου ἀφικνεῖσθαι, καὶ ποινὰς ἐκεῖσε τῶν οὐ καλῶς βεβιω-
μένων παρέχειν· οὐ γὰρ μόνον τοῦ εἶναι ἡμῶν φροντίζει ἡ πρόνοια, ἀλλὰ
30 καὶ τοῦ εὖ εἶναι. διὸ οὐκ ἀμελεῖται ἡ ψυχὴ εἰς τὸ παρὰ φύσιν ἐξολι-
σθήσασα, ἀλλὰ τυγχάνει τῆς προσηκούσης ἐπιμελείας, καὶ ἐπειδὴ τὸ ἁμαρ- 40
τάνειν αὐτῇ διὰ γλυκυθυμίαν ἐγένετο, ἐξ ἀνάγκης καὶ τὸ καθαρθῆναι δι'
ἀλγύνσεως αὐτῇ γενήσεται· κἀνταῦθα γὰρ τὰ ἐναντία τῶν ἐναντίων
ἰάματα. διὰ τοῦτο ἀλγύνεται ἡ καθαιρομένη ἐν τοῖς ὑπὸ γῆν δικαιωτη-

---

1 εἰ om. D 9 ἐπιδιαμένουσαι DR: ἔτι διαμένουσαι Pal. t 10. 11 πόθεν — δόξα delevi 11 δόξα DR: αὔξησις t post νεκρῶν add. γὰρ t, τε γὰρ Pal. post αὔξονται add. ἀλλὰ μήποτε οὐκ ἀληθὴς ὁ λόγος οὗτος· οὐ γὰρ αὔξεσθαι φασὶ ταῦτα ἀλλὰ τηκομένων καὶ μειουμένων τῶν περὶ αὐτὰς σαρκῶν μᾶλλον ἀπογυμνοῦσθαι καὶ διὰ τοῦτο καὶ μείζω καὶ ηὐξημένα δοκεῖν φαίνεσθαι· ἀλλὰ περὶ μὲν τούτων καὶ ἰδίᾳ θεωρητέον Pal.: del. Strehlke 12 τὸν DR: om. t Pal. 16 ὅπου D^2t: οὔπω D^1R ἐκεῖναι D^2t: ἐκεῖ D^1R εἴποι DRt: ἴδοι Pal. 17 διὰ DRt: om. Pal. γινόμενα D Pal. t: γενόμενα R 18 καὶ (ante σκώληκας) om. D 19 ἡ ex εἰ corr. D 23 post πλεονάζοντος in marg. add. διὰ τὸ πνικὸν σῶμα R 24 πνευματικὸν — ὅτι ἐστὶ (26) om. R 28 ἐκεῖσε DR Pal.: ἐκεῖ t

ρίοις διὰ κολάσεως. ἀλλ' εἰ ἀσώματος ἡ ψυχή, ἀδύνατον αὐτὴν παθεῖν. a 4v
πῶς οὖν κολάζεται; ἀνάγκη οὖν πᾶσα σῶμά τι αὐτῆς ἐξῆφθαι, ὃ διακρι-
νόμενον ἀμέτρως ἢ συγκρινόμενον ὑπὸ ψύξεως ἢ καύσεως ἀμέτρου ἀλγύνει
τὴν ψυχὴν διὰ τὴν συμπάθειαν, ὥσπερ κἀνταῦθα τοῦ σώματος τούτου 45
πάσχοντος ἀλγύνεται ἡ ψυχὴ διὰ τὸν φυσικὸν δεσμὸν καὶ τὴν ἐκ τούτου
συμπάθειαν· ἐπεὶ αὐτὸ καθ' αὑτὸ τὸ ἀσώματον ὑπ' οὐδενὸς ἂν πάθοι.
ποῖον οὖν σῶμά ἐστι τὸ ἐξημμένον αὐτῆς; οὐ δήπου τοῦτο· ἀνελύθη γὰρ
εἰς τὰ ἐξ ὧν συνέστηκεν· ἀλλὰ τοῦτο τὸ πνευματικὸν ὃ λέγομεν. ἐν
τούτῳ οὖν ἐστι πάντως διὰ τοῦτο ὡς ἐν ὑποκειμένῳ θυμὸς καὶ ἐπιθυμία,
καὶ τούτου ἐστὶν ἀχώριστα. τῷ τοῦτο δῆλον; ὅτι ἀνάγκη μετὰ τὴν ἔξοδον
τῆς ψυχῆς ἐκ τοῦ παχέος τούτου σώματος ἔτι εἶναι ἐν αὐτῇ θυμὸν καὶ 50
ἐπιθυμίαν· εἰ γὰρ μὴ ἦσαν, ἀλλ' ἅμα τῇ ἐξόδῳ τοῦ σώματος ἀπήλλακτο
τῶν παθῶν τούτων, καθαρὰ ἂν ἦν πάντως καὶ τῆς γενέσεως ἀπηλλαγμένη·
ἀπηλλαγμένη δὲ τῆς γενέσεως καὶ τῶν παθῶν ἀνῆκτο ἂν καὶ οὐκ ἂν ἐν
τοῖς ὑπὸ γῆν δικαιωτηρίοις ἐγένετο. ὡς γὰρ εἴπομεν, κατιούσης αὐτῆς
εἰς τὴν γένεσιν ἐδόθησαν ταῦτα τὰ πάθη διὰ τὰς εἰρημένας αἰτίας· | ἀδύ- a 5r
νατον δὲ αὐτὴν τῆς γενέσεως ἀπαλλαχθῆναι μὴ ἑαυτὴν καθάρασαν.
ἐπειδὴ γὰρ αὐτοκίνητός ἐστιν καὶ ἑκοῦσα τοῦ ἀγαθοῦ ἐξέπεσεν, δεῖ πάλιν,
ἵνα ἀναχθῇ, αὐτὴν ἑαυτὴν καθᾶραι. τὰ ὑπὸ γῆν δὲ δικαιωτήρια οὐ δύ-
νανται αὐτὴν ἀνάξαι, ἀλλὰ τοσοῦτον μόνον ἐπιστρέφουσιν αὐτὴν πρὸς
ἑαυτήν, ὥστε λοιπὸν καταγνοῦσαν ἑαυτῆς οἰκείᾳ ὁρμῇ καθαρθῆναι καὶ
ἑκοῦσαν ἀποβαλεῖν οἷς ἑκοῦσα συνεδέθη τῇ συμπαθείᾳ. διό φασιν μετὰ 5
τὰ ὑπὸ γῆν δικαιωτήρια πάλιν παραγίνεσθαι αὐτὴν ἐνθάδε ἐπὶ τοσοῦτον,
ἕως ἑαυτὴν καθάρασα ἀναχθῇ τῆς γενέσεως ἀπαλλαγεῖσα· τότε τοίνυν
καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἀποτίθεσθαι μετὰ τούτου τοῦ ὀχήματος,
τοῦ πνεύματος λέγω· εἶναι δέ τι καὶ μετὰ τοῦτο ἄλλο τι ἀιδίως αὐτῆς
ἐξημμένον σῶμα οὐράνιον καὶ διὰ τοῦτο ἀίδιον, ὅ φασιν αὐγοειδὲς ἢ
ἀστροειδές. τῶν γὰρ ἐγκοσμίων οὖσαν ἀνάγκη πάντως ἔχειν τινὰ κλῆρον
ὃν διοικεῖ, μέρος ὄντα τοῦ κόσμου· καὶ εἰ ἀεικίνητός ἐστιν καὶ δεῖ αὐτὴν 10
ἀεὶ ἐνεργεῖν, δεῖ ἔχειν ἀιδίως ἐξημμένον τι σῶμα ὃ ἀεὶ ζωοποιήσει·
διὰ ταῦτα οὖν τὸ αὐγοειδές φασιν αὐτὴν ἀεὶ ἔχειν, ἀίδιον ὄν. διὰ τὰ
εἰρημένα οὖν ἀνάγκη καὶ τὸ πνευματικὸν εἶναι σῶμα καὶ τούτου τὸν θυμὸν
καὶ τὴν ἐπιθυμίαν ἀχώριστα εἶναι.

Δῆλον δὲ ὅτι ὥσπερ αἱ ζωτικαὶ καὶ ὀρεκτικαὶ τῆς ἀλόγου δυνάμεις
ἐν τῷ πνεύματι, οὕτω καὶ αἱ γνωστικαί· εἰ γὰρ αἱ χείρους χωρισταὶ τού-
του τοῦ παχέος σώματος, πολλῷ μᾶλλον αἱ κρείττους· κρείττους δὲ αἱ
γνωστικαί, λέγω δὲ φαντασίαν καὶ αἴσθησιν. ἀλλ' εἰ καὶ ἐν ἐκείνῳ ἔχουσι 15
τὸ εἶναι αἱ ἄλογοι τῆς ψυχῆς δυνάμεις, ἀλλ' οὖν φοιτῶσιν ἴχνη τινὰ ἀπ'

1 ἀδύνατον] δυνατὸν R 9 διὰ] δὴ D 13 ἀπηλλαγμένη iteravi cum Pal.
19. 20 δύναται R 22 φασιν R: φησιν Dt 24 ἑαυτὴν Dt: αὐτὴν R ἀναχθῇ
DR: ἀνενεχθῇ t 25 ἀποτίθεσθαι scripsi: ἀποτίθεται libri 31 ante διὰ ταῦτα add.
καὶ R post φασιν add. σῶμα t ἀεὶ ante φασιν ponit R 36 σώματα D

ἐκείνου καὶ ἐπὶ τὸ παχὺ τοῦτο σῶμα, ὥσπερ καὶ ἀπὸ τοῦ νοῦ ἐλέγομεν a 5r
φοιτᾶν ἐπὶ πάντας τὰς κοινὰς ἐννοίας. ὅτι γὰρ καὶ μέχρι τούτου τοῦ σώ-
ματος ἐλλάμψεις φοιτῶσι τῆς ἀλόγου ζωῆς, δῆλον. ὁ μὲν γὰρ θυμὸς
κινεῖ τὸ περικάρδιον αἷμα καὶ ζέσιν τινὰ αὐτοῦ ποιεῖ, ἡ δὲ ἐπιθυμία τὸ
5 ἧπαρ τοιῶσδε ἢ τοιῶσδε διατίθησιν πρὸς τὰς ἑαυτῆς κινήσεις, αἱ αἰσθή-
σεις τε πᾶσαι τῷ ἐγκεφάλῳ ἐλλάμπουσιν· ἐξ ἐκείνου γὰρ ἐπὶ τὰ αἰσθη-
τήρια διὰ τῶν νεύρων χορηγεῖται ἡ δύναμις ἡ αἰσθητική, καὶ πεπονθότος 20
αὐτοῦ αἱ αἰσθήσεις γίνονται ἀνενέργητοι, ὡς οἱ ἰατροὶ δεικνύουσιν· τοῦ γὰρ
καλουμένου μηνιγγοφύλακος ἐπιτεθέντος τῇ μήνιγγι ἀναίσθητον καὶ ἀκί-
10 νητον τὸ ζῷον γίνεται (ἔστιν δὲ ἡ μῆνιγξ ὑμήν τις σκέπων τὸν ἐγκέ-
φαλον). καὶ τοῦ νωτιαίου μέρους πεπονθότος τὸ μὲν ἀνωτέρω μέρος τοῦ
παθόντος ἀπολαύει αἰσθήσεως, τὰ δὲ κάτω ἀναίσθητα γίνεται διὰ τὸ μὴ
χορηγεῖσθαι ἔτι ἀπὸ τοῦ ἐγκεφάλου τὴν αἰσθητικὴν δύναμιν τοῦ ὀργάνου.
λέγω δὴ τοῦ νεύρου, πεπονθότος· καὶ εἰ δεθείη δὲ νεῦρον, πάλιν ἀναί- 25
15 σθητον μὲν τὸ κάτω μέρος γίνεται, τὸ δ' ἄνω μένει αἰσθητικόν. δῆλον
μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων ὅτι τέ ἐστι τὸ πνευματικὸν σῶμα καὶ
τούτου ἀχώριστα θυμὸς καὶ ἐπιθυμία. δῆλον δὲ ἔτι μᾶλλον καὶ ἐξ αὐτῆς
τῆς τῶν πραγμάτων ἐναργείας. πόθεν ἐν τοῖς τάφοις τὰ σκιοειδῆ φαί-
νονται φάσματα: οὐ γὰρ δή γε ἡ ψυχὴ ἢ ἐσχημάτισται ἢ ὅλως ἐστὶν
20 ὁρατή. ἀλλά φασι τὰς ἀκαθάρτους ψυχὰς μετὰ τὴν ἔξοδον τούτου τοῦ
σώματος πλανᾶσθαι ἐπί τινα χρόνον μετὰ τοῦ πνεύματος καὶ τοῦτο παρα- 30
δεικνύναι περὶ τοὺς τάφους. διὸ φροντιστέον εὐζωίας· ὑπὸ τούτου γάρ
φασιν τοῦ πνεύματος παχυνθέντος ἐκ μοχθηρᾶς διαίτης κατασπᾶσθαι περὶ
τὰ πάθη τὴν ψυχήν. ἔχειν γάρ τι καὶ αὐτό φασι τῆς φυτικῆς ζωῆς·
25 καὶ γὰρ τρέφεσθαι, τρέφεσθαι δὲ οὐχ οὕτως ὡς τοῦτο τὸ σῶμα, ἀλλὰ δι'
ἀτμῶν, οὐ διὰ μορίων ἀλλ' ὅλον δι' ὅλου φέρ' εἰπεῖν, ὡς οἱ σπόγγοι
δέχονται τοὺς ἀτμούς. διὰ τοῦτο φροντίζουσιν οἱ σπουδαῖοι τῆς λεπτο-
τέρας διαίτης καὶ ξηροτέρας, διὰ τὸ μὴ παχύνεσθαι τὸ πνεῦμα, ἀλλὰ
λεπτύνεσθαι. πρὸς τοῦτο καὶ τοὺς καθαρμοὺς φασι παραλαμβάνειν· τοῦτο 35
30 μὲν γὰρ τὸ σῶμα ὕδατι πλύνεται, ἐκεῖνο δὲ καθαρμοῖς τοῖς διὰ τῶν ἀτμῶν·
διὰ γὰρ ἀτμῶν τινῶν μὲν τρέφεται, τινῶν δὲ καθαίρεται. οὐ διωργανῶ-
σθαι δέ φασιν αὐτό, ἀλλ' ὅλον δι' ὅλου ἐνεργεῖν κατὰ τὰς αἰσθήσεις καὶ
τῶν αἰσθητῶν ἀντιλαμβάνεσθαι. διὸ καὶ Ἀριστοτέλης φησὶν ἐν τοῖς
Μετὰ τὰ φυσικὰ ὅτι ἡ κυρίως αἴσθησις μία, καὶ τὸ κυρίως αἰσθητήριον
35 ἕν, αἰσθητήριον λέγων αὐτὸ τὸ πνεῦμα ἐν ᾧ ἡ αἰσθητικὴ δύναμις ὅλη
δι' ὅλου τῶν ποικίλων αἰσθητῶν ἀντιλαμβάνεται. πῶς οὖν φαίνεται διωρ- 40
γανωμένον ἐν τοῖς τάφοις καὶ ποτὲ μὲν ἀνδρείκελον, ποτὲ δὲ καὶ ἄλλου

---

5 ἧπαρ D αἱ D Pal. t: om. R 8 γίνωνται, sed corr. D 9 ἐπιτεθέντος ex ἐπιτιθέντος corr. D post ἐπιτεθέντος add. εἰ ἐπισυμβῇ τι Pal. τῇ μήνιγγι Suid s. v. Μῆνιγξ: τῷ μήνιγγι libri 10 ὁ μῆνιγξ Pal. 13 δύναμιν D 14 δὴ D Pal.: δὲ Rt 19 φάσματα R: φαντάσματα Dt 23 φησὶν D 24 ἔχειν DR: ἔχει t 25 τρέφεσθαι (post γάρ) Dt: τρέφεται R 33. 34 ἐν τοῖς Μετὰ τὰ φυσικά] immo de somn. et vig. 2 p. 455a20

τινὸς τῶν ζῴων μορφὴν ἔχον; λέγουσι πρὸς τοῦτο πρῶτον μὲν ἐκεῖνο a 5r
ὅτι πολλάκις συμβαίνει τὸ ἀνδρείκελον σχῆμα αὐτὸ ἔχειν ἀπὸ μοχθηρᾶς
διαίτης παχυνθὲν καὶ συνδιατυπωθὲν τῷ περιέχοντι σώματι, ὥσπερ ἐπὶ
τοῦ κρυστάλλου συμβαίνει· συνδιατυποῦται γὰρ τοῖς ἐν οἷς πήγνυται
5 ἀγγείοις. πῶς οὖν διάφορα σχήματα φαίνεται ἔχον; ἴσως οὖν, φασίν,
ὅταν ἡ ψυχὴ βούληται δεῖξαι αὐτό, κινοῦσα τὴν φαντασίαν συντυποῖ αὐτό, 15
ἢ καὶ δαιμονίας ἴσως συνεργείας συνεπιλαβομένης φαίνεσθαί τε καὶ πάλιν
ἀφανὲς γίνεσθαι πυκνούμενον καὶ μανούμενον· ἀέριον γὰρ ὂν ὅταν συσταλὲν
πυκνωθῇ, ὁρατὸν γίνεται, καὶ πάλιν ἀφανὲς τῇ ἐκτάσει καὶ μανώσει.
10 πρὸς ταῦτα δὲ πάντα τις ἐρεῖ ἀπορῶν, εἰ ἀνθρώπιναι ὅλως εἰσὶ ψυχαὶ
διὰ τῶν ἰδίων πνευμάτων ἐν τοῖς τάφοις φαινόμεναι καὶ μὴ πλάνοι τινὲς
δαίμονες εἰς πάντα πεφυκότες μεταβάλλεσθαι διὰ τὸ εὔπλαστον τῷ ὄντι
τοῦ ἐξηρτημένου αὐτῶν πνευματικοῦ σώματος, ὁπότε καὶ συνεχῶς τοῦτο
φαίνονται ποιοῦντες. πῶς δ' ἂν καὶ ψυχαὶ ἐπί τινα χρόνον ἐνταῦθα 30
15 πλάζοιντο; πότερον προαιρετῶς ἢ οὔ; εἰ μὲν γὰρ προαιρετῶς, οὐκ ἄν
ποτε μετασταίη· εἰς γὰρ τὰ ὑπὸ γῆν δικαιωτήρια ἡ μετάστασις· εἰ δ'
ἀπροαιρέτως ὑπὸ τῆς προνοίας ἀναγκάζεται μένειν, πῶς ἐπαύξεται αὐτῆς
εἰς τὴν κακίαν ἡ δύναμις καὶ μείζονα δύναται ἤπερ ἐνταῦθα; εἰ δὲ ὡς
ἀποθεμένη τὸ τοῦ παχέος σώματος φορτίον, ἔδει μᾶλλον ὡς βάρους ἀπηλ-
20 λαγμένην καὶ ἐν συναισθήσει καὶ οἷον ἐγγὺς γενομένην τῶν ὑπὸ γῆν δι-
καιωτηρίων μετριωτέραν γενέσθαι· νῦν δὲ ταῦτα ποιεῖ τὰ | κακὰ ἃ μηδὲ a 5v
ἐνταῦθα ποιεῖν ἠδύνατο.

Διαλέγεται δὲ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ περὶ τῶν τοῖς πρὸ αὐτοῦ
δοξάντων περὶ ψυχῆς· ἐκθήσεται γὰρ αὐτῶν τὰς δόξας, καὶ τὰ μὲν καλῶς
25 αὐτοῖς δόξαντα ἀποδέξεται, ἐλέγξει δὲ εἴ τι μὴ καλῶς περὶ ψυχῆς ὑπε-
νόησαν. ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ τὴν οἰκείαν περὶ ψυχῆς δόξαν ἐκθή-
σεται. καὶ διαλέξεται περὶ αὐτῆς πρῶτον μὲν κοινότερον καὶ ὁλοσχερέστερον,
εἶτα ἰδίᾳ περὶ ἑκάστης ψυχικῆς δυνάμεως. καὶ ἐν μὲν τῷ δευτέρῳ μετὰ 5
τὸ διαλεχθῆναι κοινῶς περὶ ψυχῆς διαλέξεται ἰδίᾳ περί τε τῆς φυτικῆς
30 καὶ τῆς ἀλόγου, ἐν δὲ τῷ τρίτῳ βιβλίῳ περὶ τῆς λογικῆς· μέμνηται δὲ
καὶ ἐν τῷ δευτέρῳ τῆς λογικῆς καὶ ἐν τῷ τρίτῳ τῆς ἀλόγου. ὥσπερ δ'
εἴωθεν ἐν πάσαις ταῖς φυσικαῖς πραγματείαις ποιεῖν, πρὸς τοῖς τέλεσιν τῶν
πραγματειῶν ἀνάγειν ἑαυτὸν ἐπὶ τὰς ἐξῃρημένας τῶν φυσικῶν πραγμάτων
αἰτίας, οὕτω καὶ ἐνταῦθα ποιεῖ. καὶ γὰρ ἐν τῇ Φυσικῇ πρὸς τῷ τέλει
35 διαλεγόμενος περὶ κινήσεως καὶ ζητῶν τὸ τῆς κινήσεως αἴτιον ἀνήγαγεν 10
ἑαυτὸν ἐπὶ τὴν πρώτην αἰτίαν καὶ ἀρχὴν τῆς κινήσεως, καί φησιν δεῖν τὸ
πρώτως κινοῦν ἀκίνητον εἶναι· εἰ γὰρ κἀκεῖνο κινοῖτο, οὐκ ἂν οὐδὲ τὰ

3 συνδιατυπωθὲν DR: συναποτυπωθὲν t 4 συνδιατυποῦνται Rt 7 ἢ καὶ Dt: εἰ καὶ R 8 ἀφανὲς DR: ἀναφανὲς t 9 ἐκτάσει scripsi: ἐκστάσει DRt 18 ἡ om. D 26 post δευτέρῳ fort. addendum καὶ τῷ τρίτῳ; cf. vv. 28. 30 28 περὶ ἑκάστης in lit. D 29 διαλεχθῆναι] λεχθῆναι R 33 ἀνάγειν] fort. ἀνάγων 34 ἐν τῇ Φυσικῇ] Θ 6 τῷ τέλει Dt: τῷ om. R 36 ἑαυτὸν Dt: αὐτὸν R

κινούμενα μένοι ἐν τῷ κινεῖσθαι· ὥστε εἰ εἰσὶν τὰ ἀεικίνητα, ἀνάγκη τὸ a 5v
τούτων κινητικὸν εἶναι ἀκίνητον. εἶτα ἐξυμνήσας τοῦτο ὅτι ἐστὶν ἀσώ-
ματον καὶ ἀίδιον καὶ παντοδύναμον, φησὶν 'ἀπὸ τοιαύτης ἄρα ἀρχῆς ἐξήρ-
τηται ὁ οὐρανὸς καὶ ὁ κόσμος'. δεῖ γὰρ τὸν τέλειον φυσιολόγον μετὰ τὸ
5 ἀποδοῦναι τὰς φυσικὰς αἰτίας ἀναβαίνειν καὶ ἐπὶ τὰς ἐξῃρημένας καὶ
μὴ ἐγκαταμένειν ἐν [ταύταις. οὕτως ἐποίησεν καὶ ἐν τῷ Περὶ γενέσεως 15
καὶ φθορᾶς.

p. 402a1 Τῶν καλῶν καὶ τιμίων τὴν εἴδησιν ὑπολαμβάνοντες.

Τὸ προοίμιον ἐγκώμιον ἔχει τῆς περὶ ψυχῆς θεωρίας καὶ προτροπὴν
10 εἰς τὴν ταύτης γνῶσιν, μᾶλλον δὲ προτροπὴν μὲν τῶν σπουδαίων τε καὶ
ἀξίων τῆς τοιαύτης θεωρίας, ἀποτροπὴν δὲ τῶν ἐναντίων τούτοις. δύο γὰρ
θεὶς προοίμια δοκεῖ διὰ μὲν τοῦ ἑνὸς προτρέπειν, ἀποτρέπειν δὲ διὰ τοῦ 20
λοιποῦ. εἰπὼν γὰρ ὅτι ἡ εἴδησις καλή ἐστι καὶ τιμία καὶ ὅτι τιμιωτάτη
καὶ ἀκριβεστάτη ἡ περὶ ψυχῆς θεωρία, δοκεῖ πάντας ἀνθρώπους προτρέ-
15 πειν ἐπὶ ταύτην· πάλιν δὲ εἰπὼν ὅτι πάντῃ δὲ πάντως χαλεπώτατόν ἐστι
λαβεῖν τινα πίστιν περὶ αὐτῆς, ἀποτρέπειν δοκεῖ· ὡς δι' ἀμφοτέρων
τούτων δείκνυσθαι ὅτι μόνους τοὺς σπουδαίους προτρέπει εἰς τοὺς περὶ τῆς
θεωρίας τῆς ψυχῆς λόγους. μετὰ δὲ τὸν ἔπαινον καὶ τὴν προτροπὴν τὴν
αἰτίαν ἐπιφέρει τοῦ χαλεπὴν εἶναι τὴν περὶ ψυχῆς θεωρίαν, εἶτα προβλή- 25
20 ματά τινα ἐκτίθεται ὀφείλοντα ζητηθῆναι εἰς τὸν περὶ ψυχῆς λόγον. ὁ
μὲν οὖν Ἀλέξανδρος, ὥς φησιν ὁ Πλούταρχος, ἔκθεσιν τῶν ἰδίων δογμάτων
ποιήσασθαι βουλόμενος καὶ συγκατασπάσαι ἑαυτῷ καὶ τὴν Ἀριστοτέλους
προσεποιήσατο ὑπομνηματίζειν ταύτην τὴν πραγματείαν. ἐκ προοιμίων οὖν
τὴν ἑαυτοῦ ἐνδιάστροφον γνώμην δεικνὺς αὐτὸ τὸ προοίμιον διαστρόφως
25 ἐξηγήσατο· φησὶ γὰρ ἐλλιπῶς εἰρῆσθαι τῶν γὰρ καλῶν καὶ τιμίων
τὴν εἴδησιν ὑπολαμβάνοντες· 'τί ὑπολαμβάνοντες; φησίν· προσυπα- 30
κουστέον οὖν καλήν τε καὶ τιμίαν εἶναι'. οὕτω μὲν οὖν ὁ Ἀλέξανδρος· οἱ
δὲ Ἀττικοὶ ἐξηγηταὶ αὐτοφυέστερον ἐξηγήσαντο τοῦτο· τὴν γὰρ εἴδησιν,
φασί, τῶν καλῶν καὶ τιμίων εἶναι ὑπολαμβάνομεν. τοῦτο δὲ καὶ σύνηθες
30 τῷ Ἀριστοτέλει τὸ τὴν εἴδησιν ἐγκωμιάζειν· διὸ καὶ ἐν τοῖς Μετὰ τὰ
φυσικὰ οὕτως ἤρξατο "πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει· ση-
μεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις". ἄξιον δὲ ζητῆσαι. πῶς φησι καλὸν
εἶναι καὶ τίμιον τὴν εἴδησιν. ἆρ' οὖν πᾶσα εἴδησις ἀγαθόν, καὶ ἡ τῶν 35
κακῶν αὐτῶν; λέγω ὅτι ναί, καὶ ἡ τῶν κακῶν εἴδησις ἀγαθόν, ἡ ὄντως

---

1 μένοι Dt: μένει R 2 κινητικὸν R: κινητὸν Dt 3 ἀπὸ τοιαύτης κτλ.] haec Metaph. Λ 7 p. 1072b13 leguntur 4 οὐρανὸς] ἄνος R 6. 7 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] B 9—11 7 καὶ φθορᾶς om. R 20 λόγον D 21 ὁ (ante Πλούταρχος) om. R 22 καὶ (post βουλόμενος) t: om. DR 26. 27 προσυπακουστέον οὖν D: οὖν προσυπακουστέον Rt 27 μὲν οὖν Dt: μὲν R 29 φασί Diels: φησί libri 33 ἆρ' οὖν scripsi: ἆρ' οὖν DR: ἄρα οὖν t

εἴδησις· ὡς γὰρ λέγεται ὑπὸ τοῦ Πλάτωνος καὶ καλῶς λέγεται, ἡ μὲν a 5r
γνῶσις τοῦ κακοῦ φυγάδας ἡμᾶς ποιεῖ ἀπ' αὐτοῦ, ἡ δὲ ἀγνωσία τοῦ
ἀγαθοῦ περιπίπτειν ἡμᾶς ποιεῖ τῷ κακῷ. ὥστε καὶ ἀνάπαλιν ἡ μὲν
ἀγνωσία τοῦ κακοῦ περιπίπτειν ἡμᾶς ποιεῖ τῷ κακῷ, ἡ δὲ γνῶσις τοῦ
5 ἀγαθοῦ ἀντέχεσθαι αὐτοῦ παρασκευάζει. ἡ δὲ εἴδησις λέγεται τριχῶς·
ἢ γὰρ ἡ ἐπιστήμη λέγεται εἴδησις, ὥς φησιν ὁ Πλάτων ἐν τῷ Φαίδωνι
'τὸ γὰρ εἰδέναι τοῦτό ἐστι, τὸ λαβόντα του ἐπιστήμην ἔχειν καὶ μὴ ἀπο- 40
βεβλῆσθαι,' καὶ ἐν τῷ Γοργίᾳ· ἢ πάλιν τὴν ὁλοσχερῆ καὶ παχυμερε-
στέραν γνῶσιν, ὥς φησιν αὐτὸς ἐν τοῖς Φυσικοῖς· 'ἐπειδὴ τὸ εἰδέναι καὶ
10 τὸ ἐπίστασθαι περὶ πάσας τὰς ἐπιστήμας'· διὰ μὲν γὰρ τοῦ εἰδέναι τὴν
ὁλοσχερῆ γνῶσιν σημαίνει, διὰ δὲ τοῦ ἐπίστασθαι τὴν ἀκριβῆ· ἢ τὴν
κοινῶς ἐπὶ πάσης γνώσεως λεγομένην, ἣν καὶ ἐνταῦθα καὶ ἐν τοῖς Μετὰ
τὰ φυσικὰ παρέλαβεν.

p. 402a1 Μᾶλλον δὲ ἑτέραν ἑτέρας, ἢ κατὰ ἀκρίβειαν ἢ τῷ 45
15 βελτιόνων τε καὶ θαυμασιωτέρων εἶναι, δι' ἀμφότερα ταῦτα
τὴν τῆς ψυχῆς ἱστορίαν εὐλόγως ἂν ἐν πρώτοις τιθείημεν.

Ἡ ὅλη τοῦ προοιμίου διάνοια ὧδε ἔχει. πᾶσαν μὲν γνῶσιν, φησί,
καλὴν καὶ τιμίαν εἶναι ὑπολαμβάνομεν. εἶναι δὲ ἄλλην ἄλλης τιμιωτέραν
τε καὶ καλλίω δι' αἰτίας δύο, ἢ τῷ τὸ ὑποκείμενον περὶ οὗ ἡ γνῶσις
20 κρεῖττον εἶναι ἢ τῷ τὴν γνῶσιν ἀκριβεστέραν· οἷον ἀστρονομίαν ἰατρικῆς
καλλίω, διότι περὶ τιμιώτερον ἔχει ὑποκείμενον· ἡ μὲν γὰρ περὶ τὰ οὐ- 50
ράνια, ἡ δὲ περὶ τὰ ἀνθρώπινα σώματα. ἀλλὰ καὶ ἀκριβεστέρα κατὰ τὴν
γνῶσιν ἡ ἀστρονομία τῆς ἰατρικῆς· ὥστε κατὰ ἀμφότερα τιμιωτέρα ἰατρι-
κῆς ἡ ἀστρονομία, καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὸ εἶδος τῆς γνώ-
25 σεως. πάλιν γεωμετρία μηχανικῆς τιμιωτέρα κατ' ἄμφω. διότι ἡ μὲν
γεωμετρία περὶ ἄυλον ἔχει ὑποκείμενον (τὰ γὰρ σχήματα αὐτὰ καθ' αὑτὰ
ἀσώματά ἐστι καὶ ἀμεγέθη· εἰ γὰρ εἶχεν ὁ κύκλος μέγεθος, πάντως ἂν
ὡρισμένον ἦν, οἷον πηχυαῖον· εἰ δὲ τοῦτο, δίπηχυς | οὐκ ἂν ἦν κύκλος a 6r
ἢ τρίπηχυς οὐδ' ἄλλος τις παρὰ τὸ πηχυαῖον μέγεθος κύκλος ἂν ἦν· καὶ
30 εἰ ἦν σῶμά τι, ὡρισμένον πάντως ἂν ἦν, οἷον χαλκοῦ· οὐκοῦν σιδήρεος
οὐκ ἂν ἦν κύκλος ἢ ξύλινος οὐδὲ ὅλως ἄλλο τι σῶμα τῶν παρὰ τὸν

---

1 ὑπὸ τοῦ Πλάτωνος] fort. respicit ad Protag. p. 357 D sqq. μὲν DR: μὲν γὰρ t
5 αὐτοῦ scripsi: ἑαυτοῦ libri 6 ἐν τῷ Φαίδωνι] Phaed. p. 75 D 7 του Plato Pal. Suid. s. v. Εἴδησις: τοῦ D: τὴν Rt 7. 8 ἀποβεβλῆσθαι] ἀπολωλεκέναι Plat. 8 ἐν τῷ Γοργίᾳ] cf. Gorg. p. 454 E ἢ πάλιν — γνῶσιν (9) DRt: ἢ ἡ ὁλοσχερεστέρα γνῶσις ἢ ἁπλῶς ἡ κοινοτέρα καὶ τούτων ἑκάτερον περιέχουσα Pal. Suid. 9 ἐν τοῖς Φυσικοῖς] A 1 p. 184a10 15 θαυμασιωτέρων Dt: θαυμασιωτέραν R 16 τιθείημεν ex τίθεμεν corr. D¹ 20 κρεῖττον Rt: κρείττω D ἀστρονομίαν DR: ἀστρονομία t 21 καλλίω DR: καλλίων t περὶ (post διότι) DR: περ t 23 τῆς ἰατρικῆς — ἀστρονομία (24) om. D 25 κατ' ἄμφω τιμιωτέρα coll. R 28 δίπηχυς D: ὁ δίπηχυς Rt 29 ἢ Dt: οὐδὲ R 31 ἢ ξύλινος Rt: ἐξ οὐδενὸς D

χαλκόν· ὥστε ὅλως ἄυλον τὸ ὑποκείμενον τῇ γεωμετρίᾳ), τῇ δὲ μηχανικῇ a 6r
σώματα καὶ μεγέθη. οὐκοῦν τιμιωτέρα γεωμετρία μηχανικῆς. ἀλλὰ καὶ
κατὰ τὴν γνῶσιν· ἡ μὲν γάρ ἐστιν ἄπταιστος· ἀεὶ γὰρ παντὸς τριγώνου 5
αἱ τρεῖς γωνίαι δύο ὀρθαῖς εἰσιν ἴσαι, καὶ οὐ παχυμερῶς ἀλλὰ μετὰ πάσης
5 ἀκριβείας οὐδὲ βραχυτάτῳ διαφέρουσαι, ἀεὶ ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμ-
μετρος· ἡ μέντοι μηχανικὴ οὐκ ἀκριβεῖς ἔχει τοὺς λόγους, ἅτε περὶ σώ-
ματα ἔχουσα καὶ μεγέθη. ὁμοίως ἔχουσιν ἀριθμητική τε καὶ ἁρμονική·
ἡ μὲν γὰρ ἀριθμητική, ἅτε περὶ τοὺς λόγους τῶν ἀριθμῶν ἔχουσα, καὶ τὸ
ὑποκείμενον κρεῖττον ἔχει ὡς ἄυλον, ἐκείνης περὶ σῶμα ἐχούσης τὰς
10 χορδὰς καὶ τὰ μεγέθη τῶν φθόγγων, καὶ ἡ γνῶσις διὰ τοῦτο τῆς ἀριθμη- 10
τικῆς ἀκριβεστέρα. ἐπειδὴ τοίνυν αὕτη τῶν ἐπιστημῶν καλλίστη ἡ περὶ
ἕτερόν τι τούτων προὔχουσα, ἐν δὲ τῇ ψυχῇ ἀμφότερα ταῦτα θεωρεῖται,
δι' ἀμφότερα ἄρα, φησί, καὶ τιμία καὶ καλὴ ἡ περὶ τῆς ψυχῆς θεωρία.
τιμία μὲν οὖν ἡ περὶ ψυχῆς θεωρία, διότι περὶ ὑποκείμενον ἔχει σεμνόν,
15 αὐτὴν τὴν ψυχήν, ὅπερ ἐστὶ τῶν τῇδε κάλλιστον. ἀλλὰ καὶ ὡς ἀκρι-
βεστέρα τιμιωτέρα ἡ περὶ τῆς ψυχῆς θεωρία. πῶς δὲ ἀκριβεστέρα ἡ περὶ
τῆς ψυχῆς θεωρία, μάθοιμεν ἂν οὕτως. ἐν τῇ Ἀποδεικτικῇ ὁ Ἀριστο-
τέλης δύο ἡμῖν κανόνας παραδίδωσι, καθ' ἣν τὸ ἀκριβέστερον δεῖ διακρίνειν· 15
ἐὰν γάρ, φησί, δύο ὦσιν ἐπιστῆμαι, καὶ βούλῃ γνῶναι, ποία ἐστὶν ἀκρι-
20 βεστέρα, διχόθεν νοήσεις. ὅταν γὰρ ἡ ἑτέρα τὰς τῆς ἑτέρας ἀρχὰς ἀπο-
δεικνύῃ, ἡ τὰς ἀρχὰς ἀποδεικνύουσά ἐστιν ἀκριβεστέρα, οἷον φυσιολογία
ἰατρικῆς ἀκριβεστέρα· τὰς γὰρ ἀρχὰς τῆς ἰατρικῆς ἡ φυσιολογία ἀπο-
δείκνυσι. πάλιν γεωμετρία μηχανικῆς ἀκριβεστέρα· τὰς γὰρ αὐτῆς ἀρχὰς
ἡ γεωμετρία ἀποδείκνυσι· καὶ ἀριθμητικὴ ἁρμονικῆς ἀκριβεστέρα· αἱ γὰρ
25 ἀρχαὶ τῆς ἁρμονικῆς δείκνυνται ἐν ἀριθμητικῇ. κοινῶς δὲ πασῶν ἡ
πρώτη φιλοσοφία· τὰς ἀρχὰς γὰρ πασῶν αὕτη δείκνυσι. πάλιν, φησίν, 20
ἀκριβεστέρα ἐστὶν ἡ ἐπιστήμη ἡ περὶ ἄυλον ἔχουσα ὑποκείμενον, ὡς γεω-
μετρία, ἀριθμητική, θεολογία. διό φησιν ἐν τῇ Μετὰ τὰ φυσικὰ ὅτι ἡ
τῶν νοητῶν θεωρία καὶ ῥάστη ἐστὶν καὶ χαλεπή· ῥάστη μὲν διότι περὶ
30 τῶν ἑστώτων ἐστὶ πραγμάτων καὶ ἀεὶ ὡσαύτως ἐχόντων· φανότατα γὰρ
τὰ θεῖα ὡς ἀμετάβλητα καθάπαξ κατ' οὐσίαν, κατὰ δύναμιν, κατ' ἐνέρ-
γειαν. ῥάστη μὲν οὖν διὰ τοῦτο, χαλεπὴ δὲ διὰ τὴν ἡμετέραν ἀσθένειαν·
οὐ γὰρ ἐξισχύομεν ἐνσώματοι καὶ ἐμπαθεῖς ὄντες εἰς τὸ ἐκείνων φῶς 25
ἀτενίσαι, ὅπερ πάσχουσι καὶ νυκτερίδες· τοῦ γὰρ ἡλίου φανοτάτου ὄντος

---

3 ///τὴν D 4 δύο Dt: δυσὶν R ἴσαι εἰσὶν coll. R 4. 5 ἀκριβείας πάσης coll. R 5 διαφέρουσαι D: διαφέρουσιν R: διαφέρουσα t ἀεὶ DR: ἀεὶ γὰρ t 5. 6 ἀσύμμετρος τῇ πλευρᾷ R 7 τε om. R 13 θεωρία ex θεωρεία, ut vid., corr. D¹ 14 τιμία μὲν — θεωρία om. D 15 ante κάλλιστον add. τὸ D 16. 17 περὶ ψυχῆς bis R 17 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post A 13 p. 78ᵇ35 18 καθ' ἣν D: καθ' ὅσον Rt 20 τὰς om. D 23 αὐτῆς R: τοιαύτας Dt 25 δείκνυνται ἐν D²: δείκνυνται D¹ ἀριθμητικῇ in lit. D¹ 26 γὰρ πασῶν in lit. D² 28 ἐν τῇ Μετὰ τὰ φυσικά] α 1 p. 993ᵃ30 30 φανώτατα D 33 ἐνσώματοι D Pal.: ἐν σώματι Rt

διὰ τὴν ἀσθένειαν τῶν ὀμμάτων οὐ δύνανται κατιδεῖν αὐτοῦ τὰς ἀκτῖνας· a 6r
δόξειεν οὖν αὐτοῖς φανότερον εἶναι τὸ ἀστρῷον φῶς σύμμετρον ὂν αὐταῖς.
οὕτως οὖν καὶ ἐφ' ἡμῶν ἔχει καὶ τῶν νοητῶν. ἐπεὶ οὖν ἀκριβεστέρα
ἐπιστήμη ἐστὶν ἡ περὶ ἄυλον ἔχουσα ὑποκείμενον ἢ ἡ τὰς ἀρχὰς ἀπο-
5 δεικνύουσα, ποτέρως ἐστὶν ἡ περὶ ψυχῆς θεωρία ἀκριβεστέρα; δῆλον ὅτι
ὡς ἄυλον ἔχουσα τὸ ὑποκείμενον· οὐ γὰρ τὰς ἄλλων ἀρχὰς ἀποδείκνυσιν.
εἰ δὲ ἄυλος ἡ ψυχὴ πάντῃ, πάντως καὶ ἀθάνατος. ὅθεν ὁ Ἀλέξανδρος 30
καὶ νοθεύει τὸ χωρίον τοῦτο· ἔξωθεν γάρ φησι κατὰ προσθήκην αὐτὴν
ἐγκεῖσθαι τὸ 'μᾶλλον δὲ ἑτέρα ἑτέρας ἢ κατὰ ἀκρίβειαν ἢ τῷ βελτιόνων
10 τε καὶ θαυμασιωτέρων εἶναι,' ἵνα μὴ ἀναγκασθῇ τὸ χωρίον ἐξηγούμενος
ἀκριβεστέραν εἰπεῖν τὴν περὶ ψυχῆς θεωρίαν ὡς περὶ ἄυλον ὑποκείμενον
ἔχουσαν αὐτὴν τὴν ψυχὴν κατὰ τοὺς Ἀριστοτελικοὺς κανόνας· δεδωκὼς
δ' ἄυλον εἶναι τὴν ψυχὴν ἐξ ἀνάγκης καὶ ἀθάνατον εἶναι δώσει. βελ-
τιόνων δὲ καὶ θαυμασιωτέρων. τὸ μέν ἐστι τῆς τοῦ πράγματος
15 φύσεως τὸ βελτιόνων, τὸ δὲ τῆς ἡμετέρας κρίσεως τὸ θαυμασιωτέρων. 35

Δι' ἀμφότερα ταῦτα τὴν τῆς ψυχῆς ἱστορίαν εὐλόγως ἂν ἐν
πρώτοις τιθείημεν. δι' ἀμφότερα ὁ μὲν Ἀλέξανδρός φησι διὰ τὸ
καλὴν καὶ τιμίαν εἶναι, ἅτε δὴ νοθεύων τὸ προσεχὲς χωρίον. λέγει δὲ
δι' ἀμφότερα διά τε τὸ ἀκριβὲς τῆς θεωρίας καὶ τὸ σεμνὸν τοῦ ὑποκει-
20 μένου. ἱστορίαν δὲ ἀντὶ τοῦ τὴν γνῶσιν· ἐπιίστορας γάρ φαμεν τοὺς
ἐπιστήμονας. ἐν πρώτοις τιθείημεν. οὐκ εἶπεν ἐν πρωτίστοις, ἀλλ'
ἐν πρώτοις· πρωτίστη γάρ ἐστιν ἡ τῶν νοητῶν θεωρία τῶν πάντῃ ἀμετα- 40
βλήτων κατ' οὐσίαν, κατὰ δύναμιν, κατὰ ἐνέργειαν· δευτέρα δὲ ἡ περὶ
ψυχῆς, διότι εἰ καὶ τὴν οὐσίαν ἀμετάβλητον ἔχει, ἀλλ' οὐ τὴν ἐνέργειαν.
25 διὸ ἀθανάτοις ὁμώνυμον εἶπεν αὐτὴν ὁ Πλάτων, διότι κυρίως ἐστὶν ἀθά-
νατον τὸ κατὰ πάντα ἀμετάβλητον· αὕτη δὲ ὅτι μεταβάλλει κατὰ τὴν ἐνέρ-
γειαν, διὰ τοῦτο ἀθανάτοις ὁμώνυμον. οὕτως ἂν εἴποις καὶ τὰ οὐράνια
ἀθανάτοις ὁμώνυμα· μεταβάλλει γὰρ καὶ αὐτὰ εἰ μὴ κατ' οὐσίαν, ἀλλὰ
κατὰ τόπον. ἐν πρώτοις οὖν τῶν μετ' αὐτὴν δηλονότι· τὴν γὰρ
30 πρώτην μετὰ τὰ νοητὰ τάξιν ἔχει. 45

p. 402ᵃ4 Δοκεῖ δὲ καὶ πρὸς ἀλήθειαν ἅπασαν ἡ γνῶσις αὐτῆς μεγάλα συμβάλλεσθαι.

Καὶ αὐτὴ μέν, φησί, καθ' αὑτὴν ἡ τῆς ψυχῆς γνῶσις θαυμαστή τίς
ἐστι καὶ τιμία· ἔπειτα, φησί, καὶ τῷ πρὸς πᾶσαν ἀλήθειαν συμβάλλεσθαι,
35 τουτέστι πρὸς πᾶσαν φιλοσοφίαν· ταὐτὸν γὰρ ἀλήθειαν εἰπεῖν καὶ φιλοσο-

---

1 ὀμμάτων D 2 φανώτερον (sic) ex φανειότερον corr. D¹ 7 εἰ] ἡ, sed corr. D¹
8 αὐτὴν] fort. αὐτὸ 8. 9 ἐγκεῖσθαι αὐτὴν R 9 ἢ τῷ R: ἢ τῶν Dt 11 ὡς περὶ DR:
ὥσπερ t 13 δώσει] δῶ D 15 θαυμασιωτέρων scripsi: θαυμασιώτερον Rt: θαῦμα D
16. 17 et 21 ἐν τοῖς πρώτοις t 17 δι' ἀμφότερα — τιθείημεν (21) om. D 25 εἶπεν
αὐτὴν DR: αὐτὴν εἶπεν t ὁ Πλάτων] Tim. p. 41 C 26 δὲ ὅτι Diels: διότι libri
31 ἅπασαν Dt: ἅπασα R 33 αὐτὴ scripsi: αὕτη DRt 34 τῷ scripsi: τὸ DRt

φίαν, ἐπεὶ καὶ ἡ ὄντως σοφία ἀλήθειά ἐστιν· οὐδὲν γὰρ ἐν αὐτῇ ψεῦδος. a 6r
ὥστε εἰ πρὸς πᾶσαν φιλοσοφίαν συμβάλλεται, δῆλον ὅτι καὶ πρὸς τὴν 50
ἠθικὴν καὶ θεολογικὴν καὶ φυσικήν. πρὸς μὲν οὖν τὴν ἠθικὴν συμβάλλεται, ὅτι ἀδύνατον ἡμᾶς τὰ ἑαυτῶν κατακοσμῆσαι ἤθη μὴ τὰς δυνάμεις
5 τῆς ψυχῆς ἐπεσκεμμένους. διαλέξεται οὖν καὶ περὶ ψυχῆς ὁ ἠθικός, ὡς καὶ αὐτὸς ἐν τοῖς Ἠθικοῖς φησιν, εἴ γε ἀρετὴ μὲν κόσμος ἐστὶ ψυχῆς, ὁ δὲ κόσμος εὐταξία ἐστὶν τῶν δυνάμεων τῆς ψυχῆς, ταύτας δὲ τάξαι οὐ δύναται μὴ ἐπεσκεμμένος αὐτῶν τὴν φύσιν. συμβάλλεται δὲ καὶ πρὸς θεολογίαν, ὅτι ζητοῦμεν περὶ τοῦ νοῦ τοῦ χωριστοῦ τοῦ ἐν ἡμῖν ὅτι | καὶ a 6v
10 αὐτὸς ἀθάνατος· ἐπειδὴ δὲ ὁ νοῦς νοητῶν ἐστι νοῦς, τῶν δὲ πρός τι ὁ τὸ ἕτερον εἰδὼς καὶ τὸ λοιπὸν εἴσεται, δῆλον ὅτι ἡ θεωρία τοῦ ἡμετέρου νοῦ μεγάλα καὶ εἰς θεολογίαν συμβάλλεται. ὅθεν καὶ αὐτὸς ἔλεγεν ἐν τῇ Περὶ ζῴων μορίων πραγματείᾳ ὅτι οὐ περὶ πάσης ψυχῆς τῷ φυσικῷ διαλεκτέον· εἰ γὰρ περὶ πάσης, καὶ τοῦ νοῦ, εἰ δὲ τούτου, καὶ τῶν νοητῶν·
15 ὁ γὰρ νοῦς νοητῶν ἐστι νοῦς· τοῦτο δὲ θεολογίας ἐστὶν καὶ τῆς πρώτης φιλοσοφίας. συμβάλλεται δὲ ἡμῖν καὶ πρὸς τὴν φυσικήν, εἴ γε φυσικοῦ 5
μέν ἐστιν ἔργον τὸ περὶ σωμάτων διαλεχθῆναι καὶ τῶν εἰδῶν αὐτῶν καὶ δυνάμεων, τῶν δὲ ἐν τοῖς σώμασιν εἰδῶν τὸ κάλλιστόν ἐστιν ἡ ψυχή.

p, 402a6 Μάλιστα δὲ πρὸς τὴν φύσιν.

20 Τὸ μάλιστα δὲ πρὸς τὴν φύσιν προσέθηκεν, ὅτι τὸ συμβαλλόμενον ἕτερόν ἐστι τοῦ ᾧ συμβάλλεται. ἐν μὲν οὖν τῇ ἠθικῇ πραγματείᾳ καὶ τῇ θεολογίᾳ οὐ συμβάλλεται, ἀλλ' αὐτόθεν τοῦ προκειμένου ἐστὶ θεωρία ἡ περὶ ψυχῆς θεωρία· θεολογοῦσα γὰρ ἐπιστρέφει πρὸς τὰ νοερὰ καὶ 10
θεῖα καὶ ζητεῖ τὰς ἐκεῖ τάξεις, πρὸς τὰ νοητὰ δὲ ἐπιστρεφομένη καὶ πρὸς
25 ἑαυτὴν ἐπιστρέφεται καὶ διαλέξεται περὶ τῆς ἑαυτῆς οὐσίας καὶ τάξεως· ἔσχατον γὰρ τῶν νοητῶν τε καὶ θείων ἡ ψυχή· πάλιν περὶ ἠθῶν ποιουμένη τοὺς λόγους καὶ τὰς τάξεις τῶν ἀρετῶν θεωροῦσα διαλέξεται περὶ τῶν ἑαυτῆς δυνάμεων, ὧν εἰσιν αἱ ἀρεταί. ἐν δὲ τῇ φυσικῇ πραγματείᾳ συμβάλλεται· ἄλλη γὰρ ἡ φύσις καὶ ἄλλη ἡ ψυχή. πῶς οὖν συμβάλλε-
30 ται ἐπήγαγεν.

p. 402a6 Ἔστιν γὰρ οἷον ἀρχὴ τῶν ζῴων. 15

Ἀρχὴ καὶ ὡς ποιητικὴ καὶ ὡς εἰδικὴ καὶ ὡς τελική· αὗται γάρ εἰσιν αἱ κυρίως ἀρχαί. ὡς μὲν οὖν ποιητικὴ ἀρχή, ὅτι αὕτη κινεῖ τὸ

---

5 οὖν DR: δὲ t 6 ἐν τοῖς Ἠθικοῖς] Ethic. Nicom. A 13 p. 1102a18 εἴ γε scripsi: εἰ γὰρ libri 9 τοῦ χωριστοῦ DR Pal.: τοῦ om. t 10 ἐπειδὴ δὲ D Pal.: δὲ om. Rt 12. 13 ἐν τῇ Περὶ ζῴων μορίων] A 1 p. 641a33 sqq. 14 τούτου D: τοῦτο Rt 16 εἴ γε D Pal. t: εἰ γὰρ R φυσικοῦ DRt Suid. v. Φιλοσοφία: φυσικῆς Pal. 19 ante πρὸς add. καὶ R, cf. Arist. cod. V 20 μάλιστα D παρέθηκεν D 25 ἑαυτῆς Rt: αὐτῆς D 31 ζῴων] ζῶ////// D 33 αὕτη D: αὐτὴ Rt

ζῷον μόνῃ τῇ βουλήσει καὶ οὐ δεῖται μοχλείας τινός· ὡς εἰδικὴ δέ, ὅτι a 6ᵛ
αὕτη ἐστὶν ἡ εἰδοποιοῦσα τὸ ζῷον καὶ ἁπλῶς τὰ ἔμψυχα. λέγεται γὰρ
τὰ ἔμψυχα εἴδη αὐτὸ τοῦτο εἶναι κατὰ τὴν ψυχήν· τὸ γὰρ κρεῖττον ἐν
ἑκάστῳ τῶν φυσικῶν, ὡς αὐτός φησιν ὁ Ἀριστοτέλης, εἶδός ἐστιν ἑκάστου,
5 κρείττων δὲ ἐν τοῖς ἐμψύχοις ἡ ψυχή. τελικὸν δέ, ὅτι αὐτῆς ἕνεκα τὸ 20
σῶμα· ἔστι γὰρ τὸ μὲν σῶμα ἕνεκά του, αὕτη δὲ οὗ ἕνεκα. ὅθεν καὶ ἡ
διοργάνωσις τῶν ζῴων ἄλλη καὶ ἄλλη πρὸς τὴν ἰδιότητα τῆς ἐν ἑκάστῳ
ψυχῆς, ἄλλως ἀνθρώπων, ἄλλως πτηνῶν, ἄλλως χερσαίων, ἐνύδρων, καὶ
ἐν ἑκάστῳ τούτων πολὺ τὸ βάθος, ἑκάστου πρὸς τὴν ἐπικρατοῦσαν τῆς
10 ψυχῆς δύναμιν διωργανωμένου· ἄλλως τὰ κατὰ θυμὸν χαρακτηριζόμενα,
ἄλλως τὰ κατὰ ἐπιθυμίαν, περὶ ὧν οὐ τοῦ παρόντος λέγειν. προσέθηκε δὲ
τὸ οἷον, ὅτι ἡ προσεχὴς ἀρχὴ τῶν ζῴων ἡ φύσις ἐστίν, οὐχ ἡ ψυχή. 25

p. 402ᵃ7 Ἐπιζητοῦμεν δὲ θεωρῆσαι καὶ γνῶναι τήν τε φύσιν αὐτῆς καὶ τὴν οὐσίαν.

15 Τὸ μὲν θεωρῆσαι τὸ ὁλοσχερέστερον ἐπιβάλλειν τοῖς περὶ αὐτῆς λόγοις σημαίνοι ἄν, τὸ δὲ γνῶναι τὸ καὶ ἀκριβῶς ἐρευνῆσαι. λεγόμεθα γὰρ θεωρῆσαι τόδε τι, ὅταν ἁπλῶς προσβάλωμεν αὐτῷ, γνῶναι δὲ αὐτό, ὅταν καὶ τὰ ὑπάρχοντα αὐτῷ καταμάθωμεν. φύσιν δὲ καὶ οὐσίαν ἤτοι ἐκ παραλλήλου τὸ αὐτὸ ἀκουστέον, ἵνα ᾖ τοῦ προτέρου τὸ δεύτερον ἐξηγητι- 30
20 κόν, 'φύσιν λέγω ἀντὶ τοῦ τὴν οὐσίαν', ἢ φύσιν μὲν αὐτὸ τὸ γένος αὐτῆς, οὐσίαν δὲ τὸν ὁρισμόν· οἷον ὑπὸ ποῖον γένος ἀνάγεται, πότερον τὴν οὐσίαν ἢ τὸ ποσὸν ἢ τὸ ποιόν; εἴποιεν δ' ἂν αὐτὴν ὑπὸ μὲν τὸ ποιὸν ἀνάγεσθαι οἱ κρᾶσιν λέγοντες, ὑπὸ δὲ τὸ ποσὸν οἱ λόγον. εἶτα ἐγνωκότες τὸ γένος μαθεῖν καὶ τὰς συστατικὰς αὐτῆς διαφορὰς καὶ οὕτως ἀποδοῦναι
25 τὸν ὁρισμόν· ὁ γὰρ ὁρισμὸς τὰς οὐσίας τῶν πραγμάτων σημαίνει.

p. 402ᵃ8 Ἔπειτα ὅσα συμβέβηκε περὶ αὐτήν. 35

Οὐ λέγει ὅτι δεῖ ζητῆσαι τὰ κατὰ συμβεβηκὸς αὐτῇ ὑπάρχοντα, ὡς τῷ σώματι τὸ λευκόν, ἀλλὰ τὰ κατ' οὐσίαν ἑπόμενα. οὕτως οὖν ἀκουσόμεθα τοῦ συμβέβηκεν, ὥσπερ καὶ ἐν τῷ ὁρισμῷ τοῦ συλλογισμοῦ τὸ
30 συμπέρασμα. "συλλογισμὸς γάρ ἐστι", φησί, "λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει". ὥσπερ οὖν ἐνταῦθα οὐ λέγει κατὰ συμβεβηκὸς ταῖς προτάσεσιν ὑπάρχειν τὸ συμπέρασμα. ἀλλὰ ση- 40
μαίνει ἡ λέξις τὸ καθ' αὑτὸ ἐξ ἀνάγκης ἑπόμενον, οὕτως καὶ ἐν τῷ παρόντι ἐκληπτέον.

---

1 μοχλίας t ὡς εἰδικὴ Suid. s. v. Ἀρχή: ὡς om. DRt 2 αὕτη DR: αὐτὴ t
5 κρείττων δὲ Dt: κρεῖττον δὲ R Suid. 15 ἐπιβάλλειν Dt: ἐπιβαλεῖν R
17 προσβάλωμεν D: προσβάλλωμεν Rt δὲ om. D¹, sed suppl. D² 20 ἢ φύσιν Dt: ἢ φησὶ R 24 post γένος fort. addendum ζητοῦμεν 26 ἔπειτα DR: εἶθ' t et Arist. 27 λέγει Ξ D 30 φησί] Anal. pr. A 1 p. 24ᵇ18

p. 402a9 Ὧν τὰ μὲν ἴδια πάθη τῆς ψυχῆς εἶναι δοκεῖ, τὰ δὲ a 6v
κοινὰ καὶ τοῖς ζῴοις δι' ἐκείνην ὑπάρχειν.

Τῶν ἐξ ἀνάγκης ἀκολουθούντων τῇ ψυχῇ τὰ μὲν μόνῃ αὐτῇ ἀκολουθεῖ, τὰ δὲ τῷ ὅλῳ ζῴῳ, λέγω δὴ τῷ ἐκ ψυχῆς καὶ σώματος, καὶ τὰ μὲν τῆς ψυχῆς πάθη ἡ νόησις (τοῦτο γὰρ αὐτῆς καθ' αὑτὴν τῆς λογικῆς ψυχῆς ἴδιον). τὰ δὲ ἄλλα πάθη τὸ αἰσθάνεσθαι, φαντασιοῦσθαι, θυμοῦσθαι, ἐπιθυμεῖν καὶ εἴ τι τοιοῦτόν ἐστι, ταῦτα κοινά εἰσι τοῦ συναμφοτέρου. 45 πᾶσαν γὰρ ψυχὴν ὡς μίαν τινὰ λαμβάνει καί φησι ταύτης τὰ μὲν ἴδια εἶναι πάθη, οὐ πάσης ἁπλῶς, ἀλλὰ τῆς ὁλοσχερῶς λεγομένης, ἅ τινα δῆλον ὅτι τῆς λογικῆς ἐστιν· ἐν γὰρ τῇ ἁπλῶς ψυχῇ ἐστι καὶ ἡ λογική. τῶν γὰρ ἄλλων ψυχῶν οὐδέν ἐστιν ἴδιον πάθος, ἐπεὶ μηδὲ ἡ οὐσία αὐτῶν χωριστή. τὸ δὲ τοῦ πάθους ὄνομα λέγεται διχῶς· λέγεται γὰρ πάθος ἢ τὸ εἰς φθορὰν ἄγον ἢ τὸ εἰς τελείωσιν. λέγεται γὰρ πάσχειν τὸ ξύλον ὑπὸ τοῦ πυρός, ἀλλ' ὡς εἰς φθορὰν ἀγόμενον, λέγομεν δὲ πάσχειν καὶ τὰς αἰσθήσεις ὑπὸ τῶν αἰσθητῶν· δῆλον γὰρ ὅτι τελειοῦσθαι καὶ ἐκ δυνάμεως 50 εἰς ἐνέργειαν ἀνάγεσθαι. οὕτως οὖν ὁ Πλάτων ἐν τῷ Σοφιστῇ περὶ τοῦ ὅλου φησὶν ὅτι τὸ ὅλον οὐκ ἔστιν ἕν, ἀλλὰ πέπονθε τὸ ἕν, δηλονότι πάθος λέγων τὸ τελειωτικόν· τὸ γὰρ ὅλον οὐκ ἔστιν ὅπερ τὸ ἕν, ἐπειδὴ τὸ ὅλον τῶν μερῶν ἐστιν ὅλον, τὰ δὲ μέρη πολλὰ καὶ οὐχ ἕν· ὥστε οὐχ ἓν τὸ ὅλον, εἴ γε ἐν πολλοῖς ἔχει τὸ εἶναι, ἀλλὰ πεπονθὸς ἔχει τὸ ἕν· πέπονθε δὲ τὸ ἓν τὴν οἰκείαν τελειότητα ἀπολαβόν. ἐκ τοῦ χωρίου δὲ τούτου ἐλέγ|χομεν τὸν Ἀνδρόνικον τὸν Ῥόδιον νοθεύσαντα τὸ Περὶ ἑρμηνείας· a 7r εἰπόντος γὰρ ἐκεῖ τοῦ Ἀριστοτέλους ὅτι τὰ νοήματα παθήματά ἐστι τῆς ψυχῆς, ὥσπερ εἴρηται ἐν τῷ Περὶ ψυχῆς, φησὶν ὁ Ἀνδρόνικος ὅτι τοῦτο οὐδαμοῦ εἴρηται ἐν τῷ Περὶ ψυχῆς, ὥστε ἀνάγκη ἢ τὴν Περὶ ψυχῆς νοθεῦσαι ἢ τὸ Περὶ ἑρμηνείας· ἀλλὰ μὴν ἡ Περὶ ψυχῆς ὡμολόγηται τοῦ Ἀριστοτέλους εἶναι· νόθον ἄρα τὸ Περὶ ἑρμηνείας. λέγομεν οὖν ὅτι ἐνταῦθα ἴδια πάθη τῆς ψυχῆς οὐδὲν ἄλλο ἢ τὰ νοήματα εἶπεν, ὥστε τοῦτο 5 ἦν ὃ ἐν τῷ Περὶ ἑρμηνείας ἔλεγεν.

30 p. 402a10 Πάντῃ δὲ πάντως χαλεπώτατόν ἐστι λαβεῖν τινα πίστιν περὶ αὐτῆς.

Εἴπομεν ὅτι ἐν τῷ προοιμίῳ ἐγκωμιάζει τὴν περὶ ψυχῆς θεωρίαν καὶ

---

2 κοινὰ καὶ τοῖς ζῴοις δι' ἐκείνην DRt Arist. cod. U: δι' ἐκείνην καὶ τοῖς ζῴοις Arist. vulg. ὑπάρχειν t: ὑπάρχει DR 4 τῷ ἐκ Dt: τὰ ἐκ R post ἐκ add. ζωῆς D 5 πάθη] exspectas ἴδια πάθη αὑτὴν scripsi: αὐτῆς libri 7 τοιοῦτον Diels: τούτων DRt 8 ὡς Dt: καὶ R 11 τῶν γὰρ Dt: τῶν μὲν γὰρ R ἡ om. R 16 ἀνάγεται t ἐν τῷ Σοφιστῇ] p. 244 D sqq. 23 εἰπόντος γὰρ ἐκεῖ κτλ.] De interpr. 1 p. 16a3 sqq. 24 περὶ τῆς ψυχῆς D 25 τὴν περὶ ψυχῆς Dt: περὶ τὴν ψυχὴν R 27 ante νόθον add. οὐ t 28 ψυχῆς≡ D 30 Πάντῃ] πάντως R δὲ πάντως DR et de an. cod. E: δὲ καὶ πάντως t et Arist. vulg. χαλεπώτατόν ἐστι DR: ἐστὶ χαλεπώτατον Arist. cod. W: ἐστὶ τῶν χαλεπωτάτων t et Arist. vulg. 32 εἴπωμεν D, sed corr. D¹

προτρέπεται τοὺς σπουδαιοτέρους ἐπὶ ταύτην, τοὺς δὲ ῥᾳθυμοτέρους ἀπο- a 7r
τρέπει. ἐντεῦθεν οὖν, ἵνα τοῦτο ποιήσῃ, βούλεται δεῖξαι ὅτι χαλεπή ἐστιν
ἡ περὶ ψυχῆς θεωρία. πῶς δὲ χαλεπή, εἶπεν ἀνωτέρω. ὅτι ἐπιζητοῦμεν
θεωρῆσαι τὴν φύσιν καὶ τὴν οὐσίαν αὐτῆς. τουτέστιν βουλόμεθα εὑρεῖν τίς 10
5 ἐστιν ὁ τῆς ψυχῆς ὁρισμός. αὕτη οὖν, φησίν, ἡ ζήτησις ἡ περὶ τοῦ
ὁρισμοῦ χαλεπωτάτη ἐστὶ καὶ κοινῶς ἐπὶ πάντων τῶν ὄντων καὶ ἰδίᾳ ἐπὶ
ψυχῆς· δεῖ γάρ, φησί, ζητῆσαι κοινῶς ἐπὶ τῶν ὁρισμῶν πρῶτον μέν, ἄρα
μία τίς ἐστιν μέθοδος, καθ' ἣν πάντων τῶν ὄντων δυνατὸν τοὺς ὁρισμοὺς
ἀποδοῦναι, ἢ πολλαί. καὶ εἰ μία ἡ μέθοδος, τίς ποτέ ἐστιν αὕτη ἡ μέ- 15
10 θοδος· εἰ δὲ πολλαί, πάλιν ζητητέον, πόσαι καὶ τίνες εἰσὶ τὸν ἀριθμὸν καὶ
ποῖαι. καὶ ὅταν εὕρωμεν ὅτι τοσαίδε τινές, οἷον δύο, ⟨καὶ⟩ ποῖαι αὗται,
ὑπογραφὴ καὶ ὁρισμός, ἑτέρα πρὸς τούτοις τρίτη πάλιν δὴ ἡμᾶς διαδέχεται 15
ζήτησις, ποίαις τῶν μεθόδων ἐπὶ ποίων πραγμάτων χρηστέον. ἀλλὰ καὶ
τοῦτο ὅταν εὕρωμεν, πάλιν δεῖ ζητεῖν, ἐπειδὴ ὁ ὁρισμὸς ἐκ γενῶν ἐστι καὶ
15 διαφορῶν, τί τοῦ προκειμένου πράγματος τὸ γένος καὶ τίνες αἱ διαφοραί,
αἷς διαιρεῖται τὸ γένος, ἵνα γνῶμεν ποῖαί εἰσιν αἱ τοῦ προκειμένου πρά-
γματος συστατικαὶ διαφοραί, ἵνα συμπλέξαντες αὐτὰς τῷ γένει, ἀποδῶμεν
αὐτοῦ τὸν ὁρισμόν. κοινῶς μὲν οὖν διὰ ταῦτα χαλεπὸν τὸ λαβεῖν τὸν τῆς
ψυχῆς ὁρισμόν. ἐπειδὴ καὶ παντὶ ὁρισμῷ ταῦτα παρακολουθεῖ· ἰδίᾳ δὲ 20
20 συμβέβηκεν ἐπὶ ψυχῆς ἔτι ἀπορώτερον εἶναι τὸν περὶ αὐτῆς λόγον, ὡς
ἑξῆς αὐτὸς ἐκτίθεται.

p. 402a11 Καὶ γὰρ ὄντος κοινοῦ τοῦ ζητήματος πολλοῖς ἑτέροις.

Ἐπὶ πολλῶν, φησί, πραγμάτων κοινή ἐστιν ἡ περὶ τοῦ ὁρισμοῦ ζήτησις. πολλοῖς δὲ εἶπεν, ἐπειδὴ μὴ δυνατὸν πάντων ὁρισμοὺς ἀποδοῦναι (οὔτε
25 γὰρ τῶν γενικωτάτων οὔτε τῶν ἀτόμων), ἀλλὰ διὰ ὑπογραφῆς ταῦτα σημαί- 25
νομεν, τὰ μὲν καθολικώτατα διὰ τῶν καθ' αὑτὸ ἰδίων, τὰ δὲ ἄτομα διὰ
τῶν ἰδίᾳ συμβεβηκότων.

p. 402a12 Λέγω δὴ τοῦ περὶ τὴν οὐσίαν, καὶ τοῦ τί ἐστι.

Ἐπειδὴ τὸ τῆς οὐσίας ὄνομα πολλὰ σημαίνει (καὶ γὰρ τὸ γένος καὶ
30 τὴν ὕλην καὶ τὸν ὁρισμόν, ἔστι δὲ ὅτε καὶ πᾶσαν ὕπαρξιν) διὰ τοῦτο εἰπὼν
τοῦ περὶ τὴν οὐσίαν ἐπεξηγήσατο προσθεὶς καὶ τοῦ τί ἐστιν, ἵνα
σημάνῃ τὸν ὁρισμόν.

---

2 ἐντεῦθεν R: ἐνταῦθ' Dt 7 ἄρα libri 9 πολλαί Dt: πολλὴ R τίς ποτε Dt: τί ποτε R αὕτη Dt: αὐτὴ R 11 ὅταν Dt: ὅτι R ὅτι Dt: om. R καὶ addidi 12 ἑτέρα πρὸς τούτοις τρίτη Dt: πρὸς τούτοις ἑτέρα R δὴ D: om. Rt 16 post διαιρεῖται add. εἰς R 22 πολλοῖς DR et de an. cod. E: καὶ πολλοῖς t et Arist. vulg. 28 δὴ DR de an. cod. V: δὲ t et Arist. vulg. τοῦτό ἐστι t 30 ἔστι δὲ DR: ἔστιν t 32 σημάνῃ corr. D¹: σημαίνῃ Rt

p. 402a13 Τάχα ἄν τῳ δόξειε μία τις εἶναι ἡ μέθοδος κατὰ a7r
πάντων περὶ ὧν βουλόμεθα γνῶναι τὴν οὐσίαν, ὥσπερ καὶ τῶν 31
κατὰ συμβεβηκὸς ἰδίων ἀπόδειξιν.

Ἄλλο ἐστὶ συμβεβηκὸς καὶ ἄλλο κατὰ συμβεβηκός. συμβεβηκὸς μέν
5 ἐστι τὸ ἀντιδιαιρούμενον πρὸς τὴν οὐσίαν, ὃ καθ' ἑαυτὸ οὐχ ὑφέστηκεν,
οὐδὲ κατὰ οὐσίαν ὑπάρχει τοῖς πράγμασιν, ἀλλ' ἔξωθεν αὐτοῖς ἐπισυμ-
βαίνει ὡς τὸ μέλαν ἢ τὸ λευκὸν τοῖς σώμασι· κατὰ συμβεβηκὸς δὲ τὸ ἐξ
ἀνάγκης ταῖς οὐσίαις παρακολουθοῦν, ὡς λέγομεν συμβαίνειν ταῖς προτά- 35
σεσι τὸ συμπέρασμα, οὐχ ὅτι συμβέβηκε ταῖς προτάσεσι τὸ συμπέρασμα,
10 ἀλλ' ὅτι ἐξ ἀνάγκης αὐταῖς ἀκολουθεῖ. φέρομεν δὲ τὸ τοῦ συμβεβηκότος
ἐπὶ τῶν τοιούτων ὄνομα, διότι ἄλλοις τισὶν ἐπισυμβαίνει, εἰ καὶ ἐξ ἀνάγκης
καὶ τῷ ταῦτα εἶναι. τὸ δὲ κυρίως συμβεβηκὸς οὐ τῷ ταῦτα εἶναι ἀκολου-
θεῖ· δύναται γοῦν καὶ κόραξ ἐπινοηθῆναι λευκός. λέγοι οὖν ἂν ἐνταῦθα
κατὰ συμβεβηκὸς ἴδια τὰ πρώτως καὶ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασιν,
15 ἃ καὶ συναναιρεῖ καὶ συναναιρεῖται, οἷον τῷ ἀνθρώπῳ τὸ ἐπιστήμης δεκτι- 40
κόν, καὶ τῷ τριγώνῳ παντὶ τὸ τὰς τρεῖς γωνίας δύο ὀρθαῖς ἴσας ἔχειν ἢ
τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζονας. ταῦτα δὲ πρώτως καὶ καθ' ἑαυτὸ
λέγεται τοῖς πράγμασιν ὑπάρχειν, πρώτως μέν, διότι ἀμέσως αὐτοῖς μόνοις
ὑπάρχει καὶ ἄλλῳ οὐδενί, καθ' αὑτὸ δέ, διότι κατ' οὐσίαν. ὅθεν καὶ ἀντι-
20 στρέφει· εἰ γὰρ ἄνθρωπος, καὶ ἐπιστήμης δεκτικόν. καὶ ἔμπαλιν. καὶ εἰ
τρίγωνον, ἐξ ἀνάγκης καὶ αἱ τρεῖς γωνίαι δύο ὀρθαῖς ἴσαι καὶ αἱ δύο πλευραὶ
τῆς λοιπῆς μείζονες, καὶ ἔμπαλιν. ταῦτα οὖν αὐτὸς κατὰ συμβεβηκὸς ἴδια 45
ἐκάλεσεν. ἔστι μὲν οὖν πρώτως τοῦτο καὶ καθ' αὑτό· καθ' αὑτὸ δέ ἐστι
τὸ κατ' οὐσίαν. οὐκ εἴ τι δὲ καθ' αὑτό, τοῦτο καὶ πρώτως· ἐπὶ πλέον
25 γὰρ τὸ καθ' αὑτὸ τοῦ πρώτως. τὸ γὰρ ζῷον τῷ ἀνθρώπῳ καθ' αὑτὸ μὲν
ὑπάρχει, οὐ πρώτως δέ· διὸ κἂν μὴ ᾖ ἄνθρωπος, ζῷόν ἐστιν, ὥστε οὐ
πρώτως τῷ ἀνθρώπῳ ὑπάρχει. ὁμοίως δὲ καὶ τὸ σχῆμα τῷ τριγώνῳ
καθ' αὑτὸ μέν, οὐ μέντοι πρώτως· κἂν γὰρ μὴ ᾖ τρίγωνον, ἔστι σχῆμα.
καὶ τί λέγω τὸ σχῆμα; ἀλλ' οὐδὲ τὸ εὐθύγραμμον πρώτως ὑπάρχει τῷ 50
30 τριγώνῳ, καθ' αὑτό γε ὑπάρχον. ἔστι γὰρ τὸ εὐθύγραμμον καὶ τριγώνου
μὴ ὄντος. ταῦτα οὖν φησι καθ' αὑτὸ ἴδια, τὰ πρώτως ὑπάρχοντα, ἃ καὶ
μόνῳ καὶ παντὶ καὶ ἀεὶ τῷ πράγματι ὑπάρχει καὶ καθ' αὑτό, ὥστε καὶ

---

1 εἶναι Dt: ἐστιν R ἡ DR: om. t et de an. codd. 2 post ὥσπερ add. γὰρ t τῶν] τὴν D, sed corr. D¹ 3 ἀπόδειξιν DRt de an. vulg.: ἀπόδειξις de an. cod. E et Sophonias, idemque videtur legisse Philop., cf. p. 31,24 9 οὐχ ὅτι—συμπέρασμα om. D 10 φέρωμεν R 13 ἂν R: om. Dt 15 post συναναιρεῖ καὶ litura IV versuum et trium fere litterarum D; quae proxime antecedunt inde a. v. ὑπάρχοντα (14) passim redintegravit D² τὸ τῆς ἐπιστήμης t 16 τὸ Dt: τῷ R 17 πρώτως Dt: πρῶτον R 22 ἴδια D: ἰδία Rt 24 οὐκ εἴ τι δὲ DRt: οὐκέτι δὲ καὶ εἴ τι Suid. s. v. Ἀπόδειξις 26 διὸ] fort. διότι 29 πρώτως ὑπάρχει—μὴ ὄντος (31) in mg. m. saec. XII D; καὶ τριγώνου μὴ ὄντος etiam in versu D¹ 31 ἴδιον R

ἀντιστρέφει πρὸς τὸ πρᾶγμα. περὶ τούτων ἐν τοῖς Ἀποδεικτικοῖς φησιν. a 7r
ὅτι ἡ ἀπόδειξις τούτων μόνον ἐστίν, οὔτε δὲ τῶν συμβεβηκότων οὔτε τῶν
καθ' αὑτὸ μέν. μὴ πρώτως δὲ ὑπαρχόντων. καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ
ἡ ἀπόδειξις ἐπιστήμη ἐστίν, ἡ δὲ ἐπιστήμη ἄπταιστός ἐστι καὶ ἀραρυῖα |
5 δὴ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα, διὰ τοῦτο τῶν συμβεβηκότων ἀπό- a 7v
δειξιν εἶναι ἀδύνατον τῶν ἄλλοτε ἄλλως ἐχόντων καὶ γινομένων καὶ ἀπο-
γινομένων. πάλιν (εἰ) ἡ ἀπόδειξις τῶν ἀμφισβητουμένων ἐστί, τὰ δὲ καθ'
αὑτὰ ὑπάρχοντα καὶ μὴ πρώτως ὡς ἐπὶ τὸ πλεῖστον ὡμολογημένα εἰσίν,
οἷον τὸ ζῷον τῷ ἀνθρώπῳ καὶ τὸ σχῆμα τῷ τριγώνῳ, οὐδὲ τούτων ἂν
10 εἴη κυρίως ἀπόδειξις. δείκνυσι γοῦν ἐν ἐκείνοις. ὅτι τῶν καθολικωτάτων 5
γενῶν οὐδὲ ἔστιν ἀπόδειξις, ἐπεὶ μηδὲ ὁρισμός, ἀλλὰ δι' ὑπογραφῆς ἐκεῖνα
σημαίνομεν· πᾶσα γὰρ κυρίως ἀπόδειξίς ἐστιν ἡ ἐκ τῶν αἰτίων τὰ αἰτιατὰ
πιστουμένη καὶ ἐκ τῶν καθόλου τὰ μερικώτερα. οἷον πόθεν ὅτι ὁ ἄνθρωπος
οὐσία δείκνυμεν; διὰ μέσου τοῦ ζῴου· διότι γὰρ πᾶν ζῷον οὐσία· ὥστε
15 αἴτιον τοῦ εἶναι τὸν ἄνθρωπον οὐσίαν τὸ πᾶν ζῷον οὐσίαν εἶναι. τοῦτο δὲ
καὶ καθολικώτερον· τὸ γὰρ πᾶν ζῷον οὐσίαν εἶναι ἐπὶ πλέον τοῦ τὸν ἄν-
θρωπον οὐσίαν εἶναι. πάλιν ἐπειδὴ τρίγωνον, διὰ τοῦτο τὰς τρεῖς γωνίας 10
δύο ὀρθαῖς ἴσας ἔχει, καὶ πάλιν ἐπειδὴ τρίγωνον, τὰς δύο πλευρὰς τῆς
λοιπῆς μείζονας ἔχει· οὐκ ἐπειδὴ δύο ὀρθαῖς ἴσας, διὰ τοῦτο καὶ τρίγωνον.
20 ἡ μὲν οὖν κυρίως ἀπόδειξις αὕτη. ἔστι δὲ καὶ ἡ τετμημένη λεγομένη
ἀπόδειξις, ἡ ἐκ τῶν αἰτιατῶν τὰ αἴτια πιστουμένη. ὥσπερ αὐτὸς ἐν τῇ
Περὶ οὐρανοῦ ἐποίησεν ἐκ τῶν φωτισμῶν τῆς σελήνης ἀποδείξας ὅτι σφαι-
ρική ἐστι. καίτοι τὸ προσῆκον ἦν ἀνάπαλιν δεικνύναι. ὅτι σφαιρική. διὰ
τοῦτο καὶ οὕτω φωτίζεται. ταύτῃ οὖν κεχρήμεθα τῇ δείξει, ὅτε τὸ αἰτια-
25 τὸν πρὸς ἡμᾶς σαφέστερόν ἐστι τοῦ αἰτίου, ὥσπερ καὶ ἐπὶ τῆς σελήνης 15
ἔχει· τὸ γὰρ αἰτιατὸν ὁ φωτισμὸς σαφέστερος ἡμῖν ἐστι τοῦ αἰτίου, λέγω
δὴ τοῦ σφαιροειδῆ αὐτὴν εἶναι. ἴσμεν γὰρ ὅτι τοῦ μηνὸς δὶς μὲν γίνεται
μηνοειδής, ὅταν ᾖ ἀπὸ συνόδου, καὶ ὅταν μέλλῃ σύνοδον ποιεῖσθαι, δὶς
διχότομος, δὶς ἀμφίκυρτος, ἅπαξ πανσέληνος· τοῦτο δὲ γίνεται διὰ τὸ σφαι-
30 ροειδῆ αὐτὴν εἶναι. εἰ γὰρ ἦν δίσκος, ἀθρόον ἔμελλεν ἢ φωτίζεσθαι ἢ
μὴ φωτίζεσθαι· νῦν δὲ ἐπειδὴ ὁ μὲν ἥλιος ἀνωτέρω ἐστίν, ὅταν μὲν ἐκ
διαμέτρου αὐτῇ γίνεται, ἐπεὶ μέσοι ἐσμὲν ἡμεῖς, ὁρῶμεν ἅπαν τὸ πρὸς ἡμᾶς 20

---

1 ἀντιστρέφει Dt: ἀντιστρέφειν R ἐν τοῖς Ἀποδεικτικοῖς] Anal. post. A 6 p. 75a28 sqq. (cf. A 5) 2 μόνων R 5 δὴ corr. D¹: δεῖ DR: δὲ t τὰ αὐτὰ (sed suprascr. τὸ D¹) DR: τὰ ἀεὶ τὰ αὐτὰ t ἔχοντα t 7 εἰ addidi δὲ om. R 10 ἐν ἐκείνοις D²t: ἐκείνοις D¹ τῶν om. t 11 οὐδὲν R 12 ante κυρίως add. ἢ R ἡ Dt: ἢ R 13 καὶ Suid. s. v. Ἀπόδειξις: om. DRt ὅτι om. t 14 διότι Dt: δῆλον ὅτι R ὥστε DR: καὶ τὸ t 15 πᾶν ζῶον R: ζῶον πᾶν t: ζῶον πᾶν ~~ζῶον~~ sic D¹ 17 οὐσίαν B: ζῶον DRt πάλιν—ἔχει καὶ (18) om. D¹, sed in mrg. suppl. D² 21. 22 ἐν τῇ Περὶ οὐρανοῦ] B 11 p. 291b18 sqq. 24 τῇ δείξει] incipit A, qui ταύτῃ post δείξει colloc. ὅτε D: ὅπου Rt: διότι A Suid. 24. 25 τὸ αἴτιον R 25 πρὸς ἡμᾶς A Suid.: om. DRt

ἡμισφαίριον πεφωτισμένον, ᾧ καὶ προσβάλλει, ἐγγυτέρω δὲ αὐτῆς γενόμενος. a 7v
ἀεὶ μειοῖ μὲν τοῦ μέρους τοῦ πρὸς ἡμᾶς τὸν φωτισμόν. προστίθησι δὲ τῷ
ὑπὲρ ἡμᾶς, ἐπειδή, ὡς εἶπον, ἀνώτερός ἐστιν αὐτῆς ὁ ἥλιος· καὶ οὕτω κατ'
ὀλίγον ἕως κατὰ τὴν αὐτὴν κάθετον αὐτῇ γενόμενος, ὥστε μηκέτι εἶναι ἡμᾶς
5 μέσους ἀμφοτέρων, ἀλλ' εἰς τὴν μίαν πλευρὰν εἶναι ἄμφω, τὸ μὲν πρὸς ἡμᾶς
ἀφώτιστον ποιήσει, φωτίσει δὲ τὸ ὑπὲρ ἡμᾶς. τούτου πίστιν καὶ ἐκ τῶν παρ'
ἡμῖν ἔνεστι λαβεῖν. εἰ γὰρ μεγάλην σφαῖραν ποιήσειέ τις, εἶτα χρίσειε 25
τὸ μὲν ἕτερον ἡμισφαίριον λευκῷ χρώματι, τὸ δὲ ἕτερον μέλανι, εἶτα
μετεωρίσειεν εἰς ὕψος τὴν σφαῖραν, καί τι παρακλίνοι αὐτὴν κατ' ὀλίγον
10 τοῦ λευκοῦ, εἰ τύχοι, χρώματος ἄνω ὄντος, εἶτα κλιθείσης τῆς σφαίρας
ὄψεται οἱονεὶ μηνίσκον λεπτὸν γινόμενον, εἶτα κατὰ μέρος ἐπικλινομένης
τῆς σφαίρας καὶ τὰ λοιπὰ σχήματα γινόμενα. καὶ τέλος τοῦ λευκοῦ ἡμι-
σφαιρίου ὅλου πρὸς τὸ κάτω στραφέντος, εἰ ᾗ πολὺ τὸ ὕψος, ὄψεται δι-
σκοειδὲς τὸ λελευκασμένον ἡμισφαίριον. ταῦτα μὲν οὖν ἔξω τοῦ προκει- 30
15 μένου. τὴν δὲ τοιαύτην δεῖξιν τεκμηριώδη λέγομεν 'εἰ καπνὸς ἐνταῦθα,
καὶ πῦρ ἄρα'· τεκμήριον γὰρ τοῦ πυρὸς ὁ καπνός. τεκμήριον δέ ἐστι τὸ
ἄλυτον σημεῖον, ὡς τοῦ πυρὸς ὁ καπνός, ὡς τοῦ σφαιρικὴν εἶναι τὴν σελή-
νην τὸ οὕτω φωτίζεσθαι. τὸ δὲ λυτὸν οὐ τεκμήριον, ἀλλὰ σημεῖον λέγεται·
τοῦτο δέ ἐστιν, ὅταν μὴ πάντως ἕπηται τῷ αἰτιατῷ τὸ αἴτιον. οἷον ὠχρά
20 ἐστιν, ἐπειδὴ τέτοκεν· οὐ πάντως γὰρ τῇ ὠχρότητι ἕπεται τὸ τετοκέναι. λυτὸν
οὖν τοῦτο καὶ οὐ τεκμήριον ἀλλὰ σημεῖον, ὡς τὸ παρεστάναι νεοσφαγεῖ σώματι 35
τοῦ πεφονευκέναι σημεῖον. τῶν οὖν κατὰ συμβεβηκὸς ἰδίων, ἅπερ ἡμεῖς
εἴπομεν πρώτως καὶ καθ' αὑτὰ ὑπάρχειν, τούτων ἐστὶν ἡ ἀπόδειξις. ὑπο-
νοήσειεν οὖν, φησί, τις ὅτι ὥσπερ τούτων μία ἐστὶ μέθοδος ἡ ἀποδεικτική,
25 οὕτως [φησί] καὶ εἰς τὸ λαβεῖν τὸν ὁρισμὸν ἑκάστου μία τίς ἐστι μέθοδος.
ἀλλὰ καὶ εἰ μία, ζητητέον ποία αὕτη.

p. 402a16 Εἰ δὲ μὴ ἔστι μία καὶ κοινὴ μέθοδος περὶ τὸ τί ἐστιν,
ἔτι χαλεπώτερον γίνεται τὸ πραγματευθῆναι· δεήσει γὰρ λαβεῖν 40
περὶ ἕκαστον τίς ὁ τρόπος.

30 Εἰ μὲν γὰρ ἦν μία, τοῦτο μόνον εἶχεν ἡ ζήτησις, τίς ποτέ ἐστιν αὕτη·
ἐπειδὴ δὲ πλείους μιᾶς, πλείονα τὰ ἐντεῦθεν ζητούμενα, πόσαι τε τὸν
ἀριθμόν, καὶ ποῖαι τὸ εἶδος, καὶ ποίᾳ ἐπὶ ποίων πραγμάτων χρηστέον· τὸ

---

1 γινόμενος R 2 μειοῖ μὲν] μειοῦμεν D: corr. in μειοῖμεν D¹ 4 ὥστε DR: ὡς t 6 ἐκ τῶν R: ἐκ τοῦ Dt 7 εἰ γὰρ Rt: ὡς γὰρ D σφαῖραν μεγάλην coll. R χρίσειε t: χρίσει D: χρίση R 9 μετεωρίσειεν t: μετεωρίσει D: μετεωρίση R παρακλίνειεν t 10 ἄνω ὄντος Dt: ἀνιόντος R 13 καταστρέφοντος R 14. 15 οὖν — προκειμένου Dt: om. R 17 καὶ τοῦ πυρὸς R 19 ὠχρὸν R 20 γὰρ A: οὖν DRt 21 ὡς τὸ — σημεῖον (22) om. D 22 post σημεῖον add. διό φησι κἀκεῖνος t 25 φησί delevi 27 καὶ κοινὴ DR: καὶ κοινή τις t (ut Arist. UWXY): τις καὶ κοινὴ Arist. vulg. 28 πραγματευθῆναι DR: πραγματεύεσθαι t 30 τίς DR: τί t 31 πόσαι et 32 ποῖαι t: πόσα et ποῖα DR

γὰρ δεήσει γὰρ λαβεῖν περὶ ἕκαστον τίς ὁ τρόπος τοῦτο σημαίνει, a 7
ποίᾳ μεθόδῳ ἐπὶ ποίων πραγμάτων χρηστέον.

p. 402a19 Ὅταν δὲ φανερὸν ᾖ, πότερον ἀπόδειξίς ἐστιν ἢ διαί- 45
ρεσις ἤ τις ἄλλη μέθοδος.

Τοῦτο ὡς ἐν ὑποθέσει λέγει. μετὰ τὸ πάντα, φησί, τὰ ἀπηριθμη-
μένα εὑρεῖν, ὅταν ἤδη φανερὸν ἡμῖν γένηται ὅτι ἥδε ἐστὶν ἡ μέθοδος
δι' ἧς εὑρίσκομεν τοὺς ὁρισμούς, φέρ' εἰπεῖν ἢ ἀποδεικτικὴ ἢ διαιρετικὴ ἢ
ὁριστική, ἑτέρα πάλιν ἀπορία διαδέχεται οὐκ ἐλάττων τῶν εἰρημένων·
ποία δέ ἐστιν αὕτη, ἐπιφέρει. 50

p. 402a21 Ἐκ τίνων δεῖ ζητεῖν, φησίν· ἄλλαι γὰρ ἄλλων ἀρχαί,
καθάπερ ἀριθμῶν καὶ ἐπιπέδων.

Τουτέστιν ὑπὸ ποῖον γένος ἀνάξομεν τὸ προκείμενον πρᾶγμα, ἐπειδὴ
οὐχ ἓν γένος τῶν ὄντων ἀλλὰ δέκα, καὶ ἄλλα ὑπ' ἄλλο γένος ἀναφέρεται.
καθάπερ, φησίν, ἀριθμῶν καὶ ἐπιπέδων. λέγει οὖν ἀρχὰς τούτων
τοῦ μὲν ἀριθμοῦ τὸ διωρισμένον ποσόν, τοῦ δὲ ἐπιπέδου τὸ συνεχές, ἢ
καὶ ἀρχὰς αὐτῶν ἂν λέ|γοι τοῦ μὲν ἀριθμοῦ τὴν μονάδα, τοῦ δὲ ἐπιπέδου a 8r
ἢ τὴν γραμμὴν ἢ τὸ σημεῖον· ῥυϊσκόμενα γὰρ ταῦτα τὸ μὲν τὴν γραμμὴν
ἡ δὲ τὸ ἐπίπεδον γεννᾷ. ἀλλ' αὗται μὲν ἀρχαὶ συντεταγμέναι καὶ οἷον
στοιχειώδεις εἰσὶν ἀρχαί. τὸ δὲ συνεχὲς καὶ τὸ διωρισμένον ἐξῃρημένα.
συμβάλλονται δὲ ἡμῖν καὶ αἱ συντεταγμέναι πολλάκις ἀρχαὶ πρὸς τὴν ἀπό-
δοσιν τοῦ ὁρισμοῦ. ὥσπερ ἐπὶ τῶν ἀριθμῶν· λέγομεν γὰρ ἀριθμὸν εἶναι
τὸ ἐκ μονάδων συγκείμενον πλῆθος. ζητοῦμεν οὖν, φησίν, ὑπὸ ποῖον γένος 5
ἀνάγεται τὸ προκείμενον (πολλῶν γὰρ τὸ γένος ἀμφισβητήσιμον), ἵνα
εὑρόντες τοῦτο καὶ διελόντες εἰς τὰς οἰκείας διαφορὰς οὕτω τοὺς ὁρισμοὺς
ἀποδῶμεν.

p. 402a22 Πρῶτον δὲ ἴσως ἀναγκαῖον διελεῖν ἐν τίνι τῶν γενῶν
καὶ τί ἐστι.

Πληρώσας τὰ κοινῶς περὶ τῶν ὁρισμῶν ἀπορούμενα, ἅπερ δῆλον ὅτι 10
καὶ ἐπὶ ψυχῆς ἀπορεῖται, ἐντεῦθεν ἄρχεται καὶ τῶν ἐπὶ ψυχῆς πρὸς τὴν λῆψιν
τοῦ ὁρισμοῦ ἀπορουμένων. δεῖ οὖν, φησί, καὶ ἐπὶ ψυχῆς ζητῆσαι ὑπὸ
ποῖον γένος αὐτὴν ἀνάξομεν. πολλὴ γὰρ περὶ τούτου ἡ ἀμφιβολία· οἱ μὲν
γὰρ αὐτὴν ὑπὸ τὴν οὐσίαν ἀνάγουσιν, οἱ δὲ ὑπὸ τὸ ποσόν, ὧν ἐστι καὶ
Ξενοκράτης· ἀριθμὸς γάρ, φησί, κινῶν ἑαυτόν ἐστιν ἡ ψυχή, ὁ δὲ ἀριθμὸς

---

1 δεήσει γὰρ R: γὰρ om. Dt 3 ὅταν DRt, itemque Arist. codd. SUW: ἐὰν Arist. vulg. 8 ἐλάττων D^2R: ἐλάττω D^1t 10 φησίν om. t 12 ἄξομεν R 19 καὶ τὸ Dt: τὸ om. R 28 τὸν ὁρισμὸν R 29 καὶ τῶν Dt: καὶ om. R 31. 32 οἱ μὲν γὰρ Dt: καὶ οἱ μὲν R: καὶ γὰρ οἱ μὲν A

ὑπὸ τὸ ποσόν, εἰ δὴ τοῦτο ἔλεγεν ἐκεῖνος, καὶ μὴ ἄλλο τι διὰ τούτου a 8r
ἠνίττετο. οἱ δὲ ὑπὸ τὸ ποιόν, ὧν εἰσιν καὶ οἱ ἰατροὶ κρᾶσιν εἶναι λέγοντες· 15
τοιοῦτοι δ' ἂν εἶεν καὶ οἱ ἐντελέχειαν λέγοντες τοιαύτην· μαθησόμεθα γάρ,
πῶς φησιν αὐτὴν ἐντελέχειαν ὁ Ἀριστοτέλης. οἱ δὲ λόγον λέγοντες τῶν
5 στοιχείων δόξαιεν ἂν ὑπὸ τὸ πρός τι ἀνάγειν· τὸ γὰρ διπλάσιον ἢ ἡμιόλιον
ὑπὸ τὸ πρός τι· τινὸς γὰρ διπλάσιον. ἀμφίβολον οὖν τέως τὸ γένος·
ἀλλ' ἐπειδὰν εὕρωμεν ὅτι οὐσία ἐστί, πάλιν ζητοῦμεν πότερον σῶμα ἢ ἀσώ-
ματον, καὶ εἰ σῶμα, ἁπλοῦν ἢ σύνθετον, καὶ εἰ ἀσώματον, χωριστὸν ἢ
ἀχώριστον· καὶ πότερον μία ἐν ἑκάστῳ ψυχὴ ἢ πολλαί, καὶ εἰ μία, μονο- 20
10 ειδὴς ἢ πολυδύναμος, καὶ τίς ἡ τῶν δυνάμεων διαφορά· καὶ εἰ πολλαί,
πότερον τῷ ἀριθμῷ πολλαὶ ἢ καὶ τῷ εἴδει, καὶ εἰ τῷ εἴδει, πότερον καὶ τῷ
γένει ἢ οὔ· τὰ γὰρ τῷ εἴδει διαφέροντα οὐ πάντως καὶ τῷ γένει, ὡς
ἄνθρωπος καὶ ἵππος, τὰ μέντοι τῷ γένει διαφέροντα ἐξ ἀνάγκης καὶ τῷ
εἴδει, ὡς λίθος καὶ ζῷον. ταῦτα τοίνυν καὶ τούτων πλείονα πρὸς τὸ
15 λαβεῖν τὸν ὁρισμὸν τῆς ψυχῆς ζητητέον. πρῶτον δ' ἴσως ἀναγκαῖον
διελεῖν ἐν τίνι τῶν γενῶν καὶ τί ἐστι· τουτέστιν ἐκ διαιρέσεως δεῖ 25
λαβεῖν αὐτῆς τὸ γένος, ὅπερ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. ἐμάθομεν
δὲ τοῦτο ἐν Εἰσαγωγαῖς, ὅτι τὰ γένη ἐν τῷ τί ἐστι κατηγοροῦνται· τί γάρ
ἐστιν ἄνθρωπος ἐρωτηθέντες λέγομεν ζῷον, καὶ τί ποτέ ἐστι φοίνιξ εἴ τις
20 ἀγνοῶν ἐρωτοίη, λέγομεν ὅτι δένδρον. δεῖ οὖν πρῶτον πάντων τί ἐστιν ἡ
ψυχὴ γνῶναι. ὡς γάρ φησιν ὁ θεῖος Πλάτων ἐν Φαίδρῳ, μία ἐστὶν ἀρχὴ
τοῦ καλῶς βουλεύεσθαι· εἰδέναι δεῖ περὶ ὅτου ἂν ᾖ ἡ βουλή, ἢ τοῦ
παντὸς διαμαρτάνειν ἀνάγκη. περὶ ψυχῆς τοιγαροῦν ζητοῦντες, εἰ μὴ πρό-
τερον τί ποτέ ἐστιν αὐτὴ μάθοιμεν, πότερον οὐσία ἢ ποσόν, ἀλλ' ἀντὶ
25 τῆς οὐσίας, εἰ οὐσία εἴη, ὥσπερ ἔστι, ποσὸν αὐτὴν εἴποιμεν ἢ ποιὸν ἤ 30
τινα τῶν ἄλλων κατηγοριῶν, ἐξ ἀνάγκης ἀκολούθως τῇ ἀρχῇ τὰ ἐφεξῆς
συμπεραίνοντες τοῦ παντὸς διαμαρτησόμεθα, ἕτερα ἀνθ' ἑτέρων ζητοῦντες.
καὶ ὁ Ἀριστοτέλης δὲ ἐν τῇ Φυσικῇ φησιν "ἐπειδὴ τὸ εἰδέναι καὶ τὸ ἐπί-
στασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους, ὧν εἰσιν ἀρχαὶ ἢ αἴτια ἢ
30 στοιχεῖα, ἐκ τοῦ ταῦτα γινώσκειν"· εἰ τοίνυν πρὸς τὴν γνῶσιν τὴν τῶν
πραγμάτων χρεία τοῦ εἰδέναι τὰς ἀρχάς, ἄλλαι δὲ ἄλλων ἀρχαί, ζητητέον 35
τίς ἡ ἀρχὴ τῆς ψυχῆς, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ ἀπορωτέρα τῶν ἄλλων
ἐπὶ τῆς ψυχῆς ἡ τῆς ἀρχῆς ζήτησις.

---

1 τούτου] τοῦτο D, sed corr. D¹ (?) 5 ἂν om. t ἢ Dt: om. R 7 ἀλλ' ἐπειδὰν Dt: ἀλλ' ἐπειδὴ ἂν R: ἐπειδὰν δὲ A 16. 17 δεῖ λαβεῖν Dt: διαλαβεῖν R 18 ἐν Εἰσαγωγαῖς] Porphyr. Isagog. p. 2,16 Busse κατηγοροῦνται DR: κατηγορεῖται t 19 ἐρωτώμενοι t 21 ἐν Φαίδρῳ scripsi: ἐν Φαίδωνι libri, cf. Phaedr. p. 237 B 22 δεῖ Rt: δὲ δεῖ D 22. 23 ἢ τοῦ παντὸς Rt: τοῦ παντὸς D 24 τίποποτέ D μάθοιμεν Rt: μάθομεν D 25 εἰ] ἡ R 26 τινὰ DR: τι t 28 ἐν τῇ Φυσικῇ] Phys. A 1 p. 184a10 32 ὅσον R

p. 402a25 Ἔτι δὲ πότερον τῶν ἐν δυνάμει ὄντων ἢ μᾶλλον ἐν- a 8r
τελέχειά τις.

Ἀεὶ προϊὼν κατὰ τὴν διαίρεσιν τὸ ἀληθὲς τῆς διαιρέσεως τμῆμα λαμβάνει καὶ τοῦτο ὑποδιαιρεῖ. εἰπὼν οὖν πότερον οὐσία ἢ ποσὸν ἢ ποιὸν ἤ τις τῶν ἄλλων κατηγοριῶν, τὰς μὲν ἄλλας παρῆκεν, ἔλαβε δὲ ὅτι οὐσία, 40 καὶ ταύτην λοιπὸν ἐπιδιαιρεῖ εἴς τε τὸ σῶμα καὶ τὸ ἀσώματον. ἀντὶ γὰρ τοῦ εἰπεῖν σῶμα καὶ ἀσώματον εἶπε πότερον τῶν ἐν δυνάμει ὄντων ἢ μᾶλλον ἐντελέχειά τις, διὰ μὲν τοῦ ἐν δυνάμει τὸ σῶμα δηλῶν, διὰ δὲ τῆς ἐντελεχείας τὸ ἀσώματον. πᾶν γὰρ σῶμα καθόλου δυνάμει ἐστί, τὸ δὲ δυνάμει ἢ κατ' οὐσίαν ἐστὶν ἢ κατὰ ποσὸν ἢ κατὰ ποιὸν ἢ κατὰ τὴν εἰς τόπον μεταβολήν. τὰ μὲν οὖν ἐν γενέσει καὶ φθορᾷ πάντα σώματα κατὰ πάντα τὰ τοῦ δυνάμει σημαινόμενα ἐν δυνάμει εἰσί· δυνάμει γάρ ἐσμεν ἄνθρωποι ἐν τῷ σπέρματι καὶ ἐν τῷ καταμηνίῳ. καὶ δυνάμει 45 παῖδες ὄντες ἔχομεν τὸ τοῦ ἀνδρὸς μέγεθος· ὁμοίως καὶ ἐπὶ τοῦ ποιοῦ δυνάμει ψυχροί ἐσμεν θερμοὶ ὄντες, καὶ δυνάμει κινούμεθα καθήμενοι. τὰ δέ γε οὐράνια ἐν τῇ κατὰ τόπον μεταβολῇ μόνον ἔχουσι τὸ δυνάμει· ἀνατέλλων γὰρ ὁ ἥλιος δυνάμει ἐν τῷ μεσουρανήματί ἐστι, κἀκεῖσε γενόμενος ἐνεργείᾳ δυνάμει ἐστὶν ἐν τῇ δύσει· καὶ ἐπὶ τῶν ἄλλων οὐρανίων ὡσαύτως. ἐπειδὴ οὖν ἐν πᾶσι τοῖς σώμασι τὸ δυνάμει θεωρεῖται, διὰ τοῦτο διὰ τοῦ δυνάμει τὸ σῶμα ἐδήλωσεν. ἀλλὰ τί δήποτε ἐπὶ τοῦ σώ- 50 ματος τὸ ἐν δυνάμει τάξας ἐπὶ τοῦ ἀσωμάτου οὐκ εἶπεν ἐντελεχείᾳ κατὰ δοτικὴν πτῶσιν, ἀλλ' ἐντελέχεια κατ' εὐθεῖαν; λέγω οὖν ὅτι ἄλλο ἐστὶ δύναμις καὶ ἄλλο ἐν δυνάμει, καὶ ἄλλο ἐντελέχεια καὶ ἄλλο ἐν ἐντελεχείᾳ· ἡ μὲν γὰρ ὕλη μόνως ἐστὶ δύναμις· πάντα γάρ ἐστι δυνάμει, ἐνεργείᾳ δὲ οὐδέν· τὸ δὲ εἶδος μόνως ἐντελέχεια· τὸ δὲ ἐξ ὕλης καὶ εἴδους καὶ ἐν δυνάμει ἐστὶ καὶ ἐν ἐντελεχείᾳ. συντρέχουσι γὰρ ταῦτα ἅμα, καὶ ὅπερ ἐστὶν ἐν δυνάμει, τοῦτό ἐστι καὶ ἐν ἐντελεχείᾳ· καὶ γὰρ πάντα τὰ εἴδη δυνάμει ἐν τῇ ὕλῃ ἐστίν, ἥτις ποτὲ τοῦτο ποτὲ ἐκεῖνο γίνεται ἐνεργείᾳ· a 8v νῦν γὰρ ἄνθρωπος οὖσα δυνάμει ἄλλοτε γίνεται ἐνεργείᾳ ἄνθρωπος. μᾶλλον δὲ ἅμα ἔχει καὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ· ἐπειδὴ γὰρ οὐδέποτέ ἐστι γυμνὴ εἴδους, ἐκεῖνο τὸ εἶδος ἐνεργείᾳ μέν ἐστι τόδε τι, δυνάμει δὲ ἄλλο· τὸ γὰρ τοῦ σπέρματος εἶδος δυνάμει ἐστὶν ἄνθρωπος. ἐπεὶ οὖν ἐν οἷς τὸ δυνάμει ἐστίν, ἐν τούτοις καὶ τὸ ἐνεργείᾳ, καὶ ἐπειδὴ ἐπὶ τῶν θείων καὶ ἀσωμάτων οὐκ ἔστι τὸ δυνάμει, ἐπεὶ μηδὲ ὕλη, καὶ διὰ τοῦτο οὐδὲ

---

1. 2 ἐντελέχειά τις Rt et ut videtur D primitus: ἐντελεχείαΞ D¹ 5 τις Rt: τι D
9 δὲ post διὰ om. t 13 ἐσμεν] μὲν R 16 ἐν (post οὐράνια) ADt: ἐπὶ R
18 ἐνεργεῖ R 22 λέγω DRt: λέγομεν A 23 καὶ ἄλλο ἐν ἐντελεχείᾳ t: om. D¹: καὶ ἄλλο ἐντελεχείᾳ AD² 24 μόνη R 25 δὲ ante ἐξ om. R 30 ἐπειδὴ δὲ t
31 ἐκεῖνο D: ἐκεῖνο δὲ Rt 33 καὶ ἐπειδὴ ἐπὶ DRt: ὡς ἐπὶ τῶν ἐνύλων εἴρηται σωμάτων, ἐπὶ δὲ A Pal.

τὸ ἐνεργείᾳ (οὐ γάρ εἰσιν ἐνεργείᾳ τόδε τι, ἀλλ' αὐτοενεργειαί εἰσιν, εἴδη a 8v
ὄντα καθαρὰ ἄνευ ὕλης, ὡς καὶ ἐν τῷ Περὶ ἑρμηνείας φησὶν ὅτι ἐκεῖνα
ἄνευ δυνάμεως ἐνέργειαί εἰσι, καὶ οὐκ εἶπεν ἐνεργείᾳ εἰσίν), διὰ τοῦτο
ἀντιδιαστέλλων τῇ ὑλικῇ καὶ συνθέτῳ φύσει τὴν ἄυλον καὶ ἀσώματον εἶπε
5 τὸ πότερον τῶν ἐν δυνάμει ὄντων, τουτέστι τῶν σωμάτων, ἐστίν,
ἅτινα ἐν δυνάμει ἐστί, τουτέστιν ἐν τῇ ὕλῃ, ἢ ἐντελέχειά τις, τουτέστιν
εἶδός τι καθαρὸν καὶ ἄυλον· διαφέρει γὰρ οὐ σμικρόν, τουτέστιν οὐκ 10
ὀλίγον, τὸ μεταξὺ τοῦ σώματος καὶ ἀσωμάτου.

p. 402b1 Σκεπτέον δὲ καὶ εἰ μεριστὴ ἢ ἀμερής.

10 Τοῦτο, ὡς καὶ Ἀλεξάνδρῳ δοκεῖ, τὸ μεριστὴ ἢ ἀμερὴς δυνάμεθα
ἐπὶ τῶν δυνάμεων τῆς ψυχῆς λαμβάνειν, ὅτι πότερον πολυδύναμός ἐστιν
ἢ ἀμερής· ἀμερῆ γάρ φησιν αὐτὴν Δημόκριτος εἶναι καὶ οὐ πολυδύναμον,
ταὐτὸν εἶναι λέγων τὸ νοεῖν τῷ αἰσθάνεσθαι καὶ ἀπὸ μιᾶς ταῦτα προέρ-
χεσθαι δυνάμεως. δυνάμεθα δ' ἐκλαβεῖν τὸ χωρίον καὶ οὕτω, πότερον ἡ 15
15 ἁπλῶς ψυχὴ μία τις ἐν ἑκάστῳ ἢ μερίζεται εἰς διαφόρους ψυχάς, ὡς
πλείους εἶναι ψυχὰς ἐν ἑκάστῳ. δῆλον δὲ ὅτι καὶ πλείους δυνατὸν λέγειν
καὶ μίαν· πλείους μέν, διότι διαφέρουσιν ἀλλήλων τῷ εἴδει ἡ φυτικὴ καὶ
ἡ ἄλογος, καὶ ἡ ἄλογος καὶ ἡ λογική, καὶ χωρίζονται ἀλλήλων, μίαν δὲ
διὰ τὴν συμφυΐαν τούτων καὶ τὴν συμπάθειαν· καὶ γὰρ καὶ ἐκ τοῦ λόγου
20 ἐνέργειαι διαβαίνουσι μέχρι καὶ τῆς φυτικῆς καὶ αἱ τούτων κινήσεις καὶ
ζωαὶ οἱονεὶ συνδιατιθέασιν ἑαυταῖς τὸν λόγον. οὕτως οὖν καὶ μία καὶ οὐ 20
μία. οὕτω δὲ κάλλιον ἐξηγήσασθαι τὸ μεριστὴ ἢ ἀμερής· πότερον,
φησί, μία τίς ἐστι ψυχὴ ἐν πᾶσι τοῖς ἐμψύχοις ἢ πολλαί; καὶ εἰ πολλαί,
πότερον τῷ εἴδει διαφέρουσαι μόνον, ἢ καὶ τῷ γένει; λέγοιεν δ' ἂν μίαν
25 οἱ κρᾶσιν λέγοντες· ἐξαλλάττεσθαι γὰρ αὐτὴν πρὸς τὴν ἐν ἑκάστῳ ἰδιότητα
τῆς κράσεως, ὥσπερ εἷς ὁ ἀὴρ κοινῶς ὑπὸ πάντων εἰσπνεόμενος πρὸς
τὴν ἐν ἑκάστῳ τῶν ζῴων ἰδιότητα. οὗτοι δὲ τὰ ἄνω κάτω ποιοῦσι, τὰ
αἰτιατὰ κρείττονα ποιοῦντες τῶν αἰτίων· τὸ γὰρ ἄψυχον σῶμα ψυχῆς 25
αἴτιον, τὸ ἄζωον ζωῆς, τὸ ἀκίνητον τοῦ κινητικοῦ, τὸ ἄλογον τοῦ μὴ
30 ἀλόγου, καὶ ὅσα τοιαῦτα.

---

1 εἰσιν ἐνέργειαι R 2 ἐν τῷ Περὶ ἑρμηνείας] 13 p. 23a23 7 διαφέρει δὲ R 9 καὶ om. R (ut Arist. cod. X) 11 λαμβάνον R 13 τῷ] τὸ R¹, sed corr. R² 17 διότι] ὅτι R 18 χωρίζεται R 19 καὶ ἐκ Λ: ἐκ R: καὶ αἱ ἐκ Dt 20 post μέχρι addendum τῆς ἀλόγου 21 ζῶον R 23 ἡ ψυχὴ R εἰ] ἢ t 24 διαφέρουσαι R: διαφέρουσι Dt 27 τὰ (ante ἄνω) D: τὸν R: τὴν t

27. 28 τὰ αἰτιατὰ R 28 τῶν αἰτίων om. R 29 ἄζωον] ζῶν R μὴ om. R

p. 402 b 1 Καὶ πότερον ὁμοειδὴς ἅπασα ἡ ψυχὴ ἢ οὔ· εἰ δὲ μὴ ὁμοειδής, πότερον εἴδει διαφέρουσα ἢ γένει. a 8 v

Ἀκόλουθον τῷ πολλαὶ ἢ μία τὸ δοθεισῶν πολλῶν ζητεῖν, πότερον ὁμοειδὴς ἢ οὔ. δύναται δὲ τοῦτο μὴ ὡς πρὸς τὰς ἐν ἑκάστῳ ψυχὰς πλείους οὔσας λέγεσθαι, ἀλλ' ἁπλῶς περὶ πάσης τῆς ἐν τοῖς ἐμψύχοις, ὅπερ καὶ μᾶλλον· ἡ γὰρ ἐφεξῆς λέξις τοῦτο δηλοῖ. οἱ γὰρ περὶ ψυχῆς ζητήσαντες, φησί, περὶ μόνης τῆς ἀνθρωπίνης ἐζήτησαν· ὥστε δῆλον ὅτι περὶ πάσης ψυχῆς ἐστιν αὐτῷ ὁ λόγος. καὶ τὸ μεριστὴ ἄρα ἢ ἀμερὴς μᾶλλον πρὸς τοῦτο ἐκληπτέον. αὗται οὖν, φησίν, αἱ ἐν πᾶσιν ἁπλῶς τοῖς ἐμψύχοις ψυχαὶ πότερον μόνῳ τῷ εἴδει διαφέρουσιν ἢ καὶ τῷ γένει; λαμβάνει γὰρ πάλιν ἐκ τῆς διαιρέσεως τὸ ἀληθὲς καὶ ὡμολογημένον, ὅτι διάφοροι τῷ εἴδει. νῦν μὲν γὰρ οἱ λέγοντες καὶ ζητοῦντες περὶ ψυχῆς περὶ τῆς ἀνθρωπίνης ἐοίκασι σκοπεῖν. τινές φασιν, ὧν ἐστι καὶ Ἀλέξανδρος, εἰς Πλάτωνα αἰνίττεσθαι αὐτόν· φαίνεται δὲ ὁ Πλάτων καὶ ἀλλαχοῦ μὲν πολλαχοῦ, μάλιστα δὲ ἐν τῷ Τιμαίῳ καὶ περὶ τῆς ἀλόγου διαλεχθείς. ἴσως οὖν εἰς τοὺς φυσικοὺς αἰνίττεται τοὺς περὶ Δημόκριτον καὶ τοὺς ἄλλους. ἔχοιμεν δ' ἂν καὶ ὑπὲρ τούτων ἀπολογήσασθαι· εἴποιεν γὰρ ἂν ἐκεῖνοι ὅτι ἐν τῇ ἀνθρωπείᾳ ψυχῇ πᾶσα ψυχικὴ δύναμις θεωρεῖται· οὐκοῦν περὶ ταύτης διαλεχθέντες περὶ πάσης εἴημεν ἂν διειλεγμένοι.

p. 402 b 5 Εὐλαβητέον δὲ ὅπως μὴ λανθάνῃ, πότερον εἷς ὁ λόγος αὐτῆς ἐστι, καθάπερ ζῴου, ἢ καθ' ἕκαστον ἕτερος, οἷον ἵππου, κυνός, ἀνθρώπου, θεοῦ.

Εἰπὼν πότερον ὁμογενεῖς αἱ ψυχαὶ ἢ ἑτερογενεῖς, πάλιν ἐνταῦθα περὶ τοῦ γένους φησὶν αὐτῶν, εἴ γε ἔστι γένος, ὅτι δεῖ εὐλαβεῖσθαι καὶ ζητεῖν, πότερον δυνατὸν ἕνα ὁρισμὸν πάσης ψυχῆς ἀποδοῦναι ἢ οὔ. ἀποδοθείη δ' ἂν εἷς ὁρισμός, εἰ ἔχοιεν κοινὸν γένος, ὥσπερ τοῦ ζῴου γένους ὄντος ἵππου καὶ ἀνθρώπου καὶ τῶν λοιπῶν εἰδῶν εἷς ὁρισμὸς ἀποδίδοται, οὐσία ἔμψυχος αἰσθητική, ὃς ἐφαρμόζει τοῖς κατὰ μέρος ζῴοις διὰ τὸ κοινὸν γένος· εἰ δὲ μὴ ἔχοιεν ἓν κοινὸν γένος, οὐδ' ἂν εἷς ὁρισμὸς αὐτῶν ἀποδοθείη. οὐκ ἔχουσι δέ. πῶς; ὅτι τὸ μέν ἐστι πρότερον ἐν αὐταῖς, τὸ δὲ ὕστερον τῇ φύσει, ἐν οἷς δὲ τὸ πρότερον καὶ τὸ ὕστερον, τούτων τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος. πρότερον δέ ἐστι τῇ φύσει τὸ

---

1 ὁμοειδὴς] ὁμοιοειδὴς de an. plerique codd. ἡ ψυχὴ] sic etiam de an. cod. U: ἡ om. ceteri 2 διαφέρουσα] sic etiam de an. T: διαφέρουσιν ceteri 3 πολλαὶ] πολλὴ R 3. 4 ὁμοειδεῖς D, sed corr. D¹: ὁμοειδ^ν R 4 ψυχὰς bis R 10 μόνον t 11 διαφέροι R 12 οἱ λέγοντες καὶ R: λέγει οἱ Dt 13 ἀνθρωπίνης μόνης ἐοίκασιν Arist. τινές R: τινὲς δὲ Dt 14 αὐτόν Dt: αὐτό R 15 ἐν Τιμαίῳ t 17 ἂν (post γὰρ) om. R 30 ἐν αὐταῖς — τὸ πρότερον (31) om. D 31 τούτων Rt: τούτων δὲ D

συναναιροῦν μέν, οὐ συναναιρούμενον δέ, καὶ τὸ συνεισφερόμενον μέν, μὴ a 8v
συνεισφέρον δέ. ἔστιν οὖν ἐν ψυχαῖς τὸ πρότερον καὶ τὸ ὕστερον τῇ 50
φύσει· ὅπου γὰρ ἡ λογική, ἐκεῖ καὶ ἡ ἄλογος καὶ ἡ φυτική, καὶ ὅπου ἡ
ἄλογος, ἐκεῖ καὶ ἡ φυτική· οὐ μέντοι ὅπου ἡ φυτική. ἐκεῖ αἱ λοιπαί, ἢ
5 ὅπου ἡ ἄλογος, ἐκεῖ ἡ λογική· καὶ ἀναιρεθεῖσα ἡ φυτικὴ συνανεῖλεν ἐκ
τοῦ ὑποκειμένου καὶ τὰς λοιπάς. ὥστε ἔστιν ἐν αὐταῖς τὸ πρότερον τῇ
φύσει καὶ τὸ ὕστερον· προτέρα γὰρ ἡ φυτική, οὐ τῇ ἀξίᾳ ἀλλὰ τῷ ἄνευ
αὐτῆς μὴ εἶναι τὰς ἄλλας, καὶ προτέρα τῆς λογικῆς ἡ ἄλογος ὁμοίως. εἰ
δέ ἐστιν ἐν αὐταῖς τὸ πρότερον καὶ τὸ ὕστερον, οὐκ ἄρα τὸ τούτων κοινῶς
10 κατηγορούμενον | γένος ἐστί, λέγω δὴ ἡ ψυχή, ἀλλ' ὁμώνυμος φωνὴ ὡς b 1r
τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ὥστε οὐκ ἂν εἴη αὐτῶν εἷς ὁρισμός, ἐπεὶ
μηδενὸς τῶν ὁμωνύμων, ἀλλὰ διάφοροι τῶν ψυχῶν οἱ ὁρισμοί, ὡς ἀνθρώ-
που καὶ κυνὸς καὶ ἵππου ἕτερος. ὅθεν καὶ αὐτὸς μέλλων ἀποδιδόναι κοινόν
τινα λόγον περὶ ψυχῆς οὐκ εἰς ὁρισμὸν ἀλλ' ἐξ ἀναλογίας τινός, ὡς εἰσό-
15 μεθα, εἶπεν "εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν", δῆλον ὡς οὐκ
ὄντος κοινοῦ ὁρισμοῦ. 5

p. 402b 7 Τὸ δὲ ζῷον τὸ καθόλου ἤτοι οὐδέν ἐστιν ἢ ὕστερον.

Ἐνόμισάν τινες περὶ τῶν ἰδεῶν αὐτὸν τοῦτο λέγειν εἰς Πλάτωνα αἰνιττό-
μενον. οὐχ οὕτω δὲ ἔχει· καὶ γὰρ καὶ αὐτῷ δοκεῖ εἶναι τὰ πρὸ τῶν πολλῶν
20 γένη καὶ εἴδη. ἐν γοῦν τῇ Μετὰ τὰ φυσικά φησιν ὅτι ὥσπερ ἡ τάξις διττή
ἐστιν, ἡ μὲν ἐν τῷ στρατηγῷ, ἡ δὲ ἐν τοῖς στρατιώταις, καὶ [ὅτι] ἐκ τῆς
ἐν τῷ στρατηγῷ τάξεως γίνεται ἡ ἐν τοῖς στρατιώταις, καὶ διττὴ ἡ ὑγεία, 10
ἡ μὲν ἐν τῷ ἰατρῷ ἡ δὲ ἐν τῷ ὑγιαζομένῳ σώματι, καὶ ἡ ἐν τῷ ἰατρῷ
ποιητική ἐστι τῆς ἐν τῷ σώματι, οὕτω καὶ ἡ ἐν τῷ κόσμῳ τάξις ἐκ τῆς
25 ἐν τῷ δημιουργῷ τάξεως γέγονεν· ὥστε οἶδε καὶ τοὺς ἐξῃρημένους λόγους
τῶν πραγμάτων. καὶ ἐν ταύτῃ δὲ τῇ πραγματείᾳ φησὶν 'ἔστι δὲ ὁ κατ'
ἐνέργειαν νοῦς τὰ πράγματα', 'εὖ γε καὶ οἱ τὴν ψυχὴν τόπον εἰδῶν εἰρη-
κότες'. καὶ ἐν τῇ Μετὰ τὰ φυσικὰ πάλιν περὶ τοῦ νοῦ τοῦ θείου διαλε-
γόμενός φησι πάντων τὰ εἴδη ἐν αὐτῷ εἶναι· λέγει γοῦν ὅτι ἑαυτὸν ὁρῶν 15
30 τὰ πράγματα ὁρᾷ, καὶ τὰ πράγματα ὁρῶν ἑαυτὸν ὁρᾷ· καὶ μυρία ὅσα ἔστιν
αὐτοῦ παραθέσθαι τῆς αὐτῆς ἐχόμενα διανοίας. ὥστε οὐ περὶ τῶν πρὸ τῶν
πολλῶν εἰδῶν ὁ λόγος, ἀλλὰ περὶ τῶν ὑστερογενῶν. διὸ οὐχ ἁπλῶς εἶπεν ὅτι
τὸ ζῷον οὐδέν ἐστιν, ἀλλὰ προσέθηκε τὸ καθόλου, δηλῶν ὅτι ὡς μὲν οὐσία
καὶ ζῷόν ἐστι καὶ ὁριστόν ἐστι, τὸ δὲ καθόλου οὐκ ἔστιν ἐν ὑποστάσει· οὐ

---

5 καὶ om. R 15 εἰ δή τι—λέγειν] B 1 p. 412b 4 19 καὶ (ante αὐτῷ) D² ut videtur et t: om. D¹R 20 ἐν τῇ Μετὰ τὰ φυσικὰ] Λ 10 p. 1075a 11 sqq. 21 ὅτι delevi 26 ἐν ταύτῃ—τῇ πραγματείᾳ] Γ 5 p. 430a 19, 7 p. 431a 1 27. 28 εὖ γε—εἰρηκότες] Γ 4 p. 429a 27 27 εὖ γε D²t: om. D¹R 28 post εἰρηκότες add. εἰρήκασι D²t ἐν τῇ Μετὰ τὰ φυσικά] Λ 9 p. 1074b 33 sqq. 30 τὰ πράγματα ὁρᾷ om. D 32 τῶν ὑστερογενῶν DR: τῶν om. t 33 δηλῶν ὅτι D²t: δηλονότι D¹R 34 καὶ ζῷον D: τὸ ζῶον Rt

γάρ ἐστι τὸ ἁπλῶς καθόλου ζῷον, ὃ μὴ ἔστι τι τῶν μερικῶν. ὥστε ὡς b 1r
καθόλου καὶ ὡς γένος τὸ ζῷον ἢ οὐδέν ἐστιν ἢ ὕστερον, τουτέστιν 20
ἐννοηματικόν ἐστιν· ἔχει γὰρ τὴν ὑπόστασιν ἐν τῷ νοεῖσθαι, ὡς μέντοι
καθ' αὑτὸ ὑφεστηκὸς οὐδέν ἐστι. καὶ ὁ ἄνθρωπον δ' ὁριζόμενος καὶ
5 ἵππον οὐ καθὸ κοινόν ἐστιν ἐπὶ πλειόνων ὁρώμενον ἀτόμων ὁρίζεται, ἀλλὰ
καθὸ φύσις τίς ἐστι καὶ οὐσία· τὸ γὰρ τούτων πλῆθος διὰ τὴν ὕλην, οὐ
διὰ τὸ εἶδός ἐστι. καὶ ὅτι καὶ τὸ ζῷον καὶ ὁ ἄνθρωπος καθὸ οὐσία ἐστὶν
ὁρίζονται, οὐ καθὸ ἐπὶ πλειόνων κατηγορεῖται, δῆλον· κἂν γὰρ εἷς εἴη ὁ
ἄνθρωπος, ὁμοίως ὁ τοῦ ἀνθρώπου ὁρισμὸς ἁρμόσει, ἔτι δὲ καὶ ὁ τοῦ 25
10 ζῴου. οὕτω μὲν ὁ Ἀλέξανδρος. ὁ δὲ Ἀριστοτέλης ἐπειδὴ ὅλως ἐμνήσθη
τοῦ ζῴου εἰπὼν 'μήποτε εἷς ἐστι πάσης ψυχῆς ὁρισμὸς ὥσπερ τοῦ ζῴου'
διὰ τοῦτο προσέθηκεν ὅτι ὡς καθόλου οὐδέν ἐστι τὸ ζῷον ἢ ὕστερον.
εἰ οὖν ὅλως βούλεται ὁρισμὸν εἶναι τοῦ ζῴου, οἱ δὲ ὁρισμοὶ οὔκ εἰσι τῶν
πρὸ τῶν πολλῶν γενῶν (οὐδὲ γὰρ δυνατὸν ἐκεῖνα ὁρίσασθαι λόγους ὄντας
15 δημιουργικούς), ὁριζόμεθα δὲ τὰ ἐννοηματικά (τὴν γὰρ ἔννοιαν ἣν ἔχομεν
περὶ τῶν πραγμάτων ὁριζόμεθα) ταῦτα δὲ ὑστερογενῆ, καλῶς ἄρα εἴπομεν 30
ὅτι περὶ τῶν ὑστερογενῶν ταῦτά φησιν.

p. 402b9 Ἔτι δὲ εἰ μὴ πολλαὶ ψυχαὶ ἀλλὰ μόρια, πότερον δεῖ ζητεῖν πρότερον τὴν ὅλην ψυχὴν ἢ τὰ μόρια.

20 Εἰπὼν πότερον μία ἢ πολλαί, καὶ ὅτι εἰ πολλαί, πότερον τῷ εἴδει 36
μόνον ἕτεραι ἢ καὶ τῷ γένει, νῦν τὸ ἕτερον μόριον τῆς διαιρέσεως ἐξε-
τάζει· εἰ γὰρ μὴ πολλαὶ ψυχαί, φησίν, ἀλλὰ μόρια. τὸ δὲ μὴ πολλαὶ
πάλιν διχῶς ἐκληψόμεθα ἀναλόγως τοῖς ἀνωτέρω· ἢ γὰρ ἐν ἑκάστῳ ἡμῶν
καὶ ἁπλῶς τῶν ἐμψύχων οὐ πολλαὶ ψυχαί, οἷον ἐν ἀνθρώπῳ ἡ φυτικὴ
25 καὶ ἡ ἄλογος καὶ ἡ λογικὴ καὶ τούτων τὰ μόρια, ἀλλὰ μία μὲν ψυχή,
μόρια δὲ αὐτῆς ταῦτα. τουτέστι διάφοροι δυνάμεις· ἢ ὅτι ἡ ἁπλῶς ψυχὴ 40
οὐ διαιρεῖται ὡς γένος εἰς πολλὰ εἴδη ψυχῶν, εἰς λόγον, εἰς θυμόν, εἰς
ἐπιθυμίαν καὶ τὰς λοιπάς, ὡς εἶναι ἕκαστον τούτων ψυχήν, ὅπερ ἔλεγεν
ἄνω 'πότερον μεριστὴ ἢ ἀμέριστος'· τὸ γὰρ γένος εἰς τὰ εἴδη μερίζεται·
30 ὥστε εἶναι ἐν ἑκάστῳ τῶν ἐμψύχων οὐ ψυχὴν ἀλλὰ μόριον ἢ μόρια ψυχῆς,
τῆς ἁπλῶς ψυχῆς ὁλότητος οὔσης, οὐ γένους. εἰ τοίνυν, φησί, μὴ πολλαὶ
ψυχαὶ ἀλλὰ μόρια ψυχῶν, τουτέστι δυνάμεις εἰσὶ πολλαί. εἴ τε οὕτως
εἴ τε ἐκείνως ἐκλαμβάνοις, πάλιν, φησί, πολλὰς ἀπορίας ἔχει ὁ λόγος· 45
ζητητέον γὰρ πόθεν ἀρκτέον τῆς διδασκαλίας ἢ τῆς θεωρίας, πότερον ἐκ
35 τῶν μορίων ἢ ἐκ τοῦ ὅλου. δόξει γὰρ ἑκάτερον εἶναι εὔλογον· ὑπολάβοι
γὰρ ἄν τις δεῖν ἐκ τοῦ ὅλου ἄρχεσθαι ὡς σαφεστέρου· σαφέστερον γὰρ

---

8 εἴη ὁ Dt: ἢ R 14 ὁρίσασθαι A: ὁρᾶσθαι DRt 15 ἐννοημα, deinde lac. V litterarum R
16. 17 καλῶς—φησιν] ἀλλὰ ταύτην μὲν τὴν θεωρίαν καὶ ἰδιάζων παρὰ τὴν σύνοψιν πόνος ἐκδέ-
χεται A 18 post ψυχαὶ add. εἰσιν D 20 πολλὴ utrobique R 21 καὶ om. R
23 τοῖς D: τῷ Rt εἰ γὰρ R 26 καὶ ὅτι R ἡ om. D¹, sed supra add. D² 27 ὡς]
εἰς R 30 ἐν om. R ἀλλὰ μόρια R 31 γένος R 35 ἑκάτερα et εὔλογα R

τὸ ὅλον τῶν μερῶν· πάλιν δόξειε τὸ δεῖν μᾶλλον ἐκ τῶν μερῶν ἄρχεσθαι b 1r
ὡς ἁπλουστέρων· δεῖ γὰρ τὸν μέλλοντα εἰδέναι τι σύνθετον ἐκεῖνα εἰδέναι
πρότερον τὰ ἐξ ὧν συνέστηκε. πάλιν ἐπειδὴ αἱ δυνάμεις ἔχουσιν ἔργα τινά,
λέγω δὴ τὰς ἐνεργείας (πᾶσα γὰρ ἐνέργεια ἐκ δυνάμεως), πάλιν ζητητέον 50
5 εἰ ἀπὸ τῶν ἐνεργειῶν ἀρκτέον πρῶτον ἢ ἀπ' αὐτῶν τῶν δυνάμεων. ἐπειδὴ
οὖν αἱ μὲν οὐσίαι τῶν πραγμάτων ἄδηλοι, δῆλαι δὲ αἱ ἐνέργειαι, διὰ
τοῦτο δεῖ ἀπὸ τῶν δήλων ἄρχεσθαι. σταθμώμεθα γὰρ τὰς ἕξεις ἐκ τῶν
ἐνεργειῶν, ἀδήλων οὐσῶν τῶν ἕξεων, μαθόντες δὲ τὰς ἕξεις, ταὐτὸν δὲ
εἰπεῖν τὰς δυνάμεις, ἐξ αὐτῶν σταθμώμεθα καὶ τὰς οὐσίας· πᾶσα γὰρ
10 δύναμις ἐξ οὐσίας, καὶ πᾶσα ἐνέργεια ἐκ δυνάμεως. ἀλλ' ἐπειδάν, φησί,
καὶ τοῦτο εὕρωμεν, ὅτι δεῖ ἐκ τῶν ἐνεργειῶν ἄρχεσθαι, ἐπειδὴ αἱ ἐνέρ-
γειαι τῶν πρός τί εἰσιν, οἷον ἡ νόησις τοῦ | νοητοῦ καὶ ἡ αἴσθησις τοῦ b 1v
αἰσθητοῦ καὶ ἡ φαντασία τοῦ φανταστοῦ καὶ ἡ διάνοια τοῦ διανοητοῦ καὶ
αἱ λοιπαὶ ὁμοίως, ταῦτα δὲ τῶν πρός τι, δεῖ δὲ τὸν εἰδότα τὰ πρός τι
15 εἰδέναι καὶ πρὸς ὅ ἐστιν, ἀνάγκη πάλιν, φησί, ζητεῖν, πότερον ἐκ τῶν
ἐνεργειῶν δεῖ ἄρχεσθαι ἢ ἐκ τῶν περὶ ἃ ἐνεργοῦσι. καὶ ἐπειδὴ σαφέστερα
τὰ περὶ ἃ ἐνεργοῦσι τῶν ἐνεργειῶν (σαφέστερον γὰρ τὸ αἰσθητὸν τῆς
αἰσθήσεως καὶ τὸ δοξαστὸν τῆς δόξης καὶ τὰ λοιπὰ ὁμοίως), ἐκ τούτων 5
ἄρα ἀρκτέον. διαφέρει δὲ μόνον ἐπὶ τοῦ νοῦ καὶ τοῦ νοητοῦ· ἐνταῦθα
20 γὰρ ἀσαφέστερον τὸ νοητὸν τοῦ νοῦ· ὁ μὲν γὰρ νοῦς ἡμέτερος, τὸ δὲ
νοητὸν ὑπὲρ ἡμᾶς. διὰ τοῦτο οὖν δεῖ τὸν τὰ νοητὰ μέλλοντα γινώσκειν
εἰδέναι πρότερον τί ποτέ ἐστι νοῦς. οὕτω γοῦν καὶ ὁ Ἀριστοτέλης ἐπὶ
τούτου μόνου ποιεῖ, πρότερον περὶ τοῦ νοῦ, εἶτα περὶ τῶν νοητῶν διδάσ-
κων. χαλεπὸν δὲ καὶ ἐπὶ τούτων διορίσαι ποῖα πέφυκεν ἕτερα
25 ἀλλήλων. ἄδηλον γὰρ εἰ φαντασία καὶ αἴσθησις ταὐτὸν ἢ ἕτερον, ἢ τὸ
φανταστικὸν καὶ τὸ κατὰ τόπον κινητικόν, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. 10
καὶ πότερον τὰ μόρια χρὴ ζητεῖν πρότερον ἢ τὰ ἔργα αὐτῶν,
μορία μὲν τὰς δυνάμεις, ἔργα δὲ αὐτῶν τὰς ἐνεργείας. οἷον τὸ νοεῖν ἢ
τὸν νοῦν, νοῦν μὲν τὴν δύναμιν, νοεῖν δὲ τὴν ἐνέργειαν, καὶ τὸ αἰσθά-
30 νεσθαι ἢ τὸ αἰσθητικόν, αἰσθάνεσθαι πάλιν τὴν ἐνέργειαν, αἰσθητικὸν
δὲ τὴν δύναμιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων δηλονότι δυνάμεων
καὶ ἐνεργειῶν [τοῦ νοῦ καὶ τοῦ νοητοῦ, δόξης καὶ δοξαστοῦ, καὶ τῶν
λοιπῶν]. εἰ δὲ τὰ ἔργα πρότερον, πάλιν ἄν τις ἀπορήσειεν, εἰ τὰ 15
ἀντικείμενα τούτων πρότερον ζητητέον ἢ τὰ ἔργα, τουτέστιν ἢ τὰς
35 ἐνεργείας· ἀντικείμενα δὲ ταῖς ἐνεργείαις εἴπομεν τὸ αἰσθητὸν τῇ αἰσθήσει
καὶ τὰ λοιπὰ ὁμοίως· ἀντίκειται δὲ ταῦτα ὡς τὰ πρός τι· ἡ γὰρ αἴσθησις

---

1 τὸ δεῖν μέλλον R 2 ἐκεῖνα D: om. Rt 7 τὰς ἕξεις Dt: τὰ ἑξῆς R
8 post τὰς ἕξεις add. καὶ τὰς ἐνεργείας D 14 fort. ταῦτα γὰρ τὰ] τὸν R
22 ποτέ om. R γοῦν Dt: γὰρ R 24 ἐπὶ τούτων] τοῦτον R 25 γὰρ εἰ
Dt: γὰρ ἡ R post ἕτερον ἢ add. ἡ δόξα καὶ ἡ φαντασία καὶ ἡ διάνοια καὶ νοῦς
ταὐτὸν ἢ ἕτερον· εἰ R 28 ἔργον δὲ R 31 ἄλλων bis R 32 τοῦ νοῦ—
λοιπῶν (33) delevi 34 πρότερον Dt: πρότερα R et de an. codd. ES 34 ἢ prius
om. D ἢ alt. D²t: om. D¹R

αἰσθητοῦ αἴσθησις. οἷον τὸ αἰσθητὸν τοῦ αἰσθητικοῦ, καὶ τὸ νοη- b 1v
τὸν τοῦ νοητικοῦ. ἔδει εἰπεῖν τὸ αἰσθητὸν τῆς αἰσθήσεως καὶ τὸ νοη-
τὸν τῆς νοήσεως· ταῦτα γάρ ἐστι τὰ τῶν ἐνεργειῶν σημαντικά· νῦν δὲ
εἶπε καταχρώμενος 'τοῦ αἰσθητικοῦ καὶ νοητικοῦ', ἅπερ ἦν σημαντικὰ τῶν
5 δυνάμεων.

p. 402b16 Ἔοικε δὲ οὐ μόνον τὸ τί ἐστι γνῶναι χρήσιμον εἶναι πρὸς τὸ θεωρῆσαι τὰς αἰτίας τῶν συμβεβηκότων ταῖς οὐσίαις.

Ἐκθέμενος τὰ προβλήματα τὰ ζητεῖσθαι ὀφείλοντα καὶ κοινῶς ἐπὶ παντὸς ὁρισμοῦ καὶ ἰδίᾳ ἐπὶ τοῦ τῆς ψυχῆς, νῦν βούλεται ἡμῖν διὰ τούτων
10 παραδοῦναι μέθοδόν τινα καὶ εὐπορίαν τῆς εὑρέσεως τῶν ὁρισμῶν. ἔστι δὲ ἡ μέθοδος αὕτη. οὐ μόνον, φησί, τῶν πραγμάτων οἱ ὁρισμοὶ συμβάλλονται ἡμῖν εἰς τὸ γνῶναι τὰ οὐσιωδῶς ὑπάρχοντα τοῖς πράγμασιν, οἷον ὡς ὅταν εἴπωμεν ὅτι ψυχή ἐστιν οὐσία αὐτοκίνητος· διὰ γὰρ τούτου συλλογιζόμεθα ὅτι καὶ ἀθάνατος, καὶ τὸ καθ' αὑτὸ ὑπάρχον τῇ ψυχῇ τὴν ἀθα-
15 νασίαν ἔγνωμεν ἐκ τοῦ ὁρισμοῦ· καὶ πάλιν ἐγνωκότες τί ἐστι τρίγωνον, εὑρίσκομεν ἐκ τούτου ὅτι τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζονας ἔχει καὶ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει· οὐ μόνον οὖν, φησίν, εἰς τὴν εὕρεσιν τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς πράγμασι συμβάλλονται ἡμῖν οἱ ὁρισμοί, ἀλλ' ἔστιν ὅτε καὶ ἀνάπαλιν εἰς τὸ γνῶναι τίς ἐστιν ὁ ὁρισμὸς
20 τοῦ προκειμένου πράγματος συμβάλλεται ἡμῖν πολλάκις ἡ γνῶσις τῶν καθ' αὑτὸ καὶ πρώτως ὑπαρχόντων τοῖς πράγμασι. ταῦτα γάρ φησι συμβεβηκότα ἐνταῦθα, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν. ἀλλ' εἰ τοῦτο, δόξειεν ἂν εἶναι διάλληλος ἡ δεῖξις· εἰ γὰρ διὰ τῶν ὁρισμῶν τὰ συμβεβηκότα γινώσκομεν καὶ διὰ τούτων πάλιν τοὺς ὁρισμούς, διάλληλος ἡ δεῖξις.
25 λέγω οὖν ὅτι οὐκ ἔστι διάλληλος· οὐ γὰρ ἐπὶ τῶν αὐτῶν συμβεβηκότων ἀμφότερα λέγει. ἀλλ' ἕτερα μὲν ἃ διὰ τῶν ὁρισμῶν γινώσκομεν, καὶ ἕτερα πάλιν δι' ὧν εἰς τοὺς ὁρισμοὺς εὐπορήσομεν. τὰ μὲν γὰρ σαφῆ καὶ ἐκ τῆς ἐναργείας εἰλημμένα συμβεβηκότα συμβάλλεται ἡμῖν εἰς τοὺς ὁρισμοὺς οὔπω ἐγνωσμένους, οἱ δὲ ὁρισμοὶ εἰς τὴν λῆψιν τῶν μὴ προδήλων ἐκ τῆς
30 ἐναργείας συμβεβηκότων. ὥσπερ πολλαχοῦ καὶ αὐτὸς ἐποίησε. βουλόμενος γὰρ ἀποδοῦναι τὸν ὁρισμὸν τοῦ τόπου. ἐπειδὴ ἄδηλος ἦν οὗτος. λάβωμεν, φησί, πρότερον οἱονεὶ κριτήριον τοῦ ἀποδοθησομένου ὁρισμοῦ τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ τόπῳ, οἷον τὸ περιέχειν τὸ ἐν τόπῳ, τὸ ἴσον εἶναι αὐτῷ καὶ ὅσα ἄλλα ἐκεῖ κατηρίθμησε. καὶ ἐάν, φησίν, ὁ ἀπο-
35 δεδομένος ὁρισμὸς τοιοῦτος ᾖ ὥστε πᾶσιν ἐφαρμόζειν τοῖς κατὰ κοινὴν

1 οἷον DR: καὶ t αἰσθητικὸν R 11 οἱ ὁρισμοὶ Dt: ὁ ὁρισμὸς R 11. 12 συμβάλλονται scripsi: συμβάλλεται libri 12 ὑπάρχοντα DRt: ἐνυπάρχοντα A 15 ἔγνωμεν] δόσωμεν t 17 δυσὶν — ἔχει Dt: τῆς λοιπῆς μείζονας R 21 ταύτῃ D² in rasura post φησι add. τὰ D² 22 ἐνταῦθα — συμβεβηκότα (23) om. D 28 ἐνεργείας R, item v. 30 D¹R, sed corr. D²(?) 30 ὥσπερ — ἐποίησε Dt: ὥσπερ δὲ αὐτὸς πολλαχοῦ R 31 γὰρ A: om. DRt 34 ἐκεῖ] Phys. Δ 4 p. 210b32

ἔννοιαν ὑπάρχουσι τῷ τόπῳ, ὑγιὴς ἔσται· εἰ δὲ μή, οὔ. οὕτω δὲ καὶ b 1v
ἐπὶ τοῦ ἀπείρου καὶ τοῦ κενοῦ καὶ τοῦ χρόνου· οὕτω καὶ ἐν τοῖς Μετεώ-
ροις τὴν αἰτίαν ζητῶν τῆς χαλάζης ἐζήτησε τὰ κοινῶς ὑπάρχειν ὁμολο-
γούμενα αὐτῇ, τὸ ἐν μετοπώρῳ καὶ ἐν ἔαρι γίνεσθαι. καὶ ἐν χειμῶνι ἐν 45
5 ταῖς ἀλεεινοτέραις χώραις. εἶτα, φησί, τοιαύτην περὶ αὐτῆς ἀποδῶμεν
αἰτίαν ἥτις πᾶσι τούτοις συνάγεται. οὕτως οὖν, φησὶ καὶ νῦν, ἐπειδὴ
ζητοῦμεν τὸν τῆς ψυχῆς ὁρισμόν, οὗτος δὲ ἄδηλός ἐστι, λάβωμεν τὰ ἐκ
τῆς ἐναργείας καθ' αὑτὸ τῇ ψυχῇ πρώτως παρακολουθοῦντα, ἵν' ἐκ τού-
των ὁδοποιηθῶμεν καὶ εἰς τὴν λῆψιν τοῦ ὁρισμοῦ αὐτῆς, οἷον τὸ φαντα-
10 στικόν, τὸ κατὰ τόπον κινητικόν, τὸ ζωῆς ποιητικόν, καὶ ὅσα τοιαῦτα·
ταῦτα γὰρ τῆς ψυχῆς ἴδια, διὸ μετὰ τὴν ἔξοδον αὐτῆς οὐκ ἐνεργεῖ ταῦτα 50
καὶ τὰ τοιαῦτα τὸ σῶμα.

p. 402b18 Ὥσπερ ἐν τοῖς μαθήμασι τό τε εὐθὺ καὶ καμπύλον ἢ
τί γραμμὴ καὶ ἐπίπεδον πρὸς τὸ κατιδεῖν ὁπόσαις ὀρθαῖς αἱ τοῦ
15 τριγώνου γωνίαι ἴσαι.

Τοῦτο παράδειγμά ἐστι τοῦ ὅτι ἐκ τῶν ὁρισμῶν εὑρίσκομεν τὰ καθ'
αὐτὸ τοῖς πράγμασιν ὑπάρχοντα. | τὸ γὰρ ἐκ τῶν ὁρισμῶν τὰ παρακο- b 2r
λουθοῦντα γινώσκειν ἐπὶ τῶν μαθηματικῶν ὡς ἐπίπαν ἐστὶν ἀναγκαῖον,
ἐπεὶ μηδὲν ἔχομεν ἐπὶ τούτων ἐξ αἰσθήσεως λαβεῖν τῶν ὑπαρχόντων αὐτοῖς,
20 ἀλλὰ δεῖ πρῶτον εἰδέναι τί ἐστι τὸ τρίγωνον, εἶθ' οὕτως ἐκ τούτου συλλο-
γίσασθαι τί αὐτῷ παρακολουθεῖ. διὰ δὲ τοῦ παραδείγματος ἐδήλωσεν ὅτι
συμβεβηκότα νῦν λέγει τὰ καθ' αὑτὸ ὑπάρχοντα πρώτως· τῷ γὰρ τριγώνῳ 5
πρώτως καὶ καθ' αὑτὸ ὑπάρχει τὸ τὰς τρεῖς γωνίας δύο ὀρθαῖς ἴσας ἔχειν·
μόνῳ γὰρ καὶ παντὶ τριγώνῳ τοῦτο ὑπάρχει. εἰς τὴν τῶν τοιούτων οὖν
25 γνῶσιν, φησί, συμβάλλεται τὸ εἰδέναι τί ποτέ ἐστι γραμμὴ ἢ τί ἐπίπεδον,
ἢ εὐθὺ ἢ καμπύλον. ταῦτα δὲ παραδείγματος ἕνεκεν ὡς ἐν ὑποθέσει
εἶπεν, οὐχ ὡς ἢ τούτων πάντων ἢ μόνων συμβαλλομένων εἰς τὸ μαθεῖν
ὅτι δύο ὀρθαῖς ἴσαι εἰσὶν αἱ τρεῖς γωνίαι· οὔτε γὰρ ὁ τοῦ καμπύλου ὁρισμὸς
οὔτε ὁ τοῦ ἐπιπέδου οὐδὲν συμβάλλεται, δεῖ δὲ καὶ ἄλλων τινῶν ὁρισμοὺς 10
30 προσλαβεῖν. ἐν τούτοις μὲν οὖν δεῖ πρὸς τὴν τῶν συμβεβηκότων λῆψιν
τῆς προλήψεως τοῦ ὁρισμοῦ, ἐπεὶ μηδὲν ἔχομεν ἐκ τῆς ἐναργείας περὶ
αὐτῶν εἰπεῖν. ἔστι δὲ ἐπὶ ἄλλων πραγμάτων ὅτε δεῖ πρὸς τὴν τοῦ

---

2 ἐπὶ τοῦ ἀπείρου] Phys. Γ 4 p. 203b15 sqq. καὶ τοῦ κενοῦ] Phys Δ 6 p.213a19 καὶ τοῦ χρόνου] Phys. Δ 10 p. 217b30 2. 3 ἐν τοῖς Μετεώροις] A 12 p. 347b34 4 τὸ D: τὰ Rt καὶ (post μετοπώρῳ) R: ἢ Dt ἔαρι] ἀέρι R 5 ἀλεεινοτέραις t 7 οὕτος AR: ὁ αὐτὸς Dt 8 ἐνεργείας R ut supra et v. 31 11 γὰρ AR: om. Dt 13 τό τε εὐθὺ DR: οἷόν τι τὸ εὐθὺ t, cf. de an. W: τί τὸ εὐθὺ de an. plerique καὶ καμπύλον DR et Arist. codd. plerique: καὶ τὶ τὸ καμπύλον t, cf. Arist. SUW 13. 14 ἢ τί Dt: ἤ τε R 14 ὁπόσαις DR: πόσαις (ut Aristot.) t 27 μόνων R: μόνον Dt 31 προλήψεως D¹: προσλήψεως D²Rt 32 ὅτε t: ὅτι R: εἰ D¹ (ut vid.) in rasura

ὁρισμοῦ λῆψιν τῆς γνώσεως τῶν συμβεβηκότων, ὥσπερ ἔχει ἐπὶ τόπου b 2r
καὶ χρόνου καὶ κενοῦ καὶ ἀπείρου καὶ νῦν ἐπὶ ψυχῆς διὰ τὸ ἄδηλον μὲν
εἶναι τὸν ὁρισμόν, ταῦτα δὲ ἐκ τῆς αἰσθήσεως δῆλα.

p. 402b22 Ἐπειδὰν γὰρ ἔχωμεν ἀποδιδόναι κατὰ τὴν φαντασίαν περὶ τῶν συμβεβηκότων, ἢ τῶν πλείστων ἢ τῶν πάντων.

Φαντασίαν φησὶ ἤτοι ὁλοσχερέστερον γνῶσιν ἤγουν τὰ φαινόμενα καὶ ἐναργῆ, φαντασίαν καλέσας παρὰ τὸ φανερὰ εἶναι. τότε καὶ περὶ τῆς οὐσίας ἕξομεν λέγειν κάλλιστα. εἰ γὰρ πολλὰ τῶν καθ' αὑτὸ ὑπαρχόντων καὶ πρώτως τοῖς πράγμασι γνῶμεν, δυνάμεθα οἷον ἰχνηλατοῦντες διὰ τούτων εὑρεῖν τοῦ πράγματος τὸν ὁρισμόν. οὐσίαν δὲ λέγει πάντα τὰ ἁπλῶς καὶ τὸν ὁρισμὸν καὶ ὅσα ἄλλα ὑπάρχει τῇ οὐσίᾳ· εὑρηκότες γὰρ τὸν ὁρισμὸν δι' αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα τῇ οὐσίᾳ εὑρήσομεν. καὶ τοῦτο βουλόμενος δηλῶσαι ἐπήγαγε·

p. 402b25 Πάσης γὰρ ἀποδείξεως ἀρχὴ τὸ τί ἐστι.

Τοῦτο δηλῶν ὅτι εἰ καὶ ἐκ τῆς ἐναργείας ἔχομέν τινα γνῶσιν τῶν συμβεβηκότων ταῖς οὐσίαις, ἀλλὰ ταύτην τὴν γνῶσιν ἔχομεν ἐξ αἰσθήσεως καὶ οὐκ ἀποδεικτικήν· ἐὰν δὲ τὸν ὁρισμὸν γνῶμεν, τότε ἐπιστημονικῶς δυνάμεθα τὴν γνῶσιν αὐτῶν ἑλεῖν ἀρχαῖς κεχρημένοι τοῖς ὁρισμοῖς. ἤτοι δὲ οὐ πρὸς πάντα ἁπλῶς τὰ συμβεβηκότα ταῖς οὐσίαις ἐκληπτέον τοῦτο (συμβεβηκότα δέ, ὡς ἤδη εἶπον, τὰ πρώτως καὶ καθ' αὑτὸ ὑπάρχοντα), ἵνα μὴ δόξῃ διάλληλος εἶναι ἡ δεῖξις, εἴ γε διὰ τῶν συμβεβηκότων τὸν ὁρισμὸν καὶ διὰ τούτου ἐκεῖνα πάλιν γνωρίζομεν· ἀλλὰ ἄλλα μὲν δι' ὧν τοὺς ὁρισμοὺς γινώσκομεν, ὅσων τὴν γνῶσιν ἔχομεν ἐκ τῆς αἰσθήσεως, οἷον τὸ ἅμα τῷ παρεῖναι ζωὴν ἐπιφέρειν τοῖς σώμασι (τοῦτο γὰρ ἴδιον ψυχῆς), τὸ αἴτιον εἶναι τροφῆς, αὐξήσεως, γεννήσεως, τὸ αἴτιον εἶναι τοῖς ζῴοις τῆς εἰς τὰ πλάγια κινήσεως· ταῦτα γὰρ γνώριμα τῇ αἰσθήσει· ἄλλα δὲ ἅτινα ἐκ τῶν ὁρισμῶν συλλογιζόμεθα ἄδηλα ὄντα, οἷον τὸ ἀθάνατον εἶναι τὴν λογικὴν ψυχήν· ἐπειδὴ γὰρ εὕρομεν ἐν τῷ ὁρισμῷ αὐτῆς ὅτι οὐσία ἐστὶν αὐτοκίνητος, ἐκ τοῦ αὐτοκινήτου τὸ ἀθάνατον συνελογισάμεθα. ὁ μὲν γὰρ ὁρισμὸς ἐκ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς πράγμασι λαμβάνεται, οὐ μέντοι πάντα περιλαμβάνει τὰ καθ' αὑτὸ ὑπάρχοντα, ἀλλ' ὅσα ἱκανά εἰσι διακρῖναι οὐσιωδῶς τῶν ἄλλων τὴν ὑποκειμένην φύσιν. ἢ οὖν οὕτως ἐκληπτέον τὸ πάσης γὰρ ἀποδείξεως ἀρχὴ τὸ τί ἐστιν, ἢ

1 inter λῆψιν et τῆς rasura II versuum et dimidii D τόπου Dt: τοῦ ποῦ R 3 δῆλα Dt: ὡς δῆλον R 4 ἔχομεν R 5 ἢ τῶν πλείστων ἢ τῶν πάντων DR: ἢ τῶν πάντων ἢ τῶν πλείστων t et Arist. U: ἢ πάντων ἢ τ. πλ. Arist. vulg. 6 post ἤτοι add. τὴν D²t 9 γνῶμεν D: γνῶναι Rt 11 πάντα τὰ ἁπλῶς] exspectas πάντα τὰ οὐσιώδη ἁπλῶς 14 πᾶσα R 15 δηλῶν D²(?): δῆλον D¹Rt 25 αἰτίαν utrobique R εἶναι τροφῆς t: τροφῆς εἶναι D: εἶναι om. R 25. 26 τοῖς ζῴοις post κινήσεως transp. R

ὅπερ εἶπον καὶ μᾶλλόν ἐστιν ἀληθὲς καὶ Ἀλεξάνδρῳ δοκεῖ, πάντων καθά- b 2r
παξ τῶν καθ' αὑτὸ ὑπαρχόντων τοῖς πράγμασιν ἀρχὴν εἶναι τὸν ὁρισμόν
φησι. πῶς γὰρ ἐγχωρεῖ ἀποδεικτικῶς εἰδέναι τίνα ἐστὶ τὰ ὑπάρχοντα
κατ' οὐσίαν τῷ πράγματι τὸν μὴ τὴν οὐσίαν αὐτοῦ ἐγνωκότα; λαβεῖν μὲν
5 γὰρ ἐξ αἰσθήσεως ἔστι τινὰ τῶν ὑπαρχόντων τοῖς πράγμασιν, ἐξ ὧν καὶ
ἀφορμὰς πρὸς τὸν ὁρισμὸν εὑρίσκομεν· ἐπιστημονικὴν δὲ γνῶσιν ἀδύνατον
λαβεῖν περὶ αὐτῶν τὸν τὴν οὐσίαν τοῦ πράγματος ἀγνοοῦντα· τοῦτο δέ
ἐστιν ὁ ὁρισμός. μία γὰρ ὡς ἀληθῶς ἀρχὴ τῷ μέλλοντι καλῶς βουλεύ-
εσθαι· εἰδέναι δεῖ περὶ ὅτου ἂν ᾖ ἡ βουλή, ἢ τοῦ παντὸς διαμαρτάνειν
10 ἀνάγκη. ὅτι μὲν γὰρ ὑπάρχει τῇ ψυχῇ τὸ φαντάζεσθαι, αἰσθάνεσθαι,
διανοεῖσθαι καὶ τὰ τοιαῦτα ἴσμεν ἐκ τῆς αἰσθήσεως· τίς ποτε δέ ἐστιν ἡ
τούτων φύσις, καὶ πότερον τὰ αὐτὰ ἀλλήλοις ἢ ἕτερα, καὶ ὅσα περὶ τούτων
ζητεῖται οὐκ ἴσμεν, ἀλλὰ τότε ἐπιστημονικὴν περὶ αὐτῶν γνῶσιν λαμβά-
νομεν, ὅταν τὴν οὐσίαν γνῶμεν τῆς ψυχῆς. διάλληλος δὲ ἡ δεῖξις οὐκ
15 ἔστιν. τῶν γὰρ προβλημάτων ἐπὶ παντὸς τεσσάρων ὄντων, τοῦ εἰ ἔστι
καὶ τί ἐστι καὶ ὁποῖόν τί ἐστι καὶ διὰ τί ἐστι, τὸ μὲν ὅτι ἐστὶ τάδε τὰ
συμβεβηκότα λαμβάνομεν ἐκ τῆς ἐναργείας καὶ τὸ τί ἐστι τοῦ ὁρισμοῦ ἐξ
αὐτῶν τεκμαιρόμεθα· ἐκ δὲ τοῦ ὁρισμοῦ οὐχ ὅτι ἐστὶ τὰ συμβεβηκότα
γινώσκομεν, ἀλλὰ τὸ τί ἐστι καὶ ὁποῖον καὶ διὰ τί. ὥστε διὰ μὲν τοῦ
20 ὅτι ἐστὶ τῶν συμβεβηκότων τὸ τί ἐστι τοῦ ὁρισμοῦ γινώσκομεν. διὰ δὲ
τοῦ τί ἐστι τοῦ ὁρισμοῦ τὰ λοιπὰ προβλήματα τῶν συμβεβηκότων· ὥστε
οὐ κατὰ τὸ αὐτό ἐστιν ἡ διάλληλος δεῖξις. τοῦτο δὲ οὐδὲν ἄτοπον, δι'
ἀλλήλων τινὰ δεῖξαι μὴ κατὰ τὸ αὐτό, ἀλλὰ κατὰ ἄλλο καὶ ἄλλο. καὶ
ὅτι ταύτης ἐστὶ τῆς ἐννοίας ὁ Ἀριστοτέλης δηλοῖ τὰ ἑπόμενα. |

25 p. 402ᵇ26 Ὥστε καθ' ὅσους τῶν ὁρισμῶν μὴ συμβαίνει τὰ συμ- b 2v
βεβηκότα γνωρίζειν, ἀλλὰ μηδὲ εἰκάσαι περὶ αὐτῶν εὐμαρές,
διαλεκτικῶς εἴρηνται καὶ κενῶς.

Σύμφωνα ταῦτα τοῖς εἰρημένοις· εἰ γὰρ ἀρχὴ πάσης ἀποδείξεως τὸ
τί ἐστι, πᾶσα ἀνάγκη, ἐὰν μὴ τοιοῦτος ᾖ ὁ ἀποδεδομένος τοῦ πράγματος
30 ὁρισμός, ὥστε δι' αὐτοῦ περὶ πάντων τῶν καθ' αὑτὸ ὑπαρχόντων τῷ
πράγματι ὡς δι' ἀρχῆς τὴν ἐπιστήμην ποιήσασθαι, ἢ καὶ εἰκασίαν τινὰ
λαβεῖν, ἐπεὶ μὴ πάντα τὰ καθ' αὑτὸ ὑπάρχοντα τῷ πράγματι ἐμφαίνεται
ἐν τῷ ὁρισμῷ, ἀνάγκη, φησί, τὸν τοιοῦτον ὁρισμὸν διαλεκτικὸν εἶναι καὶ
κενῶς εἰρῆσθαι, τουτέστι κατὰ κενοῦ φέρεσθαι καὶ μὴ ἐφάπτεσθαι τῆς
35 φύσεως τοῦ πράγματος, μηδὲ οἱονεὶ ἀπερείδειν τῷ πράγματι τὴν πέζαν

---

3 ὑπάρχοντα om. D 8 μία γὰρ — ἀνάγκη (10)] Plat. Phaedr. p. 237 B 16 καὶ (ante ὁποῖον) om. R 20 τὰ συμβεβηκότα A 22 διάλληλον R 26 εὐμαρῶς R 27 διαλεκτικῶς DR: δῆλον ὅτι διαλεκτικῶς t et Arist. εἴρηνται D²t et Arist.: εἴρηται D¹R κενῶς DR: κενῶς ἅπαντα t: κενῶς ἅπαντες Arist. 34 κατὰ κενοῦ] κατὰ et οῦ in ras. D²

τῆς διανοίας, ἀλλὰ μετέωρον εἶναι. διαλεκτικὸν δέ, τουτέστιν οὐ φυσικὸν b 2v
ἀλλ' ἁπλῶς πρὸς δόξαν ὁρῶντα καὶ τὸ δοκεῖν τι λέγειν, οἷουπερ αὐτὸς
μετ' ὀλίγον μνησθήσεται τοῦ τὴν ὀργὴν λέγοντος ὄρεξιν εἶναι ἀντιλυπή- 10
σεως. οὐ γὰρ φυσικὸς οὗτος ὁ ὁρισμός· οὐ γὰρ τὴν οὐσίαν τοῦ θυμοῦ
5 ἐδήλωσεν, ἀλλά τι ἐν ἐκείνῃ ἔχον τὸ εἶναι ἀποτεμὼν αὐτῆς καθ' αὑτὸ
ὡρίσατο, ἐξ οὗ οὐδὲ τὰ παρακολουθοῦντα τῷ θυμῷ γνωρίσαιμεν ἄν, ὥσπερ
ἐκ τοῦ λέγοντος τὴν ὀργὴν ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν
ἀντιλυπήσεως. οὗτος γὰρ καὶ τὰ παρακολουθοῦντα γνώριμα ποιεῖ, ὅτι
παλμός τις τῆς καρδίας παρακολουθεῖ τοῖς ὀργιζομένοις καὶ ὅτι θερμότης
10 γίνεται περὶ τὰ ἐκεῖ μέρη, καὶ ὅτι ἐρυθαίνονται οἱ ὀργιζόμενοι· τοῦτο δὲ 15
διὰ τὴν τοῦ αἵματος κίνησιν. τοιοῦτός ἐστι καὶ ὁ ὑπὸ Ξενοκράτους τῆς
ψυχῆς ἀποδοθεὶς ὁρισμός· ἀριθμὸς γάρ, φησίν, κινῶν ἑαυτόν. ὁ γὰρ
τοῦτον ἀκούσας οὐδὲν εἰκάσαι καὶ λαβεῖν ἐξ αὐτοῦ τῶν τῇ ψυχῇ ἢ τῷ
ζῴῳ ὑπαρχόντων δυνήσεται. κανόνα δὲ ἡμῖν διὰ τούτων παραδίδωσιν ὁ
15 Ἀριστοτέλης τῆς τῶν ὁρισμῶν ἀποδόσεως, ὅτι δεῖ αὐτοὺς τοιούτους εἶναι
ὡς πάντα τὰ καθ' αὑτὸ ὑπάρχοντα τοῖς πράγμασι δι' αὐτῶν ὥσπερ ἀπό
τινος ἀρχῆς δύνασθαι συλλογίζεσθαι. οὗτος γὰρ τελειότατος ὁρισμός. 20

p. 403a3 Ἀπορίαν δὲ ἔχει καὶ τὰ πάθη τῆς ψυχῆς, πότερόν ἐστι
ἅπαντα κοινὰ καὶ τοῦ ἔχοντος ἢ ἐστί τι καὶ τῆς ψυχῆς ἴδιον
20 αὐτῆς· τοῦτο γὰρ λαβεῖν μὲν ἀναγκαῖον, οὐ ῥᾴδιον δέ.

Εἰπὼν τὰ προβλήματα τὰ ὀφείλοντα ζητεῖσθαι ἐν τῷ περὶ τῆς ψυχῆς
λόγῳ, εἶτα εὐπορίαν τινὰ πρὸς τὴν λῆψιν τοῦ ὁρισμοῦ φήσας εἶναι τὴν ἐκ 25
τῆς αἰσθήσεως τῶν καθ' αὑτὸ ὑπαρχόντων τῇ ψυχῇ γνῶσιν, καὶ αὐτό,
φησί, τοῦτο ἀπορώτατον ἂν εἴη τὸ περὶ τῶν παθῶν τῶν τῆς ψυχῆς θεω-
25 ρίαν τινὰ λαβεῖν ὥσπερ ἐφόδιον πρὸς τὸν ὁρισμόν· οὐ γὰρ ἔχομεν ἐκ τῆς
αἰσθήσεως διακρῖναι, φησίν, ἆρα τὰ τῆς ψυχῆς πάθη ἅπαντα τοῦ συναμ-
φοτέρου ἐστί, τοῦ ζῴου λέγω, κοινὰ ἢ ἔχει τινὰ καὶ αὐτὴ ἴδια πάθη·
ἀνάγκη γάρ, φησί, πάντῃ καὶ πάντως τοῦτο προλαβεῖν πρὸς τὸ γνῶναι τὴν
οὐσίαν τῆς ψυχῆς, ἔστι δὲ χαλεπώτατον ἑλεῖν. εἰ μὲν οὖν ὡς ὀργάνῳ 30
30 χρῆται τῷ σώματι ἰδίᾳ ἔχουσα τὰς ἐνεργείας, οὐ δεῖ προσχρήσασθαι τῷ
σώματι πρὸς τὸν ὁρισμόν· οὐ γὰρ συμπληροῖ τὴν οὐσίαν τοῦ τέκτονος τὸ
σκέπαρνον· εἰ δὲ ἐν τῷ σώματι ἔχει τὸ εἶναι, ὡς εἶναι τὰς ἐνεργείας τοῦ
συναμφοτέρου, ἀνάγκη προσχρήσασθαι ἐν τῷ ὁρισμῷ τῷ σώματι, ὥσπερ
ἐπὶ τοῦ θυμοῦ ἐλέγομεν. ἀναγκαία οὖν ἡ τούτων λῆψις, οὐκ εὐχερὴς δέ.
35 πάθη δὲ κοινότερον τὰς ἐνεργείας τῆς ψυχῆς ἐκάλεσε. φαίνεται δὲ

---

2 τοῦ δοκεῖν R 5 τι ἐν AD¹R: τι τὸ ἐν D²t 7 περὶ καρδίαν R 10 τὰ ἐκεῖ Dt: τὰ ἐκεῖνα R: ἐκεῖνα τὰ A ἐρυθαίνονται ADR: ἐρυθραίνονται t 11 καὶ ὁ D²t: ὁ om. D¹R 12 post φησίν add. ἐστι Rt 19 πάντα t 21 τῆς om. t 24 τῶν (post παθῶν) om. t 27 ἔχει τινὰ D: ἔχει κοινά τινα Rt 31 πρὸς D²t: om. AD¹R 32 ἐν σώματι R

τῶν μὲν πλείστων οὐδὲν ἄνευ τοῦ σώματος πάσχειν οὐδὲ ποιεῖν. b 2v
τὰ γὰρ τῶν παθῶν πλεῖστα καὶ μετὰ σώματος γίνεται καὶ περὶ σώματα· 35
καὶ ὀργιζομένων γὰρ καὶ λυπουμένων καὶ ἐπιθυμούντων καὶ θαρρούντων
καὶ φοβουμένων, καὶ ἐπὶ πάντων τῶν τοιούτων συνδιατίθεται καὶ συγκι-
5 νεῖται τὸ σῶμα· ἀλλὰ καὶ αὐταὶ αἱ ἐνέργειαι τῶν παθῶν τούτων περὶ
σώματά εἰσι. ὥστε τοῦ συναμφοτέρου καὶ οὐκ ἴδια τῆς ψυχῆς τὰ τοιαῦτα.

p. 403a7 Μάλιστα δ' ἔοικεν ἰδίῳ τὸ νοεῖν.

Ἰδοὺ πάλιν πάθος τὸ νοεῖν ἐκάλεσε. τοῦτο ὡς πρὸς Ἀνδρόνικον 40
τὸν Ῥόδιον νοθεύσαντα τὸ Περὶ ἑρμηνείας διὰ τὸ ἐκεῖ μὲν εἰπεῖν τὸν
10 Ἀριστοτέλην τὰ νοήματα παθήματα τῆς ψυχῆς, ὡς εἴρηται ἐν τῷ Περὶ
ψυχῆς, μηδαμοῦ δὲ φαίνεσθαι ἐν τῷ Περὶ ψυχῆς, ὡς ἐνόμισεν ὁ Ἀνδρό-
νικος, τὰ νοήματα παθήματα εἰρηκότα. ἰδοὺ οὖν καὶ ἐνταῦθά φησιν ὅτι
μάλιστα δὲ ἔοικεν ἰδίῳ τὸ νοεῖν· ἰδίῳ γὰρ πάθει δηλονότι. εἴ τι οὖν,
φησί, καὶ ἔχει ἴδιον πάθος ἡ ψυχή, τοῦτο ἂν εἴη τὸ νοεῖν.

15 p. 403a8 Εἰ δέ ἐστι καὶ τοῦτο φαντασία τις ἢ μὴ ἄνευ φαντασίας,
οὐκ ἐνδέχοιτο ἂν οὐδὲ τοῦτο ἄνευ σώματος εἶναι. 45

Εἰ ἡ νόησις, φησίν, ἢ φαντασία τίς ἐστιν ἢ χωρὶς φαντασίας οὐ γίνε-
ται, πᾶσα ἀνάγκη μηδὲ τὴν νόησιν ἰδίαν εἶναι τῆς ψυχῆς, ἀλλὰ τοῦ συναμ-
φοτέρου, εἴ γε ἡ μὲν φαντασία ἤρτηται τῆς αἰσθήσεως (ἐξ αὐτῆς γὰρ
20 ἔχει τοὺς τύπους), ἡ δὲ αἴσθησις τοῦ συναμφοτέρου. καὶ ἐνταῦθα μὲν ὡς
ἐν προβλήμασιν οὕτως εἶπεν· ἐναργῶς δὲ ἐν τῷ τρίτῳ λόγῳ ἄνευ φαντα-
σίας εἶναι λέγει τὴν νόησιν. λέγει δὲ οὕτως "τὰ δὲ πρῶτα νοήματα τί 50
διοίσει τοῦ μὴ φαντάσματα εἶναι; ἢ οὐδὲ τὰ ἄλλα φαντάσματα, οὐκ ἄνευ
δὲ φαντασμάτων," πρῶτα νοήματα λέγων τὰ περὶ τῶν νοητῶν, ἅπερ ἀφάν-
25 ταστα εἶναι ἀπεφήνατο. τὸ δὲ οὐκ ἄνευ τριχῶς λέγεται· ἢ γὰρ τὸ μήτε
βλάπτον μήτε ὠφελοῦν, ὡς λέγομεν οὐκ ἄνευ σκιᾶς τὸ ἐν φωτὶ σῶμα
(οὔτε γὰρ ὠφελεῖ τι σῶμα οὔτε βλάπτει ἡ σκιά) ἢ τὸ ἐξ ἀνάγκης ὡς
ὄργανον ἤ τι τοιοῦτον, ὡς λέγομεν ὅτι ἠρίστευσεν ὁ Ἀχιλλεύς, ἀλλ' οὐκ
ἄνευ τῆς μελίας (ἐξ ἀνάγκης γὰρ ἐδέησεν αὐτῷ τῆς μελίας | πρὸς τὴν b 3r
30 ἀριστείαν· οὐ γὰρ ἠδύνατο γυμνὸς ἀριστεῦσαι), ἢ τὸ παρεμποδίζον, ὥσπερ
λέγομεν ὅτι ἐν χειμῶνι πλεύσας ἐσώθη, ἀλλ' οὐκ ἄνευ κινδύνου· ἐνταῦθα
γὰρ τὸ οὐκ ἄνευ ὡς ἐμποδιστικὸν λαμβάνομεν. ἐν τῷ οὖν "ἢ οὐδὲ τὰ

---

1 τῶν μὲν πλείστων D^2Rt: τὸν μ. πλεῖστον D^1: τὸ μ. πλεῖστον A 5 αὐταὶ A: αὗται DRt 7 δ' om. R ἰδίῳ ADR et de an. codd. tres: ἴδιον t et de an. plerique 9 ἐκεῖ] de interpr. 1 p. 16a6 sqq. 13 εἴ τι — νοεῖν (14) om. t 19 εἴ γε — συναμφοτέρου (20) om. D 22 τὰ δὲ πρῶτα — φαντασμάτων (24)] de an. Γ 8 p. 432a12 δὲ (post τὰ) Dt: μὲν R 24 λέγων τὰ] τῶν λεγόντων R 26 ὡς λέγεται R 27 ante σῶμα add. τὸ R 31 ἄνευ κινδύνου] ἂν ἐκινδύνευσεν R 32 λαμβάνομεν — ἐμποδιστικὸν (p. 46,1) om. D

ἄλλα φαντάσματα, οὐκ ἄνευ δὲ φαντασμάτων" ὡς ἐμποδιστικὸν τὸ οὐκ ἄνευ b 3r
παρέλαβεν. ἐν δὲ τῷ προκειμένῳ ῥητῷ τῷ εἰ δέ ἐστι καὶ τοῦτο φαν-
τασία τις ἢ μὴ ἄνευ φαντασίας τὸ μὴ ἄνευ τὸ ὡς ἐξ ἀνάγκης φησίν, 5
ὡς εἰ ὀργανικῶς δέοιτο ὁ νοῦς τῆς φαντασίας εἰς τὸ τὰς ἰδίας ἐνεργείας
5 ἐκπληρῶσαι· διὸ ἐπήγαγε τὸ οὐκ ἐνδέχοιτο ἂν ἄνευ τοῦ σώματος
εἶναι· ὡς ἐν ὑποθέσει δὲ ὁ λόγος.

p. 403a10 Εἰ μὲν οὖν ἐστί τι τῶν τῆς ψυχῆς ἔργων ἢ παθημάτων ἴδιον, ἐνδέχοιτο ἂν αὐτὴν χωρίζεσθαι· εἰ δὲ μηδέν ἐστιν ἴδιον αὐτῆς, οὐκ ἂν εἴη χωριστή.

10 Πολλὴ τοῖς ἐξηγηταῖς ἀμφιβολία γέγονε περὶ τοῦ χωρίου τούτου.
νομίσαντες γὰρ ἀντιστροφῇ τῇ σὺν ἀντιθέσει χρήσασθαι τὸν φιλόσοφον, 10
ἠπόρησαν εἰκότως ὡς κακῶς ἐκ τοῦ ἡγουμένου χρησαμένου τοῦ φιλοσό-
φου τῇ ἀντιστροφῇ, δέον ἐκ τοῦ ἑπομένου ποιῆσαι τὴν ἀντιστροφήν. εἶπε
γάρ, φασίν, οὕτως 'εἰ μέν ἐστιν ἴδιόν τι πάθος ψυχῆς, χωριστή ἐστιν'·
15 εἶτα ἔλαβε τὸ ἀντικείμενον τοῦ ἡγουμένου καὶ κατεσκεύασε τὸ ἀντικείμενον
τοῦ ἑπομένου 'εἰ δὲ μηδέν ἐστιν ἴδιόν τι πάθος ψυχῆς, οὐκ ἔσται οὐδὲ
αὐτὴ χωριστή', δέον ἐκ τοῦ ἑπομένου ἀντιστρέψαι 'εἰ δὲ μὴ ἔστι χωριστή,
οὐκ ἔχει τι πάθος ἴδιον'. οἱ δὲ Ἀττικοὶ ἐξηγηταὶ καλῶς φασιν ὅτι οὐδὲ 15
ἀντιστροφῇ ὅλως ἐνταῦθα ἐχρήσατο, ἀλλὰ δύο τινὰ συνημμένα ἔλαβε, δύο τινὰς
20 κανόνας δι' αὐτῶν παραδιδούς, οὓς ἤδη λαβόντες ἐντεῦθεν προειρήκαμεν. ὅτι
ὧν αἱ ἐνέργειαι χωρισταὶ σωμάτων, τούτων καὶ αἱ οὐσίαι πάντως χωρισταί,
καὶ ὧν ἀχώριστοι αἱ ἐνέργειαι, ἐξ ἀνάγκης καὶ αἱ οὐσίαι ἀχώριστοι. εἰ γὰρ
ἡ μὲν ἐνέργεια χωριστὴ εἴη, ἡ δὲ οὐσία ἀχώριστος, ἐπειδὴ αἱ μὲν ἐνέργειαι
ἐκ δυνάμεων, αἱ δὲ δυνάμεις ἐκ τῶν οὐσιῶν, ἐπειδὰν χωρισθῇ ἡ ἐνέργεια,
25 εἴ γε ἔστι χωριστή, ἀνάγκη τινὰ ἐνέργειαν εἶναι ἀνούσιον καὶ ἀδύναμον, 20
ὅπερ ἀδύνατον· πᾶσα γὰρ ἐνέργεια ἐκ δυνάμεως, πᾶσα δὲ δύναμις ἐξ οὐσίας.
ἀνάγκη ἄρα πᾶσα χωριστῆς οὔσης τῆς ἐνεργείας χωριστὴν εἶναι καὶ τὴν
οὐσίαν· εἰ δὲ τοῦτο, ἐξ ἀνάγκης καὶ ἀθάνατον καὶ ἄφθαρτον. πῶς; πᾶν τὸ
φθειρόμενον δυσὶ τρόποις φθείρεται, ἢ τῷ ἀναλύεσθαι εἰς τὰ ἑαυτοῦ στοι-
30 χεῖα ὡς τὰ ἡμέτερα σώματα, ἢ τῷ ἀποσβέννυσθαι ἐν τῷ ὑποκειμένῳ διὰ τὸ
γίνεσθαι αὐτὸ ἀνεπιτήδειον, ὥσπερ ἡ ἁρμονία ἀνεθεισῶν τῶν χορδῶν ἀπο-
σβέννυται. διχῶς οὖν τῆς φθορᾶς οὔσης ἢ ὡς ἐπὶ σωμάτων ἢ ὡς ἐπὶ ἀσω- 25
μάτων ἐν ὑποκειμένῳ σώματι ἐχόντων τὸ εἶναι, εἰ ἐδείχθη ἡ ψυχὴ καὶ
ἀσώματος οὖσα καὶ χωριστὴ σώματος, κατ' οὐδένα ἄρα τρόπον φθείρεται.
35 πάλιν τῶν ἐνεργειῶν ἀχωρίστων οὐσῶν ἀνάγκη καὶ τὰς οὐσίας ἀχωρίστους
εἶναι· εἰ δὲ χωρισθεῖεν αἱ οὐσίαι, ἔσονται ἀνενέργητοι καὶ μάτην· οὐδὲν

---

2 τῷ (post ῥητῷ) scripsi: τὸ t: οἷον ἐν τῷ A: om. DR 4 ὡς εἰ Dt: εἰ om. AR τὸ τὰς A: τὰς om. DRt 5 πληρῶσαι R 10 ἡ ἀμφιβολία t 12 εἰκότως om. D 14 φασίν scripsi: φησίν libri 18 φησιν D 22 ἀχώριστοι (post οὐσίαι) Rt: ἀχώρισται D 24 χωρισθῇ DR: χωριστὴ t 28 πᾶν γὰρ τὸ t 29 τὸ ἀναλύεσθαι R 31 ἀνεθεῖσα R 32 φθορᾶς RD: διαφορᾶς t

δὲ μάτην οὔτε ὁ θεὸς ποιεῖ οὔτε ἡ φύσις. ὥστε πᾶσα ἀνάγκη ἀχωρίστων b 3r
οὐσῶν τῶν ἐνεργειῶν ἀχωρίστους εἶναι καὶ τὰς οὐσίας. οἱ μὲν οὖν κανόνες
οὗτοι, οὓς ἀποδέχονται κοινῶς πάντες καὶ οἱ θνητὴν εἶναι λέγοντες τὴν 30
ψυχὴν καὶ οἱ ἀθάνατον. ἐνστάσεις δὲ φέρονται πρὸς τοὺς κανόνας τούτους
5 πρὸς ἑκάτερον μία. καὶ τέως πρὸς τὸν πρότερον· πῶς γάρ, φασίν, ὁ
Ἀριστοτέλης εἶπεν, ὅτι εἰ ἔστι τι πάθος ἴδιον τῆς ψυχῆς, ταὐτὸν δὲ εἰπεῖν
ἐνέργεια, χωριστὴν ἔχει καὶ τὴν οὐσίαν; ἰδοὺ γάρ, φασίν, ὁ ὀφθαλμὸς
ἰδίαν ἔχει ἐνέργειαν τὸ ὁρᾶν, καὶ ὅμως οὐσίαν οὐκ ἔχει χωριστήν· ἀδύ-
νατον γὰρ τὸν ὀφθαλμὸν τοῦ σώματος χωρισθῆναι. τί οὖν λέγομεν πρὸς
10 τοῦτο; ὅτι τὸ ἴδιον διττόν, ἢ τὸ ὡς μέρους ἴδιον, ὡς λέγομεν ἴδιον τοῦ 35
ποδὸς τὸ βαδίζειν· οὐ γὰρ ὡς μὴ δεόμενον τοῦ ὅλου λέγομεν ἴδιον εἶναι
τοῦ ποδὸς τὸ βαδίζειν (δεῖται γὰρ τοῦ ὅλου σώματος), ἀλλ' ὡς τοῦ μορίου
τούτου παρὰ τὰ ἄλλα μόρια ἴδιον ὄν· ἢ τὸ μὴ δεόμενον τοῦ ὅλου πρὸς
ὕπαρξιν, ὡς εἴ τις εἴποι ὅτι ἡ γλισχρότης ἡ ἐν τῷ ὑδρελαίῳ ἰδία ἐστὶ τοῦ
15 ἐλαίου ἢ ἡ γλυκύτης ἡ ἐν τῷ οἰνομέλιτι τοῦ μέλιτος. λέγει οὖν ὁ τοιοῦτος
τὸ ἴδιον οὐχ ἁπλῶς ὡς μέρους, ἀλλ' ὡς μὴ δεόμενον τοῦ ὅλου πρὸς
ὕπαρξιν· οὐ γὰρ δεῖται τοῦ οἰνομέλιτος, ἵνα συστῇ, ἡ γλυκύτης, ἀλλ' ἔστι 40
τοῦ ὅλου χωριστή· ἔστι γὰρ ἐν μόνῳ τῷ μέλιτι. τοιοῦτον οὖν λέγει τὸ
ἴδιον ὁ Ἀριστοτέλης, ὅπερ καὶ τῷ ὄντι χωριστόν ἐστι· χωριστὴ γὰρ ἡ
20 γλυκύτης τοῦ μέλιτος τοῦ συναμφοτέρου, ἰδία οὖσα τοῦ μέλιτος. ὁ μέντοι
ὀφθαλμὸς ἰδίαν λέγεται ἔχειν ἐνέργειαν οὐχ ὡς μὴ δεομένην τοῦ ὅλου,
ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων μερῶν, ἐπεὶ τοῦ ὅλου δεῖται πρὸς
ὕπαρξιν· δεῖται γὰρ ἐγκεφάλου καὶ τῶν ὀπτικῶν νεύρων τε καὶ πνεύματος
καὶ τῶν τοιούτων. ὥστε ἰδία μὲν τοῦ ὀφθαλμοῦ ἡ ἐνέργεια ὡς πρὸς τὰ
25 ἄλλα μέρη, οὐκ ἰδία δὲ ὡς πρὸς τὸ ὅλον· δεῖται γὰρ τῆς ὁλότητος πρὸς 45
σύστασιν. ἡ δὲ πρὸς τὸν ἕτερον κανόνα ἔνστασις αὕτη ἐστί. πῶς, φασίν,
λέγει ὅτι ὧν αἱ ἐνέργειαι οὐκ ἴδιαι ἀλλὰ τοῦ συναμφοτέρου, ταὐτὸν δὲ
εἰπεῖν ἀχώριστοι, τούτων οὐδὲ ἡ οὐσία χωριστή ἐστιν; ἰδοὺ γάρ, φασί, τοῦ

---

3 εἶναι om. R 5 φησίν R 7 ἐνέργεια D: ἐνέργειαν Rt φασίν scripsi: φησίν DRt: om. A 8 χωριστή R 10 μέρος R 11 οὐ γὰρ ὡς — βαδίζειν (12) om. D 12 τοῦ ὅλου σώματος om. R 13 παρὰ AR: τοῦ παρὰ Dt 14 ὡς εἴ τις ARt: ἢ εἴτις D 15 ὁ τοιοῦτος] ὅτι οὗτος R 22 ἄλλων A: ὅλων DRt 23 τε om. R 25 γὰρ om. R 26 τὸν om. t φασίν A: φησὶν DRt 27 λέγει om. t 28 ἡ om. t

---

25 δεῖται — σύστασιν (26) om. et post ὅλον haec add. A: ἡ μὲν οὖν παλαιὰ λύσις παρὰ τὴν ὁμωνυμίαν διαλύειν δοκεῖ τὴν ἔνστασιν. εἰ δὲ κατεστοχασμένως καὶ πρὸς τὸ πρᾶγμα ἀνέτρεψεν, ἕτερος λόγος. ἦν δ' ἂν ἐγγύτερον ἐπιλύσασθαι, οἶμαι, ὡς τοῦ μὲν ὀφθαλμοῦ ἐνέργεια τὸ ὁρᾶν οὐχ ὡς οὐσίας ἀλλ' ὡς ὀργάνου, πολλὰ δὲ τῶν ὀργάνων οὔτε χωρισμὸν οὔτε (ὅτε A) δὲ τοιαύτην ἕνωσιν ὑπομένει· τῆς δὲ ψυχῆς ἡ ἐνέργεια οὐχ ὡς ὀργάνου παρελαμβάνετο ἀλλ' ὡς οὐσίας. ἔτι δὲ ὁ ὀφθαλμὸς ἐν τῷ σώματι οὐχ ὡς ἕτερόν ἐστιν ἐν ἑτέρῳ· τῆς γὰρ αὐτῆς ἑκάτερον σωματικῆς οὐσίας· ἡ δὲ ψυχὴ ἄλλο τι οὖσα παρὰ τὸ σῶμα τούτῳ συνῆπται· διὸ καὶ ἰδίαν ἐπιδεικνυμένη ἔχειν ἐνέργειαν χωριστὴ τοῦ σώματος ὁρᾶται καὶ λέγεται. καὶ πολλὰ τοιαῦτα ἔστιν εἰπεῖν, ἅπερ παραλείπειν ἀνάγκη τὴν σύνοψιν.

κυβερνήτου ἡ μὲν ἐνέργεια ἀχώριστός ἐστι τοῦ πλοίου, ἡ δὲ οὐσία χωριστή b 3r
ἐστι· χωρίζεται γὰρ ὁ κυβερνήτης τοῦ πλοίου. λέγομεν οὖν ὅτι ὁ κυβερ-
νήτης ἐνεργεῖ καὶ ὡς κυβερνήτης καὶ ὡς ἄνθρωπος· καὶ αἱ μὲν ὡς κυβερ-
νήτου ἐνέργειαι αὗται ἀχώριστοί εἰσι τοῦ πλοίου καὶ οὐκ ἴδιαι τοῦ κυβερ- 50
5 νήτου, αἱ δὲ ὡς ἀνθρώπου αὗται ἴδιαί εἰσι τοῦ κυβερνήτου ὡς ἀνθρώπου·
διὸ καὶ χωριστὴ ἡ οὐσία. οὐδὲ γὰρ τοῦτό φαμεν ὅτι δεῖ τὴν χωριστὴν
οὐσίαν πάσας ἔχειν τὰς ἐνεργείας ἰδίας, καὶ εἰ μὴ πάσας ἔχοι, οὐκ ἔσται
χωριστή, ἀλλ' ἐὰν ὅλως ἔχοι τινὰ χωριστὴν ἐνέργειαν, πάντῃ τε καὶ πάντως
δεῖ καὶ τὴν οὐσίαν χωριστὴν εἶναι· ἐπὶ δὲ τῆς ἀχωρίστου οὐσίας δεῖ
10 πάντως πάσας τὰς ἐνεργείας κοινὰς εἶναι καὶ διὰ τοῦτο ἀχωρίστους. διὰ
τοῦτο οὖν καὶ ὁ κυβερνήτης ἐπειδὴ ἐνεργήσειεν ἂν ἐν τῷ πλοίῳ καὶ ὡς
ἄνθρωπος νοῶν, | διαλεγόμενος, ἐσθίων καὶ πίνων καὶ ἁπλῶς τὰ τοῦ b 3v
ζῴου πάθη, διὰ τοῦτο καὶ ἡ οὐσία αὐτοῦ χωριστὴ τοῦ πλοίου· ἐπεὶ καὶ
ἡ ψυχὴ ἡ λογικὴ ἐν σώματι οὖσα ἔχει καὶ αὐτὴ διττὰς ἐνεργείας, τὰς μὲν
15 ὡς ἐν σώματι (ἔστι γάρ τις καὶ αὐτὴ οἷον κυβερνήτης τοῦ σώματος) τὰς
δὲ ὡς ψυχῆς λογικῆς ἰδίας. αἱ μὲν οὖν ὡς ἐν σώματι αὐτῆς ἐνέργειαι,
αὗται ἀχώριστοί εἰσι τοῦ συναμφοτέρου, οἷον τὸ κινεῖν τὸ σῶμα, τὸ ζῳο-
ποιεῖν· δῆλον γὰρ ὅτι ταύτας ἔχει τὰς ἐνεργείας ἔστ' ἂν ᾖ ἐν σώματι· 5
ἐπεὶ εἰ χωρισθείη παντὸς σώματος, τί κινήσει, τί ζῳοποιήσει; αἱ δὲ ὡς
20 λογικῆς οὐσίας ἐνέργειαι, τὸ διανοεῖσθαι, τὸ νοεῖν, αὗται δὴ ἅτε μηδὲν
τοῦ σώματος προσδεόμεναι ἴδιαί τε αὐτῆς εἰσι καὶ διὰ τοῦτο καὶ τὴν
οὐσίαν αὐτῆς χωριστὴν δεικνύουσι. διόπερ καὶ ὁ Ἀριστοτέλης ἀποδοὺς
πάσης ψυχῆς κοινὸν ὁρισμὸν ἤτοι λόγον ἀναλογοῦντα ὁρισμῷ, καὶ εἰπὼν
ὅτι ἔστιν ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος,
25 ζητεῖ ὅτι πῶς εἴπομεν ἐντελέχειαν εἶναι; πότερον, φησίν, ὡς ἀχώριστος 10
ἐντελέχειά ἐστιν ἡ ψυχὴ ἢ ὡς πλωτὴρ πλοίου; ὥστε οἶδε καὶ αὐτὸς ἐντε-
λέχειάν τινα χωριστήν, καθὸ βούλεται εἶναι τὴν ψυχὴν ἐντελέχειαν. πάλιν
ζητοῦσι, διὰ τί εἰπὼν ὅτι εἰ μὲν οὖν ἔστι τι τῶν τῆς ψυχῆς ἔργων
ἢ παθημάτων ἴδιον, ἐπήγαγεν ἐνδέχοιτο ἂν αὐτὴν χωρίζεσθαι·
30 ἔδει γὰρ εἰπεῖν ὅτι ἀνάγκη αὐτὴν χωρίζεσθαι. λέγομεν οὖν ὅτι ὡς πρὸς
τὴν ὅλην αὐτῆς σχέσιν τὴν πρὸς τὸ σῶμα ἢ καὶ σώματα εἶπεν. ἐπεὶ
γὰρ νῦν ἔστ' ἂν ᾖ ἐν τῷ σώματι ἀχώριστός ἐστι τοῦ σώματος, διὰ τοῦτό 15
φησιν ὅτι δυνατόν ἐστιν χωρισθῆναι αὐτὴν τοῦ σώματος, καὶ εἰ πάλιν γενή-
σεται ἐν σώματι καὶ οὐ πάντῃ εἰς τὸν ἄπειρον αἰῶνα μένει δίχα τοῦ

---

3 καὶ ὡς κυβερνήτης A: om. Dt: post κυβερνήτης add. ἐνεργεῖ R 6 ἡ om. D[1], supra add. D[2] 12 καὶ (ante πίνων) om. R 13 αὐτοῦ D: αὐτὴ Rt 20 αὗται] αὐταὶ R 21 εἰσι om. R 23 ὁρισμῷ] ὁρισμὸν R 26 πλωτὴρ R: ὁ πλωτὴρ Dt 28 ὅτι ἡ μέν ἐστι τῶν R 31 αὐτῆς Dt: αὐτὴν R

---

10 post ἀχωρίστους add. ἴσως δ' ἂν καὶ ἄλλως οὐκ ἔστιν ἐπιλύσασθαι χεῖρον, ὅτι ἐκεῖ μὲν μία ἦν συμφυΐα, εἰ καὶ ἐκ διαφόρων οὐσιῶν συνυφασμένη· ἐνταῦθα δὲ τίς κυβερνήτου καὶ νηὸς συμφυΐα; ἢ πῶς ἡ μὲν ναῦς τῷ σώματι, ὁ δὲ κυβερνήτης πρὸς τὴν ψυχὴν τὸ συγγενὲς διασώσει; καὶ ἄλλα τοιαῦτα A

παχέος τούτου σώματος. ὃ δὲ γίνεται ἔν τινι καὶ ἀπογίνεται αὐτοῦ, τοῦτο b 3ᵛ
ἐνδεχομένης ἐστὶ φύσεως, ὡς τὸ θερμαίνεσθαι καὶ ἀποθερμαίνεσθαι, καθῆσθαι καὶ ἀνίστασθαι. διὰ τοῦτο, ὡς εἶπον, πρὸς τὴν ὅλην σχέσιν τὴν πρὸς τὸ σῶμα ἀποβλέψας οὕτως εἶπεν. ἴσως δὲ καὶ ἐπέκεινα τούτων
5 ἐπεκτείνων τὸν λόγον καὶ μέχρι τοῦ αὐγοειδοῦς λεγομένου σώματος, ὃ ἀιδίως αὐτῆς φασιν ἐξηρτῆσθαι, οὕτως εἶπε τὸ ἐνδέχεται, ὅτι ὅσον, φησίν, 20
ἐπὶ τῇ ἑαυτῆς φύσει, χωρισθείη ἂν κἀκείνου, εἰ καὶ μὴ ἀναγκαῖον τὸ χωρίζεσθαι αὐτὴν ἐκείνου. τοιοῦτον δὲ τὸ ἐνδεχόμενον, οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ. ὅσον οὖν ἐπὶ τῇ ἑαυτῆς
10 φύσει δύναιτο ἂν κἀκείνου χωρίζεσθαι. πρὸς τούτοις λέγομεν ὅτι τὸ ἐνδεχόμενον, ὡς αὐτὸς ἐν τῷ Περὶ ἑρμηνείας λέγει, φέρεται καὶ ἐπὶ τοῦ ἀναγκαίου· λέγομεν γὰρ 'ἐνδέχεται τὸν ἥλιον ἐν κριῷ γενέσθαι', καίτοι ἀναγκαίως γενησομένου. δυνατὸν οὖν καὶ ἐνταῦθα ἐνδεχόμενον λαβεῖν τὸ 25
ἐπὶ τοῦ ἀναγκαίου.

15 p. 403ᵃ12 Ἀλλὰ καθάπερ τῷ εὐθεῖ, ᾗ εὐθύ, πολλὰ συμβαίνει, οἷον ἅπτεσθαι τῆς χαλκῆς σφαίρας κατὰ στιγμήν, οὐ μέντοι γε ἅψεται τούτου χωρισθὲν τὸ εὐθύ.

Ἀσάφειαν ἐνεποίησε τῷ ῥητῷ ὁμωνυμίᾳ χρησάμενος καὶ μὴ διαστείλας τὰ διάφορα σημαινόμενα· τὸ γὰρ εὐθὺ πῇ μὲν λαμβάνει τὸ μετεχόμενον,
20 αὐτὴν λέγω τὴν εὐθύτητα, πῇ δὲ τὸ μετέχον ἤγουν τὸ συναμφότερον, 30
λέγω δὴ τὸ ἀπηυθυσμένον σῶμα οἷον τὸν κανόνα. τοῦτο δὲ παράδειγμά ἐστι τοῦ ὅτι τῆς ἐνεργείας ἀχωρίστου οὔσης ἀνάγκη καὶ τὴν οὐσίαν εἶναι ἀχώριστον. τί οὖν φησιν; ὅτι ὥσπερ λέγομεν ὅτι κατὰ σημεῖον ἅπτεται τὸ εὐθὺ τῆς χαλκῆς σφαίρας (δέδεικται γὰρ ἐν γεωμετρίᾳ ὅτι τό τε ἐπί-
25 πεδον κατὰ σημεῖον ἅπτεται τῆς σφαίρας καὶ τοῦ κύκλου ἡ εὐθεῖα ὡσαύτως), καὶ οὐκ ἐπειδὴ λέγομεν τὴν εὐθεῖαν πάσχειν τὸ πάθος τοῦτο, αὐτὴν καθ' αὑτήν φαμεν πάσχειν, ἀλλὰ δῆλον ὅτι τὴν ἐν χαλκῷ ἢ λίθῳ ἤ τινι 35
τοιούτῳ, μήποτε καὶ τὴν ψυχὴν ὅταν λέγωμεν πάσχειν, οὐκ αὐτὴν καθ' αὑτήν φαμεν πάσχειν, ἀλλὰ τὸ συναμφότερον. διὰ τοῦτο γὰρ προσέθηκε
30 τῆς χαλκῆς σφαίρας, ἵνα μὴ τὸν λόγον αὐτὸν λάβωμεν τῆς εὐθείας, ὥσπερ οἱ παραδιδόντες τὰ μαθήματα ποιοῦσι. δεικνὺς γὰρ ὁ γεωμέτρης ὅτι σφαῖρα ἐπιπέδου κατὰ σημεῖον ἅπτεται, οὐδεμίαν ὅλην παρέλαβεν, ἀλλ' αὐτοὺς καθ' αὑτοὺς τοὺς λόγους δείκνυσιν. ἐν μὲν οὖν τῷ λέγειν καθάπερ τῷ εὐθεῖ, ᾗ εὐθὺ λαμβάνει τὸ ἐν ὕλῃ· ἐν δὲ τῷ εἰπεῖν οὐ μέντοι γε

---

5 αὐγοειδοῦς scripsi: αὐτοειδοῦς libri 7 κἀκείνου Dt: κἀκείνης R 8 ἐκείνου Dt: ἐκείνης R τοιοῦτον δὲ — ἀκολουθεῖ (9)] cf. Anal. pr. A 13 p. 32ᵃ18 10 κἀκείνου Dt: κἀκείνας R λέγω R 11 ὡς Dt: ὃ R ἐν τῷ Περὶ ἑρμηνείας] respicit ad Anal. pr. A 3 p. 25ᵃ38 15 ᾗ εὐθύ om., sed in mrg. suppl. R συμβαίνει — χωρισθὲν τὸ (17) Dt: συμβάλλεται τούτου χωρισθέντος R 18 ἐποίησε R 21 δὴ R: δὲ Dt 23 φασιν R 24 τὸ εὐθὺ — ἅπτεται (25) om. R 27 χαλκῷ DR: χρυσῷ t 28 ὅταν scripsi: οὖσαν libri λέγωμεν t: λέγομεν DR 34 εὐθεῖ DR: εὐθὺ t 34 τῷ ἐν ὕλῃ t

ἅψεται τούτου χωρισθὲν τὸ εὐθὺ τὴν εὐθύτητα αὐτήν. αὕτη οὖν, b 3r
φησί. χωρισθεῖσα τοῦ ὑποκειμένου οὐκέτι πείσεται τοῦτο οὐδὲ ἅψεται τῆς 41
χαλκῆς σφαίρας, ἐπεὶ μηδὲ ὑφέστηκε. λαμβάνει ἀνάλογον τῇ μὲν ψυχῇ
τὴν εὐθύτητα, τῷ δὲ συναμφοτέρῳ τὸ ἀπευθυσμένον σῶμα, τοῖς δὲ αἰσθη-
5 τοῖς καὶ ὧν ἀντιλαμβάνεται ἡ ψυχὴ τὴν χαλκῆν σφαῖραν. εἰ οὖν καὶ ἡ
ψυχὴ οὕτως ἀντιλαμβάνεται τῶν αἰσθητῶν, ὡς τὸ εὐθὺ ἐφάπτεται τῆς
χαλκῆς, δῆλον ⟨ὅτι⟩ χωρισθεῖσα τοῦ σώματος οὐκέτι ἀντιλήψεται τῶν 45
αἰσθητῶν, ἀλλ' εὐθὺς οἰχήσεται. φαμὲν οὖν ὅτι ὥσπερ τὸ αἰσθητὸν εὐθὺ
τῆς αἰσθητῆς σφαίρας ἅπτεται, οὕτω καὶ τὸ νοητὸν τῆς νοητῆς· καὶ ἡ
10 ψυχὴ ἄρα χωρισθεῖσα τοῦ σώματος, εἰ καὶ μὴ τῶν αἰσθητῶν εἰδῶν ἀντι-
λήψεται, ἀλλ' οὖν τῶν νοητῶν καὶ ἀύλων. τὸ δὲ πολλὰ συμβαίνει
φέρ' εἰπεῖν τὸ ἐφεξῆς ἔχειν πάντα τὰ σημεῖα κείμενα, τὸ ἐφαρμόζειν
ἑτέρᾳ εὐθείᾳ καὶ τὰ ὅμοια.

p. 403a16 Ἔοικε δὲ καὶ τὰ τῆς ψυχῆς πάθη πάντα εἶναι μετὰ
15 τοῦ σώματος.

Διχόθεν δείκνυσιν ὅτι τὰ τῆς ψυχῆς πάθη οὐκ αὐτῆς εἰσιν ἴδια, 51
ἀλλὰ τοῦ συναμφοτέρου, ἔκ τε τοῦ πάντως συγκινεῖσθαι τούτοις τὸ σῶμα·
τῇ μὲν γὰρ ὀργῇ συγκινεῖται τὸ περικάρδιον αἷμα, τῇ δ' ἐπιθυμίᾳ συνδια-
τίθεται τὸ ἧπαρ, καὶ ὑπ' αἰδοῦς ἐρυθαίνεται τὸ πρόσωπον τοῦ αἵματος
20 περὶ τὴν ἐπιφάνειαν χυθέντος, ὑπὸ δὲ φόβου ὠχρίασις γίνεται, συστολῆς
εἰς τὸ βάθος τοῦ αἵματος γενομένης, | καὶ ἁπλῶς ἐν ἑκάστῳ πάθει b 4r
συνδιατίθεταί πως τὸ σῶμα· εἰ δὲ συγκινεῖται τοῖς τῆς ψυχῆς πάθεσι τὸ
σῶμα, δῆλον ὅτι οὐκ αὐτῆς μόνης εἰσὶν ἴδια, ἀλλὰ τοῦ συναμφοτέρου.
καθ' ἓν μὲν ἐκ τούτου δῆλον, καθ' ἕτερον δέ, διότι οἱ κεκραμένοι φύσει
25 οὕτως, οἷον ἴσχουσι κράσει τὸ σῶμα, ἐν τῇ κινήσει τῶν παθῶν τοιοῦτοί
εἰσι φύσει. ὁρῶμεν γὰρ ὅτι τινὲς μὲν ἐπιτηδείως ἔχουσι πρὸς θυμὸν οἱ
τοιῶσδε κεκραμένοι, τινὲς δὲ δυσκινήτως, οἱ τὴν ἐναντίαν ἔχοντες κρᾶσιν· 5
ὁμοίως ἐπὶ τῶν λοιπῶν ὁρῶμεν ὅτι μεθυσθέντες τινὲς ἢ ὀργιλώτεροι γίνον-
ται ἢ δειλότεροι ἢ θρασύτεροι ἢ ἀναιδέστεροι. καὶ ἐκ νόσου δὲ γένοιτο ἄν
30 τις ἐπιτηδειότερος πρὸς ὀργήν. καὶ τὰ τοιάδε σιτία τὸ συνουσιαστικὸν
μᾶλλον κινοῦσι, τὰ δὲ σβεννύουσιν. ἔνθεν οἱ ἰατροί φασιν ἕπεσθαι ταῖς
κράσεσι τοῦ σώματος τὰς τῆς ψυχῆς δυνάμεις· διὸ καὶ λέγουσιν ὅτι οἱ

---

2 τοῦτο Dt: τούτου R 4 ἀπευθυσμένον] ἀ et lac. V litterarum R 7 ὅτι addidi 9 ἡ om. t 12 ἔχει R κειμενα (sic) corr. D² ex κείμένη; sequitur rasura τῷ ἐφαρμόζειν R 14 καὶ om. R 15 τοῦ σώματος DR de an. V: τοῦ om. t et de an. plerique 21 γινομένης R 24 καθενὸς R τούτων R διότι Dt: δηλονότι R φύσει—κράσει (25) D: ἐκ φύσεως οὕτως οἷαν ἴσχουσι κρᾶσιν D²Rt 25 τὸ σῶμα D: τὸ σῶμα μὲν R: τοῦ σώματος t 26 ὁρῶ μὲν D¹: ὁρα μὲν D² 28 μεθύοντες t ὀργιλότεροι hic et p. 51,1 R 29 δειλώτεροι t

τοιῶσδε κεκραμένοι ὀργιλώτεροί εἰσιν, οἷον οἱ μελαγχολικώτεροι, οἱ δὲ ἐπὶ b 4r
τὸ θερμότερον ῥέποντες καὶ ὑγρότερον συνουσιαστικώτεροι. καὶ ἁπλῶς ἐφ' 10
ἑκάστου τῶν παθῶν ποιότητί τινι κράσεως τὴν αἰτίαν ἀποδιδόασιν. καὶ
ἀνωτέρω δὲ ἀνέρχονται ἐπὶ τὰς γνωστικὰς δυνάμεις, καὶ μνημονικωτέρους
5 φασὶ τοὺς ἐπὶ τὸ ξηρότερον κεκραμένους τὸν ἐγκέφαλον, βραδυτέρους δὲ
πρὸς νόησιν, τοὺς δὲ ἐναντίους τὸ ἐναντίον πάθος ὑπομένειν· ὁμοίως ἐπὶ
φαντασίας καὶ ἐπὶ τῶν λοιπῶν παθῶν. καὶ ὅπερ ἡ ἐξ ἀρχῆς κρᾶσις
ἐποίησε, τοῦτο καὶ ἡ ἐπὶ ἐκείνην τὴν κρᾶσιν ἄγουσα δίαιτα· διὸ καὶ σιτίων
καὶ ποτῶν συμμετρίας φροντίζουσιν οἱ εἰδήσεως μεταποιούμενοι, ὅθεν καὶ 15
10 τὸ 'παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον' εἴρηται. διὸ οὐ νοήσαιμεν ἂν
ἐν μέθῃ, ἅπερ ἂν μὴ μεθύοντες ἐνοήσαμεν, ὁμοίως δὲ καὶ συμμέτρως
ἔχοντες περὶ τροφὴν καὶ ἀμέτρως· καὶ ὅλως εὐφυέστεροι καὶ ὀξύτεροι καὶ
τὸ ἐναντίον νωθέστεροι παρὰ τὴν τοιάνδε κρᾶσιν γίνονται. ἔνθεν οὖν οἱ
ἰατροὶ ταῖς τοῦ σώματος κράσεσιν ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις εἰρή-
15 κασι. πρὸς ταῦτα δὲ οἱ Ἀττικοί φασιν ἐξηγηταὶ ὅτι ὥσπερ οὖν αὐτοὶ διὰ
τὸ ἕπεσθαι ταῖς κράσεσι τοῦ σώματος τὰς τοιάσδε ὁρμὰς τῆς ψυχῆς, διὰ 20
τοῦτό φασιν ἐν ὑποκειμένῳ αὐτὴν εἶναι τῷ σώματι, οὕτω καὶ ἡμεῖς ἐκ
τοῦ ἐναντίου τὸ ἐναντίον κατασκευάσομεν. εἰ γὰρ ἐπειδὴ ἑπομένας ἔχει
τῇ κράσει τὰς ὁρμάς, διὰ τοῦτο καὶ ἀχώριστος, ἐὰν ἄρα μὴ ἕπηται ταῖς
20 κράσεσι, χωριστὴ ἔσται. ὁρῶμεν τοίνυν ὅτι καὶ μοχθηρῶς κεκραμένοι τινὲς
οὐκ ἔσχον ἑπομένας τὰς ὁρμὰς ταῖς κράσεσι διὰ φιλοσοφίαν, ἀλλὰ κρείτ-
τονες γεγόνασι τούτων, ὅπερ οὐκ ἂν ἐγένετο, εἴπερ ὡς ἐν ὑποκειμένῳ τῇ
κράσει ἦν ἡ δύναμις, ὥσπερ τὸ λευκὸν εἶναι ἢ ὠχρὸν ἢ μέλαν, ἃ γίνε-
ται μὲν ἐκ τῆς τοιᾶσδε κράσεως, κἂν μυριάκις δὲ φιλοσοφῇ τις, κατασχεῖν 25
25 τινα τούτων οὐ δύναται, μέχρις ἂν πάλιν ἡ κρᾶσις μεθαρμοσθῇ. οὕτως
ἀνάγκη ἦν πᾶσα, εἰ ὥσπερ ἀποτέλεσμα ἦν τῆς κράσεως ἡ τοιάδε τῆς
ψυχῆς ὁρμή, ἀδυνατεῖν τὸν ἐπὶ τὸ θυμικώτερον κεκραμένον ἐπισχεῖν θυμοῦ,
ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. νῦν δὲ οὐ τοῦτο γίνεται· οὐκ ἄρα αἱ ὁρμαὶ
τῆς ψυχῆς ταῖς τοῦ σώματος κράσεσιν ἐξ ἀνάγκης ἕπονται. καὶ τοῦτο
30 καὶ αὐτοί φασιν οἱ ἰατροί· εἰπόντες γὰρ ἕπεσθαι ταῖς κράσεσι τοῦ σώματος
τὰς τῆς ψυχῆς δυνάμεις, προστεθείκασι χωρὶς τῶν κατὰ φιλοσοφίαν δια- 30
τριβῶν. ὥστε εἰ δύνανται αἱ κατὰ φιλοσοφίαν διατριβαὶ μὴ ἕπεσθαι ποιεῖν
τὴν ὁρμὴν τῆς ψυχῆς ταῖς κράσεσι τοῦ σώματος, ἔστι τι ἄρα καὶ ἐφ'
ἡμῖν, καὶ οὐκ ἐξ ἀνάγκης ἕπονται· ὥστε οὐκ ἐν τῇ κράσει τὸ εἶναι ἔχουσιν.
35 εἰ γὰρ ἦν τοῦτο, πῶς ἀντέτεινε πρὸς τὰ πάθη; πόθεν ἡ μάχη ἡ ἄσπονδος
τοῦ λόγου καὶ τῶν παθῶν; οὐδὲν γὰρ τῷ σώματι τῇ σωστικῷ αὐτοῦ
μάχεται οὐδὲ φιλονεικεῖ μάχεσθαι τῷ αἰτίῳ· ὥστε εἰ αἰτία ἦν ἡ κρᾶσις
τοῖς ψυχικοῖς πᾶσι κινήμασιν, οὐκ ἄν ποτε αὐτὴ πρὸς ἑαυτὴν ἐμαχέσατο· 35

---

1 οἱ δὲ — συνουσιαστικώτεροι (2) om. D, sed in mrg. rest. D² 4 γνωστικὰς R: μυστικὰς Dt 7 ἡ ἐξ D²t: ἡ om. D¹R 10 διὸ D: διόπερ Rt 17 post οὕτω add. γὰρ R 21 διὰ ταῖς κράσεσι φιλοσοφίαν transp. t 23 ἃ om. D 27 ἀδυνατεῖν t: ἀδύνατον ἦν DR 36 τῷ σώματι — αὐτοῦ t: τῷ σωματικῷ σωστικῶς αὐτοῦ D: τῷ σωστικῷ αὐτοῦ R: τῷ σώματι τῷ ἑαυτοῦ A 37 μάχεται ADt: μετέχεται R

τὰ γὰρ μαχόμενά εἰσι τὰ ἐναντία. ὅτι μὲν οὖν χωριστὴ ἡ ψυχὴ ἡ λογικὴ b 4r
τοῦ σώματος, ἱκανῶς οἱ εὖ ζῶντες δεικνύουσιν ὑπεροπτικῶς ἔχοντες πρὸς
τὸ σῶμα· καίτοι οὐδὲν τοῦ ἰδίου ὑποκειμένου καταφρονεῖ, ἀλλὰ καὶ σώζειν
αὐτὸ βούλεται· ἡ δὲ ψυχὴ τὸ ἐναντίον φαίνεται ποιοῦσα. τὰ δὲ πάθη
5 ἐπειδὴ δέδονται τῇ ψυχῇ κατιούσῃ εἰς τὴν γένεσιν διὰ τὰς εἰρημένας
αἰτίας, ἔχοντα ἐν ὑποκειμένῳ τῷ πνεύματι τὸ εἶναι, διαβαίνοντα δέ, ὡς
εἴπομεν, καὶ ἐπὶ τοῦτο τὸ παχὺ σῶμα, οὐκ ἄνευ μὲν τῆς τοιᾶσδε κράσεως 40
γίνονται, ὥσπερ οὐκ ἄνευ τῶν χορδῶν ἡ ἁρμονία, οὐ μὴν ἁπλῶς ἀποτέ-
λεσμά εἰσι τῶν κράσεων· ἀλλ' ὥσπερ δεῖται μὲν πάντως ὁ μουσικὸς τῶν
10 τοιῶνδε χορδῶν, ἡ δὲ ἁρμονία ἐκ τῶν λόγων τῶν ἐν τῷ μουσικῷ ἐν τῇ
τοιᾷδε τῶν χορδῶν ἐπιτηδειότητι ἐγγίνεται, οὕτω φαμὲν καὶ τὰ πάθη μὴ
ἄνευ μὲν τῆς τοιᾶσδε κράσεως γίνεσθαι, μὴ μὴν κρᾶσιν εἶναι ἢ ἀποτέ-
λεσμα κράσεως· ἀλλ' ὥσπερ τὰ αὐτομάτως φυόμενα δεῖται μὲν πάντως
τοιᾶσδε γῆς, δεῖται δὲ καὶ ὑετοῦ, οὐ μὴν ἱκανὸν τοῦτο εἰς γένεσιν αὐτῶν, 45
15 ἀλλ' οἱ λόγοι τούτων ἐκ τῆς ὕλης δημιουργίας προέρχονται, οὕτω φαμὲν
τοὺς ἐκ τῆς ὕλης δημιουργίας λόγους ἐν τῇ τοιᾷδε κράσει ἐνιέναι τοὺς
λόγους τῶν παθῶν τούτων κατὰ τὴν ἀξίαν ἑκάστης τῶν λογικῶν ψυχῶν.
καὶ ὥσπερ τὸ εἶδος τὸ ἐν τοῖς αὐτομάτοις γενόμενον οὔτε ἐκ τῆς μίξεως
τῆς γῆς καὶ τοῦ ὕδατος ἁπλῶς ἐπεγένετο οὔτε ἔξωθεν αὐθυποστάτως
20 προϋφεστηκὸς ἐγγίνεται, ἀλλ' οἱ λόγοι οἱ δημιουργικοὶ ἐν τῇ τοιᾷδε τῶν
στοιχείων ἐπιτηδειότητι ἐγγεννῶσι καὶ δημιουργοῦσι τὰ τῶν παθῶν εἴδη.
οὐδὲ γὰρ δεῖ τὰ αἴτια χείρονα ποιεῖν τῶν αἰτιατῶν· εἰ γάρ, ὡς ἤδη 50
εἴπομεν, ἡ κρᾶσις αἰτία θυμοῦ καὶ ἐπιθυμίας αἰσθήσεώς τε καὶ φαντασίας,
τὸ ἄζων τῆς ζωῆς αἴτιον ἔσται (ζωαὶ γάρ τινές εἰσιν αὗται) καὶ τὸ ἄψυχον
25 ψυχῆς, τὸ ἀναίσθητον γνώσεως, ὅπερ ἄτοπον.

Κἀκεῖνο δὲ ἴσως ἄξιον ζητήσεως· εἰ ἡ ἄλογος ψυχὴ καὶ ἡ φυτικὴ
ἐν ὑποκειμένῳ τῷ σώματι ἔχει τὸ εἶναι, κρεῖττον δὲ τὸ αὐθυπόστατον τοῦ
ἐν ἑτέρῳ ἔχοντος τὸ εἶναι, αὐθυπόστατον δὲ τὸ σῶμα, κρεῖττον ἄρα τὸ
σῶμα τῶν τοιούτων ψυχῶν. τί οὖν φαμεν; ὅτι οὐκ εἰσιν αἱ ψυχαὶ αὗται
30 ὡς ἐν ὑποκειμέ|νῳ τῷ σώματι, ἀλλ' ὡς ἐν ὕλῃ εἶδος· εἶδος γὰρ τοῦ b 4v
ζῴου ἡ ψυχή. πανταχοῦ δὲ τὸ εἶδος κρεῖττον τῆς ὕλης· οὐδὲ γὰρ τὸ τῆς
σαρκὸς εἶδος ἢ τὸ πυρὸς ἢ ἄλλου τινὸς τῶν σωμάτων, ἐπειδὴ καθ' ἑαυτὸ
ὑποστῆναι οὐ δύναται, ἤδη καὶ χεῖρον τῆς ὕλης, ἐπεὶ μηδὲ αὐτὴ ἡ ἀνείδεος
ὕλη ἐν ὑποστάσει ἐστὶν αὐτὴ καθ' αὑτήν, ἀλλὰ μετὰ εἴδους τινὸς θεωρεῖται·
35 ἡ δὲ προσεχὴς ὕλη εἰ καὶ ὑφέστηκε καθ' αὑτήν, οἷον τοῦ ἀβακίου τὰ ξύλα,
οὐχ ὡς ἁπλῶς ὕλη ὑφέστηκεν, ἀλλ' ὡς εἶδός τι τοῦ ξύλου· ὁπηνίκα δὲ γίνεται 5
τοῦ ἀβακίου ὕλη τὰ ξύλα, τότε δῆλον ὅτι χείρονα τὰ ξύλα τοῦ εἴδους τοῦ

---

11 ἐγγίνεται R: γίνεται A: ἐγίγνετο Dt 12 γενέσθαι R 15 προέρχονται — δημιουργίας (16) om. R 18 γινόμενον R 19 τοῦ om. R 20 προϋφεστὸς R 21 ἐγγεννῶσι libri post δημιουργοῦσι nonnulla videntur intercidisse qualia leguntur vv. 15—17 22 δεῖ A: δεῖται DRt χείρονος R 24 ἄζων AD: ἄζωον Rt αὗται ARt: αὐταί D 26 ἄξιον ἴσως t 29 ψυχαὶ αὗται ADt: τοιαῦται R 31 οὐ γὰρ t 34 αὐτὴ R: αὐτῇ Dt ἀλλὰ μετὰ — καθ' αὑτήν (35) om. D 35 τὰ ξύλα τοῦ ἀβακίου t

ἀβακίου, ἐπειδὴ τὰ μὲν ἕνεκά του, τὸ δὲ οὗ ἕνεκα. τί οὖν διαφέρει τὸ b 4ᵛ
ὡς εἶδος ἐν ὕλῃ τοῦ ἐν ὑποκειμένῳ; ὅτι τὸ μὲν εἶδος συνδυαζόμενον τῇ
ὕλῃ ἀποτελεῖ ἑνὸς πράγματος οὐσίαν, οἷον τὸ τοῦ ἀβακίου εἶδος μετὰ τῶν
ξύλων συνδυασθὲν τὸ ἀβάκιον ἀπετέλεσεν, ὁμοίως τὸ τῆς σαρκὸς μετὰ τῶν
5 στοιχείων ἢ τῶν χυμῶν τὴν σάρκα, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, τὸ δὲ
ἐν ὑποκειμένῳ οὐ ποιεῖ μίαν οὐσίαν μετὰ τοῦ ὑποκειμένου, οἷον τὸ λευκὸν 10
μετὰ τοῦ σώματος οὐκ ἐποίησεν ἄλλο τι εἶδος· οὐδὲν γὰρ συντελεῖ τῷ
σώματι τὸ λευκὸν εἰς τὸ εἶναι καὶ παρὸν καὶ ἀπόν.

p. 403ᵃ19 Μηνύει δὲ τὸ ποτὲ μὲν ὑπὸ ἰσχυρῶν καὶ ἐναργῶν πα-
10 θημάτων μηδὲν παροξύνεσθαι ἢ φοβεῖσθαι.

Ὅτι, φησίν, οὐκ ἴδια τῆς ψυχῆς ταῦτα παθήματα, ἀλλὰ τοῦ συναμ-
φοτέρου, δῆλον ἐξ ὧν τῇ τοῦ σώματος ποιᾷ διαθέσει ἐπιτείνονται καὶ 15
ἀνίενται. εἰσὶ γάρ τινες οἳ οὕτω κατὰ τὴν κρᾶσιν ἔχουσιν, ὥστε κἂν
μυρία ᾖ τὰ παροξύνοντα, οὐ κινοῦνται πρὸς ὀργὴν ἀπεψυγμένον ἔχοντες τὸ
15 περὶ τὴν καρδίαν αἷμα καὶ δυσκίνητον, ἕτεροι δὲ εὐεμπτώτως ἔχουσι πρὸς
τὸ πάθος, ὥστε καὶ πάνυ μικρῶν καὶ εὐτελῶν ὄντων τῶν παροξυνόντων
εὐθὺς ἐρεθίζεσθαι πρὸς τὸν θυμὸν διὰ τὸ ἔχειν ζέον ἀεὶ τὸ περικάρδιον
αἷμα· ὅθεν καὶ οἱ μανικῶς διακείμενοι ὑπερζέσαντος τούτου τὸ πάθος
ὑπομένουσι. πάλιν εἰς δειλίαν καὶ θάρσος ὁμοίως οἱ μὲν καὶ ὑπὸ μεγάλων 20
20 φόβων δυσκατάπληκτοι μένουσιν. οἱ δὲ πολλάκις καὶ μηδενὸς φοβεροῦ
παρεστῶτος εἰς φόβον καὶ δειλίαν κινοῦνται ῥᾳδίως. ὅταν τοιαύτην τύχωσιν
ἔχοντες τὴν κρᾶσιν οἷα γίνεται ἡ τῶν ἐν τοῖς φόβοις γινομένων· συστέλλε-
ται γὰρ τῶν τοιούτων τὸ θερμὸν εἰς τὸ βάθος, ὅθεν καὶ ὠχροὶ γίνονται·
"ὦχρος δέ μιν εἶλε παρειάς". ὅταν οὖν τις τοιαύτης ἐξ ἀρχῆς τύχῃ κρά-
25 σεως, ῥᾳδίως εὐκίνητός ἐστιν εἰς τὸ πάθος. ὥστε εἰ ἦν τῆς ψυχῆς ἴδια
ταῦτα πάθη, οὐκ ἔδει τοῦ σώματος αὐτὰ ἠρτῆσθαι οὐδὲ ἐκ τῆς τούτου 25
διαθέσεως τὴν ἀρχὴν λαμβάνειν, ἀλλ' ὅπως ἂν ἔχοι τὸ σῶμα, αὐτὴν
ὁμοίως ἢ κινεῖσθαι ἢ μὴ κινεῖσθαι πρὸς τὰ πάθη. νῦν δὲ καὶ αἱ ἡλικίαι
τὰ εἴδη τῶν παθῶν ἐξαλλάττουσι καὶ συμμεταβάλλουσι, τῆς κράσεως δηλο-
30 νότι συμμεταβληθείσης τῷ χρόνῳ. ὥστε τοῦ συναμφοτέρου ταῦτα· εἰ
γὰρ ὡς ὀργάνῳ ἐκέχρητο ἡ ἄλογος ψυχὴ καὶ ἡ φυτικὴ τῷ σώματι, οὐκ
ἂν ὑπ' αὐτοῦ ἐκινήθη· οὐδὲν γὰρ τῶν ὀργάνων κινεῖ τὸν τεχνίτην, ἀλλ'
ὑπ' αὐτοῦ κινεῖται, οὐδὲ μεταβαλλόμενα τὰ ὄργανα συμμεταβάλλει τῶν
τεχνιτῶν τὰς ὁρέξεις· τὸ δὲ σῶμα τοιῶσδε ἢ τοιῶσδε κεκραμένον τὰς 30
35 τοιαύτας συμμεταβάλλει δυνάμεις.

---

2 ὡς om. D 9 ὑπὸ DRt et de an. plerique: om. de an. ES 10 post παθημάτων add. συμβαινόντων t et Arist. 24 ὦχρος—παρειάς] Il. Γ 35 26 οὐκ ἔδει—πάθη (28) om. D 31 ἡ φυτικὴ DR: ἡ om. t

p. 403a21 Ἐὰν ὀργᾷ τὸ σῶμα καὶ οὕτως ἔχῃ, ὥσπερ ὅταν ὀργίζηται. b 4v

Τουτέστιν ἐὰν εἰς ὀργὴν ἐπιτήδειον ᾖ κεκραμένον τὸ σῶμα· ἔσται δὲ οὕτως, ἐὰν σχῇ τοιαύτην τὴν κρᾶσιν, ὥσπερ γίνεται ἡ τῶν ὀργιζομένων· τότε γὰρ εὐκίνητος ὁ τοιοῦτος εἰς ὀργὴν ἔσται.

p. 403a22 Ἔτι δὲ μᾶλλον τοῦτο φανερόν· μηδενὸς γὰρ φοβεροῦ συμβαίνοντος ἐν τοῖς πάθεσι γίνονται τοῖς τοῦ φοβουμένου.

Τῷ ὄντι ἐναργεῖς δείξεις τοῦ μὴ εἶναι τῆς ψυχῆς ἴδια ταῦτα πάθη, ὅταν καὶ μηδενὸς ἔξωθεν κινοῦντος διὰ τὴν πολλὴν εἰς τοῦτο τὸ πάθος τοῦ σώματος ἐπιτηδειότητα τὸ αὐτό τις πάσχῃ ὅπερ ἂν ἄλλος ὑπὸ μεγάλων φόβων πείσεται.

p. 403a24 Εἰ δὲ οὕτως ἔχει, δῆλον ὅτι τὰ πάθη λόγοι ἔνυλοί εἰσιν.

Εἰ οὕτως ἔχει, φησί, τουτέστιν εἰ μὴ ἴδια ταῦτα πάθη εἰσὶ ψυχῆς, 41 ἀλλὰ τοῦ συναμφοτέρου, λόγοι εἰσὶν ἔνυλοι, τουτέστιν εἴδη εἰσὶν ἐν ὕλῃ τὸ εἶναι ἔχοντα καὶ οὐ χωριστά. ὥστε οἱ ὅροι τοιοῦτοι οἷον τὸ ὀργίζεσθαι κίνησίς τις τοῦ τοιουδὶ σώματος ἢ μέρους ἢ δυνάμεως ὑπὸ τοῦδε ἕνεκα τοῦδε. εἰ γὰρ φυσικοῦ ἔργον τὸ περὶ τῶν ἐνύλων εἰδῶν διαλέγεσθαι, ἄλλα δὲ ἐν ἄλλῃ ὕλῃ εἴδη, ἀνάγκη ἄρα τῷ φυσικῷ τοὺς ὁρισμοὺς ἀποδιδόναι ἔκ τε τῆς ὕλης καὶ τοῦ εἴδους καὶ τῆς αἰτίας, 45 καθ' ἣν τὸ εἶδος ἐν τῇ ὕλῃ γίνεται. περὶ μὲν γὰρ τοῦ εἴδους διαλεγόμενος ἀνάγκῃ καὶ περὶ τῆς ὕλης διαλέξεται· τῶν πρός τι γὰρ ταῦτα· ἀναγκαίως δὲ καὶ περὶ τῆς αἰτίας δι' ἣν ἐστι τὸ εἶδος ἐν τῇ ὕλῃ διαλέξεται, εἴπερ ὁ μὲν φυσικὸς τεχνίτης, ἡ δὲ τέχνη τοὺς λόγους ὀφείλει εἰδέναι τῶν ὧν ἐστι τέχνη. "ἐγὼ γάρ," φησὶν ὁ Πλάτων, "τέχνην οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα". ὡς ἐν τύπῳ οὖν παραδίδωσι τὸ εἶδος τῶν φυσικῶν ὁρισμῶν· κίνησις, φησίν, ὡς λέγομεν ἐπὶ τοῦ θυμοῦ ζέσις (κίνησις γὰρ ἡ 50 ζέσις), τοῦ τοιοῦδε σώματος, τουτέστι φυσικοῦ ὀργανικοῦ, ἢ μέρους. πολλάκις μὲν γὰρ περὶ ὅλον τὸ σῶμα τὸ πάθος γίνεται, ὃ βουλόμεθα ὁρίσασθαι, οἷον εἰ τὴν ἁφὴν ὁριζόμεθα· τοῦ γὰρ ὅλου σώματος κίνησιν εἶναι φήσομεν· μέρους δὲ ὡς ἐπὶ τῆς ὀργῆς, λέγοντες ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος. ἢ δυνάμεως, ὡς εἰ μὴ λέγοιμεν ζέσιν τοῦ περικαρδίου

---

1 Ἐὰν DR et de an. plerique: ὅταν t de an. EU ἔχειν t 6 μᾶλλον τοῦτο DR et Arist. plerique: τοῦτο μᾶλλον t et Arist. codd. EU 11 πείσηται R 12 τὰ πάθη DR et Arist. plerique: καὶ τὰ παθη t et Arist. UV 17 τοῦ τοιουδὶ D^2t: τοῦ τοιοῦδε R: τοῦτο D^1 24 ἡ δὲ DR: εἰ δὲ t 25 φησὶν ὁ Πλάτων] Gorg. p. 465 A

αἵματος, ἀλλὰ ζέσιν τοῦ περικαρδίου θερμοῦ· δῆλον δὲ ὅτι καὶ διὰ τοῦ b 4v
αἵματος τὸ θερμὸν καὶ διὰ τοῦ θερμοῦ τὸ αἷμα σημαν|θήσεται. ὑπὸ b 5r
τοῦδε ἕνεκα τοῦδε, ὑπὸ τοῦ λυπήσαντος δηλονότι διὰ τὸ ἀντιλυπῆσαι
αὐτόν. εἰπόντες οὖν 'δι' ὄρεξιν ἀντιλυπήσεως' ἀμφότερα ἐσημάναμεν· ἡ
5 γὰρ ἀντιλύπησις καὶ τὸν λυπήσαντα σημαίνει, καὶ τὴν ἄμυναν.

p. 403a27 Καὶ διὰ ταῦτα φυσικοῦ θεωρῆσαι περὶ ψυχῆς ἢ πάσης ἢ τῆς τοιαύτης.

Ἐπειδὴ γὰρ τὰ φυσικὰ τοιαῦτα εἴδη περὶ ὧν ἐπισκέπτεται ὁ φυσι- 5
κός, τοιοῦτοι δὲ καὶ οἱ φυσικοὶ ὁρισμοὶ καὶ τὴν ὕλην παραλαμβάνοντες,
10 φυσικοῦ ἄρα τὸ περὶ τῶν τοιούτων ψυχῶν διαλεχθῆναι τῶν οὐκ ἄνευ
ὕλης. τὸ γὰρ περὶ τῶν ἀύλων ψυχῶν καὶ νοερῶν διαλέγεσθαι εἴη ἄν,
ὡς ἐν τῇ Περὶ μορίων ζῴων εἶπε, τοῦ πρώτου φιλοσόφου· ἀνάγκη γὰρ
τὸν περὶ τοῦ νοῦ διαλεγόμενον διαλεχθῆναι καὶ περὶ τῶν νοητῶν, τοῦτο δὲ
θεολογίας ἔργον. ἀλλ' ὡς εἴπομεν ἤδη, ὁ τέλειος φυσικὸς ἀνάξει ἑαυτὸν
15 καὶ ἐπὶ τὰ ἐξῃρημένα αἴτια τῶν φυσικῶν, ὡς καὶ αὐτὸς ἐν τῇ Φυσικῇ| 10
μετὰ τοὺς περὶ κινήσεως λόγους περὶ τοῦ ἀκινήτου αἰτίου διαλεχθεὶς εἶπεν
'ἐκ τοιαύτης ἄρα ἀρχῆς ἤρτηται ὁ οὐρανὸς καὶ ὁ κόσμος'· ὁμοίως καὶ
ἐν τῇ Περὶ γενέσεως καὶ ἐνταῦθα, ἐπειδὴ οὖν καὶ περὶ τούτων ὡς αἰτίων
τῶν φυσικῶν διαλεχθήσεται· εἶπε γὰρ ἤδη καὶ περὶ τῆς λογικῆς ψυχῆς
20 ὅτι ἔστιν οἷον ἀρχὴ τῶν ζῴων. διὰ τοῦτό φησιν ἐνταῦθα τὸ ἢ πάσης.

p. 403a29 Διαφερόντως δ' ἂν ὁρίσαιτο φυσικός τε καὶ διαλεκτικὸς ἕκαστον αὐτῶν.

Εἰπὼν ὅτι τὰ πάθη τῆς ψυχῆς λόγοι ἔνυλοί εἰσι καὶ ὅτι διὰ τοῦτο 16
φυσικοῦ ἐστι θεωρῆσαι περὶ ψυχῆς ἢ πάσης ἢ ὅση μὴ ἄνευ τῆς ὕλης,
25 θέλει λοιπὸν διὰ τούτων δεῖξαι ποῖός ἐστιν ὁ τῷ φυσικῷ πρέπων περὶ
ψυχῆς ὁρισμός. τριῶν οὖν τούτων ὄντων ἐν τοῖς φυσικοῖς πράγμασιν, ὕλης,
εἴδους καὶ τῆς αἰτίας, καθ' ἣν ἐστι τὸ εἶδος ἐν τῇ ὕλῃ, καταγίνονται περὶ
ταῦτα μέθοδοι πέντε, ἡ φυσική, ἡ κατὰ μέρος τέχνη, ἡ διαλεκτική, ἡ
μαθηματική, ἡ πρώτη φιλοσοφία. ζητεῖ οὖν πῶς ἑκάστη τούτων τῶν 20
30 μεθόδων ὁριεῖται τὰ προκείμενα. πρότερον δὲ εἴπωμεν περὶ τί τῶν ὑπο-
κειμένων ἑκάστη τούτων καταγίνεται. φυσικοῦ μὲν οὖν ἔργον διαλεχθῆναι

---

6 post ταῦτα add. ἤδη t et Arist. EU, δὴ Arist. STVW φυσικοῦ τὸ θεωρῆσαι Arist.
12 ἐν τῇ Περὶ μορίων ζῴων] A 1 p. 641a32 sqq. 16 ante κινήσεως add. τῆς R
17 ἐκ τοιαύτης—κόσμος leguntur Metaph. Λ 7 p. 1072b13 κόσμος] φύσις Arist. l. l.
18 ἐν τῇ Περὶ γενέσεως] B 10 21 ante φυσικός add. ὁ t et Arist. codd. (praeter V)
21. 22 φυσικός τε καὶ διαλεκτικὸς t et de an. codd. omnes: φυσικῶς τε καὶ διαλεκτικῶς DR 23 τοῦτο DR: τοῦ t 26 φυτικοῖς t 28. 29 ἡ μαθηματικὴ ἡ A: ἡ utrumque om. DRt 30 εἴπομεν t 31 τούτοις R ἔργον om. A Suid.

περὶ πάντων τῶν εἰρημένων, τῆς τε ὕλης τῶν φυσικῶν πραγμάτων καὶ b 5r
τοῦ εἴδους καὶ τῆς αἰτίας, καθ' ἣν ἐστιν ἐν τῇ ὕλῃ τὸ εἶδος· οἷον τίς ἡ
ὕλη τῶν οὐρανίων, ὅτι οὐ τὰ τέσσαρα στοιχεῖα ἀλλ' ἕτερόν τι τούτων τὸ
πέμπτον σῶμα, τί τὸ εἶδος, ὅτι σφαιρικά· διὰ τί δὲ σφαιρικά, ἀποδώσει
5 τούτου αἰτίαν καὶ σύστοιχον αὐτοῖς καὶ ἐκ τῆς σχέσεως ἣν ἔχουσι πρὸς 25
τὰ πρὸ αὐτῶν, ὥσπερ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ ἐζήτησε, διὰ τί σφαιρικὸς
ὁ οὐρανός· ὅτι, φησίν, ἔδει τὸ πάντων γενησόμενον δεκτικὸν καὶ περιέξον
τὰ πάντα τὸ πολυχωρητότατον τῶν σχημάτων σχήσειν· πολυχωρητότατον
δὲ ἐν μὲν ἐπιπέδοις ὁ κύκλος, ἐν δὲ στερεοῖς ἡ σφαῖρα. δείκνυται γὰρ
10 ὅτι τῶν σχημάτων τῶν ἰσοπεριμέτρων τὸ πολυγωνιώτερον πολυχωρητότερον,
καὶ διὰ τοῦτο τὸ ἀγώνιον πάντων πολυχωρητότατον. οἷον ἐὰν τετράγωνον
χωρίον ᾖ καὶ ἄλλο ὁτιοῦν τῶν πολυγωνίων σχημάτων, οἷον ἑξάγωνον, 30
ἔχῃ δὲ ἑκάτερον τὴν περίμετρον πηχῶν τεσσάρων, ᾖ δὲ καὶ ἕτερον χωρίον
περιφερὲς ὄν, τουτέστι κύκλος, τῶν αὐτῶν τεσσάρων ἔχον τὴν περίμετρον,
15 τὸ ἐμβαδὸν μεῖζόν ἐστι τὸ μὲν τοῦ ἑξαγώνου τοῦ τετραπλεύρου, τὸ δὲ τοῦ
κύκλου τοῦ ἑξαγώνου μεῖζον. ὁμοίως καὶ ἐπὶ στερεῶν, κύβου λέγω καὶ
ὀκταέδρου καὶ δωδεκαέδρου καὶ σφαίρας καὶ τῶν λοιπῶν, τὸ μὲν πολύ-
γωνον πλεῖον χωρήσει τοῦ κύβου κατὰ τὸ ἐμβαδόν, ἡ δὲ σφαῖρα τοῦ πολυ-
γώνου. ἀποδίδωσι δὲ καὶ ὁ Ἀριστοτέλης φυσικὴν αἰτίαν τοῦ σχήματος· 35
20 τῷ γὰρ ἀιδίῳ φησὶν ἐσομένῳ τὸ σφαιρικὸν πρεπῶδες εἶναι σχῆμα, ὃ
μήτε ἀρχὴν μήτε τέλος ἔχει ἀλλ' εἰς ἑαυτὸ συννένευκε· καὶ ὁ Πλωτῖνος
φυσικὴν αἰτίαν τοῦ σχήματος [ταύτην] τοῦ οὐρανοῦ ἐκ τῆς σχέσεως ἣν
ἔχει πρὸς τὰ πρὸ αὐτοῦ· προσεχῶς δέ εἰσιν ὑπὲρ τὰ οὐράνια αἱ νοηταὶ
οὐσίαι· δεῖ δὲ τὸ αἰτιατὸν ὅτι μάλιστα ὡμοιῶσθαι τῷ προσεχεῖ αἰτίῳ καὶ
25 τούτου εἰκόνα καὶ μίμημα φέρειν. διὰ τοῦτο οὖν, φησί, κύκλῳ κινεῖται ὁ
οὐρανός, ὅτι νοῦν μιμεῖται. ἴδιον γὰρ τοῦ νοῦ πρὸς ἑαυτὸν συννεύειν· 40
αὐτὸς γὰρ ὁ ὁρῶν, αὐτὸς ὁ ὁρώμενος· ὁρῶν γὰρ τὰ εἴδη ἑαυτὸν ὁρᾷ, καὶ
ἑαυτὸν ὁρῶν τὰ εἴδη τεθέαται· πλήρωμα γάρ ἐστι τῶν εἰδῶν καὶ εἶδος
εἰδῶν. ἔχει οὖν ὁ οὐρανὸς τὸ σφαιρικὸν σχῆμα διὰ τὴν κύκλῳ κίνησιν,
30 ταύτην δὲ διὰ τὴν πρὸς τὸν νοῦν ἐξομοίωσιν. καὶ ἄλλως μιμεῖται τὸν νοῦν
ἀμερῶς πανταχοῦ ὄντα· ὡς οὖν ἐκεῖνος ἅμα πανταχοῦ ἐστιν, οὕτως ὁ
οὐρανὸς πανταχοῦ γίνεται. τῷ οὖν πανταχοῦ γίνεσθαι τὸ πανταχοῦ ὂν
μιμεῖται· τελείωσις γὰρ τῶν χειρόνων ἡ πρὸς τὰ ὑπέρτερα ἐπιστροφή τε 45
καὶ ἐξομοίωσις. οὕτω μὲν οὖν ὁ φυσικὸς πάντων τῶν φυσικῶν ἀποδί-
35 δωσι καὶ τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὸ αἴτιον, καὶ διὰ τοῦτο τὸν ὁρισμὸν

---

1 τῶν εἰρημένων τῆς ψυχῆς μερῶν τῆς τε Suid. v. Φυσικὸς λόγος 4 σῶμα πάλιν τί τὸ Pal. Suid. διὰ τί δὲ σφαιρικά om. D 5 αὐτοῖς R: αὐτῆς Dt 6 ἐν τῷ Τιμαίῳ] p. 33 B 13 ἔχῃ R: ἔχει Dt ᾖ R: ἦν Dt 19 ὁ Ἀριστοτέλης] de caelo B 4 p. 286b 10 sqq. 21 ὁ Πλωτῖνος] Enn. II 2 init. 22 ταύτην delevi 24 ὡμοιῶσθαι A Pal. Suid.: ὁμοιοῦσθαι DRt 25 εἰκόνα Dt: εἰκός R 26 νεύειν Suid. 29 ἔχει t Suid.: ἔχοι DR 31 ἀμερῶς om. Suid. ὡς οὖν — οὐρανὸς (32)] καὶ γὰρ καὶ τὸ οὐράνιον σῶμα A Suid. ἐκείνως R 34 post ἐξομοίωσις iterant quae 19—21 leguntur ἀποδίδωσι δὲ καὶ ὁ Ἀριστοτέλης — συννένευκεν DRt

ἀποδίδωσιν ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους καὶ τῆς αἰτίας δι' ἥν ἐστι τὸ b 5r
εἶδος ἐν τῇ ὕλῃ.

Ὁ δὲ κατὰ μέρος τεχνίτης ἔχει μὲν καὶ αὐτὸς περὶ πάντα ταῦτα,
διαφέρει δὲ τοῦ φυσικοῦ, ὅτι περὶ μερικόν τι καταγίνεται πρᾶγμα, οἷον ὁ 50
ἰατρὸς περὶ τὰ ἀνθρώπινα σώματα, ὁ τέκτων περὶ λίθους καὶ ξύλα. ἀπο-
δώσει δὲ καὶ οὗτος τὸν ὁρισμὸν περιλαμβάνων καὶ τὴν ὕλην καὶ τὸ εἶδος
καὶ τὴν αἰτίαν. διαφέρει δὲ καὶ ταύτῃ τοῦ φυσικοῦ, ὅτι ὁ μὲν κατὰ μέρος
τεχνίτης τὰς προσεχεῖς αἰτίας ἀποδίδωσι μόνας, ὁ δὲ φυσικὸς καὶ τὰς
πρώτας, οἷον αἰτιάσεται τῆς γενέσεως καὶ φθορᾶς ὁ ἰατρὸς τὴν συμμετρίαν
τῶν χυμῶν καὶ τῆς τούτων συμμετρίας τὰ στοιχεῖα, ὁ δὲ φυσικὸς καὶ
ἐπέκεινα | χωρήσει καὶ ἐπὶ τὴν ὕλην καὶ τὸ εἶδος. δεῖ γὰρ καὶ τὸν κατὰ b 5v
μέρος τεχνίτην εἰδέναι καὶ τὴν αἰτίαν. "ἐγὼ γάρ", ὁ Πλάτων φησίν, "τέχνην
οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα".

Ὁ δὲ διαλεκτικὸς ἀποδώσει τοὺς ὁρισμοὺς ἔκ τε τοῦ εἴδους καὶ τῆς
αἰτίας· περὶ ταῦτα γὰρ καταγίνεται· καὶ ταύτην οὐχ ὡς αἰτίαν σκοπῶν,
ἀλλ' ἁπλῶς ὡς πρᾶγμά τι ἢ εἶδος, οἷον ὅτι ὁ θυμὸς ὄρεξίς ἐστιν ἀντιλυ-
πήσεως. ἐνταῦθα οὐδαμοῦ τῆς οὐσίας τοῦ θυμοῦ ἔννοιαν ἡμῖν δέδωκεν, 5
ἀλλὰ μόνην τὴν αἰτίαν εἶπε δι' ἥν ἐστιν· ἵνα γὰρ ἀντιλυπήσῃ τὸν προλυ-
πήσαντα· καὶ διὰ τοῦτο κενὸν αὐτόν φησιν εἶναι, διότι τοῦ πράγματος οὐκ
ἐφάπτεται. ὅτι δὲ καὶ τὴν αἰτίαν λέγων οὐχ ὡς αἰτίαν αὐτὴν ἀποδίδωσιν
ἀλλ' ἁπλῶς ὡς πρᾶγμά τι, δῆλον ἐξ ὧν τοῦ αἰτιατοῦ οὐκ ἐμνήσθη. αἰτια-
τὸν δὲ τῆς ὀρέξεως ἡ ζέσις τοῦ περικαρδίου αἵματος· ἐπειδὴ γὰρ βούλεται
ἀντιλυπῆσαι, διὰ τοῦτο κινεῖ τὸ περικάρδιον αἷμα. ὥστε εἰ ὁ μὲν διαλεκ-
τικὸς ὁρισμὸς τὸ αἴτιον λέγων οὐ μέμνηται τοῦ αἰτιατοῦ, πᾶσα δὲ ἀνάγκη 10
τὸν περὶ τοῦ αἰτίου διαλεγόμενον καὶ τοῦ αἰτιατοῦ μνησθῆναι (ταῦτα γὰρ
τῶν πρός τι), δῆλον ἄρα ὅτι οὐχ ὡς αἰτίας μέμνηται τῆς αἰτίας, ἀλλ' ὡς
εἶπον ὡς πράγματος.

Ὁ δὲ μαθηματικὸς καὶ αὐτὸς καταγίνεται περὶ τὰ εἴδη τὰ ἀχώριστα
τῆς ὕλης, οὐ πάντα ἀλλ' ὅσα δυνατὰ τῇ ἐπινοίᾳ χωρίζεσθαι· ταῦτα δ'
ἐστὶ τὰ καλούμενα κοινὰ αἰσθητά, οἷον μεγέθη καὶ σχήματα. σαρκὸς γὰρ
εἶδος καὶ ὀστοῦ καὶ τῶν τοιούτων οὐδὲ κατ' ἐπίνοιαν χωρισθῆναι τῆς
ὕλης δύναται· τὸ γὰρ μαλθακὸν καὶ ὑγρὸν καὶ ἐρυθρὸν καὶ ἐξ ὧν ἄλλων 15
εἰδοποιεῖται ἡ σὰρξ ἅμα τῷ νοηθῆναι συνεπινοουμένην ἔχει τὴν οἰκείαν
ὕλην, ἀφαιρουμένης δὲ τῆς ὕλης καὶ αὐτὰ συναφῄρηται. ἀποδίδωσιν οὖν
ὁ μαθηματικὸς τῶν καθ' αὑτὰ τῶν εἰδῶν τῶν ἐξ ἀφαιρέσεως τοὺς ὁρισμοὺς
οὐχ ὑπολογιζόμενος ὕλην, ἀλλ' αὐτὰ καθ' αὑτὰ ἀποδιδούς. διὸ οὐδὲ τῆς
αἰτίας ἐν τῷ ὁρισμῷ μέμνηται· εἰ γὰρ καὶ τὴν αἰτίαν ὡρίζετο, πάντως ἂν
καὶ τὴν ὕλην παρελάμβανεν· ἐπειδὴ οὖν οὐ διαλέγεται περὶ ὕλης, διὰ τοῦτο 20

---

4 πρᾶγμα AR: τὸ πρᾶγμα Dt 9 αἰτιάσεται AR: αἰτίας αἱ Dt post φθορᾶς add. εἰσιν Dt 11 δεῖ γὰρ Dt: δεῖ δὲ R 12 καὶ om. R ὁ Πλάτων φησίν] Gorg. p. 465 A 25 τοῦ αἰτίου R: τοῦ om. Dt μνησθῆναι DR: μνημονεῦσαι t 28 ἀχώριστα A: χωριστὰ DRt 31 οὐδὲν R 35 τῶν καθ' αὑτὰ] fort. αὐτῶν καθ' αὑτὰ τῶν εἰδῶν τῶν DRt: τῶν utrumque om. A 38 ἐπειδὴ Dt ἐπεὶ R

οὐδὲ τῆς αἰτίας μεμνήσεται· οἷον τί ἐστι τρίγωνον; σχῆμα ὑπὸ τριῶν b 5v
εὐθειῶν περιεχόμενον· τί ἐστι κύκλος; σχῆμα ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. ἐν τούτοις οὔτε ὕλης ἐμνήσθη καὶ διὰ τοῦτο οὐδὲ αἰτίας, δι' ἣν ἐν τῇδε τῇ ὕλῃ τόδε τὸ εἶδός ἐστιν· ἀλλ' ἐὰν ἄρα, τῶν συμπτωμάτων τῶν
5 καθ' αὑτὰ συμβαινόντων τοῖς σχήμασι τούτων τὰς αἰτίας ἀποδώσει, οἷον διὰ τί τὸ τρίγωνον δύο ὀρθαῖς ἴσας ἔχει.

Ὁ δὲ πρῶτος φιλόσοφος περὶ τῶν πάντῃ χωριστῶν τῆς ὕλης εἰδῶν διαλέξεται. τῶν γὰρ εἰδῶν τῶν ἐνύλων εἰσὶ καὶ ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ 25 λόγοι, εἰσὶ δὲ καὶ ἐξῃρημένοι ἐν τῷ δημιουργικῷ νῷ. καὶ τῶν ἐν τῇ
10 ψυχῇ οἱ μέν εἰσι διαστατοὶ οἱ ἐν τῇ φαντασίᾳ, οἱ δὲ ἀμερεῖς καὶ ἀδιάστατοι οἱ ἐν τῷ λογικῷ μέρει τῆς ψυχῆς. ὁ μὲν οὖν γεωμέτρης περὶ τῶν ἐν τῇ φαντασίᾳ διαλέγεται διαστατῶν εἰδῶν· ὡς γὰρ ἀβακίῳ κέχρηται τῇ φαντασίᾳ μεριστῶς ἐνεργῶν καὶ διαστήματα ἀναμετρῶν καὶ τέμνων· ὁ μέντοι πρῶτος φιλόσοφος διαλέξεται περὶ τῶν εἰδῶν τῶν τε ἐν τῷ λογικῷ
15 μέρει τῆς ψυχῆς καὶ τῶν δημιουργικῶν. διαφέρουσι δὲ οὗτοι, ὅτι οἱ μὲν 30 ἐν τῇ ψυχῇ εἰκόνες εἰσὶ τῶν πρώτων καὶ τῶν πραγμάτων γνωστικοί, οἱ δὲ ἕτεροι ἀρχέτυποί εἰσι καὶ ποιητικοί. περὶ μὲν οὖν τῶν δημιουργικῶν διαλεγόμενος ὡς θεωρητικὸς ἐνεργήσει, περὶ δὲ τῶν ἐν τῇ ψυχῇ ὡς καθαρτικός· καθαρτικῶς γὰρ ἐνεργεῖ, ὅταν ἐπιστρέφῃ πρὸς ἑαυτὸν καὶ γινώσκῃ
20 τὴν οὐσίαν τῆς ψυχῆς· τότε γὰρ κατ' ἐπιστήμην ὄντως ἡ κάθαρσις καὶ τῶν παθῶν καὶ τῆς ἀγνοίας. τὴν δὲ οὐσίαν γινώσκων τῆς ψυχῆς εἴσεται ὅτι τῶν εἰδῶν ἔστι πλήρωμα, καὶ διὰ τοῦτο τὰς μαθήσεις ἐρεῖ ἀναμνήσεις 35 εἶναι.

Ὁ μὲν γὰρ ὄρεξιν ἀντιλυπήσεως, ὁ διαλεκτικὸς δηλονότι· τοῦτο
25 δὲ ἡ αἰτία ἐστὶ καὶ τὸ τέλος τῆς τοῦ θυμοῦ κινήσεως. ὁ δὲ ζέσιν τοῦ περὶ τὴν καρδίαν αἵματος ἢ θερμοῦ, ὁ φυσικός· οὗτος δὲ ἐκ τῆς ὕλης· ὕλη γὰρ τὸ αἷμα τὸ περὶ τὴν καρδίαν ἢ ἁπλῶς τὸ θερμόν. πῶς δὲ λέγομεν ἐκ τῆς ὕλης εἶναι τοῦτον; καίτοι δόξειεν ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους εἶναι· εἶπε γὰρ ζέσιν εἶναι, τοῦτο δὲ εἶδος τοῦ θυμοῦ, ὕλη δὲ τὸ
30 περὶ τὴν καρδίαν αἷμα, αἰτία δὲ οἱονεὶ τελικὴ τὸ δι' ὄρεξιν ἀντιλυπήσεως. ἀλλὰ λέγω ὅτι οὐχ ἁπλῶς ἡ ζέσις εἶδός ἐστι τοῦ θυμοῦ, ἐπεὶ οὕτως γε 40 ὁσάκις ἂν ζέσειε τὸ περικάρδιον αἷμα καὶ ἐξ ἄλλων προφάσεων, θυμὸς ἂν ἦν· ἀλλὰ εἶδός ἐστι τοῦ θυμοῦ ἡ ζέσις ἡ ὑπὸ τοῦδε γινομένη, ὡς αὐτὸς ἔναγχος εἶπε, λέγω δὲ ὑπὸ τοῦ λυπήσαντος. ὥστε ἡ ἁπλῶς ζέσις τοῦ
35 αἵματος εἴη ἂν ὡς προσεχὴς ὕλη ὑποκειμένη τῇ διὰ τὸν λυπήσαντα γινομένῃ. πότε οὖν μεμνήμεθα τοῦ εἴδους; ὅταν προσθῶμεν ὅτι ὄρεξις ἀντιλυπήσεως· ἐν γὰρ τῷ εἰπεῖν ἀντιλυπήσεως ἐμνήσθη τό τε ὑπὸ τοῦ λυπή-

---

1 τριγώνιον R 6 ὀρθαῖς scripsi: ὀρθὰς libri 9 οἱ λόγοι t εἰσὶ δὲ καὶ A: καὶ οἱ DRt 11 λογικῷ DRt: λογιστικῷ A 12 διαλέξεται A 17 καὶ om. R 19 καθαρτικῶς AR: om. D: καθαρτικὸς t γινώσκει t 24 τοῦτο D^2t: τοῦ R 26 αἵματος — καρδίαν (27) om. R 29 τοῦτο δὲ εἶδος Rt: τῆς τοιᾶσδε ὕλης D^2 in litura ὕλη δὲ — θυμοῦ (31) om. D

σαντος κεκινῆσθαι τὴν ζέσιν, καὶ διὰ τὸ ἀντιλυπῆσαι αὐτόν· τὸ γὰρ ἀντι- b 5r
λυπῆσαι σημαίνει καὶ τὸν προλυπήσαντα.

p. 403b1 Τούτων δὲ ὁ μὲν τὴν ὕλην ἀποδίδωσιν, ὁ δὲ τὸ εἶδος 46
καὶ τὸν λόγον.

5 Ὁ μὲν γὰρ φυσικὸς τὴν ὕλην ἀπέδωκεν, ὁ δὲ διαλεκτικὸς τὸ εἶδος ἤτοι τὴν αἰτίαν. ἔστι γὰρ καὶ ἡ αἰτία οἷον εἶδος χαρακτηρίζουσα τοῦ θυμοῦ πάθος ἐξαίρετον· κινηθήσεται γάρ, ὅπερ εἶπον, καὶ διὰ ἄλλας τινὰς αἰτίας τὸ περὶ τὴν καρδίαν αἷμα, οὐ μὴν εἰς τὸ ἀντιλυπῆσαι· τοῦτο γὰρ χαρακτηριστικὸν τοῦ θυμοῦ· ὥστε ἡ αἰτία αὕτη καὶ εἶδος ἔσται. καὶ ἐν- 50
10 ταῦθα μὲν ὁλοσχερέστερον λέγει τὸν φυσικὸν ἐκ τῆς ὕλης ἀποδιδόναι τὸν ὁρισμόν, ἐφεξῆς δὲ ἀκριβέστερον ζητήσας αὐτὸ τοῦτο, τίς εἴη τοῦ φυσικοῦ ὁρισμός, ἐπικρίνει καὶ λέγει ὅτι ὁ μετὰ τῆς ὕλης καὶ τὸ εἶδος ἀποδιδοὺς τὸ μετὰ τῆς αἰτίας.

p. 403b2 Ὁ μὲν γὰρ λόγος, ὁ δὲ τοῦ πράγματος.

15 Ὑποστικτέον εἴς τε τὸν γάρ σύνδεσμον καὶ εἰς τὸν δέ, ἵνα ᾖ οὕτως· ὁ μὲν γὰρ τῶν ὁρισμῶν ὁ λόγος ἐστὶ καὶ ἡ | αἰτία ἤτοι τὸ εἶδος τοῦ b 6r
θυμοῦ, ὁ δ' ἕτερος τοῦ πράγματός ἐστιν ὁρισμός, τουτέστι τῆς οὐσίας καὶ τῆς ὕλης.

p. 403b3 Ἀνάγκη δὲ εἶναι τοῦτον ἐν ὕλῃ τοιαδί, εἰ ἔσται.

20 Τοῦτον, φησί, τὸν ἐκ τοῦ εἴδους ὁρισμόν, εἰ μέλλοι ἐν ὑποστάσει εἶναι καὶ μὴ κενός τε εἶναι καὶ κατ' οὐδενὸς πράγματος φέρεσθαι, ἀνάγκη εἶναι ἐν ὕλῃ· ὥστε τὸν μέλλοντα τελείως ὁρίσασθαι δεῖ καὶ τῆς ὕλης 5
μνησθῆναι.

p. 403b3 Ὥσπερ οἰκίας ὁ μὲν λόγος τοιοῦτός τις, σκέπασμα κω-
25 λυτικὸν φθορᾶς ὑπὸ ἀνέμων καὶ ὄμβρων καὶ καυμάτων. ὁ δὲ φήσει λίθους καὶ ξύλα.

Τοῦτο τῶν αὐτῶν ἐστι παράδειγμα. ὁ μὲν οὖν ὁρισμός, φησίν, ὁ λέγων σκέπασμα κωλυτικὸν καὶ τὰ ἑξῆς, οὗτος διαλεκτικός ἐστι τὴν αἰτίαν τῆς οἰκίας τὴν τελικὴν ἀποδεδωκώς, ὁ δὲ λέγων ὁρισμὸν ὅτι λίθος καὶ πλίνθος 10
30 καὶ ξύλα τὴν ὕλην ἀποδώσει. ποῖον οὖν τὸ εἶδος τῆς οἰκίας; ἔστι μέν,

---

5 ἀποδέδωκεν R 14 ὁ δὲ τοῦ] sic DRt Simpl. Soph. et de an. codd. plerique: εἶδος de an. UX 15 ἀποστικτέον t 21 μὴ D²t: om. D¹R 24 post μὲν add. γὰρ R τις DR de an. S: ἂν εἴη ὅτι t de an. UV: ὅτι de an. E 26 φήσει DR, de an. plerique: φησι t, de an. SVX 27 τοῦτο — παράδειγμα om. t

ὡς ἤδη εἶπον, καὶ ἡ αἰτία εἶδος· πλὴν εἴποις ἂν εἶδος προσεχὲς τῆς b 6r
οἰκίας τὴν τοιάνδε τῶν εἰρημένων σύνθεσιν, ὕλην δὲ τὰ τοιάδε ξύλα καὶ λίθους καὶ πλίνθους· οὐδὲ γὰρ τὰ τυχόντα.

p. 403b6 Ἕτερος δ' ἐν τούτοις τὸ εἶδος, ἕνεκα τωνδί.

Ἀποδεδωκὼς ὁρισμοὺς δύο, τόν τε ἐκ τῆς ὕλης καὶ τὸν ἐκ τοῦ εἴδους, νῦν φησιν ὅτι ἐστὶ καὶ ἕτερός τις ὁρισμός, ὅστις καὶ τὴν ὕλην καὶ τὸ 15
εἶδος καὶ τὴν αἰτίαν παραλήψεται, οἷον ὅτι οἰκία ἐστὶ σκέπασμα ἐν τοιᾷδε συνθέσει λίθων καὶ πλίνθων καὶ ξύλων· εἶτα καὶ ἡ αἰτία τοῦ τόδε τὸ εἶδος ἐν τῇ τοιᾷδε ὕλῃ εἶναι, κωλυτικὸν φθορᾶς ὑπὸ ἀνέμων καὶ ὄμβρων καὶ καυμάτων. οὐ γὰρ ἀρκεῖ εἰπεῖν ὅτι σκέπασμα κωλυτικὸν φθορᾶς καὶ τὰ ἑξῆς εἰς παράστασιν τῆς οἰκίας· ταύτῃ γὰρ καὶ σπήλαιον ἔσται ἡ οἰκία καὶ σκηνή· ἀλλὰ δεῖ προσθεῖναι τὴν ποιότητα τῆς ὕλης καὶ τῆς συνθέσεως.

p. 403b7 Τίς οὖν ὁ φυσικὸς τούτων; τῶν τριῶν, φησίν, ὁρισμῶν 20
ποῖον ἐροῦμεν εἶναι τοῦ φυσικοῦ; πότερον ὁ περὶ τὴν ὕλην, τὸν δὲ λόγον ἀγνοῶν, ἢ ὁ περὶ τὸν λόγον μόνον; ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν;

Εἰπὼν ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν ἅμα τῇ διαιρέσει τό τε παραλελειμμένον τῆς διαιρέσεως προσέθηκε τμῆμα [εἰπὼν ἢ μᾶλλον ἐξ ἀμφοῖν] καὶ ἅμα καὶ τὴν ἐπίκρισιν συνέπλεξεν. ἐξ ἀμφοῖν δὲ εἶπε, καίτοι τριῶν ὄντων ἐπὶ τοῦ φυσικοῦ ὁρισμοῦ, ὕλης, εἴδους καὶ αἰτίας, ὅτι ὡς εἶπον πολλάκις ἡ αἰτία καὶ εἶδός ἐστιν.

p. 403b9 Ἐκείνων δὲ δὴ τίς ἑκάτερος; ἢ οὐκ ἔστι τις ὁ περὶ τὰ πάθη τῆς ὕλης τὰ μὴ χωριστά, μηδ' ᾗ χωριστά.

Εἰπὼν κατὰ μὲν τὴν ἀρχὴν διαλεκτικοῦ μὲν εἶναι τὸν ἐκ τοῦ εἴδους ὁρισμόν, φυσικοῦ δὲ τὸν ἐκ τῆς ὕλης, εἶτα προελθὼν καὶ διορθώσας τὸν λόγον καὶ εἰπὼν ὅτι φυσικοῦ ἐστιν ὁ ἐξ ἀμφοῖν ἀποδιδόμενος ὁρισμός, ζητεῖ εἰκότως περὶ τῶν λοιπῶν δύο ὁρισμῶν τοῦ τε ἐκ τῆς ὕλης μόνης καὶ τοῦ ἐκ τοῦ εἴδους, τίνος ἂν εἴη τεχνίτου ἑκάτερος ὁρισμός. καὶ περὶ 30
μὲν τοῦ ἐκ τοῦ εἴδους μόνου ὅτι ἐστὶ διαλεκτικοῦ οὐδὲν λέγει· ἤδη γὰρ εἶπεν· περὶ δὲ τοῦ ἐκ τῆς ὕλης μόνης λέγει ὅτι οὐκ ἔστιν οὐδεμία τέχνη περὶ ὕλην μόνην καταγινομένη. πᾶσα γὰρ τέχνη εἶδος ἐπιθεῖναι βούλεται τῇ ὑποβεβλημένῃ ἑαυτῇ ὕλῃ, ὥστε οὐκ ἔστι τέχνη ἥτις ὁριεῖται ἐκ τῆς ὕλης μόνης. οὐκ εἶπε δὲ ἁπλῶς ὅτι οὐκ ἔστι τέχνη καταγινομένη περὶ τὴν

---

4 τωνδί t: τωνδι (ι ut man. alt.) D: τῶν ἀεὶ R 8 τοῦ τόδε scripsi: τοῦτο δὲ libri 9 εἶναι Dt: ἐστί R 11 ταύτῃ γὰρ R: κατὰ τοῦτο ταύτῃ γὰρ D: κ. τ. γὰρ ταύτῃ t 18 εἰπὼν — ἀμφοῖν delevi 18. 19 καὶ ἅμα om. R 20 καὶ om. R 25 διαρθρώσας R

ὕλην, ἀλλὰ περὶ τὰ πάθη τῆς ὕλης τὰ μὴ χωριστά, μηδὲ ᾗ χω- b 6ʳ
ριστά, διότι πᾶς τεχνίτης οὐ περὶ τῆς ἁπλῶς ὕλης διαλέγεται, ἀλλὰ περὶ 35
τινός, ᾗ πάντως συμβέβηκε καθ' αὑτά τινα πάθη. καὶ ὁ φυσικὸς δὲ εἰ
καὶ διαλέγεται καὶ περὶ τῆς ἁπλῶς ὕλης, ἀλλὰ καὶ περὶ τῆς τινός, τίς
5 τῶν ἐν μετεώροις ὕλη καθόλου τε καὶ ἐν μέρει, τίς χαλάζης, τίς χιόνος
καὶ τῶν λοιπῶν· ὁμοίως καὶ περὶ τῶν ἐν γῇ, τίς ζῴων, τίς μετάλλων καὶ
τῶν λοιπῶν. ἐπειδὴ οὖν περὶ τῆς τινὸς ὕλης τοῖς τεχνίταις ὁ λόγος, αὐτὴ
δὲ καθ' αὑτὴν ἔχει τινὰ πάθη συμβεβηκότα, ἅπερ οἱ τεχνῖται περιεργάζον-
ται, διὰ τοῦτο προσέθηκε περὶ τὰ πάθη τῆς ὕλης. ζητεῖ γὰρ ὁ τέκτων 40
10 πρὸς κατασκευὴν τῆς θύρας εὐθέα ξύλα, καὶ εἰ ἐρωτηθείη διὰ τί, φήσει
ὅτι ταῦτα ἐφαρμόζει ἀλλήλοις· ζητεῖ ὁ ναυπηγὸς φέρ' εἰπεῖν οὐκ ἔβενον,
ὅτι πυκνὴ καὶ οὐκ ἐπιπλεῖ, τυχὸν δὲ οὐδὲ δρῦν, ἀλλὰ τὰ μανότερα οἷον
κυπάριττον καὶ τὰ τοιαῦτα· ὁμοίως ὁ οἰκοδόμος περιεργάζεται τὰ πάθη
τῆς ἰδίας ὕλης, ὅτι οὐ δεῖ φέρ' εἰπεῖν τοὺς κισηρώδεις λίθους παραλαμ-
15 βάνειν, ὅτι εὔθρυπτοι· ὁμοίως ἐπὶ πάντων τῶν λοιπῶν τεχνιτῶν. προσέ-
θηκε δὲ τὸ μὴ χωριστά, μηδὲ ᾗ χωριστά, μὴ χωριστὰ μέν, ὅτι τὰ
πάθη τῶν ἀπηριθμημένων ὑλῶν, μᾶλλον δὲ πάσης ὕλης ὡς ὕλης τὰ πάθη 45
ἀχώριστα. οἷον τῆς ὕλης τοῦ πλοίου τῶν ξύλων τὸ μανὸν πάθος ἀχώ-
ριστον, ἢ τῶν λίθων τῆς ὕλης τῆς οἰκίας τὸ πυκνόν. τὸ δὲ μηδὲ ᾗ
20 χωριστά, τουτέστι καθὸ μηδὲ τῷ λόγῳ δύνανται χωρίζεσθαι· τινὰ γὰρ
τῶν παθῶν χωριστά ἐστι τῷ λόγῳ, οἷον τὰ σχήματα καὶ πάντα τὰ μαθη-
ματικά· ταῦτα γὰρ τῇ ἐπινοίᾳ χωρίσαι δυνάμεθα· τὸ μέντοι μανὸν τοῦ
ξύλου ἢ πυκνὸν οὐδὲ κατ' ἐπίνοιαν χωρὶς θεωρῆσαι δυνάμεθα. ταῦτα οὖν
ἐστιν ὕλης πάθη, ἃ μηδὲ κατ' ἐπίνοιαν χωρίσαι δυνατόν, ἅπερ καὶ παρα- 50
25 λαμβάνονται ἐν τῷ τῆς ὕλης λόγῳ· τὸ γὰρ φέρ' εἰπεῖν μανὸν ξύλον τὸ
ὅλον τοῦτο ὕλη ἐστί· τὰ μέντοι σχήματα οὔκ εἰσιν ὕλης πάθη ἀλλὰ σώ-
ματος· ἐπισυμβαίνουσι γὰρ τῷ εἰδοποιημένῳ σώματι, ἀλλ' οὐχ ᾗ φυσικῷ·
διὸ καὶ χωριστὰ τῷ λόγῳ. τὰ γὰρ ὡς φυσικῶν σωμάτων πάθη ταῦτα
ἀχώριστα, οἷον τὸ μανόν, τὸ ξηρόν, τὸ βαρύ. οὕτως οὐδὲ ἡ ζέσις τοῦ
30 θυμοῦ ἡ ἐν τῷ αἵματι χωρισθείη ἂν οὐδὲ κατ' ἐπίνοιαν· ὥστε τὸ ὅλον
τοῦτο ἡ τοῦ περικαρδίου αἵματος ζέσις ὕλη τοῦ θυμοῦ. | οὐκ ἔστιν οὖν, b 6ᵛ
φησί, τέχνη ἥτις περὶ μόνα τὰ πάθη τῆς ὕλης καταγίνεται δίχα τινὸς λόγου
καὶ αἰτίας. ὅθεν καὶ ὁ Πλάτων καλῶς τὸ "ἐγὼ δὲ οὐ καλῶ τέχνην ὃ ἂν
ᾖ ἄλογον πρᾶγμα". εἰ δὲ τοῦτο, οὐδεὶς ἀποδώσει ὁρισμὸν ἀπὸ τῆς
35 ὕλης μόνης.

---

2 ἁπλῆς R 4 καὶ (post διαλέγεται) om. R 8 τινά] τὰ t 12 μανότερα R: μανώτερα Dt 16 δὲ τὸ R: δὲ τῷ Dt 17 ὑλῶν Dt: εἰδῶν R 19 μηδὲ D: μὴ Rt 27 οὐχ ᾗ D²t: οὐχὶ D¹R 29 ξυρόν t 32 φησὶν ἡ τέχνη R · 33 ὁ Πλάτων] Gorg. p. 465 A

p. 403b 10 Ἀλλ' ὁ φυσικὸς περὶ πάντα, ὅσα τοῦ τοιούτου σώ- b 6v
ματος καὶ τῆς τοιαύτης ὕλης ἔργα καὶ πάθη.

Διὰ μὲν οὖν τοῦ εἰπεῖν περὶ πάντα διακρίνει αὐτὸν τοῦ καθ' ἕκαστα 6
τεχνίτου· ἐκείνων γὰρ ἕκαστος περὶ μερικόν τι ἔχει· διὰ δὲ τοῦ εἰπεῖν
5 τοῦ τοιούτου σώματος ἐχώρισεν αὐτὸν τοῦ μαθηματικοῦ· οὐ γὰρ σκοπεῖ
τὰ σχήματα ᾗ τοιοῦδε σώματος, διὸ οὐδὲ παραλαμβάνει ὕλην ἐν τοῖς
ὁρισμοῖς. ἔτι μέντοι χωρίζοι ἂν αὐτὸν καὶ τοῦ διαλεκτικοῦ καὶ τοῦ πρώτου
φιλοσόφου· οὐδεὶς γὰρ τούτων ᾗ τοιούτου σώματος τὰ πάθη ταῦτα σκοπεῖ 10
οὐδὲ ἐν ὕλῃ, ὡς ἤδη εἴπομεν. περὶ πάντων οὖν τοῦ φυσικοῦ ἐστιν ἔργον
10 εἰπεῖν, ὅσα τοῦ τοιούτου σώματος· οὐ γὰρ μόνον περὶ σώματος διαλέξεται.
ἀλλὰ καὶ περὶ τοῦδε τοῦ σώματος· περὶ πάντων οὖν, φησί, δι' ὧν ἕκαστον
σῶμα τόδε τί ἐστι. καὶ τῆς τοιαύτης ὕλης· ἑκάστου γὰρ ἀποδίδωσι
τὴν προσεχῆ ὕλην μετὰ τῶν ἰδίων αὐτῆς παθῶν ἢ ἔργων· πάντα γὰρ τὰ
ἔνυλα σώματα ἐν τῷ ποιεῖν ἢ πάσχειν θεωρεῖται. ἢ ἔργα καὶ πάθη,
15 ὥς φησιν ὁ Ἀλέξανδρος, ἀντὶ τοῦ ἐρεῖ περὶ τῶν παθῶν τῶν ἐν τῇ ὕλῃ
καὶ τοῖς σώμασι μετὰ τοῦ λόγου αὐτῶν, τουτέστι τῆς αἰτίας. ὅσα δὲ μὴ 15
τοιαῦτα, ἄλλος· μὴ τοιαῦτα ὅσα ἀπηριθμήσατο. εἰ γὰρ ὁ κατὰ μέρος
τεχνίτης περὶ τὰ εἰρημένα καταγίνεται, ἀλλ' οὖν οὐ περὶ πάντα· τῶν οὖν
παρὰ τὰ εἰρημένα περὶ τινῶν μὲν ὁ καθ' ἕκαστα τεχνίτης διαλέξεται,
20 οἷον ὁ τέκτων περὶ ξύλων εὐθύτητος ἢ ξηρότητος, περὶ τινῶν δὲ ὁ ἰατρός.
περὶ σωμάτων καμνόντων.

p. 403b 14 Τῶν δὲ μὴ χωριστῶν μέν, ᾗ δὲ μὴ τοιούτου σώματος
πάθη καὶ ἐξ ἀφαιρέσεως, ὁ μαθηματικός.

Καὶ γὰρ ὁ μαθηματικὸς περὶ ἀχωρίστων μὲν εἰδῶν διαλέγεται, ἀλλ' 20
25 οὐχ ᾗ τοῦ τοιοῦδε σώματος πάθη, τουτέστιν οὐχ ὡς χαλκοῦ πάθη ἢ
ξύλου ἢ τινος τοιούτου, ἀλλ' οἷον ἀποσυλήσας αὐτὰ τῆς ὕλης (τοῦτο γὰρ
σημαίνει τὸ ἐξ ἀφαιρέσεως) οὕτω περὶ αὐτῶν καθ' αὑτὰ ἐπισκοπεῖ.
σαρκὸς μὲν γὰρ εἶδος καὶ ξύλου καὶ τῶν τοιούτων ἀχώριστόν τέ ἐστι καὶ
τοιουδὶ σώματος πάθος, οἷον τῆς τοιᾶσδε τῶν στοιχείων συνδρομῆς τε καὶ
30 κράσεως. διὸ οὐδὲ κατ' ἐπίνοιαν χωρισθῆναι δύναται· τὰ μέντοι μαθημα- 25
τικά, φημὶ δὴ τὰ σχήματα, ἀχώριστα μὲν καὶ αὐτὰ τῆς ὕλης, ἀλλ' οὐχ
ᾗ τοιόνδε σῶμα τὸ ὑποκείμενον ὑπάρχοντα αὐτῷ, διὸ καὶ πλείστοις τὰ
αὐτὰ ὑπάρχει, καὶ ξύλῳ καὶ λίθῳ καὶ ἄλλοις πλείστοις, τοῦ τῆς σαρκὸς
εἴδους ἢ τοῦ ὀστοῦ οὐχ οὕτως ἔχοντος. διὸ ἐπεὶ μὴ τοιοῦδέ εἰσι σώματος

---

1 τοῦ τοιούτου DR: τοιουδὶ t et de an. SUW: τοῦ τοιουδὶ de an. codd. rell. 3 καθ' ἕκαστον t 11 δι' ὧν Dt: ἐρεῖ ὧν R 17 ἄλλως R 19 περίτινον t καθ' ἕκαστον R 27 αὐτῶν Dt: τῶν αὐτῶν R καθ' αὑτὰ Rt: αὐτὸν καθ' αὐτὸν D 28 ξύλων R 28. 29 καὶ τοιουδὶ σώματος Rt: καίτοι οὐ διὰ σώματος D 29 οἷον τῆς R: οἷόν τε Dt 32 σῶμα om. t

πάθη, διὰ τοῦτο καὶ τῇ ἐπινοίᾳ χωρισθῆναι δύναται μηδὲν τῆς ὕλης ἐμπο- b 6ᵛ
διζούσης ἐν ᾗ συνεστήκασιν.

p. 403ᵇ15 Ἧι δὲ κεχωρισμένα, ὁ πρῶτος φιλόσοφος.

Οἱ βουλόμενοι τὸν φιλόσοφον εἰδέναι τὰς ἰδέας δράττονται τοῦ ῥήσει- 30
5 δίου τούτου. ἰδού, φασίν, οἷδε τὰ χωριστὰ εἴδη τῶν τῇδε, περὶ ὧν φησι τὸν πρῶτον φιλόσοφον διαλέγεσθαι· συνεπιφέρουσι δὲ καὶ τὰ ἀλλαχοῦ αὐτῷ εἰρημένα εἰς μαρτυρίαν, ὅτι αὐτός ἐστιν ὁ εἰπὼν διττὴν εἶναι τὴν τάξιν, τὴν μὲν ἐν τῷ στρατηγῷ, τὴν δὲ ἐν τῷ στρατῷ· καὶ τὴν ἐν τῷ στρατηγῷ ποιητικὴν εἶναι τῆς ἐν τῷ στρατῷ. καὶ πάλιν φησὶ διττὴν εἶναι τὴν
10 ὑγίειαν, τὴν μὲν ἐν τῷ ἰατρῷ ποιητικὴν τὴν κατὰ τὸν λόγον, τὴν δὲ ἐν τῷ ὑγιαίνοντι σώματι· ὥστε οἷδε καὶ τὰ χωριστὰ εἴδη. οἱ δὲ μὴ βουλό- 35
μενοι τὰς ἰδέας αὐτὸν λέγειν φασὶν ὅτι χωριστὰ εἴδη λέγει αὐτὰς τὰς οὐσίας τὰς θείας, ἅπερ κατὰ τὸ παντελὲς κεχώρισται τῆς ὕλης, ὡς καὶ αὐτὸς ἀλλαχοῦ φησιν, ὅτι ἄνευ δυνάμεως ἐνέργειαί εἰσιν.

15 p. 403ᵇ16 Ἀλλ' ἐπανιτέον ὅθεν ὁ λόγος. ἐλέγομεν δὴ ὅτι τὰ πάθη τῆς ψυχῆς ἀχώριστα τῆς φυσικῆς ὕλης τῶν ζῴων, ᾗ δὴ τοιαῦτα ὑπάρχει, θυμὸς καὶ φόβος, καὶ οὐχ ὥσπερ γραμμὴ καὶ ἐπίπεδον.

Εἰπὼν ὅτι τὰ πάθη τῆς ψυχῆς λόγοι ἔνυλοί εἰσι καὶ διὰ τοῦτο οὐ 40
20 περὶ πάσης ψυχῆς τοῦ φυσικοῦ ἐστι διαλεχθῆναι, ἀλλ' ὅση μὴ ἄνευ τῆς ὕλης, καὶ διὰ τοῦτο ἀναγκασθεὶς εἰπεῖν ποσαχῶς ὁριστέον τὰ ἔνυλα καὶ ποίῳ ὁρισμῷ ὁ φυσικὸς χρήσαιτο ἄν, εἶτα παρεξελθὼν καὶ εἰπὼν τίνες τοῖς λοιποῖς τῶν ὁρισμῶν χρήσαιντο ἄν, ὅπερ οὐδὲν πρὸς τὴν προκειμένην συνετέλει πραγματείαν, ἐπάνεισι νῦν εἰς τὸν περὶ τῶν παθῶν τῆς ψυχῆς
25 λόγον καὶ ἀναμιμνήσκει τῶν εἰρημένων, ὅτι τῶν παθῶν τῆς ψυχῆς χρήζομεν πρὸς τὴν εὕρεσιν τοῦ ὁρισμοῦ. ἴσμεν οὖν, φησίν, ὅτι τὰ πάθη 45
τῆς ψυχῆς τὰ εἰρημένα οὐκ ἴδιά εἰσι μόνης τῆς ψυχῆς ἀλλὰ τοῦ συναμφοτέρου, καὶ τούτου ἀχώριστα μηδὲ τῇ ἐπινοίᾳ δυνάμενα χωρίζεσθαι ὥσπερ ἐπὶ γραμμῆς καὶ ἐπιπέδου. ταῦτα γὰρ εἰ καὶ τὴν ὕπαρξιν ἀχώριστον
30 ἔχει τῶν σωμάτων, ἀλλ' οὖν τῇ ἐπινοίᾳ χωρίζεται. οὐχ οὕτως οὖν ἀχώριστα τὰ πάθη τῆς ψυχῆς ὥσπερ γραμμὴ καὶ τὰ σχήματα, ἀλλ' ὡς μηδὲ τῇ ἐπινοίᾳ χωρισθῆναι δυνάμενα τῆς ὕλης. ἀδύνατον γὰρ οὐσίαν θυμοῦ παραστῆσαι τῷ λόγῳ τὸν μὴ τῆς ὕλης μεμνημένον, ὡσαύτως καὶ τῶν 50

---

5 φασίν scripsi: φησιν libri εἴδη DR: ἤδη t 7 εἰπὼν διττὴν εἶναι κτλ.] Metaph. Λ 10 p. 1075ᵃ11 sqq. 9 φησὶ Dt: φασὶ R διττὴν εἶναι—σώματι (11)] cf. Metaph. Z 7 p. 1032ᵇ11 11 οἱ δὲ μὴ—εἴδη (12) om. D 14 ἀλλαχοῦ φησιν] de interpr. 13 p. 23ᵃ23 15 δὴ] δὲ t et de an. codd. 17 ὑπάρχουσι R
21 εἰπεῖν D²t: om. D¹R 25 λόγον—ψυχῆς om. R 30 ἔχει R corr. A: ἔχουσι Dt 33 τῆς ὕλης AR: τῆς om. Dt

ἄλλων παθῶν· τοῦτο γὰρ σημαίνει αὐτῷ τὸ ᾗ δὴ τοιαῦτα ὑπάρχει. ὁ γὰρ θυμὸς καθὸ θυμὸς ἀχώριστός ἐστι τοῦ σώματος· ζέσις γάρ ἐστι τοῦ περικαρδίου αἵματος· ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. ἡ μέντοι γραμμὴ καὶ τὸ τρίγωνον καὶ τὰ τοιαῦτα, καθὸ τοιαῦτά ἐστι, χωριστά ἐστι, εἰ καὶ τὴν ὕπαρξιν ἔχει ἀχώριστον· διὸ καὶ οἱ ὁρισμοὶ αὐτῶν ἀποδίδονται ἄνευ τῆς ὕλης. ἐπειδὴ οὖν θυμός ἐστι καὶ ἐν τῷ λόγῳ, ἔστι καὶ ἐν τῷ πνεύματι, ἔστι καὶ ἐν τῷ ἐζωωμένῳ σώματι, οἷον τοῦ μὲν | λόγου ἐπιτρέποντος τῷ b 7r πνεύματι τὴν ὄρεξιν, τοῦ δὲ πνεύματος τῇ ὀρέξει κινοῦντος τὸ περικάρδιον αἷμα τοῦ ζῴου, ὥσπερ ἔχει καὶ ἐπὶ βασιλέως καὶ στρατηγοῦ καὶ στρατιωτῶν (ὁ μὲν γὰρ βασιλεὺς ἐπιτρέπει τῷ στρατηγῷ ἀμύνασθαι τούσδε τινάς, ὁ δὲ στρατηγὸς κινεῖ τοὺς στρατιώτας, οἱ δὲ ἀμύνονται), ἐπειδὴ οὖν τριττὸς ὁ θυμός, ἵνα μὴ νομίσωμεν λέγειν αὐτὸν περὶ τοῦ ἐν τῷ λόγῳ ὅτι ἀχώριστός ἐστι τοῦ ζῴου (οὗτος γὰρ χωριστὸς παντὸς σώματος) ἢ τοῦ ἐν τῷ πνεύματι (καὶ οὗτος γὰρ εἰ καὶ μὴ παντός, ἀλλ' οὖν τοῦ γεώδους ἐστὶ χωριστὸς σώματος), διὰ τοῦτο εἶπε τὸ ᾗ δὴ τοιαῦτά ἐστι, τουτέστιν ᾗ ζέσις τοῦ περικαρδίου αἵματος· οὗτος γὰρ δηλονότι ὁ θυμὸς ἀχώριστός ἐστι τούτου τοῦ ἐζωωμένου σώματος.

p. 403ᵇ 20 Ἐπισκοποῦντας δὲ περὶ ψυχῆς ἀναγκαῖον ἅμα διαποροῦντας περὶ ὧν εὐπορεῖν δεῖ καὶ τὰ ἑξῆς.

Ὃ λέγει τοῦτό ἐστι· τὴν οὐσίαν τῆς ψυχῆς ἐπιζητοῦντας καὶ προαποροῦντας εἰς τὸν περὶ αὐτῆς λόγον, ἐπειδή, ὡς καὶ ἐν τούτοις καὶ ἀλλαχοῦ φησιν, ἀρχή ἐστιν εὐπορίας ἡ ἀπορία, ἀποροῦντας οὖν περὶ ψυχῆς ὑπὲρ τοῦ εὐπορῆσαι δεῖ καὶ τὰ παρὰ τῶν παλαιῶν περὶ αὐτῆς εἰρημένα προδιεξελθεῖν. καὶ τὴν αἰτίαν ἐπάγει· ἵνα, φησίν, εἴ τι μὲν καλῶς εἴρηται, ἀσπασώμεθα, εἴ τι δὲ οὐ καλῶς, τοῦτο φύγωμεν. ἃ μὲν λέγει ταῦτά ἐστιν· ἐπειδὴ δὲ ἀσαφεστέραν ἐποίησε τὴν λέξιν ἡ σύνταξις, δεῖ μικρὸν ὑπερβιβάσαντας αὐτὴν οὕτως εἰπεῖν· ἐπισκοποῦντας δὲ περὶ ψυχῆς ἀναγκαῖον προδιελθόντας τὰς τῶν προτέρων δόξας καὶ ἅμα διαποροῦντας περὶ ὧν εὐπορεῖν δεῖ συμπαραλαμβάνειν ὅσοι τι περὶ αὐτῆς ἀπεφήναντο, καὶ τὰ ἑξῆς· τοῦ σκοποῦ γὰρ περὶ ψυχῆς, φησί, προκειμένου δεῖ προδιεξελθεῖν τῷ λόγῳ καὶ ἀπαριθμήσασθαι τὰς τῶν προτέρων δόξας καὶ συμπαραλαβεῖν αὐτὰς ἐν τῷ λόγῳ, καὶ εἴ τι μὲν μὴ καλῶς εἴρηται, φυλάξασθαι, εἴ τι δὲ καλῶς, ἀσπάσασθαι.

---

1 τὸ ᾗ R: τῷ ᾗ Dt δὴ Dt: δὲ R 4 εἰ om. R 12 νομίσωμεν DR: νοήσωμεν t ὅτι ὁ ἀχώριστος D² 13 ᾗ D²t: om. D¹R 15 ᾗ (ante ζέσις) scripsi: ἡ libri 18 ἀναγκαῖος t 19 καὶ τὰ ἑξῆς om. t lemmate usque ad εὐλαβηθῶμεν (p. 403ᵇ 24) perscripto 20 ὃ δὴ λέγει Rt τοῦτό D: τοιοῦτόν Rt 29 ὅσον D

p. 403ᵇ24 Ἀρχὴ δὲ τῆς ζητήσεως προθέσθαι τὰ μάλιστα δο- b 7r
κοῦντα ὑπάρχειν αὐτῇ κατὰ φύσιν.

Ὅπερ προέθετο ποιῆσαι τοῦτο ποιεῖ, λέγω δὴ ἐκ τῶν καθ' αὑτὸ συμβεβηκότων τῇ ψυχῇ τὸν ὁρισμὸν αὐτῆς εὑρεῖν. εἶπε γὰρ ὅτι οὐ μόνα τὰ συμβεβηκότα καθ' αὑτὸ ἐκ τοῦ ὁρισμοῦ μανθάνομεν. ἀλλὰ πολλάκις καὶ ἀνάπαλιν ἐκ τῶν συμβεβηκότων τὸν ὁρισμόν, ὅταν σαφέστερα ᾖ ταῦτα τοῦ ὁρισμοῦ. λαμβάνει οὖν τὰ δοκοῦντα τῇ ψυχῇ ὑπάρχειν, τοῦτο δέ ἐστι τὸ κινεῖν καὶ τὸ αἰσθάνεσθαι. πιστοῦται δὲ ταῦτα ἐκ τῶν ὑστέρων μὲν τῇ φύσει, ἡμῖν δὲ σαφεστέρων, ἐπεὶ καὶ πρότερα ἡμῖν γινώσκεται τὰ τῇ φύσει ὕστερα, λέγω δὴ τοῦ ἐμψύχου· τὸ γὰρ ἔμψυχον τῇ φύσει ὕστερον τῆς ψυχῆς. φησὶν οὖν ὅτι ᾧ ἂν εὑρεθῇ διαφέρον τοῦ ἀψύχου τὸ ἔμψυχον, τοῦτο τῆς ψυχῆς ἂν εἴη. εἰ γὰρ τὸ αὐτὸ πρᾶγμα νῦν ἔμψυχον ὂν γένοιτο ἄψυχον, πρότερον μὲν αἰσθόμενον καὶ κινούμενον κατὰ τόπον, ἡνίκα ἦν ἔμψυχον, ὅτε ἄψυχον γέγονεν, οὔτε κινηθήσεται οὔτε αἰσθήσεται· οὐκοῦν κίνησις καὶ αἴσθησις ψυχῆς ἔργα. καὶ τέως μέν φησιν ταῦτα συμβεβηκέναι ἁπλῶς τῇ ψυχῇ, οὐκ αὐτὸς ἀρεσκόμενος τῷ λόγῳ, ἀλλ' ὅτι πάντες οἱ πρὸ αὐτοῦ ταύτης τῆς δόξης ἐγένοντο. μέλλει δὲ εὐθὺς καταριθμεῖσθαι τῶν πρὸ αὐτοῦ τὰς δόξας λέγων ὅτι τὰ δύο ταῦτα παρειλήφαμεν περὶ ψυχῆς παρὰ τῶν παλαιοτέρων· διὸ οὐδὲ εἶπε τὰ μάλιστα ὑπάρχοντα αὐτῇ κατὰ φύσιν, ἀλλὰ τὰ μάλιστα δοκοῦντα ὑπάρχειν αὐτῇ. ἐπεὶ οὖν οὔπω τὴν ἑαυτοῦ δόξαν ἐκκαλύπτει, ἀλλὰ ⟨τὴν⟩ τῶν παλαιοτέρων γυμνάζει, διὰ τοῦτο αἴσθησιν καὶ κίνησιν εἶπε κοινῶς ὑπάρχειν τῇ ψυχῇ. ταῦτα δὲ οὐ πάσῃ ψυχῇ ὑπάρχει· οὐ γὰρ καὶ τῇ φυτικῇ, ἀλλὰ τοῖς ζῴοις. αὐτὸς γοῦν ἐν τοῖς ἑξῆς ἐπικρίνων καὶ τὴν οἰκείαν δόξαν ἐκτιθέμενος ὑπάρχειν φησὶ τῇ ψυχῇ καθόλου τὸ ζῆν· ζῆν γὰρ ποιεῖ ἐκεῖνα οἷς ἂν ἐγγένηται· ζῶσι δὲ τὰ ζῶντα τρεφόμενα καὶ αὐξόμενα καὶ γεννῶντα ὅμοια ἑαυτοῖς· ἐφ' ἑκάστης γὰρ τῶν δυνάμεων τούτων ἡ ζωὴ θεωρεῖται. τοῦτο μὲν οὖν καθόλου πάσης ψυχῆς ἴδιον, τῶν δὲ ζῴων λέγει εἶναι τὸ διανοεῖσθαι καὶ κρίνειν καὶ αἰσθάνεσθαι. ἐνταῦθα μέντοι τοῖς παλαιοτέροις ἀκολουθῶν τὴν αἴσθησίν φησι καὶ τὴν κίνησιν τῆς ψυχῆς εἶναι, κίνησιν λέγων τὴν κατὰ τόπον, καὶ ταύτης τὴν ἀπὸ ὁρμῆς ψυχικῆς γινομένην ἐν ἑαυτῷ ἔχοντος τοῦ κινουμένου τὴν ἀρχὴν τῆς κινήσεως. κινοῦνται γὰρ καὶ τὰ φυσικὰ σώματα, ἀλλ' οὐ φύσει οὐδὲ ἐν ἑαυτοῖς ἔχοντα τὴν ἀρχὴν τῆς κινήσεως, ἀλλ' ἔξωθεν ὑπ' ἄλλου κινούμενα. οὐ γὰρ φύσει τῇ βώλῳ τὸ ἐπὶ τὸ κάτω φέρεσθαι ὑπάρχει, ἀλλ' ἐπὶ τὸ κατὰ φύσιν ἔχει τὴν τοιαύτην κίνησιν, ἐπειδὰν ἐν τῷ παρὰ φύσιν ὑπάρχῃ τόπῳ. ἕκαστον γὰρ ἐν τῇ ὁλότητι τῇ ἑαυτοῦ ἕστηκεν· αἱ γὰρ ὁλότητες ἢ ἑστάναι βούλονται ἢ κύκλῳ κινεῖσθαι, διότι καὶ ἡ κύκλῳ κίνησις στάσις ἐστίν. ἡ γὰρ πυρία σφαῖρα καὶ ὁ περὶ

---

3 ποιῆσαι τοῦτο R: τοῦτο ποιῆσαι Dt 8 ὕστερον R 11 ᾧ ἂν Diels: ὡς δ' ἂν libri διαφέρον R: διαφέρων Dt 16 ἁπλῶς post φησιν (15) habent Rt 19 διὸ — παλαιοτέρων (21) om. D 21 τὴν ante τῶν add. Diels 25 ἐγγίνεται R 36 ὑπάρχει t

αὐτὴν ἀὴρ συγκινούμενα τῷ παντὶ βίαιον μὲν ἔχει ταύτην τὴν κίνησιν, b 7r
οὐκ ἐξιστῶσαν δὲ τοῦ κατὰ φύσιν· φυλάττει γὰρ τὰ κύκλῳ κινούμενα τὸν 50
οἰκεῖον τόπον· οὐ γὰρ δὴ γίνεται ἐν τῷ παρὰ φύσιν, λέγω δὴ τῷ περὶ
τὴν γῆν, ἀλλ' ἔχει τὴν οἰκείαν λῆξιν καὶ κύκλῳ κινούμενα. τὸ ⟨δὲ⟩ μερι-
5 κὸν πῦρ καὶ ὁ μερικὸς ἀὴρ καὶ τὸ ὕδωρ ὑπό τινος ἔξωθεν βίας ἐκστάντα
τοῦ κατὰ φύσιν πάλιν κινεῖται τὴν ἐπὶ τὸ κατὰ φύσιν ὁδόν· ἐν ὅσῳ δὲ
κινεῖται, ἅτε ἐν ἀλλοτρίῳ ὂν τόπῳ καὶ τῆς ἰδίας ὁλότητος ἐκτὸς παρὰ φύσιν
ἐστίν· οὐκοῦν οὐ φύσει ἡ ἐπὶ τὸν κατὰ φύσιν τόπον κίνησις, καὶ αἱ ὁλό-
τητες τὰς | τοιαύτας κινήσεις οὐ κινοῦνται. δεῖ δὲ τὴν φύσιν ἐν τῇ ὁλότητι b 7v
10 μᾶλλον διαφαίνεσθαι· οὐκ ἄρα φύσει αἱ κινήσεις αὗται τοῖς μέρεσιν, ἀλλ'
ὁδοὶ ἐπὶ τὸ κατὰ φύσιν. τοῖς γοῦν οὐρανίοις φύσει ἡ κύκλῳ κίνησις, καὶ
ταὐτὸ τοῖς μέρεσι τὸ ὅλον ὑπομένει, καὶ ἐν τῷ ὅλῳ μᾶλλον ἢ τοῖς μέρεσιν
ἡ κύκλῳ διαφαίνεται κίνησις· ὀξυτάτη γὰρ ἡ τοῦ ὅλου περιφορά. οὕτω
μὲν οὖν αἱ τοιαῦται κινήσεις οὐ κατὰ φύσιν, ἀλλ' ὁδοὶ ἐπὶ τὸ κατὰ φύσιν. 5
15 δύνανται δὲ ἄλλως λέγεσθαι κατὰ φύσιν, ὥσπερ λέγομεν καὶ τὴν ὑγίανσιν
κατὰ φύσιν, παρὰ φύσιν δὲ τὴν οἷον νόσανσιν, ὅτι ἡ μὲν ἐπὶ τὸ κατὰ
φύσιν ἄγει, ἡ δὲ ἐπὶ τὸ παρὰ φύσιν. οὕτω γὰρ οὖν, φησίν, οἱ παλαιότεροι
αἴσθησιν καὶ κίνησιν ψυχῆς εἶναι ἀποφηνάμενοι, καὶ καλῶς γε τοῦτο, εἰ
καὶ μὴ πάσης, κακῶς τὰ ἐφεξῆς συνεπέραναν. ἐπειδὴ γὰρ ἐνόμισαν πᾶν
20 τὸ κινοῦν κινεῖσθαι, εἰ κινεῖ, φασίν, ἡ ψυχή, πᾶν δὲ τὸ κινοῦν καὶ αὐτὸ
κινεῖται, καὶ αὐτὴ ἄρα κινηθήσεται τὴν κατὰ τόπον κίνησιν, λέγοντες 10
κακῶς· εἰ μὲν γὰρ σῶμα εἴη τὸ κινοῦν τῷ ὄντι κινούμενον κινήσει, οἷον
τὴν θύραν ἡ βακτηρία καὶ ταύτην ἡ χεὶρ καὶ τὴν χεῖρα τὸ ὅλον σῶμα
κἀκεῖνο ἡ ψυχή· εἰ μέντοι εἴη ἀσώματον τὸ πρώτως κινοῦν, οὐκ ἀνάγκη
25 καὶ αὐτὸ κινεῖσθαι, κατὰ τόπον λέγω, ἐπεὶ καὶ τὸ θεῖον κινοῦν τὸ πᾶν
ἀκίνητόν ἐστιν ἑστῶσαν ἔχον καὶ οὐσίαν καὶ δύναμιν καὶ ἐνέργειαν. ἄλλως
τε οὐδὲν τῶν ὀρεκτῶν κινοῦν κινεῖται· ὁ γὰρ χόρτος κινεῖ τὸν ὄνον πρὸς
ὄρεξιν αὐτὸς μὴ κινούμενος, καὶ ἡ εἰκὼν τὸν ἐραστήν.

p. 403b28 Φασὶ γὰρ ἔνιοι καὶ μάλιστα καὶ πρώτως ψυχὴν εἶναι 15
30 τὸ κινοῦν.

Καλῶς προσέθηκε τὸ πρώτως· κινεῖ γὰρ καὶ ἡ βακτηρία τὴν θύραν. ἀλλ' οὐ πρώτως· ἀλλ' οὐδὲ ἡ χεὶρ πρώτως οὐδὲ τὸ ὅλον σῶμα, ἀλλ' ἡ ψυχή· τὸ οὖν μάλιστα, φησί, κινοῦν καὶ πρώτως ἡ ψυχή ἐστιν.

---

4 δὲ addidi 5 ἐκστάντα A Suid. s. v. Κίνησις: ἐκστάντος DRt 6 κατὰ (post τὸ) Dt: κάτω R 8 ἐστίν Dt: εἶναι R φύσιν Dt: πρώτην R κίνησιν R καὶ αἱ Dt: καὶ εἰ R 10 διαφαίνεσθαι scripsi coll. v. 13: διαφέρεσθαι libri 21 καὶ αὐτὴ scripsi: καὶ αὕτη libri 32 τὸ ὅλον Dt: τὸ ὅλον τὸ R

p. 403b31 Ὅθεν καὶ Δημόκριτος πῦρ τι καὶ θερμόν φησιν αὐτὴν b 7v
εἶναι.

Εἰπὼν ὅτι παρειλήφαμεν δὲ καὶ παρὰ τῶν προγενεστέρων δύο ταῦτα 22
περὶ ψυχῆς, τήν τε κίνησιν καὶ τὴν αἴσθησιν, πρώτην ἐκτίθεται τὴν Δημο-
5 κρίτειον δόξαν. ἔλεγε δὲ οὗτος ἀρχὰς τῶν φυσικῶν σωμάτων εἶναι τὰ
ἄτομα καὶ τὸ κενόν· εἶναι γὰρ ἐν τῷ παντὶ ἄπειρα ἄτομα σώματα ἀπείροις
σχήμασιν ἐξηλλαγμένα, ὧν τὴν σύνοδον καὶ τὴν διάστασιν ποιεῖν τὴν γένεσιν 25
καὶ φθοράν· καὶ τὰς διαφορὰς εἶναι τῶν φυσικῶν σωμάτων παρὰ τὰ σχή-
ματα τῶν ἀτόμων ἐξ ὧν τὰ σώματα, καὶ ἔτι παρὰ τὴν θέσιν αὐτῶν καὶ
10 τὴν τάξιν, ὡς πλατύτερον ἐν τῇ Φυσικῇ ἀκροάσει εἴπομεν. ἡγούμενος οὖν
ὁ Δημόκριτος τῆς ψυχῆς εἶναι τὴν κίνησιν. πῦρ αὐτὴν εἶπεν διὰ τὸ εὐκί-
νητον· ἐκ σφαιρικῶν δὲ ἀτόμων φησὶν εἶναι τὸ πῦρ, διότι ἡ σφαῖρα τῶν
σχημάτων εὐκινητότατον, ἅτε δὴ κατὰ σημεῖον ἁπτομένη τοῦ ἐπιπέδου.
ἐπεὶ οὖν ἡ ψυχὴ κινεῖ, δεῖ δὲ τὸ κινοῦν κινεῖσθαι μάλιστα (ὅσῳ γὰρ μᾶλλον 30
15 κινεῖται, κινεῖ), διὰ τοῦτο ἐκ τῶν εὐκινητοτάτων ἀτόμων τῶν σφαιρικῶν
καὶ τὴν ψυχὴν εἶναί φησι καὶ τὸ πῦρ. ὥστε ταύτῃ, λέγω δὴ τῷ πῦρ
λέγειν τὴν ψυχήν. εἰς ταὐτὸν ἔρχεται ὁ Δημόκριτος Ἡρακλείτῳ· διαφέρει
δὲ ὅτι ἐκεῖνος συνεχὲς σῶμα ἔλεγε τὸ πῦρ τοῦτο, ὅπερ καὶ ἡμεῖς φαμεν, ὁ
δὲ Δημόκριτος οὐ συνεχεῖς φησιν εἶναι τὰς ἀτόμους, ἀλλὰ τῷ κενῷ διείργε-
20 σθαι. οἷον τὰ ἐν τῷ ἀέρι τὰ καλούμενα ξύσματα, ἃ φαίνεται ἐν
ταῖς διὰ τῶν θυρωμάτων ἀκτῖσιν. οὐκ ἔλεγεν ὁ Δημόκριτος, ὅτι 35
ταῦτα τὰ ὁρώμενα διὰ τῶν θυρίδων κονιορτώδη ψηγμάτια, ἐκ τούτων εἶναι ἢ
τὸ πῦρ ἢ τὴν ψυχήν, ἢ ὅλως ταῦτα εἶναι τὰ ἄτομα· ἀλλ' ὥσπερ, φησίν, εἰσὶ
ταῦτα ἐν τῷ ἀέρι. διὰ μικρομέρειαν δὲ τῷ μὴ ὁρᾶσθαι οὐδὲ εἶναι δοκοῦσιν,
25 ἐλέγχονται δὲ ὄντα ὑπὸ τῶν ἀκτίνων, ὅταν διὰ θυρίδων προσβάλλωσιν,
οὕτως εἶναι λεπτὰ καὶ ἀόρατα διὰ σμικρότητα τὰ ἄτομα σώματα, ἅτινα
ἡγεῖτο ἀρχὰς τῶν φυσικῶν πάντων, ὥσπερ τῶν συνθέτων οἱ ἰατροὶ τὰ
τέσσαρα στοιχεῖα· ὧν τὰς σφαιρικὰς ἀτόμους ποιεῖν τὴν ψυχὴν καὶ τὸ πῦρ. 40

p. 404a4 Ὧν τὴν πανσπερμίαν στοιχεῖον λέγει τῆς ὅλης φύσεως.

30 Πανσπερμίαν φησὶ τὸ πλῆθος τῶν σχημάτων· ὥσπερ γὰρ ἐν τῇ πα-
νσπερμίᾳ ἐστὶν ἐν τῷ σωρῷ καὶ σῖτος καὶ κριθὴ καὶ τὰ ἄλλα σπέρματα,
οὕτω καὶ ἐν τοῖς ἀτόμοις πανσπερμίαν εἶναι τῶν σχημάτων. ταύτης δὲ
τῆς δόξης φησὶν εἶναι καὶ Λεύκιππον· ἑταῖρος γὰρ ἦν Δημοκρίτου.

---

1 καὶ Δημόκριτος DR et de an. cod. V: Δημόκριτος μὲν t et de an. reliqui 5 δὲ DR: γὰρ t 13 εὐκινητότατον scripsi: εὐκινητότερον libri 14 ὅσῳ scripsi: ὅσα libri 18 σῶμα om. R 21 post ἔλεγεν add. δὲ Rt 22 ταῦτα] fort. τοιαῦτα 25 τῶν om. t 29 στοιχεῖον DR: στοιχεῖα t et de an. codd. 30 φησὶ Dt: λέγων R 31 ἐν τῷ σωρῷ fort. delendum 33 ἑταῖρος—Δημοκρίτου DR: om. t

p. 404a6 Διὰ τὸ μάλιστα δύνασθαι διὰ παντὸς διαδύνειν τοὺς b 7v
τοιούτους ῥυσμούς. 46

Ῥυσμὸς λέξις ἐστὶν Ἀβδηρική, σημαίνει δὲ τὸ σχῆμα. καὶ δῆλον ὅτι οὐκ ἀνεκτέον τῶν πειρωμένων αὐτὴν ἐτυμολογεῖν, οἷον παρὰ τὸ ῥυΐσκεσθαι. εἰ μὲν γὰρ τὸ σφαιρικὸν μόνον σχῆμα ῥυσμὸς ἐλέγετο. πιθανοὶ ἂν ἦσαν 50 ἐτυμολογοῦντες· νῦν δὲ πᾶν σχῆμα ῥυσμόν φασιν, ὥστε οὐκ ἀνεκτέον ἐτυμολογούντων· τί γὰρ λέξουσιν ἐπὶ τοῦ κύβου; οὐ γὰρ δὴ καὶ οὗτος ῥυΐσκεται. ἀλλ' εἴ γε ὅλως καὶ ἐτυμολογεῖται ἡ λέξις, δῆλον ὅτι κατὰ τὴν πατρικὴν γλῶτταν ἐτυμολογηθήσεται, ὥσπερ εἰ τύχοι καὶ αἱ Ῥωμαϊκαὶ λέξεις ἢ ἄλλαι τινὲς ἐν ταῖς ἰδίαις γλώσσαις ἐτυμολογοῦνται. τρισὶ δὲ φωναῖς ἐκέχρηντο ἐγχωρίαις οἱ περὶ τὸν Δημόκριτον· εἰσὶ δ' αὗται ῥυσμός, τροπή, διαθιγή. σημαίνει δὲ ὁ μὲν ῥυσμὸς τὸ σχῆμα, ἡ δὲ τροπὴ τὴν | θέσιν. b 8r ἡ δὲ διαθιγὴ τὴν τάξιν. ἔλεγεν οὖν, φησίν, ὡς εὐκινήτων τῶν σφαιρικῶν ὄντων ἐξ αὐτῶν εἶναι τὴν ψυχήν· ταῦτα γὰρ μᾶλλον τῶν ἄλλων δύνασθαι διαδύνειν καὶ κινεῖν κινούμενα τὸ ὅλον ζῷον. καίτοι μᾶλλον διαδύνειν ἠδύναντο ἂν αἱ πυραμοειδεῖς ἄτομοι ὡς ὀξυγώνιαι οὖσαι καὶ τέμνουσαι μᾶλλον, εἰ μὴ τὰς βάσεις τις ἐμποδίζειν λέγοι, τὰς δὲ σφαιρικὰς ἐξολισθαίνειν διὰ τὸ ἀγώνιον.

p. 404a9 Διὸ καὶ τοῦ ζῆν ὅρον εἶναι τὴν ἀναπνοήν. 5

Ἐπειρῶντο οἱ περὶ Δημόκριτον πάντα τὰ συμβαίνοντα τῷ ζῴῳ σύμφωνα δεικνύειν τῇ ἑαυτῶν δόξῃ. ἔλεγον γὰρ ψυχρὸν εἶναι τὸ περιέχον καὶ διὰ τοῦτο πυκνοῦν τὰ σώματα, καὶ πυκνουμένων ἐκπυρηνίζεσθαι τὰς σφαιρικὰς ἀτόμους, ὅθεν τῷ ζῴῳ καὶ ἡ ψυχὴ καὶ τὸ ζῆν ὑπάρχει. ἐπεὶ οὖν ἐκπυρηνιζομένων τῶν σφαιρικῶν ἀτόμων κινδυνεύει φθαρῆναι τὸ ζῷον, 10 βοήθειά τις γέγονε τῷ ζῴῳ ἡ εἰσπνοή· εἰσπνέον γὰρ ἔξωθεν ἄλλας ἀτόμους σφαιρικὰς ἀντὶ τῶν ἐκπυρηνισθεισῶν ζῆν. διὸ μέχρι τούτου ζῶμεν, ἄχρις ἂν ἀναπνέωμεν· τῆς δὲ ἀναπνοῆς παυσάμενοι καὶ τοῦ ζῆν ἐπαυσάμεθα. οὐ μόνον δὲ τῷ εἰσκρίνεσθαι διὰ τῆς ἀναπνοῆς τὰς σφαιρικὰς ἀτόμους καὶ προσκρίνεσθαι ἡμῖν ἀντὶ τῶν ἐξελθουσῶν συμβαίνειν ἡμᾶς ζῆν. ἀλλὰ καὶ τῷ τὰς εἰσιούσας διὰ τῆς εἰσπνοῆς κωλύειν τῇ πλείονι ῥύμῃ τὰς μελλούσας ἐκκρίνεσθαι, καὶ οὕτω πλείω γινομένας καὶ τῷ εὐκινήτῳ θερμαινούσας 15 τὸ ὑποκείμενον ἐκκρούειν τὴν ἔξωθεν ψῦξιν, ἥτις αἰτία γίνεται τοῦ ἐκπυρηνίζεσθαι αὐτάς. εἰ δέ τις ζητοίη 'τί οὖν; μόνας εἰσπνέομεν τὰς σφαιρικάς';

---

1 δύνασθαι διὰ παντὸς DR et Arist. cod. W: διὰ παντὸς δύνασθαι t et Arist. vulg. 6 οἱ ἐτυμολογοῦντες R 7 λέξουσιν Dt: λέγουσιν R 8 εἴ γε scripsi: εἴ τε libri 9. 10 ἢ ἄλλαι Dt: καὶ ἄλλαι R 14 δύνασθαι om. t 15 καὶ κινεῖν — μᾶλλον διαδύνειν om. R 15. 16 ἂν αἱ R: ἅμα Dt 20 περὶ τὸν Δημόκριτον t 21 δεικνύειν t: δεικνύντες R: δεικνύ[illegible] D 31 ἐκκρίνεσθαι Dt: ἐξέρχεσθαι R

εἴποιεν ἂν ἐκεῖνοι ὅτι εἰ καὶ μὴ μόνας, ἀλλὰ πλείους ὡς εὐκινήτους, ὥσπερ b 8r
καὶ ἐκ τῆς ψύξεως τῇ πυκνώσει μάλιστα ταύτας ἐκπυρηνίζεσθαι τῷ τε
εὐολίσθους εἶναι διὰ τὸ ἀγώνιον καὶ τῷ διὰ τοῦτο φύσει εἶναι εὐκινήτους.
ἡ δὲ ἀναπνοὴ λέγεται μὲν καὶ ἐπὶ τῆς εἰσπνοῆς καὶ ἐπὶ τῆς ἐκπνοῆς· νῦν 20
5 μέντοι γε ἐπὶ τῆς εἰσπνοῆς αὐτὴν παρειλήφασι.

p. 404a 12 Διὰ τὸ μηδὲ αὐτὰ ἠρεμεῖν μηδέποτε.

Ἔνστασίν τινα διὰ τούτων δοκοῦσαν ὑπάρχειν λύει. εἶπε γὰρ ἂν
αὐτῷ τις 'τί δέ; οὐχ ἱκαναὶ αἱ ἐνυπάρχουσαι ἐξ ἀρχῆς ἄτομοι ζῳοποιεῖν
τὸ ζῷον; τί δέ; μόναι αὗται ὑπὸ τῆς πυκνώσεως ἐκθλίβονται'; ναί, φησίν,
10 ἐπεὶ καὶ μηδενὸς ἐκθλίβοντος εὐκίνητοι οὖσαι αὐταὶ καθ' αὑτὰς καὶ οὐκ 25
ἠρεμοῦσαι διαφοροῦνται· διὸ δέονται τῆς ἔξωθεν βοηθείας.

p. 404a 14 Κωλύειν γὰρ ταῦτα καὶ τὰ ἐνυπάρχοντα ἐν τοῖς ζῴοις ἐκκρίνεσθαι.

Ταῦτα, φησί, τὰ ἐπεισιόντα διὰ τῆς εἰσπνοῆς οὐ μόνον αὐτὰ αἴτια
15 γίνεται τοῦ ζῆν, ἀλλὰ καὶ τὰ μέλλοντα ἐκκρίνεσθαι κωλύουσι τῇ ἐκ τῆς 30
κινήσεως θέρμῃ τὸ ἔξωθεν ψυχρὸν ἀνείργοντα. ἀλλὰ καὶ τὰς ἤδη ἐξιούσας
συνεπισπῶνται τῇ πλείονι κινήσει· δύο γὰρ ἐναντίως κινουμένων, ἐὰν ἡ
ἑτέρα κίνησις ἰσχυροτέρα ὑπάρχῃ, συνεπισπᾶται ἑαυτῇ τὴν ἐλάττονα. οὕτως
οὖν τῶν μὲν ἐκπνεομένων τῶν δὲ εἰσπνεομένων πλείω οὖσαι αἱ εἰσπνεό-
20 μεναι συνεπισπῶνται τὰς λοιπάς.

p. 404a 16 Ἔοικε δὲ καὶ τὸ παρὰ τῶν Πυθαγορείων λεγόμενον τὴν αὐτὴν ἔχειν διάνοιαν· ἔφασαν γάρ τινες αὐτῶν ψυχὴν εἶναι τὰ 35 ἐν τῷ ἀέρι ξύσματα, οἱ δὲ τὸ ταῦτα κινοῦν.

Δευτέραν δόξαν ἀπαριθμεῖται περὶ ψυχῆς τὴν τῶν Πυθαγορείων· τούτων
25 δέ τινες ψυχὴν μὲν ἔλεγον εἶναι αὐτὰ τὰ διὰ τῶν θυρίδων ἐν ταῖς ἀκτῖσι
φαινόμενα κονιορτώδη ψηγμάτια, οἱ δὲ τὸ ταῦτα κινοῦν, οὐχ ὡς αὐτὰ
ταῦτα ψυχὴν λεγόντων ἐκείνων (γελοῖον γάρ), ἀλλ' ἴσμεν ⟨ὅτι⟩ συμβολικὴ
ἦν ἡ τῶν Πυθαγορείων διδασκαλία ἀποκρυπτόντων τὰ δόγματα, ἵνα μή,
ὥς φησιν ὁ Πλάτων, καὶ τοῖς σκυτοτόμοις κατάδηλον ποιῶσι τὴν ἑαυτῶν 40
30 σοφίαν. ὥσπερ οὖν ἐπὶ τῶν ποιητικῶν μύθων, ὡς αὐτὸς πάλιν ὁ Πλάτων
φησίν, εἰ μέν τις ἐμμένοι τῷ φαινομένῳ, καταγελάστους αὐτοὺς ὄψεται,

---

1 ὅτι om. R ὥσπερ — εὐκινήτους (3) om. D 3 εἶναι (post φύσει) scripsi: ὡς libri 15 κωλύουσι t 16 κινήσεως θέρμῃ Dt: θέρμης κινήσει R 22 ἔφασκον R(ut Arist. X) 24 δευτέραν — κινοῦν (26) om. R 27 ὅτι addidi 29 ὥς φησιν ὁ Πλάτων] non tam sententiam quam verba Platonis spectat; cf. Theaet. p. 180 D 30. 31 πάλιν ὁ Πλάτων φησίν] nescio quem locum respiciat, sed cf. Epist. II p. 314 A

ἐὰν μέντοι τὴν κεκρυμμένην ἐν αὐτοῖς ζητῇ διάνοιαν, ἐνθουσιώσης ψυχῆς b 8r
δεήσεται. τὸ αὐτὸ καὶ ἐπὶ τῆς τῶν Πυθαγορείων διδασκαλίας λεκτέον· εἰ
μὲν γὰρ τὸ φαινόμενον ἐκληψόμεθα, καταγέλαστον ἔσται καὶ οὐ σοφῶν,
ἀλλὰ γραῶν λῆρος· εἰ δὲ ἐκεῖνοι σοφοί. δεῖ ζητεῖν τι τῶν φαινομένων σεμ-
5 νότερον. ὥσπερ οὖν ἁρμονίαν λέγοντες τὴν ψυχὴν οὔ φασι ταύτην ἁρμο- 45
νίαν τὴν ἐν ταῖς χορδαῖς (γελοῖον γάρ). ἀλλ' ὅτι ὥσπερ ἡ ἁρμονία, καθὼς
αὐτοὶ ὁρίζονται οἱ Πυθαγόρειοι, 'πολυμιγέων ἐστὶ καὶ διχᾷ φρονεόντων
ἕνωσις' (τὸν γὰρ βαρὺν φθόγγον καὶ τὸν ὀξὺν ἐναντίους ὄντας κεράσασα
ἡ ἁρμονία ἓν μέλος τεχνικὸν ἀπετέλεσεν), οὕτω καὶ ἡ ψυχὴ ἡ ἡμε-
10 τέρα ἁρμονίας ἐστὶ τῷ παντὶ αἰτία (ὄντων γὰρ τῶν ἀεὶ ἄνω, τῶν νοη-
τῶν φησι καὶ πάντῃ χωριστῶν τῆς ὕλης, ὄντων καὶ τῶν ἀεὶ κάτω καὶ
τῆς ὕλης ἀχωρίστων, καὶ τούτων ἀκοινωνήτων ὄντων πρὸς ἄλληλα καὶ
τῷ ὄντι 'διχᾷ φρονεόντων', ταῦτα δι' ἑαυτῆς μέσης συνδεῖ ἡ ψυχὴ καὶ 50
ἑνοῖ καὶ μίαν ἐξ αὐτῶν ἁρμονίαν ἀποτελεῖ· τῶν γὰρ ἄνω οὖσα τὴν οὐσίαν
15 γίνεται τῶν κάτω καὶ οἱονεὶ κιρνᾶται αὐτοῖς, δι' ἑαυτῆς τὰ ἄμικτα κεραν-
νύουσα καὶ μεταδιδοῦσα τοῖς κάτω τῶν ἄνω), ὥσπερ οὖν ἔλεγον τὴν
ψυχὴν ἁρμονίαν, οὕτω καὶ νῦν τὰ ἐν τῷ ἀέρι ξύσματα ψυχὴν φασιν ἄλλο
τι διὰ τούτων αἰνιττόμενοι. ὡς γὰρ ταῦτα ἐν τῷ φωτὶ τῶν ἀκτίνων μόνον
φαίνεται, ἐὰν δὲ μὴ ᾖ φῶς, οὐδὲ εἰ ἔστι γνωρίζεται, οὕτω καὶ ἡ ψυχὴ |
20 ἐν τῷ φωτὶ μὲν τῷ ἑαυτῆς φαινομένη δείκνυται τίνα ἔχει οὐσίαν, ὅτι b 8v
θείαν τινὰ καὶ ἀσώματον καὶ ἀπαθῆ· ἐὰν μέντοι ἐν τῷ σκότῳ φαίνηται,
τουτέστιν ἐν τῷ σώματι καὶ τοῖς πάθεσιν, ὀρόμεθα αὐτήν, ὡς ὁ Πλάτων
φησίν, ὥσπερ οἱ τὸν θαλάττιον Γλαῦκον θεώμενοι, οὐκ αὐτὴν τὴν οὐσίαν
ὁρῶντες, ἀλλὰ τὰ φυκία ἃ περιβέβληται ὥσπερ ἐκεῖνος, τὰ πάθη λέγω ἢ
25 τὸ σῶμα. καὶ οἰησόμεθα αὐτὴν τούτων εἶναί τι. τινὲς μὲν οὖν τῶν Πυθα- 5
γορείων αὐτὰ ταῦτα ἔλεγον εἶναι τὴν ψυχήν, ὥσπερ καὶ οἱ Δημοκρίτειοι
τὰς ἀτόμους· οἱ δὲ τὸ ταῦτα κινοῦν. λέγοιεν δ' ἂν τὴν καθόλου ψυχὴν
ὡς ὀργάνοις τούτοις κεχρημένην. ἤτοι οὖν μίαν καθόλου ψυχὴν ἐκληπτέον
αὐτοὺς λέγειν ὡς ὀργάνοις τούτοις κεχρημένην καὶ δι' αὐτῶν κινοῦσαν τὰ
30 ζῷα, ἢ καὶ μερικὴν ἐν ἑκάστῳ ψυχὴν κινοῦσαν διὰ τούτων ὡς δι' ὀργάνων
τὸ σῶμα.

p. 404a19 Περὶ δὲ τούτων εἴρηται, ὅτι συνεχῶς φαίνεται κι-
νούμενα, κἂν ᾖ νηνεμία παντελής.

Τὴν αἰτίαν ἐπάγει δι' ἣν τὰ ἐν τῷ ἀέρι ξύσματα ψυχὴν ὑπέλαβον 10
35 εἶναι οἱ Πυθαγόρειοι. εἴρηται γάρ, φησί, περὶ αὐτῶν, ὅτι ὁρῶνται ἀεικίνητα,
κἂν ᾖ νηνεμία, ὡς οἴκοθεν καὶ μὴ ὑπὸ τοῦ ἀνέμου ἔχει τὴν κίνησιν.

---

1 αὐτοῖς R: ἑαυτοῖς Dt 3 ἔσται Dt: ἔστι R 6 τὴν om. R 7 ὁρίζονται] cf. Philolaus Böckhii p. 61 9 ἓν μέλος R: ἐμμελῶς Dt 11 φησι] fort. φημι χωριστὸν t 12 ἀκινωνήτων t 17 ψυχὴν εἶναί φασιν R 22. 23 ὡς ὁ Πλάτων φησίν] Reip. X p. 611 C 24 τὰ πάθη Dt: ἢ τὰ πάθη R λέγων R 29 αὐτοὺς R: αὐτοῖς Dt ὡς ὀργάνοις τούτοις κεχρημένην om. D 32 ὅτι DR et Arist. S: διότι t et Arist. vulg.

ἐπειδὴ οὖν καὶ οὗτοι ἐνόμισαν τῇ ψυχῇ οἰκειότατον εἶναι τὴν κίνησιν, δεῖ b 8v
δὲ τὸ κινοῦν πάντως καὶ αὐτὸ κινεῖσθαι, ταῦτα τὴν ψυχὴν εἰρήκασιν ὡς ἀεικίνητα.

p. 404a20 Ἐπὶ ταὐτὸ δὲ φέρονται, καὶ ὅσοι λέγουσι τὴν ψυχὴν
5 τὸ ἑαυτὸ κινοῦν.

Αἰνίττεται εἰς Πλάτωνα καὶ Ξενοκράτην καὶ Ἀλκμαίωνα· καὶ οὗτοι οὖν, φησίν, οἰκειότατον ὑπειλήφασι τῇ ψυχῇ εἶναι τὸ κινεῖν. ἀλλ' ἐπειδὴ ἐνόμισαν μὴ δύνασθαι κινεῖν μὴ κινουμένην, αὐτοκίνητον εἰρήκασι τὴν ψυχήν. ὅτι δὲ ὁ Πλάτων αὐτοκίνητον λέγων τὴν ψυχὴν οὐ τὴν κατὰ
10 τόπον ἔλεγε κίνησιν, αὐτὸς σαφῶς λέγει ἐν τοῖς Νόμοις· 'ἄγει δέ,' φησί, 20
'τὰ κατ' οὐρανὸν καὶ γῆν καὶ θάλατταν ταῖς ἑαυτῆς κινήσεσιν, ἃς δὴ βούλησιν καὶ διάνοιαν ὀνομάζομεν καὶ δόξαν τῶν ὀρθῶς τε καὶ οὐχ οὕτως ἐχόντων'. καὶ Ξενοκράτης δὲ λέγων τὴν ψυχὴν ἀριθμὸν ἑαυτὸν κινοῦντα αὐτοκίνητον αὐτὴν ἔλεγεν.

15 p. 404a25 Ὁμοίως δὲ καὶ Ἀναξαγόρας ψυχὴν εἶναι λέγει τὴν
κινοῦσαν, καὶ εἴ τις ἄλλος εἴρηκεν, ὡς τὸ πᾶν ἐκίνησε νοῦς.

Ὅσοι, φησίν, εἰρήκασιν τὸ πᾶν ὑπὸ τοῦ νοῦ κεκινῆσθαι, καὶ οὗτοι 26
ἐοίκασιν οἰκεῖον εἶναι λέγειν τῇ ψυχῇ τὸ κινεῖν· ὧν ἐστι καὶ Ἀρχέλαος. τί οὖν; εἰ νοῦν ἔλεγον κινῆσαι τὸ πᾶν, πόθεν ὅτι καὶ ψυχῇ τὴν κίνησιν
20 οἰκεῖον εἶναι ἔλεγον; ναί, φησι· ταὐτὸν γὰρ ὑπελάμβανον εἶναι ψυχὴν καὶ νοῦν, ὥσπερ καὶ Δημόκριτος. ἔχομεν οὖν τοῦτο ἐναργῶς παρ' αὐτῶν εἰρημένον ὅτι ταὐτὸν νοῦς καὶ ψυχὴ οὐδαμῶς, ἀλλ' ἐκ συλλογισμοῦ τοῦτο κατασκευάζει. ὁ μὲν γὰρ Δημόκριτος, φησί, καὶ πρόδηλός ἐστι τοῦτο βουλόμενος· 30
ἄντικρυς γὰρ εἶπεν ὅτι τὸ ἀληθὲς καὶ τὸ φαινόμενον ταὐτόν ἐστι, καὶ οὐδὲν
25 διαφέρειν τὴν ἀλήθειαν καὶ τὸ τῇ αἰσθήσει φαινόμενον, ἀλλὰ τὸ φαινόμενον ἑκάστῳ καὶ τὸ δοκοῦν τοῦτο καὶ εἶναι ἀληθές. ὥσπερ καὶ Πρωταγόρας ἔλεγε, κατά γε τὸν ὀρθὸν λόγον διαφερόντων, καὶ τῆς μὲν αἰσθήσεως καὶ τῆς φαντασίας περὶ τὸ φαινόμενον ἐχούσης. τοῦ δὲ νοῦ περὶ τὴν ἀλήθειαν. εἰ τοίνυν νοῦς μὲν περὶ τὴν ἀλήθειαν, ψυχὴ δὲ ἔχει περὶ τὸ φαινόμενον, 35
30 τὸ ἀληθὲς δὲ ταὐτόν ἐστι τῷ φαινομένῳ, ὡς Δημοκρίτῳ δοκεῖ, καὶ ὁ νοῦς ἄρα ταὐτὸν τῇ ψυχῇ. ὡς γὰρ ἔχει ὁ νοῦς πρὸς τὴν ἀλήθειαν, οὕτως ἡ ψυχὴ πρὸς τὸ φαινόμενον· οὐκοῦν καὶ ἐναλλὰξ ὡς τὸ φαινόμενον πρὸς τὴν ἀλήθειαν, οὕτως ὁ νοῦς πρὸς τὴν ψυχήν. εἰ τοίνυν ταὐτὸν τὸ φαινόμενον καὶ τὸ ἀληθές, καὶ ὁ νοῦς ἄρα καὶ ἡ ψυχὴ ταὐτόν.

---

6 ἀλκμαίονα t 10 ἐν τοῖς Νόμοις] X p. 896 E 13 Ξενοκράτης scripsi: Ἀναξαγόρας libri (ex v. 15) 15 καὶ om. D 19 ἔλεγε κινῆσαι R 21 παρ' αὐτοῖς t

p. 404ᵃ29 Διὸ καλῶς φησι ποιῆσαι τὸν Ὅμηρον ὡς ὁ Ἕκτωρ b 8ᵛ κεῖτο ἀλλοφρονέων.

Τοῦ γὰρ Ἕκτορος ἐκ τῆς πληγῆς ἀνεπαισθήτου κειμένου ἢ παραισθα- 45
νομένου εἶπε, φησίν, ὁ ποιητὴς ὅτι 'κεῖτο ἀλλοφρονέων', εἰς ταὐτὸν ἄγων
5 τῇ φρονήσει τὴν αἴσθησιν, ὡς οὐκ οὔσης τοῦ νοῦ δυνάμεώς τινος περὶ
τὴν ἀλήθειαν ἄλλης παρὰ τὴν δύναμιν τὴν περὶ τὸ φαινόμενον καὶ αἰσθη-
τὸν ἔχουσαν· διόπερ τὸ μὴ αἰσθάνεσθαι ἢ παραισθάνεσθαι ἀλλοφρονεῖν
εἶπεν Ὅμηρος. ὁ μὲν οὖν Δημόκριτος ἄντικρυς τὸν νοῦν καὶ τὴν ψυχὴν
ταὐτὸν λέγει· ὁ δὲ Ἀναξαγόρας ποτὲ μὲν δοκεῖ διακρίνειν τῆς ψυχῆς τὸν
10 νοῦν, ποτὲ δὲ εἰς ταὐτὸν ἄγειν. ὅτε μὲν γὰρ λέγει ὅτι ὁ νοῦς δύναμίς 50
ἐστι καὶ αἰτία τῶν ὀρθῶς καὶ καλῶς ἐχόντων, διακρίνει αὐτὸν τῆς ψυχῆς·
ὡς γὰρ ὄντων τῶν μὴ ὀρθῶς μηδὲ καλῶς καὶ περὶ ταῦτα ἐχούσης ἄλλης
δυνάμεως τῆς ψυχικῆς δηλονότι, οὕτω τὸν νοῦν φησι τῶν ὀρθῶν καὶ
καλῶν εἶναι αἴτιον, ὡς θειοτέρου ὄντος τοῦ νοῦ παρὰ τὴν ψυχήν· ἀλλὰ
15 πάλιν ἐν ἄλλοις δοκεῖ συγχεῖν ταῦτα καὶ εἰς ταὐτὸν ἄγειν ψυχὴν καὶ νοῦν,
ἐν οἷς φησιν ὅτι ὁ νοῦς ἐν πᾶσίν ἐστι τοῖς ζῴοις καὶ μικροῖς καὶ μεγάλοις
καὶ τιμίοις καὶ | ἀτιμοτέροις. ὁ δὲ κυρίως λεγόμενος νοῦς ὁ κατὰ τὴν c 1ʳ
φρόνησιν οὐ φαίνεται ἐν πᾶσι τοῖς ζῴοις ὑπάρχων, καὶ τί λέγω τοῖς
ζῴοις; ἀλλ' οὐδὲ ἐν πᾶσιν ἀνθρώποις· ὥστε λέγων ἐν πᾶσι τοῖς ζῴοις
20 εἶναι τὸν νοῦν τὴν ψυχὴν ἂν λέγοι. πάντες ἄρα οὗτοι τὴν κίνησιν ἴδιον
ψυχῆς ὑπελάμβανον, οὐ μὴν παντελῶς γε ὥσπερ Δημόκριτος. οὐχ
ὥσπερ Δημόκριτος φανερῶς καὶ ἀεὶ τοῦτό φησι ταὐτὸν εἶναι τὸν νοῦν καὶ
τὴν ψυχήν, οὕτω καὶ ὁ Ἀναξαγόρας, ἀλλὰ πῇ μὲν ταὐτόν, πῇ δὲ ἕτερον, 5
ὡς εἴπομεν. οὐ δὴ χρῆται τῷ νῷ ὡς δυνάμει τινὶ περὶ τὴν
25 ἀλήθειαν· οὕτω γὰρ καὶ ὁ ἀληθὴς ἔχει λόγος, τὸν νοῦν δύναμιν εἶναι
ψυχῆς ᾗ τὴν ἀλήθειαν γινώσκει· ἀλλ' αὐτὸ ψυχὴν εἶναι τὸν νοῦν ἔλεγον
Ἀναξαγόρας ταὶ Δημόκριτος.

p. 404ᵇ7 Ὅσοι μὲν οὖν ἐπὶ τὸ κινεῖσθαι τὸ ἔμψυχον ἀπέβλεψαν,
οὗτοι τὸ κινητικώτατον ὑπέλαβον εἶναι τὴν ψυχήν· ὅσοι δὲ ἐπὶ
30 τὸ γινώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων, οὗτοι δὲ λέγουσι τὴν
ψυχὴν τὰς ἀρχάς, οἱ μὲν πλείους ποιοῦντες αὐτὰς οἱ δὲ μίαν. 10

Εἶπεν ὅτι κίνησις καὶ αἴσθησις μάλιστα ψυχῆς εἰσιν ἴδια, διότι καὶ τὸ
ἔμψυχον τοῦ ἀψύχου τούτοις διαφέρει. τῶν οὖν περὶ ψυχῆς ἀποφηναμέ-

---

1 φησι et ὁ om. t 3. 4 ἢ παραισθανομένου scripsi coll. v. 7: ἤπερ αἰσθανομένου DR: ὥσπερ αἰσθανομένου t 4 εἶπε — ὁ ποιητής] Iliad. Ψ 698 similia quidem, sed non de Hectore leguntur; cf. Trendelenburgi comm. de an. p. 218 7 post διόπερ add. καὶ t ἢ παραισθάνεσθαι Rt: om. D 13 οὕτω om. R 26 ᾗ scripsi: ὦι R: ὃς Dt νοῦν ἔλεγον R: νοῦν εἶναι ἔλεγον Dt 29 εἶναι om. t et de an. codd. 30 δὲ D et Arist. codd. plerique: δὴ t et Arist. U: om. R et Arist. VW 31 αὐτὰς DR: τὰς ἀρχὰς t (ut Arist. TU, cf. SX) οἱ δὲ DR Arist.: οὐδὲ t 32 τὸ om. D

νων οἱ μὲν εἰς τὸ κινητικὸν αὐτῆς ἀποβλέψαντες ἐκ τῶν μάλιστα κινητι- c 1r
κωτάτων παρ' αὐτοῖς τὴν οὐσίαν αὐτῆς συστῆναι λέγουσι, οἱ δὲ εἰς τὰς
γνωστικὰς δυνάμεις ἀπέβλεψαν. ἀπαριθμησάμενος οὖν τὰς δόξας τῶν εἰς 15
τὸ κινητικὸν αὐτῆς ἀποβλεψάντων καὶ οὕτως ἀποφηναμένων περὶ αὐτῆς, νῦν
5 βούλεται καὶ τοὺς εἰς τὸ γνωστικὸν αὐτῆς ἀποβλέψαντας ἀπαριθμήσασθαι.
λέγουσιν οὖν ὅτι τὸ γινῶσκον ὅμοιον θέλει εἶναι τῷ γινωσκομένῳ· τὸ γὰρ
ὅμοιον τῷ ὁμοίῳ γνωρίζεται. θέλει γὰρ ἐφαρμόζειν τὸ γινῶσκον τῷ
γνωστῷ καὶ τὸ ὅμοιον τῷ ὁμοίῳ. εἰ τοίνυν γινώσκει πάντα τὰ
ὄντα ἡ ψυχή, δεῖ ἄρα αὐτὴν ἐκ πάντων εἶναι τῶν ὄντων. ἀλλ' ἐπειδὴ
10 τοῦτο ἀδύνατον, λέγω δὴ πάντα εἶναι αὐτὴν τὰ ὄντα, χρὴ γοῦν ἐκ τῶν 20
ἀρχῶν εἶναι τῶν πάντων, ἵνα τὰς αὐτὰς ἔχουσα ἀρχὰς πᾶσι τοῖς οὖσι διὰ
τούτων αὐτὰ γινώσκῃ. ἔνθεν οὖν πάντες οὗτοι ἐκ τῶν ἀρχῶν ποιοῦσι
τὴν ψυχήν, ἕκαστος τῶν παρ' ἑαυτῷ· καὶ οἱ μὲν πλείους ἀρχὰς εἰπόν-
τες ἐκ πλειόνων αὐτὴν ποιοῦσιν, οἱ δὲ μίαν ἐξ ἑνός. πρῶτον δ' ἱστορεῖ
15 τὴν Ἐμπεδοκλέους δόξαν, ὃς ὑπετίθετο ὑλικὰς μὲν εἶναι τέσσαρας ἀρχὰς
τῶν ὄντων, τὰ τέσσαρα ταῦτα στοιχεῖα, ποιητικὰς δὲ δύο, τὸ νεῖκος καὶ
τὴν φιλίαν. ἐκ τούτων οὖν καὶ τὴν ψυχὴν ἔλεγεν εἶναι καὶ τῷ ἐκ τούτων 25
εἶναι γινώσκειν τὰ πράγματα.

p. 404b13 Γαίῃ μὲν γάρ, φησί, γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
20 αἰθέρι δ' αἰθέρα δῖαν, ἀτὰρ πυρὶ πῦρ ἀίδηλον.

Καὶ δῆλον ὅτι ἐπειδὴ Πυθαγόρειος ἦν ὁ Ἐμπεδοκλῆς, συμβολικὴ δ'
ἦν ἡ τῶν Πυθαγορείων διδασκαλία, καὶ αὐτὸς συμβολικῶς περὶ τούτων
ἔλεγε καὶ λέγων τὴν ψυχὴν ἐκ τῶν στοιχείων εἶναι οὕτως ἔλεγε δηλονότι
οὐχ ὡς ἐκ πυρὸς οὖσαν καὶ ὕδατος καὶ τῶν λοιπῶν· τί γὰρ μᾶλλον 30
25 αὐτὴ τὰ ἔξω στοιχεῖα ἐγίνωσκεν ἢ τὰ στοιχεῖα αὐτήν; οὐκ ἄρα οὕτως
ἁπλῶς τὰ στοιχεῖα ταῦτα ἔλεγεν εἶναι τὴν ψυχήν, ἀλλ' ὡς ἔχουσαν τού-
των τοὺς λόγους ἐν ἑαυτῇ. ἔλεγε δὲ καὶ ἐκ τοῦ νείκους εἶναι καὶ τῆς
φιλίας, διότι ἑώρα αὐτὴν ἔχουσαν καὶ ἀναγωγὸν δύναμιν καὶ καταγωγόν·
ἐκάλει οὖν τὴν μὲν ἀναγωγὸν αὐτῆς δύναμιν φιλίαν, νεῖκος δὲ τὴν κατα-
30 γωγόν. ἡ γὰρ φιλία ἑνώσεώς ἐστιν αἰτία· ἥνωται δὲ μᾶλλον τὰ νοητά,
ὅσῳ καὶ ἐγγυτέρω εἰσὶ τῆς μιᾶς τῶν πάντων ἀρχῆς· τὸ δὲ νεῖκος ἐν τοῖς 35
αἰσθητοῖς ἐπικρατεῖ, τουτέστιν ἡ διάκρισις· διὸ καὶ ἔλεγεν "ὡς καὶ ἐγὼ δεῦρ'
εἰμὶ φυγὰς θεόθεν καὶ ἀλήτης, νείκεϊ μαινομένῳ πίσυνος". τὰ αὐτὰ καὶ
ὁ Πλάτων ἐν τῷ Τιμαίῳ λέγει· λέγει γὰρ τὴν ψυχὴν ἐκ ταὐτοῦ κύκλου

---

2 αὐτῆς] αὐτοῖς t 4 νῦν—ἀποβλέψαντας (5) om. D 6 οὖν Rt: γοῦν D
8 καὶ R: ἐφαρμόζειν Dt 12 γινώσκῃ DRt: γινώσκει mutavit D[1] 15 ὑπέθετο R
17 καὶ τὸ R 19 φησί] Empedocl. fragm. vv. 378 sq. Mullach 20 δῖαν Arist. EX:
δίαν D: δίον Rt: δῖον Arist. TUVW 21 Ἐμπεδοκλῆς scripsi: Τίμαιος libri
23 δηλονότι Rt: δῆλον D 25 αὐτῇ τὰ t 27 καὶ ἐκ τοῦ νείκους Dt: ἐκ τῆς
νείκης R 28 ἀναγαγὼν t 32 ἔλεγεν] Empedocl. fragm. vv. 9. 10 Mullach
34 ἐν τῷ Τιμαίῳ] p. 35 A sqq. 37 A sqq.

εἶναι καὶ θατέρου. καὶ πάλιν ἐν τῷ Φαίδρῳ ἔχειν αὐτήν φησι καλλίονα c 1r
ἵππον καὶ χείρονα, διὰ τούτων τὰς ἀναγωγοὺς αὐτῆς δυνάμεις καὶ τὰς
καταγωγοὺς αἰνιττόμενος· ποτὲ μὲν γὰρ ἡ ψυχὴ νοητῶς ἐνεργεῖ καὶ ἀνα-
τείνεται πρὸς τὰ θεῖα, ποτὲ δὲ κατάγεται εἰς τὴν ὕλην. διὰ ταῦτα οὖν 10
5 ἔλεγεν ὁ Ἐμπεδοκλῆς ἐκ τῆς φιλίας εἶναι καὶ τοῦ νείκους τὴν ψυχήν,
ἐπειδὴ καὶ τῶν ὄντων πάντων ταύτας ὑπετίθετο ποιητικὰς ἀρχὰς εἶναι,
διότι ἑώρα ἐν πᾶσι καὶ ταυτότητα καὶ ἑτερότητα, καὶ ἕνωσιν καὶ διάκρι-
σιν· ἀλλ' ἐν μὲν τοῖς νοητοῖς μᾶλλον κρατεῖν τὴν φιλίαν ἢ τὸ νεῖκος, ἐν
δὲ τοῖς αἰσθητοῖς ἔμπαλιν, ἐπειδὴ ὡς εἴπομεν ἐκεῖνα ἐγγυτέρω ὄντα τῆς
10 μιᾶς τῶν πάντων ἀρχῆς τῇ ἑνώσει μᾶλλον κρατεῖται. δῆλον οὖν ὅτι
συμβολικῶς ταῦτα διελάμβανεν ὁ Ἐμπεδοκλῆς. καὶ ἐκ τῶν τεσσάρων στοι- 15
χείων λέγων εἶναι τὴν ψυχὴν οὐκ αὐτὰ τὰ στοιχεῖα ἔλεγεν εἶναι τὴν
ψυχήν, ἀλλὰ τοὺς τούτων λόγους εἶναι ἐν αὐτῇ. καὶ εἴποιμεν ἂν πρὸς
Ἀριστοτέλην τὸ φαινόμενον διελέγχοντα, ὅτι ὥσπερ σὺ τόπον εἰδῶν λέγεις
15 τὴν ψυχήν, καὶ οὐδείς που τοῦτο φαίη ὅτι εἰσὶν ἐν τῇ ψυχῇ ἵππος καὶ
ἄνθρωπος, ἀλλὰ τοὺς λόγους τῶν εἰδῶν τὰ εἴδη λέγεις, οὕτω δήπου καὶ
τὸν Ἐμπεδοκλέα εὔλογον νομίζειν λέγειν. εἴ γε σοφὸς ἦν ἀνήρ, μᾶλλον δὲ
καὶ περὶ τῶν ἄλλων ἴσως τοῦτο εὔλογον ὑπονοεῖν· εἰ γὰρ οὕτως, ὡς ἔχει 50
τὸ φαινόμενον, ἔλεγον ὅτι πῦρ αἰσθητὸν ἡ ψυχὴ ἢ ὕδωρ ἤ τι τοιοῦτο,
20 καὶ μὴ κατά τινα ἀναλογίαν ταῦτα ἐλάμβανον, καὶ τῶν πολλῶν καὶ ἀνε-
πιστημόνων χείρονες ἦσαν. ὥσπερ Ἐμπεδοκλῆς ἐκ τῶν στοιχείων
πάντων· εἶναι δὲ καὶ ἕκαστον ψυχήν. τὴν μὲν ὅλην ψυχὴν ἐκ τῶν
στοιχείων ἔλεγεν, ὡς εἶναι αὐτὴν ἄλλην παρ' ἕκαστον τούτων· καὶ ἓν
ἕκαστον δέ, φησί, ψυχὴν ἔλεγεν εἶναι, ἔτι δὲ καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν·
25 γνωρίζειν γὰρ ἕκαστον τῶν πραγμάτων δι' ἑκάστου τού|των, ἐπειδὴ τὸ c 1v
ὅμοιον τῷ ὁμοίῳ γινώσκεται. οὕτω δὲ ἔχοιμεν ἂν κατ' αὐτὸν ψυχὰς ἕξ.
δυνατὸν δὲ τὸ εἶναι καὶ ἕκαστον τούτων ψυχὴν ἀκούειν οἱονεὶ
μόριον ψυχῆς καὶ δύναμιν· λέγομεν γὰρ καὶ ἡμεῖς τὴν θυμοειδῆ ψυχὴν
καὶ τὴν θρεπτικήν, δηλονότι τὰς δυνάμεις τῆς ψυχῆς ψυχὰς καλοῦντες.

30 p. 404b 16 Τὸν αὐτὸν δὲ τρόπον καὶ Πλάτων ἐν Τιμαίῳ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ.

Καὶ ὁ Πλάτων, φησίν, ἐκ τῶν παρ' ἑαυτῷ ἀρχῶν. ὅθεν τὰ πάντα 6
εἶναι ἔλεγεν, ἐκ τούτων καὶ τὴν ψυχὴν εἶναι ἔλεγεν, ἵνα ἐκ τῶν αὐτῶν οὖσα
πασῶν ἀρχῶν γνωρίζῃ τὰ πάντα. πέντε δὲ γένη εἶναι ἔλεγεν ἀρχὰς πάντων
35 τῶν ὄντων, τὴν οὐσίαν, τὴν ταυτότητα, τὴν ἑτερότητα, τὴν κίνησιν, τὴν στά-

---

1 ἐν τῷ Φαίδρῳ] p. 246 B sqq. φησι om. R καλλίωνα t 6 εἶναι ἀρχὰς coll. t
13 εἴπομεν R 14 λέγεις] Γ 4 p. 429a 27. 28 15. 16 καὶ ἄνθρωπος R: ἢ ἄνθρωπος
Dt 22 καὶ om. R 23 ὡς et αὐτὴν — ἔλεγεν εἶναι (24) om. D 25 γνωρί-
ζει R 26 ἔχοιμεν scripsi: ἔχομεν libri 30 δὴ R Πλάτων post Τιμαίῳ coll. t
(ut Arist. UWY) ἐν Τιμαίῳ DR: ἐν τῷ Τιμαίῳ t et Arist. 32 παρ' ἑαυτῷ Dt:
περὶ αὐτῷ R

σιν. γένη δὲ ταῦτα ἔλεγεν, οὐχ οὕτω γένη ὄντα ὥσπερ τὰ παρὰ τοῖς c 1ᵛ
Περιπατητικοῖς, ἅτινα διῄρηται ἀπ' ἀλλήλων καὶ ἀφ' ἑκάστου σειρά τις 10
ἐκδίδοται τῶν ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν, ἀλλὰ γένη αὐτὰ ἐκάλεσεν
ὡς διὰ πάντων τῶν ὄντων διήκοντα. ἔστι γὰρ ἐν πᾶσι καὶ οὐσία, καθ'
5 ἣν ἑκάστου ἐστὶ τὸ εἶναι, ἔστι καὶ ταυτότης, καθὸ ἐκ μιᾶς τῆς τῶν ὄντων
ἐσμὲν ἀρχῆς· ἔχομεν δὲ καὶ ἑτερότητα, ἐπειδὴ καὶ πλῆθός ἐστι τὰ ὄντα,
ὅπου δὲ πλῆθος ἐκεῖ ἡ ἑτερότης. ἔστι δὲ καὶ κίνησις ἐν πᾶσι τοῖς οὖσι·
κίνησιν δὲ λέγω οὐ τὴν ἀτελῆ ἐνέργειαν, ὥς φησιν ὁ Ἀριστοτέλης, ἀλλὰ
τὴν ἐνέργειαν τὴν ἑκάστου· πάντα γὰρ ἔχει οἰκείαν ἐνέργειαν, καὶ αὐτὰ 15
10 τὰ ἄψυχα· ἢ γὰρ θερμαίνουσιν ἢ ψύχουσιν τὰ παρακείμενα ἢ ὑγραίνουσιν
ἢ ξηραίνουσιν ἢ ἄλλο τι τοιοῦτον ποιοῦσιν. καὶ ἡ στάσις δὲ ἐπὶ πάντων
θεωρεῖται· καὶ γὰρ καὶ τὰ ἀεικίνητα στάσεως μετέχει, οὐ μόνον τῷ τὴν
ὁλότητα ἑστάναι, ἀλλὰ καὶ αὐτὸ τὸ μένειν ἐπὶ τῆς ἀεικινησίας στάσις ἐστί·
καθὸ οὖν μένουσι κινούμενα τὰ κινούμενα ἢ ἀεὶ ἢ ἐπί τινα χρόνον, κατ' αὐτὸ
15 τοῦτο στάσεως μετέχει. ἐκ τούτων οὖν τῶν γενῶν τὴν ψυχὴν Πλάτων ποιεῖ·
φησὶ γὰρ ἐξ οὐσίας τε αὐτὴν εἶναι καὶ ταυτότητος καὶ ἑτερότητος, οὐσίας 20
δὲ οὐ τῆς τυχούσης, ἀλλὰ τῆς τε ἀμερίστου οὐσίας καὶ τῆς περὶ τὰ σώ-
ματα μεριστῆς· ἐξ ἀμφοτέρων γὰρ τούτων γενέσθαι τὴν τῆς ψυχῆς οὐσίαν
φησίν. ἵνα καὶ γνωστικὴ ᾖ ἀμφοτέρων. ἀλλ' ἐπειδὴ πάντων ἡ γνῶσις
20 ἢ ὁμοιότητί τινι καὶ ταυτότητι γίνεται ἢ ἀνομοιότητι καὶ ἑτερότητι (τὸ γὰρ
λευκὸν καὶ τῇ τοῦ λευκοῦ παραθέσει γνωρίζομεν· τὸ γὰρ ὅμοιον τῷ λευκῷ
λευκόν ἐστι· καὶ τῇ τοῦ μέλανος· τὸ γὰρ ἐναντίον τῷ μέλανι λευκόν),
καὶ ταῦτα ἐν τῇ συστάσει αὐτῆς μεμῖχθαί φησι τῆς γε ταὐτοῦ φύσεως
λέγων περὶ καὶ τῆς τοῦ ἑτέρου. ὅτι δὲ καὶ αὐτοκίνητόν φησιν αὐτήν, 25
25 πρόδηλον· ἐν τούτῳ δὲ ἔχοι ἂν καὶ τὴν στάσιν. τὰ δὲ πράγματα ἐκ
τῶν ἀρχῶν εἶναι, τουτέστι τὰ ὄντα, ὧν ἔχει τὴν γνῶσιν ἡ ψυχή.
διὰ τοῦτο οὖν, ἐπειδὴ ἐκ τῶν αὐτῶν ἀρχῶν ἐστι τοῖς οὖσι, τὸ δὲ ὅμοιον
τοῦ ὁμοίου ἐστὶ γνωστικόν, γινώσκει τὰ πάντα. εἰ τοίνυν ἐκ τῶν αὐτῶν
στοιχείων τοῖς οὖσιν ἐποίησεν τὴν ψυχήν, ἵνα γινώσκῃ τῷ ὁμοίῳ τὸ
30 ὅμοιον, δῆλον ὡς μάλιστα ἴδιον τῆς ψυχῆς τὸ γινώσκειν καὶ οὗτος ὑπε-
λάμβανεν.

p. 404ᵇ18 Ὁμοίως δὲ καὶ ἐν τοῖς Περὶ φιλοσοφίας λεγομένοις 30
διωρίσθη.

Τὰ Περὶ τἀγαθοῦ ἐπιγραφόμενα Περὶ φιλοσοφίας λέγει· ἐν ἐκείνοις
35 δὲ τὰς ἀγράφους συνουσίας τοῦ Πλάτωνος ἱστορεῖ ὁ Ἀριστοτέλης· ἔστι δὲ
γνήσιον αὐτοῦ τὸ βιβλίον. ἱστορεῖ οὖν ἐκεῖ τὴν Πλάτωνος καὶ τῶν Πυθα-

---

2 διῄρηται R: διῄρηνται Dt 5 ἔστι καὶ AD: post ἔστι add. δὲ Rt 8 φησιν] Phys. Γ 2 p. 201ᵇ31 9 τὴν ἐνεργῇ τὴν Suid. s. v. Ἀρχή 18 γὰρ A: om. DRt 19 ἀλλ' ἐπειδὴ—γνῶσις iterat D 20 ante τινι add. τί D 22 τὸ μέλανι t 24 πέρι delendum conicias, sed cf. Plat. Tim. 35 A: περὶ Dt αὐτήν Dt: τὴν ψυχήν R 25 ἔχοι scripsi: ἔχοιεν DRt 30 οὕτως t 32 διαλεγομένοις R, sed δια expunxit λεγομένοις—περὶ φιλοσοφίας (34) om. D

γορείων περὶ τῶν ὄντων καὶ τῶν ἀρχῶν αὐτῶν δόξαν. λέγει οὖν φάσκειν c 1v
αὐτοὺς ὅτι τὰ εἴδη ἀριθμοί εἰσιν, ἀριθμοὶ δὲ δεκαδικοί· ἕκαστον γὰρ τῶν
εἰδῶν δεκάδα ἔλεγον. ἀριθμοὺς μὲν οὖν ἐκάλουν τὰ εἴδη ἢ ὅτι, ὥσπερ ὁ 35
ἀριθμὸς μετρεῖ καὶ ὁρίζει τὰ ὑποκείμενα. οὕτω καὶ τὰ εἴδη μετρητικά ἐστι
5 καὶ ὁριστικὰ τῆς ὕλης (ἀόριστον γὰρ οὖσαν καθ' αὑτὴν ἐγγενόμενα ἐν
αὐτῇ ὁρίζει αὐτὴν καὶ περιγράφει) ἢ ὅτι. ὥσπερ οἱ ἀριθμοὶ πάντες ἐκ
μιᾶς εἰσιν ἀρχῆς τῆς μονάδος παρηγμένοι, οὕτω καὶ τὰ εἴδη ἐκ τῆς μιᾶς
τῶν πάντων ἀρχῆς παράγεται. ἀριθμοὶ μὲν οὖν διὰ τοῦτο, δεκαδικοὶ δὲ
διὰ τὴν τελειότητα τῶν εἰδῶν. τέλειος γὰρ ἀριθμὸς ὁ δέκα· περιέχει
10 γὰρ πάντα ἀριθμὸν ἐν αὑτῷ· οἱ γὰρ μετὰ τὴν δεκάδα εἰς τοὺς ἀπὸ μο- 40
νάδος πάλιν ἀνακάμπτουσι· διὸ καὶ δεκὰς ἐκλήθη, οἱονεὶ δεχάς τις οὖσα.
ἀρχὰς δὲ τῶν εἰδῶν τούτων ἔλεγε τὴν μονάδα καὶ δυάδα καὶ τριάδα καὶ
τετράδα. διότι οἱ ἀπὸ μονάδος συντιθέμενοι μέχρι τῆς τετράδος ποιοῦσι
τὸν δέκα· ᾱ. β̄. γ̄. δ̄ γίνεται δέκα. εἶναι οὖν ἔλεγε τὰς τετραδικὰς ταύ-
15 τας ἀρχὰς καὶ κοινῶς ἐν πᾶσι τοῖς οὖσι καὶ ἰδίᾳ, ἔν τε τοῖς νοητοῖς καὶ
ἐν τοῖς φυσικοῖς καὶ ἐν τοῖς αἰσθητοῖς. κοινῶς μὲν οὖν ἐπὶ πάντων μονὰς
μὲν τὰ νοητά (ἀμερὴς γὰρ ἐκείνων οὐ μόνον ἡ οὐσία, ἀλλὰ καὶ ἡ ἐνέρ- 45
γεια, ἐν στάσει καὶ ἀκινησίᾳ θεωρουμένη) δυὰς δὲ [καὶ] ἡ ἐπιστήμη ἢ
τὰ ἐπιστημονικά· ὡρισμένως γὰρ τὸ ἀπό του ἐπί τι ἔχει. ἡ γὰρ ἐπιστήμη
20 μετάβασίς ἐστιν ἐξ ὡρισμένων εἰς ὡρισμένα· οὐκ ἔστι γὰρ ἐπιστήμη ἀόρι-
στος· ἔνθεν γὰρ καὶ ἐπιστήμη ἐκλήθη, παρὰ τὸ ἐπὶ στάσιν ἡμᾶς ἄγειν.
τριὰς δὲ τὰ φυσικὰ καὶ δοξαστά· φυσικὰ δέ φημι τὰ καθόλου ἐν τοῖς φυ-
σικοῖς, περὶ ἃ ἡ δόξα ἔχει, ὡς καὶ ἐν Τιμαίῳ φησὶν ὁ Πλάτων "τί τὸ
ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον", τὸ νοητὸν λέγων, "τί δὲ τὸ γινόμενον ἀεί, 50
25 ὂν δὲ οὐδέποτε", τὰ ἐν τοῖς φυσικοῖς λέγων καθόλου. εἰ γὰρ ἀεὶ γίνε-
σθαι αὐτό φησι, καὶ γίνεται μὲν τὰ φυσικά, ἐν τούτοις δὲ τὰ μερικὰ ἐν
χρόνῳ τινὶ ὄντα οὐκ ἂν λέγοιτο ἀεὶ γίνεσθαι, δῆλον ὡς περὶ τῶν καθό-
λου ὁ λόγος, περὶ ἃ καὶ τὴν δόξαν ἐνεργεῖν φησι. "τὸ μὲν γάρ," φησί,
"νοήσει μετὰ λόγου περιληπτόν", τὸ νοητὸν δηλονότι, "τὸ δ' αὖ δόξῃ μετ'
30 αἰσθήσεως ἀλόγου δοξαστόν". τριὰς οὖν τοῦτο διὰ τὸ δοξαστὸν εἶναι,
διότι τριὰς μὲν ἡ δόξα διὰ τὸ ὁρμᾶν μὲν ἀπό του, μὴ ὡρισμένως | δὲ c 2r
ἐπί τι φέρεσθαι, ἀλλ' ἢ ὧδε ἢ ὧδε. τοιαῦτα δὲ καὶ τὰ φυσικὰ ἐν ῥύσει ἔχοντα
τὸ εἶναι καὶ οὐκ ὄντα πάντῃ ἀκίνητα καὶ ἀμετάβλητα, ἑστῶτα μὲν τοῖς
εἴδεσι. τῇδε δὲ κἀκεῖσε ταῖς ἀλλοιώσεσι μεταβάλλοντα κατὰ τὰς ἐναντίας
35 μεταβολάς. τριὰς οὖν ταύτῃ κἀν τούτοις· κἂν γὰρ τὰ οὐράνια εἴποις
μεταβάλλει κατὰ τόπον, τὰ μὲν ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν, τὰ δ' ἔμπαλιν,
καὶ ἀπὸ μὲν τῶν νοτίων ἐπὶ τὰ βόρεια, πάλιν δ' αὖ ἀπ' ἐκείνων ἐπὶ 5

---

4 μετρικά D 11 δεχάς DR: δεκάς t 12 ἔλεγε] ἔλεγον οἱ Πυθαγόρειοι A Suid. 14 δέκα. εἶναι scripsi coll. A et Suid. s. v. Εἶδη: δέκα. δέκα εἶναι DRt ἔλεγον A Suid. 15 ἔν τε D: καὶ ἔν τε Rt 18 καὶ post δὲ delevi 19 ἀπό του At Suid.: ἀπὸ τοῦ DR ἔχει] ἔργεσθαι Suid. 23 ἐν Τιμαίῳ] p. 27 D 24 γινόμενον t: γενόμενον DR 25 ὂν δὲ om. t 26 ἐν (ante χρόνῳ) om. t 28 φησί] Tim. p. 28 A 34 μεταβάλλονται R 35 εἴποις R: εἴπῃς Dt 36 fort. μεταβάλλειν ἀνατολὰς R 37 μὲν om. R

ταῦτα. ἐν δὲ τοῖς αἰσθητοῖς, φημὶ δὴ τοῖς μερικοῖς τε καὶ ἀτόμοις, ἡ c 2r
τετράς. πῶς δ' ἐν τούτοις ἡ τετράς, προϊόντες δείξομεν. οὕτω μὲν οὖν
ἡ τετραδικὴ ἀρχὴ κοινῶς ἐν πᾶσι τοῖς οὖσι θεωρεῖται. καὶ ἰδίᾳ δέ
φησιν ἐν τοῖς νοητοῖς αὐτὴν θεωρεῖσθαι, ἰδίᾳ δὲ ἐν τοῖς φυσικοῖς, ἰδίᾳ δὲ
5 ἐν τοῖς αἰσθητοῖς τε καὶ ἀτόμοις. διὰ δὴ ταῦτα ἔλεγε τὸ μὲν αὐτο-
ζῷον, ὅπερ ἐστὶ παρ' αὐτῷ αὐτὴ ἡ ἰδέα τοῦ ζῴου καὶ τὸ παράδειγμα,
καὶ αὐτὸ μὲν δεκάδα ὂν συνεστάναι ἐκ τῆς πρώτης μονάδος καὶ δυάδος 10
καὶ τριάδος καὶ τετράδος, τουτέστι τοῦ αὐτοενὸς καὶ τῆς αὐτοδυάδος καὶ
τῆς αὐτοτριάδος καὶ τῆς αὐτοτετράδος· κατ' ἀναλογίαν δὲ τούτου καὶ ἐν
10 τοῖς μετὰ τὸ αὐτοζῷον ζῴοις, ἀθανάτοις λέγω καὶ θνητοῖς, εἶναι τὰς ἀρ-
χὰς ταύτας. ὥσπερ γὰρ καὶ ἀριθμοὶ δεκαδικοὶ πάντα, οὕτω καὶ ἐκ μονά-
δος καὶ δυάδος καὶ τριάδος ⟨καὶ τετράδος⟩· ἀλλὰ τὸ μὲν αὐτοζῷον ἐκ τῆς
πρώτης μονάδος καὶ δυάδος καὶ τριάδος καὶ τετράδος, τὰ δὲ ἄλλα τὰ μετὰ
τὸ αὐτοζῷον κατὰ ἀναλογίαν τῆς ἀποστάσεως ἧς ἀφεστήκασιν ἀπὸ τοῦ
15 αὐτοζῴου, οὕτω καὶ ἀπὸ τῶν ἀρχῶν ἀφεστήκασιν. οὐ γὰρ τὴν αὐτὴν 15
ἀπόστασιν ἀφεστήκασιν ἐκ τοῦ αὐτοζῴου τά τε θεῖα καὶ ἀθάνατα ζῷα
καὶ τὰ θνητά. οὐκοῦν τὰ μὲν θεῖά εἰσι καὶ αὐτὰ ἐκ τῆς δευτέρας
μονάδος καὶ δευτέρας δυάδος, καὶ ὁμοίως τριάδος καὶ τετράδος, καὶ οὕτως
ἀεὶ κατὰ τὴν ἀναλογίαν τῆς ἀποστάσεως τοῦ αὐτοζῴου καὶ ἡ ἀπόστασις
20 γίνεται τῶν ἀρχῶν. εἶναι οὖν ἔλεγε τὰς τετραδικὰς ταύτας ἀρχὰς καὶ
ἐν τοῖς νοητοῖς καὶ ἐν τοῖς φυσικοῖς καὶ ἐν τοῖς αἰσθητοῖς, καὶ διὰ τοῦτο
ἐπειδὴ ἡ ψυχὴ γινώσκει πάντα ταῦτα, εἶναι καὶ αὐτὴν ἐκ τῶν αὐτῶν ἀρ- 20
χῶν, μονάδος, δυάδος, τριάδος, τετράδος. τίνα μὲν οὖν ἐν τοῖς νοητοῖς
ἔλεγε μονάδα καὶ δυάδα καὶ τριάδα καὶ τετράδα, θεολογίας ἂν εἴη λέγειν·
25 ἀλλ' οὐδὲ τὴν ἐν τοῖς φυσικοῖς προχείρως ἔχομεν λέγειν. εἴποι δ' ἄν τις
κἂν τούτοις τὴν τετράδα, διότι ὃ εἶδη ζῴων ὁρᾶται ἐν τῷ κόσμῳ, οὐρα-
νίων, ἀερίων, χθονίων, ἐνύδρων. ἐν δὲ τοῖς αἰσθητοῖς μονάδα μὲν λαμ-
βάνει τὸ σημεῖον, δυάδα δὲ τὴν γραμμήν, τριάδα δὲ τὸ ἐπίπεδον καὶ
τετράδα τὸ στερεὸν αὐτό· αὗται γὰρ ἀρχαὶ τοῦ σώματος. μονάδα μὲν οὖν 25
30 τὸ σημεῖον ὡς ἀμερές· τὴν δὲ δυάδα γραμμήν, ἐπειδὴ τὸ σημεῖον
ῥυὲν ἐγέννησε τὴν γραμμήν, ἥτις ὑπὸ δύο σημείων περατοῦται καὶ
ἔστι μῆκος ἀπλατές· τὴν τριάδα δὲ τὸ ἐπίπεδον, ἢ διὰ τὸ πρῶτον
εἶναι τῶν σχημάτων τὸ τρίγωνον ἢ ὅπερ καὶ μᾶλλον, ὅτι ὥσπερ
τὸ σημεῖον ῥυὲν ἐποίησεν ἐκ τῆς κατὰ μῆκος διαστάσεως ἕτερον
35 σημεῖον, ἐὰν τὸ αὐτὸ τοῦτο σημεῖον ῥυῇ καὶ κατὰ πλάτος, γεννήσει
πάλιν ἕτερον σημεῖον, ὥστε γίνεται τρία σημεῖα, ἓν μὲν τὸ πέρας τοῦ
μήκους, ἕτερον δὲ τὸ πέρας τοῦ πλάτους, καὶ τρίτον τὸ κοινὸν ἀμφοῖν. 30

---

1 δὴ R: δὲ Dt τε om. R 2 πῶς ἐν D 4 φησιν D: φασιν Rt 5 δὴ D: δὲ Rt ἔλεγε τὸ scripsi: ἐλέγετο DRt: ἔλεγον ὅτι τὸ A 5. 6 αὐτοζῷον ARt: αὐτὸ τὸ ζῶον D 6 αὐτὴ A: αὕτη DRt 7 ὂν A: ὂν DRt 8. 9 καὶ τῆς αὐτοτριάδος καὶ τῆς αὐτοτετράδος A: καὶ τῆς αὐτοτριάδος R: καὶ τῆς αὐτοτετράδος Dt 10 post θνητοῖς add. λέγω R 12 καὶ τετράδος addidi ἀλλὰ τὸ μὲν — τετράδος (13) om. D 14 ἀπὸ ADt: ἐκ R 16 καὶ τὰ ἀθάνατα R 31 σημεῖον t 34 ἐποίησεν om. R 35 fort. σημεῖον, οὕτω ἐὰν

τετράδα δὲ αὐτὸ τὸ στερεόν, ἤτοι πάλιν ὅτι πρῶτον τῶν στερεῶν σχημά- c 2r
των ἡ πυραμίς, ἥτις γίνεται ἐκ τεσσάρων τριγώνων, ἢ πάλιν κατὰ τὴν
αὐτὴν ἀναλογίαν· ὡς γὰρ τὸ σημεῖον ῥυὲν κατὰ μῆκος ἐγέννησεν ἄλλο
σημεῖον, καὶ πάλιν καὶ κατὰ πλάτος ῥυὲν ἐγέννησεν ἕτερον, οὕτως ἐὰν ῥυῇ
5 κατὰ βάθος. γεννήσει πάλιν ἄλλο, ὥστε τέσσαρα γενήσονται σημεῖα. δεῖ
δὲ νοεῖν τὴν τοῦ βάθους εὐθεῖαν μετεωριζομένην. οὕτω μὲν οὖν ἐν τοῖς
αἰσθητοῖς μονάς, δυάς, τριάς, τετρὰς ὑπάρχει. ἐπειδὴ οὖν ἡ ψυχὴ πάντα 35
τὰ ὄντα γινώσκει, καὶ αὐτὴν εἰκότως ἐκ τῶν ἀρχῶν τούτων ἔλεγεν εἶναι,
ἵνα γινώσκῃ πάντα. εἶναι οὖν ἐν αὐτῇ μονάδα μὲν τὸν νοῦν, δι' οὗ τῶν
10 νοητῶν τὰς ἀντιλήψεις ποιεῖται· ἀμερὴς γὰρ ὁ νοῦς ἁπλῇ ἐπιβολῇ γινώ-
σκων τὰ πράγματα· δυάδα δὲ τὴν διάνοιαν· ἔχει γὰρ αὕτη τὸ ποθέν ποι·
διανύει γὰρ ὁδόν τινα καὶ μεταβαίνει ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα.
τριάδα δὲ τὴν δόξαν, διότι αὕτη ὁρμήσασα δοξάσαι τι διστάζει καὶ οἱονεὶ
σχιστὴν ὁδὸν ποιεῖται, πότερον ὧδε ἢ ὧδε τραπείη. ὥσπερ ὁδόν τινα 40
15 ἀνύσας, εἶτα εἰς ὁδὸν σχιστὴν ἐμβαλὼν καὶ ἀπορῶν, πότερον τῇδε ἢ τῇδε
τραπείη. οὕτω καὶ ἡ δόξα ὑποθέσει τινὶ χρησαμένη, εἶτα δοξάσαι τι περὶ
ταύτης θέλουσα ἐφ' ἑκάτερα τῇ ἀπορίᾳ τρέπεται ἀπορουσα, εἴτε ἡ κατά-
φασις ἀληθὴς εἴτε ἡ ἀπόφασις· θελήσασα γὰρ σχεῖν ἥντιναοῦν ἔννοιαν
περὶ ψυχῆς καὶ ἅπαξ εἰς τοῦτο ὁρμήσασα λαβοῦσά τε ὅ ἐστιν ἡ ψυχὴ
20 διστάζει καὶ διαιρεῖται, πότερον θνητὴν αὐτὴν δεῖ νοεῖν ἢ ἀθάνατον, ἢ
πάλιν σῶμα ἢ ἀσώματον, καὶ οὕτως ἐπὶ πάντων. τὴν δὲ τετράδα τὴν 45
αἴσθησιν, ἐπειδὴ ἡ μὲν τετρὰς ἐν τοῖς αἰσθητοῖς τὸ σῶμα ἐδήλου, ἡ δὲ
αἴσθησις σωματοειδεστάτη ἐστὶ τῶν γνώσεων τῆς ψυχῆς· τοῦ μερικοῦ γὰρ
ἀντιλαμβάνεται· ἄνευ γὰρ σώματος οὐδὲν γινώσκει. οὐ δεῖ δὲ ἀπορεῖν,
25 εἰ τὴν φαντασίαν παρελείπομεν· περιείληπται γὰρ ἐν τῇ αἰσθήσει, ἐπειδὴ
καὶ τὰς ἀρχὰς ἐξ αὐτῆς ἔχει.

p. 404b 19 Αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας.

Τουτέστι τοῦ αὐτοενὸς καὶ πρώτως ἑνός. καὶ τοῦ πρώτου μήκους 50
καὶ πλάτους καὶ βάθους. εἴπομεν ἤδη ὅτι τὸ μὲν αὐτοζῷον ἐκ τῆς
30 πρώτης μονάδος καὶ δυάδος καὶ τῶν λοιπῶν, τὰ δὲ μετὰ αὐτὸ κατὰ ἀνα-
λογίαν ⟨ἐκ⟩ δευτέρας καὶ τρίτης. ἡ δὲ δυὰς καὶ τριὰς καὶ τὰ ἐφεξῆς λέγε-
ται καὶ ἐπὶ διωρισμένου ποσοῦ, ὡς ὅταν ἐπ' αὐτῶν τῶν ἀριθμῶν φέρηται,
λέγεται δὲ καὶ ἐπὶ τοῦ συνεχοῦς, ὡς ὅταν ἐπὶ γραμμῆς ἢ ἐπιφανείας θεω-
ρῶμεν ταῦτα. ἐνταῦθα οὖν ὡς ἐπὶ συνεχῶν τὸν λόγον ποιεῖται. ἐπιστῆσαι δὲ

---

1 αὐτὸ R: δι' αὐτὸ Dt 4 καὶ κατὰ D: καὶ om. Rt 5 γενήσονται DR: γεννήσονται t 10 ἀμερὴς A: ἀμερὲς DRt 12 συμπεράσματα AR: συμπέρασμα Dt 14 ὥσπερ ὁδόν τινα] fort. ὡς γὰρ ὁδόν τις 16 δοξάσαι D: δοξάσασα Rt 17 ταύτην R 18 σχεῖν ἥντιναοῦν R: ἔχειν ἥντινα Dt 26 ἔχει om. R 27 ἐξ αὐτῆς τῆς DR Arist. vulg.: ἐκ τῆς t et Arist. U 30 μετὰ τὸ αὐτὸ R 31 ἐκ addidi τὰ ἑξῆς t 32 φέρηται R: φέρεται Dt

τούτῳ χρή, ὅτι ἕκαστον τῶν μεγεθῶν τούτων ἐκάλεσεν ἐξ οὗ τὸ πρὸ c 2ᵛ
αὐτοῦ πλεονεκτεῖ, τὴν μὲν γραμμὴν μῆκος· πλεονεκτεῖ γὰρ τῷ μήκει τὸ σημεῖον· τὴν δὲ ἐπιφάνειαν πλάτος, ἐπειδὴ τούτῳ τὴν γραμμὴν πλεονεκτεῖ, τὸ δὲ στερεὸν βάθος· τούτῳ γὰρ διαφέρει τῆς ἐπιφανείας. ἔχει γὰρ καὶ
5 ἡ ἐπιφάνεια μῆκος καὶ τὸ στερεὸν πλάτος καὶ μῆκος. οὐ μόνον δὲ τὸ συνεχὲς ποσὸν ἐκ τῆς τετράδος συνέστηκεν, ἀλλὰ πολλῷ πρότερον τὸ διωρισμένον· εἰ γὰρ πᾶς μὲν ὁ μετὰ τὴν δεκάδα ἀριθμὸς εἰς αὐτὴν ἀνα- 5
λύεται, ἡ δεκάδος δὲ ἀρχὴ μονάς, δυάς, τριάς, τετράς, ἡ τετρὰς ἄρα καὶ τοῦ συνεχοῦς καὶ τοῦ διωρισμένου ἀρχή ἐστι.

10 p. 404ᵇ21 Τὰ δ' ἄλλα ὁμοιοτρόπως.

Τὰ ἄλλα ἤτοι ⟨τὰ⟩ μετὰ τὸ αὐτοζῷον ὁμοιοτρόπως, τουτέστι κατὰ τὴν αὐτὴν ἀναλογίαν, ἐκ μονάδος καὶ δυάδος καὶ τριάδος καὶ τετράδος, ὡς ἤδη εἴρηται, ἀλλ' οὐ τῆς πρώτης ἐξ ἧς τὸ αὐτοζῷον, ἢ τὰ ἄλλα παρα- 10
δείγματα, οἷον τὸ αὐτοκαλόν, τὸ αὐτοάνθρωπος, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως.
15 γράφεται καὶ τὰς δὲ ἄλλας ὁμοιοτρόπως, καὶ εἴη ἂν τοῦτο ἀκόλουθον τῇ δευτέρᾳ ἐξηγήσει· τὰς ἄλλας γὰρ ἰδέας, τὴν ἀνθρώπου, τὴν ἀγγέλου.

p. 404ᵇ21 Ἔτι δὲ καὶ ἄλλως, νοῦν μὲν τὸ ἕν. ἐπιστήμην δὲ τὰ δύο· μονάχῶς γὰρ ἐφ' ἕν· τὸν δὲ τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν. αἴσθησιν δὲ τὸν τοῦ στερεοῦ.

20 Τουτέστι καὶ κατὰ ἄλλην ἐπιβολὴν ἐκ τῶν αὐτῶν τούτων ἀριθμῶν ποιεῖ τὴν ψυχήν. ἡγούμενος γὰρ τῶν ὄντων τὰ μὲν νοητὰ εἶναι, τὰ δὲ 15
ἐπιστητά, τὰ δὲ δοξαστά, τὰ δὲ αἰσθητά, τὸ μὲν ἓν τῷ νῷ ἀνετίθει, ὅς ἐστι τῶν νοητῶν ἀντιληπτικός· ἀδιαίρετος γὰρ οὗτος καὶ πάντῃ ἑαυτῷ ὅμοιος, ἅμα τῇ πρώτῃ ἐπιβολῇ ἀχρόνως νοῶν τὰ πράγματα· τὰ δὲ δύο
25 τῇ ἐπιστήμῃ· σύνθετος μὲν γὰρ ἡ γνῶσις ἡ ἐπιστημονική, εἴ γε συλλογισμός τίς ἐστιν. μοναχῶς μέντοι γινομένη καὶ οὐ ποικίλως, τουτέστιν οὐκ ἄλλοτε ἄλλως, ἀλλ' ἀεὶ ἀληθὴς καὶ ὡσαύτως ἔχουσα, διὰ μιᾶς ὁδοῦ τῶν προτάσεων ἐφ' ἓν τέλος τὸ συμπέρασμα ἀγομένη. τὸν δὲ τρία ἀριθμὸν 20
τῇ δόξῃ ἀπένειμεν· οὐ γὰρ μοναχῶς ἡ δόξα γίνεται ὥσπερ ἡ ἐπιστήμη·
30 ἔστι γὰρ καὶ ἀληθὴς δόξα καὶ ψευδής, ἐπιστήμη δὲ πᾶσα ἀληθής. πῶς δὲ οἰκεῖος ὁ τρία ἀριθμὸς τῇ δόξῃ, εἴπομεν. τὸν δὲ τέσσαρα τῇ αἰσθήσει διὰ τὴν εἰρημένην αἰτίαν. ἔλεγεν οὖν διὰ τοῦτο ἐκ τούτων τὴν ψυχὴν οὖσαν, μονάδος, δυάδος, τριάδος, τετράδος, γινώσκειν τὰ πάντα διὰ τὴν πρὸς αὐτὰ οἰκειότητα. διὰ τί δὲ εἰπὼν ὅτι τὸ μὲν ἓν νοῦν ἔλεγε, τὰ δὲ

---

4 στερεὸν scripsi: ἕτερον libri 5 μῆκος (post ἐπιφάνεια) scripsi: πλάτος libri
6 post ἀλλὰ add. καὶ t 7 δεκάδα R: δέκα Dt 11 τὰ μετὰ Diels: τὰ om. libri
15 καὶ (ante τὰς) R: δὲ Dt δὲ D: om. Rt 20 ἀριθμῶν R: ἀριθμὸν Dt 22 ὅς DR: ὅστις t 23 ἑαυτῷ R: ἑαυτῶν D: αὐτοῖς t 25 ἡ (ante ἐπιστημονική) om. t
25. 26 συλλογή τις R 30 καὶ (ante ἀληθὴς) om. R

δύο ἐπιστήμην, οὐκέτι εἶπε τὰ δὲ τρία δόξαν, ἀλλ' εἶπε τὸν τοῦ ἐπι- c 2v
πέδου ἀριθμόν; λέγομεν οὖν ὅτι τὸ ἓν καὶ τὰ δύο ἀριθμοὶ οὔκ εἰσι. 25
κατὰ μὲν γὰρ τὸν ὁρισμὸν τοῦ ἀριθμοῦ τὸν λέγοντα ὅτι ἀριθμός ἐστι τὸ
ἐκ μονάδων συναγόμενον πλῆθος δόξειεν εἶναι καὶ ἡ δυὰς ἀριθμός, τῇ δὲ
5 ἀληθείᾳ οὐκ ἔστιν· οὐ γάρ ἐστι πλῆθος μονάδων· τὸ γὰρ πλῆθος πρώτως
ἐπὶ τοῦ τρία. ἄλλως τε πᾶς ἀριθμὸς πολλαπλασιαζόμενος μείζων γίνεται
ἢ συντιθέμενος, οἷον τρία μὲν καὶ τρία ἓξ γίνεται, τρὶς δὲ τὰ τρία ἐννέα,
καὶ οὕτως ἐπὶ πάντων. ἡ δὲ μονὰς ἔμπαλιν πολλαπλασιαζομένη ἥττων
γίνεται ἢ συντιθεμένη· ἓν μὲν γὰρ καὶ ἓν δύο, ἅπαξ δὲ τὸ ἓν ἓν γίνεται· 30
10 καὶ ἡ δυὰς δὲ πολλαπλασιαζομένη καὶ συντιθεμένη ἴση γίνεται· δύο γὰρ
καὶ δύο καὶ δὶς τὰ δύο ἀμφοτέρως τέσσαρα γίνεται. οὐκ ἄρα ἀριθμὸς
οὔτε ἡ μονὰς οὔτε ἡ δυάς· ὥστε πρῶτοι ἀριθμοὶ ἡ τριὰς καὶ ἡ τετράς,
ὁ μὲν τῶν περιττῶν, ὁ δὲ τῶν ἀρτίων· μονὰς δὲ καὶ δυὰς ἀρχαὶ
ἀριθμῶν.

15 p. 404b24 Οἱ μὲν γὰρ ἀριθμοὶ τὰ εἴδη καὶ αἱ ἀρχαὶ τῶν ὄντων
ἐλέγοντο, εἰσὶ δὲ ἐκ τῶν στοιχείων.

Δεῖ μικρὸν ὑπερβιβάσαι τὴν λέξιν, ἵνα γένηται τὸ λεγόμενον σαφέστε- 38
ρον· 'τὰ μὲν γὰρ εἴδη ἀριθμοὶ καὶ ἀρχαὶ τῶν ὄντων ἐλέγοντο, εἰσὶ δὲ ἐκ
τῶν στοιχείων'. τὰ μὲν γὰρ εἴδη ἀριθμοὶ καὶ ἀρχαὶ τῶν ὄντων ἐλέγοντο·
20 δῆλον γὰρ ὅτι οὐκ ἔλεγον τοὺς ἀριθμοὺς τούτους τοὺς παρ' ἡμῖν τὰ εἴδη
τῶν ὄντων, ἀλλὰ τὰ εἴδη ἀριθμοὺς ἔλεγον. κατασκευάζει δὲ διὰ τούτων 40
τὰ εἰρημένα, λέγω δὲ διὰ τί ἐκ μονάδος καὶ δυάδος τριάδος τε καὶ τετρά-
δος ἡ ψυχή. τὰς γὰρ ἰδέας, φησί, τῶν ὄντων καὶ τὰ παραδείγματα
ἀριθμοὺς ἔλεγον· εἰσὶ δὲ οἱ ἀριθμοὶ οὗτοι ἐκ τῶν στοιχείων, μονάδος καὶ
25 δυάδος καὶ τριάδος καὶ τετράδος. εἴπομεν γὰρ ἤδη ὅτι δεκαδικοὺς ἀρι-
θμοὺς ἔλεγον τὰ εἴδη· ἡ δὲ δεκὰς ἐκ τούτων σύγκειται. εἶναι δὲ τὰς
ἰδέας νοητῶν, ἐπιστητῶν, δοξαστῶν, αἰσθητῶν· τοῦτο γὰρ δηλοῖ διὰ τοῦ
εἰπεῖν κρίνεται δὲ τὰ πράγματα τὰ μὲν νῷ, τὰ δὲ ἐπιστήμῃ, τὰ 45
δὲ δόξῃ, τὰ δὲ αἰσθήσει· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον κρίνεται. ὥστε εἰ
30 τὰ εἴδη τῶν πραγμάτων ἐκ μονάδος, δυάδος, τριάδος, τετράδος (στοιχεῖα
γὰρ ταῦτα τῶν ἰδεῶν), ἡ δὲ ψυχὴ γινώσκει πάντα, εἰκότως ἄρα ἐκ τῶν στοι-
χείων τῶν ὄντων ἐποίουν αὐτήν, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον γινώσκῃ. δῆλον δὲ
ἡμῖν ἐκ τῶν εἰρημένων ὅτι οἱ τὰς ἰδέας εἰσάγοντες καὶ ταύτας ἀρχὰς εἶναι
λέγοντες τῶν ὄντων τούτων πάλιν ἑτέρας ἀρχὰς ὑπετίθεντο τὴν μονάδα καὶ
35 δυάδα καὶ τριάδα καὶ τετράδα. διὸ εἰπὼν 'οἱ μὲν γὰρ ἀριθμοὶ τὰ εἴδη τῶν 50
πραγμάτων ἐλέγοντο' ἐπήγαγεν εἰσὶ δὲ ἐκ τῶν στοιχείων. καὶ ἀνωτέρω

---

2 ὅτι R: om. Dt 8 ἥττον t 15 εἴδη καὶ DR et de an. codd. SX: εἴδη αὐτὰ καὶ t et de an. plerique αἱ ἀρχαὶ DR et Arist. E: αἱ om. t et de an. codd. plerique 18 εἰσὶ δὲ — ἐλέγοντο (19) om. D 20 ἔλεγον scripsi: ἔλεγε libri 24. 25 μονάδος, δυάδος, τριάδος καὶ τετράδος R 29 τῷ γὰρ R: τὸ γὰρ Dt ὁμοίῳ τὸ ὅμοιον DR: ὅμοιον τῷ ὁμοίῳ t 31 ἰδεῶν D: εἰδῶν Rt 33 ὅτι R: ὡς ὅτι Dt

μέν φησιν 'αὐτὸ δὲ τὸ ζῷον ἐξ αὐτῆς ⟨τῆς⟩ τοῦ ἑνὸς ἰδέας' καὶ τὰ ἑξῆς· c 2v
τὸ δὲ αὐτοζῷον εἰδός ἐστι καὶ παράδειγμα. εἴδη δὲ οἱ ἀριθμοὶ οὗτοι
τῶν πραγμάτων. ἐπειδὴ ἄνω εἶπε τοὺς ἀριθμοὺς εἴδη εἶναι, ἵνα μὴ
νομίσῃς τοὺς ἐν τῇ συνηθείᾳ ἀριθμοὺς αὐτὸν λέγειν τοὺς ἐν τῇ κάμψει
5 τῶν δακτύλων γινομένους, εἰπὼν ἐφεξῆς ὅτι κρίνεται δὲ τὰ πράγ-
ματα τὰ μὲν νῷ, τὰ δὲ ἐπιστήμῃ, τὰ δὲ | δόξῃ, τὰ δὲ αἰ- c 3r
σθήσει ἐπήγαγεν εἴδη δὲ οἱ ἀριθμοὶ οὗτοι τῶν πραγμάτων.
τούτους φησὶν εἰπὼν τοὺς ἀριθμοὺς τὰ εἴδη νοῦν, ἐπιστήμην, δόξαν,
αἴσθησιν· ὡς γάρ ἐστι τὸ αὐτοζῷον, οὕτως ἐστὶ καὶ αὐτονοῦς καὶ αὐτο-
10 επιστήμη, ὁμοίως καὶ δόξα καὶ αἴσθησις, καὶ εἰσὶ ταῦτα ἰδέαι τῶν πραγ-
μάτων νοητῶν, ἐπιστητῶν, δοξαστῶν, αἰσθητῶν. καὶ ἡ ψυχὴ οὖν ἔχουσα
ἐν αὑτῇ ταῦτα τὰ εἴδη οἷά τέ ἐστι τῶν πραγμάτων ἀντιλαμβάνεσθαι· 5
κρίνεται γὰρ ἕκαστον δηλονότι καὶ γνωρίζεται κατὰ τὸ εἶδος τὸ αὐτοῦ.

p. 404ᵇ27 Ἐπεὶ δὲ κινητικὸν ἐδόκει εἶναι ἡ ψυχὴ καὶ γνωρι-
15 στικόν, οὕτως ἔνιοι συνέπλεξαν ἐξ ἀμφοῖν, ἀποφηνάμενοι τὴν
ψυχὴν ἀριθμὸν κινοῦντα ἑαυτόν.

Εἴπομεν ὅτι τῶν εἰπόντων περὶ ψυχῆς οἱ μὲν εἰς τὸ κινητικὸν αὐτῆς
ἀπέβλεψαν, οἱ δὲ εἰς τὸ γνωστικόν. καὶ ὁ Πλάτων γοῦν ποτὲ μὲν ἀπὸ
τοῦ κινητικοῦ αὐτὴν ὁρίζεται, ὡς ἐν οἷς δείκνυσιν αὐτὴν αὐτοκίνητον· λέ-
20 γει γοῦν ἐν τῷ Φαίδρῳ "ἀθανάτου δὲ πεφασμένου τοῦ ὑφ' ἑαυτοῦ κινου- 10
μένου, ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτον αὐτόν τις λέγων οὐκ αἰσχυνεῖται"·
ὥστε ὁρισμὸν εἶναί φησι ψυχῆς τὸ αὐτοκίνητον· ἄλλοτε δὲ ἀπὸ τοῦ γνω-
στικοῦ ὡς ἐν Τιμαίῳ δι' ὧν ἐκ τῶν ἀρχῶν τῶν ὄντων αὐτὴν συνίστησιν.
οὕτως οὖν τοῦ Πλάτωνος ποτὲ μὲν εἰς τὴν κίνησιν, ποτὲ δὲ εἰς τὴν γνῶ-
25 σιν αὐτῆς ὁρῶντος, Ξενοκράτης ὁ τούτου διάδοχος ἀπ' ἀμφοτέρων ὁρίζε-
ται τὴν ψυχὴν εἰπὼν αὐτὴν ἀριθμὸν εἶναι κινοῦντα ἑαυτόν, διὰ μὲν τὸ
γνωστικὴν εἶναι αὐτὴν τῶν ὄντων ἀριθμὸν εἰπὼν ὡς Πυθαγόρειος (ἀρχὴ 15
γὰρ πάντων ὁ ἀριθμὸς κατ' αὐτούς), διὰ δὲ τὸ κινητικὴν εἶναι τὸ αὐτο-
κίνητον ἀναθεὶς αὐτῇ· ἀρχὴ γὰρ καὶ πηγὴ πάσης κινήσεως κατ' αὐτοὺς
30 τὸ αὐτοκίνητον. καὶ οἱ ἄλλοι δὲ ὧν ἐφεξῆς μνημονεύσει, ἀπ' ἀμφοῖν
ὡρίζοντο τὴν ψυχήν, ὡς δείξει, διὸ καὶ ἔνιοι εἶπε.

p. 404ᵇ30 Διαφέρονται δὲ περὶ τῶν ἀρχῶν τίνες καὶ πόσαι.

Ἐκθέμενος διὰ τῶν προειρημένων τὰς περὶ ψυχῆς δόξας τῶν προ- 22

---

1 αὐτῆς Dt: αὐτοῦ R τῆς addidi 5 κρίνεται DR: διακρίνεται t 7 δὲ οἱ t: om. R: δὲ om. D 12 οἷα] ποῖα R 13 κρίνεσθαι t 14 δὲ καὶ κινητικὸν t et de an. εἶναι ἡ ψυχὴ DR et Arist. W: ψυχῇ εἶναι t et Arist. U: ἡ ψυχὴ εἶναι Arist. vulg. 17 post εἴπομεν add. οὖν R 19 δείκνυσιν scripsi: κίνησιν libri 20 ἐν τῷ Φαίδρῳ] p. 245 E 21 αἰσχυνεῖται Plato: αἰσχύνεται libri 22 ὁρισμὸς D 23 ἐν Τιμαίῳ] p. 35 A sqq. 25 αὐτῆς DR: αὐτὴν t 26 εἶναι om. t 27 πυθαγόρειος DR: πυθαγόρας t: fort. οἱ Πυθαγόρειοι 28 ὁ om. t 32 πόσαι R² t: πόσοι DR¹ 33. p. 82,1 τῶν τε προγενεστέρων t

γενεστέρων, τῶν τε πρὸς τὸ κινητικὸν αὐτῆς ἀποβλεψάντων καὶ τῶν πρὸς c 3r
τὸ γνωστικόν, ἀκολούθως ἐν τούτοις περὶ τῆς διαφορᾶς αὐτῶν τῆς κατὰ
τὰς ἀρχὰς διαλαμβάνει· ἡ γὰρ περὶ τῶν ἀρχῶν διαφορὰ αἰτία αὐτοῖς γέ-
γονε καὶ τῆς περὶ τὴν οὐσίαν τῆς ψυχῆς διαφορᾶς. ἔνθεν γοῦν ἄλλοι 25
5 ἄλλο τι τὴν ψυχὴν ἔφασαν εἶναι, πάντες μέντοι ἐκ τῶν ἀρχῶν, ἃς ὑπέ-
θεντο τῶν ὄντων εἶναι, ἐξαιρέτως δὲ οἱ εἰς τὸ γνωστικὸν αὐτῆς ἀποβλέ-
ψαντες ἐκ τῶν ἀρχῶν αὐτὴν ἔφασαν χωρὶς Ἀναξαγόρου, ὡς ἐφεξῆς ἐρεῖ.
ἐν μὲν οὖν τῇ Φυσικῇ ἀκροάσει ἀκριβῶς ἐπεξῆλθε περὶ τῆς τῶν φυσικῶν
κατὰ τὰς ἀρχὰς διαφορᾶς· μεμνήσεται δ' αὐτῶν καὶ νῦν. δόξειε δ' ἂν
10 ταυτολογεῖν ἀνωτέρω τῶν δοξῶν τούτων ποιησάμενος μνήμην καὶ πάλιν 30
ἐνταῦθα ἀπαριθμούμενος αὐτάς· οὐκ ἔστι δὲ ταυτολογία. ἄνω μὲν γὰρ
ἐκθέσθαι τὰς περὶ ψυχῆς δόξας αὐτῶν ἐβουλήθη, ἐνταῦθα μέντοι τὴν
διαφορὰν αὐτῶν τὴν πρὸς ἀλλήλους περὶ τῶν ἀρχῶν ἐκτίθεται, ᾗ ἐφαρ-
μόζει καὶ τὰς περὶ ψυχῆς αὐτῶν δόξας, ἃς ἤδη προκατέλεξε. διαλαμ-
15 βάνει δὲ τὴν διαφορὰν ἀπό τε τῆς οὐσίας καὶ τοῦ ποιοῦ καὶ ἀπὸ τοῦ ποσοῦ,
ἀπὸ μὲν τῆς οὐσίας καὶ τοῦ ποιοῦ ὅτι οἱ μὲν σωματικὰς οἱ δὲ ἀσωμάτους,
ἀπὸ δὲ τοῦ ποσοῦ ὅτι οἱ μὲν μίαν οἱ δὲ πλείους. σωματικὰς μὲν οὖν τὰς
ἀρχὰς ἐτίθεντο οἱ φυσικοί, Θαλῆς, Δημόκριτος, Ἀναξιμένης Ἀναξίμανδρος, 35
Ἡράκλειτος, ἀσωμάτους δὲ οἱ ἀριθμοὺς λέγοντες ὡς οἱ Πυθαγόρειοι καὶ
20 Ξενοκράτης, δοκεῖ δὲ καὶ ὁ Πλάτων. μικτὰς δὲ ἔλεγον Ἐμπεδοκλῆς μετὰ
τῶν τεσσάρων στοιχείων τὸ νεῖκος εἰσάγων καὶ τὴν φιλίαν ἀσωμάτους
φύσεις καὶ Ἀναξαγόρας μετὰ τῶν ὁμοιομερῶν τὸν νοῦν· ἀσώματον γάρ
φησιν αὐτὸν εἶναι. εἴη δ' ἂν καὶ Δημόκριτος ἐν τούτοις μετὰ τῶν ἀτό-
μων σωμάτων εἰσαγαγὼν καὶ τὸ κενόν. διαφέρονται δέ, φησί, πάντες
25 πρὸς ἀλλήλους καὶ περὶ τοῦ πλήθους καὶ περὶ τῶν ἀρχῶν. οἵ τε σωμα- 40
τικὰς εἰρηκότες πρὸς τοὺς ἀσωμάτους. καὶ πρὸς ἀμφοτέρους τούτους οἱ
μικτὰς εἰρηκότες.

p. 405a3 Ἑπομένως δὲ τούτοις καὶ τὴν ψυχὴν ἀποδιδόασι.

Τουτέστιν ἀκολούθως τῇ περὶ τῶν ἀρχῶν δόξῃ καὶ περὶ ψυχῆς
30 ἐδόξασαν· ἕκαστος γὰρ ἐκ τῶν παρ' ἑαυτῷ ἀρχῶν τὴν ψυχὴν ἐποίησε.
σημαίνει δὲ διὰ τούτων ὅτι οὐ μόνον οἱ πρὸς τὸ γνωστικὸν ἀπιδόντες,
ἀλλὰ καὶ οἱ πρὸς τὸ κινητικὸν εἰκότως τὴν ψυχὴν ἐκ τῶν ἀρχῶν ἐποίουν· 45
διὸ ἐπάγει·

p. 405a4 Τό τε γὰρ κινητικὸν τὴν φύσιν τῶν πρώτων ὑπειλή-
35 φασιν, οὐκ ἀλόγως.

Οὐκ ἀλόγως, φησί, τὸ κατὰ τὴν αὐτοῦ φύσιν κινητικώτατον τοῦτο ἐν

---

1 πρὸς utrumque Diels: περὶ libri 5. 6 ὑπέθεντο R: ὑπέθετο Dt 10 ταυτολογεῖν R: ταὐτὸ λέγειν Dt τούτων DR: τοῦτο t 12 ἠβουλήθη R 13 τὴν scripsi: τῆς libri 20 ἔλεγον DR: ἔλεγεν t 30 παρ' ἑαυτῷ t: παρ' ἑαυτῶν DR

ἀρχῆς ἐτίθεντο λόγῳ· τὸ γὰρ ποιητικὸν καὶ κινητικὸν ἀρχῆς ἔχει λόγον. c 3r
διό τινες ἀρχὴν τῶν ὄντων εἶπον εἶναι τὸ πῦρ· κινητικώτατον γὰρ μάλιστα
τῶν ὄντων καὶ αὐτὸ ἐν ἑαυτῷ τὴν ἀρχὴν ἔχον τῆς ἑαυτοῦ κινήσεως·
οὕτω κινούμενον τὰ ἄλλα κινεῖ. ὅθεν καὶ τῇ τοῦ ἐμφύτου θερμοῦ πρώ- 50
5 τως κινήσει κινεῖται τὸ ζῷον, τοῦ ἐμφύτου θερμοῦ ὑπὸ μηδενὸς ἄλλου
σώματος κινουμένου, ἀλλ' ἐν ἑαυτῷ ἔχοντος τὴν κινοῦσαν αἰτίαν τὴν φύ-
σιν. ὥστε εἰ τὸ κινητικὸν ἐν ταῖς ἀρχαῖς, εἰκότως ἄρα καὶ οἱ τὴν ψυ-
χὴν τὸ κινητικώτατον ὑπολαμβάνοντες εἶναι ἐκ τῶν ἀρχῶν ταύτην ἐποί-
ουν. διό τινες καὶ πῦρ αὐτὴν ὑπέθεντο, ὡς αὐτὸς ἐπήγαγε λέγων·

10 p. 405a5 Ὅθεν ἔδοξέ τισι πῦρ εἶναι· καὶ γὰρ τοῦτο λεπτο-
μερέστατόν τε καὶ μάλιστα τῶν στοιχείων ἀσώ|ματον. c 3

Εἰπὼν ὅτι καὶ οἱ τὴν ψυχὴν κινητικώτατον ὑπολαβόντες εἶναι καὶ
αὐτοὶ ἐκ τῶν ἀρχῶν αὐτὴν ἔλεγον εἰκότως, διότι τὸ τὴν αὐτοῦ φύσιν
κινητικώτατον ἐν τοῖς πρώτοις ἐστὶ καὶ ἐν ταῖς ἀρχαῖς (ἀρχῆς γὰρ τὸ
15 ποιεῖν τε καὶ κινεῖν) ἡ δὲ ψυχὴ τῶν κινητικῶν, ἀκολούθως ἐπήγαγεν ὅτι
διὰ τοῦτο ἔδοξέ τισιν ἡ ψυχὴ πῦρ εἶναι, ὅπερ καὶ ἀρχὴν τῶν ὄντων ἔλεγον 5
εἶναι, ὅτι λεπτομερέστατόν τε καὶ ἀσωματώτατον καὶ διὰ τοῦτο κινητικώ-
τατον καὶ ἑαυτῷ τῆς κινήσεως αἴτιον καὶ τὰ ἄλλα πρώτως κινεῖ. πῦρ δὲ
οὐ τὴν φλόγα φασίν (αὕτη γὰρ ὑπερβολὴ πυρός) ἀλλὰ τὴν ξηρὰν ἀναθυ-
20 μίασιν, ἣν καὶ σεισμοὺς ποιεῖν καὶ ἀνέμους καὶ τὰ ἄλλα ὅσα κινητικώ-
τατα ᾐτιάσατο ἐν τοῖς Μετεώροις ὁ Ἀριστοτέλης. λέγοι δ' ἂν τοὺς πῦρ
τὴν ἀρχὴν ὑπολαβόντας καὶ τὴν ψυχὴν ἐκ πυρὸς Ἡράκλειτόν τε καὶ
Ἵππασον. ἀλλ' Ἡρακλείτου μὲν μετ' ὀλίγον μνημονεύσει καὶ τῆς δόξης 10
αὐτοῦ, νῦν δὲ τὴν Δημοκρίτου δόξαν ἐκθήσεται, ὅτι εἰ καὶ πολλάς, μᾶλλον
25 δὲ ἀπείρους ὑπετίθετο τὰς ἀρχάς, ἀλλ' οὖν καὶ αὐτὸς ἐκ τῶν παρ' αὐτῷ
κινητικωτάτων τὴν ψυχὴν ἐποίει, λέγω δὴ ἐκ τῶν σφαιρικῶν, ὅθεν καὶ
τὸ πῦρ. ἀσώματον δὲ εἶπε τὸ πῦρ, οὐ κυρίως ἀσώματον (οὐδεὶς γὰρ αὐ-
τῶν τοῦτο ἔλεγε), ἀλλ' ὡς ἐν σώμασιν ἀσώματον διὰ λεπτομέρειαν. ἀπο-
ρήσειε δ' ἄν τις πρὸς τὸ ἐκ τῶν ἀρχῶν λέγεσθαι τὴν ψυχὴν ὅτι καί τι
30 πλέον τῶν ἄλλων ἀπένεμον αὐτῇ, εἴ γε καὶ πάντα τὰ ἄλλα ἕκαστός φησιν 15
αὐτὴν εἶναι, εἴ γε κοινὸν τοῦτο πάντων τῶν ⟨ἐκ τῶν⟩ ἀρχῶν ὑφεστηκότων.
εἴποιεν ἂν οὖν ἐκεῖνοι πρὸς τοῦτο ὅτι πρῶτον μὲν αὐτὸ τοῦτο, ἵνα μὴ
ὑπονοηθῇ ἐξ ἄλλων τινῶν οὖσα ἀρχῶν καὶ μὴ ἐκ τῶν κοινῶν, αὐτὸ τοῦτο
εἴπομεν· ἔπειτα τὰ μὲν ἄλλα ἐκ τῆς τῶν ἀρχῶν συνθέσεως ἄλλο τι γέ-
35 γονεν ἢ φύσει κατὰ τοὺς μὴ ἀπαθεῖς λέγοντας εἶναι τὰς ἀρχάς, ἢ δοκήσει
κατὰ τοὺς ἀπαθεῖς καὶ ἀτρέπτους, ἡ μέντοι ψυχὴ αὐτόχρημα μοῖρά τίς

---

1 ἔχει λόγον DR: λόγον ἔχει t 18 ἑαυτῷ τῆς R: post ἑαυτῷ add. τε Dt
19 αὕτη t: αὐτὴ DR 21 ἐν τοῖς Μετεώροις] B. 4. 8. 9 ὁ om. t
λέγει t 22 ὑπολαμβάνοντας R 30 τῶν ἄλλων πλέον t φησιν R: φασιν
Dt 31 αὐτὴν] fort. ὅπερ αὐτὴν ἐκ τῶν addidi 32 οὖν ἂν t
33 ὑπονοηθείη R

ἐστι τῶν ἀρχῶν τὸ διάφορον ἔχουσα πρὸς τὰς ἀρχὰς κατὰ τὴν σχέσιν ἣν c 3v
ἀνείληφε πρὸς τὰ ἀπὸ τῶν ἀρχῶν, λέγω δὴ τὰ ζῷα. ὅθεν ὁ Δημόκριτος 21
τὸ αὐτὸ ἔλεγε πῦρ καὶ ψυχήν, καὶ τῆς διαφορᾶς δηλονότι κατὰ τὴν σχέσιν.
ὡς εἶπον, οὔσης· διὸ καὶ οἱ λοιποὶ οἱ μὲν ὕδωρ, οἱ δὲ ἀέρα ἔλεγον εἶναι
5 τὴν ψυχήν, καίτοι τὰ ἐκ τούτων μὴ οὕτω καλοῦντες, οἷον λίθους, ξύλα
καὶ τὰ λοιπά.

p. 405a8 Δημόκριτος δὲ καὶ γλαφυρωτέρως ἔλεγεν ἀποφηνάμενος. διὰ τί τούτων ἑκάτερον.

Ἐπαινεῖ τὸν Δημόκριτον ὡς πιθανῶς ἀποδόντα τὰς αἰτίας τῶν προ- 28
10 ειρημένων, ταῦτα δέ ἐστι τὸ κινεῖν τε καὶ κινεῖσθαι· εἶπε γὰρ ὅτι τὸ πῦρ.
ἐξ οὗ καὶ τὴν ψυχήν, φασί τινες κινεῖσθαί τε καὶ κινεῖν τὰ ἄλλα πρώτως.
πιθανῶς οὖν ἀποδέδωκε τούτων τὰς αἰτίας ὁ Δημόκριτος, διὰ τί τὸ πῦρ 30
καὶ ἡ ψυχή (ἐκ τῶν αὐτῶν γὰρ ἀρχῶν ἀμφότερα, λέγω δὴ τῶν σφαιρικῶν ἀτόμων) καὶ κινεῖται καὶ κινεῖ. ἐποίησε γάρ, φησί, τὸν νοῦν ἤτοι
15 τὴν ψυχήν (ταὐτὸ γὰρ ἀμφότερα παρ' αὐτῷ) ἐκ τῶν πρώτων σωμάτων,
λέγω δὴ τῶν ἀτόμων, καὶ τούτων οὐ τῶν τυχόντων, ἀλλὰ τῶν σφαιροειδῶν, ἅτινα διὰ δύο αἰτίας κινητικώτατά ἐστι, τῷ τε λεπτομερέστατα εἶναι
καὶ διὰ τοῦτο διαδύνειν διὰ πάντων διὰ μικρομέρειαν ῥᾳδίως καὶ οὕτω κινεῖν κινούμενα αὐτά· ἔτι διὰ τὸ σχῆμα σφαιρικὸν ὂν εὐκίνητα ταῦτα 35
20 ὑπάρχει. ὥστε καὶ τοῦ κινεῖσθαι αὐτὰ καὶ τοῦ κινεῖν τὰ ἄλλα ἀποδέδωκε
τὴν αἰτίαν. ἄξιον δὲ ζητῆσαι διὰ ποίαν αἰτίαν ὁ Δημόκριτος μικρομερεστέρας ἔλεγεν εἶναι τὰς σφαιρικὰς ἀτόμους, ὥστε καὶ διὰ τοῦτο εὐκινήτους εἶναι. ὅτι μὲν γὰρ καὶ εὐκίνητον τὸ σφαιροειδές, δῆλον· δείκνυται γὰρ
ὅτι ἡ σφαῖρα κατὰ σημεῖον ἅπτεται τοῦ ἐπιπέδου· ἅτε οὖν κατὰ σημεῖον
25 ἐφαπτομένη εὐκίνητός ἐστι ῥᾳδίως ἐξολισθαίνουσα· διὰ τί δὲ καὶ μικρομερεῖς αἱ σφαιρικαί, ὡς καὶ ἐκ τούτου τὸ αἴτιον τοῦ κινεῖν αὐτὰς ἀποδίδοσθαι; 40
δοκεῖ γὰρ ἀποκληρωτικώτατος εἶναι ὁ λόγος οὗτος· δυνατὸν γὰρ ἦν καὶ τὰς πυραμοειδεῖς ἢ ἀγκιστροειδεῖς ἢ ἁπλῶς ἄλλας ὁποιασοῦν μικρομερεστέρας εἶναι. φαμὲν οὖν ὅτι δείκνυται ἐν γεωμετρίᾳ ὅτι τῶν εὐθυγράμμων
30 καὶ ἰσοπεριμέτρων σχημάτων τὰ πολυγωνιώτερα τῶν ἐλάττους ἐχόντων γωνίας μεῖζον ἔχουσι τὸ ἐμβαδόν. οἷον ὑποκείσθω τετράγωνον ἔχον ἑκάστην πλευρὰν δύο πήχεων. ὡς εἶναι αὐτοῦ τὴν πᾶσαν περίμετρον πήχεων ὀκτώ, ὑποκείσθω δὲ καὶ ἕτερον ἑξάγωνον ἔχον ἑκάστην πλευρὰν 45
ἑνὸς τρίτου πήχεος, ὡς γίνεσθαι καὶ τούτου τὴν περίμετρον πήχεων
35 ὀκτώ· ὑποκείσθω καὶ ἄλλο ὀκτάγωνον ἑκάστην ἔχον πλευρὰν πήχεος ἑνός. ὡς εἶναι καὶ τούτου τὴν περίμετρον πήχεων ὀκτώ. τούτων οὖν τῶν

---

3 καὶ (ante τῆς) fort. delendum 7 ἔλεγεν DR: εἴρηκεν t Arist. 10 ταυτὸν R
17 τε om. R λεπτωμερέστατα D 19 κινεῖν scripsi: κινεῖ libri ὂν D: om. Rt 20 ὑπάρχων R 22 καὶ διὰ τοῦτο R: διὰ τοῦτο καὶ Dt 26 τὸ κινεῖν R 29 οὖν D: om. Rt 30 πολυγωνιότερα D, ut p. 85,5. 6 sqq.
34 post τρίτου add. καὶ t, fort. recte 34 et 35 πήχεως t

σχημάτων τοῦ τετραγώνου καὶ ἑξαγώνου καὶ ὀκταγώνου ἴσην ἐχόντων τὴν c 3v
περίμετρον (ἕκαστον γὰρ ὀκτὼ πήχεων) μεῖζον μὲν ἕξει ἐμβαδὸν τὸ ὀκτάγωνον, ἔλαττον δὲ τὸ ἑξάγωνον καὶ τούτου ἔλαττον τὸ τετράγωνον. εἰ 50
τοίνυν τὸ πολυγωνιώτερον πολυχωρητότερον, ὁ κύκλος ἄρα πάντων τῶν
5 ἰσοπεριμέτρων σχημάτων πολυχωρητότατον ἕξει τὸ ἐμβαδόν, διότι τὰ πολυγωνιώτερα τῶν σχημάτων ἐγγίζει μᾶλλον τῷ κύκλῳ· ὅσῳ γὰρ γίνονται πολυγωνιώτερα, ἐγγύτερα τοῦ ἀγώνια εἶναι, ἄγωνος δὲ ὁ κύκλος. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν στερεῶν· ὥστε ἡ σφαῖρα τῶν εὐθυγράμμων καὶ ἰσοπεριμέτρων στερεῶν πολυχωρητοτέρα ἔσται. εἰ τοίνυν τοῦτο οὕτως
10 ἔχει, καὶ τῶν ἰσοπεριμέτρων τὰ πολυγωνιώτερα μεῖζον ἔχουσι τὸ ἐμβαδόν, c 4r
καὶ ἐναλλὰξ ἄρα τῶν ἐχόντων τὸ αὐτὸ ἐμβαδὸν σχημάτων τὰ πολυγωνιώτερα ἥττονα τὴν περίμετρον ἔχουσιν. οὐκοῦν καὶ πάντων αἱ σφαῖραι μικροτέραν ἕξουσι τὴν περίμετρον. καλῶς οὖν ὁ Δημόκριτος τῶν ἴσων ἀτόμων τῷ ὄγκῳ τὰς σφαιρικὰς μικρομερεστέρας ὑπετίθετο, καὶ διὰ τοῦτο
15 διὰ παντὸς δύνασθαι διεισδύνειν καὶ τῷ εὐκινήτους εἶναι διὰ τὸ κατὰ σημεῖον ἐφάπτεσθαι τοῦ ἐπιπέδου κινεῖν τὰ ἄλλα. 5

p. 405a13 Ἀναξαγόρας δὲ ἕτερον μὲν ἔοικε λέγειν ψυχήν τε καὶ νοῦν, ὥσπερ εἴπομεν καὶ πρότερον, χρῆσθαι δ' ἀμφοῖν ὡς μιᾷ φύσει.

20 Ἧι μὲν γὰρ ἔλεγεν ὅτι ὁ νοῦς αἴτιός ἐστι τοῦ ὀρθοῦ τε καὶ καλοῦ, ὡς 10
δὴ ἄλλου τινὸς αἰτίου ὄντος τῶν μὴ τοιούτων, ἥτις ἐστὶ τῷ ὄντι ἡ ψυχή, δοκεῖ διακρίνειν τὸν νοῦν τῆς ψυχῆς. ἡ μὲν γὰρ ψυχὴ ἅτε ἐκ συλλογισμῶν γινώσκουσα τὴν τῶν πραγμάτων φύσιν οἷά τέ ἐστι καὶ ἁμαρτάνειν, ὅταν ἐν ταῖς προτάσεσι τὸ μὴ ὂν ὡς ὂν λάβῃ· ὁ μέντοι νοῦς
25 ἁπλαῖς ἐπιβολαῖς τοῖς πράγμασιν ἐπιβάλλων, ὡς αὐτός φησιν, ἢ ἔγνω ἢ οὐκ ἔγνω, καὶ διὰ τοῦτο ἀναμάρτητος· εἰ γὰρ ἁμαρτάνοι, συμβήσεται ἀνόητον εἶναι τὸν νοῦν, ὅπερ ἄλογον. διὰ μὲν οὖν τούτων διακρίνειν δοκεῖ 15
ὁ Ἀναξαγόρας τὸν νοῦν τῆς ψυχῆς· ἐν οἷς δὲ πάλιν ἔλεγεν ὅτι τὸ πᾶν ἐκίνησε νοῦς, καὶ ὅτι ἐν πᾶσιν ὁρᾶται τοῖς ζῴοις καὶ μικροῖς καὶ μεγά-
30 λοις καὶ τιμίοις καὶ ἀτιμοτέροις, τὸν αὐτὸν ἔλεγε τῇ ψυχῇ τὸν νοῦν. ψυχῆς γὰρ τὸ κινεῖν καὶ τὸ ἐν πᾶσιν ὁρᾶσθαι τοῖς ζῴοις, οὐ μέντοι νοῦ. πλὴν ἀρχήν γε τὸν νοῦν τίθεται μάλιστα πάντων. εἰ γὰρ καὶ ὀνομάζει νοῦν Δημόκριτος, ἀλλ' οὖν οὐκ ἐν ἀρχῆς λόγῳ αὐτὸν ἀποτίθεται· ὁ μέντοι Ἀναξαγόρας μάλιστα ἀρχὴν εἶναί φησι τὸν νοῦν ὡς 20

---

6 ὅσον R 7 ἐγγύτερα Diels: ἐγγὺς γὰρ libri 11 ἐμβαδὸν om. R
15 παντὸς[illegible] D 17 δὲ ἕτερον—λέγειν D: μὲν om. R: δ' ἔοικε μὲν ἕτερον λέγειν t ct Arist. 17. 18 νοῦν καὶ ψυχὴν R 18 καὶ (ante πρότερον) om. R
χρῆσθαι DR de an. EX: χρῆται t et de an. codd. plerique 20 ἔλεγεν[illegible] D
ὀρθοῦ Dt: ὅρου R 25 φησιν] cf. Metaph. Θ 10 p. 1051b24 sqq. 28 οἷς δὲ Dt: οἷς καὶ R 31 κινοῦν D νοῦ DR: νοῦς t post νοῦ add. ἢ δὲ πάλιν Dt
32 post τὸν νοῦν rasuram complura verba complectentem habet D

ποιητικὴν δηλονότι. καὶ ἐπαινεῖ γε αὐτὸν κατὰ τοῦτο καὶ ὅτι ἁπλοῦν καὶ c 4r
ἀμιγῆ σώματος αὐτὸν ὑποτίθεται καὶ οὐχ ὥσπερ τὰς ὁμοιομερείας λέγει
μεμῖχθαι πάσας ἐν πᾶσιν, οὕτω καὶ τὸν νοῦν, ἀλλ' ἀμιγῆ καὶ καθαρὸν
καὶ ἁπλοῦν φησιν αὐτὸν εἶναι. ὅθεν καὶ ὁ Ἀριστοτέλης τὰ αὐτὰ καὶ
5 αὐτὸς περὶ τοῦ νοῦ ἀποφαίνεται, καὶ ὅπερ ἐπηγγείλατο τοῦτο καὶ ποιεῖ,
λέγω δὴ τὰ καλῶς εἰρημένα λαμβάνων. φησὶ γοῦν περὶ αὐτοῦ ἀπο-
δίδωσι δὲ ἄμφω τῇ αὐτῇ ἀρχῇ, τό τε γινώσκειν καὶ τὸ κινεῖν,
λέγων νοῦν κινῆσαι τὸ πᾶν· διὰ γὰρ τοῦ εἰπεῖν νοῦν τὴν γνωστικὴν 25
τῇ ἀρχῇ ταύτῃ ἀποδέδωκε δύναμιν, τὴν αὐτὴν δὲ σαφῶς καὶ κινῆσαι τὸ
10 πᾶν φησιν.

p. 405a18 Ἔοικε δὲ καὶ Θαλῆς ἐξ ὧν ἀπομνημονεύουσι κινητικόν τι τὴν ψυχὴν ὑπολαβεῖν.

Δοκεῖ μὴ προσφυῶς τῆς Θαλοῦ δόξης μεμνῆσθαι· προκειμένου γὰρ
τοῦ δεῖξαι ὅτι οἱ ἀποβλέψαντες εἰς τὸ γνωστικὸν τῆς ψυχῆς ἐκ τῶν ἀρ- 30
15 χῶν ἐξ ὧν τὰ πράγματα ὑπετίθεντο εἶναι καὶ αὐτήν φασι, διότι τὸ ὅμοιον
ὑπὸ τοῦ ὁμοίου γινώσκεται, ἱστορῶν τὴν περὶ Θαλοῦ δόξαν οὐδὲν εἶπε
τοιοῦτον οἷον ἐπὶ τῶν ἄλλων, ἀλλ' ὅτι τὴν λίθον τὴν ἕλκουσαν τὸν σίδη-
ρον ἔμψυχον ἔλεγε τῆς ψυχῆς ἰδίαν λέγων τὴν κίνησιν. ἀλλὰ καὶ τῶν
εἰς τὸ κινητικὸν ἀπιδόντων ἱστορῶν τὰς δόξας, ἕκαστον ἔλεγε τὸ κινητικώ-
20 τατον αὐτῷ δόξαν τοῦτο τῆς ψυχῆς εἰπεῖν στοιχεῖον, Δημόκριτον μὲν τὰς
σφαιρικὰς ἀτόμους, τοὺς δὲ Πυθαγορείους τὰ ἐν τῷ ἀέρι ξύσματα, ἄλλον 35
τὸ πῦρ, ἄλλον τὸν ἀέρα· ἐπὶ μέντοι τῆς τοῦ Θαλοῦ δόξης ἀρχὴν τῶν ὄν-
των τὸ ὕδωρ τιθεμένου οὐδὲν τοιοῦτόν φησιν. οὐ γὰρ εἶπε φέρ' εἰπεῖν
ὅτι Θαλῆς τὸ ὕδωρ ψυχὴν τίθεται καὶ διὰ τοῦτο ἕλκειν φησὶ τὸν σίδη-
25 ρον τὴν λίθον ὡς ἔμψυχον καὶ διὰ τοῦτο ἐξ ὕδατος οὖσαν. ταὐτὸ οὖν
οὐκ εἶπεν, ἀλλ' ὅτι μόνον ἔμψυχον ἔλεγε τὴν λίθον. τίνος ἕνεκα; ἢ ὅτι
οὐκ ἐφέροντο αὐτοῦ συγγράμματα ἀλλ' ἀπομνημονεύματα, καὶ διὰ τοῦτο
ἔφυγε τὸ φορτικὸν τοῦ λόγου ἀγράφως κατηγορῆσαι τοῦ ἀνδρός, ἢ ὅτι
καὶ αἰδῶ τινα τῷ ἀνδρὶ ἀπένειμε διὰ τὸ πολλὰ αὐτοῦ ἀξιόλογα δόγματα 40
30 ἀπομνημονεύεσθαι. φασὶ γὰρ ὅτι ἔλεγεν ὡς ἡ πρόνοια μέχρι τῶν ἐσχάτων διήκει καὶ οὐδὲν αὐτὴν λανθάνει, οὐδὲ τὸ ἐλάχιστον. διὰ ταῦτα τούτου μὲν οὐ λέγει εἶναι τὴν δόξαν ταύτην ὅτι ἐξ ὕδατος ἡ ψυχή, ἀλλὰ τοσοῦτον μόνον ὅτι καὶ αὐτὸς τὴν κίνησιν τῇ ψυχῇ ἀπένειμεν. ἐφεξῆς δὲ Ἱππωνά φησι τοῦτο δοξάσαι ὅτι ἐξ ὕδατος ἡ ψυχή· καὶ γὰρ τῶν πάντων
35 ἀρχὴν καὶ αὐτὸς ἔλεγε τὸ ὕδωρ.

---

1 δηλονότι Rt: δῆλον D 5 ἐπηγγείλατο] c. 2 p. 403b23 καὶ ποιεῖ Dt: καὶ om. R 7 τὸ (ante κινεῖν) om. t 8 λέγων νοῦν t: λέγων οὖν R: λέγω νοῦν ex λέγων οὖν D¹ 12 ὑπολαμβάνειν t (ut Arist. codd. complures) 20 δημοκρίτου t 22 τοῦ θαλοῦ DR: τοῦ om. t 30 γὰρ om. R

p. 405a21 Διογένης δ' ὥσπερ καὶ ἕτεροί τινες ἀέρα. c 4r

Διογένης ὁ Ἀπολλωνιάτης καὶ Ἀναξιμένης ἀρχὴν τῶν ὄντων τὸν 48
ἀέρα λέγοντες, ἐκ τούτου καὶ τὴν ψυχὴν ἔλεγον, καὶ γινώσκειν μὲν πάντα
τὴν ψυχὴν ὡς ἔχουσαν τὴν τῶν πάντων ἀρχήν, κινητικωτάτην δὲ εἶναι
5 διὰ λεπτομέρειαν. εἴρηται γὰρ ὅτι δεῖ τὸ κινοῦν λεπτομερέστατον εἶναι, 50
ὥστε διαδύνειν δι' ὅλου τοῦ κινουμένου, ἵνα καὶ ὅλον κινῇ· λεπτομερὴς
δὲ ὁ ἀήρ.

p. 405a25 Καὶ Ἡράκλειτος δὲ τὴν ἀρχὴν εἶναί φησι ψυχήν, εἴπερ τὴν ἀναθυμίασιν, ἐξ ἧς τὰ ἄλλα συνίστησι.

10 Εἴρηται πολλάκις ὅτι ἀρχὴν ἔλεγεν εἶναι τῶν ὄντων οὗτος τὸ πῦρ,
πῦρ δὲ οὐ τὴν φλόγα· ὡς γὰρ Ἀρι|στοτέλης φησίν, ἡ φλὸξ ὑπερβολή ἐστι c 4v
πυρός· ἀλλὰ πῦρ ἔλεγε τὴν ξηρὰν ἀναθυμίασιν· ἐκ ταύτης οὖν εἶναι καὶ
τὴν ψυχὴν ὡς εὐκινήτου καὶ λεπτομερεστάτης. ἐπεὶ γὰρ τὰ ὄντα ἐν
συνεχεῖ κινήσει ἔλεγεν εἶναι καὶ ἀνῄρει τὴν στάσιν ἐκ τῶν ὄντων, ὥσπερ
15 καὶ Πρωταγόρας καὶ ἄλλοι πολλοί, τὸ δὲ γινώσκειν καὶ τὸ κινεῖν ἴδιον
ψυχῆς ἔλεγεν εἶναι, διὰ τοῦτο ἐκ τῆς ἀναθυμιάσεως αὐτὴν ἔλεγεν· τῶν
γὰρ πραγμάτων ἐν κινήσει ὄντων δεῖν καὶ τὸ γινῶσκον τὰ πράγματα ἐν 5
κινήσει εἶναι, ἵνα συμπαραθέον αὐτοῖς ἐφάπτηται καὶ ἐφαρμόζῃ αὐτοῖς· τὸ
γὰρ ἑστὸς πῶς ἂν γνοίη τὸ κινούμενον; ὅθεν τὴν μὲν γνῶσιν τῆς ψυχῆς
20 ἐδίδου τῷ τε ἐκ τῆς ἀρχῆς εἶναι τῶν πάντων, λέγω δὲ τῆς ἀναθυμιάσεως,
καὶ τῷ ἐκ τοῦ κινητικωτάτου εἶναι· κινουμένῳ γὰρ τὸ κινούμενον γινώ-
σκεσθαι· κινεῖν δὲ αὐτὴν ἔλεγε διὰ τὴν λεπτομέρειαν τῆς ἀναθυμιάσεως
καὶ τὸ ὡς ἐν σώμασιν ἀσώματον. δεῖ γὰρ τὸ κινῆσον, ὡς εἴπομεν πολλά-
κις, λεπτομερὲς εἶναι, ἵνα διαδύνῃ δι' ὅλου τοῦ κινουμένου· λεπτομερὴς 10
25 δὲ ἡ ἀναθυμίασις καὶ ἀεικίνητος καὶ τῆς ἄλλης κινήσεως αἰτία, διὸ καὶ
τοὺς σεισμοὺς ἐκ ταύτης ὁ Ἀριστοτέλης ἔδειξε γενέσθαι καὶ τὰς ἄλλας
κινήσεις.

p. 405a27 Τὸ δὲ κινούμενον κινουμένῳ γινώσκεσθαι· ἐν κινήσει δὲ εἶναι τὰ ὄντα κἀκεῖνος ᾤετο καὶ οἱ πολλοί.

30 Δεῖ ὑπερβιβάσαι τὴν λέξιν, ἵνα σαφέστερον γένηται τὸ λεγόμενον,
οὕτως· ἐν κινήσει δὲ εἶναι τὰ ὄντα κἀκεῖνος ᾤετο καὶ οἱ πολλοί, τὸ δὲ 15
κινούμενον κινουμένῳ γινώσκεσθαι. ἐπεὶ γὰρ ἐν κινήσει τὰ ὄντα ὑπελάμ-
βανον εἶναι, διὰ τοῦτο ἐκ τοῦ κινητικωτάτου τὴν ψυχὴν ἔλεγον· δεῖ γὰρ

---

5 λεπτομερέστερον R 6 λεπτομερὴς DR: λεπτομερὲς t 8 δὲ DR Arist.: om. t φησι τὴν ψυχὴν t (ut Arist. UW) 11 φησίν] cf. de gen. et corr. B 4 p. 331b25 13 εὐκινήτου DR: κινήτου t 15 γινῶσκον καὶ τὸ κινοῦν t ἴδιον Dt: ἀίδιον R 19 ἑστὼς libri 26 ἔδειξε] Meteorol. B 4. 8. 9

τὸ κινούμενον κινουμένῳ γινώσκεσθαι· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον. ὅτι δ' c 4v
οὐκ ἀνῄρηται ἐκ τῶν ὄντων ἡ στάσις, ⟨ὡς⟩ οὗτοι ὑπελάμβανον, δείκνυσι
καὶ ἐν τῷ Θεαιτήτῳ καὶ πολλαχοῦ ὁ Πλάτων καὶ ὁ Ἀριστοτέλης καὶ
ἐν τῇ Περὶ οὐρανοῦ καὶ ἐν τοῖς Μετὰ τὰ φυσικά. εἰ γὰρ μὴ εἴη, φασί,
5 στάσις ἐν τῷ παντί, ἀδύνατον ἀεὶ κίνησιν εἶναι· αὐτὸ γὰρ τοῦτο τὸ ἀεὶ 20
κινεῖσθαι μονή τίς ἐστι καὶ στάσις· εἰ δὲ ἀναιρεθείη ἡ στάσις, συναναι-
ρεθήσεται καὶ ἡ κίνησις· εἰ γὰρ μὴ στάσιν σχοίη ἐν τῇ κινήσει τὸ κινού-
μενον, οὐ κινηθήσεται δηλονότι.

p. 405a29 Παραπλησίως δὲ τούτοις καὶ Ἀλκμαίων ἔοικεν ὑπο-
10 λαβεῖν περὶ ψυχῆς.

Καὶ οὗτος Πυθαγόρειος ὢν εἰς τὸ κινητικώτατον τῆς ψυχῆς ἀποβλέ- 25
ψας ἐκ τοῦ οὐρανίου σώματος αὐτὴν ἔλεγεν εἶναι καὶ διὰ τοῦτο ἀθάνατον
(ἀεικίνητον γὰρ ὥσπερ κἀκεῖνα), αὐτόθεν συλλαμβάνων ὅτι τὰ οὐράνια
ἀθάνατα. ὅθεν οὖν οὗτος τὸ γνωστικὸν ἐδίδου τῇ ψυχῇ, εἰ μὲν καὶ ἄλλας
15 αἰτίας τινὰς ἀπεδίδου τῆς γνώσεως αὐτῆς, οὐκ ἐμὸν λέγειν· οὔτε γὰρ τὰ
συγγράμματα τῶν ἀνδρῶν τούτων πρόχειρα ἡμῖν εἰσιν οὔτε ὁ Ἀριστο-
τέλης πλέον τι τούτων ἱστόρησε. λέγω οὖν ὅτι οὐ πάντως πάντες καὶ
τῆς κινήσεως καὶ τῆς γνώσεως αὐτῆς λόγον δεδώκασιν, ἀλλ' οἱ μὲν 30
ἀμφοτέρων, οἱ δὲ τοῦ ἑτέρου· ὥστε οὐ δεῖ ἡμᾶς ἐπὶ πάντων ἀμφότερα
20 ζητεῖν.

p. 405b1 Τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ τινὲς ἀπεφήναντο,
καθάπερ Ἵππων.

Οὗτος ἄθεος ἐπεκέκλητο δι' αὐτὸ τοῦτο, ὅτι τὴν τῶν πάντων αἰτίαν 35
οὐδενὶ ἄλλῳ ἢ τῷ ὕδατι ἀπεδίδου. φορτικὴν δ' εἶπε τὴν δόξαν ταύτην
25 μάλιστα μὲν ὡς ὄχλον μόνον παρέχουσαν τοῖς ἀκροαταῖς, ἔπειτα ὡς ὑλω-
δεστέραν καὶ κάτω ἐν τῇ ὕλῃ τὴν ψυχὴν κατάγουσαν, καὶ ὅτι οὔτε
εὐκίνητον οὔτε κινητικὸν ὁμοίως τὸ ὕδωρ καὶ παθητικὸν μᾶλλον ἢ ποιητι-
κόν (τὸ γὰρ ὑγρὸν ἐν ᾧ τὸ ὕδωρ ἔχει τὸ εἶναι παθητικόν), τῇ δὲ ψυχῇ
τὸ ποιεῖν μᾶλλον ἢ τὸ πάσχειν προσήκει. ἐνόμισε δέ, φησίν, οὗτος τὴν
30 ψυχὴν ὕδωρ εἶναι διὰ τὸ τὴν γονὴν πάντων ὑγρὰν εἶναι· καὶ γὰρ τῶν 40
καρπῶν τὰ σπέρματα ὑγρὰ πρῶτον γίνεται. καὶ ἀντέλεγε, φησί, τοῖς αἷ-
μα λέγουσιν εἶναι τὴν ψυχὴν λέγων ὅτι ἡ γονή, ἐξ ἧς τὸ εἶναι καὶ τὸ ζῆν
τοῖς ἐμψύχοις, ὕδωρ ἐστὶ καὶ οὐχ αἷμα. καίτοι εἰ ἁπλῶς τὸ ὑγρὸν ψυχὴ
ἦν, ἔδει πᾶν ὑγρὸν ψυχὴν εἶναι. καὶ ἡ γονὴ δὲ οὐχ ᾗ ὑγρὸν ἔμψυχόν

---

2 ὡς addendum vidit Diels 3 ἐν τῷ Θεαιτήτῳ — ἐν τοῖς Μετὰ τὰ φυσικά (4)] quos locos spectet, incertum est, sed cf. Soph. p. 249 B sqq. Theaet. p. 180 D sqq. de cael. A 3. 9 B 6, Metaph. Λ 6 14 ὅθεν corr. ex πόθεν D¹: πόθεν Rt 15 γνώσεως Dt: ἑνώσεως R 16 τῶν ἀνδρῶν τούτων Dt: αὐτῶν τούτων τῶν ἀνδρῶν R εἰσιν D: ἐστιν Rt 23 ἐπεκέκλητο D: ἀπεκέκλητο Rt ἁπάντων t 30 ὕδωρ ὑπάρχειν διὰ R

ἐστιν· ἀμέλει ἐὰν διαπνευσθῇ, ὑγρὸν μὲν ἔτι ἔσται, ἄζων δὲ καὶ νεκρόν. c 4v
καὶ οὐ τοῦτο μόνον· καὶ γὰρ πολλὰ ὑγρὰ ἔχοντα ἔμψυτον θερμότητα οὐκ
ἤδη καὶ ἔμψυχά ἐστιν, ἀλλὰ δεῖ καὶ τῶν φυσικῶν λόγων. πρώτην δὲ 45
ψυχὴν λέγει τὴν γονὴν οἱονεὶ σπέρμα ψυχῆς καὶ ἀρχὴν ψυχῆς· ὡς γὰρ
5 ἀρχή ἐστι τοῦ ἀνθρωπείου σώματος, οὕτω κατ' ἐκεῖνον ψυχῆς ἐστιν ἀρχή.

p. 405b 5 Ἕτεροι δ' αἷμα, καθάπερ καὶ Κριτίας, τὸ αἰσθάνεσθαι ψυχῆς οἰκειότατον ὑπολαμβάνοντες.

Κριτίαν εἴτε τὸν ἕνα τῶν τριάκοντα, ὃς καὶ Σωκράτους ἠκροάσατο, 50
ἢ καὶ ἄλλον τινὰ λέγει, οὐδὲν διαφερόμεθα. φασὶ δὲ καὶ ἄλλον Κριτίαν
10 γεγονέναι σοφιστήν, οὗ καὶ τὰ φερόμενα συγγράμματα εἶναι, ὡς Ἀλέξαν-
δρος λέγει· τὸν γὰρ τῶν τριάκοντα μηδὲ γεγραφέναι ἄλλο τι, πλὴν πολι-
τείας ἐμμέτρους. οὗτος οὖν τὴν ψυχὴν ἔλεγεν αἷμα εἶναι· "αἷμα γάρ",
φησίν, "ἀνθρώποις περικάρδιόν ἐστι νόημα"· τοῦτο δὲ ἐπειδὴ τὴν ψυχὴν
τῷ αἰσθάνεσθαι ἐχαρακτήριζεν, ἀναίσθητα δὲ τὰ ἄναιμα τῶν μορίων,
15 τρίχες, ὀστᾶ, ὄνυχες καὶ τὰ τοιαῦτα· ὥστε τῆς αἰ|σθήσεως αἴτιον τὸ c 5r
αἷμα. ἡ δὲ αἴσθησις ψυχῆς ἴδιον· οὐκοῦν τὸ αἷμα ψυχή, καὶ τοῦ ἰατρικοῦ
λόγου δεικνύντος τὰ νεῦρα ἢ μόνα ἢ μάλιστα αἰσθητικά, καὶ ταῦτα οὐ
πάντα ἀλλὰ τινά. ἔτι δὲ εἰ τὸ αἷμα ψυχή, τὰ ἄναιμα ἄρα τῶν ζῴων
ἄψυχα· ἄναιμα δὲ πάντα τὰ ἔντομα, μυῖαι, μύρμηκες καὶ εἴ τι ὅμοιον,
20 ἅπερ ὅτι καὶ αἰσθήσεως μετέχει προφανές. οὔτε τοῦ αἰσθάνεσθαι ἄρα
αἴτιον τὸ αἷμα καὶ διὰ τοῦτο οὔτε ψυχὴ τὸ αἷμα, εἴ γε καὶ τὰ ἄναιμα 5
τῶν ζῴων καὶ ἔμψυχα καὶ αἰσθητικά.

p. 405b 8 Πάντα γὰρ τὰ στοιχεῖα κριτὴν εἴληφε, πλὴν τῆς γῆς.

Κριτὴν ἀντὶ τοῦ προστάτην τὸν κρίνοντα καὶ τιθέμενον ἕκαστον αὐτῶν
25 ἀρχὴν εἶναι. τὴν δὲ γῆν μόνην οὐδεὶς εἶπε ψυχὴν εἶναι, διότι οὐδὲ ἀρχὴν
τῶν πραγμάτων τὴν γῆν μόνην οὐδεὶς ὑπέθετο πλήν, φησί, τῶν εἰρηκότων
πάντα εἶναι τὰ στοιχεῖα ἀρχήν, ὥσπερ Ἐμπεδοκλῆς· οὗτος γὰρ καὶ τὴν
γῆν ψυχὴν ἔλεγεν. ἢ μᾶλλον πιθανώτερον τὸ λέγειν ὅτι τὴν σύνθεσιν τῶν 10
στοιχείων ψυχὴν ἔλεγεν. ἀλλὰ ἀντιπίπτει ἡμῖν τὸ ἀνωτέρω εἰρημένον ὅτι
30 ἔλεγεν εἶναι καὶ ἕκαστον τούτων ψυχήν· εἰ μὴ ψυχὴν τὴν ψυχικὴν δύνα-
μιν ἐκληψόμεθα, ἐπεὶ καὶ ἡμεῖς πολλάκις τὰς δυνάμεις τῆς ψυχῆς ψυχὰς
καλοῦμεν· λέγομεν γὰρ ἔχειν τὸν ἄνθρωπον φυτικὴν ψυχὴν καὶ ἄλογον.
ἀντιπίπτει πάσαις σχεδὸν ταῖς ἀπηριθμημέναις δόξαις ταῖς ἐκ πλειόνων

---

1 ἔσται R: ἔστι Dt 4 ψυχὴν R: τὴν ψυχὴν Dt 6 καθάπερ καὶ DR: καὶ om. t Arist.
7 ψυχῆς DR et Arist. vulg.: τῆς ψυχῆς t et Arist. Uy 8 ante Κριτίαν ex Arist. add.
τοῦτο δὲ ὑπάρχει (sic) διὰ τὴν τοῦ αἵματος φύσιν Dt: om. R 9 οὐδὲν DR: οὐδὲν γὰρ t
φασὶ Dt: φησὶ R 14 τῷ R: τὸ Dt 16 ψυχή DR: ψυχήν t καὶ] fort. καίτοι
21 αἴτιον om. D fort. οὐδὲ ψυχὴ ψυχὴ Dt: ψυχρὸν R 22 καὶ (post ζῴων)
om. R 25 μόνην—τὴν γῆν (26) iterat R 29 ἀνοτέρῳ t 30 τοῦτον t

λεγούσαις τὴν ψυχὴν ταὐτὸν λέγειν ψυχὴν καὶ σῶμα, ἐπεὶ καὶ ἐκ τῶν c 5r
αὐτῶν ἀρχῶν ἀμφότερα. τί οὖν μᾶλλον ἡ ψυχὴ σῶμα ἢ τὸ σῶμα ψυχή; 15
ἔστιν οὖν ἀπολογήσασθαι ὑπὲρ τῶν πλειόνων ὅτι εἰ καὶ τὰς αὐτὰς ἀρχὰς
ἔλεγον ψυχῆς καὶ σώματος, ἀλλ' οὐχ ὁμοίως ἐχούσας· τῇ γὰρ τοιᾷδε
5 συγκρίσει καὶ διακρίσει τῶν ἀρχῶν καὶ τὰς ψυχὰς γίνεσθαι καὶ τὰς διαφορὰς τῶν σωμάτων, ὥσπερ καὶ ἡμεῖς τῇ διαφόρῳ τῶν στοιχείων κράσει τὰ διάφορα σώματα, ἀλλὰ καὶ τὰς διαφορὰς τῶν μετάλλων ἐκ τῆς διαφόρου τῶν ἀναθυμιάσεων συγκρίσεως. ἐν μέντοι τῇ Περὶ γενέσεως καὶ φθορᾶς ἤλεγξε τὴν δόξαν ταύτην ὁ Ἀριστοτέλης ⟨τὴν⟩ λέγουσαν συγκρίσει 20
10 καὶ διακρίσει τῶν στοιχείων τὴν γένεσιν καὶ τὴν φθορὰν γίνεσθαι.

p. 405b9 Πλὴν εἴ τις αὐτὴν εἴρηκεν ἐκ πάντων εἶναι τῶν στοιχείων ἢ πάντα.

Ἐπειδὴ τὸ ἐκ πάντων σημαίνει καὶ τὰ κατὰ κρᾶσιν γινόμενα, εἴδους τινὸς ἔξωθεν ἐπιγινομένου τῇ κράσει, ὥσπερ τὸ τῆς σαρκὸς εἶδος τῇ κράσει
15 τῶν τεσσάρων στοιχείων, οἱ δὲ ἐκ πάντων λέγοντες οὐκ ἔλεγον οὕτως 25
ὥσπερ καὶ ἡμεῖς φαμεν, ἀλλὰ ψιλὴν τὴν σύνθεσιν τῶν στοιχείων ἔλεγον τὴν ψυχήν, διὰ τοῦτο εἰπὼν ἐκ πάντων, προσέθηκεν ἢ πάντα.

p. 405b10 Ὁρίζονται δὲ πάντες τὴν ψυχὴν τρισὶν ὡς εἰπεῖν, κινήσει, αἰσθήσει, τῷ ἀσωμάτῳ.

20 Ταῦτα ὥσπερ ἀνακεφαλαίωσίς ἐστι τῶν εἰρημένων. ὁρίζονται δὲ οἷον περιγράφουσι καὶ χαρακτηρίζουσι. πρότερον δ' εἰπὼν κινήσει καὶ 30
αἰσθήσει γνωρίζεσθαι τὴν ψυχήν, νῦν προσέθηκε καὶ τῷ ἀσωμάτῳ, ὡς ἐκ τῶν ἀπηριθμημένων δοξῶν καὶ τοῦτο ἀνακύψαν καὶ εὑρεθέν· τῷ γὰρ εὐκινήτῳ καὶ ἀεικινήτῳ συνέπεται τὸ ἀσώματον· ἀσώματον δὲ οὐ τὸ κυρίως
25 λέγει νῦν, ἀλλὰ τὸ λεπτομερέστατον. πάντα δέ, φησί, ταῦτα, ἡ κίνησις, ἡ αἴσθησις, τὸ ἀσώματον πρὸς τὰς ἀρχὰς ἀνάγεται· τουτέστι τοιαύτην φασὶν αὐτὴν εἶναι, ἐπειδὴ ἐκ τοιούτων ἀρχῶν. τὸ δὲ ὁρίζονται πάντες 35
οὐχ ὡς πάντων τὰ τρία περὶ ψυχῆς διοριζομένων (διὸ προσέθηκεν ὡς εἰπεῖν), ἀλλὰ τινὲς μὲν πάντα αὐτῇ ἀποδεδώκασι, τινὲς δὲ ἔνια, ὡς ἐκ
30 τῶν εἰρημένων περὶ τῶν δοξῶν ἔστιν εὑρεῖν.

---

1 λεγούσαις ex λέγουσι corr. D¹ ψυχὴν (ante καὶ) R: ψυχὴ Dt 2 post ἀμφότερα add. ἐστὶ R 3 τὰς αὐτὰς Dt: τοσαύτας R 7 μετάλλων Rt: μεγάλων D 8. 9 ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς] A 2 9 ὁ om. D τὴν addidi λέγουσαν Rt: λέγων οὖσαν D 16 ψιλὴν DR: ψυχὴν t 17 post εἰπὼν et προσέθηκεν add. τὸ R 20. 21 δὲ οἷον D: post δὲ add. καὶ Rt 21 δ' R: om. Dt

p. 405b12 Διὸ καὶ οἱ τῷ γινώσκειν ὁριζόμενοι αὐτὴν στοι- c 5r
χεῖον ἢ ἐκ τῶν στοιχείων ποιοῦσι, λέγοντες παραπλησίως
πλὴν ἑνός.

Ὅτι πάντες τὰ τρία ταῦτα, ἅπερ φασὶ τῇ ψυχῇ ὑπάρχειν, ἐπὶ τὰς
5 ἀρχὰς ἀνάγουσιν. οἱ γοῦν, φησί, πρὸς τὸ γνωστικὸν αὐτῆς ἀποβλέψαντες,
ἐπειδὴ τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται, ἐκ τῶν παρ' ἑαυτοῖς ἀρχῶν
ἕκαστος αὐτὴν ἀπεφήνατο, οἱ μὲν πλείους εἰρηκότες ἐκ πλειόνων, οἱ δὲ μίαν 45
ἐκ μιᾶς. ἐπειδὴ γὰρ πάντων ἐστὶ γνωστική, δεῖν ἐνόμισαν τὰς ἀρχὰς
πάντων ἔχειν ἐν ἑαυτῇ. μόνος δέ, φησίν, Ἀναξαγόρας οὐ τὴν αὐτὴν
10 τούτοις ἐβάδισε· πάντων γὰρ σωματικὰς ἀρχὰς αὐτῇ δεδωκότων διὰ τὴν
γνῶσιν, ἐκεῖνος τὸν νοῦν ψυχὴν εἶναι λέγων, ἐπειδὴ ἔργον μὲν ψυχῆς τὸ
κινεῖν, τὸν δὲ νοῦν ἔλεγε κινεῖν τὸ πᾶν, ὥστε τὸν νοῦν ψυχὴν ἔλεγε, τοῦ-
τον τὸν νοῦν καθαρὸν ἔλεγε καὶ ἀμιγῆ καὶ ἀπαθῆ, τουτέστιν ἀσώματον.
τὰς γὰρ ὁμοιομερείας λέγων ἀρχὰς τῶν ὄντων, ταύτας δὲ μεμῖχθαι ἐν 50
15 ἀλλήλοις, τὸν νοῦν ἔλεγε τούτων ἀμιγῆ εἶναι καὶ καθαρόν, ὡς ἕτερον αὐ-
τῶν ἔλεγε τῶν ἀρχῶν ἐξ ὧν τὰ πάντα, τὴν ἐναντίαν πᾶσι φερόμενος.
ὅθεν ἀποδέχεται αὐτὸν Ἀριστοτέλης ὡς ἀσώματον εἰρηκότα τὴν ψυχήν, οὐ
μὴν κατορθῶσαί φησι τὸν περὶ ψυχῆς λόγον· ἀμιγὴς γὰρ ὢν καὶ ἀκοι-
νώνητος καὶ μηδεμίαν σχέσιν ἔχων πρὸς τὰς ἀρχὰς ἐξ ὧν τὰ πάντα πῶς
20 γνώσεται τὰ πάντα, φησίν, ἄδηλον. οὔτε γὰρ αὐτὸς Ἀναξαγόρας τοῦτο
ἡμῖν παρέστησεν οὔτε ἐκ τῶν | αὐτοῦ λόγων ἔστι τοῦτο συλλογίσασθαι. c 5v
πάντων οὖν τῶν μὲν σωματικὰς ἀρχὰς τῆς ψυχῆς ὑποθεμένων, τῶν δὲ
μόνον ἀσωμάτους, οὐδέτερος τῶν λόγων κατωρθωμένος ἐστίν, ἀλλ' ἑκάτερος
μέρος τι τοῦ ἀληθοῦς εἴρηκε. τὴν μὲν γὰρ οὐσίαν δεῖ εἶναι ἀσώματον,
25 εἴπερ κρεῖττον δεῖ εἶναι τὸ γινῶσκον τοῦ μὴ γινώσκοντος, τῶν μέντοι σω-
μάτων τὰς ἀρχὰς δεῖ εἶναι ἐν τῇ ἀσωμάτῳ ταύτῃ οὐσίᾳ, οὐ τὰς ὑλικὰς
ἀλλὰ τοὺς λόγους αὐτῶν. οὔτε ἐκ τῶν εἰρημένων ἐμφανές. ἐν πολ- 5
λοῖς γὰρ διαρρήδην μὲν πολλάκις οὐκ εἴρηταί τι τοῖς παλαιοῖς, ἐκ τῶν
εἰρημένων δὲ ἔστι συλλογίσασθαι, ὥσπερ ὅτι τὸν νοῦν ταὐτὸν τῇ ψυχῇ
30 λέγει Δημόκριτος καὶ Ἀναξαγόρας συνελογίσατο.

p. 405b23 Ὅσοι δ' ἐναντιώσεις ποιοῦσιν ἐν ταῖς ἀρχαῖς, καὶ
τὴν ψυχὴν ἐκ τῶν ἐναντίων συνιστᾶσιν.

Τοιοῦτος ἦν Ἐμπεδοκλῆς· τὰ γὰρ τέσσαρα στοιχεῖα, ἐξ ὧν τὴν
ψυχήν φησιν εἶναι, ἐξ ἐναντίων ποιοτήτων σύγκεινται, ἔτι δὲ τὸ νεῖκος
35 καὶ ἡ φιλία. οἱ δὲ θάτερον τῶν ἐναντίων, οἷον θερμὸν ἢ ψυχρὸν

---

1 τὸ γινώσκειν t 1. 2 στοιχεῖον DR et Arist. SX: ἢ στοιχεῖον t et de an. plerique
2 post παραπλησίως add. ἀλλήλοις t Arist. 4 πάντες DR: πάντα t 15. 16 αὐτῶν] fort. αὐτὸν 27 ἐμφανές DRt: συμφανές Arist. 34. 35 δὲ νεῖκος καὶ φιλία R

ἤ τι τοιοῦτον ἄλλο, καὶ τὴν ψυχὴν ὁμοίως ἕν τι τούτων τίθενται. c 5v
θάτερον τῶν ἐναντίων τίθεται Ἵππων καὶ Ἡράκλειτος, ὁ μὲν τὸ θερμόν· πῦρ 16
γὰρ τὴν ἀρχὴν εἶναι· ὁ δὲ τὸ ψυχρόν, ὕδωρ τιθέμενος τὴν ἀρχήν. ἑκάτερος
οὖν τούτων, φησί, καὶ ἐτυμολογεῖν ἐπιχειρεῖ τὸ τῆς ψυχῆς ὄνομα πρὸς
5 τὴν οἰκείαν δόξαν. ὁ μὲν λέγων διὰ τοῦτο ζῆν λέγεσθαι τὰ ἔμψυχα παρὰ
τὸ ζεῖν, τοῦτο δὲ τοῦ θερμοῦ, ὁ δὲ ψυχὴν κεκλῆσθαι ἐκ τοῦ ψυχροῦ, ὅθεν
ἔχει τὸ εἶναι. παρὰ τὸ αἰτίαν ἡμῖν γενέσθαι τῆς διὰ τῆς ἀναπνοῆς ῥύξεως.
ἐπεὶ γὰρ ἡ μὲν ζωὴ ἐκ τῆς ψυχῆς ὑπάρχει, ἡ δὲ ψυχὴ ἐκ ψυχροῦ (ἐξ 20
ὕδατος γάρ), διὰ τοῦτο δεῖ τῆς ἀναπνοῆς κολαζούσης τῇ ῥύξει τὸ περι-
10 κάρδιον θερμὸν καὶ οὐκ ἐώσης τῆς ψυχικῆς δυνάμεως ἐπικρατέστερον γε-
νέσθαι, λέγω δὴ τῆς ψυχρᾶς.

p. 405b 31 Ἐπισκεπτέον δὲ πρῶτον μὲν περὶ κινήσεως.

Ἀπαριθμησάμενος τὰς τῶν παλαιοτέρων δόξας, τῶν τε εἰς τὸ κινητικὸν
τῆς ψυχῆς ἀποβλεψάντων καὶ τῶν εἰς τὸ γνωστικόν, ἐντεῦθεν λοιπὸν
15 ἄρχεται τῶν πρὸς τούτους ἐλέγχων. καὶ ἐλέγχει δὲ αὐτῶν τὰς δόξας,
οὐχ ὅτι κακῶς ὑπέθεντο αὐτὴν κινεῖν τὸ σῶμα ἢ γινώσκειν τὰ πράγματα
ἢ ἀσώματον εἶναι, ἀλλ' ὅτι ὑπενόησαν κινουμένην αὐτὴν κινεῖν, καὶ γινώ- 30
σκειν τῷ ἔχειν ἐν ἑαυτῇ τὰ πράγματα, καὶ ὅτι πρὸς τὸ ἀσώματον ἀπο-
βλέψαντες οὐ κυρίως ἀσώματον ἐδόξασαν ἀλλὰ λεπτομερέστερον σῶμα εἶναι
20 τῶν λοιπῶν. πρῶτον οὖν ἄρχεται ἐκ τῶν εἰς τὸ κινητικὸν ἀποβλεψάντων,
ἐπεὶ καὶ πρώτους αὐτοὺς ἱστόρησεν. ἐνόμιζον δὲ οὗτοι, ὡς ἐμάθομεν,
ἐπειδὴ κινεῖ ἡ ψυχή (πᾶν δὲ τὸ κινοῦν καὶ αὐτὸ κινεῖσθαι) καὶ τὴν
ψυχὴν κινεῖσθαι, οὐχ ὑπ' ἄλλου δ' αὐτὴν κινεῖσθαι, ἀλλ' ὑφ' ἑαυτῆς καὶ
εἶναι αὐτοκίνητον. πρὸς τοῦτο οὖν ἐνίσταται πρῶτον, ὅτι ἀδύνατον τὴν 35
25 ψυχὴν κινεῖσθαι· τοσοῦτον γὰρ ἀπέχω, φησί, τοῦ λέγειν αὐτὴν αὐτοκίνητον,
ὅτι καὶ ἀδύνατον εἶναι λέγω καθόλου τὸ κινεῖσθαι αὐτήν. αἰνίττεται δὲ
μάλιστα πρὸς Πλάτωνα. ἀλλὰ πρὶν εἰς τὰ παρ' αὐτοῦ λεγόμενα ἐμβάλω-
μεν, δείξομεν δι' ὀλίγων ὅτι ἐξ αὐτῶν ὧν Ἀριστοτέλης λέγει πᾶσα ἀνάγκη
ἐστὶ τὴν ψυχὴν κινεῖσθαι, ἔπειτα τοῖς ῥητοῖς ἐπεξιόντες, πῶς τε ἀκίνητον
30 αὐτὴν εἶναι λέγει ὁ Ἀριστοτέλης, καὶ πῶς ὁ Πλάτων ἀεικίνητον. ἐν τοί-
νυν τῇ Φυσικῇ ἀκροάσει ὁριζόμενος τὴν κίνησιν ὁ Ἀριστοτέλης φησὶν ὅτι 40
κίνησίς ἐστιν ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστι, τοῦτο δέ
ἐστιν ἡ τοῦ δυνάμει ὄντος ἐπὶ τὸ κατ' ἐνέργειαν † μετὰ ταῦτα τοῦ δυνά-
μει ὄντος· τοῦτο γὰρ σημαίνει τὸ ᾗ τοιοῦτόν ἐστιν· εἰ γὰρ παύσεται τῆς
35 δυνάμεως, καὶ τῆς κινήσεως παύεται. ἔστιν οὖν ὁδὸς ἐκ τῆς δυνάμεως

---

6 ζεῖν D: ζῆν Rt 8 ψυχὴ Dt: ζωὴ R 19 λεπτομερέστατον t 23 ἑαυτῆς D: αὐτῆς R: ἑαυτοῖς t 27 πρὶν Dt: πλὴν R 28 δείξωμεν R ὧν addidi ante πᾶσα add. ὅτι R 29 κινεῖσθαι τὴν ψυχήν R 31 ἐν τῇ Φυσικῇ ἀκροάσει] Γ 1 p. 201a10 33 μετὰ — ὄντος (34)] verba depravata: exspectas μεταβολή, αὐτὸ τοῦτο δυνάμει ὄντος

ἐπὶ τὴν ἐνέργειαν. εἰ τοίνυν κίνησίς ἐστιν ἡ ὁδὸς ἡ ἐκ τοῦ δυνάμει εἰς c 5v
τὸ ἐνεργείᾳ, λέγει δὲ πάλιν ἐν τούτῳ τῷ βιβλίῳ ὁ Ἀριστοτέλης ὅτι ἡ
ψυχὴ δυνάμει ἐστὶ νοῦς, καὶ ὅτι γίνεταί ποτε ἐνεργείᾳ νοῦς (καὶ εὖ γε, 45
φησίν, οἱ λέγοντες τὴν ψυχὴν τόπον εἰδῶν, πλὴν ὅτι οὐ πᾶσα ἀλλ' ἡ νοη-
5 τική, καὶ οὐκ ἐντελέχεια ἀλλὰ τὰ εἴδη δυνάμει, καὶ πάλιν φησὶν ὅτι γραμ-
ματείῳ ἔοικεν ἀγράφῳ. ταὐτὸν δὲ εἰπεῖν δυνάμει γραμματείῳ ὃ γίνεταί
ποτε ἐνεργείᾳ γεγραμμένον), εἰ τοίνυν κίνησις μέν ἐστιν ἡ ἐκ τοῦ δυνάμει
ἐπὶ τὸ ἐνεργείᾳ ὁδός, ἡ ψυχὴ δὲ δυνάμει οὖσα νοῦς γίνεταί ποτε δεχο-
μένη τὰ εἴδη ἐνεργείᾳ νοῦς, ἐκ τοῦ δυνάμει ἄρα εἰς τὸ ἐνεργείᾳ προϊοῦσα
10 κινηθήσεται. ἐνίστανται δὲ πρὸς τοῦτο καί φασιν ὅτι ἐν τῷ τρίτῳ 50
βιβλίῳ ὁλοσχερέστερον εἶπε περὶ κινήσεως καὶ τὸν ὁρισμὸν τῆς μεταβολῆς
ἐπὶ κινήσεως ἀποδέδωκεν εἰπὼν τὴν ἐκ τοῦ δυνάμει ὁδὸν ἐπὶ τὸ ἐνεργείᾳ
κίνησιν εἶναι. κακῶς οὖν φασιν ἐκ τοῦ μὴ ἀκριβῶς ἀποδεδομένου ὁρισμοῦ
ἐλέγχειν τὸν Ἀριστοτέλην πειρᾶσθαι, ἐπεὶ ἐν τῷ πέμπτῳ βιβλίῳ ἀκρι-
15 βέστερον ταῦτα διοριζόμενός φησι τὴν μεταβολὴν ἐπὶ πλέον εἶναι τῆς
κινήσεως· εἴ τι μὲν γὰρ κίνησις, τοῦτο καὶ μεταβολή, οὐκέτι δὲ ἀνά-
παλιν. γίνεσθαι γὰρ τὴν μεταβολὴν κατὰ τέσσαρας κατηγορίας, οὐσίαν, c 6r
ποσόν, ποιόν, ποῦ. καὶ ἔστιν ἡ μὲν τῆς οὐσίας μεταβολὴ γένεσις καὶ
φθορά, ἡ δὲ τοῦ ποσοῦ αὔξησις καὶ μείωσις, ἡ δὲ τοῦ ποιοῦ ἀλλοίωσις,
20 ἡ δὲ τοῦ ποῦ φορά. εἶναι οὖν τὰς μὲν ἐν ταῖς τρισὶ κατηγορίαις μεταβολὰς κινήσεις, ποσόν, ποιόν, ποῦ, τὴν δὲ τῆς οὐσίας οὐκέτι. δεῖ γὰρ τὸ κινούμενον μένειν, ἵνα καὶ κινῆται, τὸ δὲ γινόμενον καὶ τὸ φθειρόμενον οὐ μένει. διὸ καὶ τὴν κίνησιν ἄλλως ἐν ἐκείνοις ὁρίζεται τοῦ ἀποδεδομένου ἐν τῷ τρίτῳ βιβλίῳ ὁρισμοῦ, μεταβολῆς ὄντος, οὐ κινή- 5
25 σεως· φησὶ γὰρ κίνησιν εἶναι τὴν ἐξ εἰδοποιουμένου εἰς εἰδοποιουμένον μεταβολήν, ταὐτὸν δὲ εἰπεῖν τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον· ἡ δὲ γένεσις καὶ ἡ φθορὰ ἡ μὲν ἐξ ἀνειδέου εἰς εἶδος μεταβάλλει, ἡ δὲ ἐξ εἰδοποιουμένου εἰς ἀνείδεον. ὅπως δὲ ταῦτα οὕτως ἔχει, ἐν ἐκείνῃ τῇ πραγματείᾳ ἀκριβῶς εἴρηται· νῦν δὲ ἀρκεῖ τὰ εἰρημένα. ταῦτα μὲν οὕτοι·
30 λέγομεν δὲ ἡμεῖς, τῆς μεταβολῆς κατὰ τὰς τέσσαρας κατηγορίας θεωρουμένης, εἰ μὴ βούλονται τὴν ψυχήν, ὁπηνίκα μεταβάλλῃ ἐκ τοῦ δυνάμει 10
νοῦς εἰς τὸν ἐνεργείᾳ, κατὰ μίαν τῶν τριῶν, αἵπερ εἰσὶ κινήσεις, μεταβάλλειν (ὁ γὰρ τῆς μεταβολῆς ὁρισμὸς καὶ ἐπ' αὐτῆς ἁρμόζει, ὡς δέδεικται) * * * τοῦτο δέ ἐστι γένεσις καὶ φθορά. ὥστε ὁπηνίκα μὲν μανθάνῃ,
35 γίνεσθαι αὐτὴν ἐροῦμεν, ὅταν δὲ ἀγνοῇ, φθείρεσθαι. ἀλλὰ τοῦτο κατα-

---

1 ἡ ὁδὸς Dt: ἡ om. R 2 ἐν τούτῳ τῷ βιβλίῳ] Γ 4 3 καὶ εὖ γε κτλ.] v. p. 429a27 5. 6 γραμματείῳ ἔοικεν κτλ.] cf. 430a1 8 εἰς τὸ ἐνεργείᾳ R 10 τοῦτο καί φασιν — περὶ κινήσεως (11) repetit R 10. 11 ἐν τῷ τρίτῳ τῷ βιβλίῳ t 14 ἐν τῷ πέμπτῳ] Phys. E 1 p. 225a34, 5 p. 229a31. b13 16 καὶ om. t οὐκέτι scripsi: οὐκ εἴ τι libri 22. 23 τὸ φθειρόμενον DR: τὸ om. t 24 ἀποδιδομένου R 25 φησὶ] Phys. E 1 p. 225b2, 5 p. 229a31 27 ἡ φθορὰ DR: ἡ om. t 29 οὕτοι Dt: οὕτω R 32 ἅπερ R 34 lacunam indicavi: κατ' οὐσίαν ἄρα μεταβαλεῖ recte explevit Diels 34 μανθάνει R

γέλαστον· ἦν γὰρ ἡ ψυχὴ ψυχὴ καὶ πρὶν μάθῃ. εἰ τοίνυν μὴ κατ' οὐ- c 6
σίαν μεταβάλλει, ἀνάγκη κατ' ἄλλην τινὰ αἰτίαν τῶν κατηγοριῶν τὴν
μεταβολὴν αὐτῆς εἶναι. αἱ δὲ κατ' ἐκείνας μεταβολαὶ κινήσεις ἦσαν· κινεῖ- 15
ται ἄρα ἡ ψυχή. εἰ δὲ φαίνεται καὶ ὁ Ἀριστοτέλης τὴν ἐκ τοῦ δυνάμει
5 εἰς τὸ ἐνεργείᾳ μεταβολὴν τῆς ψυχῆς γένεσιν μᾶλλον λέγων εἶναι, οὐκ
ἀλλοίωσιν * * * ὅταν γὰρ ἐξ ἀνεπιστήμονος ἐπιστήμων τις γίνηται, τὸ
τοιοῦτόν φαμεν ὅτι τῆς τελειότητός φησι γένεσιν, οὐχ ἁπλῶς τῆς οὐσίας·
ὥστε τὶς γένεσις τὸ τοιοῦτον, οὐχ ἁπλῶς γένεσις. καὶ ἄλλως ἡ κακία
καὶ ἡ ἀρετὴ ἐναντίαι εἰσίν. εἰ γὰρ καὶ λέγεται στέρησις εἶναι ἡ κακία
10 ὡς ἀόριστον καὶ ἀνείδεον, ἀλλ' οὖν διὰ τὸ μεταβάλλειν εἰς ἀρετὴν ἐναν- 20
τίον ἔσται καὶ οὐ στέρησις. ⟨ἡ γὰρ στέρησις⟩, καθὼς ἐν Κατηγορίαις εἴ-
ρηται. οὐ μεταβάλλει εἰς τὴν ἕξιν, ὡς ἡ τυφλότης εἰς τὴν ὄψιν, μεταβάλλει
δὲ τὸ ἐναντίον εἰς τὸ ἐναντίον. ὡς τὸ μέλαν εἰς τὸ λευκόν. οὐκοῦν εἰ ἡ
ψυχὴ ἐκ κακίας εἰς ἀρετὴν μεταβάλλει καὶ ἔμπαλιν, ταῦτα δὲ ἐναντία
15 (ἡ γὰρ εἰς τὰ ἐναντία μεταβολὴ κίνησίς ἐστιν· ὑπὸ γὰρ τὴν ποιότητα ἀνά-
γονται). κινεῖται ἄρα ἡ ψυχή. καὶ ἄλλως αὐτός φησιν ὁ Ἀριστοτέλης ταύτῃ
διαφέρειν κίνησιν ἐνεργείας, τῷ τὴν μὲν κίνησιν ἀτελῆ ἐνέργειαν, τὴν δ'
ἐνέργειαν ἀθρόαν εἶναι· διὸ καὶ τὰ θεῖα ἄνευ δυνάμεως ἐνεργείας εἶναι ἔφη. 25
ὅθεν ἐζήτησεν ἐν τῇ Φυσικῇ ἀκροάσει, πότερον δύο εἰσὶν αἱ κινήσεις ἐν
20 τῷ κινοῦντι καὶ τῷ κινουμένῳ ἢ μία, καὶ ἔδειξεν ὅτι μία· εἶτα πάλιν ἐζή-
τησε, τίνος ἂν εἴη ἡ κίνησις, τοῦ κινοῦντος ἢ τοῦ κινουμένου, καὶ ἔδειξεν
ὅτι τοῦ κινουμένου· ἐκεῖνος γάρ ἐστιν ὁ ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον
προβαίνων, οὐχ ὁ κινῶν, ὡς ἐπὶ τοῦ μαθητοῦ ἔχει καὶ διδασκάλου· μία
γὰρ ἡ κίνησις ἐπ' ἀμφοῖν, ἀρχομένη μὲν ἀπὸ τοῦ διδασκάλου, τελευτῶσα
25 δὲ εἰς τὸν μαθητήν. κινεῖται γὰρ οὐχ ὁ διδάσκαλος, ἀλλ' ὁ μαθητής· ὁ μὲν 30
γὰρ ἔχει τὴν ἕξιν, φησί, τελείαν καὶ ἀθρόαν, ὁ δὲ εἰς ταύτην ἄγεται κατὰ
μέρος. εἰ τοίνυν κατ' αὐτὸν κίνησις μέν ἐστιν ἡ ἀτελής, ἡ δὲ ἐνέργεια ἀθρόα
ἐστίν, ἐρωτήσομεν αὐτὸν ἐπὶ ψυχῆς πῶς ἔχει· κινεῖται ἢ οὔ; εἰ μὲν οὐ κι-
νεῖται, οὐ προκόπτει ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον. οὐ κινεῖται ἀπὸ ἀγνοίας
30 εἰς γνῶσιν οὐδὲ ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα. εἰ δὲ ταῦτα ἐπὶ
ψυχῆς ὁρῶνται καὶ ἀθρόαν οὐκ ἔχει τὴν ἐνέργειαν, οὐδὲ ἔστιν ἄνευ δυνά-
μεως ἐνέργεια, κινεῖται ἄρα· τοῦτο γὰρ καὶ αὐτὸς ὡρίσατο, κίνησιν εἶναι 35
τὴν ὁδὸν τὴν ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον. καὶ ἄλλως αὐτός φησιν ὅτι
ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον, ἐν τούτοις πάντως καὶ χρόνος (ἐκ τοῦ
35 χρόνου γὰρ ἐφήκει τὸ πρότερον καὶ τὸ ὕστερον. οἷς ἂν ἐφήκῃ) ἐν οἷς δὲ
χρόνος, ἐν τούτοις πάντως καὶ κίνησις· καὶ γὰρ ἐπαλλάττουσι ταῦτα, καὶ

---

2 αἰτίαν fort. delendum 3 κατ' ἐκείνην t 5 εἶναι om. R 6 lacunam indicavi: addendum ἀλλ' οὖν οὐχ ἁπλῶς γένεσιν γίνηται scripsi: γίνεται DR: γένηται t τὸ scripsi: τὸν libri 11 ἡ γὰρ στέρησις addidi ἐν Κατηγορίαις] 10 p. 13a33 13 εἰ om. t 18 ἐνεργείας A: ἐνεργείᾳ DRt 19 ἐν τῇ Φυσικῇ ἀκροάσει] Γ 3 20 καὶ τῷ Dt: τῷ om. R 23 καὶ τοῦ διδασκάλου t 23. 24 μία γὰρ Dt: post μία add. μὲν R 25 εἰς Dt: ἐπὶ R 28 ἐρωτήσωμεν t 30 εἰς συμπεράσματα R 34 ἐν οἷς ἂν τὸ R 35 ἐφήκῃ scripsi: ἐφήκει libri

ἐν οἷς κίνησις, ἐν τούτοις πάντως καὶ χρόνος, καὶ ἔμπαλιν ἐν οἷς χρόνος, c 6r
ἐν τούτοις πάντως καὶ κίνησις. ἔστι δ' ἐν ψυχῇ τὸ πρότερον καὶ τὸ ὕστε-
ρον· καὶ κίνησις ἄρα. ὅτι δέ ἐστιν ἐν ψυχῇ τὸ πρότερον καὶ τὸ ὕστερον,
προφανές· μέτεισι γοῦν ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα, καὶ οὐ πάντα 40
5 ἅμα γινώσκει, ἀλλὰ ἄλλο πρὸ ἄλλου, οὐδὲ πάντων ἅμα ὧν οἶδε τὴν προ-
χείρησιν ποιεῖται, ἀλλὰ τοῦ μὲν πρότερον τοῦ δὲ ὕστερον, καὶ καθόλου
μέτεισιν ἀπὸ ἀρετῆς εἰς κακίαν καὶ ἀπὸ ἀγνωσίας εἰς γνῶσιν. ταῦτα μὲν
οὖν πρὸς τὸ δεῖξαι ὅτι καὶ κατ' αὐτὸν τὸν Ἀριστοτέλην κινεῖται ἡ ψυχή,
καὶ οὐ κακῶς ὁ Πλάτων τὸ αὐτοκίνητον αὐτῇ ἀπένειμεν. εὐγνώμονι δὲ
10 διαιτητῇ τῶν λόγων τούτων οὐδεμία εὑρεθήσεται μάχη ἐν αὐτοῖς, πλὴν 45
ἐν μόναις ταῖς φωναῖς. ὥσπερ γὰρ πολλαχοῦ εἴωθε ποιεῖν τὸ φαινόμενον
ἐλέγχων, οὕτω κἀνταῦθα. ἐπειδὴ γὰρ αἱ ὄντως κινήσεις αἱ καὶ συνεγνω-
σμέναι ἡμῖν εἰσι μόναι αἱ φυσικαί, τούτων δὲ οὐδεμίαν ἡ ψυχὴ κινεῖται
(οὔτε γὰρ αὔξεται ἢ μειοῦται ἢ κατὰ ποιότητα ἢ κατὰ τόπον μεταβάλλει),
15 ἵνα μή τις τοῦ Πλάτωνος ἀεικίνητον λέγοντος τὴν ψυχὴν νομίσειεν αὐτὸν
μίαν τῶν φυσικῶν καὶ συνεγνωσμένων ἡμῖν κινήσεων λέγειν αὐτὴν κινεῖ-
σθαι, διὰ τοῦτο δείκνυσιν αὐτὸς παντελῶς ἀκίνητον οὖσαν ταύτας τὰς κινή-
σεις. καὶ ἔστιν ἀληθὴς ὁ λόγος καὶ Πλάτωνι δοκῶν, εἴ γε ἀσώματον αὐτὴν 50
καὶ ὁ Πλάτων οἴεται εἶναι, κινοῖτο δ' ἂν κατὰ Πλάτωνα ἄλλας τινὰς
20 κινήσεις τὰς νοητικὰς καὶ μάλιστα τὰς ζωτικάς, καθ' ἃς καὶ μάλιστα ἀει-
κίνητον αὐτήν φησιν εἶναι ὁ Πλάτων· ζωοποιεῖ γὰρ ἀεί, καὶ ἐν κάροις ὄν-
τος τοῦ ζῴου καὶ ὑπνοῦντος, ὅτε κατὰ τὰς νοητικὰς οὐκ ἐνεργεῖ. τοῦ οὖν
Πλάτωνος πᾶσαν ἁπλῶς ἐνέργειαν κίνησιν εἶναι λέγοντος, τοῦ δὲ Ἀριστο-
τέλους μόνας τὰς φυσικὰς κινήσεις εἶναι λέγοντος, ἀληθὴς καὶ ὁ λόγος ὁ
25 κινεῖσθαι | λέγων τὴν ψυχὴν κατὰ Πλάτωνα καὶ ὁ μὴ κινεῖσθαι κατὰ c 6v
Ἀριστοτέλην, καὶ ἐν μόνοις ῥήμασιν ἡ διαφωνία εὑρίσκεται. // εἰ δὲ τῆς
ἀλλοιώσεως εἴδη ἕξεις καὶ διαθέσεις, κατὰ ταύτας δὲ κινεῖται ἡ ψυχὴ
μεταβάλλουσα ἐξ ἀνεπιστημοσύνης εἰς ἐπιστήμην, πῶς ἐκφεύξεται τὸ μὴ
μόνον κινεῖσθαι, ἀλλὰ καὶ φυσικὴν κινεῖσθαι κίνησιν; ἔοικεν ὁ Ἀριστο-
30 τέλης πρὸς μόνας τὰς σωματικὰς κινήσεις ἀποβλέπων οὕτω λέγειν τὴν 5
ψυχὴν μὴ κινεῖσθαι· δῆλον δ' ἐξ αὐτῶν τῶν παρ' αὐτοῦ λεγομένων. εἰ
γὰρ κινεῖται, φησίν, ἡ ψυχὴ μὴ κατὰ συμβεβηκός, φύσει ἂν ὑπάρχοι κί-
νησις αὐτῇ, εἰ δὲ τοῦτο, καὶ τόπος· πᾶσαι γὰρ αἱ λεχθεῖσαι κινήσεις ἐν τόπῳ.
ὁρᾷς ὡς πρὸς τὰς σωματικὰς κινήσεις ἀποβλέπων οὕτως αὐτὴν ἀκίνητον
35 εἶναί φησι· πᾶν γὰρ τὸ ἐν τόπῳ σῶμά ἐστιν.

---

2. 3 καὶ ὕστερον utrobique R 4 προφανές Dt: δῆλον R γοῦν Dt: γὰρ R συμπεράσματα AR: συμπέρασμα Dt 9 Πλάτων] Phaedr. 245 C 10 διαιτητῇ ex διαίτη corr. D[1], ut vid. 12 ἐλέγχων scripsi: ἐλέγχειν libri 15 τις om. R νομίσειεν D: νομίσειέ τις R: νομίσοιέ τις (sic) t 16 αὐτὴν scripsi: αὐτὸν Dt: om. R 19 ὁ om. R κατὰ DR: καὶ κατὰ t τινὰς om. R 22 κατὰ τὰς νοητικὰς DR: κατανοητικὰς t 27 εἴδη DR: ἤδη t κινεῖται DR: κινεῖ t 28 πῶς R: ὅπως Dt ἐκφεύξηται t

p. 405ᵇ31 Ἐπισκεπτέον δὲ πρῶτον μὲν περὶ κινήσεως· ἴσως γὰρ c 6ᵛ
οὐ μόνον ψεῦδός ἐστι τὸ τὴν οὐσίαν αὐτῆς τοιαύτην εἶναι οἵαν
φασὶν οἱ λέγοντες ψυχὴν εἶναι τὸ κινοῦν ἑαυτὸ ἢ δυνάμενον 10
κινεῖν, ἀλλ' ἕν τι τῶν ἀδυνάτων τὸ ὑπάρχειν αὐτῇ κίνησιν.

Εἴρηται ὅτι οἱ εἰς τὸ κινητικὸν τῆς ψυχῆς ἀποβλέψαντες, ἐπειδὴ ἐνόμισαν τὸ κινοῦν δεῖν πάντως καὶ αὐτὸ κινεῖσθαι διὰ τὸ πᾶν τὸ σωματικῶς κινοῦν οὕτω κινεῖν, ἑώρων δὲ τὴν ψυχὴν πρῶτον κινοῦσαν τὸ σῶμα, αὐτοκίνητον εἶναι αὐτὴν ἀπεφήναντο. τοσοῦτον οὖν, φησίν, ἐγὼ ἀπέχω τοῦ αὐτοκίνητον λέγειν τὴν ψυχήν, ὅτι ἓν εἶναι τῶν ἀδυνάτων φημὶ τὸ ὅλως κινεῖσθαι αὐτήν. μάλιστα δὲ ὁ λόγος αὐτῷ πρὸς Πλάτωνα τείνει· διὸ εἰπὼν ὅτι οἱ λέγοντες ψυχὴν εἶναι τὸ κινοῦν ἑαυτό, προσέθηκεν 15 ἢ δυνάμενον κινεῖν. φαίνεται γὰρ ὁ Πλάτων πῇ μὲν λέγων ⟨ὅτι⟩ πᾶσα ψυχὴ αὐτοκίνητος, ὡς ἐν τῷ Φαίδρῳ, καὶ πάλιν ἐν τῷ Ι τῶν Νόμων ὁρίζεται τὴν ψυχὴν οὕτως 'ᾧ δὴ ἡ ψυχὴ τοὔνομα, τίς τούτου λόγος; ἔχοιμεν ἂν ἄλλον πλὴν τὸν νῦν δὴ ῥηθέντα, τὴν δυναμένην ἑαυτὴν κινεῖν;' καὶ ὅτι οἱ περὶ Δημόκριτον καὶ οἱ ἁπλῶς σῶμα τὴν ψυχὴν τὸ κινητικώτατον λέγοντες, εἰ καὶ μὴ ἀεικίνητον ἔλεγον τὴν ψυχήν, ἀλλ' οὖν τὴν τοῦ κινεῖν δύναμιν ἐν αὐτῇ ἀπετίθεντο, καὶ διὰ τούτους εἶπεν ἢ δυνάμενον 20 κινεῖν. ὅτι μὲν οὖν καὶ Πλάτωνι δοκεῖ τῶν κινουμένων αἴτιον εἶναι τὸ αὐτοκίνητον, δῆλον· ἀρχὴν γάρ φησιν εἶναι τῶν κινουμένων τὸ αὐτοκίνητον· εἴρηται δ' ὅτι καὶ οἱ ἄλλοι φυσικοὶ τοῦτο ἐνόμιζον. ἔνθεν οὖν ὅτι κινεῖται ἡ ψυχὴ κατεσκεύαζον, ἐπειδὴ ἑώρων αὐτὴν κινοῦσαν. ὅτι οὖν, φησί, τοῦτο οὐκ ἀναγκαῖον τὸ κινοῦν πάντως καὶ αὐτὸ κινεῖσθαι, ἀπεδείχθη ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς· δείκνυσι γὰρ ἐκεῖ ὅτι τὸ πρώτως κινοῦν ἐξ ἀνάγκης δεῖ ἀκίνητον εἶναι· εἰ γὰρ κἀκεῖνο κινοῖτο, οὐκέτι ἔσονται ἐν κι- 25 νήσει τὰ κινούμενα συμμεταβληθέντα τῷ αἰτίῳ. ἄλλως τε εἰ πᾶν τὸ κινοῦν, καθὸ κινεῖ, καὶ αὐτὸ κινεῖται, ἔσται τὸ αὔξον αὐξόμενον καὶ τὸ διδάσκον μανθάνον καὶ τὸ λευκαῖνον λευκαινόμενον, ὅπερ ἄτοπον. ἄλλως τε τὰ ὀρεκτὰ κινοῦντα τὴν ὄρεξιν ἐν αὐτῷ τῷ κινεῖν ἀκίνητά ἐστι· κινεῖ γὰρ ὁ χόρτος τὸν ὄνον καὶ ἡ εἰκὼν τὸν ὁρῶντα καὶ ὅσα τοιαῦτα αὐτὰ ἀκίνητα μένοντα. καλῶς οὖν τέως τὴν ἀνάγκην τοῦ λόγου πρῶτον ἀνεῖλεν, ὅτι οὐκ ἐξ ἀνάγκης κινοῦσα ἡ ψυχὴ καὶ κινηθήσεται· διὰ δὲ τῶν ἐφεξῆς ἐνστήσεται πρὸς τὸ αὐτοκίνητον αὐτῆς, ὅτι καθάπαξ ἀδύνατον αὐτὴν ἑαυ- 30 τὴν κινεῖν ἢ ὅλως κινεῖσθαι.

---

4 ὑπάρχον R 6 δεῖν D²t: δεῖ D¹R 8 εἶναι om. t 11 ἑαυτό Dt: ἑαυτῷ R 12 ὅτι addidi 13 ἐν τῷ Φαίδρῳ] p. 245 C ἐν τῷ Ι τῶν Νόμων] p. 895 E 14 ἡ ψυχὴ Plato: τὴν ψυχὴν libri τίς Plato: τις libri 15 ἔχοιμεν ἂν] ἔχομεν Plato ἄλλον Plato: ἄλλο libri τὸν Plato: τὰ libri δὴ D Plato: ἤδη Rt τὴν Plato: om. libri δυναμένην αὐτὴν αὐτὴν κινεῖν κίνησιν Plato 18 τούτους DR: τοῦτο t 20 φησιν] Phaedr. p. 245 C 23. 24 ἐν τῷ ὀγδόῳ τῆς Φυσικῆς] c 5 p. 256ᵇ 29 τὸ κινεῖν D ἐστι DR: ἔσται t 31 πρώτως R 32 καὶ κινηθήσεται Dt: καὶ om. R

p. 406a4 Διχῶς δὲ κινουμένου παντός· ἢ γὰρ καθ' ἕτερον c 6r
ἢ καθ' αὑτό.

Μέλλων δεῖξαι ὅτι ἡ ψυχὴ οὐ κινεῖται εἰκότως πρῶτον τὰ διάφορα τῆς κινήσεως σημαινόμενα ἀπαριθμεῖται, ἵν' εἰδείημεν κατὰ ποῖον σημαι-
5 νόμενον τῆς κινήσεως λέγει μὴ κινεῖσθαι τὴν ψυχήν. τῶν οὖν κινουμένων, φησί, τὰ μὲν καθ' αὑτὸ κινεῖται, τουτέστι κατ' οὐσίαν ἔχει τὴν κίνησιν, τὰ δὲ καθ' ἕτερον, τουτέστι κατὰ συμβεβηκός· τοῦτο γὰρ αὐτῷ βούλεται ἐνταῦθα τὸ καθ' ἕτερον, ὡς ἐκ τῶν ὑποδειγμάτων ἐδήλωσε. τῶν δὲ κατὰ 40
συμβεβηκὸς κινουμένων τὰ μὲν οὕτω κινεῖται ὡς ἔχοντα καὶ αὐτὰ ἰδίαν
10 κίνησιν. ὥσπερ ὁ πλωτήρ (κινεῖται γὰρ κατὰ συμβεβηκὸς ἐν τῇ νηὶ κινουμένῃ, δυνάμενος μέντοι καὶ αὐτὸς καθ' αὑτὸν κινεῖσθαι), τὰ δὲ ὡς καθ' αὑτὰ ἀκίνητα ὄντα, ὡς τὸ λευκὸν ἐν τῷ σώματι· κινεῖται γὰρ τοῦ σώματος κινουμένου κατὰ συμβεβηκὸς τὸ λευκόν, αὐτὸ μέντοι κατὰ τὴν ἰδίαν φύσιν ἀκίνητόν ἐστι. καθ' ὃ σημαινόμενον συγχωρεῖ καὶ ὁ Ἀριστο-
15 τέλης κινεῖσθαι τὴν ψυχήν· τῷ γὰρ κινεῖν τὸ σῶμα, εἶναι δὲ καὶ αὐτὴν 45
ἐν τῷ κινουμένῳ κατὰ συμβεβηκὸς ἑαυτὴν κινεῖ, ὥσπερ εἰ δύναμιν κινητικὴν εἰλήφει ἡ λευκότης, ἐλέγετο ἂν κατὰ συμβεβηκὸς ἑαυτὴν κινεῖν, διότι συμμετήει τῷ κινουμένῳ. ἀλλὰ καὶ οἱ ἐρέται κινοῦντες τὸ σκάφος συγκινοῦνται αὐτῷ κατὰ συμβεβηκός, ὥστε αὐτοὶ ἑαυτοὺς κατὰ συμβεβηκὸς
20 κινοῦσιν. ᾧ τρόπῳ καὶ ἡ ψυχὴ κινοῦσα τὸ σῶμα αὐτὴ ἑαυτὴν κατὰ συμβεβηκὸς κινεῖ· εἰ γὰρ μὴ ἀπολιμπάνει τὸ σῶμα κινουμένου αὐτοῦ, ἐν αὐτῷ δ' ἐνεργεῖ, δῆλον ὡς συγκινεῖται αὐτῷ κατὰ συμβεβηκός, διότι συμ- 50
μετήει τῷ κινουμένῳ· αὐτὴ μέντοι καθ' αὑτὴν ἀκίνητός ἐστι, διότι καὶ ἀσώματος, εἰ δὲ τοῦτο, οὐκ ἐν τόπῳ· πῶς οὖν τὸ ὅλως μὴ πεφυκὸς ἐν
25 τόπῳ εἶναι κινεῖσθαι λέγοιτο; τὸ γὰρ κινούμενον τόπον ἐκ τόπου ἀμείβει· πᾶν δὲ τὸ ἐν τόπῳ σῶμα. ἀσώματον δὲ τὴν ψυχὴν οὖσαν γραμμικαῖς ἀνάγκαις ἀποδείκνυσιν. ὥστε ἀνάγκη πάντως καὶ ἀκίνητον εἶναι τὰς φυσικὰς κινήσεις. εἰπὼν δὲ τῶν κινουμένων τὰ μὲν καθ' αὑτό, τὰ δὲ καθ' ἕτερον κινεῖσθαι, τούτων ὑπόδειγμα παρέθηκε τὸν πλωτῆρα. ἡ γὰρ ἐν τῷ
30 πλοίῳ | κίνησις τοῦ πλωτῆρος οὐκ ἔστι καθ' αὑτό, ἀλλὰ κατὰ συμβε- c 7r
βηκός· τῷ γὰρ κινεῖσθαι τὸ πλοῖον ἐν ᾧ ἐστι λέγεται καὶ αὐτὸς κινεῖσθαι. ὅτι γὰρ οὐκ ἔστιν αὐτοῦ οἰκεία ἡ τοιαύτη κίνησις, δῆλόν φησιν ἐκ τοῦ τὰ μόρια, δι' ὧν κινεῖται καθ' αὑτὸν κινούμενος ὁ πλωτήρ, ἀκίνητα εἶναι· ταῦτα δέ εἰσιν οἱ πόδες· ὁπηνίκα γὰρ καθ' αὑτὸν κινεῖται, διὰ τῶν ποδῶν
35 κινεῖται. ὥστε ἅμα καὶ τῆς καθ' αὑτὸ κινήσεως ἔδειξε τὸ ὑπόδειγμα. λέγω δὲ τὴν διὰ τῶν ποδῶν βάδισιν· καὶ ἐπίτηδες τοιούτῳ ἐχρήσατο ὑπο- 5
δείγματι, ἵνα μὴ νομίσωμεν ὅτι ἡ διὰ μορίων γινομένη κίνησις τοῦ ὅλου

---

15 τῷ γὰρ R: τὸ γὰρ Dt 16. 17 κινητικὴν Dt: κινητικῆς R 20 αὐτὴ—τὸ σῶμα (21) om. D 29 κινεῖσθαι scripsi: κινεῖται libri παρέθηκε Dt: παρέθετο R 30 κίνησις om. D 31 καὶ αὐτὸς Dt: καὶ αὐτὸ R 32 οἰκεία αὐτοῦ coll. R

σώματος κατὰ συμβεβηκός ἐστι. κἂν γὰρ διὰ μορίων κινῆται τὸ ὅλον c 7r
σῶμα, καθ' αὑτὸ λέγεται κινεῖσθαι, διότι οὐδὲ οἱ πόδες ἄνευ τῆς συμπνοίας καὶ ἁρμονίας τοῦ ὅλου σώματος κινηθήσονται.

p. 406a10 Διισσῶς δὲ λεγομένου τοῦ κινεῖσθαι, νῦν ἐπισκο-
5 ποῦμεν περὶ τῆς ψυχῆς εἰ καθ' ἑαυτὴν κινεῖται.

Εἰκότως προείληφε τὰ διάφορα τῆς κινήσεως σημαινόμενα· ζητοῦμεν γάρ, φησί, εἰ καθ' ἑαυτὴν κινεῖται, τουτέστιν εἰ κατ' οὐσίαν ἔχει τὴν κί- 10
νησιν· τὸ γὰρ κατὰ συμβεβηκὸς κινεῖσθαι κἂν αὐτὸς δοίη. διὰ τί δὲ εἰπὼν εἰ καθ' αὑτὴν κινεῖται προσέθηκε καὶ μετέχει κινήσεως; διότι τῶν
10 καθ' αὑτὰ κινουμένων τὰ μὲν συνουσιωμένην ἔχει τὴν κίνησιν καὶ διὰ τοῦτο συμπληρωτικὴν τῆς οὐσίας, ὡς τὰ οὐράνια, τὰ δὲ συνουσιωμένην μὲν αὐτὴν οὐκ ἔχει οὐδὲ συμπληρωτικὴν τῆς οὐσίας, τὴν μέντοι δύναμιν τοῦ κινεῖσθαι ἐν τῇ φύσει ἔχουσιν, ὥστε δύνασθαι μετέχειν τῆς κινήσεως, ὅταν ᾖ τὸ κινοῦν, ὡς ἡ βῶλος· μεθεκτικὴ γάρ ἐστι κινήσεως, οὐκ αὐτὴ 15
15 ἐν κινήσει οὐσίωται. ζητοῦμεν οὖν περὶ ψυχῆς, εἴτε συνουσιωμένην ἔχει τὴν κίνησιν, ὡς οἱ αὐτοκίνητον αὐτὴν λέγοντες, εἴτε συνουσιωμένην μὲν οὔ, μετασχεῖν μέντοι κατ' οὐσίαν αὐτῆς δύναται. καὶ δείξει ὅτι καθάπαξ κίνησιν ἐπὶ ψυχῆς ἀδύνατον εἶναι.

p. 406a12 Τεσσάρων δὲ κινήσεων οὐσῶν, φορᾶς, ἀλλοιώσεως,
20 φθίσεως, αὐξήσεως, ἢ μίαν τούτων κινοῖτ' ἂν ἢ πλείους ἢ πάσας.

Ἔδειξεν ἐν τῷ πέμπτῳ λόγῳ τῆς Φυσικῆς ὅτι ἡ μεταβολὴ κατὰ τέσσαρας γίνεται κατηγορίας· ἢ γὰρ ἐν τῇ οὐσίᾳ ὡς γένεσις καὶ φθορά, 25
ἢ ἐν τῷ ποσῷ ὡς αὔξησις καὶ μείωσις, ἢ ἐν τῷ ποιῷ ὡς ἡ ἀλλοίωσις,
25 οἷον λεύκανσις μέλανσις, ἢ ἐν τῇ ποῦ κατηγορίᾳ, οἷον ἄνω κάτω, ἐν Λυκείῳ, ἐν ἀγορᾷ. τούτων οὖν τῶν μεταβολῶν τὰς μὲν ἐν ταῖς τρισὶ κατηγορίαις γινομένας, τῷ ποσῷ, τῷ ποιῷ, τῷ ποῦ, κινήσεις εἶναι, τὴν δὲ ἐν τῇ οὐσίᾳ οὐκέτι κίνησιν, ἀλλ' ἁπλῶς μεταβολήν· ἐπὶ πλέον γὰρ ἡ μεταβολὴ τῆς κινήσεως. τὸ γὰρ κινούμενον, φησί, δεῖ εἶναι, ἵνα καὶ κινῆται,
30 τὸ δὲ γινόμενον ἢ φθειρόμενον οὐ μένει ὅπερ ἦν· καὶ ὅτι τὸ κινούμενον 30
περὶ τὸ αὐτὸ ὑποκείμενον ἴσχει τὴν μεταβολήν, μηδὲν τῆς κινήσεως εἰς τὴν οὐσίαν τοῦ ὑποκειμένου συντελούσης, τὸ μέντοι γινόμενον καὶ φθειρόμενον οὐκ ἐν ὑποκειμένῳ γίνεται, ἀλλ' οἷον ἐξ ὕλης εἰς εἶδος μεταβάλλει τὸ γινόμενον, καὶ τὸ φθειρόμενον ἔμπαλιν. τῆς οὖν κινήσεως περὶ τὰς
35 τρεῖς κατηγορίας θεωρουμένης, πῶς οὖν ἐνταῦθα τέσσαρα εἴδη κινήσεως

---

1 κινῆται t: κινεῖται DR 4 διισσῶς Philop. et Arist. E: διχῶς Arist. vulg. λεγομένου Rt: λέγω D 6 εἰκότως — κινεῖται (7) om. D 7 ἑαυτὴν t: αὑτὰ R 22 ἐν τῷ πέμπτῳ λόγῳ τῆς Φυσικῆς] E 1. 2

ἀπηριθμήσατο; λέγω οὖν ὅτι ἐπὶ μὲν τῆς τοῦ ποῦ κατηγορίας καὶ τῆς τοῦ c 7r
ποιοῦ εὐπόρησεν ὀνομάτων κοινῶν, δι' ὧν πάντα τὰ εἴδη τῶν ὑπὸ τὴν 35
κατηγορίαν κινήσεων σημαίνει, τῆς τε φορᾶς καὶ τῆς ἀλλοιώσεως (καὶ γὰρ
πᾶσά τε ἡ κατὰ τόπον κίνησις φορὰ λέγεται καὶ ἡ κατὰ ποιότητα ἀλλοίω-
5 σις· ἀλλοιοῦται γὰρ καὶ ὁ λευκαινόμενος καὶ ὁ μελαινόμενος), ἐπὶ μέντοι
τοῦ ποσοῦ οὐκ εὐπόρησε κοινοῦ ὀνόματος σημαίνοντος τὴν αὔξησιν καὶ τὴν
μείωσιν· εἰ γάρ τις εἴποι ὅτι ἡ κατὰ τὸ ποσὸν μεταβολή, λόγον εἶπε καὶ
οὐκ ὄνομα. διὰ τοῦτο οὖν διεῖλε τὴν ἐν τῷ ποσῷ κίνησιν εἰς δύο, εἴς τε
τὴν αὔξησιν καὶ τὴν φθίσιν. ὡς δεδειγμένου οὖν τούτου ὅτι ἡ κατ' οὐ-
10 σίαν μεταβολὴ οὐκ ἔστι κίνησις, ἔλαβεν ὡμολογημένον ἐνταῦθα ὅτι πᾶσα 40
κίνησις κατὰ τὰς τρεῖς ταύτας γίνεται κατηγορίας. εἰ δὲ κινεῖται ἡ
ψυχὴ μὴ κατὰ συμβεβηκός, φύσει ὑπάρχει κίνησις αὐτῇ· εἰ δὲ
τοῦτο, καὶ τόπος· πᾶσαι γὰρ αἱ λεχθεῖσαι κινήσεις ἐν τόπῳ.
τουτέστιν ἐπεὶ οὐ κατὰ συμβεβηκὸς λέγουσιν ὑπάρχειν τῇ ψυχῇ τὴν κίνη-
15 σιν (λέγουσι γὰρ τὴν οὐσίαν αὐτῆς τὸ αὐτοκίνητον εἶναι), ἐξ ἀνάγκης αὐτῇ
κατὰ φύσιν ὑπάρχει, μᾶλλον δ' αὐτοφύσις ἐστίν. ἐδείχθη δὲ πᾶσα κίνησις
ὑπὸ μίαν τῶν κατηγοριῶν τούτων τελοῦσα· οὐκοῦν μίαν τῶν εἰρημένων 45
κινήσεων κινηθήσεται. εἰ δὲ τοῦτο, ἐδείχθη δὲ πάλιν ἐν τῇ Φυσικῇ ἀκροάσει
ὅτι πάντα τὰ κινούμενα μίαν τούτων τῶν κινήσεων ἐν τόπῳ εἰσί, καὶ ἡ
20 ψυχὴ ἄρα ἐν τόπῳ ἔσται, ταὐτὸν δὲ εἰπεῖν σῶμα ἔσται. καὶ ὅτι μὲν ἡ
κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποῦ κίνησις ἐν τόπῳ, πρόδηλον· ὅτι δὲ καὶ ἡ
κατὰ ἀλλοίωσιν μεταβολὴ ἐν τόπῳ, ἔδειξε σαφῶς ἐν τῇ Φυσικῇ· δείκνυσι
γὰρ ὅτι τὸ καθ' αὑτὸ κινούμενον μεριστὸν εἶναι δεῖ· τὸ δὲ μεριστὸν καθ'
αὑτὸ καὶ ἐν τόπῳ ἐστίν, ἐπεὶ καὶ σῶμά ἐστι. τὸ γὰρ καθόλου κινούμενον
25 ἐξ οὗ ἐστι μεθίσταται εἰς τὸ ἐν ᾧ ἔσται· ἔκ τινος γὰρ εἴς τι πᾶσα μετα- 50
βολή. τὸ δ' ἔκ τινος εἴς τι μεταβάλλον, οὔτε ἐξ οὗ μεταβάλλει ἐν ἐκείνῳ
ὅλον ἐστὶν (οὐδέπω γὰρ ἂν μεταβάλλοι) οὔτε εἰς ὃ μεταβάλλει ἐν ἐκείνῳ
ὅλον ἐστί· ἤδη γὰρ μεταβεβληκὸς ἂν εἴη καὶ οὐκέτι μεταβάλλον. ἀνάγκη
οὖν τὸ μεταβάλλον καθ' ἡντινοῦν μεταβολὴν καθ' αὑτὸ καὶ μὴ κατὰ συμ-
30 βεβηκὸς κατὰ μέν τι ἑαυτοῦ εἶναι ἐν τούτῳ ἐξ οὗ μεταβάλλει, κατὰ δέ τι
ἐν τούτῳ εἰς ὃ ἡ μεταβολὴ αὐτοῦ γίνεται· | ὅλον γὰρ ἐν ἑκατέρῳ ἀδύ- c 7v
νατον εἶναι· ἔσται γὰρ ἅμα ἐν τοῖς ἀντικειμένοις, τῷ τε ἐξ οὗ καὶ τῷ εἰς
ὅ, καὶ ἅμα δ' ἐν πλείοσι τὸ αὐτὸ κατὰ τὸ αὐτό, ὅπερ ἀδύνατον· ὥστε
λείπεται τὸ μὲν αὐτοῦ εἶναι ἐξ οὗ, τὸ δὲ εἰς ὅ. μεριστὸν ἄρα καὶ διὰ
35 τοῦτο σῶμα· μόνον γὰρ καθ' αὑτὸ μεριστὸν τὸ σῶμά ἐστιν. εἰ γὰρ καὶ
ἡ γραμμὴ καὶ τὸ ἐπίπεδον καθ' αὑτὸ μεριστὸν λέγεται, ἀλλὰ τῷ λόγῳ,
τῇ μέντοι ὑποστάσει καὶ τῇ οὐσίᾳ μόνον τὸ σῶμα μεριστόν ἐστιν. ὥστε 5
εἰ κινεῖται ἡ ψυχὴ καθ' αὑτό, μεριστὸν ἔσται καὶ σῶμα. καὶ τέως μὲν

---

1 οὖν Rt: γ' οὖν (sic) D 12 ὑπάρχει κίνησις Dt: ἂν κίνησις ὑπάρ χ R: ἂν ὑπάρχοι κίνησις Arist. 18 ἐδείχθη δὲ R: δὲ om. Dt 18 et 22 ἐν τῇ Φυσικῇ] Z 4 p. 234b 10 19 τὰ κινούμενα πάντα t 21 κατὰ τὸ ποῦ (υ in ras. D²) κίνησις Dt: ἡ κατὰ τόπον κίνησις R 22 δείκνυσι D: ἔδειξε Rt 24 καθόλου] fort. καθ' ὅλον 27 μεταβάλλοι DR: μεταβάλλει t 33 ἅμα δ'] fort. ἅμα δὴ

πρὸς Πλάτωνα ἱκανὸν καὶ τοῦτο, ἀσώματον εἶναι λέγοντα τὴν ψυχήν· εἰ c 7r
γὰρ τῇ ὑποθέσει τῇ λεγούσῃ ὅτι κινεῖται ἀκολουθεῖ τὸ εἶναι αὐτὴν σῶμα,
τοῦτο δὲ ψεῦδος, οὐ κινεῖται ἄρα· ἀλλ' οὔπω ἐκ τούτου ἐληλεγμένοι εἰσὶν
οἱ σῶμα αὐτὴν λέγοντες ὅτι οὐ κινεῖται. τί οὖν ἐκ τούτου τὸ ἄτοπον ἐν
5 τῷ κινεῖσθαι αὐτήν, ⟨εἰ⟩ δείκνυται ἐν τόπῳ οὖσα καὶ σῶμα; ἐπάγει οὖν
τὸ τούτῳ ἑπόμενον ἄτοπον μετ' ὀλίγα κοινῶς πρὸς πάντας ἁρμόζον. πῶς 10
δέ φησιν ὅτι πᾶν κινούμενον ἐν τόπῳ ἐστί; καίτοι αὐτὸς δείκνυσι τὴν
ἀπλανῆ οὐκ οὖσαν ἐν τόπῳ, εἴ γε τόπος μέν ἐστιν, ὡς αὐτῷ δοκεῖ, τὸ
πέρας τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον, δείκνυσι δὲ ἔξω
10 τῆς ἀπλανοῦς μηδὲν ὄν. ἢ οὖν ὅτι καὶ τὰ μέρη τῆς ἀπλανοῦς τρόπον
τινὰ ἐν τόπῳ εἰσίν, ὡς καὶ αὐτός φησιν ἐν τῇ Φυσικῇ· περιέχεται γὰρ
ἕκαστον ζῴδιον ὑπὸ τῶν παρ' ἑκάτερα· ἢ ὅτι δεῖ προσυπακούειν ὅτι τῶν
καθόλου κινουμένων αἱ κινήσεις ἐν τόπῳ εἰσί· περὶ γὰρ τῶν ἐνταῦθα κι- 15
νουμένων ὁ λόγος, ἃ καθ' ὅλα αὐτὰ κινεῖται, κἀκεῖνοι δὲ οἱ λέγοντες τὴν
15 ψυχὴν τῷ κινεῖσθαι κινεῖν ὅλον ὅτι ὅλην δι' ὅλης ἔλεγον μεταβαίνειν· τὰ
δὲ οὕτω κινούμενα ἐξ ἀνάγκης ἐν τόπῳ ἐστί. φαίη δ' ἄν τις ἴσως 'τί
οὖν; οὐ μεταβάλλει κατὰ τὸ ποιὸν ἡ ψυχή; οὐκ ἀλλοιοῦται μεταβάλλουσα
ἀπὸ κακίας εἰς ἀρετὴν καὶ ἀπὸ ἀγνοίας εἰς γνῶσιν; εἰ δὲ ἀλλοιοῦται, ἡ
δὲ ἀλλοίωσις κίνησις, κινεῖται ἄρα ἡ ψυχή.' πρὸς τοῦτο προσφυῶς οἱ
20 ἀπὸ τοῦ Περιπάτου ἐξηγηταί, ὧν ἐστι καὶ ὁ Ἀλέξανδρος, ἀπαντῶσιν ὅτι
τοῦτο οὐκ ἔστιν ἀλλοίωσις· ἀλλοίωσις γάρ ἐστιν ἡ κατὰ τὰς παθητικὰς 20
ποιότητας γινομένη μεταβολή, πᾶσαι δὲ αἱ παθητικαὶ ποιότητες αἰσθηταί,
αἱ δὲ αἰσθηταὶ ποιότητες ἐν σώματι· οὐκοῦν τὸ ἀλλοιούμενον πᾶν σῶμά
ἐστιν. ἀρετὴ δὲ καὶ κακία καὶ γνῶσις καὶ ἀγνωσία ἕξεις εἰσὶ καὶ στερή-
25 σεις. αἱ δὲ ἕξεις καὶ αἱ στερήσεις γενέσεις εἰσὶ καὶ φθοραί, οὐκ ἀλλοιώ-
σεις. ὥσπερ οὖν ἡ τυφλότης μὲν φθορά ἐστι, γένεσις δὲ ἡ ὄψις, οὕτως
ἀρετὴ καὶ κακία καὶ γνῶσις καὶ ἀγνώσια γενέσεις τρόπον τινὰ εἰσι καὶ
φθοραί. ἕκαστον γὰρ γνωρίζεται μετὰ τῆς ἑαυτοῦ τελειότητος· ἂν δ' ἐλ- 25
λείπῃ τι τῷ πράγματι εἰς τελείωσιν, ἐπὶ φθορὰν νεύει τοῦτο· τελειότης δὲ
30 ψυχῆς ἡ γνῶσίς ἐστι καὶ ἡ ἀρετή. ὥσπερ οὖν τὴν ὑγίανσιν οὐ λέγομεν
ἀλλοίωσιν ἀλλὰ γένεσιν, ἐπειδὴ κατὰ φύσιν μὲν ἡ ὑγίεια, παρὰ φύσιν δὲ
ἡ νόσος, οὕτως ἐπειδὴ κατὰ φύσιν μὲν τῇ ψυχῇ ἡ ἀρετή, παρὰ φύσιν δὲ
ἡ κακία, τὴν ἀπὸ κακίας εἰς ἀρετὴν μεταβολὴν οὐκ ἀλλοίωσιν ἀλλὰ γένεσιν
λέξομεν εἰκότως. ἡ γὰρ ἀλλοίωσις, ἅτε δὴ περὶ ποιότητα ἔχουσα, κατὰ
35 συμβεβηκὸς ὑπάρχουσα ἐν τῷ σώματι οὔτε συντελεῖν τι εἰς τὴν οὐσίαν 30
τοῦ ὑποκειμένου θέλει οὔτε λυμαίνεσθαι αὐτό· λευκαινόμενον γὰρ ἢ με-
λαινόμενον τὸ σῶμα εἰς τὸ σῶμα εἶναι οὐδὲν οὔτε βλάπτεται οὔτε ὠφε-
λεῖται· ἡ μέντοι ὑγίεια καὶ ἡ νόσος καὶ ἡ κακία καὶ ἡ ἀρετὴ οὐ τοιαῦται,

---

2 et 4 αὐτὴν om. R 5 εἰ addidi οὖσα Dt: οὖσαν R 9 δείκνυσι scripsi: δείκνυται libri 11 ἐν τῇ Φυσικῇ] Δ 5 p. 212b10 12 περ' ἑκάτερον (sic) R 13 καθόλου] fort. καθ' ὅλον 24 ἐστιν A: ἔσται DRt 25 αἱ δὲ — στερήσεις om. R 28. 29 ἐλλίπῃ R 31 ἐπειδὴ — γένεσιν (33) om. D 36 αὐτῷ t 37 εἰς τὸ σῶμα A: om. DRt εἶναι om. t

ἀλλ' εἰς αὐτὴν τὴν τοῦ ὑποκειμένου οὐσίαν ὁρῶσιν. //οὕτω γοῦν ἐπελυόμεθα c 7v
τὴν πολυθρύλητον ἀπορίαν τὴν ἐν Εἰσαγωγαῖς ἐν τῷ ὁρισμῷ τοῦ συμβε-
βηκότος φερομένην· ἐζητεῖτο γὰρ ὅτι πῶς τὸ συμβεβηκὸς γίνεται καὶ ἀπο-
γίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς; ὁ γὰρ πυρετὸς ὁ συμβεβηκὸς
5 ὢν φθείρει. ἐλέγομεν οὖν ὅτι οὐ συμβεβηκὸς ὁ πυρετὸς οὐδὲ ἀλλοίωσις
τοῦ ὑποκειμένου, ἀλλὰ ἔστι παρὰ φύσιν θερμότης διαλυτικὴ τῆς ἁρμονίας
τοῦ ζῴου. εἴπομεν δὲ ἤδη τὰς ἕξεις τῆς ψυχῆς, πῶς λέγονται εἶναι γενέ-
σεις καὶ φθοραί. //ὥσπερ τῷ λευκῷ ἢ τριπήχει. εἰ γάρ τις κινουμένου
τοῦ ψιμυθίου εἴποι κινεῖσθαι τὸ λευκόν, δῆλον ὅτι κατὰ συμβεβηκὸς αὐτὸ
10 λέγει κινεῖσθαι, ἐπεὶ μηδὲ πέφυκε καθ' αὑτὸ κινεῖσθαι. προσέθηκε δὲ
καὶ τῷ τριπήχει, [ἢ] τρίπηχυ λέγων οὐ τὸ σῶμα, ἀλλ' ἁπλῶς τὴν
διάστασιν αὐτὴν χωρὶς τοῦ σώματος, οἷον γραμμὴν ἢ ἐπιφάνειαν, δεῖξαι
βουλόμενος ὅτι οὐδὲ ἄλλο διάστημα καθ' αὑτὸ κινεῖται πλὴν τοῦ σώματος.
κινοῦνται οὖν, φησί, ταῦτα κατὰ συμβεβηκός, διότι τὸ σῶμα, ᾧτινι ταῦτα
15 ὑπάρχουσι καὶ ἐν ᾧ τὸ εἶναι ἔχουσι, τοῦτο κινεῖται. ὅτι δέ, φησίν, οὐκ
ἔστι τούτων ἡ κίνησις ἀλλὰ τοῦ σώματος, δῆλον ἐξ ὧν καὶ ὁ τόπος εἰς
ὃν ἐκινήθησαν οὐκ ἔστιν αὐτῶν ἀλλὰ τοῦ σώματος. εἰ γὰρ πᾶσα μὲν
κίνησις πρός τι τέλος ὁρᾷ, ἔστι δὲ τῆς κατὰ τόπον κινήσεως τέλος ὁ τόπος,
εἰς ὃν ἐκινήθη, ὁ δὲ τόπος οὗτος, ταὐτὸν δὲ εἰπεῖν τὸ τέλος πρὸς ὃ ὁρᾷ
20 ἡ κίνησις, τοῦ σώματός ἐστι καὶ οὐ τοῦ λευκοῦ ἢ τοῦ τριπήχεος, καὶ ἡ
κίνησις ἄρα τοῦ σώματος ἔσται. ὅτι δ' ὁ τόπος τοῦ σώματος, δῆλον ἐν-
τεῦθεν· εἰ γὰρ ἀφαιρεθῶσιν αἱ ποιότητες, οὐδὲν ἧττον ἐν τῷ τόπῳ τῷ ἰδίῳ
τὸ σῶμά ἐστιν· ὁμοίως καὶ τὸ τρίπηχυ εἰ ὡς γραμμὴ ἀφαιροῖτο καὶ ὡς
ἐπίπεδον.

25 p. 406a22 Ἔτι δὲ εἰ φύσει κινεῖται, κἂν βίᾳ κινηθείη, κἂν εἰ βίᾳ,
καὶ φύσει· τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ ἠρεμίας.

Δείξας ὅτι εἰ φύσει καὶ καθ' αὑτὴν ἡ ψυχὴ κινεῖται, ἔσται τις οἰ-
κεῖος αὐτῇ τόπος, προστίθησι τοῦτο τοῖς εἰρημένοις ὡς ἀκόλουθον, ὅτι εἰ
φύσει κινεῖται, κινηθείη ἂν καὶ βίᾳ, ἐνδεικνύμενος διὰ τούτου ὅτι ἔσται
30 τις αὐτῇ καὶ παρὰ φύσιν τόπος. καὶ ὅτι μὲν τὰ βίᾳ κινούμενα καὶ κατὰ
φύσιν κινεῖται, πρόδηλον· τὸ γὰρ βίᾳ κινούμενον παρὰ φύσιν κινεῖται, τὸ
δὲ παρὰ φύσιν ἐκτροπή ἐστι τοῦ κατὰ φύσιν, οὐδὲν δέ ἐστιν ἀεὶ ἐν τῷ
παρὰ φύσιν. πῶς δὲ καὶ τὸ κατὰ φύσιν κινούμενον καὶ βίᾳ κινεῖσθαι
λέγει; ἆρ' οὖν καὶ τὰ κυ|κλοφορούμενα σώματα ἐπεὶ κατὰ φύσιν κινοῦν- c 8r
35 ται, καὶ παρὰ φύσιν κινηθείησάν ποτε; καίτοι καὶ αὐτὸς ὁ Ἀριστοτέλης
ἔδειξεν ὅτι ἀδύνατον ἐκεῖνα παρὰ φύσιν κινηθῆναι· ἐξῃρῆσθαι γὰρ αὐτά
φησι πάσης θνητῆς δυσχερείας. φασὶν οὖν πάνυ προσφυῶς οἱ ἀπὸ τοῦ

---

1 αὐτὴν AD (αὐ in ras. D²) t: ἀρετὴν R ἐπελυόμεθα D: ἐπιλυόμεθα Rt 2 ἐν Εἰσαγωγαῖς] p. 12,24 Busse 11 ἢ delevi, sed fort. legendum καὶ τὸ ἢ τριπήχει 18 πρός τι Dt: τι om. R 26 τὸν αὐτὸν — ἠρεμίας om. t 28 ὡς om. R 34 τὰ κύκλω κινούμενα R 34. 35 κινοῦνται Dt: κινεῖται R 37 φησι] de caelo B 1 p. 284a14 φασὶν Dt: φησὶν R

Περιπάτου ἐξηγηταί. ὧν ἐστι καὶ ὁ Ἀλέξανδρος, ὅτι οὐχ ὑπὸ φύσεως c 8r
κινεῖται τὰ οὐράνια σώματα, ἀλλ' ὑπὸ κρείττονος δυνάμεως, τῆς ἐν αὐτοῖς
λέγω ψυχῆς, εἴ γε, ὡς αὐτός φησιν ὁ Ἀριστοτέλης, κατὰ ὄρεξιν τοῦ πρώ- 5
του ταύτην ἔχει τὴν κίνησιν. διὰ τί γάρ, φησί, κύκλῳ κινεῖται; εἶτα ἐπή-
5 γαγεν ὅτι νοῦν μιμεῖται. ὥσπερ γὰρ τὸ θεῖον πανταχοῦ ἐστιν, οὕτω καὶ
ὁ οὐρανός, φησί, μιμούμενον τὸ πρῶτον, ἐπεὶ ἅμα πανταχοῦ εἶναι οὐ δύ-
ναται, κατὰ μόρια πανταχοῦ γίνεται. καὶ τὰ ζῷα δὲ κινούμενα τὴν κατὰ
πλάγια κίνησιν ὑπὸ ψυχῆς δῆλον ὅτι κινεῖται ταύτην καὶ οὐχ ὑπὸ φύσεως.
ἀλλ' ἐπὶ μὲν τῶν ζῴων ἑτέρα ἐστὶν ἡ κατὰ ψυχὴν κίνησις τῆς ὑπὸ φύ-
10 σεως· τῶν γὰρ ἐμψύχων ὅσα σύνθετον ἔχει τὸ σῶμα ἄλλην ἔχει κίνησιν 10
τὴν κατὰ φύσιν τῆς κατὰ ψυχήν. διὸ κινεῖται τὸ σῶμα τὴν ἔμφυτον κί-
νησιν κατὰ τὸ ἐπικρατοῦν τῶν ἁπλῶν, ὅταν μὴ ὡς ἔμψυχον κινῆται ἀλλ'
ὡς σῶμα ἁπλῶς. ὅταν μὲν γὰρ βαδίζῃ τὰ ζῷα ἢ ἵπταται ἢ νήχεται,
κατὰ ψυχὴν κινεῖται· ὅταν δὲ φέρηται ἀπὸ ὕψους κατὰ βαρεῖαν ῥοπήν,
15 κατὰ φύσιν κινεῖται ἐπικρατοῦντος τοῦ γεώδους καὶ βαρέος σώματος. τῷ δὲ
ἁπλῷ σώματι, ᾧ ὑπάρχει τὸ ἐμψύχῳ εἶναι, διὰ ἰδιότητα τούτου φύσις
ἐστὶν ἡ ψυχή, καὶ ἡ κατὰ ψυχὴν κίνησις κατὰ φύσιν ἐστὶν αὐτῷ κίνησις.
εἰ δὲ μὴ φύσει κινεῖται ἀλλ' ὑπὸ ψυχῆς, οὐκέτι ὑπάγεται τῷ λόγῳ τῷ 15
λέγοντι ὅτι τὰ φύσει κινούμενα κἂν βίᾳ κινηθείη. εἰ δὲ ὅλως δεῖ καὶ ἐν
20 αὐτῷ φυσικὴν ἐναποτίθεσθαι κίνησιν. φαμὲν ὅτι τοιαύτην ἕξει φυσικὴν κί-
νησιν, οἵαν ἔχει καὶ τὴν ἀπὸ ψυχῆς, καὶ οὐκ ἐπὶ πάντων φήσομεν εἶναι
τὸν λόγον τὸν Ἀριστοτελικὸν ὅτι πᾶν τὸ φύσει κινούμενον κἂν βίᾳ κινη-
θείη, ἀλλ' ἐφ' ὧν κατ' εὐθυωρίαν ἡ κίνησις γίνεται, ἅτινα καὶ καθ' ὅλα
ἑαυτὰ κινεῖται. δέδεικται δὲ αὐτῷ τῷ φιλοσόφῳ ὅτι τῇ κατ' εὐθεῖαν
25 κινήσει ἐστὶν ἐναντιότης, μόνη δὲ ἡ κατὰ κύκλον κίνησις οὐδὲν ἐναντίον 20
ἔχει. τῇ γὰρ ἐπὶ τὸ ἄνω κινήσει ἡ ἐπὶ τὸ κάτω ἀντίκειται, τῇ ἔμπροσθεν
ἡ ὄπισθεν, τῇ ἐπὶ τὰ δεξιὰ ἡ ἐπὶ τὰ ἀριστερά, τῇ μέντοι κατὰ κύκλον
οὐδέν. ὥστε τῶν κατὰ φύσιν κινουμένων ταῦτα κινεῖται καὶ βίᾳ, ἃ τὴν
κατ' εὐθεῖαν κινεῖται κίνησιν καὶ ὅλα τὸν τόπον ἀμείβει ἐν τῇ κινήσει τῇ
30 κατ' εὐθεῖαν, καὶ ἡ ἐναντιότης ὁρᾶται, τὰ μέντοι οὐράνια καὶ κύκλῳ κι-
νεῖται καὶ ὅλα δι' ὅλων οὐκ ἀμείβει τοὺς τόπους. δῆλον δὲ ὅτι οἱ κινεῖ-
σθαι τοπικῶς τὴν ψυχὴν λέγοντες καὶ τῇ κινήσει τῇ ἑαυτῆς κατὰ μοχλείαν 25
τινὰ κινεῖν τὸ σῶμα τὴν κατ' εὐθεῖαν αὐτῇ παρέσχον κίνησιν· πάντα γὰρ
τὰ τῶν ζῴων σώματα κατ' εὐθεῖαν κινεῖται. καλῶς δὲ καὶ τοῦτο προστί-

1 ὁ D: om. Rt 3 φησιν] Metaph. Λ 7 p. 1072a26 sqq. 4 et 6 φησί] non Aristoteles sed Plotinus, cf. Enn. II 2, 1 7. 8 fort. τὴν εἰς τὰ πλάγια 13 fort. ἵπτηται ἢ νήχηται 19 δεῖ Dt: δὴ R 20 ἐναποτίθεσθαι scripsi: ἐναποτίθεται libri 27 ἡ ἐπὶ DR: ἢ καὶ ἐπὶ t 28 ἃ R: om. Dt 32 ἑαυτῆς Dt: τῆς R

3 post λέγω ψυχῆς omissis quae sequuntur haec addit A: ἀλλ' ἕτερός τις πρὸς τοῦτο ἀντιφθέγξοιτο (fort. ἂν ἀντιφθέγξαιτο) λόγος ὡς εἰ καὶ κρείττων ἡ δύναμις ἐκείνη, τουτέστιν ἡ ψυχή, τῶν περὶ γένεσιν καὶ φθορὰν σωμάτων ὑλικῶν, ἀλλ' οὐχὶ καὶ τῶν οὐρανίων σωμάτων τὸ κρεῖττον τῶν ἄλλων αὐτὴν (?) ἀφιστᾷ, ἵνα μὴ λέγοιτο καὶ τούτων ὥσπερ ψυχὴ οὕτω καὶ φύσις. ἀλλ' ἴσως τῆς συνόψεως αἱ τοιαῦται προσθῆκαι περιεργότεραι (περιεργότερον A)

θησιν ὁ Ἀλέξανδρος ὅτι ἡ δόξα ἡ περὶ τῆς τῶν οὐρανίων κινήσεως ὅτι c 8r
τε οὐκ ἔστιν ἐν τόπῳ οὐδὲ κινηθείη ἄν ποτε παρὰ φύσιν οὐδενὸς ἄλλου
τῶν πρὸ Ἀριστοτέλους ἐστίν, ἀλλ' αὐτὸς αὐτὴν πρῶτος εἰσηγήσατο. ὥστε
καλῶς ἐκείνοις ἑπόμενα εἰρήκαμεν ἐξ ὧν λέγουσιν. ἔπειτα τὸ εἰ φύσει
5 κινεῖται, καὶ βίᾳ κινηθείη ὡς ἐνδεχόμενον ἔλαβεν, ὅτι ἐνδέχεταί τινα 30
τῶν φύσει κινουμένων καὶ βίᾳ κινεῖσθαι. ταῦτα δὲ κινεῖται βίᾳ τῶν φύσει
κινουμένων, ὅσα ἐναντίας ἔχει κινήσεις. ἔχοιεν δ' ἂν καὶ αἱ τῆς ψυχῆς
κινήσεις ἐναντίας· ἃς γὰρ κινεῖ τὸ σῶμα, εὔλογον καὶ αὐτὴν κινεῖσθαι, εἴ
γε τῷ κινεῖσθαι κινεῖ τὸ σῶμα· πᾶσαι δὲ αἱ τοῦ σώματος κινήσεις κατ'
10 ἐναντίωσιν θεωροῦνται, ὡς ἤδη εἴπομεν.

p. 406a23 Τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ ἠρεμίας· εἰς ὃ γὰρ
κινεῖται φύσει, καὶ ἠρεμεῖ ἐν τούτῳ φύσει· ὁμοίως δὲ καὶ εἰς ὃ 35
κινεῖται βίᾳ, καὶ ἠρεμεῖ ἐν τούτῳ βίᾳ.

Ἕπεται τῷ περὶ τῶν κινήσεων λόγῳ καὶ ὁ περὶ ἠρεμιῶν. ἐπεὶ γὰρ
15 τὰ κατ' εὐθεῖαν κινούμενα καὶ ὅλα δι' ὅλων τὸν τόπον ἀμείβοντα οὐκ ἐπ'
ἄπειρον φέρεται, ἔχει δηλονότι τόπον, ὃν ἐπείγεται καταλαβεῖν, ἐπειδὴ
μηδὲν μάτην ποιεῖ ἡ φύσις. ὥστε ὅταν κινῶνται κατὰ φύσιν τὰ κινού-
μενα, καταλαβόντα τὸν τόπον ὃν ἐπείγεται, ἠρεμήσει ἐκεῖ, εἴ γε μὴ μάτην
ἡ κίνησις. εἰ γὰρ μήτε ἐπ' ἄπειρον φέρεται, ἐνεχθέντα εἰς τὸν οἰκεῖον 40
20 τόπον οὐκέτι ὑπὸ φύσεως εἰς τὸν παρὰ φύσιν κινεῖται· παρὰ φύσιν δὲ τὸ
ἐναντίον. ἠρεμήσει ἄρα κατὰ φύσιν εἰς τὸν κατὰ φύσιν τόπον, ὃν ἡ φύσις
καταλαβεῖν ἠπείγετο· βίας γὰρ δεῖ εἰς τὸ κινηθῆναι ἐπὶ τὰ ἀντικείμενα.
πάλιν τὰ βίᾳ κινούμενα, εἴ γε μὴ ἐπ' ἄπειρον φέρονται, ἔχουσι καὶ τὸν
παρὰ φύσιν τόπον, εἰς ὃν γενόμενα ἠρεμήσει βίᾳ. καὶ ἄλλως δείκνυται
25 ὅτι πᾶσα κίνησις κατὰ εὐθεῖαν γινομένη ἀπὸ ἠρεμίας ἄρχεται· εἰ γὰρ ἡ
βῶλος ἐπὶ τὸ ἄνω φερομένη μὴ ἠρεμήσει ἐπὶ τῆς ἄνω φορᾶς, οὐδέ- 45
ποτε ἐνεχθήσεται κάτω· εἰ δὲ κινεῖται τὴν ἐναντίαν, δεῖ ἠρεμῆσαι πρό-
τερον τὴν ἐπὶ τὸ ἄνω κίνησιν, εἶτα ἄρξασθαι τὴν ἐπὶ τὸ κάτω· ἅμα γὰρ
τὰς ἐναντίας ἀδύνατον κινηθῆναι. εἰ δὲ ἀνάγκη τῷ περὶ κινήσεως λόγῳ
30 εἰσάγεσθαι καὶ τὸν περὶ τῆς ἠρεμίας, ἀνάγκη ἄρα κινουμένην τὴν ψυχὴν
καὶ ἠρεμεῖν· εἰ δὲ τοῦτο, οὐκέτι ἀεικίνητος ἔσται.

p. 406b26 Ποῖαι δὲ βίαιοι τῆς ψυχῆς κινήσεις ἔσονται καὶ ἠρε-
μίαι, οὐδὲ πλάττειν βουλομένοις ῥᾴδιον ἀποδοῦναι. 50

Ἐντεῦθεν δῆλον ὅτι ἓν ἐστι τὸ ἐπιχείρημα ἄνωθεν ἐξ οὗ φησιν "ἐπι-

---

1 ὅτι (ante ἡ) DR: ἔτι t 9 δὲ om. t 13 ἠρεμεῖν R 14 περὶ κινήσεων R
15 τὰ om. R δι' ὅλον R 19 μήτε] fort. μὴ 20 κινοῦνται R 23 φέρεται t
26 μὴ om. D ἐπὶ τῆς ἄνω R: τῆς ἐπὶ τὸ ἄνω Dt 30 καὶ post εἰσάγεσθαι
om. R περὶ τῆς D: τῆς om. Rt ἄρα ἀναγκη t 32 ποῖα t βίαιοι Dt, ut
Arist.: βίαι R 34 ἓν D: om. Rt

σκεπτέον δὲ πρῶτον μὲν περὶ κινήσεως''. ἰδοὺ γὰρ ὧδε συνεπέρανε· δείξας c 8r
γὰρ ὅτι εἰ καθ' αὑτὴν κινεῖται, τουτέστι κατὰ φύσιν, ἔσται αὐτῇ καὶ κατὰ
φύσιν τόπος, καὶ πάλιν εἰ κατὰ φύσιν κινεῖται, κινηθήσεται καὶ βίᾳ καὶ
ἔσται τις καὶ βίαιος αὐτῇ τόπος, καὶ ὅτι τὸ κινούμενον οὕτως καὶ ἠρεμεῖ,
5 συμπεραίνει οὖν ἐνταῦθα λέγων ποῖαι οὖν βίαιοι τῆς ψυχῆς κι|νήσεις c 8v
καὶ ἠρεμίαι. ὅτι δὲ οὐχ οἷόν τε διελεῖν καὶ ἀποδοῦναι τάσδε μὲν τὰς
κινήσεις καὶ ἠρεμίας τῆς ψυχῆς κατὰ φύσιν εἶναι, τάσδε δὲ παρὰ φύσιν,
ὧδε ἂν μάθοις. αἱ μάλιστα καὶ πρώτως εἶναι δοκοῦσαι τῆς ψυχῆς εἴτε
κινήσεις εἴτε ἐνέργειαι κρίσις ἐστὶ καὶ ὄρεξις, ὧν ἑκατέρα διαιρεῖται εἴς τε
10 τὸ λογικὸν καὶ τὸ ἄλογον. καὶ ἔστιν ἐν μὲν τῇ κρίσει λογικὸν νοῦς καὶ
ἐπιστήμη, τὸ δὲ ἄλογον αἴσθησις, ἐν δὲ ὀρέξει λογικὸν μὲν ἡ βούλησις, 5
τὸ δὲ ἄλογον ἐπιθυμία καὶ θυμός. ὅτι μὲν οὖν τούτων τὰς μὲν λέγειν κατὰ
φύσιν εἶναι, τὰς δὲ παρὰ φύσιν ἄλογον, δῆλον· πᾶσαι γὰρ ὁρῶνται κατὰ
φύσιν ὑπάρχουσαι τῷ ζῴῳ. εἰ δέ τις λέγοι παρὰ φύσιν εἶναι τῇ ψυχῇ
15 τὸν θυμὸν ἢ τὴν ἐπιθυμίαν, ἴστω πρῶτον μέν, ἐὰν ἄρα, τῇ λογικῇ· νῦν
δὲ περὶ πάσης ψυχῆς ὁ λόγος. θυμὸς δὲ καὶ ἐπιθυμία τῆς ἀλόγου ψυχῆς
μόρια. ἔπειτα τῷ παρὰ φύσιν οὐδέποτε ἄν τις εἰς τὸ κατὰ φύσιν χρή-
σαιτο· θυμῷ δὲ καὶ ἐπιθυμίᾳ εἰς σωτηρίαν τοῦ ζῴου κεχρήμεθα, χρώ- 10
μεθα δὲ αὐτοῖς πολλάκις καὶ εἰς τὸ τῆς ψυχῆς ἀγαθόν· ὥστε οὐ παρὰ
20 φύσιν. πολλῷ δὲ πλέον αἱ κατὰ κρίσιν κινήσεις κατὰ φύσιν. ἀλλ' οὐδὲ
αὐτὰς ταύτας τὰς κινήσεις βίᾳ ἄν ποτε κινηθείη. βίᾳ μὲν οὖν τυράννων
δόγμα ἀσεβὲς ὁμολογήσειε. συνθέσθαι μέντοι καθ' ἕξιν καὶ δοξάσαι τι
βίᾳ αὐτὴν ἀδύνατον. δόξειε δ' ἂν κατὰ θυμὸν καὶ ἐπιθυμίαν βιάζεσθαι,
ὅταν ἐρεθίζηται ὑπὸ τῶν ἔξωθεν· θεωρεῖται γὰρ ἐν τῇ ψυχῇ μάχη τις
25 τῶν παθῶν καὶ τοῦ λόγου· τῇ δὲ ἀληθείᾳ οὐδὲ ἐπὶ τούτοις οὐδεμία ἔστι 15
βίαιος κίνησις· εἰ γὰρ μὴ συγκαταθῆται ὁ λόγος τῷ πάθει, οὐδέποτε ἂν
εἴς τι τούτων ἐξαχθείη. ἔστι γὰρ βία, ὡς αὐτὸς ὡρίσατο, οὗ ἡ ἀρχὴ
ἔξωθεν μηδὲν συμβαλλομένου τοῦ πάσχοντος ἢ πράττοντος, ὥσπερ ἡ τοῦ
λίθου ἐπὶ τὸ ἄνω φορά· ἡ μέντοι ψυχὴ [ἡ] αὐτὴ ἐνδίδωσι τῷ πάθει καὶ
30 συγκατατίθεται· δηλοῦσι δὲ οἱ σπουδαῖοι οὐδενὶ τῶν ἐρεθιζόντων εἴκοντες.
ἀλλὰ μὴν οὐδὲ τὴν θρεπτικὴν δύναμιν εἴποι ἄν τις παρὰ φύσιν. ταῖς δὲ
κατὰ τόπον τοῦ σώματος κινήσεσι κατὰ τὴν ὁρμὴν τῆς ψυχῆς γινομέναις
εἶεν ἂν ἐναντίαι αἱ παρὰ τὴν ὁρμὴν αὐτῆς γινόμεναι· φύσει δὲ αὗται οὐκ 20
ἐναντίαι, διότι καὶ κατὰ τὴν ὁρμὴν τῆς ψυχῆς κινηθείη ἂν ἐπὶ ἐκεῖνα τὸ
35 σῶμα, οἷον εἴ τις αὐτῆς εἰς τὸ ἔμπροσθεν κινούσης τὸ σῶμα ἄλλος εἰς
τοὐπίσω ἕλκοι. εἰ γὰρ δύναται καὶ ἐπὶ τὰ αὐτὰ κινεῖν ἡ ψυχὴ τὸ σῶμα,
ὁμοίως δεξιά τε καὶ ἀριστερά, ἄνω τε καὶ κάτω, οὐ παρὰ φύσιν αὗται
αἱ κινήσεις, κἂν βίᾳ τις ἕλκῃ. ἡ γὰρ κατὰ φύσιν κίνησις οὐδέποτε ἂν
γένοιτο παρὰ φύσιν· οὐδέποτε γὰρ παρὰ φύσιν τῷ πυρὶ ἡ ἐπὶ τὸ ἄνω

---

1 μὲν om. t 4 αὐτῆς R 7 τάσδε δὲ AR: τὰς δὲ Dt 8 ὧδε ἂν A: ᾧ δ' ἂν DRt
11 ὀρέξει ADt: τῇ ὀρέξει R ἡ om. R 15 τὴν θυμὸν t 21 οὖν DRt: γὰρ A
fort. recte 23 δόξειε scripsi: δόξει A: δόξῃ R: δόξης Dt 29 ἡ delevi
36 ἕλκει t δύναιτο R 38 οὐδέποτε δ' ἂν t 39 παρὰ τὴν φύσιν τῷ t

φορά. ὥστε εἰ τῇ μὲν κατὰ φύσιν κινήσει ἕπεται πάντως καὶ ἡ παρὰ c 8v
φύσιν, οὐ κινεῖται δὲ ἡ ψυχὴ παρὰ φύσιν, οὐδὲ κατὰ φύσιν ἂν κινηθείη. 26
δῆλον δ' ὡς ὑγιῶς ἐποιησάμεθα τὴν σὺν ἀντιθέσει ἀντιστροφήν.

p. 406a27 Ἔτι δ' εἰ μὲν ἄνω κινήσεται, πῦρ ἔσται, εἰ δὲ κάτω,
5 γῆ· τούτων γὰρ τῶν σωμάτων αἱ κινήσεις αὗται.

Ἕτερον δέ τι πάλιν ἄτοπον τῇ ὑποθέσει αὐτῶν ἑπόμενον δείκνυσι. εἰ γὰρ κατὰ φύσιν κινεῖται ἡ ψυχή, εἰ μὲν ἐπὶ τὸ ἄνω ἐστὶν ἡ κατὰ φύ- 30
σιν κίνησις, ἢ πῦρ ἔσται ἢ ἀήρ, εἰ δὲ ἐπὶ τὸ κάτω, ἢ γῆ ἢ ὕδωρ· τούτων γὰρ αἱ τοιαῦται κινήσεις κατὰ φύσιν. οὐχ ἁπλῶς δὲ τοῦτο συνάγει ὡς
10 ἄτοπον· καὶ γὰρ ἔλεγόν τινες αὐτῶν οἱ μὲν πῦρ, οἱ δὲ ἄλλο τι τῶν στοιχείων εἶναι τὴν ψυχήν· ἀλλ' ὅτι, εἰ τῆς ψυχῆς ἡ κατὰ φύσιν κίνησις ἡ ἐπὶ τὸ ἄνω ἐστίν, ἔστι δὲ καὶ τῷ πυρὶ ἡ αὐτὴ κατὰ φύσιν κίνησις, ἔσται πᾶν πῦρ ψυχή, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὅπερ ἄτοπον. εἰ γὰρ καὶ τῷ πυρὶ καὶ τῇ ψυχῇ τὸ εἶναι ἑκάστῳ αὐτῶν ὅ ἐστιν ὥρισται τῇ κατὰ
15 φύσιν ἄνω κινήσει, ὧν δὲ τὸ αὐτὸ κατὰ φύσιν ἴδιον, ταῦτα τὰ αὐτά ἐστι, 35
ταὐτὸν ἄρα πῦρ καὶ ψυχή. τοῦτο δὲ τὸ ἄτοπον ἐδήλωσεν εἰπὼν τούτων γὰρ τῶν σωμάτων αἱ κινήσεις αὗται. πῦρ δὲ ἄντικρυς οὐδεὶς αὐτὴν ἐποίει οὐδὲ τῶν ἄλλων τι στοιχείων, ἀλλ' ἐκ πυρὸς οἷς ἦν στοιχεῖον τὸ πῦρ, ἢ ἔκ τινος τῶν ἄλλων. οὐδὲ Δημόκριτος πῦρ αὐτὴν ἔλεγεν, ἀλλ' ἐκ
20 τῶν ἀτόμων ὅθεν τὸ πῦρ. τοῖς μὲν οὖν ἀσώματον λέγουσι τὴν ψυχὴν προδήλως ἕπεται τοῦτο τὸ ἄτοπον, ἕπεται δὲ πᾶσι κοινῶς τὸ αὐτὸ καὶ τοῖς σῶμα αὐτὴν λέγουσιν. οὐ γὰρ ἁπλῶς πῦρ ἔλεγον τὴν ψυχήν, ἀλλὰ 40
πῦρ τοιῶσδε διακείμενον καὶ δυνάμεις τινὰς προσλαβόν· οὐκοῦν ἡ διάθεσίς ἐστιν ἡ ψυχή. εἰ οὖν ἡ αὐτὴ κίνησις ψυχῆς καὶ πυρός, ἔσται πᾶν πῦρ
25 ψυχή· εἰ δὲ τοῦτο ἄτοπον, οὐχ ἡ αὐτὴ ἄρα κίνησις· ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων στοιχείων. εἰ δὲ μηδεμίαν τῶν στοιχείων κίνησιν κινεῖται, οὐκ ἔστι δὲ κίνησις παρὰ ταύτας, οὐκ ἄρα κινεῖται. δοκεῖ δὲ ὅτι ἔχει ἔνστασιν ὁ λόγος τοῖς σῶμα αὐτὴν λέγουσιν· οὐ γὰρ εἰ τὴν αὐτὴν κινεῖται ἑνὶ τῶν στοιχείων, ἤδη ἀνάγκη καὶ ἓν εἶναι τῶν στοιχείων. ἡ γὰρ σὰρξ 45
30 καὶ τὸ ὀστοῦν καὶ τὰ μέταλλα καὶ σχεδὸν πάντα τὰ σύνθετα εἴδη κατὰ φύσιν κινούμενα κατὰ μίαν τῶν ἁπλῶν στοιχείων κίνησιν οὐκ ἤδη καὶ γῆ εἰσιν ἢ ὕδωρ ἤ τι τῶν ἄλλων, ἢ ἀνάπαλιν τὰ στοιχεῖα σάρξ εἰσιν ἢ ὀστοῦν ἤ τι τῶν ἄλλων τῶν ἐκ τῶν στοιχείων. τί οὖν ἀδύνατον καὶ τὴν ψυχὴν ἐξ ἑνὸς οὖσαν τῶν στοιχείων ὡς ἐξ ὑλικοῦ αἰτίου τὴν αὐτὴν αὐτοῖς
35 κινεῖσθαι κίνησιν; εἰ δέ τις λέγοι 'ἀλλ' οὐχ ἡ ὕλη ψυχή ἐστι, λέγω δὴ τὸ στοιχεῖον, ἀλλὰ τὸ εἶδος τὸ ἐπιγινόμενον αὐτῷ', ἴστω ὅτι ἐπὶ πάντων 50
τοῦτο ἁρμόσει λέγειν· σὰρξ γάρ ἐστι τὸ εἶδος τῆς σαρκὸς καὶ οὐ τὰ στοιχεῖα, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων· ἀλλ' ὅμως λέγεται, καὶ ἀληθῶς λέγεται

9. 10 συνάγει ὡς ἄτοπον D: συνάγει εἰς ἄτοπον R: ὡς ἄτοπον συνάγει t 18 τι στοιχείων t: om. R: τι om. D 19 οὐδὲ t: ὁ δὲ DR 27 περὶ ταύτας R 38 ἀλλ' ὅμως A: om. DRt

κατωφερὴς εἶναι κατὰ φύσιν ἡ σάρξ, ὥσπερ καὶ ἡ γῆ. ἢ οὖν καὶ τὰ c 8v
ἄλλα σώματα δεῖ λέγειν ἀκίνητα ἢ καὶ τὴν ψυχὴν κινεῖσθαι.

p. 406a30 Ἐπεὶ δὲ φαίνεται κινοῦσα τὸ σῶμα, ταύτας εὔλογον κινεῖν τὰς κινήσεις ἃς καὶ αὐτὴ κινεῖται. εἰ δὲ τοῦτο, καὶ ἀντιστρέψασιν εἰπεῖν ἀληθὲς ὅτι ἣν τὸ σῶμα κινεῖται, | ταύ- d 1r
την καὶ αὐτή· τὸ δὲ σῶμα φορὰν κινεῖται· ὥστε καὶ ἡ ψυχὴ μεταβάλλοι ἂν κατὰ τὸ σῶμα ἢ ὅλη ἢ κατὰ μόρια μεθισταμένη.

Ἄλλο ἐπιχείρημα ὅτι ἡ ψυχὴ οὐ κινεῖται. ἐπειδὴ γὰρ μοχλείᾳ τινὶ κινεῖν αὐτὴν λέγουσιν τὸ σῶμα, οἱονεὶ τῷ αὐτὴν κινεῖσθαι ὠθοῦσαν αὐτό, ὥσπερ εἰώθασιν ἐν ταῖς παιδιαῖς ποιεῖν ὑμενώδεις ἀπὸ κηρῶν σφαίρας μικρὰς διακένους καὶ ἐναποκλείειν ἔσω μυίας ἢ κανθαρίδας, εἶτα κινουμένων ἐκείνων συγκινεῖται καὶ ὁ κηρός, καὶ ὥσπερ ἐν ζώγρῳ ἀποκεκλεισμένον θηρίον εἶτα ὠθοῦν συγκινεῖ ἑαυτῷ τὸν ζῶγρον, ἐπεὶ οὖν οὕτως ἔλεγον τὴν ψυχὴν κινουμένην συγκινεῖν τὸ σῶμα, τὰ ἀκόλουθα τῇ δόξῃ ταύτῃ διὰ τούτων πάλιν ἐπισκέπτεται. εἰ γὰρ οὕτως, φησί, κινεῖ ἡ ψυχὴ τὸ σῶμα, ἀκόλουθόν ἐστιν ἐκείνην κινεῖσθαι τὸ σῶμα τὴν κίνησιν ἣν ἂν καὶ ἡ ψυχὴ κινῆται, καὶ ἔμπαλιν ἣν ἂν κινῆται τὸ σῶμα, ταύτην κινεῖσθαι καὶ τὴν ψυχήν. τίς οὖν ἡ κίνησις τούτων, ἐκ τῶν σαφεστέρων ποιεῖται τὴν διδασκαλίαν καὶ ἡμῖν γνωριμωτέρων, λέγω δὴ τοῦ σώματος. ἐπειδὴ γὰρ τὸ σῶμα, φησί, φορὰν κινεῖται, καὶ τὴν ψυχὴν ἀνάγκη φορὰν κινεῖσθαι. ἣν μὲν οὖν ἀκολουθότερον ἐκ τῆς ψυχικῆς κινήσεως συλλογίζεσθαι ⟨τὴν⟩ τοῦ σώματος ⟨ὡς⟩ ἐκ τοῦ αἰτίου τὸ αἰτιατόν· ἐπειδὴ δὲ ἀσαφὴς ἡ τῆς ψυχῆς κίνησις καὶ ἄγνωστος, διὰ τοῦτο ἐκ τοῦ σώματος συλλογίζεται τὴν τῆς ψυχῆς ὡς ἐκ τεκμηρίου τὴν καταλήψιν τῆς αἰτίας ποιούμενος· γνώριμος γὰρ ἡ τοῦ σώματος. ἀπορήσειε δ' ἄν τις, πῶς λέγει ὅτι τὸ κινοῦν τῷ αὐτὸ κινεῖσθαι τὴν αὐτὴν τῷ κινουμένῳ κινηθήσεται κίνησιν. ἰδοὺ γὰρ ἡ ἡμίονος ἕλκει τὸν τροχόν, καὶ ὁ μὲν τροχὸς κύκλῳ κινεῖται, ἡ δὲ ἡμίονος κατ' εὐθεῖαν. ὁμοίως ἐν τῇ χαλκῇ σφαίρᾳ ὁ μὲν ἄξων μίαν κινεῖται κίνησιν, αἱ δὲ ὑπ' αὐτοῦ κινούμεναι ἐπὶ τὰ ἀντικείμενα ἀλλήλαις κινοῦνται, ὧν ἡ μὲν τὴν αὐτὴν τῷ ἄξονι συγκινεῖται, ἡ δὲ ἐπὶ τὰ ἀντικείμενα. καὶ τὰ οὐράνια δὲ κινούμενα κύκλῳ κινεῖ τὰ ἐνταῦθα οὐ τὴν αὐτὴν ἑαυτοῖς. τὰ μὲν οὖν οὐράνια οὐδὲ ἁπλῶς τῷ κινεῖσθαι κινεῖ τὰ ἐνταῦθα, ἀλλ' οὕτω κινεῖ ὡς εἰ μὴ καὶ ἐκινεῖτο· θερμαίνοντα γὰρ καὶ ψύχοντα

1 εἶναι καὶ κατὰ t 3 ἐπεὶ δὲ DR: ἔπειτα δ' εἰ t et Arist. E corr.: ἔτι δ' ἐπεὶ Arist. vulg. ταύτας—κινεῖται (6)] ἕως τοῦ R ταύτας D Arist.: ταύταις t 5 post ὅτι add. κατὰ γένος καὶ κατὰ εἶδος t 5. 6 ταύτην καὶ αὐτή Arist.: om. D: post κατὰ τὸ σῶμα (7) transponit t 6 φορὰν D, cf. v. 20, de an. Sy: φορᾷ t et de an. plerique 7 μεταβάλοι D τὸ om. R 13 ζῶγρον] ζῶον R 17 ψυχὴ κινεῖται D κινῆται (post ἂν) D¹Rt: κινεῖται D² 20 κινεῖται RtD²: κινῆται D¹ 21 συλλογίσασθαι t 22 τὴν addidi ὡς add. Diels 25 πῶς Dt: ὅτι πῶς R λέγοι t 26 τῷ αὐτὸ R: τὸ αὐτὸ Dt 33 καὶ (post γὰρ) om. R

συγκρίσει καὶ διακρίσει οὕτω ὁρᾷ περὶ ἡμᾶς, οὐ μέντοι τῷ κινεῖσθαι· d 1r
τοσοῦτον γὰρ μόνον ἡ κίνησις συμβάλλεται, τῷ ποιεῖν ἐγγυτέρω ἢ πορρωτέρω ἡμῶν τὸν ἥλιον ἢ τὴν σελήνην ἤ τινα τῶν ἄλλων ἀστέρων. περὶ δὲ τῶν λοιπῶν ἄλλος μὲν ἂν εἴποι ὅτι καὶ ὁ τροχὸς τῆς ἁμάξης κατ' εὐθυωρίαν ἕλκεται, τὸ δὲ σχῆμα αἴτιον τῆς κύκλῳ κινήσεως· ὅλος μὲν γὰρ ὡς ὅλος κατ' εὐθεῖαν κινεῖται ὁ τροχὸς τόπον ἐκ τόπου ἀμείβων κατ' εὐθὺ κείμενον, τὰ μόρια μέντοι ἐστὶ τὰ κύκλῳ ἀντιπαραχωροῦντα ἀλλήλοις τῶν τόπων. ἐπὶ δὲ τοῦ ἄξονος διὰ τὸ εἶναι ἔξωθεν τὸ ὀδοντωτὸν καλούμενον, ὅπερ προσεχῶς κινοῦν τὴν εἰς τὰ ἀντικείμενα κινουμένην σφαῖραν τὴν αὐτὴν αὐτῇ κινεῖται. οὐχ ἱκανὸς δὲ οὗτος ὁ λόγος· τὸ γὰρ πρώτως κινοῦν ὁ ἄξων ἐστί· μάλιστα δὲ νῦν περὶ τοῦ πρώτως κινοῦντος ὁ λόγος, περὶ ψυχῆς. οὐχ ἱκανὸν δὲ εἰς ἀπολογίαν οὐδὲ τὸ τοῦ τροχοῦ σχῆμα. ἡ μέντοι τούτων λύσις αὕτη ἐστίν· οὐκ εἶπεν ὅτι ἧν ἂν κινῆται τὸ κινοῦν κατ' εἶδος, οἷον εὐθεῖαν ἢ κύκλον, ταύτην κινηθήσεται καὶ τὸ κινούμενον, ἀλλὰ κατὰ τὸ γένος· εἰ τὴν κατὰ τόπον τὸ κινοῦν, καὶ τὸ κινούμενον κατὰ τόπον κινεῖται· διὸ φορὰν εἶπε. ζητητέον δὲ μήποτε ἐπὶ μόνης τῆς κατὰ τόπον τοῦτο ἀληθές ἐστιν· οὐδὲ γὰρ ὁ κινῶν κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ ποιὸν τὴν αὐτὴν κινηθήσεται, εἴ γε μὴ ὁ μελαίνων μελαίνεται ἢ ὁ αὔξων αὔξεται ἢ ὁ διδάσκων διδάσκεται. ἐπὶ μόνης οὖν ἀληθεύει τῆς κατὰ τόπον κινήσεως. ὥστε καὶ αὐτὴ κινηθήσεται κατὰ τόπον ἢ ὅλη ἢ κατὰ μόρια μεθισταμένη ἴσως, ὅλη μὲν ὅλον κινοῦσα τὸ σῶμα, κατὰ μόρια δὲ μέρος αὐτοῦ κινοῦσα. τί δὲ τὸ τούτῳ ἑπόμενον ἄτοπον ἐπήγαγε.

p. 406b3 Εἰ δὲ τοῦτο ἐνδέχεται, καὶ ἐξελθοῦσαν εἰσιέναι πάλιν· τούτῳ δ' ἕποιτο ἂν τὸ ἀνίστασθαι τὰ τεθνεῶτα τῶν ζῴων.

Εἰ γὰρ κατὰ μοχλείαν τινὰ κινεῖ τὸ σῶμα καὶ τῷ ὠθεῖν, ὡς ἤδη εἴπομεν, ὡς ἐν ζώγρῳ θηρίον, δυνατόν, φησίν, ἐξελθοῦσαν ἀπὸ τοῦ σώματος πάλιν εἰσελθεῖν εἰς αὐτὸ καὶ πάλιν κινῆσαι αὐτό, καὶ οὕτως ἀνασταίη ἂν τὰ νεκρὰ ζῷα. τί γὰρ τὸ κωλῦον, εἴ γε μόνῃ ὠθήσει καὶ μοχλείᾳ κινεῖ αὐτό; ἐνίστανται δὲ πάλιν πρὸς τοῦτο λέγοντες ὅτι οὐ καλῶς εἶπεν ὅτι εἰ κινοῦσα κινεῖται, ἐξελθοῦσα εἰσέλθοι ἂν πάλιν καὶ οὕτως ἀναστήσονται τὰ τεθνεῶτα τῶν ζῴων. ἰδοὺ γάρ, φασίν, ὁ κίων μοχλείᾳ τινὶ καὶ ὤσει ἀνέχει τὸν τοῖχον ἢ ἄλλο τι τοιοῦτον, καὶ ἐὰν ὑποσπασθῇ, διαλυθείσης τῆς ἁρμονίας καὶ πίπτει ὁ τοῖχος, καὶ ὅμως οὐκέτι δύναται ὑπο-

---

2 τῷ ποιεῖν DRt: ὅσον ποιεῖν A 8 ἔξωθεν A: ἔσωθεν DRt 10 αὐτῇ ADR: αὐτὴ t: fort. αὐτῷ, cf. p. 106,30 12 τοῦ om. t 13 ὅτι DR: om. At 18 μελαίνων iterat D 19 ὁ (ante αὔξων) A: om. DRt ὁ (ante διδάσκων) om. R 20 ἀληθεύει A: ἀληθεύσει DRt 24 post πάλιν add. ἐνδέχοιτ' ἄν t et Arist. vulg. τούτῳ δ' ἕποιτο ἂν τὸ t Arist.: τοῦτο δ' ἐποιεῖτο (sed corr. in ἕποιτο D²) ἂν τῷ DR 31 εἶπεν ὡς εἰ R κινεῖται scripsi coll. p. 108,18. 22: κινεῖ libri 32 φασίν scripsi: φησίν libri

τεθεὶς ἀνέχειν τὸν τοῖχον ἢ ἄλλο τι τοιοῦτον. καὶ ἄλλα τοιαῦτα εὕροις d 1r
ἂν παραδείγματα. πρὸς δὲ τοῦτο ἀπολογούμενοί φασιν ὅτι ἐνταῦθα οὐ μόνον 40
μοχλείας καὶ ὤσεως δεῖ, ἀλλὰ καὶ ἐπιτηδειότητος τοῦ ἀνεχομένου· διόπερ
διαλυθείσης ταύτης οὐκέτι δύναται ὁ κίων ἅπαξ ὑπεξελθὼν ὑποδὺς πάλιν
5 ἀνέχειν ὅπερ καὶ πρότερον ἀνεῖχεν· ἐκεῖνοι δέ, φασί, κατὰ μόνην μοχλείαν
γίνεσθαι ἔλεγον τὴν κίνησιν. οὐκέτι μέντοι καὶ ἐπιτηδειότητα παρέχοντες
τῷ σώματι οὐδὲ ἐκ φύσεως εἰς τὸ κινεῖσθαι δύναμίν τινα. ἡμεῖς μὲν
γὰρ δύναμίν τινα ζωτικὴν τῇ παρουσίᾳ τῆς ψυχῆς ἐνίεσθαι λέγομεν τῷ 50
σώματι, εἶτα τῇ ταύτης ἀπουσίᾳ ἀφανιζομένης ταύτης συμπίπτειν τὸ
10 σῶμα, καὶ διὰ τοῦτο εὔλογον τὸ μηκέτι δύνασθαι αὐτὴν εἰσιέναι, τῆς ἐξ
αὐτῆς ἐνιεμένης ἐξ ἀρχῆς τῷ σώματι ἐπιτηδειότητος ἀφανισθείσης. ἐκεῖ-
νοι δὲ μόνῃ ὤσει κινεῖν τὴν ψυχὴν ἔλεγον τὸ σῶμα, καὶ διὰ τοῦτο εὔ-
λογον ἐξελθοῦσαν αὐτὴν δύνασθαι πάλιν εἰσελθεῖν ὥσπερ θηρίον τι εἰς
ζῶγρον εἰσιόν τε καὶ ἐξιόν· ᾧ ἕπεται τὸ δύνασθαι ἀναστήσεσθαι τὰ
15 τεθνεῶτα τῶν ζῴων. | αὕτη δὲ ἡ ἐπίλυσις οὐ φυλαττόντων ἐστὶ τὴν d 1v
διάνοιαν τὴν Ἀριστοτελικήν· βούλεται γὰρ διὰ τούτων δεῖξαι ὅτι καθάπαξ
ἡ ψυχὴ οὐ κινεῖται, οὐδὲ τῷ κινεῖσθαι κινεῖ τὸ σῶμα. τί οὖν διαφέρει
πρὸς τὸ κινοῦσαν κινεῖσθαι, εἴτε δεῖ τῷ σώματι ἐπιτηδειότητός τινος εἴτε
μὴ δεῖ; τὸ ζητούμενον γὰρ ἦν εἰ κινεῖται ἢ μὴ κινεῖται. εἰ μὲν γὰρ περὶ
20 τοῦ πότερον ἐπιτηδειότητος δεῖ τῷ σώματι πρὸς τὸ κινεῖσθαι ἢ μὴ ἡ ζή-
τησις ἦν, καλῶς ἂν ἐπελύοντο τοῦτον τὸν τρόπον· εἰ δὲ περὶ τούτου μὲν 5
οὐδεὶς λόγος, ζητεῖ δὲ περὶ τοῦ κινεῖσθαι τὴν ψυχὴν ἢ μὴ ἐν τῷ κινεῖν
τὸ σῶμα, τί μᾶλλον ἔδειξεν αὐτὴν μὴ κινουμένην, ἐὰν δεῖται τὸ σῶμα
ἐπιτηδειότητος πρὸς τὸ κινεῖσθαι κινουμένης τῆς ψυχῆς; οὕτω γὰρ οὐδὲ ἡ
25 βακτηρία τῷ κινεῖσθαι κινεῖ τὴν θύραν, ἐπειδὴ δεῖ τῇ θύρᾳ πρὸς τὸ κινη-
θῆναι ἐπιτηδειότητός τινος. καὶ οὕτως ἔχουσα κινηθήσεται ὠθούσης τῆς
βακτηρίας· οὐδὲ γὰρ πεπηγυῖα ἥλοις ἢ λελυμένης τῆς ἁρμονίας. καὶ
πάντα δὲ τὰ κινούμενα ὑπό τινος δεῖται πάντως τινὸς ἐπιτηδειότητος 10
οἰκείας· ὥστε οὐ λέλυται ἡ ἀπορία, καὶ διὰ τοῦτο οὐ δοκεῖ εὐλόγως τοῦτο
30 συνάγειν ὁ Ἀριστοτέλης. // ἄλλως τε ἐρεῖ τις πρὸς αὐτόν· εἰσῆλθεν ἂν
πάλιν ἡ ψυχὴ εἰς τὸ σῶμα καὶ ἀνίστατο τὰ τεθνηκότα τῶν ζῴων, εἰ
ταύτην εἶχε φύσιν τοῦ πάλιν εἰσιέναι· νῦν δὲ οὐκέτι εἰσέρχεται, ἐπειδὴ
μηδὲ πέφυκεν. τί οὖν παρὰ τοῦτο τὸ πρὶν οὖσα ἐν τῷ σώματι οὐκ ἐκι-
νεῖτο; οὐδὲ γὰρ πέφυκε δὶς εἰς τὸ αὐτὸ σῶμα εἰσιέναι, ὥσπερ οὐδὲ εἰ τὸ
35 θηρίον ἐν τῷ αὐτῷ ζώγρῳ ἐπεφύκει εἰσιέναι πάλιν. ὅτι δ' οὐ πέφυκεν,
ἐκ τῆς ἐπαγωγῆς δῆλον. εἴποι δ' ἂν καὶ Δημόκριτος καὶ ἕκαστος τῶν 15
ἄλλων ὅτι κινουμένην μὲν τὴν ψυχὴν κινεῖν φαμεν τὸ σῶμα, δεῖν δέ
φαμεν καὶ τῷ σώματι ἐπιτηδειότητός τινος εἰς τὸ δύνασθαι ὑποδέξασθαι

---

4 διαλυθήση D¹, sed corr. D² ὑπεξελθὼν A: ἐλθὼν DRt 9 ἀφανιζομένης ταύτης A: ἀφανιζομένην ταύτην DRt 10. 11 τῆς ἐξ ἀρχῆς ἐνιεμένης τῷ σώματι A 11 ἀνιεμένης t 19 ἦν A: om. DRt 22 ἢ μὴ post κινεῖν τὸ σῶμα (23) transponit R 25 δεῖ DRt: προσδεῖ A 27 ἥλοις Dt: ὕλης R 31 εἰς ADt: πρὸς R 32 εἶχε A: ἔχει DRt 34 post θηρίον fort. addendum πάλιν ἐγένετο 35 ὅτι δ' DR: ὅτι οὐδὲ t 36 ὁ δημόκριτος t

τὰς τῆς ψυχῆς κινήσεις, οἷον τὴν τοιάνδε τῶν ἀτόμων τῶν τοιῶνδε τάξιν d 1ᵛ καὶ θέσιν, ὁμοίως καὶ οἱ λοιποὶ τὴν τοιάνδε τῶν στοιχείων τῶν παρ' αὐτοῖς ἁρμονίαν, ἧς διαλυθείσης οὐχ οἵα τέ ἐστιν ἔτι ὠθεῖν τὸ σῶμα, ὥσπερ εἰ διαλυθείη ἡ τοιάδε τοῦ κηροῦ πλάσις ἢ ποιότης, οἷον εἰ μαλα-
5 κὸς γένοιτο ἢ ἄλλο τι πάθοι, οὐκέτι τὸ ἐντὸς ἀποκεκλεισμένον ζῷον κινῆσαι αὐτὸν δύναται.

p. 406ᵇ5 Τὴν δὲ κατὰ συμβεβηκὸς κίνησιν κἂν ὑφ' ἑτέρου κινοῖτο.

Δείξας ὅτι οὐ δυνατὸν κινεῖσθαι τὴν ψυχὴν διὰ τῶν ἀκολουθούντων
10 ἀτόπων τῇ ὑποθέσει τῇ λεγούσῃ καθ' αὑτὴν κινεῖσθαι αὐτήν, νῦν διὰ τούτων βούλεται πρὸς τὸ αὐτοκίνητον ἐνστῆναι. πρὶν μὲν γὰρ ἁπλῶς ἔδειξεν ὅτι οὐ κινεῖται, νῦν δὲ δείκνυσιν ἐξ ὧν ἂν μάλιστα ὑπονοηθείη κινουμένη, ἐκ τούτων αὐτῶν οὐκ αὐτοκίνητον οὖσαν. ἀνάγκη, φησί, τὸ καθ' αὑτὸ κινούμενον καὶ αὐτὸ ἑαυτῷ αἴτιον ὂν τῆς κινήσεως μὴ ὑπ'
15 ἄλλου κινεῖσθαι. τὸ μὲν γὰρ κατὰ συμβεβηκὸς κινούμενον καὶ αὐτὸ ἑαυτῷ δύναιτο ἂν αἴτιον εἶναι τῆς τοιαύτης κινήσεως καὶ ὑπ' ἄλλου τὴν αὐτὴν ταύτην κινεῖσθαι. λέγομεν γὰρ ἡμεῖς κατὰ ψυχικὴν ὁρμὴν κινουμένου τοῦ ζῴου κατὰ συμβεβηκὸς τὴν ψυχὴν ὑφ' ἑαυτῆς κινεῖσθαι, καὶ τὸν ἐρέτην κινοῦντα τὸ πλοῖον κατὰ συμβεβηκὸς ὑφ' ἑαυτοῦ κινεῖσθαι· εἰ μέντοι ἕλξει
20 τις βίᾳ τὸ ζῷον, ὑπ' ἄλλου κατὰ συμβεβηκὸς ἡ ψυχὴ κινηθήσεται. εἴποι δ' ἄν τις καὶ τὸ ἱστίον κινοῦν τὸ πλοῖον κατὰ συμβεβηκὸς ὑφ' ἑαυτοῦ κινεῖσθαι τὴν τοῦ πλοίου κίνησιν τῷ ἐν τῷ κινουμένῳ εἶναι. τὴν μέντοι καθ' αὑτὸ κίνησιν οὐδέποτέ τι ὑπ' ἄλλου ἂν κινηθείη· ἀναιρετικὸν γὰρ τοῦ καθ' αὑτὸ τὸ δι' ἄλλο, ὡς διὰ τῶν ἑξῆς δείκνυσι. καὶ ἄλλως εἰ ἡ
25 καθ' αὑτὸ κίνησις ἐξ αὐτῆς ἐστι τῆς φύσεως, δεήσεται δ' ἄλλου εἰς τὸ κινεῖσθαι, ἀτελὲς ἂν εἴη ὑπὸ τῆς φύσεως γενόμενον καὶ οὐκ αὔταρκες αὐτὸ ἑαυτῷ, ἀνενέργητον δὲ καὶ μάτην· οὐδὲν δὲ μάτην ὑπὸ τῆς φύσεως γίνεται.

p. 406ᵇ7 Οὐ δεῖ δὲ ᾧ τὸ ὑφ' ἑαυτοῦ κινεῖσθαι ἐν τῇ οὐσίᾳ, τοῦτο ὑπ' ἄλλου κινεῖσθαι, πλὴν εἰ μὴ κατὰ συμβεβηκός.

Τὸ ὑφ' ἑαυτοῦ, φησί, κινούμενον καὶ ἐν τῇ οὐσίᾳ ἔχον τὴν κίνησιν οὐδέποτε ἂν ταύτην τὴν κίνησιν ὑπ' ἄλλου κινηθείη. εἰ γὰρ ὑπ' ἄλλου κινηθείη ταύτην, οὐκέτι ἔσται ἀεὶ καθ' αὑτὸ κινούμενον· τὰ γὰρ συνουσιωμένα ἀεὶ σύνεστιν. ἡ δὲ ψυχὴ φαίνεται, ὡς ἐφεξῆς ἐπάξει, ὑπὸ τῶν
35 αἰσθητῶν κινουμένη· οὐκ ἄρ' ἐστὶν αὐτοκίνητος. τὸ δὲ πλὴν εἰ μὴ

---

2. 3 παρ' αὐτῆς t 4 ὥσπερ ἡ διαλυθείη D 5 γίνοιτο R 19 εἰ μέντοι—κινεῖσθαι (22) om. D 22 τῷ ἐν—κίνησιν (23) om. D 25 ἐξ αὐτῆς DRt: ἕξις A δεήσεται δι' ἄλλου t 29 τοῦ ὑφ' ἑαυτοῦ R 32 κινηθείη—ἄλλου om. R

κατὰ συμβεβηκὸς ἢ οὕτως ἐκληπτέον ὅτι εἰ μή τις καθ' αὑτὴν μὴ d 1v
λέγοι κινεῖσθαι τὴν ψυχήν, ἀλλὰ κατὰ συμβεβηκὸς (οὕτω γὰρ καὶ ὑπ'
ἄλλου κινηθήσεται· δέδεικται γὰρ ὅτι τὸ κινοῦν ἑαυτὸ κατὰ συμβεβηκὸς
δύναται τὴν αὐτὴν ταύτην κίνησιν καὶ ὑπ' ἄλλου κινηθῆναι), ἢ πάλιν
5 οὕτω τὸ πλὴν εἰ μὴ κατὰ συμβεβηκὸς ὅτι ἣν μὲν κινεῖται καθ' αὑτὸ
κίνησιν, οὐκ ἂν κινηθείη ὑπ' ἄλλου, ἣν δὲ κινεῖται ὑπ' ἄλλου, ταύτην 40
κατὰ συμβεβηκὸς κινεῖται, ὥσπερ αἱ πλανώμεναι σφαῖραι κινοῦνται τὴν ἐξ
ἀνατολῶν κατὰ συμβεβηκὸς ὑπὸ τῆς ἀπλανοῦς. ἀπορήσειε δ' ἄν τις, πῶς
φησι τὴν καθ' αὑτὸ κίνησιν οὐκ ἐνδέχεσθαι ὑπ' ἄλλου γίνεσθαι. οὐχὶ
10 κινεῖται καθ' αὑτὸ τὸ ζῷον κατὰ τόπον καὶ κινηθείη ἂν καὶ ὑπ' ἄλλου
κατὰ τόπον; καὶ ὁ λίθος ἐπὶ τὸ κάτω φέρεται καθ' αὑτὸν καὶ ἐνεχθείη
ἂν καὶ ὑπ' ἄλλου κατὰ τόπον ἐπὶ τὸ κάτω βαστάζοντος. λέγω οὖν ὅτι
οὐ τὴν αὐτὴν τὸ ζῷον καὶ ὁ λίθος ὑπ' ἄλλου τε κινεῖται καὶ καθ' αὑτά. 45
τῷ μὲν γὰρ ζῴῳ καθ' αὑτό ἐστι κίνησις ἡ καθ' ὁρμὴν διὰ τῶν οἰκείων
15 ὀργάνων γινομένη, ἣν οὐδέποτε ἂν ὑπ' ἄλλου οὐδὲ ὅλως κατὰ συμβεβηκὸς
κινηθείη· τῷ δὲ λίθῳ ὁμοίως καθ' αὑτό ἐστι κίνησις ἡ κατὰ τὴν οἰκείαν
ῥοπὴν γινομένη· ταύτην δὲ οὐδέποτε ἂν οὗτος κατὰ συμβεβηκὸς ἐνεχθείη.
εἰ τοίνυν τὸ καθ' αὑτὸ κινούμενον οὐ κινεῖται ὑπ' ἄλλου, φαίνεται δὲ ἡ
ψυχὴ ὑπὸ τῶν αἰσθητῶν κινουμένη (κατανοήσασα γὰρ τὸν κόσμον ἔρχεται
20 εἰς ἔννοιαν τοῦ θείου, καὶ ἐκ τῶν καθ' ἕκαστον καὶ αἰσθητῶν κινεῖται εἰς
τὴν τῶν καθόλου γνῶσιν, καὶ τὸ ὀρεκτὸν ἰδοῦσα κινεῖται εἰς ἔφεσιν αὐτοῦ 50
καὶ τὸν λυπήσαντα εἰς ὀργήν· ἀμέλει εἴ τις ἐλλίποι αἴσθησις ἐκ γενετῆς,
ἐκλείπει καὶ ἡ κατ' αὐτὴν κίνησις· εἰ γὰρ μὴ ἔχει ὄψιν, οὐδέποτε ἂν ἣν
κινεῖται ἐκ τῶν ὁρατῶν κίνησιν κινηθείη· ὁμοίως εἰ στερηθείη ἐκ γενέσεως
25 ἀκοῆς, οὐδέποτε ἂν ὑπὸ τῶν ἀκουστῶν κινηθείη, καὶ ἐπὶ τῶν λοιπῶν
ὡσαύτως) εἰ τοίνυν ἐκ τῶν αἰσθητῶν κινεῖται, οὐκ ἄρα καθ' ἑαυτὴν κι-
νεῖται· εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη αὐτοκίνητος. ἀλλὰ λέγομεν πρὸς τοῦτο
ὅτι εἰ καὶ κινεῖται ἡ ψυχὴ ὑπὸ τῶν αἰσθητῶν, ἀλλ' | οὖν οὕτω κινεῖται, d 2r
ὥσπερ ὁ καθεύδων γεωμέτρης ὑπὸ τοῦ ἐξυπνίσαντος. ὥσπερ οὖν ὁ ἐκεῖ-
30 νον ἐξυπνίσας τοσοῦτον μόνον τὸ ἐμποδίζον ἐξεῖλε, τὰ μέντοι θεωρήματα
τὰ γεωμετρικὰ οὐκ ἐνέβαλε τῷ γεωμέτρῃ, οὕτω καὶ ἡ ψυχὴ ἔχουσα
τοὺς λόγους τῶν πραγμάτων ἐν ἑαυτῇ καὶ ὥσπερ ὑπὸ τοῦ ὕπνου τῆς γε-
νέσεως ἀνενέργητος οὖσα ὑπὸ τῶν αἰσθητῶν ἐρεθιζομένη ἢ τῶν διδασκά-
λων προχειρίζεται τοὺς ἐν αὐτῇ λόγους· ἐπεὶ εἰ τὰ αἰσθητὰ αἴτια αὐτῇ 5
35 τῆς γνώσεως ἐγίνοντο, διὰ τί μὴ καὶ τὰ ἄλογα γινώσκει; καὶ γὰρ τὰ
πλεῖστα ὀξυτέραις κέχρηται αἰσθήσεσιν. ἔπειτα ἄλλως οἶδε τὰ αἰσθητὰ

---

5 μὴ om. t 10 καὶ (ante κινηθείη) om. R 12 καὶ ὑπ' ἄλλου κατὰ τόπον om. R post τόπον iterat καὶ ὁ λίθος—ἂν ὑπ' ἄλλου (sic) D 14 et 16 καθ' αὑτό scripsi: καθ' αὑτήν libri 15 ἣν A: ᾗ DRt 22 εἴ τινι ἐλλοίποι αἴσθησις t ἐλλίποι ex ἐλλοίποι corr. D¹ 23 ἔχει DR: ἔχοι t 24 ὁρατῶν Dt: ὀρεκτῶν R 29 ἐξυπνήσαντος R ὁ (ante ἐκεῖνον) D²R: om. D¹t 30 ἐξυπνίσας D¹ (corr. ex ἐξυπνήσας) et t: ἐξυπνήσας R 32. 33 γενέσεως Dt: ἐγέρσεως R 34 ἐπεὶ DR: ἐπειδὴ t αὐτῇ Rt: αὐτῆς D 36 κέχρηνται t

καὶ οὐχ ὡς τῇ αἰσθήσει δοκεῖ· τῆς αἰσθήσεως γὰρ ποδιαῖον ὁρώσης τὸν d 2r
ἥλιον ἡ ψυχὴ λέγει ὅτι ἅμα πάσης τῆς γῆς πολλαπλασίων ἐστίν. ὥστε
οὐχ ὑπὸ τῶν αἰσθητῶν ἴσχει τὴν γνῶσιν· ἐπεὶ εἰ τοῦτο ἂν ἐδόξασεν ὅπερ
ἡ αἴσθησις ὑπαγορεύει, πόθεν καὶ κρίνει καὶ λόγους καὶ πράγματα καὶ ἀπο-
5 φαίνεται ἢ καλῶς ἔχειν ἢ κακῶς, εἰ μὴ πρὸς τοὺς ἐν ἑαυτῇ λόγους παρα-
βάλλουσα; διὰ πάντων ἄρα δῆλον ὅτι οὐ τὰ αἰσθητὰ κινεῖ τὴν ψυχὴν εἰς 10
τὴν γνῶσιν, εἰ μὴ ἄρα, ὡς εἴπομεν, κατὰ τὸ δεύτερον δυνάμει, ὅπερ ἐνερ-
γείᾳ ἐστίν· ἔχει γὰρ τοῦτο τὴν ἕξιν, εἰ καὶ μὴ τὴν ἐνέργειαν προχειρί-
ζεται. ἄλλως τε εἴπομεν ἤδη ὅτι αἱ τοιαῦται κινήσεις τοῦ ζῴου εἰσίν,
10 ἐπεὶ αὐτὴ καθ' αὑτὴν ἐνεργοῦσα ἡ ψυχὴ νοερῶς ἐνεργήσει οὐδὲν προσδεο-
μένη τῶν αἰσθήσεων. ταῦτα δὲ ἁρμόζει λέγειν ἡμῖν πρὸς Ἀριστοτέλη. εἰ
περὶ τῆς λογικῆς λέγοι ψυχῆς ὅτι εἰ κινεῖται, οὐχ ὑφ' ἑαυτῆς κινεῖται,
ἀλλ' ὑπὸ τῶν αἰσθήσεων. ἐπειδὴ δὲ περὶ πάσης ψυχῆς αὐτῷ ὁ λόγος 15
καὶ τῆς ἀλόγου, ἔχουσι χώραν αἱ ὑπ' αὐτοῦ λεγόμεναι κατασκευαί· οὐδὲν
15 γὰρ οἶδεν ἡ ἄλογος χωρὶς τῶν αἰσθητῶν. ἀλλ' οὐδὲν τοῦτο πρὸς Πλά-
τωνα τὴν λογικὴν λέγοντα ψυχὴν αὐτοκίνητον.

p. 406ᵇ8 Ὥσπερ οὐδὲ τὸ καθ' αὑτὸ ἀγαθὸν ἢ δι' αὑτὸ τὸ μὲν
δι' ἄλλο εἶναι, τὸ δ' ἑτέρου ἕνεκεν.

Παράδειγμα τοῦτο τῶν εἰρημένων. ὥσπερ, φησί, τὸ καθ' αὑτὸ ἀγα-
20 θὸν οὐκ ἂν εἴη δι' ἄλλο ἀγαθὸν οὐδὲ τὸ δι' αὑτὸ ἀγαθὸν οὐκ ἂν εἴη 20
ἑτέρου ἕνεκεν, οὕτως οὐδὲ τὸ καθ' αὑτὸ κινούμενον κινηθείη ἂν ὑπ' ἄλλου.
ἀλλὰ μὴν εἴ γε κινεῖται ἡ ψυχὴ ὑπὸ τῶν αἰσθητῶν, ὥσπερ οὖν κινεῖται,
οὐ καθ' αὑτὴν ἄρα κινεῖται· οὐδὲ ἄρα αὐτοκίνητος. ἀντιτίθησι δὲ τῷ
μὲν καθ' αὑτὸ τὸ δι' ἄλλο, τῷ δὲ δι' αὑτὸ τὸ ἑτέρου ἕνεκεν. εἴληπται
25 δὲ αὐτῷ ἡ μὲν πρώτη ἀντίθεσις ἐκ τῆς διαφορᾶς τῶν ποιητικῶν αἰτίων,
ἡ δὲ δευτέρα ἐκ τῆς διαφορᾶς τῶν τελικῶν. οἷον καθ' αὑτὸ μὲν λεγό-
μεθα ἔχειν τὸ ὁρᾶν· τοῦτο οὖν οὐκ ἂν ἡμῖν ποτε δι' ἄλλο τι γένοιτο· ἐξ
αὐτῆς γὰρ τῆς φύσεως τὸ ποιητικὸν αἴτιόν ἐστι τοῦ ὁρᾶν. τὸν μέντοι 25
πλοῦτον οὐκ αὐτοὶ ἔχομεν ἀλλὰ δι' ἄλλο, δι' ἐμπορίαν ἢ γεωργίαν ἤ τι
30 τοιοῦτο. πάλιν τὸ ἐν κεράμῳ ὕδωρ ἢ ὁ κρύσταλλος καθ' αὑτὸ μὲν ἔχει
τὸ ψυχρόν, τὸ μέντοι τοιόνδε σχῆμα δι' ἄλλο· διὰ τὸν κέραμον γάρ.
ὁμοίως καὶ ἐπὶ τοῦ δι' αὑτὸ καὶ ἑτέρου ἕνεκεν. τὴν γὰρ ἀρετὴν δι' αὑτὸ
ἐπιτηδεύομεν καὶ οὐκ ἄλλου ἕνεκεν· κἂν γὰρ μὴ ᾖ ἄμειψις ἀρετῆς, ἐπι-
τηδευτέα ἐστὶν αὐτὴ καθ' αὑτήν· τὴν μέντοι ἰσχὺν οὐ δι' αὑτὴν ἔχομεν,
35 ἀλλὰ διὰ τὸ σῶμα· τελειότης γάρ ἐστιν αὐτοῦ. καὶ τῇ ψυχῇ δὲ δι' 30
αὑτὸ αἱρετὸν ἡ ἀρετή· τελειότης γάρ ἐστιν αὐτῆς. τί μὲν οὖν ἐστι τὸ

---

4 ἡ αἴσθησις Dt: ἡ om. R καὶ κρίνει Dt: καὶ om. R 10 νοερῶς τε ἐνεργήσει t
12 λέγοι D: λέγει Rt 17 καθ' αὑτὸ] καθ' ὑπὸ (sic) t 18 δι' ἄλλου (ut Arist. y) R
τὸ δὲ δι' ἑτέρου ἕνεκεν R 24 τὸ δὲ δι' αὑτὸ D 33 ἀμοιβὴ A Suid. s. v. Καθ'
αὑτό 35 τὸ σῶμα Rt: τὴν ἀρετὴν D καὶ τῇ — ἐστιν αὐτῆς (36) nescio an delenda
sint καὶ τῇ ψυχῇ δὲ Rt: τὸ καὶ τῇ ψυχῇ D 36 αὑτὸ] αὐτὸ Dt: αὐτὴν R

καθ' αὑτὸ καὶ δι' ἄλλο, καὶ τί τὸ δι' αὑτὸ καὶ ἑτέρου ἕνεκεν, εἴρηται. d 2r
εἴ τι δὲ δι' αὑτό, τοῦτο πάντως καὶ καθ' αὑτό, οὐκέτι δὲ εἴ τι καθ' αὑτό,
τοῦτο πάντως καὶ δι' αὑτό. οἷον δι' αὑτὸ τῇ ψυχῇ ἡ ἀρετή· διὰ τοῦτο
καὶ καθ' αὑτό· τὸ γὰρ ποιητικὸν αἴτιον τῆς ἀρετῆς ἐν αὐτῇ ἐστι τῇ ψυχῇ·
5 οὐ δεῖται γὰρ ἑτέρου ἔξωθεν εἰς κατόρθωσιν τῆς ἀρετῆς, ἀλλ' ἐν αὐτῇ
τὴν ποιητικὴν αὐτῆς αἰτίαν ἔχει. ὁμοίως καὶ τῷ σώματι δι' αὑτό ἐστιν
ἡ ὑγίεια ἀγαθόν· διὰ τοῦτο οὖν καὶ καθ' αὑτὸ αὐτῷ ἐστιν ἡ ὑγίεια· οἴκο- 35
θεν γὰρ ἔχει τὸ ποιητικὸν τῆς ὑγιείας αἴτιον· κατὰ φύσιν γὰρ τὸ ὑγιαίνειν.
οὐ μὴν τὸ καθ' αὑτὸ πάντως καὶ δι' αὑτό. καθ' αὑτὸ γὰρ τῇ ψυχῇ τὸ
10 ὁρᾶν, οὐ μὴν δι' αὑτό, ἀλλὰ διὰ τὴν ἀρετὴν ἢ τὸ σώζεσθαι. ὁμοίως εἴ
τι μὲν δι' ἄλλο, τοῦτο πάντως καὶ ἑτέρου ἕνεκεν, οὐκ εἴ τι δ' ἑτέρου
ἕνεκεν, πάντως δι' ἄλλο. δι' ἄλλο γὰρ ὁ πλοῦτος τὴν ἐμπορίαν ἤ τι τοι-
οῦτο· διὰ τοῦτο καὶ ἑτέρου ἕνεκεν τῆς ἀρετῆς. τὸ μέντοι ὁρᾶν ἢ τὸ ὑγιαί-
νειν ἑτέρου μὲν ἕνεκεν, οὐκέτι δὲ καὶ δι' ἄλλο, ἀλλὰ καθ' αὑτό. ἀντικει-
15 μένων οὖν τοῦ μὲν καθ' αὑτὸ τῷ δι' ἄλλο, τῷ δὲ δι' αὑτὸ τοῦ ἑτέρου 40
ἕνεκεν, ἐνδέχεται τὸ καθ' αὑτὸ δι' ἄλλο εἶναι κατὰ συμβεβηκός. τῷ γὰρ
λίθῳ καθ' αὑτὸ τὸ κάτω φέρεσθαι, καὶ ἐνεχθείη ἂν κατὰ συμβεβηκὸς δι'
ἄλλο κάτω· ὑποσπασθέντος γὰρ θεμελίου φέρεται κάτω τὰ ὑπ' αὐτοῦ
ἀνεχόμενα δι' ἄλλο τὸν ὑποσπάσαντα. ἀλλὰ κατὰ συμβεβηκὸς δι' ἄλλο
20 ἠνέχθη· ἐκείνου γὰρ ὑποσπάσαντος τοῦτο χώραν εὐρὸν ἠνέχθη κατὰ φύ-
σιν, λέγοιτο δ' ἂν κατὰ συμβεβηκὸς δι' ἄλλο ἐνεχθῆναι τὸν ὑποσπά-
σαντα. ὁμοίως καὶ τὸ ὑγιαίνειν καθ' αὑτὸ ὑπάρχει τοῖς σώμασιν, ἀλλὰ
γένοιτ' ἂν κατὰ συμβεβηκὸς δι' ἄλλο τὸν ἰατρὸν τὸν κενώσαντα τὸ λυποῦν 45
ἢ ἁπλῶς τὸ λυμαινόμενον ὑφελόμενον. ἐκεῖνος μὲν γὰρ τὰ βλάπτοντα
25 κωλύει, ἡ δὲ φύσις τοῦ ὀχλοῦντος ἀπαλλαγεῖσα τὴν κατὰ φύσιν ὑγείαν
ἐργάζεται· "φύσιες γὰρ νούσων ἰητροί". [ὡς γὰρ τῷ σώματι τὸ ὑγιαίνειν
δι' αὑτὸ αἱρετόν, κἂν μηδὲν ἄλλο προσγένηται ἐκ τῆς ὑγείας.] καὶ τὸ δι'
αὑτὸ δ' ὅπερ εἶπον γένοιτ' ἂν κατὰ συμβεβηκὸς ἑτέρου ἕνεκεν. ἡ γὰρ
ἀρετὴ δι' αὑτὸ αἱρετὸν οὖσα γένοιτ' ἂν κατὰ συμβεβηκὸς τῆς εὐκλείας
30 ἕνεκεν· ἕπεται γὰρ αὐτῇ ἡ εὔκλεια, καὶ εἴποι ἄν τις διὰ τὴν εὔκλειαν
τὴν ἀρετὴν εἶναι, ἀλλ' οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. ὁμοίως 50
καὶ τὴν ὑγίειαν δι' αὑτὴν οὖσαν τῷ σώματι αἱρετὸν εἴποι τις ἂν ἑτέρου
ἕνεκεν κατὰ συμβεβηκὸς εἶναι, τοῦ πράττειν τάδε ἢ τάδε. οὐδὲ γὰρ διὰ τοῦτο
αἱρετὸν τὸ ὑγιαίνειν, ἐπειδὴ πρακτικὸν ποιεῖ τὸ σῶμα, ἀλλ' ἕπεται τοῦτο
35 τῷ ὑγιαίνοντι· κατὰ συμβεβηκὸς οὖν ἑτέρου ἕνεκεν τοῦ πράττειν τι ἡ
ὑγεία. τούτων οὖν οὕτως ἐχόντων καὶ ἡ ψυχὴ ἄρα εἰ καθ' αὑτὸ κινεῖται,
οὐκ ἄν ποτε κινηθείη δι' ἄλλο, εἰ μὴ κατὰ συμβεβηκός· εἰ δὲ δι' ἄλλο
κινεῖται, διὰ τὰ αἰσθητά φημι, οὐκ ἂν εἴη αὐτῇ ἡ κίνησις καθ' αὑτό,
ὅπερ βούλονται οἱ αὐτοκίνητον αὐτὴν ὑποτιθέμενοι. |

---

3 δι' αὑτὸ (post οἷον) At: καθ' αὑτὸ DR 3. 4 διὰ τοῦτο καὶ] καὶ ἔστι Suid. 4 ἐν αὐτῇ ἐστι—ἀρετῆς (5) om. D 21 ἂν καὶ κατὰ t 25 ὑγίειαν, item v. 27 ὑγιείας Rt 26 φύσιες—ἰητροί] Hippocr. de morb. vulg. VI p. 606 Kühn ὡς γὰρ—ὑγείας (27) delevi 33 οὐδὲ Dt: οὐ R 36 ὑγίεια t 38 αὐτῇ A²R: αὐτὴ A¹: αὕτη Dt

p. 406b 11 Ἀλλὰ μὴν καὶ εἰ κινήσει γε αὐτὴ ἑαυτήν, καὶ αὐτὴ d 2v
κινοῖτ' ἄν· ὥστε ἐπεὶ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ κινου-
μένου ᾗ κινεῖται, καὶ ἡ ψυχὴ ἐξίσταιτο ἂν ἐκ τῆς οὐσίας, εἰ
μὴ κατὰ συμβεβηκὸς κινεῖται, ἀλλ' ἔστιν ἡ κίνησις τῆς οὐσίας
5 αὐτῆς.

Εἴπομεν ἤδη ὅτι πρὸς τὸ αὐτοκίνητον ἐνίσταται διὰ τούτων· καὶ τοῦτο
οὖν τὸ ἐπιχείρημα πρὸς τὸ αὐτό. ὃ δὲ λέγει, τοῦτό ἐστιν. εἰ αὐτοκίνητός
ἐστιν ἡ ψυχή, ὡς αὐτὴν εἶναι τὴν κινοῦσαν, αὐτὴν τὴν κινουμένην, καὶ μὴ 10
κατ' ἄλλο μὲν κινεῖν κατ' ἄλλο δὲ κινεῖσθαι, κινεῖ δὲ ὡς ψυχή, καὶ ὡς ψυχὴ
10 ἄρα κινηθήσεται. πᾶν δὲ τὸ κινούμενον ἐξίσταται τούτου, καθ' ὃ κινεῖται·
καὶ ἡ ψυχὴ ἄρα, καθὸ ψυχή ἐστι κινουμένη, ἐξίσταται τοῦ ψυχὴ εἶναι.
τὸ γὰρ κινούμενον κατὰ τόπον ἐξίσταται ἐκ τοῦ τόπου ἀφ' οὗ ἐκινήθη,
ὁμοίως καὶ τὸ κατὰ τὸ ποσὸν κινούμενον καὶ τὸ κατὰ τὸ ποιόν· ἕκαστον
γάρ, καθ' ὃ κινεῖται, ἐξίσταται τούτου. καὶ ἡ ψυχὴ οὖν εἰ καθὸ ψυχή
15 ἐστι καὶ κατ' οὐσίαν κινεῖται, ἐκσταίη ἂν τῆς οὐσίας ἑαυτῆς καὶ φθαρή-
σεται· καὶ γὰρ ἀνάγκη πᾶσα κατὰ τοὺς λέγοντας ἀσώματον εἶναι τὴν 15
ψυχὴν καὶ αὐτοκίνητον τὴν κίνησιν κατ' οὐσίαν λαμβάνειν. τεσσάρων γὰρ
οὐσῶν μεταβολῶν, ὡς πολλάκις εἴρηται, κατ' οὐσίαν, κατὰ ποσόν, κατὰ
ποιόν, κατὰ τόπον, εἰ μὲν κατὰ τόπον ἢ ποσὸν μεταβάλλοι ἡ ψυχή, πρό-
20 δηλον ὡς σῶμα ἔσται· σωμάτων γὰρ καὶ τὸ ποσὸν καὶ ὁ τόπος· οὐδὲν δὲ
ἧττον καὶ ἡ κατὰ τὸ ποιὸν μεταβολὴ σωμάτων ἐστίν, ὡς ἤδη εἴπομεν, εἴ
γε κατὰ τὰς παθητικὰς ποιότητας ἡ μεταβολή, αὗται δὲ αἰσθηταί, τὸ δὲ
κατά τι αἰσθητὸν μεταβάλλον σῶμά ἐστιν. εἰ τοίνυν ἡ μεταβολὴ τῆς 20
ψυχῆς ἤτοι ἡ κίνησις οὔτε κατὰ ποσὸν οὔτε κατὰ ποιὸν οὔτε κατὰ τόπον
25 ἐστί, διότι ἀσώματος, λείπεται ἄρα κατ' οὐσίαν εἶναι. ἄλλως τε καὶ ὅτι
αὐτὸ οὐσίαν φασὶν αὐτῆς εἶναι τὸ αὐτοκίνητον. τὸ δὲ κατ' οὐσίαν κινού-
μενον, ταὐτὸν δὲ εἰπεῖν μεταβάλλον, φθείρεται· φθαρήσεται ἄρα καὶ ἡ ψυχὴ
ἐν τῷ κινεῖσθαι. καὶ ἄλλως ἀνάγκη τὴν μεταβολὴν καὶ κίνησιν τῆς ψυχῆς
κατὰ αὐτὴν τὴν οὐσίαν λέγειν αὐτούς. εἰ γὰρ κινεῖ ἡ ψυχὴ κατὰ ποιό-
30 τητα ἤ τι τῶν ἄλλων, ἡ δὲ οὐσία αὐτῆς οὔτε ἐν ποιότητι οὔτε ἐν ποσό- 25
τητι οὔτε ἐν τόπῳ (πᾶν γὰρ τὸ ἐν τούτοις σῶμά ἐστι) οὐκ ἄρα ἑαυτὴν
κινεῖ· νῦν δ' αὐτοκίνητόν φασι. τὸ δὲ εἰ μὴ κατὰ συμβεβηκὸς κινεῖ-
ται, τουτέστιν εἰ μὴ τῷ ἄλλο κινεῖν, λέγω δὴ τὸ σῶμα ἐν ᾧ ἐστιν, αὐτὴ

---

1 κινήσει DR: κινεῖ t Arist. καὶ αὐτὴ t Arist.: καὶ αὕτη DR 2 ἐπεὶ DR: εἰ t Arist. ἔκστασις om. t 3 ᾗ κινεῖται t Arist.: εἰ κινεῖται DR 4 κινεῖται DR: αὐτὴν κινεῖ Arist. vulg.: αὐτὴν κινεῖ t et Arist. y 9 δὲ ὡς AD: δὲ ἡ R: δὲ ὡς ἡ t καὶ ὡς ADt: καὶ ἡ R 11 καθὸ ψυχή ADt: ψυχή om. R 15 καὶ (post ἐστι) om. R 19 μεταβάλλοι DRt: μεταβάλλει A 20 καὶ (post γάρ) om. R 24 κατὰ ποσὸν οὔτε κατὰ ποιὸν D: post κατὰ utrumque add. τὸ Rt 26 αὐτὸ οὐσίαν AD: αὐτοουσίαν Rt 28 post κινεῖσθαι add. τοῖς ἀσώματον αὐτὴν καὶ αὐτοκίνητον καὶ διὰ ταῦτα τιθεμένοις ἄφθαρτον A 33 τῷ ἄλλο D: τὸ ἄλλο R: τῷ ἄλλῳ t

ἑαυτὴν λέγοιτο κινεῖν· τοῦτο γὰρ καὶ αὐτὸς τίθεται. εἰ οὖν μὴ οὕτως, d 2v
ἀλλ' ἐν αὐτῇ τῇ οὐσίᾳ αὐτῆς θεωρεῖται ἡ κίνησις, ἐκσταίη ἂν ἑαυτῆς.
δυνατὸν δὲ τὸ εἰ μὴ κατὰ συμβεβηκὸς καὶ οὕτω νοεῖν ἀντὶ τοῦ ⟨εἰ⟩
μὴ κατά τι τῶν συμβεβηκότων αὐτῇ κινεῖ ἑαυτήν, οἷον κατὰ τόπον ἢ
5 ποσὸν ἢ ποιόν. εἰ δὲ κατά τι τούτων κινεῖ ἑαυτήν, μάλιστα μὲν τοῦτο 30
ἀδύνατον τοῖς ἀσώματον αὐτὴν λέγουσιν, ἔπειτα οὐκ ἂν εἴη αὐτοκίνητος.
οὐ γάρ ἐστι ποσὸν ἢ ποιὸν ἡ ψυχή· ὥστε κινεῖ μὲν ἡ ψυχή, κινεῖται
δὲ τὸ ποσὸν αὐτῆς ἢ τὸ ποιόν. ὥσπερ γὰρ ἡ φύσις κινοῦσα κατὰ τὸ
ποσὸν τὰ σώματα οὔτε αὐτὴ κινεῖται (οὐ γάρ ἐστι ποσόν) οὔτε τὸ σῶμα
10 ᾗ σῶμα κινεῖ, ἀλλὰ μόνον τὸ ποσὸν τοῦ σώματος ἐκίνησε (μένει γὰρ καὶ
τῆς φύσεως καὶ τοῦ σώματος ὁ αὐτὸς λόγος, οὐκέτι μέντοι καὶ τοῦ ποσοῦ)
οὕτως ἄρα εἰ καὶ ἡ ψυχὴ κατά τι τούτων κινεῖται, οὐκ αὐτὴ ἑαυτὴν κινεῖ, 35
ἀλλ' ἔστιν ἐν αὐτῇ τὸ μὲν κινοῦν τὸ δὲ κινούμενον· οὐκ ἄρα αὐτοκίνητος.
εἰ δὲ καθ' ὅ ἐστι ψυχὴ κατὰ τοῦτο ἔχει τὸ κινεῖσθαι, ὡς τὸ αὐτὸ εἶναι
15 κινοῦν τε καὶ κινούμενον, ἔκστασις δέ ἐστι πᾶσα κίνησις τούτου καθ' ὃ
κινεῖται, ἐξίστασθαι ἄρα ἑαυτῆς ἀνάγκη τὴν ψυχὴν κινουμένην καὶ φθείρε-
σθαι. ὅτι δὲ τὸ αὐτοκίνητον αὐτῆς τῆς οὐσίας αὐτῆς κατηγοροῦσιν, ὡς
κατ' αὐτὸ τοῦτο κινουμένης τῆς ψυχῆς, καθ' ὃ οὐσία ἐστίν, ἐναργῶς
Πλάτων ἐν τῷ Φαίδρῳ δηλοῖ· εἰπὼν γὰρ ὅτι ψυχὴ πᾶσα ἀθάνατος (τὸ 40
26 γὰρ αὐτοκίνητον ἀθάνατον) ἐπιφέρει μετ' ὀλίγα "ἀθανάτου δὲ πεφασμένου
τοῦ ὑφ' ἑαυτοῦ κινουμένου ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτον αὐτόν τις
λέγων οὐκ αἰσχυνεῖται"· ὥστε ἐναργῶς καὶ οὐσίαν καὶ ὁρισμὸν ψυχῆς εἶναί
φησι τὸ αὐτοκίνητον. καλῶς ἄρα κατεσκεύασεν ὁ Ἀριστοτέλης ὅτι εἰ
κινεῖται κατ' οὐσίαν, ἐκστήσεται ἑαυτῆς καὶ φθαρήσεται. εἴπομεν δὲ πολ-
25 λάκις ὅτι πᾶσαν ἐνέργειαν κίνησιν ὁ Πλάτων καλῶν οὕτως αὐτοκίνητον
τὴν ψυχὴν εἶναί φησιν οἷον αὐτενέργητον, ὅπερ τῶν φυσικῶν ἐν οὐδενὶ
ὁρῶμεν· ἡ μὲν γὰρ φύσις ᾗ ἡ δύναμις κινεῖ, κινεῖται δὲ τὰ ταύταις ὑποκεί- 45
μενα. ἔνιοι δέ φασι καὶ κινεῖν τὸ σῶμα ἐν ᾧ ἐστιν, ὡς αὐτὴ
κινεῖται. ἐπειδὴ τοῖς λέγουσι τῷ κινεῖσθαι τὴν ψυχὴν κινεῖν τὸ σῶμα
30 ὥσει καὶ μοχλείᾳ τινὶ ἔδειξεν ἀνωτέρω ἄτοπον ἑπόμενον. ὅτι τούτου δο-
θέντος δύναιτο ἂν ἀνίστασθαι τὰ τεθνεῶτα τῶν ζῴων, ἵνα μή τις αὐτὸν
ὑπολάβοι κατηγορεῖν αὐτῶν ὡς ὥσει τινὶ λεγόντων κινεῖν τὴν ψυχὴν τὸ
σῶμα, μὴ τοῦτο ἐκείνων λεγόντων, παρατίθεται αὐτῶν τὰς δόξας, ὅτι καὶ
οἱ τὰς ἀτόμους λέγοντες οὕτως ἔλεγον οἱ περὶ Δημόκριτον καὶ Λεύκιππον 50
35 καὶ Ἐπίκουρον, ἔτι δὲ καὶ Πλάτων, ὡς ἐφεξῆς λέξει. ἔλεγον γάρ, φησί,
τὰς σφαιρικὰς ἀτόμους εὐκινήτους οὔσας συγκινεῖν ἑαυταῖς τὸ σῶμα, τὸ
αὐτό, φησί, λέγοντες τῷ κωμικῷ Φιλίππῳ, ὃς ἔλεγε τὸν Δαίδαλον ποιη-
σαι ξυλίνην Ἀφροδίτην κινουμένην· κοιλώματα γάρ τινα ποιήσας ἐν τῷ

---

1 κινεῖν scripsi: κινεῖσθαι libri τούτω γὰρ D 3 εἰ addidi 7 ὥστε κινεῖν μὲν τὴν ψυχήν κινεῖσθαι δὲ A, fort. recte 13 ἔστιν A: ἔσται Rt: om. D 14 εἰ δὲ] ἡ δὲ R 19 ἐν τῷ Φαίδρῳ] p. 245 E 21 αὐτόν R Plato: αὐτός Dt 22 αἰσχυνεῖται Plato: αἰσχύνεται libri 27 ἡ (ante δύναμις) om. R 28 δὲ καὶ κινεῖν φασι τὴν ψυχὴν τὸ σῶμα Arist. 29 τὸ κινεῖσθαι t 32 ὡς ὥσει τινὶ Dt: ὡσεί τινων R 35 Πλάτων R: Πλάτωνα Dt

ξοάνῳ ὁ Δαίδαλος ἐνέχεεν ὑδράργυρον, ἵνα κινούμενος ὁ ὑδράργυρος (εὐ- d 2ᵛ
κίνητος γὰρ καὶ συνεχῶς μετακυλιόμενος καὶ τῇ ἑαυτοῦ ὤσει κινῶν τὸ
ξόανον) φαίνεσθαι ποιῇ ἐξ αὐτοῦ κινούμενον τὸ τῆς Ἀφροδίτης ξόανον.
πάνυ δὲ συντόμως καὶ προσφυῶς πρὸς τοὺς περὶ Δημόκριτον ἀπαντᾷ
5 λέγων· |

p. 406ᵇ22 Ἡμεῖς δ' ἐρωτήσομεν, εἰ καὶ ἠρέμησιν ποιεῖ τοῦτ' d 3ʳ
αὐτό.

Πάνυ προσεκτικώτατα· ἐπεὶ γὰρ φαίνεται τὰ ζῷα μὴ μόνον κινού-
μενα, ἀλλὰ καὶ ἠρεμοῦντα, τί, φησί, τῆς ἠρεμήσεως αἴτιον; οὐ γὰρ δὴ
10 κἂν ἐπινοῆσαι δυνατὸν ἐκ τῆς αὐτῶν ὑποθέσεώς τι τῆς ἠρεμίας αἴτιον.
εἰ γὰρ καὶ κινεῖ καὶ εἰς ἠρεμίαν ἄγει τὸ ζῷον ἡ ψυχή, ὡς ἡ ἐνάργεια 5
δηλοῖ, τῷ δὲ κινεῖσθαι τὰς σφαιρικὰς ἀτόμους κινεῖται τὸ ζῷον, ἀεικίνητοι
δ' αὗται κατ' αὐτόν, τί ἂν εἴη τῆς ἠρεμίας αἴτιον;

p. 406ᵇ24 Ὅλως δὲ οὐχ οὕτως φαίνεται κινεῖν ἡ ψυχὴ τὸ ζῷον,
15 ἀλλὰ διὰ προαιρέσεώς τινος καὶ νοήσεως.

Καρτερώτατος ἔλεγχος· παρὰ γὰρ τὴν ἐνάργειαν αὐτὴν τῶν πραγμά-
των τὰ παρ' αὐτῶν λεγόμενα. οὐ γὰρ ὁρῶμεν ὅτι βίᾳ τινὶ καὶ ὤσει κινεῖ
ἡ ψυχὴ τὰ σώματα, ἀλλὰ μόνῳ τῷ θέλειν. ἅμα γὰρ τῷ θελῆσαι καὶ 10
κινεῖ καὶ ἠρεμεῖν ποιεῖ τὰ ζῷα.

20 p. 406ᵇ25 Τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Τίμαιος φυσιολογεῖ τὴν
ψυχὴν κινεῖν τὸ σῶμα.

Εἰπὼν ὅτι ἔνιοι δέ φασι κινεῖν τὸ σῶμα τὴν ψυχήν, ὡς αὐτὴ κινεῖ-
ται, εἶτα παραθέμενος τὴν Δημοκρίτου δόξαν καὶ συντόμως ἐλέγξας ὡς 15
παρὰ τὰ ἐναργῆ οὖσαν καὶ τὰ φαινόμενα, ἐφεξῆς τίθησι τὴν Πλάτωνος ἐν τῷ
25 Τιμαίῳ δόξαν ὁμοίαν οὖσαν, ὅτι ἦν ἡ ψυχὴ ἡ τοῦ παντὸς κινεῖται κίνησιν,
ταύτην καὶ τὸ σῶμα τοῦ κόσμου ἐν ᾧ ἐνέχεται κινεῖ. διὰ τοῦτο οὖν ὡς
κοινωνοῦσαν ταύτην τὴν δόξαν τῇ τοῦ Δημοκρίτου εὐθὺς μετ' ἐκείνην
ἔταξεν. ἢ γὰρ ἀμφότεροι τῇ τῆς ψυχῆς κινήσει συγκινεῖσθαι τὸ σῶμα λέ-
γουσι, κοινωνοῦσι· διαφέρουσι δέ, καθὸ ὁ μὲν Δημόκριτος ὡς ἐν ἀγγείῳ
30 τὴν ψυχὴν ἀποκλείει, ὁ μέντοι Τίμαιος συμπεπλέχθαι αὐτὴν λέγει τῷ σώματι 20
ὡς ἐπὶ σειρᾶς. ἄξιον δὲ αὐτὴν πρῶτον τὴν τοῦ Τιμαίου δόξαν περὶ ψυχῆς

---

3 ποιῇ D: ποιεῖ Rt 6 ἐρωτήσομεν D et Arist. EX: ἐρωτήσωμεν Rt et Arist. plerique 11 ἡ ψυχή — κινεῖται τὸ ζῷον (12) iterat R¹, sed del. m. rec. ἐνάργεια D: ἐνέργεια Rt 13 fort. κατ' αὐτούς 19 κινεῖ scripsi: κινεῖν libri 23 τὴν δημοκρίτειον δόξαν R 26 ἐνέχεται Diels: ἐνδέχεται libri κινεῖ R: κινεῖν Dt 29 ἀγγείῳ] ἀγνεία R 30 μέντοι DR: δὲ t 31 αὐτὴν DR: αὐτῆς t

ἐκθέσθαι. λέγει οὖν ἐκεῖνος ἐν τῇ ψυχογονίᾳ ὅτι λαβὼν ὁ θεὸς οὐσίαν d 3r
καὶ ταυτότητα καὶ ἑτερότητα, ἅπερ ἐστὶ τῶν ὄντων πάντων στοιχεῖα, οὐ-
σίαν δὲ οὐ τὴν τυχοῦσαν, ἀλλὰ μέσην τῆς τε ἀμερίστου καὶ ἀεὶ κατὰ τὰ
αὐτὰ καὶ ὡσαύτως ἐχούσης καὶ τῆς περὶ τὰ σώματα μεριστῆς, ταύτην
5 οὖν τὴν οὐσίαν καὶ ταυτότητα καὶ ἑτερότητα κεράσας, φησίν, ἐξέτεινε καὶ
ἐποίησεν εὐθεῖαν. εἶτα τὴν εὐθεῖαν ταύτην κατέτεμεν εἰς ἁρμονικοὺς ἀριθ- 25
μούς. λέγω δὴ εἰς μονάδα καὶ δυάδα καὶ τριάδα καὶ τετράδα καὶ τὸν ἐννέα
καὶ η̄ καὶ κ̄ζ̄ ἀριθμόν· ταύτην δέ, φησί, τὴν εὐθεῖαν ἔσχισεν εἰς δύο εὐ-
θείας, εἶτα συνάψας τὰς δύο ταύτας εὐθείας χιοειδῶς ἀλλήλαις, ἀνέκλασε
10 καὶ ἐποίησε δύο κύκλους, τὸν μὲν μείζονα τὸν δὲ ἐλάττονα, τὸν μὲν ἔξω-
θεν τὸν δ' ἔσωθεν, συναπτομένους ἀλλήλοις κατὰ δύο σημεῖα· καὶ ἐκίνησε
τὸν μὲν ἔξω κύκλον ἐπὶ δεξιά, τὸν δὲ ἔσω ἐπ' ἀριστερά, καὶ ἐπωνόμασε
τὸν μὲν ἔξω κύκλον ταὐτοῦ, τὸν δὲ ἔσω θατέρου· καὶ τὸν μὲν ἔξω κύκλον 30
ἕνα εἴασε καὶ ἄσχιστον, τὸν δὲ ἐντὸς σχίσας ἑξαχῇ ἐποίησεν ἑπτὰ
15 κύκλους ἀνίσους διπλασίονι καὶ τριπλασίονι λόγῳ ὑπερέχοντας ἀλλήλων·
καὶ τοὺς μὲν τρεῖς ἴσους τῷ τάχει τῆς κινήσεως ἐποίησε, τοὺς δὲ λοιποὺς
τέτταρας ἀνίσους τῇ κινήσει καὶ ἀλλήλοις καὶ τοῖς τρισί· καὶ τοῦτο, φησίν,
ἐστὶν ἡ ψυχὴ τοῦ παντός. εἶτα, φησί, μετὰ τοῦτο τὸ σωματοειδὲς πᾶν
τοῦ κόσμου ἐντὸς ἐναπέκλεισε, καὶ συναρμόσας τὴν ψυχὴν ἐκ τοῦ μέσου
20 διέπλεξε μέχρι τοῦ ἐσχάτου οὐρανοῦ καὶ κύκλῳ αὐτὸν ἔξωθεν πάντα περιε- 35
κάλυψεν. ἃ μὲν οὖν φησιν ὁ Τίμαιος, ταῦτά ἐστι, καὶ τούτοις ἀντιλέγειν
ἐπιχειρεῖ ὁ Ἀριστοτέλης ταὐτὸν ποιῶν ὡς εἴ τις καὶ τοῖς ποιητικοῖς μύθοις
ἀντιλέγει ὡς οὐ συνᾴδουσι τῇ φύσει τῶν πραγμάτων. ὡς γὰρ ὁ Πλάτων
φησί, τοῖς κατὰ τὸ φαινόμενον ἐκλαμβάνουσι τοὺς ποιητικοὺς μύθους οὐδὲν
25 ἂν φανείη καταγελαστότερον, ὥσπερ οὐδὲ τοῖς τὴν κεκρυμμένην ἐν αὐτοῖς
διάνοιαν ζητοῦσιν οὐδὲν ἐνθουσιαστικώτερον. πλὴν ὡς εἴωθεν ἀεὶ ὁ Ἀρι-
στοτέλης κἀνταῦθα τὸ φαινόμενον ἐλέγχει, ἵνα μή τις τὰ δηλούμενα διὰ 40
τῶν αἰνιγμάτων τούτων συνιδεῖν μὴ δυνάμενος μένῃ μέχρι τοῦ φαινομένου.
ὅτι γὰρ διὰ συμβόλων ἐδίδασκον οἱ Πυθαγόρειοι, πρόδηλον καὶ πολλάκις
30 εἰρήκαμεν· ὅθεν καὶ τὰ ἠθικὰ αὐτῶν παραγγέλματα τοιαῦτα· 'ἐπὶ μέτρου
μὴ κάθου', 'ἐν ὁδῷ μὴ σχίζε ξύλα', 'πῦρ μαχαίρῃ μὴ σκάλευε', 'ζυγὸν μὴ
ὑπέρβαινε', 'εἰς ἱερὸν ἀνυποστρεπτὶ βάδιζε', ὅπερ σημαίνει αὐτοῖς τὸ τοὺς
ἀναγομένους μὴ δεῖν ἐπὶ τὰ τῇδε ἐπιστρέφεσθαι· τὸ δὲ ζυγὸν μὴ ὑπέρ-
βαινε μὴ τὸ ἴσον ὑπερβαίνειν, τὸ δὲ πῦρ μαχαίρῃ μὴ σκάλευε, ἀντὶ τοῦ 45
35 τὸν ὀργίλον λόγῳ μὴ ἐρέθιζε, τὸ δ' ἐν ὁδῷ μὴ σχίζε ξύλα ἀντὶ τοῦ ἐν

---

1 λέγει — ἐκεῖνος] Tim. p. 35 A sqq. 3 τῆς τε Dt: τῆς τοῦ R 7 καὶ τετράδα om. D 9 σχιοειδῶς t 13 ἔσω DR: ἔσωθεν t 16 καὶ et μὲν om. R 20 διέπλαξε t μέχρι τοῦ DR: post μέχρι add. καὶ t 21 ἐστι scripsi: εἶναι libri 23 ὁ Πλάτων] cf. Epist. II p. 314 A 25 αὐτοῖς Dt: αὐτῶ R 30. 31 ἐπὶ — κάθου] cf. Mullach fragm. phil. Graec. p. 504,1 ἐπὶ χοίνικος μὴ καθίζειν 31 et p. 117,3 κάθου DR: βάθου t 31 ἐν ὁδῷ κτλ.] ibid. p. 506,26 πῦρ μαχαίρῃ κτλ.] ibid. p. 505,8 ζυγὸν κτλ.] ibid. p. 504,2 32 βαδίζειν R 33 ἐναγομένους t 33. 34 ὑπέρβαινε Dt: ὑπερβαίνειν R 35 σχίζε R: σχίζειν Dt

τῇ ὁδῷ τῆς ἀρετῆς καὶ τὴν χωριστὴν ζωὴν ἐπιτηδεύων, μὴ διάλυε τὸν d 3r
φυσικὸν δεσμὸν τῆς ψυχῆς καὶ τοῦ σώματος φθείρας τὸ ζῷον· τὸ δὲ ἐπὶ
μέτρου μὴ κάθου ἀντὶ τοῦ μὴ σκέπε καὶ περικάλυπτε προνοίᾳ τὸ δίκαιον.
τοῦτο δὲ ἐποίουν οὐ νομίζοντες δεῖν προφανῆ ποιεῖν καὶ τοῖς ἀναξίοις τὴν
5 ἑαυτῶν σοφίαν· ὅθεν καὶ τοῖς μαθηταῖς ἐπέταττον ἐπὶ πέντε ἔτη σιγὰν
καὶ κοσμεῖν πρῶτον τὰ ἑαυτῶν ἤθη, καὶ οὐ πρότερον μετεδίδοσαν αὐτοῖς
δόγματος, πρὶν ἂν διὰ τῆς πενταετίας τὰ ἤθη κατορθώσαντες ἀξίους ἑαυ- 50
τοὺς ἔδειξαν. καὶ αὐτὰ δὲ τὰ συμβολικῶς εἰρημένα διὰ τῆς κατὰ τὸ φαι-
νόμενον ἀτοπίας ἐνάγει ἡμᾶς εἰς τὸ ζητεῖν ἐν αὐτοῖς τὴν κεκρυμμένην
10 ἀλήθειαν. οὔτε γὰρ οὕτω μυθολογεῖν ᾤοντο δεῖν ὡς οἱ ποιηταὶ διὰ τὴν
τῶν νέων λώβην συνιδεῖν μὴ δυναμένων εἰς τὸ νοούμενον οὔτε ἀπερικα-
λύπτως τὰ δόγματα παραδιδόναι. διὸ συμβολικὴν τὴν διδασκαλίαν ἐποιή-
σαντο δι' αὐτοῦ τοῦ παραλόγου εἰς ζήτησιν τῆς κεκρυμμένης ἀληθείας
ἐνάγοντες. πρῶτον γὰρ πῶς | ἡ εὐθεῖα σχίζεται ἁπλατὲς οὖσα μῆκος; d 3v
15 πῶς δὲ ὅλως κατατμηθεῖσα εἰς τοὺς ἁρμονικοὺς ἀριθμοὺς ὡς μία οὖσα
κατὰ μῆκος ἢ σχίζεται ἢ εἰς κύκλους περιάγεται; πῶς δὲ ἡ εὐθεῖα κύ-
κλος γίνεται; οὔτε γὰρ ὁ κύκλος γένοιτο ἂν εὐθεῖα οὔτε ἡ εὐθεῖα κύκλος·
ἀνομοιογενῆ γὰρ τὰ μεγέθη. ἔπειτα πῶς τῶν κύκλων ὁ εἷς μείζων γέγο-
νεν ὁ ἔξω, τῆς εὐθείας μήτε προσθήκην μήτε ὑφαίρεσιν λαβούσης; πῶς δὲ
20 ὅλως, εἰ οἱ κύκλοι οὗτοι ἡ ψυχή, ὧν ἐντὸς ἀπεκλείσθη τὸ σωματοειδὲς 5
πᾶν, συναρμοσθέντες ἐκ τοῦ μέσου τοῦ παντὸς συνεπλάκησαν μέχρι τοῦ
ἐσχάτου οὐρανοῦ καὶ ἔξωθεν αὐτὸν πάντα περιεκάλυψαν; οὐ γὰρ δύναται
τοῦτο ποιεῖν ὁ κύκλος, σφαῖραν ἔξωθεν περικαλύπτειν. διὰ τούτων μὲν
οὖν καὶ διὰ πλειόνων ἑτέρων δῆλον ὅτι ἄλλα τινὰ ἠνίττοντο ἐκεῖνοι. εἰ
25 γὰρ μάλιστα πάντων τῆς τῶν μαθημάτων γνώσεως ἐπεμελοῦντο οἱ Πυθα-
γόρειοι (Πυθαγόρειος δὲ ὁ Πλάτων, οὗ καὶ πρὸ τῆς διατριβῆς ἐπεγέγραπτο
'ἀγεωμέτρητος μὴ εἰσίτω') οὐδεὶς δ' οὐδ' ἄκρῳ δακτύλῳ γεωμετρήσας 10
τοιοῦτό τι λέγειν ἀνέξεται, τίς οὕτως ἠλίθιος ὡς οἴεσθαι τὸν Πλάτωνα
ταῦτα οὕτω κατὰ τὸ φαινόμενον λέγειν; ἴσως δὲ οὐκ ἄκομψον ἐπὶ ὀλίγων
30 συντόμως τῶν συμβόλων τὴν διάνοιαν δηλῶσαι.// ἡ ψυχὴ τοίνυν ἡ τοῦ
παντός ἐστι ζωή, καὶ ζωὴ νοερά. ὅτι γὰρ ζωή ἐστιν ἁπλῶς πᾶσα ψυχή,
δῆλον ἐξ ὧν οἷς ἂν ἐγγένηται, αὐτῷ τῷ εἶναι ζωὴν παρέχει· πῶς γὰρ ἂν
ἔδωκεν ὃ μὴ εἶχεν; ἡ δὲ τοῦ παντὸς καὶ νοερά ἐστιν· ἐποίησε γάρ, φησί,
τὸν κόσμον ζῷον ἔμψυχον καὶ ἔννουν. βουλόμενος οὖν ὁ Τίμαιος καὶ τὸ
35 ζωτικὸν αὐτῆς σημῆναι καὶ τὸ νοερόν, τὴν εὐθεῖαν παραλαμβάνει καὶ τὸν 15
κύκλον, τὸν μὲν κύκλον τῆς νοερᾶς ἐνεργείας σύμβολον (πρὸς ἑαυτὸν γὰρ
συννένευκεν ὁ κύκλος, καὶ ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸν λήγει, ὡς

---

3 προνοίᾳ D: παρανοίᾳ Rt 11 τὸν νοούμενον R 13 παραλόγου D^2t: περιλόγου D^1 (ut vid.) R 14 ἀνάγοντες t ἁπλατὲς — σχίζεται (16) om. D 16 ἡ om. t 17 γένοιτο D: γένοιτ' R: γένοι t 27 μὴ D: μηδεὶς Rt οὐκ ἄκρῳ R 31 ζωή (post ἐστι) om. R 32 ἂν ἐγγένηται D: ἂν γένηται R: ἐγγένηται t τὸ εἶναι t 33 καὶ om. R 34 καὶ ἔννουν Dt: καὶ om. R 35 αὐτῆς om. R 37 ἀφ' ἑαυτοῦ Dt: ὑφ' ἑαυτοῦ R

καὶ ὁ νοῦς πρὸς ἑαυτὸν ἐπιστρέφει καὶ αὐτὸς ἑαυτὸν θεᾶται), τὴν δὲ εὐ- d 3v
θεῖαν σύμβολον τῆς ζωῆς· ἡ γὰρ ζωὴ πρόοδός τίς ἐστι καὶ οἷον ῥύσις
ἔχουσα τὸ ἀπό τινος εἴς τι, ἀπὸ τῆς ζωούσης εἰς τὸ ζωούμενον· τοιαύτη
δὲ καὶ ἡ εὐθεῖα· ἔχει γὰρ τὸ ποθέν ποι ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὸ πέρας. διὰ
5 τοῦτο οὖν τὴν εὐθεῖάν τε εἶναι καὶ κύκλον ὑποτίθεται δηλῶν ὅτι τε ζωή
ἐστιν καὶ ζωὴ νοερά. πρὸ δὲ τούτων διὰ τί εὐθεῖαν μίαν ποιήσας ταύτην 20
εἰς δύο σχίζει; τί γὰρ ἐκώλυεν αὐτόθεν ἐξ ἀρχῆς ἐκ τοῦ κράματος ἐκείνου
δύο εὐθείας ποιῆσαι; φημὶ οὖν πάλιν ὅτι τὰ μὲν νοητὰ καὶ θεῖα καὶ ὑπὲρ
ψυχήν, ὡς αὐτὸς εἶπεν ὁ Πλάτων, ἀμέριστά ἐστι καὶ ἀεὶ κατὰ τὰ αὐτὰ
10 καὶ ὡσαύτως ἔχει ἑστῶσαν ἔχοντα τὴν οὐσίαν, τὴν δύναμιν, τὴν ἐνέργειαν,
καὶ ἄσχετα πρὸς πᾶσαν σώματος φύσιν κατὰ τὴν μονάδα χαρακτηρίζονται,
αἱ δὲ φυσικαὶ ζωαί, ὡς εἶπε, σκεδάννυνται περὶ τὰ σώματα κατὰ πᾶν
τρεπόμεναι, οὐσίαν δύναμιν ἐνέργειαν, κατὰ τὴν δυάδα· πρὸς τοῦ πλήθους 25
γάρ. αἱ δὲ λογικαὶ ψυχαὶ ὡς μὲν νοεραὶ οὖσαι καὶ ἀμετάβλητοι κατ' οὐ-
15 σίαν χωριστάς τε ἔχουσαι παντὸς σώματος ἐνεργείας, ταύτῃ μὲν καὶ αὗται
πρὸς τῇ μονάδι εἰσίν, ὡς δὲ σχέσιν πρὸς σῶμα ἀνειληφυῖαι καὶ ἐπιστροφὴν
αὐτοῦ καὶ πρόνοιαν ποιούμεναι ταύτῃ πρὸς τοῦ πλήθους εἰσὶ καὶ τῆς
δυάδος. διὰ τοῦτο μονάδα γὰρ αὐτὴν καὶ δυάδα ποιεῖ, τήν τε ἄσχετον
αὐτῆς πρὸς σῶμα ἐνέργειαν καὶ τὰς ἐν σχέσει τοῦ σώματος θεωρουμένας
20 ἐνδεικνύμενος. κατατέμνει δὲ ταύτην εἰς ἀριθμούς τινας, οὐ τοὺς τυχόντας 30
ἀλλὰ τοὺς δυναμένους καὶ γεωμετρικὴν καὶ ἁρμονικὴν καὶ ἀριθμητικὴν
ἀναλογίαν ποιῆσαι. ὧν κατὰ μὲν πρώτην διαίρεσιν λαμβάνει οὓς ἐξεθέμην
ἀριθμούς, οἵτινες συγκείμενοι ἐφεξῆς μὲν οἱ ἄρτιοι β̄ δ̄ η̄, ἐφεξῆς δὲ οἱ
περιττοὶ ᾱ γ̄ θ̄ κ̄ζ̄ ποιοῦσι τὴν γεωμετρικὴν ἀναλογίαν· ὡς γὰρ ἔχει ὁ
25 πρῶτος πρὸς τὸν δεύτερον, καὶ οὗτος πρὸς τὸν τρίτον. κατὰ δὲ ἑτέραν
διαίρεσιν λαμβάνει ἄλλους ἀριθμοὺς δυναμένους μουσικήν τε καὶ ἀριθμη-
τικὴν ἀναλογίαν ποιῆσαι. καὶ ὅτῳ φίλον περὶ τούτων ἀκριβέστερον μαθεῖν
ἐντυγχανέτω τοῖς Ἀλεξάνδρου ὑπομνήμασι. τίνος οὖν ἕνεκα εἰς τούτους 35
κατατέμνει τὴν εὐθεῖαν; δυνατὸν μὲν οὖν ἐκλαβεῖν τοῦτο καὶ ὡς πρὸς τὴν
30 τοῦ παντὸς ψυχὴν καὶ ὡς πρὸς τὴν ἡμετέραν, ἐπειδὴ ὁ μὲν λόγος ὡς
περὶ τῆς τοῦ παντὸς ψυχῆς ἐστιν, ἁρμόζει δὲ καὶ ἐπὶ τῆς ἡμετέρας. ἐπὶ
μὲν οὖν τῆς τοῦ παντός, ἵνα ἁρμονίως κινῆται καὶ τὸ πᾶν ὡσαύτως κινῇ,
ἐπὶ δὲ τῆς ἡμετέρας, ὅτι τε αὐτὴ ἐναρμόνιον ἔχει φύσιν (ἔχει γάρ τινα
ἁρμονίαν πρός τε θυμὸν καὶ ἐπιθυμίαν), καὶ ἵνα γνωστικὴν δύναμιν ἔχῃ
35 τῆς ἐναρμονίου τῶν οὐρανίων κινήσεως καὶ συμφωνίας, ἔτι μέντοι καὶ τῆς 40
μαθηματικῆς ταύτης ἁρμονίας, μουσικῆς φημι καὶ τῶν λοιπῶν. ὥστε ἐκεῖ
μὲν ποιητικὴν τὴν δύναμιν τῆς ἁρμονίας λαμβάνομεν, ἅμα δὲ καὶ γνωστι-
κήν, ἐνταῦθα δὲ γνωστικὴν μόνως. σχίζει δὲ τὴν εὐθεῖαν εἰς δύο καὶ

---

4 ἔχει DR: ἔχοι t πόθεν libri 9 ἐστι DR: εἰσι t 12 post εἶπε fort. addendum ἐπεὶ πᾶν Dt: πάντα R 13 πρὸς τοῦ R: πρὸ τοῦ Dt 17 πρὸς τοῦ DR: πρὸ τοῦ t 22 λαμβάνεις D 25 δὲ ἑτέραν] δεεστέραν R 26 λαμβάνειν R 27 ὅτῳ scripsi: οὕτω libri 35 κινήσεων R 37 τὴν δύναμιν R: τὴν om. Dt

χιοειδῶς συζεύξας κάμπτει ἐς δύο κύκλους καὶ ποιεῖ τὸν μὲν ἔξω μεί- d 3v
ζονα, τὸν δὲ ἔσω ἐλάττονα "δισσαχῇ συνημμένους". καὶ κινεῖ τὸν μὲν μείζονα ἐπὶ δεξιὰ ἐπονομάσας αὐτὸν ταὐτοῦ, τὸν δὲ ἕτερον ἐπὶ τὰ ἀριστερὰ κινεῖ ἐπονομάσας θατέρου. τί μὲν οὖν βούλεται αὐτῷ τὸ τὴν μίαν εὐθεῖαν εἰς 45
5 δύο σχίσαι, φθάσαντες εἴπομεν. ταύτας δὲ χιοειδῶς ἀλλήλαις ἁρμόζει· οἱ γὰρ ἄξονες, ὅ τε τῆς ἀπλανοῦς καὶ ὁ τῆς πλανωμένης, οὕτως εἰσὶν ἡρμοσμένοι. ἡ μὲν γὰρ ἀπλανὴς περὶ τοὺς πόλους τοὺς τοῦ ἰσημερινοῦ κινεῖται, αἱ δὲ πλανώμεναι περὶ τοὺς πόλους τοῦ ζῳδιακοῦ· χιοειδῶς δὲ οὗτοι τέμνουσιν ἀλλήλους, ὥστε καὶ οἱ τούτων ἄξονες χιοειδῶς ἀλλήλοις
10 ἐπίκεινται. ὅτι γὰρ οὐ περὶ τοὺς αὐτοὺς πόλους κινοῦνται αἵ τε πλανώμεναι καὶ ἡ ἀπλανής, δῆλον ἐξ ὧν οἱ πλανώμενοι ὁρῶνται κατὰ πλάτος κινού- 50
μενοι, βορειότεροί τε γιγνόμενοι καὶ νοτιώτεροι, ἔνθεν χειμών τε καὶ θέρος τῇ ἐπὶ τὰ βόρεια καὶ νότια τοῦ ἡλίου μεταβάσει. εἰ γὰρ περὶ τοὺς αὐτοὺς πόλους τῇ ἀπλανεῖ ἐκινοῦντο αἱ πλανώμεναι, οὐκ ἂν κατὰ πλάτος
15 ἐποιοῦντο διάστασιν. ταύτας οὖν τὰς δύο εὐθείας εἰς κύκλους ἀνέκλασε. σημαίνουσι δ' αὐτῷ οἱ δύο κύκλοι τὴν αὐτὴν ταῖς δύο εὐθείαις διάνοιαν. διτταὶ γάρ εἰσιν αἱ τῆς ψυχῆς δυνάμεις, αἱ μὲν ἀναγωγοὶ καθ' ἃς ἀνατείνεται πρὸς τὸ θεῖον, αἱ δὲ γενεσιουργοὶ | καθ' ἃς ἐπιστρέφεται πρὸς τὰ d 4r
τῇδε. ταύτας αἰνίττονται οἱ δύο κύκλοι, ἅσπερ ἀλλαχοῦ καλλίονα ἵππον
20 καὶ χείρονα ἐκάλεσε. καὶ ὁ μὲν ἔξω κύκλος σημαίνει τὴν ἀναγωγὸν δύναμιν, ὁ δὲ ἔσω τὴν γενεσιουργόν· ἐπωνόμασε δὲ τὴν μὲν κρείττονα ταὐτοῦ, θατέρου δὲ τὴν χείρονα, διότι τὰ μὲν θεῖα πρὸς τῇ ἑνώσει εἰσὶ καὶ ταυτότητι, ἅτε ἐγγὺς ὄντα τοῦ ἑνός, τὰ δὲ ἐν τῇ γενέσει πρὸς τῇ διακρίσει ὡς πορρωτέρω ὄντα τοῦ πρώτου. ἔτι δὲ προσεχέστερον δηλοῦσιν αὐτῷ 5
25 οἱ κύκλοι οὗτοι καὶ τὰς κινήσεις τῆς ψυχῆς ἃς κινεῖται τὰ οὐράνια, καὶ ὁ μὲν ταὐτοῦ κύκλος τὴν ἀπλανῆ, ὁ δὲ θατέρου τὰς πλανωμένας· οὓς καὶ συνάπτει διχῇ σημαίνων τόν τε ζῳδιακὸν καὶ τὸν ἰσημερινόν· συνάπτονται γὰρ οὗτοι κριῷ καὶ ζυγῷ. ἐπὶ δεξιὰ δέ φησι κεκινηκέναι τὴν ἀπλανῆ, διότι τὰ δεξιὰ ἀρχὴ κινήσεως, ἡ δὲ ἀρχὴ τῆς ἀπὸ ἀνατολῶν
30 κινήσεως ταῖς πλανωμέναις ἐκεῖθεν. διὸ καὶ τὰ βάρη ἐπὶ τοὺς ἀριστεροὺς ἐπιτίθεμεν ὤμους, ἵνα εὔλυτα ᾖ τὰ δεξιὰ τὰ ἡγούμενα τῆς κινήσεως. 10
ἡγεῖται δὲ ὡς τὸ δραστήριον μᾶλλον ἔχοντα· τὸ δραστήριον δὲ μᾶλλον ἔχει ὡς θερμότερα· θερμότερα δέ, ἐπειδὴ τὸ τοῦ αἵματος ἐργαστήριον τὸ ἧπαρ ἐν τοῖς δεξιοῖς ἵδρυται· πρῶτον οὖν δῆλον ὅτι τῆς θερμότητος τῆς
35 φυσικῆς ἀπολαύει. ἐπ' ἀριστερὰ δὲ τὸν θατέρου κινεῖ δηλῶν τὴν ἀπὸ δυσμῶν τῶν πλανωμένων κίνησιν. οὕτω καὶ ὁ ποιητής φησιν 'ἢ ἐπ' ἀριστερὰ

---

1 συζεύξας — ταύτας δὲ χιοδῶς sic (5) iterat R 1. 5 et 8 χιοειδῶς D: χιοδῶς R: σχιοειδῶς t 4 μὲν om. R 12 νοτιώτεροι R: νοτιότεροι Dt 18 ἐπιστρέφει R 19 ἀλλαχοῦ] Plat. Phaedr. p. 246 B sqq. 23 πρὸς D: καὶ Rt 25 κινεῖται Dt: κινεῖ R 28 φασι R 31 ἐπιτίθεμεν R: ἐπιτιθέαμεν Dt 34. 35 τὰς φυσικὰς D 35 ἐπ' Dt: εἰς R 36 ὁ ποιητής] Il. M 239 sq. ἢ DRt: εἴτ' l. l. ἐπ' ἀριστερὰ R: ἐπ' ἀριστερὸν D: ἐπ' ἀριστερῶν t: ἐπὶ δέξι' l. l.

ἴωσι πρὸς ἡῶ τ' ἠέλιόν τε, ἢ ἐπὶ δεξιὰ τοί γε ποτὶ ζόφον ἠερόεντα'. κα- d 4r
λεῖ δὲ ταὐτοῦ τὴν ἀπλανῆ ὡς μίαν οὖσαν καὶ ὁμαλὴν καὶ ἀεὶ ὡσαύτως
ἔχουσαν, θατέρου δὲ τὴν λοιπὴν ὡς μήτε μίαν οὖσαν, ἀλλὰ ποικίλην,
[καὶ] οὔτε ὁμαλήν, ἀλλὰ ἄνισον καὶ ἀνώμαλον· καὶ γὰρ αἱ τῶν πλανω-
5 μένων κινήσεις καὶ πρὸς ἀλλήλας καὶ πρὸς ἑαυτάς εἰσιν ἄνισοι. σχίζει δὲ τὸν
θατέρου κύκλον εἰς ἑπτὰ κατὰ ἀναλογίαν τοιαύτην, ἣν καὶ αἱ πλανώμεναι
πρὸς ἀλλήλας ἔχουσι· κατὰ γὰρ τοὺς λόγους τούτους σχίζει καθ' οὓς τά
τε ἀποστήματα καὶ αἱ κινήσεις αὐτῶν εἰσι πρὸς ἀλλήλας. πῶς οὖν ταῦτα
ἐπὶ τῆς ἡμετέρας ἁρμόσει ψυχῆς; δῆλον ὅτι κατὰ τὸν λόγον ὃν καὶ ἐπὶ
10 τῶν ἁρμονικῶν εἴπομεν ἀριθμῶν. ἡ μὲν γὰρ τοῦ παντὸς ποιητικὰς τού-
των ἔχει δυνάμεις καὶ παραδειγματικάς, ἡ δ' ἡμετέρα γνωστικάς τε καὶ
εἰκονικάς. ἔχει γὰρ δύναμιν γνωστικὴν καθ' ἣν γινώσκει τούς τε τῶν
κινήσεων λόγους καὶ τὰς αὐτῶν συμφωνίας καὶ διαφοράς. καὶ γὰρ ἔγραψάν
τινες τὸν λόγον τῶν κινήσεων τούτων πρὸς ἀλλήλας, ποῖον ἑκάστη κίνησις
15 λόγον πρὸς ἑκάστην τῶν λοιπῶν ἔχει, καὶ περὶ τῆς ἑκάστου πρὸς ἕτερον
συμφωνίας τε καὶ ἀποκαταστάσεως, καὶ ἔτι περὶ τῆς πάντων ἅμα, ἥν φασι
διὰ πολλῶν μυριάδων ἐτῶν γίνεσθαι· γίνεσθαι δ' ἐν τοῖς τροπικοῖς ἢ ἐν
καρκίνῳ ἢ ἐν αἰγοκέρωτι, ἔνθα καὶ γινομένων ἢ πυρπόλησιν ἢ ἐπικλυσμὸν
ποιεῖ. ἀπολαμβάνει δὲ ἐντὸς πᾶν τὸ σωματοειδὲς τοῦ κόσμου, καὶ
20 συναρμόσας αὐτὴν ἐκ τοῦ μέσου διαπλέκει μέχρι τοῦ ἐσχάτου οὐρανοῦ
καὶ κύκλῳ αὐτὸν πάντα περικαλύπτει, σημαίνων ὅτι οὔτε ἔξω τοῦ οὐρανοῦ
ἔστι τι, ἀλλ' ἐντὸς πάντα περιείληπται, καὶ ὅτι οὐδὲν ἄμοιρον ζωῆς, ἀλλὰ
πάντα μετέχει τῆς ἀπὸ τῆς ψυχῆς τοῦ παντὸς ἐνδιδομένης ἐλλάμψεως ἢ
ἀμυδρότερον ἢ καθαρώτερον κατὰ τὰ ἑαυτοῦ μέτρα ἕκαστον. καὶ γὰρ
25 αὐτὰ τὰ ἄψυχα μετέχει τινὸς ζωῆς καθ' ἣν καὶ δυνάμεις τινὰς ἔχουσιν,
ἢ θερμαίνοντα ἢ ψύχοντα ἢ ξηραίνοντα ἢ ὑγραίνοντα, ἔτι τε κινούμενα ἢ
κατὰ ἄλλας τινὰς δυνάμεις ἐνεργοῦντα καὶ παραδόξους, ὧν τὰ μὲν καὶ ἐν
πείρᾳ ἐστὶ τῶν πολλῶν, τὰ δὲ πολλὰ ἱστοροῦσιν οἱ περὶ τούτων γράψαντες.
οἷον ἡ Μαγνῆτις λίθος ἑλκτικὴν ἔχει δύναμιν, ἄλλος ἐκφλογοῦται μὲν ὕδατι
30 βρεχόμενος, σβέννυται δὲ ἐλαίου ἐπιχεομένου, ἄλλος καθεκτικὴν ἔχει τῶν
ἐμβρύων δύναμιν, καὶ οὐ πρότερον τίκτει τὰ ζῷα οἷς ὁ λίθος οὗτος περί-
κειται, πρὶν ἂν ἀφαιρεθῇ, καὶ μυρία τοιαῦτα ὅσα, περὶ ὧν οὐ καιρὸς λέγειν.
πόθεν οὖν αἱ δυνάμεις αὗται, εἰ καθάπαξ ἄμοιρα ζωῆς τινος ἦσαν τὰ ἄψυχα;
τί δὲ βούλεται αὐτῷ ἡ διαπλοκὴ τῆς ψυχῆς πρὸς τὸ σωματοειδὲς τοῦ
35 κόσμου; λέγω οὖν ὅτι τριῶν οὐσῶν τούτων μίξεων, τῆς κατὰ παράθεσιν
καθ' ἣν συνημμένοι εἰσὶν ἀλλήλοις οἱ λίθοι ἐξ ὧν ἡ οἰκία, καὶ τῆς
κατὰ κρᾶσιν, ὡς ἐπὶ τοῦ οἴνου καὶ τοῦ ὕδατος, καὶ τῆς κατὰ διαπλοκὴν
ὡς ἐπὶ τῶν σχοινίων, ἡ μὲν κατὰ παράθεσιν ἀσυμπαθής ἐστιν (οὐδεμία

---

1 ἢ ἐπὶ δεξιὰ] εἴτ' ἐπ' ἀριστερὰ l. l. 2 ὁμαλὴν Dt: ἀπλανῆ R 4 καὶ delevi 5 καὶ πρὸς ἑαυτάς — ἀλλήλας (7) om. D 5 πρὸς (ante ἑαυτάς) om. t 6 καὶ αἱ πλανώμεναι R: αἱ πλανόμεναι t 9 καὶ om. R 10 ἁρμονικῶς R 18 αἰγοκέρατι R 24 τὰ ἑαυτοῦ R: τὰ αὐτοῦ D: τοῦ αὐτοῦ t 26 τε τὰ κινούμενα t 29 λίθος Dt: τῶν λίθων R 31. 32 παράκειται t 32 τοιαῦτα Rt: ταῦτα D 38 ὡς om. R

γὰρ γίνεται τῶν παρακειμένων πρὸς ἄλληλα συμπάθεια), ἡ δὲ κατὰ κρᾶσιν d 4r
σύγχυσιν τῶν κιρναμένων ἐργάζεται. ἡ μέντοι κατὰ διαπλοκὴν μέση πώς
ἐστιν οὔτε τῆς παραθέσεως τὸ ἀσυμπαθὲς ἔχουσα οὔτε τῆς κράσεως τὸ
συγκεχυμένον· συνάπτεται γὰρ ἀλλήλοις τὰ συμπλεκόμενα κατὰ πλείονα
5 μόρια. εἰκότως οὖν τὸν σύνδεσμον τῆς ψυχῆς πρὸς τὸ σῶμα δηλῶσαι
βουλόμενος οὐκ εἶπεν ἔμιξεν ἢ συνεκέρασεν, ἀλλὰ συνέπλεξε, διότι οὔτε 45
συνουσίωται τῷ σώματι ὥσπερ τὰ κινούμενα, οἷαί εἰσι καὶ αἱ φυσικαὶ δυ-
νάμεις καὶ τὰ εἴδη, οὔτε πάντῃ τῆς πρὸς αὐτὸ συμπαθείας τε καὶ σχέσεως
ἠλλοτρίωται, ὥσπερ τὰ ὑπερκόσμια. ταῦτα μὲν οὖν ὡς ἐν κεφαλαίῳ
10 εἰπεῖν τὰ ἐν τῇ ψυχογονίᾳ τῷ Τιμαίῳ δηλούμενα. λοιπὸν δὲ τὴν λέξιν
αὐτὴν ἐπισκεψώμεθα. τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Τίμαιος φυσιο-
λογεῖ τὴν ψυχὴν κινεῖν τὸ σῶμα, τὸν αὐτὸν τρόπον τῷ Δημοκρίτῳ.
ὥσπερ γὰρ ἐκεῖνος κινουμένων τῶν σφαιρικῶν ἀτόμων ἐξ ὧν ἡ ψυχὴ
συγκινεῖσθαι αὐταῖς τὸ σῶμα ἔφασκεν, οὕτω καὶ ὁ Τίμαιος συμπλέξας τὴν 50
15 ψυχὴν τοῦ παντὸς τῷ σώματι οὕτως συνεφέλκειν ἑαυτῇ τὸ πᾶν· οἷόν
φησι καὶ ὁ μῦθος τὸν Ἰξίονα πάσχειν, ἐνδεδεμένον ἐν τροχῷ συγκινεῖσθαι
τὴν τοῦ τροχοῦ κίνησιν. Τίμαιον δὲ καλεῖ τὸν παρὰ Πλάτωνι Τίμαιον·
οὕτω γὰρ εἴωθε τοῦ Πλάτωνος καλεῖν τὰ συγγράμματα. συνεστηκυῖαν
γὰρ ἐκ τῶν στοιχείων, οὐσίας ταυτότητος ἑτερότητος· ταῦτα γὰρ στοι-
20 χεῖα τῶν ὄντων παρὰ τῷ Πλάτωνι, ὡς καὶ ἀνωτέρω εἴρηται. οὐσίαν δὲ
λαμβάνει ἐν τῇ γενέσει τῆς ψυχῆς μέσην ἐκ τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ
τὰ αὐτὰ | καὶ ὡσαύτως ἐχούσης, καὶ τῆς περὶ τὰ σώματα μεριστῆς. d 4v
ἔχει γὰρ ὧδε ἐπὶ λέξεως τὰ τοῦ Τιμαίου ῥήματα· "ἐκ τῆς ἀμερίστου καὶ
ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γινομένης
25 μεριστῆς τρίτον ἀπ' ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε
ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς θατέρου". ἀμέριστον μὲν οὖν λέγει καὶ
ἀεὶ ὡσαύτως ἔχουσαν τὴν νοητὴν οὐσίαν, περὶ δὲ τὰ σώματα μεριστὴν τὸ
ἔνυλον εἶδος, διότι τῷ οἰκείῳ λόγῳ ἀμέριστον ὂν ἐν τῇ ὕλῃ γενόμενον 5
μερίζεται καὶ συνδιίσταται· εἷς γὰρ ὢν ὁ τοῦ ἀνθρωπείου εἴδους λόγος ἐν
30 ὕλῃ γενόμενος διίσταται κατὰ τὰς διαφορὰς τῶν μορίων. ἐπεὶ οὖν γνω-
στικὴ πάντων ἡ ψυχή, δεῖ δὲ τὸ ὅμοιον τῷ ὁμοίῳ γνωρίζεσθαι, συνιστᾶσιν
αὐτὴν ἐκ τῶν ἀρχῶν τῶν ὄντων, ἵνα τῷ ἐξ ἀμφοῖν κραθῆναι τῇ μὲν τῶν
νοητῶν τῇ δὲ τῶν αἰσθητῶν ἀντιλαμβάνηται, ἐπεὶ καὶ ἡ τῶν αἰσθητῶν
γνῶσις οὐ κατὰ τὸ ὑλικὸν καὶ σωματοειδὲς τῶν πραγμάτων γίνεται, ἀλλὰ
35 κατὰ τὸ ἑκάστου εἶδος. καὶ οὕτω μὲν τῶν οὐσιῶν γίνεται ἀντιληπτική· 10
ἐπεὶ δέ εἰσι καὶ τὰ παρὰ τὴν οὐσίαν ἃ τῇ οὐσίᾳ συμβέβηκεν, ταῦτα δέ
ἐστι τὰ παρὰ τὴν οὐσίαν γένη, συνιστᾶσιν αὐτὴν ἐκ τοῦ ταὐτοῦ καὶ θατέ-

---

2 σύγχησιν t κιρναμένων R: κιρνωμένων t: κρινομένων D 3 συμπαθὲς R 7 ὥσπερ R: ὥπερ D: ὅπερ t κινούμενα] legendum κιρνάμενα 12 post αὐτὸν add. δὲ R 17 πλάτωνι R: πλάτωνα Dt 19 στοιχείων iterat R 20 παρὰ πλάτωνι t 23 ἐκ τῆς] τῆς Plato 25 ἀπ' ἀμφοῖν DR: ἐπ' ἀμφοῖν t: ἐξ ἀμφοῖν Plato 26 φύσεως καὶ αὖ καὶ περὶ τῆς R μὲν om. D 28 γινόμενον R 29 εἷς] εἰ R 31 συνιστᾶσιν D: συνιστῶσιν Rt 36 ἃ καὶ τῇ οὐσίᾳ t 37 συνιστᾶσιν DR: συνιστῶσιν t

ρου. ἐν γὰρ τούτοις ἅπασιν ἔστι τις ἀντίθεσις, ἡ μὲν βελτίων, ἡ δὲ d 4ᵛ
χείρων, οἷον ἐπὶ τοῦ ποσοῦ σύμμετρον καὶ ἀσύμμετρον, ὧν κρεῖττον τὸ
σύμμετρον, ἐπὶ τοῦ ποιοῦ ἀγαθὸν καὶ κακόν, ἐπὶ τοῦ πρός τι δεξιὸν ἀρι-
στερόν, ἐπὶ τοῦ ποῦ ἄνω κάτω, ἐπὶ τοῦ ποτὲ πρότερον καὶ ὕστερον, καὶ
5 ἐπὶ τῶν λοιπῶν ὁμοίως. καὶ οἱ Πυθαγόρειοι δὲ λαμβάνοντες ἐπὶ πάντων
τῶν ὄντων δύο στοιχεῖα καὶ ἀρχὰς τὴν μὲν ἑτέραν μοῖραν βελτίονα καὶ 15
πεπερασμένην ποιοῦσι, τὴν δὲ ἑτέραν χείρονα καὶ στερητικὴν καὶ ἄπειρον,
καὶ ἐπεὶ ἐν πᾶσι τὸ μὲν βέλτιον ἁπλοῦν τε καὶ αὐτὸ ἑαυτῷ ὁμόλογον, τὸ
δὲ χεῖρον ποικίλον καὶ ἑαυτῷ ἀσύμφωνον, τὸ μὲν βέλτιον ὑπὸ τοῦ ταὐτοῦ
10 ἀνάγουσι, τὸ δὲ χεῖρον ὑπὸ τοῦ θατέρου, οἷον ἀγαθὸν καὶ κακὸν τὸ μὲν
ἁπλοῦν τε καὶ ἑαυτῷ σύμφωνον, τὸ δὲ ποικίλον καὶ ἀσύμφωνον ἑαυτῷ·
ὁμοίως ἔχει τὸ εὐθὺ καὶ καμπύλον, τὸ τραχὺ καὶ λεῖον, ὁμαλὸν καὶ ἀνώ-
μαλον, ἴσον καὶ ἄνισον, ὑγίεια καὶ νόσος, καὶ ἐπὶ πάντων ὡσαύτως. διὰ τοῦτο 20
οὖν ἐπεὶ καὶ τούτων ἔχει γνῶσιν, παρέλαβεν ὁ δημιουργὸς εἰς τὸ κρᾶμα
15 αὐτῆς τὴν ταὐτοῦ φύσιν καὶ τὴν θατέρου. ἰστέον μέντοι ὅτι εἰ μεταξὺ
τῆς τε ἀμερίστου οὐσίας καὶ τῆς οὐ μεριστῆς μὲν καθ' αὑτήν, περὶ τὰ
σώματα δὲ μεριστῆς λέγει [γὰρ] τὴν οὐσίαν τῆς ψυχῆς εἶναι. δύο ἀσω-
μάτων μεταξύ φησιν αὐτὴν εἶναι· τὸ δὲ μεταξὺ δύο ἀσωμάτων καὶ ἀμερ-
ίστων καὶ αὐτὸ ἀσώματον καὶ ἀμέριστον. ὅσα ἄρα ὡς περὶ μεγέθους
20 λέγεται τῆς ψυχῆς συμβολικῶς λέγεται. εἰ γὰρ ἡ περὶ τὰ σώματα μεριστὴ 25
οὐ σῶμα (οὐ γὰρ εἶπεν σῶμα εἶναι, ἀλλὰ περὶ τὰ σώματα μεριστήν) δῆλον
ὡς οὐδ' ⟨ἡ⟩ ὑπὲρ ταύτην σῶμα· εἰ δὲ μὴ σῶμα, οὐδ' ὅλως μέγεθος· οὔτε
γὰρ ἐπιφάνεια οὔτε γραμμή· ταῦτα γὰρ ὑπόστασιν ἰδίαν οὐκ ἔχει, ἀλλ' ἐν
σώματι τὸ εἶναι ἔχει. δῆλος τοίνυν ἐστὶν ὅτι πάντα συμβολικῶς ἐπὶ
25 ψυχῆς λαμβάνει καὶ ὁ Ἀριστοτέλης πρὸς τοὺς οὕτω τὸ φαινόμενον λέγον-
τας ἀποτείνεται.

p. 406ᵇ29 Ὅπως αἴσθησίν τε σύμφυτον ἁρμονίας λάβῃ καὶ τὸ 30
πᾶν φέρηται συμφώνους φοράς.

Τινές φασιν, ἐπειδὴ τὰ περὶ τῆς τοῦ παντὸς ψυχῆς λεγόμενα ἁρμόζει
30 καὶ ἐπὶ πάσης λογικῆς ψυχῆς, τὸ μέν φασιν ἐκληπτέον ὡς ἐπὶ τῆς καθ'
ἡμᾶς ψυχῆς, τὸ ὅπως αἴσθησίν τε σύμφυτον ἁρμονίας λάβῃ, διὰ
τὸ ἐκείνην μᾶλλον ποιητικὴν εἶναι τῆς ἁρμονίας ἢ αἰσθητικήν, τὸ δὲ ἑξῆς 35

---

4 ποῦ Dt: ποσοῦ R 6 μοῖραν om. R 7 στερικὴν D 8 αὐτοῦ ἑαυτοῦ R
9 ὑπὸ Dt: ἐπὶ R legendum τὸ ταὐτόν, item v. 10 τὸ θάτερον 11 ἀσύμφωνον
ἑαυτοῦ R 13 ἄνισον καὶ ὑγεία καὶ νόσος ἐπὶ R 15 καὶ τὴν Dt: καὶ τοῦ R
μεταξὺ R: τὰ μεταξὺ Dt 17 γὰρ delevi τὴν R: om. Dt 20 τῆς ψυχῆς
συμβολικῶς λέγεται Rt: om. D εἰ γὰρ ἡ t 21 μεριστήν t: μεριστή DR
22 ἡ addidi 27 τε σύμφυτον DR Arist. plerique: τε καὶ σύμφυτον t Sophon. et Arist.
TU ἁρμονίας Arist. plerique, item v. 31 DRt: ἁρμονίαν DRt Sophon. et Arist. TUW
λάβῃ DR: ἔχῃ t Arist. 28 φέρηται DR Arist. codd. plerique: φέρῃ t 30 τὸ
μὲν DR: τὸν t

περὶ τῆς τοῦ παντός, 'ἵνα ποιῇ φέρεσθαι τὸ πᾶν συμφώνους φοράς.' οὐ d 4v
πάνυ δέ πως σύμφωνος τῷ σκοπῷ τῶν λεγομένων ἡ ἐξήγησις· ἐπὶ γὰρ
τοῦ αὐτοῦ ἀμφότερα τάττει. ἴσως οὖν ἵνα τῆς ἁρμονίας ἧς ἐστιν αἰτία
τῷ παντὶ αἴσθησιν λάβῃ, τουτέστιν ἵνα μὴ ἀλόγως ὡς ἡ φύσις ποιῇ, ἀλλὰ
5 μετὰ λόγου καὶ συναισθήσεως. ἆρ' οὖν οὐχὶ καὶ τὰ ἄλογα κατακούειν πέ-
φυκεν ἁρμονίας; οὐ διὰ συρίγγων ἄγεται τὰ ποίμνια; οὐχ ὑπὸ σάλπιγγος
ἵπποι γαῦρον ἐπὶ πόλεμον ἐγείρουσι φρόνημα; πῶς οὖν ὡς ἴδιον τοῦτο τῆς 40
λογικῆς ψυχῆς ἐν τῇ ψυχογονίᾳ παρέδωκεν, εἰ καὶ μὴ τῆς τοῦ παντός, ἀλλ'
οὖν τῆς ἡμετέρας; λέγω οὖν ὅτι εἰ καὶ πεφύκασι κατακούειν, ἀλλ' ἁπλῶς
10 ὡς ποιᾶς φωνῆς ἀκούουσιν, οὐκέτι μέντοι κρίνουσιν, εἴτε ἐναρμόνιος εἴτε
μή· τοῦτο γὰρ τῆς ἡμετέρας ψυχῆς ἴδιον· εἰ γὰρ ἀκούσει μέλους, ἐφί-
στησι καὶ κρίνει, εἴτ' ἐναρμόνιον εἴτε μή. σημειωτέον δὲ ὅτι ὁ μὲν Τί-
μαιος τὴν εὐθεῖαν τὴν γενομένην ἐκ τοῦ κράματος ἐκείνου πρῶτον σχίζει,
εἶτα κάμπτει εἰς τοὺς δύο κύκλους, ὁ δὲ Ἀριστοτέλης ἀνάπαλιν λέγει ὅτι 45
15 ἔκαμψε τὴν εὐθεῖαν. εἶτα ἔσχισεν εἰς δύο κύκλους· τοῦτο δὲ οὐδὲν αὐτῷ
συνεβάλλετο πρὸς τὸ προκείμενον, διὸ ἀδιαφόρως ἐχρήσατο τῇ ἱστορίᾳ τῆς
τοῦ Τιμαίου δόξης. ὡς οὔσας τὰς τοῦ οὐρανοῦ φορὰς τὰς ἐκ τῆς
ψυχῆς κινήσεις. κατὰ τὸ φαινόμενον δοκεῖ λέγειν ὁ Τίμαιος ὅτι τὴν
αὐτὴν τῇ κινήσει τῆς ψυχῆς φέρονται καὶ τὰ οὐράνια συμπεριαγόμενα
20 αὐτῇ, οὐ μέντοι γε ὅτι αἱ τοῦ οὐρανοῦ κινήσεις τῆς ψυχῆς εἰσι κινήσεις,
ἀλλ' ὡς εἶπον ἐκείνη αἰτία τούτων. ἐὰν οὖν προσθῶμεν τὴν κατὰ πρό-
θεσιν, σαφὴς γίνεται ἡ λέξις 'ὡς οὔσας τὰς τοῦ οὐρανοῦ φορὰς κατὰ τὰς 50
τῆς ψυχῆς κινήσεις'. καὶ ἄλλως ἐπὶ μὲν τῶν οὐρανίων τῶν ψυχῶν τὰ
σώματα ἐξήρτηται, καὶ αὐτὰ μὲν πρὸς αὐτὰς ἐπέστραπται, αὗται δὲ οὐ
25 κατασπῶνται πρὸς τὰ σώματα ὡς αἱ ἡμέτεραι. ἐπεὶ οὖν τὸ ψυχικὸν ἐν
ἐκείνοις ἐπικρατεῖ ἢ τὸ σωματικὸν καὶ τὰ σώματα τῶν ἀρχῶν εἰσι, τὰς
τοῦ οὐρανοῦ φοράς φησι τὰς τῆς ψυχῆς εἶναι κινήσεις. ἢ καὶ κατὰ τὸ
φαινόμενον οὕτως ἐκληπτέον ὅτι αἱ τοῦ οὐρανοῦ κινήσεις τῆς ψυχῆς
εἰσι κινήσεις (τῷ γὰρ κινεῖσθαι κινεῖ τὸν οὐρανόν) ὥσπερ εἴ τις ἐπὶ τοῦ d 5r
30 ἐν τῷ κηρῷ ἐναποκεκλεισμένου ζῴου καὶ τῷ κινεῖσθαι κινοῦντος τὸν κηρὸν
εἴποι ὅτι αἱ τοῦ κηροῦ κινήσεις αἱ τοῦ ἐντὸς ἐναποκεκλεισμένου ζῴου εἰσὶ
κινήσεις.

p. 407a 2 Πρῶτον μὲν οὖν οὐκ εὖ τὸ λέγειν τὴν ψυχὴν μέγεθος εἶναι.

Ἐντεῦθεν εἰσβάλλει ἐπὶ τοὺς ἐλέγχους τῆς Τιμαίου δόξης καὶ πάνυ καρ- 5

---

2 σύμφωνος D: συμφώνως Rt 4 ποιεῖ R 5 σὺν αἰσθήσεως t οὐχὶ Rt: om. D 6. 7 ὑπὸ σάλπιγγος—φρόνημα] poëtae nescio cuius verba sunt 11 ἀκούσει R: ἀκούσοι Dt: fort. ἀκούσῃ 16 συνεβάλετο R 17 ἐκ τῆς DRt: τῆς Arist. 22 γίνεται Rt: γάρ ἐστι D 23 τῶν (ante οὐρανίων) om. R 24 ἐξήρτηνται R ἐπέστραπται] ἐπιτρέπεται R αὐταὶ δ' οὐ R 26 ἢ τὸ σωματικὸν] exspectas τοῦ σωματικοῦ 28 οὕτως Rt: οὐκ D 29 τὸ γὰρ κινεῖσθαι R 30 καὶ τῷ κινεῖσθαι—ζῴου (31) Rt: om. D 33 οὖν om. R οὐκ εὖ τὸ λέγειν scripsi: [illegible]ευτολογειν R: οὐκ αὐτὸ λέγειν D: οὐ καλῶς τὸ λέγειν t Arist.

τερικωτάτοις κέχρηται λόγοις ἀποδεικνύων μὴ εἶναι μέγεθος τὴν ψυχήν. d 5r
ὅτι μὲν οὖν Πλάτων πανταχοῦ ἀσώματον καὶ ἀμεγέθη αὐτὴν λέγει,
πρόδηλον· πλὴν καὶ ἐξ αὐτῶν τῶν ἐνταῦθα λεγομένων καίπερ αἰνιγμάτων
ὄντων ἔστιν εὑρεῖν. εἰ γάρ, ὅπερ ἔλεγον, λέγει αὐτῆς τὴν οὐσίαν μεταξὺ
5 εἶναι τῆς τε ἀμερίστου καὶ τῆς περὶ τὰ σώματα μεριστῆς, πᾶσα ἀνάγκη
τὸ μεταξὺ δύο ἀσωμάτων, ἤτοι ἐκ δύο ἀσωμάτων καὶ αὐτὸ ἀσώματον
εἶναι. ἔπειτα εἰ σῶμα αὐτὴν ἔλεγε, πῶς ἠδύνατο τὸ αὐτὸ σῶμα ὂν ἐντός 10
τε ἑαυτοῦ ἀπειληφέναι τὸ σῶμα τοῦ κόσμου καὶ πάλιν τὸ αὐτὸ τοῦτο ἐκ
τοῦ μέσου συναρμοσθὲν διαπλακῆναι πρὸς τὸν ἔσχατον οὐρανόν; ἄλλως τε
10 τῷ εἰπεῖν τὸ σωματοειδὲς τοῦ κόσμου κατὰ ἀντιδιαστολήν, εἴ γε κἀκείνη
ἐγκόσμιός ἐστιν, ἀσώματον αὐτὴν ἀπέφηνεν. ἀλλ' ἄρα μὴ γραμμὴν αὐτὴν
ἢ ἐπιφάνειαν ἔλεγε; καὶ ὅτι μὲν οὐκ ἂν ἔλεγεν γραμμήν, δῆλον ἐξ ὧν
φησιν ἔξωθεν πάντα τὸν οὐρανὸν περικαλύψαι. ἀλλ' οὐδὲ ἐπιφάνειαν· πῶς
γὰρ ἠδύνατο ἐπιφάνεια οὖσα συναρμοσθῆναι ἐκ τοῦ μέσου, εἶτα διαπλακῆναι 15
15 μέχρι τοῦ ἐσχάτου οὐρανοῦ καὶ ἔξωθεν αὐτὸν πάντα περικαλύψαι; ὥστε
οὔτε γραμμὴν ἂν λέγοι τὴν ψυχὴν οὔτε ἐπιφάνειαν. ὅτι γὰρ ἐν ἕξει ἦν
ἀκροτάτῃ ὁ Τίμαιος πάσης μαθηματικῆς ἐπιστήμης, γεωμετρίας καὶ ἀριθ-
μητικῆς μουσικῆς τε καὶ ἀστρονομίας, ἐκ τῶν αὐτῶν λόγων σαφὲς συνι-
δεῖν, ὥστε οὐκ ἂν ἐνόμισεν οὔτε γραμμὴν οὖσαν οὔτε ἐπιφάνειαν τοῦτο
20 δύνασθαι ποιεῖν, ὅπερ ἔφη. ὥστε εἰ μήτε γραμμὴν μήτε ἐπιφάνειαν μήτε
σῶμα λέγει τὴν ψυχήν, οὐδὲ μέγεθος ἄρα· ἐν τούτοις γὰρ τὸ μέγεθος. 20
ὅτι καὶ ἡ Ἀριστοτέλους ἀντιλογία πρὸς αὐτοὺς μᾶλλον ἐξήγησίς ἐστιν ἤπερ
ἀντιλογία, καὶ ὅτι καὶ αὐτὸς ἤδει αὐτοὺς μὴ οὕτω ταῦτα κατὰ τὸ φαινό-
μενον ἐκλαμβάνοντας, δῆλον ἐξ ὧν αὐτὸς ὁ Ἀριστοτέλης φησί· ἐπ' αὐτῆς
25 δὲ τῆς λέξεως τούτοις ἐπιστήσομεν, ἵνα μὴ τὰ αὐτὰ δὶς λέγειν ἀναγκα-
σθῶμεν.

p. 407a3 Τὴν γὰρ τοῦ παντὸς δῆλον ὅτι τοιαύτην εἶναι βού-
λονται, οἷόν ποτ' ἐστὶν ὁ καλούμενος νοῦς.

Τὸ λέγειν, φησί, καὶ τὴν τυχοῦσαν ψυχὴν μέγεθος εἶναι ἄτοπον, πολλῷ
30 δὲ μᾶλλον καὶ τὸν νοῦν. ὅτι γὰρ ἐκεῖνοι λέγοντες τοὺς κύκλους ἐκείνους
εἶναι τὴν ψυχὴν τοῦ παντὸς οὐ τὴν τυχοῦσαν ψυχὴν ἔλεγον, φέρε εἰπεῖν
τὴν θρεπτικὴν ἢ τὴν θυμοειδῆ ἢ ἐπιθυμητικήν, ἀλλὰ τὴν λογικὴν καὶ
νοεράν, δῆλον ἐξ ὧν κύκλῳ κινεῖσθαι αὐτὴν λέγουσι, τὸ δὲ κύκλῳ κινεῖσθαι
ἐπὶ μόνης ἁρμόζει τῆς λογικῆς ψυχῆς λέγεσθαι. αὕτη γάρ ἐστιν ἡ πρὸς 30
35 ἑαυτὴν ἐπιστρέφουσα καὶ μιμουμένη κύκλον, ἡ μέντοι αἰσθητικὴ ἢ ἡ θυμο-

---

2 οὖν καὶ ὁ Πλάτων Rt 5 ἀμερίστου] ἀμερίστα R 9 μέσου Rt: μεγέθους D ἄλλως τε] ἀλλ' ὥσπερ R 10 τῷ scripsi: τὸ libri τὸ σωματοειδὲς] Tim. p. 36 D 13 φησιν] ibid. p. 36 E τὰ ἔξωθεν R πάντα R: πᾶν Dt ἀλλ' οὐκ R 14 post οὖσα add. ἡ ψυχὴ t διαπλεκῆναι R 17 καὶ ante ἀριθμητικῆς om. t 20 μήτε γραμμὴ μήτε ἐπιφάνεια R 22 Ἀριστοτέλους Rt: πρὸς Ἀριστοτέλους D 23 ἤδει DR: ἤδη t 24 αὐτὸς Dt: om. R

εἰδὴς ἢ ἡ ἐπιθυμητικὴ οὐ κατὰ κύκλον ἔχουσι τὰς κινήσεις· εὐθεῖαι γάρ d 5r
τινές εἰσιν. αἵ τε γὰρ ὄψεις ἀπὸ τῶν ὀφθαλμῶν κατ' εὐθεῖαν ἐκπέμπονται
καὶ πάλιν ἐν ταῖς ἀνακλάσεσι παλινδρομοῦσαι κατὰ τὴν αὐτὴν εὐθεῖαν
ἐπανακάμπτουσι, θυμὸς δὲ καὶ ἐπιθυμία πρόοδοί τινές εἰσιν εὐθείας μι-
5 μούμεναι, καὶ οὐ κύκλῳ κινούμεναι οἴκοθεν προβάλλουσαι τὰς ἐνεργείας
περὶ τὸ σῶμα ἀνεπιστρόφους ταύτας ἔχουσιν· οὔτε γὰρ ἐφιστάνουσιν ὅτι 35
ἐνεργοῦσιν ἢ αἰσθάνονται οὔτε ὅλως αὐταὶ ἑαυτὰς γνῶναι δύνανται· ὥστε
εὐθεῖά τις ἡ τούτων κίνησις. ἡ δὲ τῆς λογικῆς κύκλος τις εἶναι ἔοικεν,
ὅτι τε ἐνεργεῖ ἐφιστάνει καὶ αὐτὴ ἑαυτὴν γινώσκει, αὐτὴ περὶ ἑαυτὴν ζη-
10 τοῦσά τε καὶ εὑρίσκουσα· τοῦ δὲ κύκλου τοῦτο ἴδιον τὸ ἀπὸ τοῦ αὐτοῦ
ἐπὶ τὸ αὐτὸ ἐπιστρέφεσθαι. καὶ ἄλλως αἴσθησις καὶ θυμὸς καὶ ἐπιθυμία
εἰς σωτηρίαν τοῖς ζῴοις ἐπικουρίας δεομένοις δέδονται, τὰ δὲ θεῖα οὐδε-
μιᾶς ἔξωθεν δεῖται βοηθείας. ἔτι αὐτὸς προϊὼν λέγει τὰς δυνάμεις ταύ- 40
τας ὑπὸ τῶν δευτέρων θεῶν θνητὰς οὔσας τῷ ἀθανάτῳ τῆς ψυχῆς
15 προσυφαίνεσθαι, ἣν ὁ πρῶτος αὐτὸς θεὸς δημιουργεῖ. καὶ ἄλλως ἡ ἐπι-
θυμία καὶ ἁπλῶς ἡ ὄρεξις ἔφεσίς ἐστι τοῦ ἐνδέοντος καὶ μὴ παρόντος, ὁ δὲ
κόσμος πάντα ἐν ἑαυτῷ ἔχων καὶ μηδενὸς ὄντος ἔξωθεν οὐκ ἂν ὀρέγοιτο,
ὥστε οὐκ ἂν εἴη ἐν αὐτῷ θυμὸς καὶ ἐπιθυμία. ὥστε τὸν νοῦν λέγοντες
τὴν τοῦ παντὸς ψυχήν, εἶτα ταύτην μέγεθος ὑποτιθέμενοι ἀτοπώτατα ἂν
20 ποιοῖεν. καὶ αὐτῇ δὲ λέξει φησὶ ποιῆσαι τὸν θεὸν τὸν κόσμον ζῷον
ἔμψυχόν τε καὶ ἔννουν. ἠρκέσθη μέντοι αὐτὸς καὶ τούτῳ μόνῳ τεκμηρίῳ 45
ὅτι τὸν νοῦν λέγουσιν, ὅτι κύκλῳ αὐτὴν εἶπον κινεῖσθαι. λέγομεν οὖν
πρὸς αὐτὸν ὅτι οἶδας ἄρα καὶ αὐτὸς ὅτι διὰ τοῦτο τὴν κύκλῳ παρείληφας
κίνησιν, ὅτι τοιαύτη τίς ἐστι καὶ ἡ τοῦ νοῦ ἐνέργεια· οὐκ ἄρα μέγεθος
25 ἔλεγον, ἀλλὰ συμβολικῶς τὸν νοῦν διὰ τῶν κύκλων ἠνίττοντο. εἰ γὰρ
ὅλως τὴν μετὰ τῶν ἀλόγων δυνάμεων [καὶ] τῆς ψυχῆς ἐνέργειαν εὐθυω-
ρίαν λέγεις, κύκλον δὲ τὴν τοῦ νοῦ συμβολικῶς καὶ κατὰ ἀναλογίαν, δῆλον
⟨ὅτι⟩ καὶ ἐπὶ τοῦ Τιμαίου τοὺς κύκλους καὶ τὰ λοιπὰ κατὰ ἀναλογίαν 50
ἐκληψόμεθα συμβολικῶς καὶ οὐχ ὡς τῆς ψυχῆς μέγεθος οὔσης. σαφῶς
30 ἄρα καὶ αὐτὸς οἶδε κατὰ ποίαν ἔννοιαν ταῦτα ἔλεγε, καὶ οἱ ἔλεγχοι οὐ
πρὸς ἐκείνους, ἀλλὰ πρὸς τοὺς τὸ φαινόμενον κακῶς ἐκλαμβάνοντας.

p. 407a6 Ὁ δὲ νοῦς εἷς καὶ συνεχὴς ὥσπερ καὶ ἡ νόησις· ἡ δὲ νόησις τὰ νοήματα· ταῦτα δὲ τῷ ἐφεξῆς ἓν ὡς ἀριθμός, ἀλλ' οὐχ ὡς μέγεθος. |

35 Εἷς τὸ ἐναντίον περιάγει τὴν δόξαν. ὥσπερ γὰρ ἀνωτέρω πρὸς τὸ d 5v

---

3 αὐτὴν C: αὐτῶν DRt 6 ἀνεπιστρόφως t 7 αὐταὶ Dt: αὗται R 9 ἐνεργεῖ D: ἐνεργεῖν R: ἐνεργεῖ καὶ t 13 αὐτὸς—λέγει] Tim. p. 41 D 20 φησὶ] Tim. 30 B 24 τοῦ νοῦ Rt: τούτου D 26 καὶ delevi 27 δῆλον—ἀναλογίαν (28) Rt: om. D 28 ὅτι addidi 29 cave corrigas μεγέθους 31 τοὺς Rt: om. D 33 ἀριθμός DR et Arist. vulg.: ὁ ἀριθμός t Arist. E (ante corr.) et U 34 μέγεθος DR: τὸ μέγεθος t et Arist. 35 περιάγει D: παράγει Rt ἀνοτέρω Rt

κινεῖσθαι τὴν ψυχὴν ἁπάντων ἐδείκνυ ὅτι οὐ μόνον οὐκ ἔστιν αὐτοκίνητος, d 5v
ἀλλ' οὐδὲ κινεῖται ὅλως, οὕτω καὶ ἐνταῦθα πρὸς τὸ μέγεθος ἐνιστάμενος
(δῆλον δὲ ὡς πᾶν μέγεθος συνεχές) τοσοῦτον, φησίν, ἀπέχω τοῦ συνεχὲς
λέγειν τὸν νοῦν, ὥστε καὶ διωρισμένον αὐτὸν φήσαιμι ἂν εὐλογώτερον. εἰ
5 δὲ ὅλως δεῖ αὐτὸν συνεχῆ λέγειν, οὕτως ἔσται συνεχής. ὥσπερ ἔχει τὸ 5
διωρισμένον ποσὸν τὴν συνέχειαν, λέγω δὴ ὁ ἀριθμός. ἔχει δὲ οὕτω τὸ
συνεχὲς τῷ ἐφεξῆς εἶναι ἀλλήλοις τοὺς ἀριθμοὺς καὶ μηδὲν ἀλλότριον με-
σολαβεῖν· μονάδος γὰρ καὶ δυάδος καὶ τῶν λοιπῶν ἀριθμῶν ἐφεξῆς ὄντων,
οὐδέν ἐστι μεταξὺ ἀλλότριον, καὶ διὰ τοῦτο συνεχεῖς ἀλλήλοις οἱ ἀριθμοὶ
10 τῷ ἐφεξῆς ἀλλήλων τετάχθαι. εἰ τοίνυν, φησί, δεῖ τὸν νοῦν λέγειν συνεχῆ,
οὕτως αὐτὸν δεῖ λέγειν ὡς τὸν ἀριθμόν, καὶ οὐχ ὡς μέγεθος, ὡς ἐκεῖνοί
φασι. κατασκευάζει δὲ τοῦτο ἐκ τῶν ὑστέρων τῇ φύσει καὶ ἡμῖν σαφε-
στέρων· οὕτω γάρ, φησίν, ἔχει τὸ συνεχὲς ὁ νοῦς ὡς ἡ νόησις, ἡ δὲ 10
νόησις οὕτως ἔχει τὸ συνεχὲς ὡς τὰ νοήματα, τὰ δὲ νοήματα ἔχουσι τὸ
15 συνεχὲς ὥσπερ ὁ ἀριθμὸς τῷ ἐφεξῆς. ἐφεξῆς δέ ἐστιν, οὗ μηδέν ἐστι με-
ταξὺ συγγενές· οὕτω δὲ ἔχει καὶ ὁ ἀριθμός· μετὰ τὴν μονάδα ἐφεξῆς δυάς,
εἶτα τριὰς καὶ τετράς, καὶ οὐδὲν μεταξύ. τοιαῦται δὲ καὶ αἱ ἄμεσοι προ-
τάσεις· ἥδε γὰρ πρώτη καὶ ἐφεξῆς ἄλλη, καὶ οὐδὲν μεταξύ. τὸ συνεχὲς
οὖν ἐν τούτοις τῷ ἐφεξῆς, καὶ οὐχ ὡς ἐν τοῖς μεγέθεσιν. οὕτω γοῦν καὶ
20 ἐν τῷ νῷ τὸ συνεχές. λαμβάνει δὲ τὸν κατ' ἐνέργειαν τὸν τέλειον νοῦν 15
τὸν ἐν τοῖς θείοις, οὐ τὸν δυνάμει νοῦν. ἐνέργεια δὲ τοῦ νοῦ ἡ νόησις,
ἡ δὲ νόησις οὐδὲν ἄλλο ἐστὶν ἢ τὰ νοήματα, ὥσπερ καὶ ἡ κατ' ἐνέρ-
γειαν αἴσθησις τὰ αἰσθήματα. ἐν γὰρ τοῖς νοήμασι τῇ νοήσει τὸ εἶναι·
οὐδὲ γὰρ ἐπινοῆσαι νόησιν ἔστι χωρὶς νοημάτων. ὡς οὖν τὰ νοήματα τὸ
25 συνεχὲς ἔχουσι (ἔχουσι δὲ τῷ ἐφεξῆς· διαφέροντα γὰρ ἀλλήλων τῇ φύσει
τῷ ἐφεξῆς νοεῖσθαι ἔχουσι τὸ συνεχές· οὐ γὰρ δὴ πάντα ἅμα νοεῖ, ὥσπερ
ὁ πρώτιστος καὶ ἐξῃρημένος τοῦ παντὸς νοῦς, ἀλλ' ἀχρόνως μέν, ἐπειδὴ 20
μηδ' ἐν χρόνῳ αὐτοῦ τὸ εἶναι, ἐφεξῆς δὲ ὡς ὁ ἀριθμός) οὕτως ἄρα καὶ
ὁ νοῦς ἔχει τὸ συνεχές. ἐπειδὴ γὰρ οὐ πρὸς τὸ ἔξω ἀποτείνεται αὐτοῦ
30 ἡ ἐνέργεια, ἀλλ' ἐν ἑαυτῷ ὁρῶν πάντα ὁρᾷ τῷ πάντων εἶναι ἐν αὐτῷ τοὺς
λόγους τῶν μὲν πρὸ αὐτοῦ εἰκονικῶς, τῶν δὲ μετὰ αὐτὸν παραδειγματικῶς,
ἐπεὶ οὖν ἑαυτὸν ὁρῶν πάντα ὁρᾷ (πλήρωμα γάρ ἐστιν εἰδῶν) τῷ μὲν ὅλως
πλείονα εἶναι τὰ νοήματα εἴη ἂν οἷον ἀριθμός, τῷ δὲ ταῦτα ἐφεξῆς εἶναι
εἴη ἂν ταύτῃ συνεχὴς ὡς καὶ τὰ νοήματα. δυνατὸν δὲ τὰ νοήματα 25
35 ἀκούειν ἀντὶ τοῦ αὐτὰ τὰ νοητά· ὡς γὰρ τὰ νοητὰ συνεχῆ ἐστι πρὸς
ἄλληλα (διὰ γὰρ τὴν τῶν ὄντων τάξιν καὶ πρόοδον ἔχουσαν τὸ ἐφεξῆς),
οὕτω καὶ ἡ περὶ αὐτῶν νόησις ἔχει τὸ συνεχές. ὡς γὰρ ἔχει τὰ νοητά,
οὕτως ἔχει καὶ ἡ νόησις, καὶ ὡς ἔχει ἡ νόησις, οὕτως ἔχει καὶ ὁ νοῦς

---

7 τὸ ἐφεξῆς R 13 ἡ νόησις R: ἡ om. Dt 17 αἱ R: om. t, del. D¹ ἄμεσοι Dt: ἄμετροι R 18 ἥδε R: ἡ Dt 19 τῷ ἐφεξῆς R: τὸ ἐφεξῆς Dt 20 λαμβάνει δὲ scripsi: δὲ λαμβάνει R: διαλαμβάνει Dt 23 ante ἐν add. τὰ R 24 νοημάτων Dt: νοήματος R 28 αὐτοῦ DR: ταὐτοῦ t ὡς ἀριθμός t 30 αὐτῷ Dt: ἑαυτῷ R 34 δὲ τῶ νοή ματα R 35 ἀντὶ τοῦ Rt: ταὐτοῦ D συνεχεῖ D 37 νοητά Dt: νοήματα R

τὸ συνεχές, τῷ ἐφεξῆς τόδε μετὰ τόδε νοεῖν. οἶδας ἄρα καὶ αὐτός, ὦ d 5v
Ἀριστότελες, καὶ συνεχῆ καλεῖν τὸν νοῦν καὶ ἀριθμὸν κατὰ τὴν ἀναλογίαν,
καὶ οὐχ ὡς μέγεθος ὄντα. ἀλλ' εἴποι ἂν ὅτι ἀλλ' ἐγὼ οὐκ εἶπον ἀριθμὸν
αὐτὸν εἶναι, ἀλλ' ὡς ἀριθμόν, οὐδὲ συνεχῆ ἁπλῶς ἀλλ' οἷον συνεχῆ· ἐκεῖνοι 30
5 δ' αὐτόθεν ἀριθμὸν καὶ συνεχῆ. ἀλλὰ πρόδηλον ὡς αἰνιγματώδης ἦν καθόλου ἡ ἐκείνων διδασκαλία.

p. 407a9 Ἀλλ' ἤτοι ἀμερὴς ἢ οὐχ ὡς μέγεθός τι συνεχής.

Μάλιστα μέν, φησίν, ἀμερής ἐστιν καὶ ἀσώματος ὁ νοῦς· εἰ δὲ ὅλως δεῖ αὐτῷ δοῦναι συνέχειαν, οὕτως ἔσται ἐπ' αὐτῷ τὸ συνεχές, ὥσπερ
10 εἴρηται.

p. 407a10 Πῶς γὰρ δὴ καὶ νοήσει μέγεθος ὢν ὁτῳοῦν τῶν μορίων 35
τῶν αὐτοῦ.

Ἐπειδὴ κύκλῳ κινεῖ ὁ Τίμαιος τὴν ψυχήν, ἵνα τῇ περιαγωγῇ θιγγάνων ἀντιλαμβάνηται τῶν νοητῶν (λέγει γοῦν, πῶς μὲν ἔχων ὁ κύκλος
15 ἐφαπτόμενος ἢ αἰσθητῶν ἢ δοξαστῶν ἢ νοητῶν ἀντιλαμβάνεται αὐτῶν, ἔτι γε μὴν καὶ ψευδῶν δοξῶν καὶ ἀληθῶν ἀποδίδωσι συμβολικὰς αἰτίας, ἐπειδὴ ὡς εἴπομεν καὶ περὶ πάσης ψυχῆς αὐτῷ ὁ λόγος) ταύτην οὖν τὴν δόξαν πρόκειται νῦν τῷ Ἀριστοτέλει ἐλέγξαι. τί γὰρ λέγω, φησίν, ὅτι οὐχ οἷόν 40
τε τὸν νοῦν καὶ κύκλον εἶναι; ὅλως γὰρ μέγεθος αὐτὸν εἶναι τῶν ἀδυνά-
20 των ἐστί· μέγεθος γὰρ ὄντα νοῆσαί τι τῶν ἀδυνάτων ἐστί. πρόεισι δ' ὁ ἔλεγχος ἐκ διαιρέσεως τὸν τρόπον τοῦτον. εἰ ὁ νοῦς, φησί, κύκλος ὢν τῷ κινεῖσθαι ἐφάπτεταί τε τοῦ νοητοῦ καὶ ταύτῃ νοεῖ (μέγεθος γὰρ ὢν οὐκ ἄλλως γνώσεται ἢ τῷ ἐφάπτεσθαι τοῦ νοητοῦ), ἀνάγκη πᾶσα ἢ κατὰ σημεῖον ἐφαπτόμενος νοεῖ ἢ κατὰ μόριον. καὶ εἰ κατὰ σημεῖον, ἤτοι καθ' 45
25 ἓν σημεῖον νοεῖ ἢ οὐ καθ' ἕν. εἰ μὲν οὖν καθ' ἓν μόνον σημεῖον νοοίη, περιττὰ τὰ ἄλλα· τίς οὖν χρεία τῆς κύκλῳ κινήσεως ἢ ὅλως μεγέθους; εἰ γὰρ ἓν σημεῖον ἀρκεῖ εἰς νόησιν, περιττὴ ἡ τοῦ μεγέθους ὑπόθεσις εἰς μηδὲν τῷ νῷ συντελοῦντος· εἰ γὰρ ὁ νοῦς τῷ νοεῖν νοῦς εἶναι λέγεται, τὸ δὲ ἓν σημεῖον μόνον νοεῖ, τοῦτο ἂν εἴη νοῦς. εἰ δὲ μὴ καθ' ἓν μόνον
30 σημεῖον νοεῖ, ἤτοι κατὰ πλείονα ἢ κατὰ πάντα νοήσει. τὸ μὲν οὖν κατὰ πλείονα νοεῖν ἀποκληρωτικόν· κατὰ πόσα γάρ; καὶ διὰ τί τοσαῦτα καὶ μὴ πλείονα ἢ ἐλάττονα; καὶ πάλιν τὰ λοιπὰ περιττὰ ἔσται. εἰ δὲ κατὰ πάντα τὰ σημεῖα νοεῖ, ἤτοι ἕκαστον αὐτῶν πάντα τὰ νοητὰ νοήσει, καὶ δεῖ πρὸς 50

---

7 συνεχής t et Arist.: συνεχές DR 11 ὢν t Arist.: ὄν DR, sed cf. v. 20. 22 ὁτῳοῦν DR Arist. vulg.: πότερον ὁτῳοῦν Arist. E: πότερον καθόλου ἢ ἐν ὁτῳοῦν t 13. 14 θιγγᾶν R 14 λέγει] Tim. p. 37 A sq. 15 ἀντιλαμβάνηται R 15. 16 ἔτι γε μὴν Rt: ὅτι γε μὲν D 18. 19 οἷόν τε Dt: οἵονται R 19 αὐτὸν Dt: αὐτῷ R 23 ἄλλος R 24 fort. ἐφαπτόμενον νοεῖν μόριον DR: μόρια t 25 μόνον om. D νοοίη Dt: νοεῖ R 27 ὑπόθεσις om. D 28 τὸ νοεῖν R 33 καὶ scripsi: ἢ libri

ἕκαστον νοητὸν τῆς πάντων συμπνοίας, καὶ οὐκ ἄλλως νοήσει τι, εἰ μὴ d 5r
πάντα τὰ σημεῖα ἐφάψηται τοῦ νοητοῦ, ἢ τῷδε μὲν τόδε νοεῖ, ἄλλῳ δὲ ἄλλο.
καὶ ἑξῆς ὁμοίως, ὥσπερ τυχὸν ὄψις μὲν ὁρατῶν, ἀκοὴ δὲ ἀκουστῶν, καὶ
ἄλλη τῶν αἰσθήσεων ἄλλου τινὸς τῶν αἰσθητῶν ἀντιλαμβάνεται. εἰ μὲν οὖν
5 ἕκαστον πάντα νοεῖ, ἄπειρα δὲ τὰ σημεῖα, πολλάκις, φησίν, ἢ ἀπει-
ράκις νοήσει τὸ αὐτό· νῦν δὲ φαίνεται καὶ ἅπαξ ἐνδεχόμενον·
δυνατὸν γάρ τι προσάπαξ νοήσαντα | μηκέτι νοῆσαι ἢ ἐπιλαθόμενον ἢ d 6r
μηκέτι τῇ διανοίᾳ προχειρισάμενον. εἰ τοίνυν ἐνδέχεται μὲν ἅπαξ τι νοῆσαι,
ἑκάστου δὲ τῶν σημείων πάντα νοοῦντος καὶ τοῦ κύκλου τῇ περιφορᾷ ἀεὶ
10 τῶν νοητῶν ἐφαπτομένου ἀνάγκη τὸ αὐτὸ ἀπειράκις νοεῖν. ψευδὴς ἄρα ἡ
τοιαύτη ὑπόθεσις. ἄλλως τε εἰ ἄπειρα τὰ σημεῖα, τὰ δὲ ἄπειρα ἐκπεριελ-
θεῖν τῶν ἀδυνάτων ἐστίν, οὐδέποτε καθ' ὅλον ἑαυτὸν ὁ νοῦς νοήσει, ἀλλὰ
τὸ αὐτὸ νοητὸν τὸ μέν τι τοῦ νοῦ νοήσει, τὸ δὲ οὐ νοήσει. εἰ δὲ δεῖ 5
καθ' ἕκαστον νοητὸν τῆς πάντων θίξεως καὶ οὐκ ἄλλως νοεῖ τι μὴ πάντων
15 θιγόντων. τί, φησίν, ἕκαστον ἐποίησε; θιγὸν γὰρ δῆλον ὡς ἕκαστον ἔδρασέ
τι· εἰπὲ οὖν τίς ἡ καθ' ἕκαστον ἀντίληψις; εἰ δέ τις εἴποι ὅτι ὡς ἐπὶ
συλλογισμῶν τὸ μὲν τῆσδε ἐφάπτεται τῆς προτάσεως, ἄλλο δὲ ἄλλης, ἡ
δὲ πάντων περίοδος τὸ συμπέρασμά ἐστι καὶ οἷον τὸ ὅλον νοητόν, τουτέστιν
ἡ τελεία νόησις, λέξομεν πρὸς τοῦτον ὃ ἐν τοῖς ἑξῆς ὁ Ἀριστοτέλης φησὶ
20 περὶ τῆς ὄψεως δεικνὺς ὡς εἴη ἀσώματος, ὅτι εἰ τὸ μὲν τήνδε νοεῖ τὴν 10
πρότασιν, ἄλλο δὲ ἄλλην, τί τὸ κρῖνον καὶ λέγον ὅτι ἥδε τῆσδε ἑτέρα ἐστίν;
ὅμοιον γὰρ ὡς εἰ τοῦ μὲν ἐγώ, τοῦ δὲ σὺ αἴσθοιο. τί δὲ τὸ συνάγον τὸ
ἐκ πασῶν συναγόμενον συμπέρασμα; δεῖ γὰρ τὸ αὐτὸ πάσας ἐγνωκέναι,
ἵν' οὕτως εἴπῃ ἐκ τῶνδε τόδε συνάγεσθαι· τὸ γὰρ ἐφαψάμενον τῆσδε τῆς
25 προτάσεως οὐ γνώσεται πρότασιν ἑτέραν, ἧς ἕτερον σημεῖον ἐφήψατο, ἐπεὶ
ἡ ἑτέρα ὑπόθεσις γενήσεται καὶ πάντα πάντων ἀντιλήψεται. καὶ ἄλλως
ἐπειδὴ ἑκάστη τῶν προτάσεών ἐστι καὶ ἀπόφανσίς τις. δῆλον ἄρα ὅτι ὅτε 15
τὴν πρότασιν ὡς ἀπόφανσιν νοεῖ, ὡς ὅλον τι νοήσει μηδὲν δεόμενον τῆς
τῶν ἄλλων σημείων θίξεως. ἄλλως τε εἰ τὰ μὲν σημεῖα ἄπειρα, δεῖ δὲ
30 εἰς τὸ νοῆσαί τι τῆς τῶν ἀπείρων θίξεως, τὰ δ' ἄπειρα ἐν πεπερασμένῳ
χρόνῳ διεξελθεῖν τῶν ἀδυνάτων ἐστίν, οὐδέποτε νοήσει· νοεῖν μὲν γὰρ οὐκ
ἔστιν, εἰ μὴ πάντα θίγοι τοῦ νοητοῦ· πάντα δὲ θιγεῖν ἄπειρα ὄντα τῶν
ἀδυνάτων ἐστίν· οὐδέποτε ἄρα νοήσει ὁ νοῦς. λείπεται ζητῆσαι, μήποτε
ὡς ἡ αἴσθησις οὕτω καὶ ὁ νοῦς ἄλλῳ σημείῳ ἄλλων νοητῶν ἀντιλαμβάνε- 20
35 ται. ἀλλ' εἰ τοῦτο, πάλιν μὲν οὐ καθ' ὅλον ἑαυτὸν πάντα νοήσει. οὐ
τοῦτο δ' ἡ ἐνάργεια ὑπαγορεύει· οὐ γὰρ δὴ ψυχὴν μὲν τυχὸν θελήσαντες
νοῆσαι τόδε τὸ μόριον τοῦ νοῦ κινοῦμεν, ἄγγελον δ' ἄλλο, καὶ ἐπὶ τῶν

---

1 οὐκ ἄλλως Rt: οὐ καλῶς D 7 τι om. R προσάπαξ R: προάπαξ D 9 καὶ τῇ κύκλου t περιφορᾷ Dt: παραφορᾷ R 13 μέν τι D: μέντοι Rt 14 ἕκαστον νοητῶν R 15 θίγον libri γὰρ δῆλον D: δῆλον γὰρ Rt 17 συλλογισμῶν R: λογισμῶν Dt 22 ὅμοιον γὰρ—αἴσθοιο] cf. Γ 2 p. 426b19 τὶ δὲ Dt: τόδε R 27 ὅτε et 28 νοεῖ DR: ὅταν et νοῇ t 29 ἄλλων Dt: ὅλων R 30 τι om. R ἐν Dt: ἐν τῷ R 32 θίγοι et θιγεῖν scripsi: θίγει et θίγειν libri - νοητοῦ Dt: νοῦ R 36 ἐνάργεια D: ἐνέργεια Rt

λοιπῶν ὡσαύτως. πῶς δ' ἐπὶ αἰσθήσεως ἐφιστάνων ὁ νοῦς ὅτι ὁ ὀφθαλμὸς d 6r
μὲν χρωμάτων ἀντιλαμβάνεται, ἀκοὴ δὲ ψόφων καὶ ἄλλη αἴσθησις ἄλλων
αἰσθητῶν, καὶ ὅτι οὐδέποτε τῶν τῆς ἄλλης αἰσθητῶν ἄλλη αἴσθησις, οὐκ
ἐφιστάνει καὶ τοῖς τῶν διαφόρων νοητῶν ἀντιλαμβανομένοις; ἄλλως τε τὰ
5 διαφόρων ἀντιλαμβανόμενα καὶ αὐτὰ κατ' οὐσίαν διάφορα εἶναι ἀνάγκη· 25
διάφορα ἄρα κατ' οὐσίαν τὰ σημεῖα ἔσονται. τίς δὲ διαφορὰ οὐσιώδης
σημείου πρὸς σημεῖον οὐδὲ πλάττειν βουλομένοις ῥᾴδιον. οὕτω μὲν οὖν
κατὰ σημεῖον νοεῖν τὸν νοῦν τῶν ἀδυνάτων ἐστίν. εἰ δὲ κατὰ μόρια
γίνοιτο ἡ νόησις, ἢ ἀρκεῖ πάλιν ἓν τῶν μορίων εἰς νόησιν ἢ οὐκ ἀρκεῖ.
10 εἰ μὲν οὖν ἓν μόνον εἴη μόριον τὸ νοοῦν, περιττὴ ἡ τῶν ἄλλων ὑπόθεσις·
τοῦτο γὰρ ἔσται νοῦς. ἄλλως τε αὐτὸ τοῦτο τὸ μόριον ζητήσομεν, πότερον
κατὰ σημεῖον ἐφαπτόμενον τοῦ νοητοῦ νοεῖ ἢ κατὰ μόριον, καὶ ἥξουσιν οἱ 30
πρότεροι λόγοι. ἀλλ' ὑποκείσθω καθ' ὅλον νοεῖν· τίς οὖν τῶν λοιπῶν
χρεία; εἰ δὲ μὴ καθ' ἓν μόριον ἡ νόησις γίνεται, ἐπεὶ ἐνδέχεται καὶ εἰς
15 πεπερασμένα διελεῖν πᾶν μέγεθος καὶ εἰς ἄπειρα (εἰς πεπερασμένα μὲν γὰρ
διαιρεῖται τὰ μεγέθη, εἰ εἰς τὰ αὐτὰ ἤτοι ἴσα κατὰ ποσὸν διαιρεθείη, οἷον
εἰς δακτυλιαῖα ἢ πηχυαῖα· πᾶν γὰρ πεπερασμένον καταμετρεῖται ὑπὸ
παντὸς πεπερασμένου· εἰς ἄπειρα δὲ διαιρεῖται, εἰ εἰς τὰ αὐτὰ κατὰ τὸν
λόγον διαιρεθείη, τουτέστιν εἰ διχοτομοῖτο· ἡ γὰρ διχοτομία ἐπ' ἄπειρον 35
20 πρόεισι διὰ τὸ ἀεὶ μὲν εἰς μεγέθη γίνεσθαι τὴν τομήν, πᾶν δὲ μέγεθος
συνεχὲς εἶναι, πᾶν δὲ συνεχὲς διαιρετόν), εἰ μὲν οὖν εἰς πεπερασμένα γέ-
νοιτο ἡ τομή, ἤτοι ἕκαστον πάντα νοήσει καὶ οὐκ ἄλλως νοεῖ, εἰ μὴ πάντα
θίγοι, ἢ τινὰ τινῶν, καὶ τὰ αὐτὰ πάλιν ἐροῦμεν ἅπερ καὶ πρότερον. ὁμοίως
δὲ καὶ εἰ ἄπειρα ὑποκείοιτο τὰ μόρια, τοῖς αὐτοῖς λόγοις χρησόμεθα, οἷσπερ
25 καὶ ἐπὶ τῆς κατὰ τὰ σημεῖα ὑποθέσεως. τοὺς γὰρ ἐλέγχους ὁμοίως ἐπὶ
πᾶσιν ἁρμόζοντας ὁ μὲν Ἀριστοτέλης ἐμέρισεν, ἡμεῖς δὲ πάντας ἐπὶ πάν- 40
των ἡρμόσαμεν.

p. 407a11 Μορίων δὲ ἤτοι κατὰ μέγεθος ἢ κατὰ στιγμήν, εἰ δεῖ καὶ τοῦτο μόριον καλεῖν.

30 Ἐπεὶ τὰ μεγέθη ὁμοιομερῆ ἐστιν (ἐκ μεγεθῶν γὰρ τὸ μέγεθος, καὶ οὐκ ἐκ σημείων· ἡ γὰρ στιγμὴ μέγεθος μὲν οὐκ ἔστιν, μεγέθους δὲ ἀρχή), διὰ τοῦτο εἰπὼν μορίων δὲ ἢ κατὰ μέγεθος ἢ κατὰ στιγμὴν ἐπεσημήνατο τῇ καταχρήσει εἰπὼν εἰ δεῖ τὴν στιγμὴν μόριον καλεῖν. 45

---

2 ἄλλων — οὐκ (3) Rt: om. D 3 τῆς ἄλλης R: τοῖς ἄλλοις t 6 δὲ om. t 7 πλάττειν Rt: πράττειν D 11 ζητήσομεν D: ζητήσωμεν Rt 12 ἐφαπτόμενον scripsi: ἐφαπτομένου libri 13 ἐπικείσθω R 14 γίνοιτο R 17 δακτυλιαῖον ἢ πηχυαῖον R 22 καὶ scripsi: ἢ libri 23 ἅπερ DR: ὥσπερ t 24 καὶ om. R 28 μέγεθος t Arist.: μόριον DR, sed cf. v. 32 29 δεῖ DR Arist.: δὴ t καλεῖν DR: εἰπεῖν t Arist. 30 ἔπειτα μεγέθη R 32 μορίω D δὲ ἢ] δὲ ἤτοι Arist.

p. 407a14 Εἰ δὲ κατὰ μέγεθος, πολλάκις ἢ ἀπειράκις νοήσει d 6r
τὸ αὐτό.

Πολλάκις μὲν εἰ εἰς ὡρισμένα διαιρεθείη μόρια, ἀπειράκις δ' εἰ εἰς ἄπειρα.

5 p. 407a15 Εἰ δὲ ἱκανὸν θιγεῖν ὁτῳοῦν τῶν μορίων, τί δεῖ κύκλῳ κινεῖσθαι ἢ ὅλως μέγεθος ἔχειν;

Τουτέστιν εἰ ὁποῖον δή ποτε μόριον τοῦ κύκλου δύναται θιγὸν ἀντιλαμβάνεσθαι τοῦ νοητοῦ, τίς χρεία τῆς κύκλῳ κινήσεως; καὶ ἱστάμενον 50
γὰρ ἀντιλήψεται. τί γὰρ αὐτῷ πρὸς ἀντίληψιν τὸ κύκλῳ κινεῖσθαι συμ-
10 βάλλεται; οὐδὲν δὲ αὐτῷ οὐδὲ τὸ μέγεθος εἰς νόησιν συντελεῖ, εἰ ὁτῳοῦν τῶν μορίων νοεῖ. εἰ γάρ τι διαιρούμενον μένει μηδὲν ἔλαττον ἀπαθὲς εἶναι ἐκ τῆς διαιρέσεως διαμένον, ἕτερον τοῦτό ἐστι παρὰ τὸ διαιρούμενον καὶ καθ' αὑτὸ ἀδιάστατόν τέ ἐστι καὶ ἀμερές· οἷον διαιρουμένης ἀεὶ τῆς ἐπιφανείας ἡ λευκότης ἐν ἑκάστῳ τῶν μορίων ἡ αὐτὴ φυλάττεται, καὶ τὸ
15 μὲν ποσὸν ὑπὸ τῆς διαιρέσεως πάσχει καὶ μειοῦται (ἀντὶ τοῦ δίπηχυ d 6v
εἶναι φέρε εἰπεῖν γίνεται πηχυαῖον), τὸ μέντοι λευκὸν ὡσαύτως ἔχει· ἄλλο ἄρα ἐστὶ τὸ λευκὸν παρὰ τὸ διαιρούμενον. οὕτως ἄρα εἰ ὡτινιοῦν τῶν μορίων τοῦ κύκλου ὁμοία ἡ νόησις γίνεται, καὶ ἐν τῷ μεγίστῳ μορίῳ καὶ τῷ ἐλαχίστῳ, ἄλλο ἄρα ἐστὶ τὸ νοοῦν παρὰ τὸ μέγεθος. οὐδὲν ἄρα
20 συμβάλλεται εἰς νόησιν τὸ μέγεθος, εἴ γε καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον μόριον ὡσαύτως νοεῖ.

p. 407a17 Εἰ δ' ἀναγκαῖον νοῆσαι τῷ ὅλῳ κύκλῳ θιγόντα. τίς 5
ἐστιν ἡ τοῖς μορίοις θίξις;

Τῆς διαιρέσεως ἐχούσης ὅτι ἤτοι μορίῳ ἑαυτοῦ νοεῖ ὁ κύκλος ἢ τῷ
25 ὅλῳ, μορίῳ δὲ ἢ τῷ κατὰ μέγεθος ἢ τῷ κατὰ στιγμήν, ἐκθέμενος τὰ συμβαίνοντα ἄτοπα τῇ ὑποθέσει τῇ κατὰ μόριον νοεῖν λεγούσῃ νῦν τὸ λοιπὸν ἐκτίθεται, λέγω δὴ τὸ ὅλῳ νοεῖν τῷ κύκλῳ. εἰ γὰρ οὐ πρότερον νοήσει, πρὶν ἐκπεριέλθοι ὁ κύκλος, τί ποιεῖ ἕκαστον τῶν μορίων; εἰ γὰρ μὴ νοεῖ περιεχόμενα τὰ μόρια. ἡ δὲ τοῦ ὅλου κύκλου θίξις κατὰ μόρια
30 γίνεται, οὐδ' αὐτὸς ἂν νοήσει· οὐ γὰρ ἄλλῳ τινὶ ἐφάπτεται τοῦ νοητοῦ ἢ 10

---

5 θίγειν libri, item 7 θίγον et 22 θίγοντα κύκλῳ R Arist.: κύκλων D: om. t
6 ἢ ὅλως DR, de an. codd. SVW: ἢ καὶ ὅλως t, de an. codd. plerique 7 δή ποτε Q: δέ ποτε DRt 11 μένει Dt: μὲν μένει R post ἔλαττον addendum ὡς coni. Diels 15 διαιρέσεως t: διαθέσεως DR 16 ἔχει R: ἔχειν Dt 18. 19 καὶ ἐν τῷ R 19 ἄλλο R: om. Dt 22 τὸ ὅλον κύκλῳ θίγοντι, τί ἐστιν R 25 post ἐκθέμενος add. δὲ R 26. 27 τὸν λοιπὸν R 27 τὸ scripsi: τῷ libri 29 περιεχόμενα R 30 νοήσει R: νοήσῃ Dt

τοῖς ἑαυτοῦ μέρεσι. λείπεται λέγειν ὡς ἕκαστον μὲν τῶν μερῶν μέρος d 6v
γινώσκει τοῦ νοητοῦ, ὁ δὲ ὅλος κύκλος τὸ ὅλον. τὸ δὲ ταύτῃ τῇ δόξῃ
ἑπόμενον ἄτοπον αὐτὸς ἐπάγει· εἰπὼν γάρ τίς ἐστιν ἡ τοῖς μορίοις
θίξις, ὡς λαβὼν τοῦτο κατὰ τὸ σιωπώμενον ὅτι τῶν μερῶν ἐφάπτονται
5 τοῦ νοητοῦ, ἐπήγαγεν·

p. 407a18 Ἔτι δὲ πῶς νοήσει τὸ μεριστὸν ἀμερεῖ ἢ τὸ ἀμερὲς μεριστῷ;

Εἰ γὰρ μὴ οἷά τέ ἐστι τὰ μέρη τὸ ὅλον νοεῖν, ἄνευ δὲ τῆς τῶν 15
μερῶν νοήσεως τὸ ὅλον οὐ νοεῖ (ἡ γὰρ ἄθροισις τῆς νοήσεως τῶν μερῶν
10 ἡ τοῦ ὅλου ἐστὶ νόησις), οὐδὲν ἀμερὲς δύναιτο ἂν νοεῖν· ὥστε οὐ νοήσει
τὸ νοητὸν ἀμερὲς ὂν μεριστὸς ὢν αὐτός. ἔτι εἰ ἑκάστῳ μορίῳ μέρος νοεῖ,
τὸ ὅλον νόημα σύνθετον ἔσται· πῶς οὖν νοήσει τὸ ἁπλοῦν νόημα; ἅπαν
γὰρ οὕτω νόημα σύνθετον ἔσται. ἀλλὰ μὴν ἁπλοῦ νοήματος μὴ ὄντος
οὐδὲ σύνθετον ἔσται· πᾶν γὰρ σύνθετον ἐξ ἁπλῶν· ὥστε οὐδὲν ἔσται
15 νόημα. οὐκοῦν οὐδὲ νοήσει· ἀναιρεθήσεται ἄρα ὁ νοῦς νοήματος οὐκ 20
ὄντος. προσέθηκε δὲ τὸ ἢ τὸ μεριστὸν ἀμερεῖ καθάπερ διαβάλλων τὸ
λέγειν θίξει τὸ νοεῖν γίνεσθαι. εἰ γὰρ ἀμερὴς ὁ νοῦς, πῶς νοήσει τὸ
μεριστόν; τῷ γὰρ ἀμερεῖ τοῦ ἀμεροῦς ἐφάπτοιτο ἄν, οὐ τοῦ μεριστοῦ.
ἢ τὸ μεριστὸν ἀμερεῖ πῶς νοήσει, ἵν' ᾖ προσκείμενον τὸ κατὰ ση-
20 μεῖον· πῶς γάρ, εἰ κατὰ σημεῖον ἡ ἀντίληψις, τὰ μεριστὰ νοήσει; τὸ
ἔτι δὲ πῶς νοήσει τὸ μεριστὸν ἀμερεῖ ἢ τὸ ἀμερὲς μεριστῷ
καὶ οὕτως ἐξηγοῦνται ὡς ἀπὸ ἄλλης ἀρχῆς. ἐπειδή, φασί, μὴ εἶναι μέ-
γεθος τὸν νοῦν, ἵνα μή τις αὐτὸν ὑπολάβοι οὕτως αὐτὸν ἀμερῆ λέγειν ὡς 25
τὸ σημεῖον, προσέθηκε ταῦτα· οὔτε γὰρ μέγεθος ὤν, φησί, νοήσει τὰ
25 ἀμερῆ οὔτε σημεῖον ὢν τὰ μεριστά. ἄλλως δὲ ἐπὶ τοῦ νοῦ λέγει αὐτὸς
τὸ ἀμέριστον· τὸ μὲν γὰρ τοῦ νοῦ ἀμέριστον οὐσία ἐστὶ αὐθυπόστατος
ἐξῃρημένη παντὸς μεγέθους· τὸ δὲ σημεῖον ἐν γραμμῇ ἔχει τὸ εἶναι καὶ
ἀρχή ἐστι μεγέθους. ὅπως δὲ ὁ νοῦς ἀμερὴς ὢν νοεῖ πάντα, ἐν τῷ τρίτῳ
βιβλίῳ λέξει. ἄλλως ὡς ἐπὶ ἑτέρου ἐπιχειρήματος τούτου ἀκουστέον κοι-
30 νῶς πάσαις ταῖς εἰρημέναις ὑποθέσεσιν ἁρμόζοντος. ἐπειδὴ γὰρ θίξει νοῶν 30
ὁ κύκλος ἢ κατὰ σημεῖον θιγγάνει ἢ κατὰ μόριον, εἰ μὲν οὖν κατὰ ση-
μεῖον θιγγάνων νοεῖ, πῶς νοήσει τὰ μεριστά, λέγω τὰ σώματα; οὐ γὰρ
ἐφαρμόζει σημεῖον μεγέθει· πῶς οὖν νοήσει μὴ ἐφαρμόζον; οὐ γὰρ μὴ
ἔθιγεν, οὐδὲ νοήσει τοῦτο. εἰ δὲ κατὰ μόρια νοεῖ, πῶς νοήσει τὰ ἀμερῆ;
35 μεριστὸν γὰρ ἀμερεῖ οὐκ ἐφαρμόζει. τοῦτο δὲ οὐκέτι πρὸς τὸν ἀληθῆ

---

1 λέγειν D: γὰρ λέγειν Rt 3 τοῖς μορίοις DR: τοῦ μορίου t 6 ἢ DR: καὶ t Arist. 8 ἄνευ δὲ τῆς t: ἄνευ τῆς D: ἄνευ τῆσδε R 16 ἀμερῆ t καθάπερ διαβάλλων Dt: καθάπαξ δι' ἄλλων R 18 ἄν, οὐ scripsi: ἄνευ D: οὐ Rt 20 γὰρ ἡ κατὰ σημεῖον ἀντίληψις t 20. 21 τῷ ἔτι δὲ t 22 post εἶναι addendum videtur εἶπε 25 ὢν D: ὂν Rt 26 αὐθυπόστατον t 29 ἄλλως τε ὡς t 34 εἰ δὲ Rt: εἴ γε D

λόγον ἐπαγαγεῖν δύναται ὅτι 'πῶς οὖν ἀμερὴς ὢν ὁ νοῦς πάντα νοεῖ καὶ d 6v
μεριστὰ καὶ ἀμερῆ;' ἀμερὲς γὰρ νῦν φαμεν τὸ ἀντικείμενον τῷ μεριστῷ, 35
τὸ σημεῖον λέγω, ἡ δὲ τοῦ νοῦ ἀμέρεια ἑτέρα τίς ἐστι καὶ οὐκ ἀντικει-
μένη τῇ πολυμερείᾳ τοῦ σώματος. νοεῖ δὲ ὡς ἔχων ἐν ἑαυτῷ πάντων
5 τοὺς λόγους.

p. 407a19 Ἀναγκαῖον δὲ τὸν νοῦν εἶναι τὸν κύκλον τοῦτον. νοῦ μὲν γὰρ κίνησις νόησις, κύκλου δὲ περιφορά. εἰ οὖν ἡ νόησις περιφορά, καὶ νοῦς ἂν εἴη ὁ κύκλος, οὗ ἡ τοιαύτη περιφορὰ νόησις.

10 Ἵνα μή τις εἴποι ὅτι οὐκ ἔλεγε κύκλον αἰσθητὸν ὁ Τίμαιος τὴν ψυχήν, ἀλλὰ τὸν καθόλου κύκλον καὶ τὸν τοῦ κύκλου λόγον, ὃς ἀμεγέθης ἐστὶ καὶ ἀσώματος, παντὶ γοῦν ἐφαρμόζει κύκλῳ ὁμοίως μικρῷ τε καὶ μεγάλῳ, καὶ τοῦτο διὰ τούτων κατασκευάζει. πᾶσα γὰρ ἀνάγκη, φησίν, ἐκ τῶν εἰρημένων αἰσθητὸν κύκλον τὸν νοῦν ὑπολαμβάνειν λέγειν τὸν Τίμαιον. τὸ
15 γὰρ τοῦτον δεικτικὸν τὸ αἰσθητὸν αὐτῷ σημαίνει· τοῦτο γάρ ἐστι τὸ δεικνύμενον. πόθεν οὖν ὅτι τοῦτο ἔλεγεν; ὁ καθόλου κύκλος οὐ κινεῖται· λόγος γάρ ἐστιν. ὃν δὲ λόγον ἔχει ὁ νοῦς πρὸς τὴν νόησιν, τοῦτον ἔχει καὶ ὁ κύκλος πρὸς τὴν περιφοράν· κίνησις γὰρ ἑκάτερον, τὸ μὲν τοῦ νοῦ, 45
τὸ δὲ τοῦ κύκλου. οὐκοῦν καὶ ἐναλλὰξ ὃν λόγον ἔχει ἡ νόησις πρὸς τὴν
20 περιφοράν, τοῦτον καὶ ὁ νοῦς πρὸς τὸν κύκλον. εἰ τοίνυν ἡ νόησις περιφορά, καὶ ὁ νοῦς ἄρα κύκλος. εἰ δὲ ἡ περιφορὰ αἰσθητοῦ ἐστι κύκλου (ὁ γὰρ καθόλου κύκλος οὐ περιάγεται) καὶ ὁ νοῦς ἄρα αἰσθητός ἐστι κύκλος.

p. 407a22 Ἀεὶ δὲ δή τι νοήσει· δεῖ γάρ, εἴπερ ἀίδιος ἡ περι-
25 φορά.

Ἢ τοῦτό φησιν ὅτι τὸ αὐτὸ νοήσει πολλάκις, ἢ ὅτι ἀεὶ δεῖ νοεῖν ἐπ' ἄπειρον ἕτερα καὶ ἕτερα, εἴπερ ἡ περιφορὰ νόησις, ἀίδιος δὲ αὕτη. τοῦτο 50
δὲ οὐδὲν ἀναγκαῖον δόξει ἔχειν· εἴποιεν γὰρ ἂν ὅτι καὶ γὰρ ἀνάγκη ἀεί τι νοεῖν καὶ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ πάλιν ἰέναι. ἐπεὶ γὰρ μή ἐστι
30 μηδεμία ψυχὴ οἷος ὁ πρῶτος νοῦς, ὃς ἀθρόαν καὶ ἄχρονον ἔχει τὴν νόησιν, οὐ ποτὲ μὲν τοῦτο ποτὲ δ' ἐκεῖνο νοῶν, ἀλλ' ἅμα πάντα, ἀλλ' ἐπειδὴ πᾶσα ψυχή, κἂν τὴν τοῦ παντὸς εἴπῃς, μεταβατικὴν ἔχει τὴν νόησιν ἀπὸ τούτου τοῦ νοητοῦ ἐπ' ἄλλο μεταβαίνουσα, διὰ μὲν τὸ

---

13 καὶ om. R 14 λέγει D 15 τοῦτον Dt: τούτων R αὐτῷ R: αὐτὸ Dt 16 ἔλεγεν scripsi: ἔλεγον libri 17 τοῦτο ἔχει t 18 κίνησις — τὴν περιφοράν (19. 20) Rt: om. D 21 κύκλου] κύκλος R 24 Ἀεὶ t 28 ἀνάγκη om. D 31 ποτὲ μὲν ἐκεῖνο ποτὲ δὲ τοῦτο R 33 διὰ μὲν DR: διὸ καὶ t

ἀεικίνητον ἀεί τι νοήσει, διὰ δὲ τὸ ἀίδιον ἀνάγκη διὰ τὴν ἀπειρίαν | d 6v
τοῦ χρόνου εἰς τὸ αὐτὸ πάλιν ἀνακάμπτειν καὶ ταύτῃ κύκλον μιμεῖ- d 7r
σθαι· οὐκ ἄπειρα μέντοι νοήσει, ἐπειδὴ μηδὲ τὰ νοητὰ ἄπειρα. μήποτε
οὖν τοῦτό φησι ὅτι τὸ αὐτὸ ἀεὶ νοήσει τῷ μηδέποτε ὅλον νενοηκέναι· ἡ
5 γὰρ ὁμοία καὶ ὡσαύτως ἔχουσα περιφορὰ περὶ ταὐτοῦ τινος ἔσται. δεήσει
οὖν τοιοῦτον εἶναι τὸ νοούμενον, ὃ οὐδέποτε νενοημένον ἔσται. τί οὖν
τοῦτό ἐστιν; ὅτι δὲ οὐδεμία ἐστὶν ἄπειρος νόησις διὰ τῶν ἑξῆς ἐπάγει.

p. 407a23 Τῶν μὲν γὰρ πρακτικῶν νοήσεων ἔστι πέρατα· πᾶσαι γὰρ ἑτέρου χάριν. 5

10 Ὅτι μὲν αἱ πρακτικαὶ νοήσεις πεπερασμέναι, δείκνυσιν ἐκ τῶν πράξεων. πᾶσα γὰρ πρᾶξις τέλους τινὸς ἕνεκα γίνεται· τυχοῦσαι οὖν τοῦ τέλους οὐ ἕνεκα γίνονται, παύονται τῆς ἐνεργείας. οὐδεμία γὰρ πρᾶξις ἐπ' ἄπειρον γίνεται· πᾶν γὰρ τὸ ἐφετὸν τινὸς ἕνεκα. ἔχουσι δὲ καὶ ἀρχὰς αἱ πράξεις. οὐκοῦν ὡς ἔχουσιν αἱ πράξεις, οὕτως ἔχουσιν καὶ αἱ περὶ αὐ-
15 τῶν θεωρίαι· πεπερασμέναι ἄρα αἱ πρακτικαὶ θεωρίαι. πλὴν ὡς ἐν ἄλλοις 10
πολλάκις εἴπομεν, ἀνάπαλιν ἔχουσιν αἱ θεωρίαι ταῖς πράξεσιν. τὸ γὰρ τῆς πράξεως τέλος τῆς θεωρίας ἐστὶν ἀρχή, καὶ ἔμπαλιν. ἔστιν οὖν ἀρχὴ μὲν τῆς οἰκοδομικῆς, εἰ τύχοι, πράξεως τὸ ὀρύξαι θεμέλιον ἢ παρασκευάσασθαι τὰς ὕλας, τέλος δὲ ἡ ὀροφή, τοῦτο δέ ἐστι τὸ σκέπασμα τῶν
20 ὄμβρων καὶ τῶν καυμάτων. καὶ τῆς οὖν θεωρίας καὶ τῆς πράξεως ταύτης τὰ αὐτὰ πέρατα ἀνάπαλιν.

p. 407a24 Αἱ δὲ θεωρητικαὶ τοῖς λόγοις ὁμοίως ὁρίζονται. λόγος δὲ πᾶς ὁρισμὸς ἢ ἀπόδειξις.

Ὅτι οὐδὲ αἱ θεωρητικαὶ νοήσεις ἄπειροι, δείκνυσιν ἐκ τῶν λόγων τῶν
25 περὶ αὐτῶν γινομένων, ἐκ τῶν σαφεστέρων τὰ ἀσαφέστερα κατασκευάζων· ἄγγελοι γάρ εἰσι τῶν νοημάτων οἱ λόγοι, οὗτοι δὲ μᾶλλον ἐμφανέστεροι ἡμῖν καὶ γνωριμώτεροι ἤπερ αἱ ἕξεις, ἀφ' ὧν προΐασιν. ἀνάγκη οὖν πᾶσα, ὡς ἔχουσιν οἱ περὶ τῶν θεωρητικῶν νοήσεων λόγοι, οὕτως ἔχειν καὶ αὐτὰς τὰς νοήσεις. ἐὰν οὖν δείξω τοὺς λόγους αὐτῶν πεπερασμένους, πᾶσα 20
30 ἀνάγκη καὶ αὐτὰς πεπερασμένας εἶναι. οἱ δὲ περὶ τῶν θεωρητικῶν νοήσεων λόγοι ὁρισμός ἐστι καὶ ἀπόδειξις. ὅτι δ' οὐδεὶς τούτων ἄπειρος, δῆλον ἐντεῦθεν· πᾶσα γὰρ ἀπόδειξις ἔχει ἀρχὴν καὶ πέρας, ἀρχὴν μὲν

---

1 διὰ (ante τὴν) om. R 3 ἐπειδὴ] ἐπεὶ t 5 δεήσει—ἔσται (6) Rt: om. D
7 δὲ R: om. Dt 8 πρακτικῶν QC corr. D² Arist. vulg.: ποιητικῶν R: ποιητικῶν ἢ πρακτικῶν t et Arist. codd. SUWX εἰσὶ περατὰ (sic) R πᾶσαι t Arist.: πᾶν DR 18. 19 παρασκευάσασθαι scripsi: παρασκευᾶσθαι Dt: περισκευάσασθαι R
23 πᾶς ἢ ὁρισμὸς t (ut Arist. U) ἢ Dt Arist.: ἡ R 25 σαφεστέρων DR: ἐντελεστέρων t 29 οὖν om. D 30 δὲ om. R

τὰς κοινὰς ἐννοίας, πέρας δὲ τὴν ἀπόδειξιν αὐτὴν καὶ τὸ συμπέρασμα· d 7r
ὥστε οὐδεμία ἀπόδειξις ἄπειρος. ὁμοίως καὶ οἱ ὁρισμοὶ ἔχουσι καὶ ἀρχὴν
καὶ πέρας. ἀρχὴν μὲν τὰ γενικώτατα γένη, τέλος δὲ τὰς εἰδικωτάτας διαφοράς· οὐδὲ οἱ ὁρισμοὶ ἄρα ἄπειροι. καὶ ἄλλως μηδεμιᾶς οὐσίας ἀπείρου 25
5 οὔσης ἀλλὰ πεπερασμένης. ἀνάγκη καὶ τοὺς ὁριστικοὺς αὐτῶν λόγους πεπερασμένους εἶναι. καὶ ἄλλως εἰ τὰ κοινότατα τῶν ὄντων γένη δέκα ἐστί, ἡ δὲ ἐκ τούτων πρόοδος οὐκ ἐπ' ἄπειρον, ἀλλὰ μέχρι τῶν ἀτόμων εἰδῶν, μεθ' ἃ τὰ καθ' ἕκαστον, καὶ τὸ ἐκ πάντων ἄρα [ὁρισμὸς] πεπερασμένον· ἐκ τούτων δ' οἱ ὁρισμοί· πᾶς ἄρα ὁρισμὸς πεπέρασται. δέδει- 30
10 κται δὲ καὶ ἐν τῇ Ἀποδεικτικῇ ὡς ὅτι ἀδύνατόν ἐστι τὰς ἀποδείξεις ἐπ' ἄπειρον προϊέναι· οὕτω γὰρ πᾶσα γνῶσις καὶ ἐπιστήμη ἀναιρεθήσεται. εἰ γὰρ δεῖ εἰς τὴν λῆψιν τῶν ὁρισμῶν ἀπείρους παραλαμβάνεσθαι διαφοράς, 30
τὸ δὲ ἄπειρον διελθεῖν ἐν πεπερασμένῳ χρόνῳ ἀδύνατον, ἀδύνατον ἄρα ὁρίσασθαί τι· τοῦ δὲ ὁρισμοῦ μὴ ἐγνωσμένου οὐδὲ τὴν φύσιν τοῦ πράγμα-
15 τος γνῶναι δυνατόν. ἀγνοουμένης δὲ τῆς τοῦ πράγματος φύσεως οὐδὲ τὰ καθ' αὑτὸ ὑπάρχοντα αὐτῷ δυνατὸν γνῶναι, περὶ ἃ ἡ ἀπόδειξις· πᾶσα ἄρα γνῶσις ἀναιρεθήσεται. οὐκ ἄρα οἷόν τε ἐπ' ἄπειρον προϊέναι τοὺς ὁρισμούς. ὥστε εἰ οἱ λόγοι τῶν νοήσεων τῶν θεωρητικῶν πεπερασμένοι, καὶ αὐτὰς πεπερασμένας εἶναι ἀνάγκη. συλλογισμὸν δὲ τὸ συμπέρασμά 35
20 φησι· διὸ εἰπὼν τὸν συλλογισμὸν ἐπεξηγούμενος ἐπήγαγεν ἢ τὸ συμπέρασμα ὡς ἓν ἀνθ' ἑνὸς λέγων. ὅτι δὲ οἱ περὶ τῶν θεωρητικῶν νοήσεων λόγοι δύο μόνοι εἰσίν, ὁ ὁρισμός φημι καὶ ἡ ἀπόδειξις, δῆλον ἐντεῦθεν· πάντα γὰρ τὰ ὄντα ἢ οὐσίαι εἰσὶν ἢ τὰ συμβεβηκότα ταῖς οὐσίαις· ἔστι γάρ τι καὶ ἡ οὐσία τῆς ψυχῆς, ἔστι τι καὶ τὸ συμβεβηκὸς περὶ
25 αὐτήν, τὸ ἀθάνατον εἶναι τυχὸν ἢ μέσην ἔχειν ἐν τῷ παντὶ τάξιν ἢ τοιοῦτον· ἡ μὲν οὖν τῶν οὐσιῶν κατάληψις διὰ τῶν ὁρισμῶν εὑρίσκεται, 40
ἡ δὲ τῶν συμβεβηκότων διὰ τῆς ἀποδείξεως, συμβεβηκότων δὲ τῶν καθ' αὑτό.

p. 407a27 Εἰ δὲ μὴ περατοῦνται, ἀλλ' οὐκ ἀνακάμπτουσί γε
30 πάλιν ἐπ' ἀρχήν, προσλαμβάνουσαι δὲ ἀεὶ μέσον καὶ ἄκρον εὐθυποροῦσιν.

Εἴ τις, φησίν, εἴποι ὅτι δυνατὸν ἐπ' ἄπειρον ἐκτείνεσθαι τὰς ἀπο- 45
δείξεις, μάλιστα μὲν ψεύσεται, ὡς δείξομεν· ἔπειτα εἰ καὶ ἐπ' ἄπειρον χωροῦσιν, ἀλλ' οὖν ἐπ' εὐθείας, καὶ οὐκ ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανατρέχουσιν.
35 οἷον ἐὰν εἴπω οὕτως, ὅτι ὁ ἄνθρωπος γελαστικόν, τὸ γελαστικὸν λογικόν, ὁ ἄνθρωπος ἄρα λογικόν, ταύτῃ τῇ ἀποδείξει προσθεὶς ἕνα ὅρον ἐπισυνάπτω ἑτέραν ἀπόδειξιν, ἄκρον μὲν τὸν προστεθέντα ποιήσας, τὸν δὲ

---

2 οἱ om. R 6 εἰ τὰ — μέχρι τῶν (7) Rt: om. D 8 ὁρισμὸς delevi 10 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 3 p. 72b7 sqq. 22 p. 84a1 sqq. 12 δεῖ DR: δὴ t
14 τι om. R 30 προσλαμβάνουσι R 36. 37 ἐπισυνάπτων t

πρὶν ἄκρον μέσον· τοῦτο γὰρ καὶ αὐτὸς δηλοῖ λέγων προσλαμβάνουσαι d 7r
μέσον καὶ ἄκρον. προστίθημι οὖν τὸ ζῷον καὶ λέγω ὅτι πᾶς ἄν- 50
θρωπος λογικός, πᾶν λογικὸν ζῷον, πᾶς ἄνθρωπος ἄρα ζῷον. πάλιν ἐπι-
συνάπτω τὸ ἔμψυχον, πάλιν σῶμα. ἡ δὲ τοιαύτη τῶν ἀποδείξεων πρόο-
5 δος ἐπ' εὐθείας γίνεται· οὐ γὰρ ἀνακάμπτει ποτὲ εἰς τὴν ἀρχήν, τουτέστιν
οὐκέτι ὑποστρέφει εἰς τὸ δεῖξαι τὴν πρότασιν τὴν λέγουσαν ὁ ἄνθρωπος
γελαστικόν· ἤδη γὰρ ἀποδέδεικται. εἰ γὰρ μὴ ἀπεδέδεικτο, οὐκ ἂν ὅλως
προήρχετο ἡ ἀπόδειξις. ἢ ἁπλῶς ὅτι οὐκ ἀνακάμπτει εἰς τὴν κοινὴν ἔν-
νοιαν, ἥτις ἐστὶ τῶν ἀποδείξεων ἀρχή, ἐξ ἧς ἡ πρώτη | συμπλέκεται d 7v
10 πρότασις· αὐτόπιστος γὰρ αὕτη καὶ ἀποδείξεως οὐ δεομένη· ὁ δὲ κύκλος
εἰς ἑαυτὸν ἀναστρέφει. ὅτι δὲ οὐκ ἔστιν ἐπ' ἄπειρον χωρῆσαι τὴν ἀπόδειξιν,
δῆλον καὶ ἐντεῦθεν· ἢ γὰρ ἐκ τῶν γενικωτάτων γενῶν ἄρχεται καὶ λήγει
εἰς τὰ εἰδικώτατα εἴδη, ἢ ἔμπαλιν ἐκ τούτων ἄρχεται καὶ λήγει εἰς
ἐκεῖνα. / τὸ δὲ προσλαμβάνουσαι μέσον ὅρον κακῶς ὁ Ἀλέξανδρος
15 ἐκλαμβάνει· μέσον γὰρ τῆς προτάσεως τίθησι τὸν ὅρον, οἷον μέσον τοῦ 5
ἀνθρώπου καὶ τοῦ γελαστικοῦ ἢ τοῦ λογικοῦ. οὐκέτι οὖν φυλάττει τὴν
ἀπόδειξιν, εἴ γε ἔχει πρότασιν δεομένην δείξεως διά τινος μέσου ὅρου.
ἀλλ' ὡς εἴπομεν, ὁ μὲν ἄκρος ἔξωθεν πρόσεισι, ὁ δὲ μέσος οὐ πρόσεισι·
ἀλλ' ὁ πρὸ τούτου ἄκρος τὴν σχέσιν ἐναλλάττει καὶ γίνεται μέσος. κἂν
20 οὕτω δ' ἀκούσομεν ὅτι προσλαμβάνουσι μεταξὺ τῆς προτάσεως ὅρον, ὡς
ἐφ' ὧν οὐκ ἔστιν ἡ πρότασις ἄμεσος, καὶ οὕτως εὐθυποροῦνται καὶ οὐ
κύκλον μιμοῦνται. οὔτε γὰρ ὁ πρῶτος ὅρος, ὃς ἦν ὑποκείμενος ἐν τῷ 10
συμπεράσματι, γένοιτ' ἄν ποτε κατηγορούμενος οὔτε ὁ κατηγορούμενος
ὑποκείμενος, εἰ μὴ ἀντιστρέφοιεν οἱ ὅροι· ἐφ' ὧν καὶ ἡ κύκλῳ γίνεται
25 δεῖξις οὐ διὰ τὴν τῶν ἀποδείξεων μέθοδον, ἀλλὰ δι' αὐτὴν τὴν ὕλην, ὡς
ὅταν εἴπω ὁ ἄνθρωπος γελαστικόν, τὸ δὲ γελαστικὸν νοῦ καὶ ἐπιστήμης
δεκτικόν, ὁ ἄνθρωπος ἄρα νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ πάλιν τὸ νοῦ
καὶ ἐπιστήμης δεκτικὸν γελαστικόν, τὸ γελαστικὸν ἄνθρωπος, τὸ ἄρα νοῦ
καὶ ἐπιστήμης δεκτικὸν ἄνθρωπος.

30 p. 407a31 Ἔτι δὲ εἰ ἡ αὐτὴ περιφορὰ πολλάκις, δεήσει πολλάκις 15
νοεῖν τὸ αὐτό.

Εἰπὼν ἕπεσθαι τῇ ἀπείρῳ περιφορᾷ τὴν ἄπειρον νόησιν, ἤτοι τοῦ αὐτοῦ ἀεὶ ἐν τῷ νοεῖσθαι ὄντος καὶ μηδέποτε γενομένου ἢ πολλάκις τοῦ αὐτοῦ ἀνελιττομένου, δείξας τὸ ἑπόμενον τῷ προτέρῳ ἄτοπον νῦν δείκνυσι

---

2 τὸ ζῷον Dt: τῷ ζώῳ R καὶ λέγω om. t 3 πάλιν R: om. Dt 6 εἰς] εἰ D 8 ἡ ἁπλῶς t 9 τῶν om. R 10 αὕτη Dt: αὐτὴ R 12 λήγει DR: λέγει t 13 λήγει D: λέγει Rt 14 κακῶς — ὅρον (15) om. D 16 ἢ τοῦ R: καὶ τοῦ Dt 17 δεομένην DR: προσδεομένην t 19 πρὸ scripsi: πρὸς libri 21 ἐφ' ὧν R: ἐφ' ὃν Dt οὕτως scripsi: οὔτε ὡς libri 23 ποτε R: om. Dt 26 δὲ om. R 29 ἐπιστήμη t 30 δὲ DR: om. t et Arist. περιφορὰ Dt: φορὰ R (ut Arist. X)

καὶ τὸ τούτῳ ἑπόμενον· εἰ γὰρ ἡ αὐτή ἐστιν ἀεὶ τοῦ νοῦ περιφορά, τὸ d 7v
αὐτὸ ἔσται καὶ τὸ νοούμενον, ὥστε ἀεὶ τὸ αὐτὸ νοήσει καὶ οὐδέποτε ἄλλο· ὥστε οὐ πάντα νοήσει.

p. 407a32 Ἔτι δὲ ἡ νόησις ἔοικεν ἠρεμήσει τινὶ καὶ ἐπιστάσει μᾶλλον ἢ κινήσει· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ συλλογισμός.

Καλὴν κορωνίδα ἐπέθηκε· τῷ γὰρ ὄντι ἡ μὲν ζήτησις κινήσει ἔοικεν. ὁ γὰρ ἀπορῶν ἐν πολλῇ ταραχῇ καὶ κινήσει ἐστίν, ὁ μέντοι εὑρών, ταὐτὸν δὲ εἰπεῖν νενοηκὼς ἐν ἠρεμίᾳ λοιπόν ἐστι καὶ γαλήνῃ, ὅθεν καὶ ἐπιστήμη καλεῖται διὰ τὸ ἐπὶ στάσιν ἄγειν τὴν ψυχήν. καὶ ὁ συλλογισάμενος δέ τι καὶ δι' ἀποδείξεως εὑρὼν λοιπὸν ἠρεμεῖ. εἰ μὲν οὖν αὐτὴν τὴν νόησιν καὶ τὸ συμπέρασμα τοῦ συλλογισμοῦ τὴν κυκλοφορίαν εἶναί φασι, μᾶλλον ἠρέμησις αὕτη, οὐ κίνησις· εἰ δὲ τὴν ὁδὸν τὴν ἐπὶ τὴν νόησίν φασιν εἶναι τὴν κυκλοφορίαν, ἥξομεν ἐπὶ τοὺς πρότερον λόγους· τί ποιεῖ ἕκαστον τῶν μορίων ἢ τῶν ἀπείρων ἢ τῶν πεπερασμένων; τί δὲ καὶ τὸ συνάπτον τὰς προτάσεις; ἄλλου γὰρ ἄλλο νενοηκότος, εἰ μὴ εἴη τι ἄλλο τὸ συνάγον τῷ πάντων ἀντιλαβέσθαι, οὐδὲ συναχθήσεται τὸ συμπέρασμα· ὅμοιον γὰρ εἰ τοῦ μὲν ἐγὼ τοῦ δὲ σὺ αἴσθοιο· εἰ δὲ εἴη τι, τοῦτό ἐστιν ἡ ψυχή, οὐχ ὁ κύκλος.

p. 407a34 Ἀλλὰ μὴν οὐδὲ μακάριόν γε τὸ μὴ ῥᾴδιον ἀλλὰ βίαιον.

Δύναται τοῦτο καὶ καθ' ἑαυτὸ εἶναι ἐπιχείρημα καὶ συνῆφθαι τοῖς ἄνω. εἰπὼν γὰρ ὅτι ἔοικεν ἡ νόησις ἠρεμήσει μᾶλλον ἢ κινήσει, καὶ ἐκ τούτου δείξας ὅτι κατὰ φύσιν μᾶλλον ἡ ἠρεμία τῷ νῷ, ὡς συναγομένου ὅτι οὐκοῦν ἡ κίνησις παρὰ φύσιν (εἰ γὰρ ἡ ἠρεμία κατὰ φύσιν, ἡ κίνησις ἐξ ἀνάγκης παρὰ φύσιν ἔσται), οὐκοῦν εἰ κινεῖται ὁ νοῦς, βίᾳ κινηθήσεται (πᾶν γὰρ τὸ παρὰ φύσιν βίαιον), τούτου οὖν ἐκ τῶν εἰρημένων συνηγμένου ὅτι βίᾳ κινεῖται ὁ νοῦς, ἐπάγει εἰκότως τὸ ἀλλὰ μὴν οὐδὲ μακάριόν γε τὸ μὴ ῥᾴδιον ἀλλὰ βίαιον· δεῖ δὲ τὴν τοῦ παντὸς ψυχὴν ἐν μακαριότητι εἶναι. εἰ δὲ μήτε κατὰ φύσιν κινεῖται, διότι ἠρέμησις μᾶλλον ἡ νόησις ἢ κίνησις, μήτε παρὰ φύσιν, ἵνα μὴ ἄμοιρος ᾖ μακαριότητος, οὐδαμῶς ἄρα κινεῖται. δύναται δὲ καὶ καθ' αὑτὸ εἶναι τὸ ἐπιχείρημα· δείξας γὰρ τὰ ἑπόμενα ἄτοπα τῇ λεγούσῃ δόξῃ κατὰ φύσιν κινεῖσθαι τὴν ψυχήν, νῦν γυμνάζει, εἰ μὴ κατὰ φύσιν κινοῖτο, τί ἕπεται. εἰ γὰρ παρὰ

---

2 αὐτὸ ἀεὶ ἔσται t 4 ἔτι δὲ DR Arist.: ἔτι δὲ καὶ t 7 ἀπορῶν Dt: εὐπορῶν R 10 ἀποδείξεων R 14 καὶ om. R 15 τὸ συνάγον Dt: τὸ om. R 16 ἀντιλαβέσθαι D: ἀντιλαμβάνεσθαι Rt συνεχθήσεται t 21 ἠρεμίσει τινὶ μᾶλλον t 23 ἡ (ante ἠρεμία) om. R ἢ κίνησις t 25 φύσιν βίαιον R: post φύσιν add. ὅτι Dt οὖν om. t 28. 29 ἢ νόησις R 32 εἰ μὴ Dt: εἰ δὲ μὴ R, fort. recte κινοῖτο t: κινῶτο DR τί DR: τὸ τί t

φύσιν κινεῖται, βίᾳ κινεῖται, πᾶν δὲ βίαιον οὐ μακάριον· δεῖ δὲ τὴν τοῦ d 7v
παντὸς ψυχὴν μακαρίαν εἶναι.

p. 407b1 Εἰ δὲ ἔστιν ἡ κίνησις αὐτῆς μὴ οὐσία, παρὰ φύσιν κινοῖτο ἄν.

Δύναται καὶ τοῦτο συνεχὲς εἶναι τῷ πρὸ αὐτοῦ· εἰπὼν γὰρ ὅτι οὐ μακάριον τὸ μὴ ῥᾴδιον ἀλλὰ βίαιον, πῶς ἔσται βίαιον ἐπάγει διὰ τούτων. εἴπερ, φησί, μὴ ἐν τῇ οὐσίᾳ αὐτῇ ἡ κίνησις· οὐκ ἔσται δὲ ἐν τῇ οὐσίᾳ ἡ κίνησις, ἐπειδὴ τὸ νοεῖν ἔοικεν ἠρεμήσει μᾶλλον ἢ κινήσει. δύναται δὲ καὶ ἀπολελυμένως καθ' αὑτὸ νοεῖσθαι· εἰ γὰρ κινεῖται ὁ νοῦς καὶ ἡ ψυχή, μᾶλλον δὲ ἠρεμήσει ὁ νοῦς ἀναλογεῖ ἢ κινήσει, παρὰ φύσιν ἔχει τὴν κίνησιν. οὐδὲν δέ ἐστιν ἐν τῷ παρὰ φύσιν ἀεί, ἀλλ' ὅπου μὲν τὸ παρὰ φύσιν, πάντως ἕπεται καὶ τὸ κατὰ φύσιν, οὐκέτι μέντοι τῷ κατὰ φύσιν ἕψεται πάντως τὸ παρὰ φύσιν. εἰ τοίνυν παρὰ φύσιν κινεῖται, σχήσει καὶ κατὰ φύσιν κίνησιν. ἀλλὰ μὴν οὐκ ἔχει τὸ κατὰ φύσιν κινεῖσθαι, ὡς ἐδείχθη· οὐδὲ παρὰ φύσιν ἄρα κινηθήσεται.

p. 407b2 Ἐπίπονον δὲ καὶ τὸ μεμῖχθαι τῷ σώματι μὴ δυνάμενον ἀπολυθῆναι.

Πῶς βίᾳ καὶ παρὰ φύσιν ἡ κίνησις καὶ οὐ ῥᾳδία, διὰ τούτων ἐδήλωσε· διὰ γὰρ τὸ συμπεπλέχθαι τῷ σώματι καὶ συνεπισπᾶσθαι αὐτῷ ἐπίπονον ἴσχει τὴν κίνησιν, τὰ Ἰξίονος τρόπον τινὰ ὑπομένουσα. εἰ γὰρ συμ|πέπλεκται πρὸς τὸν οὐρανόν, ἵνα τῇ ἑαυτῆς κινήσει κἀκεῖνον συμπε- d 8r
ριάγῃ, ἐπίπονον καὶ οὐ ῥᾳδίαν ἴσχει τὴν κίνησιν· τοῦτο δ' οὐ μακάριον.

p. 407b3 Καὶ προσέτι φευκτέον, ἐπείπερ βέλτιον τῷ νῷ μὴ μετὰ σώματος εἶναι, καθάπερ εἴωθέ τε λέγεσθαι καὶ πολλοῖς συνδοκεῖ.

Ἐξ αὐτῶν τῶν εἰωθότων λέγεσθαι παρὰ Πλάτωνος, δοκούντων δὲ καὶ τοῖς πολλοῖς τὸ ἄτοπον κατασκευάζει. δοκεῖ γὰρ τῷ Πλάτωνι βέλτιον εἶναι τῇ ψυχῇ χωρὶς σώματος εἶναι· ἐπίπονος γὰρ αὐτῇ ὁ ἐν σώματι βίος· δοκεῖ δὲ αὐτῷ καὶ ὁ κόσμος μηδέποτε λυθήσεσθαι, ὥστε ἐν χείρονι μοίρᾳ τὸν ἀεὶ χρόνον ἔσται ἡ ψυχὴ τοῦ παντὸς οὐδὲ τὸ ἴσον ἔχουσα ταῖς

---

3 ante ἔστιν add. μὴ R 4 κινοῖτο ἄν t et Arist. vulg.: ἂν κινοῖτο Arist. E: ἂν κινῶτο R: κινῶτο D 5 δύναται δὲ καὶ t 7 αὐτῇ R: αὕτη Dt 8. 9 δὲ καὶ R: δὲ om. Dt 12 πάντως DR: πάντων t τῷ κατὰ A: τὸ κατὰ DRt 13 τὸ παρὰ AD: τῷ παρὰ Rt τοίνυν παρὰ R: post τοίνυν add. τὸ Dt 19 αὐτῷ R: αὐτὸ Dt 20 τῷ ἰξίονος R 23 φευκτέον DRt Sophon.: φευκτόν Arist. ἐπείπερ DR: εἴπερ t Arist. 24 εἰώθαμέν τε R 27 γὰρ καὶ τῷ t 29 δὲ καὶ αὐτῷ coll. t

ἡμετέραις ψυχαῖς, αἵτινές ποτε τοῦ σώματος ἀπολύονται· ἀιδίως γὰρ d 8r
αὐτῇ τὸ συμπεπλέχθαι τῷ σώματι. τοῦτο μὲν οὖν καλῶς συνήγαγεν ὁ
Ἀριστοτέλης, εἰ τῷ ὄντι, ὥσπερ δοκεῖ λέγειν ὁ Τίμαιος, συμπέπλεκται ἡ 10
οὐσία αὐτῆς τῷ σώματι· ἀλλ' ὥσπερ ἡ ψυχὴ ὅταν ἐπικρατήσῃ τοῦ σώ-
5 ματος, τὸ σῶμα ἔχει ἑπόμενον, οὐκ αὐτὴ ταῖς τοῦ σώματος ἕπεται κινή-
σεσιν, οὕτω πολλῷ μᾶλλον τοῦ σώματος τοῦ οὐρανίου ἀπηλλαγμένου πάσης
θνητῆς δυσχερείας καὶ μόνῃ τῇ βουλήσει τῆς ψυχῆς κινουμένου οὐδεμία
δυσχέρεια τῇ ψυχῇ ἐξ αὐτοῦ περιγίνεται, ὥσπερ οὐδὲ τῇ ἡμετέρᾳ ἐκ τοῦ
αὐγοειδοῦς.

10 p. 407b5 Ἄδηλος δὲ καὶ τοῦ κύκλῳ φέρεσθαι τὸν οὐρανὸν ἡ 15
αἰτία· οὔτε γὰρ τῆς ψυχῆς ἡ οὐσία αἰτία τοῦ κύκλῳ φέρεσθαι,
ἀλλὰ κατὰ συμβεβηκός.

Ὡς δείξας ὅτι ἡ ψυχὴ οὐ κινεῖται καθ' ἑαυτὴν ἀμεγέθης οὖσα καὶ
ἀσώματος, ἀλλὰ κατὰ συμβεβηκός, λέγει εἰκότως ὅτι ἄδηλος ἐπὶ τοῖς ὑπ'
15 αὐτῶν λεγομένοις ἡ ποιητικὴ αἰτία τῆς κύκλῳ κινήσεως τοῦ οὐρανοῦ. εἰ
γὰρ ἡ ψυχὴ τῷ κινεῖσθαι κινεῖ, ἐδείχθη δὲ καθ' αὑτὴν ἀκίνητος οὖσα, 20
τί τὸ αἴτιον τῷ οὐρανῷ τῆς κύκλῳ κινήσεως; οὔτε γὰρ ἡ ψυχὴ διὰ τὰ
δεδειγμένα καθ' αὑτὴν κινεῖται οὔτε μέντοι τὸ σῶμα αὐτὸ ἑαυτῷ τῆς κινή-
σεώς ἐστιν αἴτιον· οὐδὲ γὰρ βούλεται ὁ Πλάτων κατὰ φύσιν αὐτῷ εἶναι
20 τὴν κύκλῳ κίνησιν, ἀλλ' ὑπὸ ψυχῆς. ἄδηλος οὖν τῆς κύκλῳ κινήσεως
κατ' αὐτὸν ἡ αἰτία. ὁ γὰρ Ἀριστοτέλης καὶ φυσικὴν δίδωσιν τῷ οὐρανίῳ
σώματι τὴν κίνησιν, συντρέχειν δέ φησι τῇ φυσικῇ καὶ τὴν ἐκ τῆς ψυχῆς
κίνησιν αὐτῷ τῷ εἶναι κινοῦσαν οὕτως. 25

p. 407b9 Ἀλλὰ μὴν οὐδ' ὅτι βέλτιον λέγεται.

25 Οὐ μόνον, φησί, τὴν ποιητικὴν αἰτίαν τῆς κύκλῳ κινήσεως τοῦ οὐρα-
νοῦ ὅσον ἐκ τῶν εἰρημένων τῷ Τιμαίῳ ἀγνοοῦμεν, ἀλλὰ καὶ τὴν τελικήν·
οὐδαμοῦ γὰρ κατεσκεύασεν ὅτι βέλτιον τῷ οὐρανῷ τὸ κινεῖσθαι ἢ ἠρεμεῖν,
καὶ τὸ κύκλῳ ἢ ἄλλην κινεῖσθαι κίνησιν. καίτοι πάντα τὰ φύσει γινόμενα 30
πρὸς τὸ τέλος ὁρᾷ, ὅπερ ἐστὶ κάλλιστον τῶν ἐνδεχομένων περὶ ἐκεῖνα
30 γενέσθαι. αὐτὸς γὰρ καὶ τῆς κινήσεως καὶ τῆς κύκλῳ ἀποδίδωσι καὶ τὴν
τελικὴν αἰτίαν ὅτι πρέπουσα κίνησις τῷ ἀιδίῳ ἡ κύκλῳ μήτε ἀρχὴν
ἔχουσα μήτε τέλος, καὶ ὅτι ἀγαθὸν ἦν αὐτῷ τὸ κινεῖσθαι μᾶλλον ἢ ἑστάναι,
ἐπεὶ τὸ ἐνεργεῖν τῆς ἀνενεργησίας. καὶ ὁ Πλωτῖνος δὲ τὴν τελικὴν αἰτίαν
τῆς κύκλῳ κινήσεως ἀποδίδωσι λέγων "διὰ τί γάρ", φησί, "κύκλῳ κινεῖται;

---

1 γὰρ om. t 2 οὖν Dt: γὰρ R 5 ἔχειν t 6 οὐρανίου R: οὐρανοῦ Dt
11 οὐσία om. D 17 οὔτε scripsi: οὐδὲ libri 19 ἐστιν om. R 21 κατ' αὐτὸν
R: κατὰ αὐτῶν Dt 26 ἀλλὰ om. R 28 καὶ τὸ Dt: καὶ τῷ R
καίτοι scripsi: καὶ τὸ libri 29 ὁρᾷ D: ὁρᾶν Rt ἐκεῖνα scripsi: ἐκεῖνο libri
32 ἦν scripsi: ἦν libri 33 Πλωτῖνος] Enn. II 2 init.

ὅτι νοῦν μιμεῖται''· καὶ γὰρ ἡ τοῦ νοῦ ἐνέργεια κύκλῳ ἔοικεν, ὡς εἰπόντες d 8r
ἔφθημεν. ἐπεὶ οὖν τὰ καταδεέστερα ἐπιστρέφεται πρὸς τὰ κρείττω, οὕτω 35
καὶ αὐτὸς τῷ κύκλῳ κινεῖσθαι μιμεῖται τὴν τοῦ νοῦ ἐνέργειαν. καὶ ἄλλως
ἐπεὶ τὸ θεῖον ἅμα πανταχοῦ, τῷ πανταχοῦ γίνεσθαι τῇ κύκλῳ κινήσει
5 μιμεῖται τὸ πανταχοῦ ὄν. καὶ Πλάτων δὲ τὴν αἰτίαν τοῦ σφαιρικοῦ σχή-
ματος ἀποδέδωκε· 'σχῆμα γὰρ ἔδωκεν αὐτῷ', φησί, 'τὸ πρέπον καὶ ξυγ-
γενές'· τῷ γὰρ πάντα δεξομένῳ τὸ πολυχωρητότατον τῶν σχημάτων 40
ἔδωκε, πολυχωρητότατον δὲ τῶν ἰσοπεριμέτρων ἐν μὲν τοῖς ἐπιπέδοις ὁ
κύκλος, ἐν δὲ τοῖς στερεοῖς ἡ σφαῖρα.

10 p. 407ᵇ12 Ἐπεὶ δ' ἐστὶν ἡ τοιαύτη σκέψις ἑτέρων λόγων οἰκειοτέρα, ταύτην μὲν ἀφῶμεν.

Τὸ γὰρ ζητεῖν τίνος ἕνεκεν οὕτω κινεῖται ὁ οὐρανός, καὶ διὰ τί κάλ-
λιον οὕτως, οὐ τοῦ προκειμένου σκοποῦ, ἀλλὰ τοῖς περὶ οὐρανοῦ λόγοις καὶ
περὶ κινήσεως οἰκεία ἡ τοιαύτη σκέψις· νῦν δὲ τὸ προκείμενον περὶ ψυχῆς. 45
15 τοσοῦτον οὖν μόνον εἰπὼν ὅτι παραλέλειπται ταῦτα τῷ Τιμαίῳ ἐπανάγει
ἐπὶ τὸ προκείμενον τὸν λόγον.

p. 407ᵇ13 Ἐκεῖνο δὲ ἄτοπον συμβαίνει καὶ τούτῳ τῷ λόγῳ καὶ τοῖς πλείστοις τῶν περὶ ψυχῆς. |

Ἀντειπὼν κατὰ μέρος πρὸς ἑκάστην τῶν περὶ ψυχῆς δοξῶν νῦν d 8v
20 μίαν καὶ κοινὴν πασῶν ὁμοῦ σχεδὸν ἐπιφέρει κατηγορίαν τοῖς περὶ ψυχῆς
εἰρηκόσιν, ὅτι περὶ ψυχῆς εἰπόντες οὐδὲν εἰρήκασι περὶ τοῦ δεκτικοῦ
αὐτῆς σώματος, ποία ψυχὴ ποίῳ χρῆται σώματι. καίτοι ψυχὴ καὶ σῶμα
τὸ μὲν ποιεῖ, τὸ δὲ πάσχει· τῶν δὲ ποιούντων καὶ πασχόντων ἔστι τις
σχέσις καὶ κοινωνία· οὐ γὰρ τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος πάσχει· οὐδὲ
25 γὰρ λευκότης ὑπὸ γλυκέος. οὐκοῦν οὐδὲ ἡ ψυχὴ ἡ αὐτὴ εἰς πᾶν δράσει 5
σῶμα οὔτε τὸ τυχὸν σῶμα ὑπὸ τῆς τυχούσης ψυχῆς πείσεται. εἰ γὰρ
κατ' εἶδος διαφέρουσιν ἀλλήλων τὰ ζῷα, εἶδος δὲ τῶν ἐμψύχων ἡ ἑκά-
στου ψυχή (αὕτη γὰρ τελειοῖ τὸ ὑποκείμενον), τὸ δὲ αὐτὸ εἶδος ἐν δια-
φόρῳ οὐ γενήσεται ὕλῃ (ἑκάστου γὰρ εἴδους ἰδία ὕλη· ἄλλη γὰρ χαλκοῦ
30 καὶ ἄλλη λίθου, καὶ τῶν ἄλλων ὁμοίως), οὐδὲ ψυχὴ ἄρα ἡ τυχοῦσα ἐν τῷ
τυχόντι γενήσεται σώματι. ὥσπερ οὖν καὶ τὸν φυσιολογοῦντα περὶ χαλκοῦ
οὐ μόνον δεῖ τὸ εἶδος αὐτοῦ λέγειν, ἀλλὰ καὶ τὴν ὕλην, ὥσπερ καὶ αὐτὸς 10
ἐποίησεν ἐν τῷ τετάρτῳ τῶν Μετεώρων καὶ ἀλλαχοῦ, οὕτως ἄρα καὶ τὸν
περὶ ψυχῆς λέγοντα δεῖ καὶ περὶ τοῦ σώματος λέγειν τοῦ δεξομένου αὐ-

---

5 τῷ πανταχοῦ ὄντι R Πλάτων] Tim. p. 33 B post αἰτίαν add. τὴν τελικὴν t
7 δεξομένῳ scripsi: δεξαμένῳ libri 11 ἀφῶμεν DR: ἀφῶμεν τὰ νῦν t et Arist. T: ἀφῶμεν τὸ νῦν Arist. vulg. 15 ἐπάγει R 20 πασῶν Dt: πᾶσιν R 25 δράσει scripsi: δράσσει R: δράσοι Dt 27 ἀλλήλων om. R 28 αὕτη t: αὐτὴ DR 32 καὶ (post ὥσπερ) om. R 33 ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] c. 9 p. 387ᵇ25, 10 p. 389ᵃ7

τήν, ποῖόν τι τὴν φύσιν καὶ τὴν δύναμίν ἐστιν, εἴπερ ἡ ψυχὴ σώματός d 8v
ἐστι ψυχή. οὗτοι δέ, φησίν, περὶ ψυχῆς εἰπόντες οὐδὲν προσδιωρίσαντο
περὶ τοῦ σώματος, ὥσπερ ἐνδεχόμενον, φησί, κατὰ τοὺς Πυθαγο-
ρικοὺς μύθους τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι
5 σῶμα, πάνυ πληκτικῶς τῷ λόγῳ χρώμενος. μυθώδη φησὶ καὶ οὐκ ἄξια 15
λόγου τὰ ὑπ' αὐτῶν λεγόμενα, οἷόν ἐστι καὶ τὸ Ἐμπεδοκλέους (Πυθα-
γόρειος γὰρ καὶ οὗτος) "ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε
θάμνος τ' οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς". τοῦτο δὲ ἄτοπον·
ἕκαστον γὰρ τῶν πραγμάτων ἰδιάζον ἔχει τὸ εἶδος. ὥστε εἰ διάφορα τῶν
10 ζῴων τὰ εἴδη, εἶδος δὲ μάλιστα ἡ ψυχή, οὐχ ἡ αὐτὴ ψυχὴ ἔσται
πάντων τῶν ζῴων. ὥσπερ γὰρ ἄλλη τέχνη ἄλλοις ὀργάνοις χρῆται, καὶ
οὐδέποτε χρήσαιτο ἂν τεκτονικὴ αὐλοῖς, οὕτως ἄρα καὶ ταῖς ψυχαῖς οἰκεῖα
τὰ φυσικὰ ὄργανα, οἷς χρήσονται, τὰ σώματα· δεῖ γὰρ πρὸς τὰς ὁρμὰς 20
τῆς ψυχῆς ἐπιτήδειον εἶναι τὸ δεκτικὸν αὐτῶν σῶμα. ὡς γὰρ ἡ τέχνη
15 πρὸς τὰ ὄργανα ἔχει, οὕτως ἡ ψυχὴ πρὸς τὸ σῶμα· εἰ τοίνυν μὴ οἷόν τε
τὴν τέχνην τῷ τυχόντι χρήσασθαι ὀργάνῳ, οὐδ' ἡ τυχοῦσα ἄρα ψυχὴ τῷ
τυχόντι χρήσεται σώματι. ἔδει οὖν αὐτοὺς περὶ ψυχῆς λέγοντας εἰπεῖν
καὶ περὶ τοῦ δεξομένου τὴν ψυχὴν σώματος, ὅπερ αὐτὸς ἐποίησεν ἐν τῇ
Περὶ μορίων ζῴων πραγματείᾳ· χαρακτηρίζεσθαι γὰρ ἕκαστον τῶν μορίων
20 οὔτε ἐκ μόνης τῆς ψυχικῆς ἐνεργείας οὔτε ἐκ μόνης τῆς σωματικῆς συν- 25
θέσεως, ἀλλ' ἐξ ἀμφοῖν. οἷον ὁ ὀφθαλμὸς οὐχ ἁπλῶς ἐστι τὸ ἐκ το-
σῶνδε καὶ τοιῶνδε χιτώνων συγκείμενον μόριον. ἀλλὰ μετὰ τῆς τοιᾶσδε
ψυχικῆς δυνάμεως· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου μορίων. κἀνταῦθα
δ' οὐ μόνον περὶ αἰσθήσεων διαλέξεται, ἀλλὰ καὶ τῶν αἰσθητηρίων τῶν
25 δεξαμένων τὰς αἰσθητικὰς δυνάμεις. καλῶς δ' οὐκ εἶπε πᾶσι τοῖς περὶ
ψυχῆς ἀποφηναμένοις, ἀλλὰ τοῖς πλείστοις, ὑπεξαιρῶν τὸν Πλάτωνα· οὗτος
γὰρ περὶ ψυχῆς διαλεχθεὶς πολὺν καὶ περὶ τοῦ δεξαμένου σώματος πεποίη- 30
ται λόγον καὶ ἐν τῷ Τιμαίῳ καὶ ἐν τῷ Φαίδρῳ. διὰ γὰρ τοῦτο τὴν μὲν
κεφαλὴν ὑπερανέχειν τε τοῦ παντὸς σώματος καὶ σφαιρικὴν εἶναι ὡς τοῦ
30 λογιστικοῦ μάλιστα δεκτικὴν τοῦ ἡγεμονοῦντος ἐν τῷ σώματι, ἐπεὶ καὶ τὸ
τοῦ κόσμου ἡγεμονοῦν ὁ οὐρανὸς καὶ ἡ ἐν τούτῳ ψυχικὴ ζωὴ ὑπερανέχει
τοῦ παντὸς κόσμου καὶ σφαιρικός ἐστι. λέγει δὲ διὰ τί ἡ καρδία κωνοει-
δής. ἐπεὶ τὸ θυμικὸν ἐν αὐτῇ ῥίζουται πυρῶδες ὄν· διὰ τοῦτο οὖν μιμεῖται
καὶ αὐτὴ τὴν πύρινον οὐσίαν κωνοειδῶς ἐσχηματισμένη. καὶ περὶ ἥπατος 35
35 δὲ καὶ τῶν λοιπῶν ὁμοίως φυσιολογεῖ. καὶ περὶ τοῦ παντὸς δ' ἀνθρω-
πείου σώματος φυσιολογεῖ οὕτως· ὅπερ ἀνέχει μὲν παντὸς τοῦ σώματος
τὸ σφαιρικὸν ἡ κεφαλή, ἕπεται δὲ τὸ λοιπὸν ὄρθιον ὄν, ἐνδεικνύμενον τὸ

---

2 προδιωρίσαντο t 6 Ἐμπεδοκλέους] fragm. 11. 12 Mullach 7 κόρη Empedocl.: κούρη Dt: κήρη R 8 τ' post θάμνος om. R 10 post αὐτὴ add. ἄρα R 12 τεκτονικοῖς R 14 αὐτοῦ R 25 καλῶς οὐκ R 26 ὑπεξαιρῶν] ὑφεξαιρῶν R: ὑπεξαίρων Dt 27 δεξομένου R 28 ἐν τῷ Φαίδρῳ] cf. p. 246 B sqq. διὰ γὰρ τοῦτο κτλ.] Tim. p. 44 D sq. 32 λέγει δὲ] de corde cf. Tim. 70 A sqq., ubi tamen haec non leguntur 32. 33 κωνοειδῶς R 34 ἐσχηματισμένην R περὶ ἥπατος] cf. Tim. p. 71 A sqq. 36 ὅπερ] fort. legendum ὅτι

μικτὸν τῆς ἀνθρωπείας φύσεως, φημὶ δὴ τὸ ἐκ λόγου καὶ ἀλογίας καὶ d 8ᵛ
θνητῆς τε καὶ ἀθανάτου ζωῆς. ὅσαι μὲν γὰρ τῶν ζωῶν ἀθάνατοι μόνως,
αὗται καὶ μόνως σφαιρικοῦ ἔτυχον σώματος· οἰκεῖον γὰρ τῷ ἀιδίῳ τὸ
κυκλικὸν σχῆμα μήτε ἀρχὴν ἔχον μήτε τέλος· ὅσαι δὲ τῶν ζωῶν μόνως 40
θνηταὶ ὡς αἱ τῶν ἀλόγων, μόνως ὄρθια σώματα εἰλήχασιν (εὐθείᾳ γὰρ
ἐοίκασιν, ὡς εἴπομεν, αἱ ἄλογοι ζωαί), καὶ ταῦτα πλάγια καὶ κάτω νεύοντα
ὡς μηδὲν τοῖς οὐρανίοις συγγενὲς ἔχοντα· τὸ δὲ μικτὸν ὁ ἄνθρωπος οἰκείου
καὶ τοῦ σώματος ἔτυχεν, ἄνωθεν μὲν σφαιρικοῦ (ἡγεμονεύει γὰρ τὸ λογικὸν
καὶ ἀίδιον), κάτωθεν δὲ ὀρθίου, διότι ἕπεται τῷ λογικῷ τε καὶ ἀθανάτῳ
ἡ θνητή τε καὶ ἄλογος ζωή. ταύτῃ τοι καὶ ἐν τῷ Φαίδρῳ εἰπὼν περὶ 45
τῆς ἀθανασίας τῆς ψυχῆς καὶ περὶ τοῦ σώματος τοῦ οἰκείως αὐτῇ, καθὼς
εἴπομεν, ἐσχηματισμένου φησίν 'οὐ γὰρ δή γε μήποτε ἰδοῦσα τὸ ὂν εἰς
τόδε ἥξει τὸ σχῆμα', ὡς οὔσης μέν τινος ψυχῆς τῆς τὸ ὂν μὴ ἰδούσης,
φημὶ δὴ τῆς ἀλόγου, καὶ ταύτης μηδέποτε εἰς τὸ ἀνθρώπειον ἡξούσης
σχῆμα, δῆλον ὡς ἡγεμονεύειν τε καὶ ἄρχειν τοῦ σώματος, αὐτὸ τοῦτο τὸ
Ἀριστοτελικὸν πρὸ αὐτοῦ λέγων, μὴ τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν
ἐνδύεσθαι σῶμα. τί δὲ ἔλεγε τὸ ὄν; ἴσμεν ὅτι τὸ νοητόν· ὄντως γὰρ ὂν
τοῦτο ὡς ἄυλον, καὶ μηδὲν ἔχον δυνάμει ἀλλ' ἄνευ δυνάμεως ὂν ἐνέργεια· 50
οὐκ ὂν δὲ τὸ αἰσθητὸν πᾶν, διότι ἀεὶ ἐν τῷ δυνάμει, ταὐτὸν δὲ εἰπεῖν ἐν
τῷ μὴ ὄντι· μόνως οὖν ἡ λογικὴ ὡς νοερὰ τὸ νοερὸν γινώσκει.

p. 407ᵇ27 Καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς.

Μεμψάμενος ὁ Ἀριστοτέλης κοινῶς τοὺς περὶ ψυχῆς ἅπαντας εἰπόντας
ὅτι μηδὲν περὶ τοῦ δεξομένου αὐτὴν σώματος διελέχθησαν (ἐχρῆν γάρ,
ἐπεὶ μὴ ἡ τυχοῦσα ψυχὴ εἰς τὸ τυχὸν χωρεῖ σῶμα, ἀλλὰ δεῖ ἐπιτη-|
δειότητος τοιᾶσδε τῷ σώματι πρὸς τὴν ὑποδοχὴν τῆς τοιᾶσδε ψυχῆς· e 1ʳ
ἄλλη γὰρ καὶ κρᾶσις καὶ σύνθεσις τῶν κατὰ τὸ θυμοειδὲς χαρακτηριζο-
μένων ζῴων, ἄλλη τῶν κατὰ τὸ ἐπιθυμητικόν, ἄλλη τῶν δειλῶν, καὶ
ἁπλῶς πρὸς τὴν ἐπιτηδειότητα τῶν τῆς ψυχῆς ἐνεργειῶν καὶ αἱ τοῦ σώ-
ματος κράσεις τε τῶν στοιχείων καὶ αἱ διασκευαὶ τῶν ὀργάνων εἰσί),
ταῦτα οὖν εἰπὼν οἰκείως ἀκόλουθον τούτοις περὶ ψυχῆς δόξαν συνάπτει. 5
εἰς ταὐτὸ γάρ τινες ἀποβλέψαντες ὅτι οὐχ ὡς ἔτυχεν ἔχον τὸ σῶμα
ψυχῆς μετέχει, ἀλλὰ δεῖται τοιᾶσδε κράσεως, ὥσπερ καὶ ἡ ἁρμονία οὐχ ὡς
ἔτυχε τῶν χορδῶν ἐχουσῶν γίνεται, ἀλλὰ δεῖ τοσῆσδε τάσεως, ἐνόμισαν
καὶ τὴν ψυχὴν ἁρμονίαν εἶναι τοῦ σώματος, καὶ πρὸς τὰς διαφόρους τοῦ
σώματος ἁρμονίας τὰ διάφορα εἴδη τῶν ψυχῶν εἶναι. ταύτην οὖν ἐκτί-

---

1 φύσεως DR: ψυχῆς mg. R¹t φημὶ δὲ t 2. 3 μόνον αὗται καὶ μόνου t 3 ἀιδίῳ DR: ἰδίῳ t 4. 5 μόνον θνηταὶ t 5 εὐθείᾳ t: εὐθεῖα D: εὐθεῖαι R 8 ἡγεμονεύει γὰρ R: ἡγεμονεύειν Dt 10 ἐν τῷ Φαίδρῳ] p. 249 B 12 δή γε] ἥ γε Plato τὸ ὄν] τὴν ἀλήθειαν Plato 15 τοῦ σώματος — ψυχὴν (16) om. D 19 ἐν (post ἀεὶ) scripsi: ὄν libri 22 τοὺς περὶ ψυχῆς om. R 24 χωρεῖ σῶμα R: χωρῇ σῶμα D: σῶμα χωρεῖ t 27 δειλῶν DR: δηλῶν t 31 ἔχον R: om. Dt τὸ σῶμα — ἔτυχε (33) om. D

θεται τὴν δόξαν καὶ διελέγχει· καὶ τέως μὲν αὐτὴν τὴν δόξαν μόνην ἐν e 1r
τούτοις ἱστορεῖ, μετ' ὀλίγα δὲ καὶ τοὺς λόγους δι' ὧν εἰς ταύτην ἐκεῖνοι
τὴν δόξαν ὑπήχθησαν τίθησιν. ἤδη δὲ καὶ ἐν ἄλλοις πρὸς ταύτην ἀντεῖ- 10
πεν τὴν δόξαν, λέγω δὴ ἐν τῷ Εὐδήμῳ τῷ διαλόγῳ. καὶ πρὸ αὐτοῦ
5 ὁ Πλάτων ἐν τῷ Φαίδωνι πέντε τισὶ κέχρηται ἐπιχειρήμασι πρὸς ταύτην
ἐνιστάμενος τὴν δόξαν. πρώτῳ μὲν τούτῳ· ἡ ἁρμονία ἐπιγίνεται τοῖς
ἡρμοσμένοις· δεῖ γὰρ εἶναι τὰς χορδάς, εἶτα τοσῶσδε ταθῆναι, καὶ οὕτως
ἐπιγίνεσθαι τὴν ἁρμονίαν· ὥστε ἡ ἁρμονία ὑστέρα τῶν ἡρμοσμένων. ἡ
δὲ ψυχὴ προϋπάρχει τοῦ ἡρμοσμένου σώματος, εἴπερ αἱ μαθήσεις ἀναμνή-
10 σεις εἰσίν. ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἁρμονία. τοῦτο δὲ τὸ ἐπιχείρημα 15
εἴρηται ὡς προαποδεδειγμένου τοῦ τὴν ψυχὴν προϋπάρχειν διὰ τοῦ δει-
χθῆναι ὅτι αἱ μαθήσεις ἀναμνήσεις εἰσίν· ὡς πρὸς τὴν λογικὴν οὖν μό-
νην ψυχὴν τοῦτο τὸ ἐπιχείρημα. καὶ τῶν ἄλλων δ' ἐπιχειρημάτων τὰ
μὲν πρὸς πᾶσαν ψυχὴν ἁρμόζει, τὰ δὲ πρὸς μόνην τὴν λογικήν. εἷς
15 μὲν οὗτος ὁ λόγος, δεύτερος δὲ οὗτος· ἡ ἁρμονία, φησίν, οὐ μάχεται
τοῖς ἡρμοσμένοις, ἀλλ' ἕπεται οὕτως ἔχουσα ὡς ἂν ἔχῃ τὰ ἡρμοσμένα·
ἡ δὲ ψυχὴ μάχεται τῷ σώματι καὶ ἄρχει αὐτοῦ· οὐκ ἄρα ἡ ψυχὴ 20
ἁρμονία. ὅτι δὲ τὴν μὲν ἁρμονίαν οὐχ οἷόν τε τοῖς ἡρμοσμένοις μά-
χεσθαι, δῆλον· ἐν αὐτοῖς γὰρ ἔχει τὸ εἶναι· ἀδύνατον οὖν αὐτοῖς ἐναν-
20 τιωθῆναι· οὐδὲν γὰρ ἐφίεται τοῦ μὴ εἶναι. ἡ δὲ ψυχὴ καταφρονεῖ τοῦ
σώματος καὶ ἐναντιοῦται ταῖς τοῦ σώματος ὁρμαῖς, καὶ παντελῶς ἔδει
φθαρῆναι, ὡς δὴ μὴ ἐν αὐτῷ τὸ εἶναι ἔχουσα. τρίτος· ἡ ἁρμονία τὸ
μᾶλλον καὶ ἧττον ἐπιδέχεται· λέγομεν γὰρ μᾶλλον ἡρμόσθαι τήνδε
τὴν λύραν τῆσδε· ἡ δὲ ψυχὴ οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον·
25 οὐ γὰρ γίνεται ἑαυτῆς ἡ ψυχὴ μᾶλλον ψυχὴ καὶ ἧττον ψυχή· ἀλλ' 25
οὐδ' ἄλλη ἄλλης· ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἁρμονία. τέταρτος· ἡ ψυχὴ
ἀρετὴν καὶ κακίαν ἐπιδέχεται, ὧν ἡ μὲν ἀρετὴ ἁρμονία ἐστὶ (συμφω-
νία γάρ ἐστι τῶν τῆς ψυχῆς δυνάμεων), ἡ δὲ κακία ἀναρμοστία (μάχη
γὰρ καὶ διάστασις τῶν δυνάμεων τῆς ψυχῆς), ὥστε ἡ ψυχὴ ἁρμονίαν καὶ
30 ἀναρμοστίαν ἐπιδέχεται· τοῦτο γὰρ ἀρετὴ καὶ κακία. ἡ δὲ ἁρμονία ἁρ-
μονίαν καὶ ἀναρμοστίαν οὐκ ἐπιδέχεται· καταγέλαστον γὰρ τὸ λέγειν τὴν
ἁρμονίαν ἁρμονίαν ἐπιδέχεσθαι ἢ πάλιν μένουσαν ἁρμονίαν ἀναρμοστίαν 30
ἐπιδέχεσθαι. ἡ ἄρα ψυχὴ οὐκ ἔστιν ἁρμονία. πέμπτος· εἰ ἡ ψυχὴ ἁρ-
μονία ἐστίν, οὐκ ἐπιδέχεται ἀναρμοστίαν, ἀναρμοστία δὲ ψυχῆς ἡ κακία·
35 εἰ τοίνυν οὐ δέχεται κακίαν ἡ ψυχή, πᾶσαι ὁμοίως ἔσονται ἀγαθαί. ἀλλὰ
μὴν τὸ δεύτερον ψεῦδος, λέγω δὴ τὸ ἑπόμενον· καὶ τὸ ἡγούμενον ἄρα.

---

4 ἐν τῷ Εὐδήμῳ] Arist. fragm. 41 p. 1481b20 Rose 5 ἐν τῷ Φαίδωνι] p. 92 A sqq.
7 et 16 ἡρμοσμένοις ADt: εἰρημένοις R 7 ταθῆναι DR: ἐπιταθῆναι A: τεθῆναι t
15 δεύτερος δὲ] Phaed. p. 94 B 18 μὲν om. R 21 καὶ παντελῶς] legendum κἂν
(vel κἂν εἰ) παντελῶς 22 ὡς δὴ Dt: δὴ om. R τρίτος] Phaed. p. 93 B
26 ἄρα om. D τέταρτος] Phaed. p. 93 C 30 τοῦτο — ἐπιδέχεται (31) om. D
32 ἁρμονίαν ἁρμονίαν scripsi: ἁρμονίαν ἀναρμονίαν D: ἁρμονίαν ἀναρμοστίαν t: ἁρμονίαν
semel R 33 πέμπτος] Phaed. p. 93 E πέμπτος om. R 35 οὐ δέχεται DR:
οὐκ ἐνδέχεται t 36 λέγω δὲ t

οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία. πρὸς τὸν τρίτον λόγον τὸν λέγοντα 'ἡ ἁρμο- e 1r
νία μᾶλλον καὶ ἧττόν ἐστιν ἁρμονία, ἡ δὲ ψυχὴ μᾶλλον καὶ ἧττον οὐκ
ἔστι ψυχή' (οὕτω γὰρ λαμβάνει τὰς προτάσεις ὁ Πλάτων) φέρεται παρ' 35
Ἐπικούρου λόγος διὰ τῶν ὁμοίων πειρώμενος αὐτὸν ἐλέγχειν. τὸ γλυκύ,
5 φησί, τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται, τὸ μέλι τὸ μᾶλλον καὶ ἧττον οὐκ
ἐπιδέχεται· οὐσία γάρ ἐστι· τὸ μέλι ἄρα οὐκ ἔστι γλυκύ, ὅπερ ἄτοπον.
ἑκάτερος δὲ τῶν συλλογισμῶν ἐν δευτέρῳ σχήματι ὁμοίως δοκεῖ συμπε-
πλέχθαι οὐκ ἀσυλλογίστως· ὥστε ἀνάγκη ἢ ἀμφοτέρους ἀληθεῖς εἶναι, ἢ
εἰ ψευδὴς ἐναργῶς ὁ Ἐπικούρου καὶ ἀσυλλόγιστος, τοιοῦτον εἶναι καὶ τὸν
10 Πλάτωνος· ὁμοία γὰρ κατὰ πάντα ἡ παραβολή. ὅτι δὲ ἀσυλλόγιστοι ἀμ- 40
φότεροι μάθοις ἄν, εἰ λάβοις τὸν ἐν ἑκατέρῳ συλλογισμῷ μέσον ὅρον, καὶ
τέως τὸν Πλάτωνος· οὐ γὰρ εὑρήσεις τὸν αὐτὸν μέσον ὅρον ἐν ἀμφοτέραις
ταῖς προτάσεσιν. ἔχει γὰρ ὁ συλλογισμὸς οὕτως· ἡ ἁρμονία μᾶλλον καὶ
ἧττόν ἐστιν ἁρμονία, ἡ ψυχὴ οὐκ ἔστι μᾶλλον καὶ ἧττον ψυχή· ὥστε ἐν
15 μὲν τῇ μείζονι κατηγορούμενός ἐστι τὸ μᾶλλον καὶ ἧττον ἁρμονίαν εἶναι,
ἐν δὲ τῇ ἐλάττονι τὸ μᾶλλον καὶ ἧττον μὴ εἶναι ψυχήν· ὥστε οὐχ εἷς
ὁ μέσος· ἀσυλλόγιστος ἄρα. ὁμοίως καὶ ἐπὶ τοῦ ἄλλου συλλογισμοῦ ὅπου 45
μὲν εἴληπται κατηγορούμενον μᾶλλον καὶ ἧττον γλυκύ, ὅπου δὲ μᾶλλον
καὶ ἧττον μέλι· ὥστε οὐχ εἷς ὁ μέσος. εἰ γὰρ καὶ δοκεῖ λαμβάνειν ἕνα
20 μέσον ἐν ἀμφοτέραις τῷ λέγειν τὸ μέλι τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπι-
δέχεται, τὸ δὲ γλυκὺ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται (δοκεῖ γὰρ ἐν ἀμ-
φοτέροις εἷς εἶναι ὁ κατηγορούμενος τὸ ἐπιδέχεσθαι ⟨τὸ⟩ μᾶλλον καὶ ἧττον),
ἀλλὰ τῇ γε ἀληθείᾳ οὐκ ἔστιν εἷς· οὐ γὰρ ἁπλῶς τὸ γλυκὺ τὸ μᾶλλον
καὶ ἧττον ἐπιδέχεται, ἀλλὰ καθὸ γλυκύ· οὐ γὰρ δὴ καὶ καθὸ σῶμα·
25 ὁμοίως καὶ τὸ μέλι οὐχ ἁπλῶς οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, ἀλλὰ 50
καθὸ μέλι, καθὸ μέντοι γλυκὺ ἐπιδέχεται. ὁμοίως καὶ ἡ ψυχὴ καθὸ ψυχὴ
οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, ἐπεὶ κατά γε τὰ πάθη ἐπιδέχεται.
δεῖ οὖν ἐν ταῖς προτάσεσι προσλαμβάνεσθαι καθ' ὃ τὸ μὲν αὐτῶν ἐπι-
δέχεται τὸ μᾶλλον καὶ ἧττον, τὸ δὲ οὐκ ἐπιδέχεται. τούτων δὲ προστι-
30 θεμένων ἄλλος ὁ μέσος γίνεται. εἰ δὲ ἄλλος ὁ μέσος, ἀσυλλόγιστος ἡ
συμπλοκή. ἔστι δὲ ἰδεῖν μὴ ὁμοίαν τὴν παραβολήν, ἀλλὰ Πλάτωνα μὲν
συλλογιζόμενον, Ἐπίκουρον δὲ οὔ. λέγω γὰρ οὕτως· ἡ ἁρμονία | μᾶλλον e 1v
καὶ ἧττόν ἐστιν ἁρμονία, ἡ ψυχὴ οὐκ ἔστι μᾶλλον καὶ ἧττον ἁρμονία, καὶ
οὕτως ἕνα ποιῶ τὸν μέσον ὅρον. ἔτι δὲ σαφέστερος ἂν εἴη ὁ λόγος,
35 ἐὰν μὴ λάβωμεν τὰς προτάσεις, ὡς ἔλαβεν αὐτὰς ὁ Πλάτων, ἀλλὰ
μικρὸν μεθαρμόσωμεν. ὁ μὲν γὰρ ἔλαβεν 'ἡ ἁρμονία μᾶλλον καὶ ἧττόν
ἐστιν ἁρμονία', ἡμεῖς δὲ λάβωμεν οὕτω 'πᾶσα ἁρμονία τὸ μᾶλλον καὶ
ἧττον ἐπιδέχεται'· ἐὰν γὰρ οὕτως εἴπωμεν. οὐ δεῖται προσθήκης τῆς καθὸ 5

---

3 λαμβάνων R 4 ἐλέγχειν D: ἐλέγχει Rt 5 καὶ τὸ ἧττον ἐπιδέχεταιR 6 post γὰρ add. τις R 9 ψευδεῖς R 17 ἄρα Rt: ἐστὶν D ἄλλου Dt: ἀλόγου R 18 post μὲν add. γὰρ R 20 τὸ λέγειν t τὸ (post μέλι) om. R 22 τῷ ἐπιδέχεσθαι R τὸ addidi 25 καὶ ἧττον D: καὶ τὸ ἧττον Rt 25. 26 ἀλλὰ καθὸ — καὶ ἧττον (29) om. D 29 καὶ ἧττον t: καὶ τὸ ἧττον R

ἁρμονία· οὐ γάρ ἐστι συναμφότερον ἡ ἁρμονία οὐδὲ μεθ' ὑποκειμένου e 1v
ὥσπερ τὸ γλυκύ. τοῦτο γὰρ τὸ ἐγλυκασμένον σῶμα σημαίνει, ὥσπερ καὶ
τὸ ἡρμοσμένον, ἡ μέντοι ἁρμονία ἁπλοῦν τί ἐστιν ὡς καὶ ἡ γλυκύτης·
αὐτὴν γὰρ τὴν ποιότητα δηλοῖ μόνην. εἰ μὲν γὰρ τὸ ἡρμοσμένον λάβω-
5 μεν, προσθήκης δεόμεθα· πᾶν γὰρ τὸ ἡρμοσμένον ἐπιδέχεται τὸ μᾶλλον
καὶ τὸ ἧττον, καθὸ ἥρμοσται· ἂν μέντοι τὴν ἁρμονίαν, οὐκέτι. ἡ ἁρμονία
οὖν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, ἡ δὲ ψυχή, καθὸ ψυχή ἐστιν, οὐκ
ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· δεῖ γὰρ προσκεῖσθαι τῇ ψυχῇ τὸ 10
καθὸ ψυχή, δι' ἅπερ εἴπομεν· ἡ ψυχὴ ἄρα, καθὸ ψυχή ἐστιν, οὐκ ἔστιν
10 ἁρμονία. οὕτω μὲν οὖν ἔστι δεῖξαι Πλάτωνα συλλογιζόμενον. Ἐπίκουρος
δὲ ἐπὶ γλυκέος παραλαβὼν τὸν λόγον, οὐ γλυκύτητος· οὐδὲν γὰρ ἂν ψεῦδος
συνήγαγεν· ἀληθὲς γὰρ ὅτι τὸ μέλι οὐκ ἔστι γλυκύτης· ἐπεὶ οὖν τὸ γλυκὺ
συναμφότερόν ἐστι, δεῖται προσθήκης· οὐ γὰρ ἡ καθόλου πρότασις ἀληθὴς
ἔσται. πᾶν γὰρ τὸ γλυκὺ καθὸ γλυκὺ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον,
15 οὐχ ἁπλῶς, τὸ δὲ μέλι, καθὸ μέλι ἐστίν, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ 15
τὸ ἧττον. ἐξ ὧν οὐδὲν συνάγεται· οὐ γάρ ἐστι κοινὸς ὁ μέσος. εἰ μὲν
οὖν τὸ καθὸ τόδε τοῖς κατηγορουμένοις προστεθήσεται, οὐ ληψόμεθα κοινὸν
τὸν μέσον, ὥσπερ εἴρηται· εἰ δὲ τοῖς ὑποκειμένοις, οἷον καθὸ γλυκὺ τὸ
γλυκὺ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, καθὸ μέλι τὸ μέλι οὐκ ἐπιδέ-
20 χεται τὸ μᾶλλον καὶ τὸ ἧττον, συναχθήσεται οὐκ ἔστιν ἄρα τὸ μέλι,
καθὸ μέλι ἐστί, γλυκὺ καθὸ γλυκύ ἐστι· τοῦτο δὲ ἀδιανόητον. αὗται μὲν
οὖν αἱ πέντε ἐπιχειρήσεις αἱ Πλάτωνος. κέχρηται δὲ καὶ αὐτὸς ὁ Ἀρι- 20
στοτέλης, ὡς ἤδη εἶπον, ἐν τῷ Εὐδήμῳ τῷ διαλόγῳ δύο ἐπιχειρήσεσι
ταύταις, μιᾷ μὲν οὕτως· τῇ ἁρμονίᾳ, φησίν, ἔστι τι ἐναντίον ἡ ἀναρμοστία,
25 τῇ δὲ ψυχῇ οὐδὲν ἐναντίον· οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία ἐστίν. εἴποι δ'
ἄν τις πρὸς τοῦτο ὅτι τῇ ἁρμονίᾳ ἐναντίον οὐκ ἔστιν κυρίως, ἀλλὰ
μᾶλλον στέρησις ἀόριστος· καὶ τῇ ψυχῇ δ' ὡς εἴδει τινὶ οὔσῃ ἔστι
τι ἀντικείμενον ἀόριστον· καὶ ὥσπερ ἐκεῖ φαμεν τὴν τοιάνδε ἀναρμοστίαν
μεταβάλλειν εἰς τὴν ἁρμονίαν, οὕτω καὶ τὴν τοιάνδε στέρησιν μεταβάλλειν
30 εἰς ψυχήν. δεύτερον δέ· τῇ ἁρμονίᾳ, φησί, τοῦ σώματος ἐναντίον ἐστὶν 25

---

1 ἡ ἁρμονία scripsi: τῇ ἁρμονίᾳ libri 9 καθὸ (post τὸ) Dt: καθόλου R δι' ἅπερ R: διόπερ Dt 11 exspectas παραλαμβάνει, nisi forte post δὲ excidit οὐ συλλογίζεται 13 ἐστι R: τί ἐστι Dt 15 καὶ οὐχ ἁπλῶς t 18 τὸν μέσον DR: τὸ μέσον t καθὸ γλυκὺ Dt: post καθὸ add. τὸ R 21 ἀδ[illegible]όητον D 23 εἶπον Dt: εἴπομεν R Εὐδήμῳ] ἑβδόμῳ R 24 ἡ ἀναρμοστία — οὐδὲν ἐναντίον (25) om. D 26 κυρίως A: κυρίως ἐναντίον DRt 27 ἀόριστος Dt: ἄριστον R 28 ἀναρμοστίαν R: ἁρμονίαν ADt 29 ἁρμονίαν R: ἀναρμοστίαν ADt 30 δεύτερον R: δεύτερος AD: δευτέρᾳ t

---

21 ἀδιανόητον] ad ea, quae huc usque ex Philopono excerpta exhibet, addit οὐδὲ ὁ Ἐπικούρου λόγος τὸ ἀβοήθητον ἔχει· ἂν γὰρ ἀντὶ τοῦ γλυκέος τὴν γλυκύτητα λάβωμεν ὥσπερ ἐκεῖ τὴν ἁρμονίαν ἀντὶ τοῦ ἡρμοσμένου, οὐδὲν ἄτοπον ἕπεται. οὐκ ἔστιν γὰρ γλυκύτης τὸ μέλι, εἰ καὶ συνουσιωμένην ταύτην ἔχει τὴν ποιότητα. ὥστε οὐ σαλεύει ὁ τοῦ Ἐπικούρου λόγος τὸν συλλογισμὸν τοῦ Πλάτωνος A

ἡ ἀναρμοστία τοῦ σώματος, ἀναρμοστία δὲ τοῦ ἐμψύχου σώματος νόσος e 1ᵛ καὶ ἀσθένεια καὶ αἶσχος, ὧν τὸ μὲν ἀσυμμετρία ἐστὶ τῶν στοιχείων ἡ νόσος, τὸ δὲ τῶν ὁμοιομερῶν ἡ ἀσθένεια, τὸ δὲ τῶν ὀργανικῶν τὸ αἶσχος. εἰ τοίνυν ἡ ἀναρμοστία νόσος καὶ ἀσθένεια καὶ αἶσχος, ἡ ἁρμονία ἄρα 5 ὑγεία καὶ ἰσχὺς καὶ κάλλος. ψυχὴ δὲ οὐδέν ἐστι τούτων, οὔτε ὑγίεια φημὶ οὔτε ἰσχὺς οὔτε κάλλος· ψυχὴν γὰρ εἶχεν καὶ ὁ Θερσίτης αἴσχιστος ὤν· οὐκ ἄρα ἐστὶν ἡ ψυχὴ ἁρμονία. καὶ ταῦτα μὲν ἐν ἐκείνοις· ἐνταῦθα δὲ 30 τέσσαρσι κέχρηται ἐπιχειρήσεσιν ἀνασκευαστικαῖς τῆς δόξης ταύτης, ὧν τὸ τρίτον ἐστὶ τὸ εἰρημένον ἐν τῷ Εὐδήμῳ δεύτερον. τίνα δέ ἐστι ταῦτα, 10 τὸ ῥητὸν ἐπιόντες εἰσόμεθα.

p. 407ᵇ27 Πιθανὴ μὲν πολλοῖς οὐδὲ μιᾶς ἥττων τῶν εἰρημένων.

Ὅτι μὲν οὖν πιθανὴ ἡ δόξα ἡ λέγουσα τὴν ψυχὴν ἁρμονίαν εἶναι τοῦ σώματος, νῦν ἁπλῶς τίθησιν, ὕστερον δὲ μετὰ τὰς πρὸς αὐτὴν ἀντιλογίας καὶ διὰ † πιθανῆς δόξης ἐντίθησιν. καὶ ὁ ἐν τῷ Φαίδωνι δὲ Σιμ- 15 μίας φησὶν ὡς οὐδὲν οὕτως αὐτῷ περὶ ψυχῆς πιθανὸς φαίνοιτο λόγος ὡς 35 ὁ λέγων αὐτὴν ἁρμονίαν.

p. 407ᵇ28 Λόγους δὲ ὥσπερ εὐθύνας δεδωκυῖα τοῖς ἐν κοινῷ λεγομένοις λόγοις.

Εἰ καὶ πιθανή, φησίν, ἡ δόξα, ἀλλ' οὖν λόγους δέδωκεν ὥσπερ εὐθύ- 20 νας, τουτέστιν εἰς λόγους ἐλθοῦσα ηὐθύνθη καὶ ἐξηλέγχθη ὡς ψευδὴς οὖσα. εἶτα προστίθησι καὶ ποῦ τὰς εὐθύνας ἔδωκεν, ἐν τοῖς ἐν κοινῷ, φησί, λεγομένοις λόγοις. λέγοι δ' ἂν ἢ τὰς ἀγράφους αὐτοῦ συνουσίας πρὸς 40 τοὺς ἑταίρους ἢ τὰ ἐξωτερικὰ συγγράμματα, ὧν εἰσι καὶ οἱ διάλογοι, ὧν ὁ Εὔδημος, ἅπερ διὰ τοῦτο ἐξωτερικὰ κέκληται, ὅτι οὐ πρὸς τοὺς γνησίους 25 ἀκροατὰς ἐγράφη, ἀλλ' εἰς τὴν κοινὴν καὶ τὴν τῶν πολλῶν ὠφέλειαν.

p. 407ᵇ30 Καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι, καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων.

Ἐκθέμενος τὴν δόξαν αὐτῶν ὅτι ἁρμονίαν ἔλεγον τὴν ψυχήν, τίθησι καὶ τὸν λόγον δι' οὗ τοῦτο κατασκευάζειν ἐπεχείρουν. ἔστι δ' ὁ συλλο- 45

---

5 οὔτε ὑγεία Rt 8 τῆς δόξης ταύτης corr. D², fort. ex ταῖς δόξαις ταύταις ὧν] ὂν D¹, sed corr. D² 11 οὐδὲ DR, cf. Arist. vulg.: καὶ οὐδὲ t et Arist. TW ἥττων DRt et Arist. codd. quinque: ἧττον Arist. EU εἰρημένων DR: λεγομένων t et Arist. 14 διὰ — ἐντίθησιν] exspectas διὰ τί πιθανὴ ἡ δόξα ἐστὶν ἐκτίθησιν, cf. p. 151,12 ἐν τῷ Φαίδωνι] p. 85 E sqq. 15 αὐτῷ DR: αὐτῇ t πιθανὸς om. R 17 τοῖς DR: καὶ τοῖς t et Arist. 18 λεγομένοις t Arist. WS, item DR v. 22: δεδομένοις DR: γινομένοις Arist. vulg. 21 ἐν τοῖς Dt: τοῖς R 22 αὐτοῦ Diels: αὐτοῦ libri 26 post γὰρ add. καὶ R σύνθεσίν τινα ἐναντίων t 28 ἐκθέμενος D: ἐκθεμένου R: ἐκθέμενος οὖν t αὐτῶν om. t 29 δι' οὗ τοῦτο DR: δι' οὗτος t

γισμὸς τοιοῦτος· ἡ ἁρμονία ἐξ ἐναντίων σύγκειται· καὶ τὸ ἔμψυχον δὲ e 1r
σῶμα ἐξ ἐναντίων σύγκειται, τῶν τεσσάρων στοιχείων δηλονότι, ξηροῦ,
ὑγροῦ, ψυχροῦ, θερμοῦ, τὸ ἄρα ἔμψυχον σῶμα ἁρμονία ἐστί. τὸ μὲν οὖν
ἐξ ἐναντίων συγκεῖσθαι τὴν ἁρμονίαν ἀληθές· ἔστι γὰρ ἡ ἁρμονία κατὰ
5 τοὺς Πυθαγορείους πολυμιγέων καὶ διχᾶ φρονεόντων ἕνωσις· τὸ μέντοι τὸ
ἔμψυχον σῶμα ἐξ ἐναντίων συγκεῖσθαι οὐ καθόλου ἀληθές· τὰ γὰρ οὐράνια
ἔμψυχα ὄντα οὐκ ἐξ ἐναντίων σύγκειται· ἔστι γὰρ ἁπλᾶ. ἄλλως γε καὶ 50
ἀσυλλόγιστός ἐστιν ἡ συμπλοκὴ τοῦ συλλογισμοῦ ἐν δευτέρῳ σχήματι ἐκ
δύο καταφατικῶν οὖσα. πρὸς δὲ τούτοις καὶ εἰ συλλογιστικὴ ἦν, οὐ
10 συνάγει ὅτι ἡ ψυχὴ ἁρμονία ἐστίν, ἀλλ' ὅτι τὸ σῶμα. κρᾶσιν δὲ καὶ
σύνθεσιν εἶπεν τὴν ἁρμονίαν, κρᾶσιν μὲν τῶν στοιχείων· λέγομεν γὰρ
καλῶς ἡρμόσθαι τήνδε τοῦ οἴνου καὶ τοῦ ὕδατος μῖξιν. λέγομεν δὲ καὶ
ἐπὶ παραθέσεως τὴν ἁρμονίαν· φαμὲν γὰρ καλῶς ἡρμόσθαι τὴν θύραν·
ἣν σύνθεσιν ἐκάλεσε, λέγω δὲ τὴν παράθεσιν· ὅταν γὰρ οὕτω συγκέων-|
15 ται αἱ σανίδες ὡς μηδὲν συγγενὲς παρεκδέχεσθαι, καλῶς ἡρμόσθαι φα- e 2r
μὲν τὴν θύραν.

p. 407ᵇ32 Καίτοι γε ἡ μὲν ἁρμονία λόγος τίς ἐστι τῶν μιχθέντων ἢ σύνθεσις, τὴν δὲ ψυχὴν οὐδέτερον οἷόν τε τούτων εἶναι.

Ἐντεῦθεν οἱ ἔλεγχοι, καὶ τοῦτο τῶν τεσσάρων ἐπιχειρημάτων τὸ
20 πρῶτον. ἔστι δὲ ὁ συλλογισμὸς τοιοῦτος· ἡ ἁρμονία λόγος ἐστὶν ἢ σύν- 5
θεσις τῶν μιχθέντων, ἡ δὲ ψυχὴ οὔτε λόγος ἐστὶν οὔτε σύνθεσις. ἡ ψυχὴ
οὐκ ἔστιν ἄρα ἁρμονία. ὅτι δὲ μήτε λόγος μήτε σύνθεσίς ἐστιν ἡ ψυχή,
νῦν μὲν ὡς ἐναργὲς ἔλαβεν (ἄτοπον γὰρ τὸ σύνθεσιν ἢ λόγον τὴν ψυχὴν
λέγειν, οἷον διπλασίονα ἢ ἡμιόλιον ἤ τινα ἄλλον, ἢ πάλιν σύνθεσιν, ἥτις
25 ἐστὶ παράθεσις σωμάτων· οὐσία γάρ ἐστιν ἡ ψυχή, τούτων δὲ οὐδέτερον
οὐσία), ὕστερον μέντοι αὐτὸ καὶ δείκνυσι προελθών.

p. 407ᵇ34 Ἔτι δὲ τὸ κινεῖν οὐκ ἔστιν ἁρμονίας, ψυχῇ δὲ πάντες 10 ἀπονέμουσι τοῦτο μάλιστα ὡς εἰπεῖν.

Δεύτερος οὗτος συλλογισμὸς καὶ αὐτὸς ἐν δευτέρῳ σχήματι. ἡ ἁρ-
30 μονία, φησίν, οὐ κινεῖ τὰ ἐξ ὧν ἐστιν· οὐ κινεῖ γὰρ τὰς χορδὰς ἡ ἁρμο-
νία· ἡ ψυχὴ δὲ κινεῖ τὸ σῶμα οὗ ἐστι ψυχή· οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία.

---

1 καὶ τὸ — σύγκειται (2) om. R 3 θερμοῦ ψυχροῦ R 5 Πυθαγορείους] cf. supra p. 70,7 7 ἄλλως τε R 8 σχήματι ἐκ Dt: σχηματικῶς R 9 δύο καταφατικῶν] δυσκαταφατικῶν t τήνδε ἢ τήνδε coni. Diels coll. p. 147,28 14 δὲ Dt: δὴ R 17 καὶ τό γε R 18 ἡ σύνθεσις R οὐδ' ἕτερον hic et v. 25 D οἷόν τε — εἶναι] οἵονται (sic) τούτων εἶναι D: ὤοντο τούτων εἶναι R: τούτων εἶναι οἷόν τε t: οἷόν τ' εἶναι τούτων Arist. 23 ἄτοπον — ἄλλον (24) om. D 27. 28 τοῦτο ἀπονέμουσι πάντες coll. t 28 ὡς t Arist.: om. DR 30 κινεῖ τὰ DR: κινεῖται t

οὐδεμίαν γὰρ κίνησιν κινεῖ τὰ ὧν ἐστιν ἁρμονία ἡ ἁρμονία· οὔτε γὰρ κατὰ e 2r
τόπον κινεῖ τὰ ἡρμοσμένα ἡ ἁρμονία (ὁ γὰρ τεχνίτης ἔξωθεν ταῦτα κινεῖ)
οὔτε κατὰ τὸ ποσόν, ἀλλ' οὐδὲ κατὰ ἀλλοίωσιν· οὐδὲ γὰρ ἡ ἁρμονία 15
ἀλλοιοῖ τὰς χορδάς, ἀλλ' αὐτὴ μὲν ἐπιγίνεται κινηθεισῶν ἢ ἀλλοιωθεισῶν
5 τῶν χορδῶν, οὐ μὴν γενομένη ἀλλοιοῖ τὰ ἐν οἷς ἐστιν.

p. 408a1 Ἁρμόζει δὲ μᾶλλον κατὰ ὑγιείας λέγειν ἁρμονίαν, καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν, ἢ κατὰ ψυχῆς.

Τοῦτο τρίτον ἐπιχείρημα· ἔστι δὲ τὸ δεύτερον τῶν ἐν τῷ Εὐδήμῳ. 20
ὅτι δὲ ἁρμονία ἡ ὑγίεια, ἔδειξεν ἐν ἐκείνοις ἐκ τοῦ ἐναντίου τῆς νόσου·
10 εἴπομεν δὲ ἀνωτέρω τὴν ἀγωγὴν τοῦ συλλογισμοῦ.

p. 408a3 Φανερώτατον δ' εἴ τις ἀποδιδόναι πειραθείη τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἁρμονίᾳ τινί.

Φανερῶς, φησίν, ἄτοπος ὁ λόγος φανεῖται ὁ λέγων τὴν ψυχὴν ἁρμονίαν εἶναι, ἐὰν πειραθῶμεν ἕκαστον τῶν ἔργων ἢ παθημάτων τῆς ψυχῆς
15 ἁρμονίᾳ τινὶ ἐπαναθεῖναι. εἰ γὰρ ἡ ψυχὴ ἁρμονία, καὶ τὰ ἔργα ἢ τὰ πάθη αὐτῆς ἁρμονία ἔσται, ὥσπερ οὖν καὶ τῆς ἁπλῶς ἁρμονίας τὰ μέρη 25
ἢ τὰ εἴδη καὶ αὐτὰ ἁρμονίαι εἰσί. ποία οὖν ἁρμονία ὁ θυμὸς ἢ ἡ ἐπιθυμία ἢ ἡ αἴσθησις ἢ τὰ λοιπά; πότερον Λύδιος ἢ Φρύγιος ἢ Ἰάστιος ἤ τις ἄλλη; εἰ δὲ μηδὲν τούτων ἁρμονία, οὐδὲ ἡ ψυχὴ ἐξ ἧς ταῦτα.
20 τοῦτο οὖν τέταρτον ἐπιχείρημα. ἔχει δὲ ὁ συλλογισμὸς οὕτως· εἰ ἡ ψυχὴ ἁρμονία, τῆς δὲ ἁρμονίας εἴδη Λύδιος, Φρύγιος καὶ αἱ λοιπαί, τούτων ἄρα τις ἡ ψυχή· ἀλλὰ μὴν τοῦτο ἄτοπον· οὐκ ἄρα ἁρμονία ἡ ψυχή. ἀλλὰ πάλιν πρὸς τοῦτο εἴποιεν ἂν ὅτι ἁρμονίαν οὐ τὴν ἐν ταῖς χορδαῖς φαμεν 30
εἶναι τὴν ψυχήν, ἀλλὰ λόγον τινὰ τοιόνδε τῶν συγκειμένων ἢ τῶν κεκρα-
25 μένων· οὐδὲ γὰρ ἡ τοῦ σώματος ἁρμονία ἢ τῶν στοιχείων κατὰ τὰς δυνάμεις ἢ τῶν ὀργανικῶν κατὰ τὴν σύνθεσιν ἢ Λύδιος ἢ Φρύγιός ἐστιν ἁρμονία. μήποτε οὖν οὐδὲ εἰς τοῦτο ἀπάγει ὁ Ἀριστοτέλης τὸν λόγον, ἀλλὰ τὸ ἁρμονίᾳ τινὶ τουτέστι τῇ κατὰ τόνδε ἢ τόνδε τὸν λόγον τῶν ἡρμοσμένων, οὐ μὴν Λυδίῳ ἢ Φρυγίῳ, ἀλλὰ τοῦτο τῶν ἐξηγουμένων ἐστίν.
30 ὅτι δ' οὐχ οἷόν τε ἁρμονίᾳ τινὶ τῶν τοῦ σώματος ἀποδιδόναι τὰ τῆς 35
ψυχῆς ἔργα καὶ πάθη, δῆλον δι' αὐτῆς τῆς ἐξόδου· τὸ γὰρ λέγειν τὸν νοῦν μὲν διπλασίονα, εἰ τύχοι, τῶν κεκραμένων εἶναι λόγον, τὴν δὲ αἴσθησιν,

---

6 καθ' ὑγείας t 9 ἡ ὑγεία R 11 φανερώτατον D et de an. plerique libri: φανερώτατα R: φανερώτερον t de an. SVy 13 ἄτοπον t 16 πάθη ADt: παθήματα R 17 ἁρμονία DR: ἁρμονίας t 18 post Φρύγιος ἢ add. δὲ D ἰάσπιος libri 23 ἐν χορδαῖς R 26 κατὰ τὴν Rt: κατὰ om. D ἡ Λύδιος R 27 οὐδὲ t: οὐδὲν DR, sed corr. D 28 τῇ Diels: τὴν libri 31 τῆς ἐξόδου om. R

εἰ τύχοι, τὸν ἡμιόλιον, ἀλλὰ καὶ ἄλλον λόγον ἄλλην τινὰ δύναμιν, κατα- e 2r
γέλαστον καὶ οὐδὲ πλάσασθαι τὸ τοιοῦτον εὐχερές.

p. 408a5 Ἔτι δὲ ἐπεὶ λέγομεν τὴν ἁρμονίαν εἰς δύο βλέποντες.

Ἐν τῷ πρώτῳ συλλογισμῷ εἶπεν ὅτι ἡ ἁρμονία λόγος ἐστὶ τῶν
5 μιχθέντων ἢ σύνθεσις, ἡ δὲ ψυχὴ οὐδέτερον τούτων. πόθεν οὖν τούτων
ὅτι οὐδὲν ἡ ψυχή; ἐκεῖ μὲν ἀναποδείκτως ἔλαβεν, ἐνταῦθα δὲ λοιπὸν
δείκνυσι. λέγομεν γὰρ τὴν ἁρμονίαν, φησί, διχῶς· καὶ κατὰ πρῶτον μὲν
λόγον τὴν σύνθεσιν τῶν σωμάτων, ὅταν οὕτω παρατεθῇ, ὡς μηδὲν συγ-
γενὲς αὐτῶν σῶμα δύνασθαι μεταξὺ ἐμβληθῆναι, οἷον ὅταν οὕτως ἀκριβῶς 45
10 συντεθῶσιν οἱ λίθοι ἐξ ὧν ἡ οἰκία, ὡς μὴ δύνασθαι ἄλλον ἐμβληθῆναι
μεταξὺ λίθον ἢ ξύλον ἤ τι τῶν συγγενῶν καὶ βαρέων σωμάτων, ἡρμόσθαι
λέγομεν τοὺς λίθους, καὶ ἁρμονίαν τὴν τούτων σύνθεσιν. προσέθηκε δὲ
τῶν συγγενῶν, ἐπειδὴ ἀέρα δυνατὸν μὲν εἶναι μεταξὺ τῶν ἡρμοσμένων ἢ
κόλλαν ἤ τι τοιοῦτον. ἐκ δὲ τούτων, φησί, μεταφέρομεν τὸ τῆς ἁρμονίας
15 ὄνομα καὶ ἐπὶ τὸν λόγον τῶν μεμιγμένων, οἷον ἔν τε τοῖς κεκραμένοις καὶ
ἐν τοῖς κατὰ μουσικήν· τὸν γὰρ λόγον τῶν μιχθέντων τὸν ἡμιόλιον ἢ τὸν
ἐπίτριτον ἤ τινα ἄλλον λέγομεν ἐκ τῶν συνθέτων κατὰ μεταφορὰν ἁρμο- 50
νίαν. διὰ τί δὲ εἰπὼν κυριώτατα μὲν τῶν μεγεθῶν ἐπήγαγεν ἐν
τοῖς ἔχουσι κίνησιν καὶ θέσιν; πρὸς ἀντιδιαστολὴν τῶν μαθηματικῶν·
20 μεγέθη γὰρ καὶ ταῦτα, ἀλλ' οὔτε κίνησιν ἔχοντα οὔτε θέσιν, ἐπειδὴ μηδὲ
ὑπόστασιν· ἐν γὰρ τῇ ἐπινοίᾳ μόνῃ τὸ εἶναι ἔχει. καὶ κίνησιν μέν, ἵνα
ἀντιδιαστείλῃ τὰ φυσικὰ σώματα τῶν μαθηματικῶν, θέσιν δέ, ἵνα καὶ
τὰς γραμμὰς καὶ τὰ ἐπίπεδα τὰ φυσικὰ πρὸς τὰ μαθηματικὰ ἀντιδια-
στείλῃ· θέσιν | γὰρ ταῦτα, τὰ φυσικὰ λέγω, εἰ καὶ μὴ κίνησιν ἔχει. e 2v
25 διὰ τί δὲ κατὰ πρῶτον λόγον τὴν ἁρμονίαν ἐπὶ τῆς παραθέσεώς φησι
θεωρεῖσθαι; λέγω ὡς γνωριμωτέρας ἡμῖν οὔσης, ἐπεὶ καὶ ἐν Κατηγορίαις
κυριώτατα καὶ πρώτως καὶ μάλιστα τὴν ἄτομόν φησιν εἶναι οὐσίαν [ἢ]
ὡς μᾶλλον ἡμῖν συνεγνωσμένην.

p. 408a9 Οὐδέτερον μὲν οὖν εὔλογον, ἡ δὲ σύνθεσις τῶν τοῦ
30 σώματος μερῶν λίαν εὐεξέταστος.

Οὔτε σύνθεσίν φησιν οὔτε μῖξιν εὔλογον ποιεῖν τὴν ψυχήν, ἥκιστα δὲ
μᾶλλον σύνθεσιν· λίαν γὰρ εὐέλεγκτος ὁ λόγος. εἰ γὰρ ἡ τῶν ὁμοιομερῶν

---

1 ἀλλὰ om. D 3 ἐπεὶ DR de an. Vy: εἰ t et de an. ceteri codd. λέγομεν DR, de an. E (pr.) STVX: λέγοιμεν t de an. UW corr. E βλέποντες DR: ἀποβλέποντες t Arist. 5. 6 ὅτι οὐδὲν τούτων coll. Rt 13 ἀδύνατον μὴ ἐνεῖναι R 14 τοιοῦτον Dt: τῶν τοιούτων R 22 ἀντιδιαστείλῃ DR: διαστείλῃ t 26 ἐν Κατηγορίας] 5 p. 2a11 27 ἢ delevi 29 οὐδέτερον DR: οὐδετέρως t Arist. ἡ δὲ DR Arist.: οὐδὲ t 32 ὁ λόγος om. D

σύνθεσις ποιεῖ τὴν ψυχήν, ἐπειδὴ καθ' ἕκαστον μόριον τῶν ὀργανικῶν e 2ᵛ σύνθεσίς ἐστι τῶν ὁμοιομερῶν (καὶ γὰρ καὶ ἡ χεὶρ ἐξ ὀστῶν καὶ νεύρων καὶ σαρκῶν καὶ τῶν λοιπῶν ὁμοίως, καὶ ὁ πούς καὶ ἡ κεφαλὴ καὶ τὰ 10 λοιπὰ πάντα) καθ' ἕκαστον μόριον ἂν εἴη ψυχή· εἰ γὰρ ἡ σύνθεσις ἁπλῶς 5 ψυχή, ἕκαστον δὲ μόριον ἄλλο ἄλλως σύγκειται, καὶ ψυχὴν ἂν ἔχοι. καὶ ἕκαστον δὲ πολλάς· ἄλλως γὰρ ἡ πᾶσα χεὶρ ἥρμοσται καὶ ἄλλως τὰ τῆς χειρὸς μόρια, δάκτυλοι ἤ τι ἄλλο· καὶ ἐν ἑκάστῳ ἄρα μορίῳ πολλαὶ ψυχαί, ὅπερ ἄλογον. οὐκ ἄρα σύνθεσις ἡ ψυχή. εἰ γὰρ μόριον μηδὲν τῆς ψυχῆς ἐφαρμόζει συνθέσει τινὶ τοῦ σώματος (ἐκ ποίας γὰρ συνθέσεως 10 ὁ νοῦς ἢ ἡ αἴσθησις;) οὐδὲ ἡ ὅλη ἄρα τῇ ὅλῃ συνθέσει· ἐκ γὰρ τῆς τῶν καθ' ἕκαστα συνθέσεως ἡ ὅλη σύνθεσις. κατὰ ποίαν γοῦν σύνθεσιν καὶ 15 ποίου μορίου ἑκάστη δύναμις ψυχῆς γίνεται, χαλεπὸν καὶ πλάσαι, ὡς αὐτός φησι. πολλαὶ δὲ αἱ συνθέσεις τῶν μερῶν καὶ πολλαχῶς, πολλαὶ μὲν ἐπειδὴ καὶ πολλὰ τὰ μέλη, πολλαχῶς δὲ ἐπειδὴ ἄλλο ἄλλως 15 τὴν τῶν ὁμοιομερῶν σύνθεσιν ἔχει.

p. 408ᵃ13 Ὁμοίως δὲ ἄπορον καὶ τὸ λόγον εἶναι τῶν μίξεων τὴν ψυχήν.

Καὶ κατὰ τὸ ἕτερον, φησί, σημαινόμενον τῆς ἁρμονίας ἄτοπον τὴν ψυχὴν ἁρμονίαν λέγειν. ἐπεὶ γὰρ πολλοὶ λόγοι κράσεων ἐν τῷ σώματι 20 κατὰ τὰ ὁμοιομερῆ (τὰ μὲν γὰρ στοιχεῖα τὰ αὐτά, λόγος δὲ τῆς κράσεως τούτων ἄλλος μέν ἐστιν ἐπ' ὀστοῦ, ἄλλος ἐπὶ σαρκός, ἐπὶ αἵματος ἄλλος καὶ ἐπὶ τῶν λοιπῶν ὁμοιομερῶν) ἀνάγκη πολλὰς ἔχειν κατὰ τοῦτον 25 τὸν λόγον ψυχάς, εἴ γε ἡ μὲν κρᾶσις ἁρμονία, ἡ ἁρμονία δὲ ψυχή, πολλαὶ δὲ αἱ κράσεις τῶν μορίων τοῦ σώματος. εἰ δέ τις λέγοι ὅτι οὐχ ἁπλῶς 25 τὴν τυχοῦσαν σύνθεσιν ἤτοι ἁρμονίαν ἔλεγον ψυχὴν οὐδὲ τὴν τοῦδε τοῦ μορίου, ἀλλὰ τὴν τοῦ παντὸς σύνθεσιν καὶ ἁρμονίαν τοῦτο εἶναι ψυχήν, φαμὲν ὅτι μάλιστα μὲν ὡς ἁπλῶς λεγόντων αὐτῶν ἁρμονίαν καὶ μὴ προσδιοριζομένων ὁ λόγος εἴρηται, ἔπειτα εἰ καὶ τοῦτόν τις τὸν λόγον ἐλέγξει, οἵ γε ἄλλοι ἀνέλεγκτοί εἰσιν. ἐπὶ πᾶσι δὲ ἐροῦμεν ὅτι εἰ ἁρμονία 30 30 ἡ ψυχή, τὰ ἄνω κάτω ποιήσουσιν. ἔσονται γὰρ τὰ ἄψυχα ψυχῶν αἴτια, τὰ ἄλογα λόγου, τὰ ἀναίσθητα αἰσθήσεως, ὅπερ ἄτοπον τὰ χείρονα τῶν κρειττόνων λέγειν αἴτια εἶναι.

p. 408ᵃ18 Ἀπαιτήσειε δ' ἄν τις τοῦτό γε καὶ παρ' Ἐμπεδοκλέους.

Ἐλέγξας τοὺς ἁρμονίαν εἶναι τὴν ψυχὴν λέγοντας τῷ δεῖξαι ὅτι οἷον

---

6 ἕκαστον DR: ἕκαστος t 7 ἄρα AD: δὲ R: om. t 12 ἑκάστη DR: ἡ ἑκάστη t 16 ἄπορον DR: ἄτοπον t Arist. τὸ D de an. codd. VX: τὸν Rt de an. plerique εἶναι τῶν μίξεων DR: τῆς μίξεως εἶναι t Arist. 21 ἐστιν om. t ἄλλος δ' ἐπὶ t 22 ante ἀνάγκη add. ὥστε τὸ σῶμα t 23 ψυχάς Dt: τὰς ψυχάς R 28 προδιοριζομένων t

δή ποτε εἶδος τῆς ἁρμονίας ὑποθώμεθα, τό τε κατὰ κρᾶσιν καὶ τὸ κατὰ e 2v
σύνθεσιν. ἄτοπα πολλὰ ἕψεται. ὡς ἐν παρεκβάσει ἀπορεῖ πρὸς Ἐμπεδοκλέα
εἰκότως ἐκ τῶν εἰρημένων, ἐπειδὴ καὶ αὐτὸς ἐκ τῆς κράσεως τῶν στοι-
χείων ἔλεγε γίνεσθαι τὰ τῶν μορίων τῶν ζῴων εἴδη. ἔλεγε γὰρ ὅτι ὅδε 40
5 μὲν ὁ λόγος τῶν στοιχείων ποιεῖ σάρκα. ὅδε ⟨δὲ⟩ ὀστοῦν, ἄλλος δὲ ἄλλο τι.
καὶ παραθήσεται αὐτοῦ ἐν τοῖς ἑξῆς χρῆσιν αὐτὸ τοῦτο πειρωμένην λέγειν.
τίς ὁ ἐν ἑκάστῳ μορίῳ τῆς κράσεως τῶν στοιχείων λόγος. ἐπεὶ οὖν τὰ
εἴδη τῶν μορίων λόγον εἶναι ἔλεγε τῆς κράσεως, ἔστι δὲ καὶ ἡ ψυχὴ
εἶδος τοῦ ὅλου ζῴου, εἰκότως ζητεῖ, πότερον καὶ αὐτὴ λόγος ἐστὶ τῶν
10 μιχθέντων, ἐξ ὧν τὸ ὅλον ζῷον, ἢ ἕτερόν τι οὖσα παρὰ τὸν λόγον ἐγγί- 45
νεται τοῖς μιχθεῖσιν. εἰ μὲν γὰρ ὁ λόγος τῶν μεμιγμένων ἡ ψυχή, πῶς
φησι "γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν"; οὐ γὰρ τὰ στοιχεῖα ὁ λόγος. ἔτι
δέ, ὥσπερ ἤδη εἶπεν, πολλαὶ ψυχαὶ ἐν τῷ ζῴῳ, μᾶλλον δὲ ἐν ἑκάστῳ
μορίῳ, ἐπειδὴ καὶ πολλοὶ λόγοι. εἰ δὲ ἕτερόν τι οὖσα παρὰ τὸν λόγον
15 ἐγγίνεται τοῖς μιχθεῖσιν, τί οὖσα καὶ πῶς ἐγγίνεται; καὶ πάλιν πῶς φησι
"γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν"; εἰ δὲ τὰ στοιχεῖα ἡ ψυχή, διὰ τί ἐπὶ
μὲν τῶν ἄλλων εἰδῶν, ὀστοῦ καὶ σαρκὸς καὶ τῶν ὁμοίων, οὐ τὰ στοιχεῖα
ἀλλὰ τὸν λόγον ᾐτιάσατο, ἐπὶ δὲ ψυχῆς αὐτὰ τὰ στοιχεῖα; εἰ γὰρ κρεῖττον
τὸ εἶδος τῆς ὕλης, ὕλη δὲ τὰ στοιχεῖα τῶν μορίων τοῦ ζῴου, εἶδος δὲ ὁ 50
20 λόγος, κρείττων ἄρα τῶν στοιχείων ὁ λόγος τῆς κράσεως αὐτῶν· ὥστε τὰ
μὲν χείρονα εἴδη, ὀστοῦν λέγω καὶ σάρξ καὶ τὰ ὅμοια, ἐκ τῶν κρειττόνων
ἔσονται, λέγω δὴ τοῦ λόγου τῆς κράσεως, μᾶλλον δὲ αὐτὸς ὁ λόγος ἔσον-
ται, τὸ δὲ κρεῖττον εἶδος ἡ ψυχὴ ἐκ τῶν χειρόνων, τῆς ὕλης λέγω· ταῦτα
γὰρ ἦν ὕλη τῶν ἄλλων εἰδῶν· τὰ κρείττονα ἄρα ἐκ τῶν χειρόνων ἔσονται,
25 ὅπερ ἄτοπον. εἶτα ἐπειδὴ καὶ τὴν φιλίαν ὁ Ἐμπεδοκλῆς αἰτίαν εἶναι τῆς
συγκράσεως τῶν στοιχείων ἔλεγεν, | ἀκολούθως καὶ περὶ αὐτῆς ἀπορεῖ. e 3r
ἡ γὰρ φιλία ἢ ἡ αὐτή ἐστι τῇ μίξει, ὡς τὴν μῖξιν φιλίαν εἶναι, ἢ ἑτέρα·
καὶ εἰ ἑτέρα, τῆς τυχούσης ἐστὶν αἰτία μίξεως ἢ τῆς κατὰ λόγον. εἰ μὲν οὖν
ἡ αὐτή ἐστι τῇ μίξει, τί τὸ τῆς μίξεως αἴτιον; πάντῃ γὰρ ἀδύνατον χωρὶς
30 αἰτίου γένεσιν ἔχειν, ὥς φησιν ὁ Πλάτων. εἰ δὲ ἑτέρα, ὁποίας ἐστὶ μίξεως
αἰτία; εἰ μὲν οὖν τῆς τυχούσης, συμβήσεται τὰ εἴδη ἐκ τῆς τυχούσης μίξεως
γίνεσθαι, οὐ μόνον ταῦτα τὰ γενητά, ἀλλὰ καὶ τὰ θεῖα, ὅπερ ἄτοπον· οὐ 5
γὰρ ὁρῶμεν ὅτι ἡ τυχοῦσα μῖξις τὸ τυχὸν ποιεῖ, ἀλλ' ὥρισται ἑκάστου
εἴδους ὁ λόγος τῆς μίξεως. εἰ δὲ τῆς κατὰ λόγον, ὅπερ καὶ εὔλογον, εἰ
35 καὶ οὔτε εἶπεν ὁ Ἐμπεδοκλῆς τοῦτο οὔτε ἐκ τῶν εἰρημένων αὐτῷ ἔστι

---

2 ἕπεται R ὡς ἐν παρεκβάσει Dt: καὶ ἐν ἀποβάσει R 4 τῶν (ante ζῴων) om. R 6 χρῆσιν DR: βῆσιν t 9 πότερον] πότε τὸ R 12 γαίῃ — ὀπώπαμεν] Empedocl. fragm. 378 Mullach γὰρ (ante γαῖαν) om. R 14 εἰ δὲ DR: δὲ om. t 20 κρεῖττον D 21 σὰρξ DR: σάρκα t ἐκ om. t 22 αὐτὸς Dt: αὐτὸ R 26 συγκράσεως DR: κράσεως t 28 εἰ (post καὶ) R: ἡ D: ἢ t 29 πάντῃ — ἔχειν (30)] Plat. Tim. p. 28 A παντὶ Plato 30 αἰτίου Plato: αἰτίου τε libri ὁποίας] sic libri, cf. Simpl. Phys. 1145,1 32 γεννητὰ t 35 οὔτε (ante εἶπεν) Dt: οὕτως R

συλλογίσασθαι, ἔδει αὐτὸν εἰπεῖν τίς αὕτη καὶ τίνα φύσιν ἔχουσα· οὐ γὰρ e 3r
ἀρκεῖ φιλίαν εἰπεῖν, ἀλλὰ δεῖ προσθεῖναι καὶ τί ποτέ ἐστιν ἡ φιλία.
ταῦτα μὲν οὖν ἁρμόζει λέγειν πρὸς Ἐμπεδοκλέα· τὴν δὲ διαίρεσιν οὐχ
οὕτω πεποίηται ὁ Ἀριστοτέλης, ὥσπερ εἰρήκαμεν· κάλλιον δὲ οὕτως ἔχει. 10
5 ταῦτα οὖν ἐν παρεκβάσει εἰπὼν πρὸς τὸν Ἐμπεδοκλέα ἐπανέρχεται εἰς τὸν
περὶ τῆς ἁρμονίας λόγον.

p. 408a24 Εἰ δ' ἔστιν ἕτερον ἡ ψυχὴ τῆς μίξεως, τί δή ποτε ἅμα τὸ σαρκὶ εἶναι ἀναιρεῖται καὶ τὸ τοῖς ἄλλοις μορίοις τοῦ ζῴου;

10 Ἐκτιθέμενος τὴν δόξαν τῶν λεγόντων ἁρμονίαν εἶναι τὴν ψυχὴν ἔλεγε
πιθανὸν εἶναι τοῦτον τὸν λόγον. ἀντειπὼν οὖν πρὸς τοῦτον νῦν τὰς αἰτίας 15
τίθησιν, δι' ἃς πιθανὴ εἶναι δοκεῖ ἡ τοιαύτη δόξα· καὶ ἵνα συντόμως
εἴπω, τοῦτό φησιν. εἰ μὴ ἔστιν ἡ ψυχὴ ἁρμονία ἡ κατὰ τὸν λόγον τῆς
μίξεως γινομένη, τί δή ποτε ἀναιρουμένης τῆς ἁρμονίας τοῦ σώματος
15 ἀναιρεῖται καὶ ἡ ψυχή; εἰ γὰρ ἕτερόν ἐστιν τῆς ἁρμονίας ἡ ψυχή, ὡς
ὁ κιθαρῳδὸς τῆς κιθάρας, ὥσπερ τῆς τῶν χορδῶν ἁρμονίας χαλασθείσης
ἔτι παρεῖναι τῇ κιθάρᾳ τὸν κιθαρῳδὸν οὐδὲν κωλύει, ἕτερον ὄντα καὶ τῆς
κιθάρας καὶ τῆς ἁρμονίας, οὕτω καὶ τὴν ψυχήν, εἴπερ μὴ ταὐτὸν ἦν τῇ 20
ἁρμονίᾳ, ἔδει ποτὲ καὶ τῆς ἁρμονίας ἀπολομένης παρεῖναι τῷ σώματι. ὁ
20 μὲν οὖν νοῦς τῶν προκειμένων οὗτος· τὸ δὲ κατὰ τὴν λέξιν οὕτως ἔχει.
εἰ δὲ ἕτερον ἡ ψυχὴ τῆς μίξεως, τουτέστιν εἰ μὴ ἁρμονία τυγχάνει
οὖσα ἡ ψυχή, ἁρμονία δὲ ἡ κατὰ μῖξιν καὶ κρᾶσιν (ἔστι γὰρ καὶ ἡ κατὰ
σύνθεσιν), τί δή ποτε ἅμα τὸ σαρκὶ εἶναι ἀναιρεῖται καὶ τὸ τοῖς
ἄλλοις μορίοις τοῦ ζῴου; ἀντὶ τοῦ διὰ τί ἑνὸς μορίου ἁρμονίας ἀναι-
25 ρουμένης, ἀναιρεῖται καὶ τῶν λοιπῶν μορίων ἡ ἁρμονία; ἵνα ἔξωθεν ἡμεῖς
συλλογισώμεθα ὅτι 'τῆς δὲ τῶν μορίων πάντων ἁρμονίας ἀναιρεθείσης 25
συναναιρεῖται καὶ ἡ ψυχή'. ἐπὶ τῆς σαρκὸς δὲ γυμνάζει τὸν λόγον ὡς
σαφεστέρας· εἰ γὰρ τὸ τῆς σαρκὸς εἶδος ἀναιρεθείη ἐκ τοῦ ζῴου, καὶ τὰ
τῶν λοιπῶν μορίων εἴδη συνανήρηται, ὀστῶν καὶ νεύρων καὶ τῶν λοιπῶν,
30 ἅμα δὲ τούτοις καὶ ἡ ψυχή· ἐπεὶ οὐ μόνον τῆς σαρκὸς ἀναιρεθείσης ἕπεται
ἡ τῶν λοιπῶν ἀναίρεσις, ἀλλὰ καὶ ἑνὸς τῶν ἄλλων τῶν εἰρημένων.// οὕτω
δὲ ἐξηγεῖται ὁ Ἀλέξανδρος πάνυ προσφυῶς, ἵνα ἡ ἀπορία αὕτη ἅμα ἐπί-

---

1 εἰπεῖν τίς scripsi: εἰπεῖν τις DR: τις εἰπεῖν t 3 λέγειν om. R
7 μίξεως scripsi coll. v. 21; idem legitur de an.: ἁρμονίας Dt: ρμονίας (sic) R
8 et 23 ἅμα τὸ DR de an. cod. V: ἅμα τῷ t, de an. codd. plerique καὶ τὸ DRt (ut de an. T): καὶ τῷ de an. plerique 13 ἡ κατὰ Dt: ἢ κατὰ R
16 ὁ κιθαρῳδός (sic) R: οἱ κιθαρῳδοὶ Dt 19 ἀπολ≡ο≡μένης D: ἀπολλωμένης R: ἀπολυομένης t 20 οὗτος Dt: οὕτως R 22 μίξιν καὶ D: μίξιν τὲ καὶ R: τὴν μίξιν καὶ t 23 τοῖς] γρ' ζῴου τοῦ μορίου mg. R
24 μορίοις om. D 25 λοιπῶν Dt: ἄλλων R 26 τῶν μορίων Dt: τοῦ μορίου R

λυσις ἢ καὶ τῶν λοιπῶν τῶν κατὰ τῆς ἁρμονίας εἰρημένων, μᾶλλον δὲ e 3r
τοῦ ἑνὸς τοῦ λέγοντος ἐκ τοῦ τὴν ψυχὴν ἁρμονίαν λέγειν συμβαίνειν
πολλὰς ψυχὰς ἔχειν τὸ ζῷον. εἰ γὰρ μὴ εἴη, φησίν, ἡ ψυχὴ ἁρμονία
ἀλλ' ἕτερόν τι τῆς μίξεως, διὰ τί τῆς μίξεως τῆς σαρκὸς φθειρομένης καὶ
5 ἡ τῶν λοιπῶν μορίων συμφθείρεται μῖξις; εἰ γὰρ τοῦτο, δόξειεν ἂν μία
μῖξις εἶναι πάντων τῶν μορίων καὶ οὐ πολλαί· διὰ τί γὰρ τῇ μιᾷ πᾶσαι
συμφθείρονται; οὕτω δὲ καὶ ἡ ψυχὴ μία ἔσται καὶ οὐ πολλαί, εἰς ὃ ἄτο-
πον ἀπάγεσθαι ἐδόκει ὁ λόγος ὁ λέγων τὴν ψυχὴν ἁρμονίαν εἶναι. ὥστε 35
εἰ μιᾶς μίξεως ἀναιρουμένης ἀναιρεῖται τὸ ζῷον, μία ἄρα καὶ ἡ ψυχὴ
10 ἁρμονία οὖσα. ἐξηγεῖται δὲ καὶ ἄλλως· εἰ μὴ ἔστιν ἁρμονία ἡ ψυχή,
διὰ τί ἅμα ἀναιρεῖται τῆς σαρκὸς ἀναιρεθείσης; εἶτα ὡς ἀπὸ ἄλλης ἀρχῆς
ὁμοίως δὲ καὶ τοῖς ἄλλοις μορίοις ζῴου ἀντὶ ⟨τοῦ⟩ καὶ τοῖς ἄλλοις μορίοις
συναναιρεῖται ἑκάστου ἀναιρουμένου. μόρια δὲ λαμβάνει τὰ ὁμοιομερῆ.
ὀστοῦν, σάρκα, νεῦρον, φλέβας καὶ τὰ λοιπά· τούτων γὰρ οὔτινος ἀναι-
15 ρεθέντος συναναιρεῖται τὸ ζῷον, οὐ μέντοι οὑτινοσοῦν τῶν ὀργανικῶν. 40
ἀναιρεῖσθαι δὲ λέγει οὐ τὸ ὑποκείμενον αὐτὸ τῶν ὁμοιομερῶν, ἀλλὰ τὸ
εἶδος· διὸ οὐκ εἶπεν ἀναιρουμένης σαρκός, ἀλλὰ τὸ σαρκὶ εἶναι.

p. 408a26 Πρὸς δὲ τούτοις εἴπερ μὴ ἕκαστον τῶν μορίων ψυχὴν
ἔχει, εἰ μὴ ἔστι ψυχὴ λόγος τῆς μίξεως, τί ἐστιν ὃ φθείρεται
20 τῆς ψυχῆς ἀπολειπούσης;

Ἑτέρως περὶ τὸ αὐτὸ ἀπορεῖ, μᾶλλον δὲ οὐ πάντῃ ἑτέρα αὕτη ἡ 45
ἀπορία τῆς πρὸ αὐτῆς. ἀλλ' ἀντιστρόφως ἔχει πρὸς ἐκείνην ἡ αὐτὴ οὖσα.
πρότερον μὲν γὰρ ἠπόρησε. διὰ τί τῆς συνθέσεως καὶ ἁρμονίας τοῦ σώ-
ματος φθειρομένης συνοίχεται ἡ ψυχή, εἴπερ μὴ ἔστιν ἁρμονία· νῦν δὲ
25 ἀνάπαλιν. διὰ τί τῆς ψυχῆς ἀπολειπούσης τὸ σῶμα ἡ ἁρμονία συμφθείρεται.
ἐκεῖ μὲν ἀπὸ τῆς ἁρμονίας ἀρξάμενος ἔληξεν εἰς τὴν ψυχήν, ἐν τούτῳ δὲ
ἀπὸ τῆς ψυχῆς εἰς τὴν ἁρμονίαν τοῦ σώματος. εἰ γὰρ μὴ ἔστι, φησίν,
ἡ ἁρμονία τοῦ σώματος ψυχή, διὰ τί ἀπολειπούσης τὸ σῶμα τῆς ψυχῆς 50
παραχρῆμα φθείρεται ἡ ἁρμονία; οὐκ ἄντικρυς δὲ οὕτως εἶπεν, λέγω
30 δὴ τὸ μὴ ἔστιν ἡ ἁρμονία τοῦ σώματος ψυχή. ἀλλὰ τὸ ἑπόμενον ἄτοπον
τῆς τοιαύτης δόξης, ὡς πρότερον ἔλαβεν· εἴπετο δὲ τῷ λέγειν ἁρμονίαν
τὴν ψυχὴν τὸ λέγειν καθ' ἕκαστον τῶν μορίων ψυχὴν εἶναι. εἰ οὖν μὴ

---

2 ante λέγειν add. εἶναι R συμβαίνει t 4 διὰ τί τῆς μίξεως om. D
12 ζῴου — μορίοις om. R τοῦ addidi 16 δὲ om. D 17 τὸ DR: τῷ t: fort. τοῦ 18 πρὸς δὲ D et Arist.: πρὸς Rt 19 ψυχὴ λόγος DR: ἡ ψυχὴ ὁ λόγος t et de an. codd. plerique: ἡ ψυχὴ λόγος de an. T 20 ἀπολειπούσης DR et Arist. vulg.: ἀπολιπούσης t et Arist. TVXy 21 Ἑτέρως περὶ Dt: ἕτερος πάλιν R 25 ἀπολειπούσης AR: ἀπολιπούσης Dt 26 ἔληξεν εἰς DR: ἔληξεν ἐπὶ t 28 ἀπολειπούσης D (ante corr.) R: ἀπολιπούσης t corr. D
29. 30 λέγω δὲ R 31 εἴπετο δὲ τὸ R 32 ψυχὴν εἶναι — μορίων (p. 153, 1) om. D

ἔστι, φησί, καθ' ἕκαστον τῶν μορίων ψυχή. τουτέστιν εἰ μὴ ἁρμονία ψυχή e 3r
ἐστιν· διὸ ἐπειδὴ ἥσθετο τῆς ἀσαφείας, ἀνέλαβε τὸν λόγον λέγων εἰ μὴ
ἔστιν ψυχὴ ὁ λόγος τῆς μίξεως, εἶτα ἐπάγει | τί ἐστιν ὃ φθεί- e 3v
ρεται τῆς ψυχῆς ἀπολειπούσης: ἀντὶ τοῦ φθειρομένου τοῦ ζῴου ἐν
5 τῇ ἀπολείψει τῆς ψυχῆς οὐδὲν ἄλλο ὁρῶμεν φθειρόμενον ἢ τὴν κρᾶσιν
καὶ τὴν ἁρμονίαν τοῦ σώματος· τὰ γὰρ κεκραμένα στοιχεῖα οὐ φθείρεται,
ἀλλ' ἔτι ἔστιν. οὐκοῦν ἡ ψυχή ἐστιν ἁρμονία, εἴ γε ἡ φθορὰ τῆς ψυχῆς
οὐδὲν ἄλλο ἢ τῆς ἁρμονίας τοῦ σώματος φθορὰν εἰργάσατο. ὁ μὲν οὖν
'Αριστοτέλης ἀπορήσας οὐκ ἐπήγαγε τὴν λύσιν ὡς καὶ δήλην οὖσαν καὶ 5
10 εἰρημένην πως ἐν τοῖς ἔμπροσθεν. λύσοι δ' ἂν αὐτὴν οὕτως, ὡς καὶ
ἄλλοτε εἴπομεν, ὅτι τά γε συγκείμενα καὶ ὁ λόγος τῆς μίξεως, ταὐτὸν δὲ
εἰπεῖν ἡ ἁρμονία, τὸν τῶν ὧν οὐκ ἄνευ λόγον ἔχουσι πρὸς τὴν ψυχήν·
οὐ γὰρ οἷόν τε μὴ τούτων ὄντων ὀργανικὸν εἶναι σῶμα. μὴ ὄντος δὲ ὀρ-
γανικοῦ σώματος ἀδύνατον εἶναι ἐν αὐτῷ τὴν ψυχήν, οὐ μέντοι γε
15 ἐκεῖνα ψυχή ἐστιν, ὡς οὐκ ἄνευ μὲν λίθων καὶ ξύλων οἰκία, οὐ μέντοι γε
λίθοι καὶ ξύλα ἡ οἰκία· καὶ ὥσπερ οὐκ ἄνευ μὲν τῆς διαφανείας τοῦ
ἀέρος ἐνεργεῖ τὸ φῶς, οὐ μὴν ταὐτόν ἐστι τῇ διαφανείᾳ τὸ φῶς. οὕτω 10
καὶ ἐπὶ ψυχῆς ἔχει καὶ τῆς ἁρμονίας τοῦ σώματος. διὰ τί μὲν οὖν τῆς
ἁρμονίας ἀναιρεθείσης ἀναιρεῖται καὶ ἡ ψυχή, μᾶλλον δὲ ἡ εἰς τὸ σῶμα
20 τῆς ψυχῆς ἐνέργεια, ὥσπερ καὶ τοῦ διαφανοῦς τοῦ ἀέρος ἀναιρεθέντος οὐ
τὸ φῶς ἀναιρεῖται, ἀλλ' ἡ τούτου εἰς τὸ διαφανὲς ἐνέργεια; δῆλον ὅτι
τὸν τῶν ὧν οὐκ ἄνευ λόγον ἐπέχει ἡ ἁρμονία πρὸς τὴν ἐνέργειαν τῆς
ψυχῆς. // πάλιν δ' αὖ καὶ τῆς ψυχῆς ἀπολειπούσης ἀπολείψει εὐθὺς καὶ ἡ
ἁρμονία, διότι τὸ συνέχον αὐτὴν καὶ προσανυφαῖνον ἀεὶ τὸ ἐλλιμπάνον τῶν 15
25 ἡρμοσμένων αὐτῆς ἐστιν. ὅτι δὲ οὐκ ἔστιν ἁρμονία ἡ ψυχὴ δέδεικται
διὰ πλειόνων. τὸ δὲ παρεῖναι τὸν κιθαρῳδὸν τῇ κιθάρᾳ καὶ τῆς ἁρμονίας
τῶν χορδῶν λυθείσης ὅμοιόν ἐστιν ὡς εἰ καὶ τὸν ἄμουσον παρεῖναι αὐτῇ
λέγοι τις ἢ καὶ ὅλως ἄψυχόν τι· οὐ γὰρ ὡς κιθαρῳδὸς καὶ σχέσιν ἔχων
πρὸς αὐτὴν πάρεστιν, ἀλλ' ὡς εἰ καὶ λίθος παρῇν· οὐδέποτε γὰρ κιθαρῳ-
30 δικῶς εἰς αὐτὴν ἐνήργησε μὴ ἡρμοσμένην, ὡς οὐδ' ἡ ψυχὴ εἰς τὸ σῶμα
μὴ ἡρμοσμένον. ὥστε μᾶλλον τὸ ὑπόδειγμα ἐγγίζει τῷ ἐπὶ ψυχῆς γινο- 20
μένῳ ἤπερ μάχεται· παρεῖναι γὰρ ἴσως καὶ τὴν ψυχὴν τῷ σώματί ποτε
καὶ μετὰ τὴν ἔξοδον οὐδὲν κωλύει, οὐ μὴν καὶ ἐνεργεῖν εἰς αὐτὸ ἐνδέχε-
ται, ὡς οὐδὲ τὸν κιθαρῳδὸν εἰς τὴν ἀνάρμοστον κιθάραν.

---

2 ἀνέλαβε Rt: ἔλαβε D 3. 4 φθείρεται ψυχῆς D 10 εἰρημένην Dt: ἡρμοσμένην R λύσοι Dt: λύσοις R 11 ὅτι τά γε Dt: τι τά τε R 12 τὸν τῶν ὧν Dt: τῶν τόνων R λόγον Rt: λόγων D 22 τὸν τῶν ὧν t: τῶν τῶν ὧν D: τῶν τόνων ut supra R ἄνευ ex ἂν εὖ correxisse videtur D 23 καὶ (post εὐθὺς) om. t 26 παρεῖναι scripsi: λέγειν παρεῖναι t: πν D: παρὰ A: λέγειν περὶ R 28 ἢ A: εἰ DRt 32 ἤπερ R 33 κωλύσει t

p. 408a30 Κατὰ συμβεβηκὸς δὲ κινεῖσθαι, καθάπερ εἴπομεν, ἔστι καὶ κινεῖν ἑαυτήν.

Ἀνελὼν τὸ καθ' αὑτὸ κινεῖσθαι τὴν ψυχήν, ὅπερ ἔλεγον καὶ Δημόκριτος καὶ Τίμαιος, ὁ μὲν κατ' εὐθεῖαν κινῶν, ὁ δὲ κύκλῳ, δείξας οὖν αὐτὸς ὅτι καθ' αὑτὴν ἀκίνητός ἐστι. νῦν φησιν ὅτι κατὰ συμβεβηκὸς ἑαυτὴν κινεῖν λέγοιτο ἂν μόνην τὴν κατὰ τόπον κίνησιν. ἐπειδὴ γὰρ κινεῖ μὲν αὐτὴ τὸ σῶμα, ἔστι δὲ ἐν αὐτῷ κινουμένου τοῦ σώματος, συγκινηθήσεται αὐτῷ, ὥστε κατὰ συμβεβηκὸς ἑαυτὴν κινεῖ τῷ τὸ σῶμα κινεῖν ἐν ᾧ ἐστι. καθ' αὑτὴν δὲ καὶ κατ' οὐσίαν οὔτε κινεῖται οὔτε ἐν τόπῳ ἐστίν, ἐπειδὴ καὶ ἀσώματος. τὴν οὖν κατὰ τόπον μόνον κίνησιν λέγοιτο ἂν κινεῖν ἑαυτὴν ἡ ψυχὴ κατὰ συμβεβηκός, ἄλλην δὲ οὐδεμίαν· οὔτε γὰρ ἀλλοιοῦται τοῦ σώματος ἀλλοιουμένου οὔτε αὔξεται ἢ μειοῦται. κατὰ συμβεβηκὸς δὲ κινεῖσθαι, καθάπερ εἴπομεν· εἶπεν γάρ, ὅτε πρὸς τὸν Τίμαιον ἀντέλεγεν, 'ἄδηλος δὲ καὶ τοῦ κύκλῳ φέρεσθαι τὸν οὐρανὸν ἡ αἰτία· οὔτε γὰρ τῆς ψυχῆς ἡ οὐσία αἰτία τοῦ κύκλῳ φέρεσθαι τὸν οὐρανόν, ἀλλὰ κατὰ συμβεβηκός'.

p. 408a34 Εὐλογώτερον ἀπορήσειεν ἄν τις περὶ αὐτῆς ὡς κινουμένης εἰς τὰ τοιαῦτα ἀποβλέψας. φαμὲν γὰρ τὴν ψυχὴν λυπεῖσθαι, χαίρειν, θαρρεῖν, φοβεῖσθαι.

Ἀνελὼν τὸ κατὰ τόπον αὐτὴν κινεῖσθαι καθ' αὑτήν (εἰ γὰρ κινεῖται, φησί, κατὰ τόπον καθ' αὑτήν, καὶ ἐν τόπῳ ἐστίν· εἰ δὲ τοῦτο, καὶ σῶμα) ἀνελὼν οὖν τοῦτο, νῦν ἐπειδὴ δοκεῖ μάλιστα τὰς ἀλλοιωτικὰς κινήσεις κινεῖσθαι (ἀλλοιοῦται γὰρ κατὰ φόβον καὶ θυμὸν καὶ τὰ ἄλλα πάθη), νῦν πρὸς τοῦτο ἐνίσταται. κατασκευάζει οὖν τὸ δοκεῖν οὕτω κινεῖσθαι τὴν ψυχὴν τοιῶσδε· ἡ ψυχὴ λυπεῖται καὶ χαίρει καὶ φοβεῖται καὶ τὰ ὅμοια· ταῦτα δὲ κινήσεις· ἡ ψυχὴ ἄρα κινεῖται. τούτων δὲ τῶν προτάσεων τῇ μὲν μείζονι συγχωρεῖ τῇ λεγούσῃ φόβον καὶ θυμὸν καὶ τὰ λοιπὰ κινήσεις εἶναι, τῇ δὲ ἐλάττονι οὐκέτι· οὐ γὰρ δίδωσι τὴν ψυχὴν καθ' αὑτὴν ταῦτα πάσχειν τὰ πάθη, ἀλλ' εἶναι τοῦ συναμφοτέρου· τοῦ γὰρ ζῴου ἐστὶ ταῦτα τὰ πάθη κατὰ τὴν ψυχήν. πιστοῦται δὲ τοῦτο ἐκ τῶν σαφεστέρων. ὥσπερ γάρ, φησί, τὸ ὑφαίνειν ἢ οἰκοδομεῖν οὐκ ἂν εὐλόγως εἴποιμεν τῆς ψυχῆς ἔργα, ἀλλ' οὔτε μὴν τοῦ σώματος, ἀλλὰ τοῦ ζῴου τῷ σώματι, οὕτω καὶ ἐπὶ τοῦ ὀργίζεσθαι καὶ φοβεῖσθαι καὶ τῶν ὁμοίων λέγομεν τοῦ ζῴου εἶναι ταῦτα τῇ ψυχῇ. τὸ γὰρ ζῷόν ἐστι τὸ ἐκεῖ μὲν κατὰ τὸ σῶμα ὑφαῖνον

3 καθ' αὑτὸν D 4 κύκλῳ Dt: κατὰ κύκλον R 7 αὐτὴ A: αὕτη DRt
8 κινεῖ τῷ τὸ ADt: κινεῖν τῷ R 10 μόνην R 15 αἰτία (post οὐσία) DR: αἰτίου t 17 post εὐλογώτερον add. δὲ t Arist. 18 τὴν Dt Arist.: αὐτὴν τὴν R
20 αὐτὴν κινεῖσθαι — τόπον (21) om. D 24 οὕτω] οὐ τὸ R 31 εἴπωμεν R

καὶ οἰκοδομοῦν, ἐνταῦθα δὲ κατὰ τὴν ψυχὴν ὀργιζόμενον καὶ λυπούμενον. e 3v
ὥστε καὶ εἰ συγχωρηθεῖεν κινήσεις εἶναι αὐτῆς, οὐκ εἰσι τῆς ψυχῆς καθ' αὑτήν, ἀλλὰ τοῦ συναμφοτέρου· ζητοῦμεν δὲ ἡμεῖς εἰ αὐτὴ καθ' αὑτὴν κινεῖται ἡ ψυχή. ζητήσειε δ' ἄν τις πῶς καὶ τὴν διάνοιάν φησι τοῦ συναμφοτέρου. τὰ μὲν γὰρ ἄλλα τε τοῦ ἀλόγου μέρους ὄντα τῆς ψυχῆς, ὅπερ οὐκ ἔστι σώματος χωριστόν, ἀλλ' εἶδός ἐστι τοῦ ἐμψύχου σώματος ὡς ἐν ὕλῃ τῷ σώματι ὂν ἀχώριστον εἶδος· εἰ τοίνυν μηδὲ εἶναι καθ' αὑτὸ δύναται, εἰκότως ἄρα οὐδεμία αὐτοῦ ἐνέργεια μόνου λέγεται, ἀλλὰ τοῦ συναμφοτέρου· τὸ μέντοι διανοεῖσθαι τῆς λογικῆς ἐστι ψυχῆς, ἥτις χωριστή ἐστι. πῶς οὖν καὶ τοῦτο | τοῦ συναμφοτέρου: φαμὲν οὖν ὅτι e 4r
ἔξω σώματος οὖσα ἡ λογικὴ ψυχὴ καὶ κεχωρισμένη τῆς πρὸς αὐτὸ σχέσεως διανοίᾳ οὐ κέχρηται (οὐ γὰρ ζητεῖ καὶ εὑρίσκει οὐδὲ διὰ προτάσεων πρόεισιν ἐπὶ τὰ συμπεράσματα), ἀλλὰ νοῦς οὖσα καθαρὸς δίχα ζητήσεως ἐπιβάλλει τοῖς πράγμασιν, ἅτε δὴ τοὺς λόγους πάντων ἔχουσα ἐν ἑαυτῇ, καὶ μὴ ἐπιθολουμένη σώματι προβάλλει τούτους ἀχρόνως, ὅτε βούλεται· ἀγνοίας γὰρ αὐτῇ αἴτιον τὸ σῶμα, καὶ διὰ τοῦτο ζητήσεως καὶ εὑρέσεως. ἐπειδὴ γὰρ οὐκ ἄσχετός ἐστιν ὁ δεσμὸς αὐτῆς ὁ πρὸς αὐτὸ ἀλλὰ συμπαθής, διαβαίνει γοῦν καὶ ἐκ τῶν τῆς ψυχῆς κινημάτων ἴχνη πρὸς τὸ σῶμα καὶ ἐκ τοῦ σώματος πρὸς τὴν ψυχήν. ἄλλο γοῦν τὸ εἶδος τοῦ διανοουμένου καὶ ἄλλο τὸ τοῦ λυπουμένου, καὶ ἐπὶ τῶν λοιπῶν, ὡς εἶπον, ἐμφαίνεταί τι ἴχνος ἐν τῷ σώματι τῆς κινήσεως τῆς ψυχῆς, ὅθεν καὶ οἱ φυσιογνώμονες ἐκ τῆς τοῦ σώματος ἰδέας τεκμαίρονται τὰς τῆς ψυχῆς διαθέσεις. ὅτι δὲ καὶ ἐκ τῶν παθῶν τοῦ σώματος διαβαίνει τι καὶ πρὸς τὴν ψυχήν. πρόδηλον· ἀλγοῦντι γὰρ συναλγεῖ, καὶ εὐθυμοῦντι συνήδεται. ὅτι δὲ καὶ ἐμποδίζει αὐτῇ τὸ σῶμα τοιῶσδε ἢ τοιῶσδε διακείμενον ἢ οὐκ ἐμποδίζει, οὐδεὶς ἀγνοεῖ. ὅπερ οὐκ ἂν ἐγεγόνει τὸ ἐμποδίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ, εἰ μὴ διέβαινεν ἀπὸ τῆς πρὸς αὐτὸ σχέσεως συμπάθειά τις ἐπὶ τὴν ψυχὴν οὕτως, ὡς τοῦ ἐγκεφάλου τινὸς μὲν κοιλίας παθούσης τῆς ὄπισθεν τὸ μνημονευτικὸν πάσχειν, ἄλλης δὲ αὐτὸ τὸ λογιστικόν, καὶ τοιῶσδε μὲν διακειμένου εὐφάνταστον εἶναι τὴν ψυχήν, τοιῶσδε δυσφάνταστον. καὶ αἱ διάφοροι δὲ τῶν ψυχῶν ἐπιτηδειότητες καὶ τὸ εἰς τάδε ἢ τάδε τὰ πάθη ἐπιρρεπῶς ἔχειν ἐκ τῆς πρὸς τὸ σῶμα σχέσεώς τε καὶ συμπαθείας παραγίνεται· ὅθεν καὶ νενομίκασί τινες 'ταῖς τοῦ σώματος κράσεσιν ἕπεσθαι τὰς τῆς ψυχῆς δυνάμεις'. διὰ τοῦτο οὖν καὶ τὴν διάνοιαν ἀτελῆ οὖσαν νοῦν τοῦ συναμφοτέρου φησὶν εἶναι.

---

1 οἰκοδομῶν R τὴν ψυχὴν R: τὴν om. Dt 4 ζητήσει D 5 τῆς om. R 8 μόνον t 10 καὶ τοῦτο Dt: καὶ om. R 11 καὶ om. R 12 διανοίᾳ ex διάνοιαν corr. D¹ 15 προβάλλει A: προσβάλλει DRt τούτους AR: τούτοις Dt 16 ζητήσεως D: καὶ ζητήσεως A: δεῖται ζητήσεως Rt 18 γοῦν om. R 19 τὸ (ante σῶμα) om. R γοῦν ADt: γὰρ R 20 τὸ om. R 21 τι ADt: τὸ R 23 καὶ om. R 25 αὐτῇ D²t: αὐτὴ D¹: αὕτη R τοιῶσδε ἢ τοιῶσδε t: τοιῶς ἢ τοιῶς DR: τοιὼς utrobique A² 26 ἢ οὐκ ἐμποδίζει om. A Suid. s. v. Πάθος οὐδ' ἀγνοεῖ R 26 τῷ R 27 ἀπὸ τῆς R: ἀ[illegible]ῆς A: ὑπὸ τῆς Dt 29 ἄλλως R 30 τοιῶσδε (post καὶ) R: τοιῶς ADt 33 τινες] Galenus IV 767 sqq. Kühn

p. 408b5 Τὸ δ' οὐκ ἔστιν ἀναγκαῖον· εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ λυπεῖσθαι ἢ χαίρειν ἢ διανοεῖσθαι κινήσεις εἰσί, καὶ ἕκαστον κινεῖσθαί τι. c 4r

Οὐκ ἔστι, φησίν, ἐκ τῶν εἰρημένων ἀναγκαῖον τὸ λέγειν κινεῖσθαι τὴν ψυχήν. πῶς δὲ οὐκ ἔστιν ἀναγκαῖον, κατασκευάζει διὰ τῶν ἑξῆς, διδοὺς κατὰ συγχώρησιν κινήσεις εἶναι τὰ εἰρημένα· τοῦτο γὰρ ἐμφαίνει διὰ τοῦ εἰ γὰρ καὶ ὅτι μάλιστα, ἀντὶ τοῦ εἰ καὶ τὰ μάλιστα συγχωρήσομεν, καὶ ἔτι ἀνωτέρω ἐν τῷ εἰπεῖν 'ταῦτα δὲ πάντα κινήσεις εἶναι δοκοῦσιν'. ἔχει δὲ ἀσάφειαν τὸ ῥητόν, ὅτι τὴν ἀπόδοσιν τῆς διανοίας μακρὰν ἐποίησε χρησάμενος μεταξυλογίᾳ· ἡ γὰρ ἀπόδοσίς ἐστι τῶν εἰρημένων ἐν τῷ 'τὸ δὲ λέγειν ὀργίζεσθαι αὐτήν'. ἔστι δὲ ὁ δέ ὡς πρὸς τὴν σύνταξιν περιττός· διὰ δὲ τὸ πολλῇ χρήσασθαι μεταξυλογίᾳ ἐπαναλαμβάνων τὸ νόημα ἐχρήσατο ἀρκτικῷ τῷ δέ συνδέσμῳ. ἔχει οὖν ἡ σύνταξις τῆς λέξεως οὕτως· εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ λυπεῖσθαι ἢ χαίρειν ἢ διανοεῖσθαι κινήσεις εἰσί, καὶ ἕκαστον κινεῖσθαί τι, τὸ λέγειν ὀργίζεσθαι αὐτὴν ὅμοιον, καὶ τὰ ἑξῆς. ὡς γὰρ τὸ ὑφαίνειν, φησίν, ἢ οἰκοδομεῖν οὐκ ἄν τις εἴποι ψυχῆς εἶναι, ἀλλὰ τοῦ ἀνθρώπου τῷ σώματι, οὕτω τὸ ἐλεεῖν, τὸ μανθάνειν, τὸ ὀργίζεσθαι καὶ τὰ ὅμοια τοῦ ἀνθρώπου εἰσὶ ἔργα τῇ ψυχῇ· ὥστε εἰ καὶ κινήσεις ταῦτα, οὐκ εἰσι τῆς ψυχῆς αὐτῆς καθ' αὑτὴν κινήσεις, ἀλλὰ τοῦ συναμφοτέρου διὰ τῆς ψυχῆς· τὸ δὲ ζητούμενον, εἰ αὐτὴ καθ' αὑτὴν ἡ ψυχὴ κινεῖται. αὕτη μὲν οὖν ἡ σύνταξις τοῦ ῥητοῦ· τὰ δὲ λοιπὰ ἐν μεταξυλογίᾳ εἴρηται. εἰπὼν γὰρ ὅτι εἰ καὶ τὸ λυπεῖσθαι καὶ χαίρειν καὶ τὰ τοιαῦτα κινήσεις εἰσί, πῶς εἰσι κινήσεις ἐπεξηγήσατο· τὸ γὰρ ὀργίζεσθαι, φησίν, ἢ φοβεῖσθαι καὶ τὰ τοιαῦτα κινήσεις εἰσὶν ὑπὸ τῆς ψυχῆς γινόμεναι. ὅτι δὲ κινήσεις εἰσί, προφανές· ἕκαστον γὰρ αὐτῶν γίνεται τῆς καρδίας τοιῶσδε κινουμένης. ἐν μὲν γὰρ τῇ ὀργῇ ζέει περικάρδιον αἷμα καὶ περὶ τὴν ἐπιφάνειαν γίνεται, ἐν δὲ τῷ φοβεῖσθαι ἐν τῷ βάθει συστέλλεται· καὶ αὐτὴ δὲ τοιῶσδε ἢ τοιῶσδε πάλλει. οὐ μόνον δὲ τὰ τοιαῦτα γίνονται ὑπὸ τῆς ψυχῆς κατά τινα κίνησιν, ἀλλὰ καὶ τὸ διανοεῖσθαι αὐτὸ οὐκ ἄνευ τοιαύτης τινὸς γίνεται κινήσεως, τοῦ ἐγκεφάλου ἤ τινος ἄλλου μορίου κίνησίν τινα ὑπομένοντος· ὅθεν καὶ τὰ πρόσωπα τῶν διανοουμένων ἀλλοιότερα γίνεται.

p. 408b9 Τούτων δὲ συμβαίνει τὰ μὲν κατὰ φοράν τινων κινουμένων, τὰ δὲ κατὰ ἀλλοίωσιν.

Τούτων, τοῦ ὀργίζεσθαι, τοῦ φοβεῖσθαι, τοῦ διανοεῖσθαι καὶ τῶν λοιπῶν, τὰ μὲν συμβαίνει κινουμένων τινῶν κατὰ φοράν, τὰ δὲ κατὰ ἀλλοίωσιν,

3 κινεῖσθαί τι—ἕκαστον (15) om. D κινεῖσθαί τι R (cf. D v. 15) de an. V: κινεῖσθαι τούτων t de an. vulg. 12 περιττός R: περιττῶς t 15 κινεῖσθαί τι D: τι om. Rt 19 εἰ DR: om. t 25 τῆς om. R 27 φοβεῖσθαι A: φοβεῖν Dt: φόβῳ R 32 ἀλλοιότερα R: ἀλλοιώτερα Dt

τινὰ δὲ καὶ κατὰ φορὰν καὶ κατὰ ἀλλοίωσιν. τὸ μὲν γὰρ ὀργίζεσθαι συμ- e 4r
βαίνει κατ' ἄμφω. ἥ τε γὰρ καρδία πάλλει, ὅπερ ἐστὶ κατὰ τόπον κίνησις,
καὶ ἀλλοιοῦται τὸ περικάρδιον αἷμα· ζέσιν γάρ φαμεν εἶναι τοῦ περὶ τὴν
καρδίαν αἵματος, ἡ δὲ ζέσις ἀλλοίωσις. τὸ δὲ ἐλεεῖν ἢ φοβεῖσθαι ἢ χαί-
5 ρειν ἀλλοιώσεις τινές εἰσιν, ἴσως δὲ καὶ κατὰ τόπον κινήσεις, χύσεώς τινος
ἢ συστολῆς γινομένης τοῦ αἵματος. τὸ δὲ διανοεῖσθαι ἀλλοίωσίς τις καὶ 50
τοῦ ἐγκεφάλου καὶ τοῦ ἄλλου σώματος, μάλιστα τοῦ προσώπου· ἀλλ' αὕτη
μὲν ἕπεται, ἡ δὲ τοῦ ἐγκεφάλου καὶ ὡς αἴτιόν τί ἐστιν, ὅθεν καὶ ἡ ποιὰ
τοῦ ἐγκεφάλου κρᾶσις τοίους ἢ τοίους περὶ τὰς λογικὰς ποιεῖ ἐνεργείας.
10 τὸ δὲ διανοεῖσθαι, φησίν, ἢ τοιοῦτο ἢ ἴσως ἕτερόν τι. ἢ τοιοῦτο,
τουτέστι κίνησις κατὰ τόπον· ταύτην γὰρ ἔλεγε κινεῖσθαι τὴν καρδίαν ἐν
τῇ ὀργῇ παλλομένην· ἢ εἰ μὴ τοῦτό ἐστιν τὸ διανοεῖσθαι, ἀλλ' οὖν τοιοῦτό
τι, τουτέστιν ἀλλοίωσις. ποῖαι δὲ καὶ πῶς, ἑτέρου λόγου, τουτέστι |
ποῖαί εἰσι κινήσεις ἑκάστου μορίου ἢ ἔργου τῆς ψυχῆς, οἷον ποῖαι κινή- e 4v
15 σεις συμβαίνουσιν ἐν τῷ ὀργίζεσθαι, πότερον ἡ κατὰ τόπον ἢ ἡ κατὰ
ἀλλοίωσιν, ὁμοίως καὶ ἐπὶ τοῦ λυπεῖσθαι ἢ χαίρειν ἢ διανοεῖσθαι, ἢ πῶς
αὗται γίνονται, τουτέστι τίνος μορίου συγκειμένου τῷ ψυχικῷ πάθει, οἷον
εἰ τῇ μὲν ἐπιθυμίᾳ τοῦ ἥπατος, τῷ δὲ θυμῷ τῆς καρδίας, καὶ ἄλλῳ
ἄλλου τινός, καὶ ποίῳ τρόπῳ τοῦτο κινεῖται, τουτέστι τί πάσχον ὑπὸ τῆς 5
20 κινήσεως τοῦ πάθους τοῦ ψυχικοῦ, ἑτέρου ἂν εἴη τὰ τοιαῦτα λόγου. εἴη
δ' ἂν ἤτοι τῆς Περὶ μορίων ζῴων πραγματείας ἢ καὶ Περὶ τῆς κινή-
σεως ζῴων.

p. 408b15 Τοῦτο δ' οὐχ ὡς ἐν ἐκείνῃ τῆς κινήσεως οὔσης, ἀλλ' ὁτὲ μὲν μέχρις ἐκείνης, ὁτὲ δὲ ἀπ' ἐκείνης.

25 Ἐπειδὴ εἶπεν ὅτι δεῖ λέγειν τὸν ἄνθρωπον τῇ ψυχῇ κινεῖσθαι, οὐχ
οὕτω, φησίν, εἶπον ὡς ἐν αὐτῇ καθ' αὑτὴν οὔσης τῆς κινήσεως, ἀλλ' ὅτι 10
ποτὲ μὲν μέχρις ἐκείνης γίνεται ἡ κίνησις ἀρξαμένη ἀπὸ τοῦ σώματος,
ὥσπερ ἔχει ἐπὶ τῆς αἰσθήσεως. ἀπὸ γὰρ τῶν αἰσθητῶν ἡ ἀρχὴ γίνεται
ἐπὶ τὰ αἰσθητήρια, εἶτα τούτων διακρινομένων ἢ συγκρινομένων καὶ τοιοῦ-
30 τό τι πάθος ἐκ τῶν αἰσθητῶν πασχόντων ἐπὶ τὴν δύναμιν τὸ πάθος
διαβαίνει, καὶ οὕτως ἐπὶ αὐτὴν τὴν ψυχήν, ᾗ καὶ γινώσκει καὶ κρίνει τὸ
πάθος. γίνεται δέ τις κίνησις τοιαύτη καὶ περὶ τὰ ἄψυχα· τὰ γοῦν λεῖα
τῶν σωμάτων καὶ ἐπ' εὐθείας τισὶ κείμενα ἐλλάμπεται ὑπὸ τῶν ἐν τοῖς 15
ὁρατοῖς χρωμάτων, ὡς τὰ κάτοπτρα, ἀλλ' οὐκ αἰσθάνεται, ὅτι μὴ ἔχει ἐν

---

1 τινὰ — ἀλλοίωσιν om. D 3. 4 περὶ τὴν καρδίαν DR: περικαρδίου t 5 τινος om. R 7 τοῦ ἐγκεφάλου καὶ om. R 8 ἡ δὲ A: ἡ διὰ Dt: διὰ R ἡ ποιὰ Dt: ἡ om. AR 10 ἢ τοιοῦτο utrobique t ἢ ἴσως libri, ut de an. SV: ἴσως ἢ de an. vulg. τι om. R 13 ποῖαι] ποῖα Arist. ἕτερός ἐστι λόγος Arist. 15 πότερον R: πότερον ἢ Dt 16 ὁμοίως] ὁμοίωσις R 17 τίνος Dt: ποίου R 19 τοῦτο] τουτὶ R τί om. R 23 δ' οὐχ DR: δὲ μὴ t Arist. οὔσης Dt de an. codd. plerique: om. R et de an. E 31 ἢ DR: ἢ t

αὐτοῖς ψυχὴν τὸ πάθος κρίνουσαν. αἰσθάνεται δὲ ὅσα ἔχει ψυχήν, ἐφ' ἣν e 4v
τὸ ἐν αὐτοῖς γινόμενον πάθος ἀναπέμπεται. τῷ οὖν μέχρις ἐκείνης τὸ
πάθος διαδίδοσθαι ἐπὶ τῶν αἰσθήσεων λεγόμεθα τῇ ψυχῇ κινεῖσθαι, ὅτι
διά τε τὴν ψυχὴν τὸ ζῷον αἰσθάνεται καὶ μέχρις αὐτῆς διαβαίνει τὸ πά-
5 θος. ἡ μέντοι ἀνάμνησις ἀρξαμένη ἀπὸ τῆς ψυχῆς διαβαίνει καὶ ἐπὶ
τὸ ἐζωωμένον σῶμα. ἀναμνησθέντες γὰρ φοβεροῦ τινος ἡμῖν γενομένου 20
ὠχριάσαμεν πολλάκις καὶ τοῦ πλοῦ ἀναμνησθέντες ἐναυτιάσαμεν. πῶς δὲ
λέγομεν ἀπὸ τῆς ψυχῆς ἄρξασθαι τὴν κίνησιν ἐπὶ τῆς ἀναμνήσεως; οὐχ
ὡς ἐκείνης αὐτῆς καθ' αὑτὴν ἀναμιμνησκομένης, ἀλλ' ὥσπερ ἐπὶ τῶν αἰ-
10 σθήσεων εἴπομεν ὅτι ἀρξαμένη ἡ κίνησις ἐκ τῶν αἰσθητῶν διέβη μέχρις
ἐκείνου, ἐν ᾧ ἡ κριτικὴ καὶ αἰσθητικὴ δύναμις, τοῦτο δέ ἐστι τὸ πνεῦμα,
οὕτω καὶ ἐπὶ τῆς ἀναμνήσεως λέγομεν ὅτι ἀπὸ τοῦ πνεύματος, ἐν ᾧ ἡ
ψυχή, ἡ ἀρχὴ τῆς κατὰ τὴν ἀνάμνησιν κινήσεως γέγονεν ἀνάπαλιν ἢ 25
ἐπὶ τῆς αἰσθήσεως· εἰς ὃ γὰρ τελευτᾷ ἡ αἴσθησις, ἐκεῖθεν ἡ ἀρχὴ τῆς
15 ἀναμνήσεως. ἡ γὰρ ἀνάμνησις φαντάσματός ἐστιν εὕρεσις, ὁπότε ἐγένετο
ἐν τῷ πνεύματι· ἐν τούτῳ γὰρ ἐγγίνεται τὰ φαντάσματα, ἐν ᾧ καὶ ἡ
αἰσθητικὴ ψυχὴ ἵδρυται. ἀπὸ τούτων οὖν τῶν ἐν τῷ πνεύματι, ἐν ᾧ
ἐστιν ἡ ψυχή, ἐγκαταλειμμάτων, ἅπερ φαντάσματα καλοῦμεν, ἅπερ ἐγκατα-
λείμματα ἐκ τῶν κατὰ τὰς αἰσθήσεις ἀντιλήψεων ἔσχεν, ἀπὸ τούτων ἡ
20 ἀρχὴ τῶν κατὰ τὴν ἀνάμνησιν κινήσεων γίνεται. ἐπιβάλλουσα οὖν πάλιν 30
τῷ φαντάσματι ᾧ πρὶν ἔσχε. τουτέστι τῷ ἐγγενομένῳ πρότερον ἐν τῷ
πνεύματι τύπῳ, ἀναμιμνήσκεται καὶ δι' οὗ αἰσθητηρίου ἥσθετο αὐτοῦ,
καὶ οὕτως συνδιατίθεται τῷ αἰσθητηρίῳ τὸ σῶμα. οἷον ἡ μὲν αἴσθησις
ἀπὸ τωνδί. ὡς ἐπὶ παραδείγματος ὁ λόγος· ἀπὸ τωνδὶ οἷον τῶν αἰ-
25 σθητῶν ἔχει τὴν ἀρχὴν τῆς κινήσεως. ἡ δὲ ἀνάμνησις ἀπ' ἐκείνης
ἐπὶ τὰς ἐν τοῖς αἰσθητηρίοις κινήσεις ἢ μονάς. τὸ ἢ μονὰς
προσέθηκεν, ἐπειδὴ οὐχ ὥσπερ. ἡνίκα αἰσθανόμεθα. ἀνάγκη κινεῖσθαι τὰ
αἰσθητήρια, εἶτα οὕτω τὸ πάθος ἐπὶ τὴν ψυχὴν διαβαίνειν, οὕτω καὶ ὅτε 35
ἀναμιμνησκόμεθα. πάντως δεῖ κινηθῆναι τὸ αἰσθητήριον ἐκεῖνο δι' οὗ τὸ
30 πρὶν τὴν κίνησιν ταύτην ἔσχομεν. ἀλλὰ ποτὲ μὲν γίνεται τοῦτο ὡς ἐφ' ὧν
παρεθέμεθα παραδειγμάτων. ποτὲ δὲ οὔ· οὐ γὰρ πάντως συγκινηθήσεται
τῇ ἀναμνήσει τὸ αἰσθητήριον. ἀλλὰ καὶ ἠρεμούντων αὐτῶν ἀναμιμνησκό-
μεθα, ἐννοήσαντες μόνον ὅτι διὰ τούτου τοῦ αἰσθητηρίου αὕτη ἡ ἀντίληψις
ἡμῖν ἐγένετο.

---

1 αὐτοῖς t: αὐτῷ D: αὐτοῖς R 5. 6 ἐπὶ τὸ Rt: ἐπὶ τῶ D 8 οὐχ DRt: ἢ οὐχ A Suid. s. v. Ἀνάμνησις 9 αὐτῆς Dt: αὐτὴν R 13 ἀνάπαλιν ἢ A Suid.: ἢ om. DRt 14 τελευτᾷ A Suid.: τελευταία DRt 15 ante ἐστιν add. τινος t 16 ἐγγίνεται Dt: γίνεται A: ἐγίνετο R καὶ ἡ AR: om. Dt 17 οὖν om. t 20 ἐπιβάλλουσαν t 23 συνδιατίθεται AR: οὖν διατίθεται Dt 26 ἢ (post κινήσεις) DR: ἡ t μόνας utrobique R τὸ ἢ R: τὸ δὲ ἢ Dt 27 αἰσθανώμεθα t 34 ἐγένετο AR: ἐγίνετο Dt

p. 408ᵇ18 Ὁ δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις οὖσα, καὶ οὐ e 4v
φθείρεσθαι· μάλιστα γὰρ ἂν ἐφθείρετο ὑπὸ τῆς ἐν τῷ γήρᾳ
ἀμαυρώσεως.

Δείξας ὅτι οὐ κινεῖται καθ' αὑτὴν ἡ ψυχὴ κατὰ τόπον, εἶτα ζητήσας
5 ὅτι μάλιστ' ἂν δόξειαν αἱ ἀλλοιωτικαὶ κινήσεις τῆς ψυχῆς εἶναι, θυμὸς
καὶ ἐπιθυμία καὶ φόβος καὶ τὰ ὅμοια, εἶτα δείξας ὅτι κἂν συγχωρηθεῖεν
εἶναι κινήσεις αὗται, τοῦ συναμφοτέρου εἰσὶ καὶ οὐ τῆς ψυχῆς, ἀκολούθως
μετάγει τὸν λόγον καὶ ἐπὶ τὸν νοῦν, καὶ ἄντικρυς ἀθάνατον αὐτόν φησιν 45
εἶναι./ διὸ καὶ ὁ Ἀλέξανδρος ἀντιβλέψαι μὴ δυνάμενος πρὸς τὰ προφανῶς
10 ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα, ὁμολογεῖ μὲν ἑκὼν καὶ ἄκων τὸν νοῦν
ἀθάνατον εἶναι, ἐπειδὴ μὴ εὗρεν ἄλλην ἐξήγησιν τῷ ῥητῷ ἁρμόζουσαν
σύμφωνον τῷ ἑαυτοῦ σκοπῷ, πολλαχοῦ μέντοι μετ' ἐνδοιασμοῦ τινος τὸν
λόγον ποιεῖται. καὶ ἐνταῦθα μὲν ὁμολογεῖ ἀθάνατον εἶναι λέγειν τὸν νοῦν
τὸν Ἀριστοτέλη, βραχὺ δὲ προελθὼν ἔτι τῆς συνεχείας οὔσης τοῦ λόγου
15 ἐντυγχάνων τῷ ῥητῷ τῷ λέγοντι 'ὁ δὲ νοῦς ἴσως θεῖόν τε καὶ ἀπαθές 50
ἐστι', περὶ τοῦ θείου φησὶ νοῦ τὸν λόγον εἶναι. καίτοι εἰ περὶ ἐκείνου
ἔλεγε, διὰ τί προσέθηκε τὸ ἴσως; εἰσόμεθα δὲ ἀκριβέστερον ἐκεῖσε ἐλ-
θόντες. ἔγραψε δὲ καὶ Περὶ ψυχῆς ἴδιον βιβλίον ὁ αὐτὸς οὗτος Ἀλέξαν-
δρος, ἐν ᾧ φησιν ὅτι δύο τούτων ὄντων ἐν τοῖς οὖσιν, ὕλης καὶ εἴδους,
20 ἕκαστον κατὰ τὸ ἑαυτοῦ εἶδος χαρακτηρίζεται· ἡ γὰρ ὕλη κοινῶς ὑπέστρω-
ται πᾶσιν. οὐκοῦν καὶ ὁ ἄνθρωπος κατὰ τὸ εἶδος τὸ ἑαυτοῦ χαρακτηρίζε-
ται, τοῦτο δέ ἐστιν ἡ λογικὴ ψυχή. ἀλλὰ μὴν ἕκαστον τῶν εἰδῶν φθαρ-
τόν ἐστι καὶ ἀχώριστον τῆς ὕλης· καὶ ἡ λο|γικὴ ἄρα ψυχή. / ἀλλά e 5r
φαμεν ὅτι τῶν εἰδῶν τὰ μέν ἐστιν ἀχώριστα τῆς ὕλης, τὰ δὲ χωριστά·
25 χωριστὸν δὲ καὶ ἡ λογικὴ ψυχή. διόπερ καὶ ὁ Ἀριστοτέλης ὁρισάμενος
τὴν ψυχήν, καίτοι οὐκ ἰδίᾳ τὴν λογικὴν ἀλλ' ἁπλῶς πᾶσαν, εἰπὼν
ἐντελέχειαν εἶναι σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος,
προστίθησιν 'ἄδηλον δὲ πῶς ἐντελέχεια, πότερον ὡς ἀχώριστος ἢ ὡς
πλωτὴρ πλοίου'. οἶδεν ἄρα καὶ εἶδος χωριστόν. ὅτι δὲ καὶ ἐνταῦθα 5
30 σαφῶς περὶ τοῦ ἀνθρωπίνου νοῦ διαλέγεται, σκόπει ἐκ τῆς λέξεως. ὁ δὲ
νοῦς, φησίν, ἔοικεν ἐγγίνεσθαι οὐσία τις οὖσα καὶ οὐ φθείρεσθαι.
καίτοι τίς ἂν τὸν θεῖον νοῦν οὐσιωδῶς ἐν ἡμῖν ἐγγίνεσθαι ὑπονοήσειε;
τίς δ' ἂν φθαρτὸν εἶναι τὸν θεῖον νοῦν τοπάσειεν; ἔοικε γάρ, φησίν, οὐ

---

1 οὖσα om. D 2 ἂν ἐφθείρετο DR: ἐφθείρετ' ἄν t et Arist. 5 μάλιστ' ἂν Rt: μάλιστα δ' ἂν D δόξειαν D: δόξειεν Rt 6 καὶ (ante ἐπιθυμία) om. D
10 λεγόμενα Dt: εἰρημένα R 11 ἐπεὶ R 15 ὁ δὲ νοῦς ἴσως R, cf. de an. p. 408ᵇ29: ὁ δὲ om. Dt 17 τὸ ἴσως R: τὸ om. Dt 18 ἴδιον om. R
19 φησιν] non ipsa verba Alexandri affert; cf. Alex. de an. p. 15, 26 sqq. 17, 9 sqq. Bruns 20 post ἕκαστον add. γὰρ R 26 post πᾶσαν add. καὶ Rt 28 προστίθησιν] cf. de an. p. 413ᵃ8 ἄδηλον R: δῆλον Dt 30 post σκόπει add. καὶ R
31 οὖσα om. D 32 οὐσιωδῶς R: οὐσιοδῶς Dt 33 φησὶν γὰρ coll. D

φθείρεσθαι. εἶτα καὶ τὸ ἐναργέστερον· μάλιστα γὰρ ἂν ἐφθείρετο e 5r
ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως. τί τούτου σαφέστερον ὡς περὶ
τοῦ ἡμετέρου νοῦ ὁ λόγος; προελθὼν δ' ὀλίγον τὸ τοῦ νοῦ ὄνομα εἰς τὸ
τῆς ψυχῆς μεταλαμβάνει. 'ὥστε τὸ γῆρας', φησίν, 'οὐ τῷ τὴν ψυχὴν πε- 10
5 πονθέναι τι, ἀλλ' ἐν ᾧ, καθάπερ ἐν μέθαις καὶ νόσοις.' σαφῶς ἄρα συ-
κοφαντοῦσιν ὅσοι τὸν Ἀριστοτέλην θνητὴν λέγειν τὴν λογικὴν ψυχὴν ὑπο-
νοοῦσι. / ζητεῖ δὲ καλῶς ἐνταῦθα γενόμενος αὐτὸς ὁ Ἀλέξανδρος, πῶς
συνᾴδει ταῦτα τοῖς προειρημένοις. ὁ λόγος γὰρ ἦν ἐν τοῖς ἔμπροσθεν
περὶ τοῦ εἰ δεῖ καλεῖν κινήσεις τὰς ἐνεργείας τῆς ψυχῆς, θυμὸν καὶ φόβον
10 καὶ τὰ σύστοιχα τούτοις, οὐ περὶ τοῦ πότερον ἄφθαρτά ἐστιν ἢ φθαρτά.
πῶς οὖν ὡς περὶ ἐκείνων τοῦτο ζητήσας ἐπάγει καὶ περὶ τοῦ νοῦ ὅτι ὁ 15
δὲ νοῦς ἔοικεν ἐγγίνεσθαι οὐσία τις οὖσα καὶ οὐ φθείρεσθαι; ἐπι-
λύεται δὲ καλῶς τὴν ἀπορίαν· φησὶ γὰρ ὅτι δυνάμει καὶ περὶ ἐκείνων ἔδειξεν
ὅτι φθαρτά ἐστι, δείξας ὅτι αἱ δοκοῦσαι αὐτῶν εἶναι ἐνέργειαι οἰκεῖαι τοῦ
15 συναμφοτέρου εἰσὶ τῇ ψυχῇ, ὥσπερ τὸ ὑφαίνειν τοῦ συναμφοτέρου τῷ
σώματι. δυνάμει οὖν δεδειχὼς εἴη ὅτι φθαρταί εἰσι· προείληπται γὰρ
ἐν τοῖς ἐπάνω ὅτι εἰ μὲν ἔστι τι τῶν τῆς ψυχῆς ἔργων ἢ παθημάτων
ἴδιον, ἐνδέχεται αὐτὴν εἶναι χωριστήν, εἰ δὲ μή, οὔ. ἐπεὶ οὖν οὐδεμίαν
ἔχουσιν αἱ δυνάμεις ἐκεῖναι ἐνέργειαν χωριστὴν σώματος, εἰκότως ἀχώ- 20
20 ριστοι ἔσονται τοῦ σώματος. ὡς τούτου οὖν δεδειγμένου εἰκότως ζητεῖ
περὶ τοῦ νοῦ, πῶς ἔχει. φησὶν οὖν ὅτι ἔοικεν ὁ νοῦς οὐχ οὕτως ἔχειν,
ἀλλ' οὐσία τις εἶναι καὶ ἐγγίνεσθαι καὶ οὐ φθείρεσθαι.//καὶ σκόπει τὴν
λέξιν. εἰπὼν γὰρ ἔοικεν ἐγγίνεσθαι μάλιστα μὲν ἐσήμανεν οὐκ ἐκ τοῦ
σώματος ἢ τῆς πρὸς τοῦτο τῆς ψυχῆς συμπλοκῆς αὐτὸν ἀναβλαστάνειν,
25 ἀλλὰ θύραθεν ἐπεισιέναι, ὡς ἐν τοῖς ἑξῆς φησιν· ἔπειτα ἐπεὶ δοκεῖ καὶ
τὰ συμβεβηκότα ἐγγίνεσθαι τῷ σώματι, εἰ καὶ μὴ ἔξωθεν, προσέθηκεν τὸ 25
οὐσία τις οὖσα. ἀλλ' ἐπεὶ καὶ τὰ εἴδη ἐγγίνονται τῇ ὕλῃ καὶ οὐσίαι
εἰσίν, φθαρτὰ μέντοι, προσέθηκεν τὸ καὶ οὐ φθείρεσθαι. εἶτα καὶ τὴν
τούτου πίστιν ἐντρεχέστατα προσέθηκε· μάλιστα γὰρ ἂν ἐφθείρετο
30 ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως. εἰ γὰρ ἀχώριστος ἦν τοῦ σώ-
ματος, ἔδει συνακμάζειν τε καὶ συμφθίνειν αὐτῷ, εἴ γε ἐν αὐτῷ τὴν ὑπό-
στασιν εἶχε· τοιαῦτα γοῦν θυμὸς καὶ ἐπιθυμία καὶ τὰ ἐκ τούτων. ὁ δὲ
νοῦς ὑπεναντίως ἔχει· ἀκμάζοντος μὲν τοῦ σώματος ἀμυδρός ἐστιν. ἴσως
δὲ οὐδὲ ἔστι. γηράσκοντος δὲ αὔξεται. 'φρόνησιν γάρ, φησὶν ὁ Πλάτων, 30
35 καὶ ἀληθεῖς δόξας βεβαίους ἀγαπητὸν ὅτῳ κἂν εἰς βαθὺ γῆρας παραγένηται.'

---

1 καὶ τὸ Dt: κατὰ τὸ R 5 σαφῶς RD: καὶ σαφῶς t 10 τούτοις R: αὐτοῖς Dt περὶ τὸ πότερον t 14 ὅτι (post ἔδειξεν) R: εἰ Dt 17 ἐν τῷ ἐπάνω R ἢ DR: καὶ t 21 ἔχειν — καὶ ἐγγίνεσθαι (22) Rt: εἶναι οὐσία τίς ἐστιν ἢ ἐγγίνεσθαι D 22 καὶ (ante σκόπει) om. R 27 οὐσίαι R: οὐσία Dt 31 συμφθίνειν Dt: συμφθείρειν R 33 ἀμυδρός ἐστιν Dt: ἀμυδρῶς ἔχει R 34 φρόνησις R Πλάτων] de legg. B 1 p. 653 A 35 ἀληθεῖς δόξας R: ἀληθὴς δόξας D: ἀληθοῦς δόξης t βεβαίους om. t ἀγαπητὸν — παραγένηται] εὐτυχὲς ὅτῳ καὶ πρὸς τὸ γῆρας παρεγένετο Plato ὅτῳ D: οὕτω Rt περιγένηται R

p. 408ᵇ20 Νῦν δ' ὥσπερ ἐπὶ τῶν αἰσθητηρίων συμβαίνει· εἰ e 5ʳ
γὰρ λάβοι ὁ πρεσβύτης ὄμμα τοιονδί, βλέποι ἂν ὡς ὁ νέος.

Ἀπορίαν τινὰ δικαίως ἀπορηθεῖσαν πρὸς τὰ εἰρημένα ἐπιλύεται ὁ Ἀριστοτέλης. εἶπε γὰρ ἄν τις, 'εἰ τὸ μὴ συμμαραίνεσθαι τῷ γήρᾳ τὸν 35
5 νοῦν δείκνυσιν αὐτὸν ἄφθαρτον ὄντα, τὸ συμμαραίνεσθαι φθαρτὸν δείξει. οὐκοῦν ἐν τῷ ἐσχάτῳ γήρᾳ καὶ τοῖς λήροις ὁρᾶται φθειρόμενος· ληροῦσι γὰρ οἱ ὑπεργηράσαντες. ταὐτὸ δὲ πάσχει καὶ ἐν μέθαις καὶ ἐν ἄλλοις τισὶ πάθεσιν οἷον μελαγχολίαις, ἔτι τε καὶ ἐν τοῖς ὕπνοις. εἰ δὲ ταῖς κινήσεσι τοῦ σώματος συναλλοιοῦται, ἔοικεν ἄρα φθαρτὸς εἶναι.' ταύτην οὖν τὴν
10 ἀπορίαν ἐπιλυόμενός φησιν ὅτι ταὐτὸν συμβαίνει ἐν τοῖς εἰρημένοις πάθεσι τῷ νῷ, ὅπερ τῇ αἰσθητικῇ δυνάμει βεβλαμμένων τῶν αἰσθητηρίων. 40
ὥσπερ γὰρ βλαβέντων τῶν αἰσθητηρίων οὐκ αἰσθανόμεθα μέν, οὐ μὴν ἤδη καὶ ἡ αἰσθητικὴ δύναμις βέβλαπται (οὐ γὰρ συμπάσχει τοῖς ὀργάνοις τοῖς τοῦ παχέος τούτου σώματος ἡ χρωμένη δύναμις τούτοις· ὅτι γὰρ οὐ συμ-
15 πάσχει ἡ δύναμις, ἀλλὰ τὸ αἰσθητήριον κέκμηκε, δῆλον ἐξ ὧν, ἂν ὑποθώμεθα τὸν πρεσβύτην ὄμμα εἰληφότα οἷον τὸ τοῦ νέου, ἐνεργήσει ὁ πρεσβύτης ὥσπερ ὁ νέος· τοῦτο δὲ οὐκ ἂν ἦν, εἰ ἡ δύναμις ἦν βεβλαμμένη. σαφέστερον δὲ τὸ ἐπὶ τῶν ὑποχυμάτων παράδειγμα· ἂν γὰρ τὸν 45
χυμὸν ἐκεῖνον κατενέγκωμεν, ὁρῶσιν οἱ πρὸ τούτου οὐχ ὁρῶντες. τὸ δὲ
20 αἴτιον, ἐπεὶ μὴ ἐν τούτῳ τῷ σώματι ἔχει τὸ εἶναι ἡ αἰσθητικὴ δύναμις, ἀλλ' ἐν τῷ πνεύματι), οὕτως οὖν καὶ τοῦ τῶν γερόντων ὄμματος ὑπὸ τοῦ χρόνου ἐξασθενήσαντος καὶ τῶν χιτώνων παχυτέρων γενομένων καὶ οἱονεὶ ἐρρυτιδωμένων καὶ οὐχ οὕτω διαφανῶν, ἔτι τε καὶ τῶν ἐντὸς ὑγρῶν καὶ προσέτι ξηροτέρων ὑπὸ τοῦ χρόνου καὶ ἐγγὺς πεπηγότων καὶ οὐ δυνα-
25 μένων τὰ ἀπὸ τῶν αἰσθητῶν πάθη διαπορθμεύειν ἐπὶ τὸ ὀπτικὸν πνεῦμα. 50
συμβαίνει τοὺς γέροντας ἧττον ὁρᾶν, οὐ τῷ τὴν ὀπτικὴν δύναμίν τι πεπονθέναι. εἰ τοίνυν ἐπὶ τῶν αἰσθήσεων τοῦτο συμβαίνει, ἐφ' ὧν ἧττον ἔδει, πολλῷ μᾶλλον ἐπὶ τοῦ νοῦ, ὥστε παρεμποδίζειν μόνον τὸ σῶμα πεπονθός τι τὰς ἐνεργείας τοῦ νοῦ, ὥσπερ φλύαρος γείτων ἐκκρούων τὸν
30 γειτνιῶντα σπουδαίας τινὸς ἐνεργείας, οἷον ἀναγνώσεως ἢ νοήσεως ἢ εὐχῆς. εἰ οὖν ἐκεῖνος ἄσχετος ὢν παντελῶς πρὸς τὸν σπουδαῖον ὅμως τῇ ἐγγύτητι τοῦ τόπου ἐκκρούει αὐτόν, πόσῳ μᾶλλον τὸν νοῦν τὸ σῶμα | οὐκ e 5ᵛ

---

1 νῦν δ' ὥσπερ D: νῦν δ' ἴσως ὥσπερ R: νυνὶ δ' ὥσπερ t et Arist. codd. quinque: νῦν δ' ἴσως ὅπερ Arist. EU 2 τοιόνδε D ὡς ὁ νέος D: ὡς νέος R: ὥσπερ ὁ νέος Arist. X: ὥσπερ καὶ ὁ νέος t et Arist. vulg. 3 δικαίως ἂν ἀπορηθεῖσαν R, fort. recte 4 εἶπε] fort. εἴποι μὴ om. sed. supra add. D¹ 5 δείξαι R 12 ὥσπερ — αἰσθητηρίων om. R βλαβώντων t ἤδη Dt: ἔτι R 14 τούτου om. t 15. 16 ὑπεθέμεθα t 18 ἐπὶ τῶν Dt: ὑπὸ τῶν R 21 οὖν] δὲ A: οὖν εἰ DRt 21. 22 τοῦ et ὄμματος et ἐξασθενήσαντος Rt: τὰ et ὄμματα et ἐξασθενήσαντα AD, fort. recte 23 ἐρρυτιδωμένων A: ἐρρυπωμένων DRt 28 et 29 τοῦ νοῦ Rt: τούτου D 28 παρεμποδίζει R 29 τὰς ἐνεργείας D: ταῖς ἐνεργείαις Rt 32 ἐκκρούει D: ἐκκρούη Rt

ἀσχέτως ἔχον πρὸς αὐτὸν διὰ τὸν φυσικὸν δεσμόν; οὐ γὰρ ἀσυμπαθὴς e 5v
παντελῶς ὁ δεσμὸς οὗτος. εἰ δέ τις εἴποι 'πόθεν οὖν δῆλον μὴ καὶ ὁ
νοῦς, ὥσπερ αἱ αἰσθήσεις, ἔν τινι παρὰ τοῦτο τὸ σῶμα τὸ εἶναι ἔχει,
οἷον ἐν τῷ πνεύματι; ὅσον γὰρ ἐκ τῶν εἰρημένων οὔπω τοῦτο δῆλον,
5 ἀλλ' ὅτι μόνον ἐν τούτῳ οὐκ ἔχει τὸ εἶναι, ὥσπερ αἱ αἰσθήσεις', λέγω
οὖν ὅτι δείξει αὐτὸ τοῦτο ἐφεξῆς ὁ φιλόσοφος, ὅτι παντός ἐστι χωριστὸς
σώματος, καὶ οὐχ ὥσπερ αἱ αἰσθήσεις τούτου μόνον· οὐδὲν δὲ πρᾶγμα 5
καὶ προλαβεῖν ἔνιά τινα ὧν φησιν. ὅτι γὰρ οὐκ ἔχει ὁ νοῦς ὡς αἱ αἰ-
σθήσεις ἐν ἄλλῳ τὸ εἶναι, δῆλον ἐντεῦθεν· αἱ γὰρ αἰσθήσεις τῶν μειζό-
10 νων αἰσθητῶν ἀντιλαμβανόμεναι τῶν ἐλαττόνων οὐ δύνανται ἀντιλαβέσθαι,
οἷον μεγάλου ψόφου ἡ ἀκοὴ ἀκούσασα τοῦ ἥττονος οὐκ ἀκούσεται, καὶ ἡ
γλῶττα σφοδροτάτου χυμοῦ γευσαμένη τοῦ ἐλάττονος οὐκ αἰσθήσεται, καὶ
ἐπὶ τῶν ἄλλων ὡσαύτως· τοῦτο δὲ ἐπειδὴ τὸ κυρίως τῶν αἰσθήσεων
ὄργανόν τε καὶ ὄχημα, τὸ πνεῦμα λέγω, σῶμά ἐστιν· ὁ μέντοι νοῦς ἅτε 10
15 ἀσωμάτως νοῶν καὶ οὐδενὶ προσχρώμενος σώματι εἰς τὴν νόησιν, ὅσῳ
τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσούτῳ μᾶλλον καὶ τῶν ἐλαττόνων.
καὶ ἄλλως οὐδεμία δύναμις ἐν ὑποκειμένῳ τῷ σώματι τὸ εἶναι ἔχουσα
αὐτὴ πρὸς ἑαυτὴν ἐπιστρέφειν δύναται· συνεπιστραφήσεται γὰρ πρὸς ἑαυτὸ
καὶ τὸ σῶμα ἐν ᾧ ἐστιν, οὐδὲν δὲ σῶμα ἑαυτῷ ἐφαρμόσαι δύναται, ἀλλ'
20 οὐδὲ ἄλλῳ, εἰ μὴ κατὰ τὴν ἐπιφάνειαν· ὁ δὲ νοῦς αὐτὸς πρὸς ἑαυτὸν
ἐπιστρέφει καὶ ἑαυτὸν ὁρᾷ, αὐτὸς περὶ ἑαυτοῦ ζητεῖ καὶ αὐτὸς εὑρίσκει· 15
χωριστὸς ἄρα τῇ οὐσίᾳ τοῦ σώματος. καὶ ἄλλως οὐδὲν μάχεται ἢ πρὸς
ἑαυτὸ ἢ πρὸς τὸ ἑαυτοῦ ὑποκείμενον. ἡ δὲ ψυχὴ μάχεται πρὸς τὸ σῶμα
καὶ τὰ πάθη· 'τέτλαθι δή, κραδίη'. οὐδὲν φθείρει τὸ ἑαυτοῦ ὑποκεί-
25 μενον· πάντα γὰρ τοῦ εἶναι ἐφίεται· αὕτη δὲ τῇ ἀρετῇ κατατήκει τὸ
σῶμα. οὐκ ἄρα ἐν αὐτῷ ἔχει τὸ εἶναι. καὶ εἰ ἐνεργεῖ ποτε χωριστῶς,
ὅταν τῶν θείων ἐν θεωρίᾳ γένηται, δῆλον ὅτι καὶ οὐσίαν ἔχει χωριστήν.

p. 408b22 Ὥστε τὸ γῆρας οὐ τῷ τὴν ψυχὴν πεπονθέναι τι, ἀλλ' 20
ἐν ᾧ, καθάπερ ἐν μέθαις καὶ νόσοις.

30 Γῆρας δῆλον ὅτι οὐ τὸ αὐτὸ ἐκληψόμεθα, ὅ τι ἔλεγε 'μάλιστα δ' ἂν
ἐφθείρετο ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως', καὶ τὸ νῦν λεγόμενον, ἀλλ'
ἐκεῖ μὲν τὸ σύμμετρον, ἐνταῦθα δὲ τὸ πολὺ καὶ ἔσχατον. ὡς γὰρ εἶπον,
ἐπεὶ οὐ πάντῃ ἄσχετός ἐστιν πρὸς τὸ σῶμα ὁ ἡμέτερος νοῦς δεῖται τῆς συμ-
μετρίας τοῦ σώματος, ἵνα συμμέτρως ἔχον μηδὲν ἐνοχλῇ. ἀσύμμετρον δὲ
35 γίνεται αὐτῷ πρὸς τὰς ἰδίας ἐνεργείας καὶ ἐν τῇ ἀκμῇ διὰ τὸν τῶν παθῶν 25
ὄχλον καὶ ἐν τῷ ἐσχάτῳ γήρᾳ διὰ τὸ ἀπονενεκρῶσθαι καὶ αὐτὸ ἐγγὺς εἶναι

1 ἀσυμπαθὲς D 3 αἱ om. R 8 ἔνιά τινα ὧν scripsi: ἔν τινι ὧν libri
10 ἀντιλαμβάνονται R 18 συνεπιστρέφεται R 21 καὶ οὕτως εὑρίσκει D 24 τέτλαθι κτλ.] Od. Γ. 18 25 ἡ ἀρετὴ R 30 ἂν] ἐὰν R 34 μηδὲ R 36 αὐτὸ om. R

τῆς ὕλης. ταὐτὸν οὖν πάσχει ὁ νοῦς, φησίν, ἐν τῷ γήρᾳ, ὅπερ καὶ ἐν ταῖς e 5v
μέθαις καὶ νόσοις. ὥσπερ γὰρ ἐκεῖ διὰ τὴν δυσκρασίαν τοῦ σώματος κω-
λύεται πρὸς τὰς ἐνεργείας (καὶ δῆλον ἐξ ὧν, ἐὰν ἀπαλλαγῇ τὸ σῶμα τῆς
τοιᾶσδε καταστάσεως, πάλιν ἀναλάμπει), οὕτω συμβαίνει καὶ ἐν τῷ γήρᾳ.
5 ὅτι δὲ μετὰ τὸ ἀπαλλαγῆναι τῆς μέθης οὐκ ἄλλος τις ἐγγίνεται νοῦς
οἱονεὶ πάλιν ἐκ τῆς εὐκρασίας, δῆλον ἐξ ὧν εἷς καὶ ὁ αὐτός ἐστι τῷ 30
ἀριθμῷ τῷ προτέρῳ· εἰ γὰρ ἁπλῶς ἐκ τῆς κράσεως ἐγίνετο ὡς τὸ λευκόν,
οὐκ ἂν ἦν εἷς καὶ ὁ αὐτὸς τῷ ἀριθμῷ, ἐπεὶ μηδὲ ἡ κρᾶσις μία καὶ ἡ
αὐτὴ τῷ ἀριθμῷ πρὸ τῆς μέθης καὶ μετὰ τὴν μέθην· ἀλλ' εἰ ἄρα, τῷ
10 εἴδει. ὅτι δὲ εἷς καὶ ὁ αὐτὸς τῷ ἀριθμῷ ἐστιν ὁ νοῦς, δῆλον ἐξ ὧν καὶ
μετὰ τὴν μέθην μνημονεύει τὰ πρότερα· εἰ γὰρ ἦν, ὡς ἄν τις ὑπονοήσειε,
τῷ μὲν εἴδει ὁ αὐτός, ἀριθμῷ δὲ οὐχ ὁ αὐτός, οὐκ ἂν ἐμνήσθη τῶν
πρόσθεν, ἀλλ' ἔδει αὐτῷ πάλιν ἑτέρας μαθήσεως· ὁμοίως γάρ, φησὶν ὁ
Ἀριστοτέλης, εἰ τοῦ μὲν ἐγὼ τοῦ δὲ σὺ αἴσθοιο· οὐδὲ γὰρ ἐπειδή εἰσι 35
15 τῷ εἴδει αἱ αὐταὶ ψυχαί, ἤδη καὶ ἅπερ ἐγὼ οἶδα καὶ ἄλλος οἶδεν. εἰ δὲ
εἷς καὶ ὁ αὐτὸς τῷ ἀριθμῷ ὅ τε πρὸ τῆς μέθης καὶ μετὰ τὴν μέθην, οὐ-
δὲν ἄλλο ἢ ταῖς ἐνεργείαις αὐτοῦ ἐνεπόδιζεν ἡ μέθη. ἰστέον δὲ ὅτι οἱ
βουλόμενοι πᾶσαν ψυχὴν χωριστὴν εἶναι ἐπιλαμβάνονται τῶν ῥησειδίων
τούτων· ἰδοῦ γάρ, φασίν, εἶπεν ὅτι ἡ ψυχὴ οὐ πάσχει τι, ἀλλ' ἐν ᾧ ἐστι,
20 τὸ σῶμα. λέγομεν δὲ ὅτι οὐ περὶ πάσης ψυχῆς αὐτῷ ὁ λόγος, ἀλλὰ περὶ
τοῦ νοῦ, καὶ τοῦτον ψυχὴν νῦν καλεῖ. καὶ δῆλον ἔκ τε τῶν προειρημένων 40
καὶ ἐξ ὧν ἐπιφέρει· ἔτι γὰρ περὶ τοῦ νοῦ ποιεῖται τὸν λόγον· ὡς γὰρ
τοῦτο εἰπὼν ὅτι ὁ νοῦς οὐκ αὐτός ἐστιν ὁ πάσχων, ἀλλὰ τὸ σῶμα ἐν ᾧ
ἐστιν, ὥστε, φησίν, οὐδὲ τὸ νοεῖν καὶ τὸ θεωρεῖν φθείρεται, ἀλλὰ μαραί-
25 νεται ἄλλου τινὸς φθειρομένου. τοῦ γὰρ νοῦ μὴ πάσχοντος οὐδ' ἂν αἱ
ἐνέργειαι αὐτοῦ τὸ νοεῖν καὶ τὸ θεωρεῖν πάθοιεν. οὐκ ἄρα περὶ πάσης
ψυχῆς αὐτῷ ὁ λόγος· γελοῖον γὰρ τὸ πᾶσαν ὑπονοεῖν αὐτὸν λέγειν, σαφῶς
ἡμῖν τοὺς κανόνας αὐτοῦ παραδεδωκότος τῆς τε χωριστῆς σωμάτων οὐ-
σίας καὶ τῆς ἀχωρίστου. καὶ σημείωσαι ὅτι τὸν νοῦν εἰπὼν ἄφθαρτον 45
30 εἶναι καὶ θύραθεν ἐγγίνεσθαι τῷ σώματι, τοῦτον εὐθὺς ψυχὴν ἐκάλεσεν,
ἵνα μάθῃς ὅτι οὐκ ἄλλον τινὰ λέγει εἶναι τὸν νοῦν παρὰ τὴν λογικὴν
ψυχὴν ἔξωθεν ἡμῖν ἐπεισιόντα, ἀλλ' αὐτὴν τὴν λογικὴν ψυχὴν νοῦν ἐκά-
λεσε. σαφέστατα οὖν καὶ διὰ τούτων ἀθάνατον εἶναι τὴν ἡμετέραν ψυχὴν
ἀποφαίνεται ὁ Ἀριστοτέλης. ἐγγίνεται δὲ ἡ λογικὴ ψυχὴ τῷ σώματι μετὰ
35 τὴν διάπλασιν τοῦ τελείου ζῴου, τῶν ἄλλων ψυχικῶν δυνάμεων ἤτοι τῶν
λόγων αὐτῶν συγκαταβαλλομένων τῷ σπέρματι. εἰ δέ τις καὶ πρὸς πᾶσαν 50

---

5 νοῦς om. R 7 ἐγίνετο R: γίνεται Dt 8 ὁ αὐτὸς DR: ὁ om. t 10 καὶ (post ὧν) om. R 11 τὰ πρότερον t ὑπονοήσειε t: ὑπονοήσοι DR 13 ὁμοίως D: ὅμοιον Rt γὰρ ὥς φησιν R φησὶν] de an. Γ 2 p. 426b19 16 ὁ αὐτὸς Rt: ὁ om. D 19 φασίν scripsi: φησίν libri 20 δὲ om. R 24 φθείρεται — θεωρεῖν (26) om. D 26. 27 πάσης ψυχῆς αὐτῷ DR: πάσης αὐτοῦ t 29 καὶ τῆς Rt: τῆς om. D σημειώσαι D εἰπὼν D: ὃν εἶπεν Rt 30 τὸ σώματι D 31 ἄλλον DR: ἄλλως t λέγει DR: ἔλεγεν t

ψυχὴν ἐκλάβοι τοῦτο εἰρημένον τὸ ὥστε τὸ γῆρας οὐ τῷ τὴν ψυχὴν e 5v
πεπονθέναι τι. ἐκληρώμεθα. ὡς καὶ Ἀλεξάνδρῳ δοκεῖ. πᾶσαν μὲν ψυχὴν
καθ' αὑτὴν ἀπαθῆ, ἀλλὰ τὴν μὲν ἄλογον ὅτι μηδὲ πέφυκεν καθ' αὑτὴν
εἶναι, ἀλλὰ συμφθείρεσθαι τῷ πνεύματι, τὸν δὲ νοῦν ὡς οὐσίας ὄντα χω-
5 ριστῆς ἀπαθῆ εἶναι.

p. 408b24 Καὶ τὸ νοεῖν δὴ καὶ τὸ θεωρεῖν μαραίνεται ἄλλου τινὸς ἔσω φθειρομένου.

Ἄλλου τινὸς ἔσω λέγει τοῦ πνεύματος. ἐπεὶ γὰρ οὐκ ἐν μόνοις e 6r
τοῖς λήροις συμβαίνει μαραίνεσθαι τὸ νοεῖν, ἀλλὰ καὶ ἀκμαζούσης τῆς
10 ἡλικίας συμβαίνει πολλάκις παραφροσύνας γίνεσθαι καὶ ἀμβλύνσεις τῶν
νοήσεων, τοῦτο γίνεσθαί φησι τοῦ πνευματικοῦ σώματος, ἐν ᾧ πρώτως
ἐλλάμπουσιν αἱ ψυχικαὶ δυνάμεις, φθοράν τινα ὑπομένοντος καὶ τῷ μὴ
σύμμετρον εἶναι ἐνοχλοῦντος τῇ νοήσει καὶ ἐμποδίζοντος.

p. 408b25 Τὸ δὲ διανοεῖσθαι ἢ φιλεῖν ἢ μισεῖν οὐκ ἔστιν ἐκεί- 5
15 νου πάθη, ἀλλὰ τουδὶ τοῦ ἔχοντος ἐκεῖνο, ᾗ ἐκεῖνο ἔχει.

Ὅτι καὶ τὸ διανοεῖσθαι οὐκ ἔστι τῆς ψυχῆς καθ' αὑτήν, ἀλλὰ τοῦ
συναμφοτέρου, ἤδη εἴπομεν. οὐχ ὡς γάρ, φησί, τὸ νοεῖν καὶ θεωρεῖν
ἴδιά εἰσι τοῦ νοῦ πάθη (πάθη γάρ, ὡς πολλάκις εἴπομεν, τὰς ἐνεργείας
καλεῖ) οὕτω δὴ καὶ τὸ διανοεῖσθαι καὶ φιλεῖν καὶ μισεῖν, ἀλλὰ τουδί, 10
20 τουτέστι τοῦ ζῴου τοῦ ἔχοντος τὴν ψυχήν, ᾗ ἐκεῖνο ἔχει, τουτέστι
καθὸ ἔχει τὴν ψυχήν. ὡς γὰρ τὸ ὑφαίνειν, ὡς πολλάκις εἴρηται, τοῦ
ζῴου ἐστὶ κατὰ τὸ σῶμα, οὕτω ταῦτα τοῦ ζῴου κατὰ τὴν ψυχήν. διό,
φησί, τοῦ ζῴου φθειρομένου οὐδὲν τούτων ἕξει ἡ ψυχή, ἅπερ ἐκ τῆς
συμπλοκῆς τῆς πρὸς τὸ σῶμα αὐτῇ ἐπεγένετο. εἰκότως δὲ μηδὲ μνημο-
25 νεύειν αὐτήν φησιν, ὅτι ἐνταῦθα μὲν παρρέουσά ἐστιν ἡ γνῶσις αὐτῆς
καὶ δεῖται μνήμης εἰς κατοχὴν τῶν ἐγνωσμένων, μετὰ δὲ τὸ σῶμα ἅτε
ἑστῶσαν ἔχουσα τὴν γνῶσιν καὶ αὐτοῖς προσβάλλουσα τοῖς πράγμασι 15
μνήμης οὐ δεῖται· μνήμη γάρ ἐστι τῶν πάλαι ἐγνωσμένων, τότε δὲ οὐκ

---

4 ἀλλὰ fort. delendum 6 δὴ Dt Arist.: δὲ R 12 τῷ R: τὸ Dt 14 ᾗ φιλεῖν DR Arist. cod. T: καὶ φιλεῖν t Arist. ceteri 15 et 19 τοῦδε D 17 συναμφωτέρου Dt 20 τοῦ ἔχοντος — ταῦτα τοῦ ζῴου (22) om. R 24 προσεγένετο Suid. s. v. Μνήμη 28 τῶν — ἐγνωσμένων] ἡ τῶν πάλαι ἐγνωσμένων κατοχή Suid.

---

21 ante ὡς γὰρ τὸ ὑφαίνειν haec aliunde petita ὅτι πολλάκις ὁ Ἀριστοτέλης ψυχὴν καλεῖ ἅμα συλλαμβάνων τῇ λογικῇ καὶ τὴν ἄλογον καὶ τὴν φυτικήν, πολλάκις δὲ μόνην τὴν λογικήν, ἔσθ' ὅτε δὲ καὶ αὐτὸν καθ' αὑτὸν τὸν νοῦν ψυχὴν ὀνομάζει. ἐπονομάζει δὲ πάλιν ἰδιαζόντως τὴν ψυχὴν τὴν ἄλογον καὶ τὴν φυτικήν. πολυσήμου τοίνυν τῆς ψυχῆς παρὰ Ἀριστοτέλει λαμβανομένης δεῖ ἑκάστῳ σημαινομένῳ τὰ οἰκεῖα ἀφορίζειν καὶ ἀπονέμειν καὶ μὴ συγχεῖν διὰ τῆς ὁμωνυμίας τῆς φωνῆς [καὶ] τῶν πραγμάτων τὸ διῃρημένον καὶ ἀσύγχυτον add. A, eademque exhibet Pal. p. 147a (p. 64 Strehlke)

ἔχει τὸ πρότερον καὶ τὸ ὕστερον ἡ γνῶσις, εἰ μὴ κατὰ τὴν προχείρισιν c 6r
τῶν θεωρημάτων, ἀλλ' ἀεὶ ἕστηκε καὶ ἐν τῷ νῦν ἐξετάζεται.

p. 408ᵇ29 Ὁ δὲ νοῦς ἴσως θειότερόν τι καὶ ἀπαθές ἐστι.

Οὐχ ὡς ἀμφισβητῶν τὸ ἴσως προσέθηκεν, ἀλλ' ὡς μήπω τελείως 20
5 ἀποδείξας. εἰ δὲ καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἐπάνω καὶ ἔτι μᾶλλον ἐφεξῆς ἀθάνατον εἶναι βούλεται τὸν νοῦν, τοῦτο δέ ἐστιν αὐτὴν καθ' αὑτὴν τὴν λογικὴν ψυχήν, μάταιοι ἄρα οἱ ὑπονοήσαντες αὐτὸν θνητὴν αὐτὴν δοξάζειν. δῆλον γὰρ ὅτι οὐ περὶ τοῦ θείου νοῦ, ἀλλὰ περὶ τῆς ἡμετέρας λογικῆς ψυχῆς ὁ λόγος· οὔτε γὰρ ἐκεῖνος ἐν σώματι οὔτε ὑπὸ τῶν εἰρημένων ἐμ-
10 ποδίζεται. ἐκ γὰρ τῶν συνεγνωσμένων ἡμῖν διελέχθη περὶ αὐτοῦ, ἐκείνου δὲ ἄγνωστοι αἱ ἐνέργειαι. καὶ ἄλλως, εἰ περὶ τοῦ θείου νοῦ ἦν αὐτῷ ὁ 25
λόγος, οὐκ ἂν τὸ ἴσως προσέθηκεν ὡς ἀμφιβάλλων, εἰ ἐκεῖνος ἀπαθής ἐστι καὶ θεῖος. ἐκ δὲ τῶν ἀποδεδειγμένων ἀνακεφαλαιούμενος τὸν λόγον φησὶν ὅτι δειχθέντος ὡς οὐ κινεῖται ἡ ψυχὴ πρόδηλον ὡς οὐδὲ αὐτοκίνητος
15 ἔσται, εἴ γε μηδ' ὅλως κινεῖται.

p. 408ᵇ32 Πολὺ δὲ τῶν εἰρημένων ἀλογώτατον, τὸ λέγειν ἀριθμὸν εἶναι τὴν ψυχὴν κινοῦνθ' ἑαυτόν.

Τὸ προκείμενον ἐλέγξαι τὴν Ξενοκράτους τοῦ Πλάτωνος διαδόχου περὶ ψυχῆς δόξαν, ὃς ἔλεγε τὴν ψυχὴν ἀριθμὸν εἶναι κινοῦντα ἑαυτόν. καὶ
20 δῆλον ὅτι εἰ οὕτως ἔλεγε κατὰ τὸ φαινόμενον, εὐέλεγκτος ὁ λόγος. ἀλλ' ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἶπον, οὐκ ἄν τις οὐδ' ἄκρῳ δακτύλῳ τῶν μαθημάτων γευσάμενος τοιαῦτα ἂν εἴποι. ἔλεγεν οὖν ἀριθμὸν μὲν τὴν ψυχὴν διὰ τὸ πλήρωμα εἰδῶν εἶναι τὴν ψυχὴν καὶ λόγον ἐκ λόγων· πάν- 35
των γὰρ ἐν ἑαυτῇ τοὺς λόγους ἔχει, ὡς εἴπομεν. ἀριθμοὺς δὲ τὰ εἴδη
25 ἐκάλουν, ὡς εἴρηται· καὶ αὐτὸς γοῦν ἐν τοῖς ἑξῆς φησιν 'καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν τόπον εἰδῶν'. ἀριθμὸν μὲν οὖν διὰ τοῦτο, κινοῦντα δὲ αὐτὸν διὰ τὸ αὐτοζῶν αὐτῆς· οὐ γὰρ ὑφ' ἑτέρου αὐτῇ τὸ ζῆν· αὐτοζωὴ γάρ ἐστιν. ὁ δὲ Ἀριστοτέλης, ὡς εἴωθεν, ἐλέγχει τὸ φαινόμενον τοῦ λόγου. τὰ μὲν οὖν κοινά φησιν εἶναι καὶ ταύτῃ τῇ δόξῃ πρὸς τὰς ἐλη-
30 λεγμένας· ὅσα γὰρ εἴπετο τοῖς κινεῖσθαι λέγουσι τὴν ψυχὴν ἄτοπα, ταῦτα καὶ τούτῳ ἕψεται λέγοντι ἀριθμὸν εἶναι κινοῦντα ἑαυτόν· τὰ δὲ ἴδια, καθό 40
φησιν ἀριθμὸν εἶναι τὴν ψυχήν, πρὸς ὃ νῦν ἐνίσταται.

---

4 οὐχ ὡς Rt: ὡς οὐκ D 8 ὅτι om. D 10 ἐκ γὰρ Rt: ἐκ τῆς D 14 πρόδηλον R: πρόδηλος Dt 20 εἰ om. D εὐέλεγκτος Rt: ἐκλεκτὸς D 22 γευσάμενος Dt: ἀψάμενος in textu, sed γευσάμενος in mrg. R 23 ἐκ τῶν λόγων t 25 φησιν] de an. Γ 4 p. 429ᵃ27 27 αὐτοζῶν Dt: αὐτοζῶον R 27. 28 αὐτοζωὴ γάρ Dt: αὐτὸ γὰρ ζωή R 32 ἐνίσταται R: ἐπίσταται Dt

p. 409a1 Πῶς γὰρ χρὴ νοῆσαι μονάδα κινουμένην, καὶ ὑπὸ e 6r
τίνος, καὶ πῶς, ἀμερῆ καὶ ἀδιάφορον οὖσαν;

Δοκεῖ ταυτολογεῖν δὶς εἰπὼν τὸ πῶς. οὐκ ἔστι δέ, ἀλλὰ τὸ μὲν πρῶτόν ἐστι τοῦ τρόπου τῆς γνώσεως, τουτέστι τίς ἐστι τρόπος νοήσεως δυνάμενος ποιῆσαι ἡμᾶς γνῶναι μονάδα κινουμένην; οὔτε γὰρ αἰσθήσει οὔτε διανοίᾳ δυνατὸν τοῦτο γνῶναι· τὸ δὲ ὑπὸ τίνος, πότερον αὐτὴ ἑαυτῇ ἐστιν αἰτία κινήσεως ἢ ἄλλη μονὰς ἄλλῃ· τὸ δὲ δεύτερον πῶς τοῦ τρόπου τῆς κινήσεως. πότερον κατ' εὐθεῖαν κινεῖται ἢ κύκλῳ ἢ ἄλλως πως, οἷον κατὰ ἀλλοίωσιν ἢ αὔξησιν καὶ φθίσιν. πῶς οὖν χρὴ νοῆσαι μονάδα κινουμένην: εἰ γὰρ πᾶς ἀριθμὸς μονάδων ἐστὶ πλῆθος, ἀνάγκη κινουμένου τοῦ ἀριθμοῦ τὰς μονάδας κινεῖσθαι. πῶς οὖν κινεῖται ἡ μονάς; εἰ μὲν γὰρ ὑφ' ἑαυτῆς, ἐπειδὴ τὸ κινοῦν, καθὸ κινεῖ, ἄλλο τί ἐστι πρὸς τὸ κινούμενον, ἀνάγκη καὶ τὴν μονάδα αὐτὴν ἑαυτῇ διάφορον εἶναι· ἄλλο γὰρ τί ἐστι καθὸ κινεῖ, καὶ ἄλλο καθὸ κινεῖται. τίς οὖν αὐτῆς πρὸς ἑαυτὴν διαφορὰ τῆς μονάδος ἀμεροῦς οὔσης καὶ ἀδιαφόρου; εἰ δὲ αἱ μὲν κινοῦσιν, αἱ δὲ κινοῦνται, τίς ἡ διαφορὰ μονάδος πρὸς μονάδα; δεῖ γὰρ τὸ κινοῦν, καθὸ κινεῖ, διαφέρειν τοῦ κινουμένου, εἴ γε δυνάμει τινὶ φύσεως τὸ μὲν ἐπιτηδείως ἔχει πρὸς τὸ κινεῖν, τὸ δὲ πρὸς τὸ κινεῖσθαι. καὶ ἄλλως, εἰ αἱ μὲν | τῶν μονάδων κινοῦσιν, αἱ δὲ κινοῦνται, αἱ κινοῦσαι e 6v
ἂν εἴησαν ἡ ψυχή, οὐχ αἱ κινούμεναι. ὥσπερ γὰρ καὶ ἐν τῷ ζῴῳ τὸ μὲν κινοῦν ἡ ψυχή, τὸ δὲ κινούμενον τὸ σῶμα, οὕτω καὶ εἰ τῶν μονάδων αἱ μὲν κινοῦσιν, αἱ δὲ κινοῦνται, αἱ κινοῦσαι ἂν εἴησαν ψυχή· εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη ἀριθμὸς κινῶν ἑαυτὸν ἡ ψυχή, ἀλλὰ κινῶν μόνον.

p. 409a3 Ἔτι δ' ἐπεί φασι κινηθεῖσαν γραμμὴν ἐπίπεδον ποιεῖν,
στιγμὴν δὲ γραμμήν, καὶ τὰ ἑξῆς.

Ἄλλο ἐπιχείρημα· διαπαίζει δὲ αὐτοὺς ἐν τούτῳ. δοκεῖ, φησί, τοῖς ἀπὸ γεωμετρίας ὅτι τὸ σημεῖον ῥυὲν γραμμὴν ποιεῖ, καὶ αὕτη ῥυεῖσα ἐπίπεδον. εἰ δὲ τοῦτο, αἱ τῆς ψυχῆς κινήσεις μονάδων οὖσαι κινήσεις γραμμαὶ ἔσονται, θυμὸς καὶ ἐπιθυμία καὶ τὰ λοιπά. ἡ γὰρ μονάς, φησίν, οὐδενὶ ἄλλῳ διαφέρει τοῦ σημείου ἢ ὅτι τὸ μὲν σημεῖον κεῖταί που (ἐν γραμμῇ γάρ), ἡ δὲ μονὰς οὐκ ἔστι τῶν θέσιν ἐχόντων· οὐδὲν οὖν ἄλλο ἐστὶν ἡ μονὰς ἢ σημεῖον ἄθετον, καὶ τὸ σημεῖον μονὰς θέσιν ἔχουσα. λέγοντες οὖν τὴν ψυχὴν ἀριθμὸν ἐν σώματι εἶναι ὁμολογοῦσιν, ὥστε αἱ μονάδες τοῦ ἀριθμοῦ κεῖνταί που· ἐν τῷ σώματι γάρ· οὐκοῦν αἱ μονάδες αὗται θέσιν ἔχουσαι σημεῖά εἰσι· κινούμενα οὖν γραμμὰς ποιήσουσιν.

---

1. 2 καὶ ὑπὸ τίνος Rt: om. D 2 οὖσαν ἀμερῆ καὶ ἀδιάφορον coll. D 6 αὐτὴ R: αὐτῇ Dt 17 τινὶ Rt: τινὸς D 19 κινοῦσιν Dt: κινοῦσαι R 21 εἰ R: ὅτι Dt 24 δ' ἐπεί t et Arist.: δέ D: ἐπεί R 26 τοῖς R: τῆς Dt 27 ποιεῖ καὶ αὕτη R: ποιεῖν καὶ αὐτὴ Dt 32 ἐστὶν ἡ μονὰς D 33 λέγοντες Rt: λεγόντων D ὥστε Dt: ὡς R

p. 409a7 Ἔτι δ' ἀριθμοῦ μὲν ἐὰν ἀφέλῃ τις ἀριθμὸν ἢ μονάδα, e 6v
λείπεται ἄλλος ἀριθμός.

Τρίτον τοῦτο ἐπιχείρημα. ἐάν, φησίν, ἀπὸ ἀριθμοῦ ἀφέλω μονάδα, οἷον ἐκ τῶν δέκα, ἄλλον ἀριθμὸν ποιῶ τὸν ἐννέα, τὸν μὲν ἄρτιον, τὸν δὲ περιττόν· ὁμοίως δὲ κἂν ἀριθμὸν ἀφέλωμεν, ἄλλος τῷ εἴδει ὁ καταλειπόμενος γίνεται. εἰ γὰρ ἀπὸ τοῦ ις τετραγώνου ὄντος ἀφέλω τρία, οὐκέτι τετράγωνός ἐστιν· εἰ δὲ καὶ γνώμονα ἀφέλω τοῦ τετραγώνου, οἷον τὸν ζ τοῦ ις, καὶ γίνεται ὁ ἐννέα τετράγωνος, ἀλλ' οὖν οὐχ ὁ αὐτὸς τῷ εἴδει ἐστίν, ἀλλὰ τῷ γένει. ἐὰν δέ, φησίν, ἀπὸ φυτοῦ τέμῃς κλάδον, ἡ αὐτὴ μένει ἐν τῷ καταλειπομένῳ ψυχὴ καὶ ἐν αὐτῷ τῷ κλάδῳ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐντόμων ζῴων συμβαίνει τοῦτο· φαίνονται γὰρ ἀποτεμνόμενα ἐπί τινα χρόνον ἔχοντα τὴν ἐκ τῆς ψυχῆς ἐνέργειαν, αἴσθησίν φημι καὶ κίνησιν. οὐκ ἄρα οὖν ἡ ψυχὴ ἀριθμός. ὁ δὲ λόγος ἐναργής ἐστιν ἐπὶ τῶν φυτῶν· εἰ δὲ μὴ ἐπὶ πάντων τῶν μορίων λάβῃς τὸν λόγον, ἀληθής ἐστι καὶ ἐπὶ τῶν ἄλλων ζῴων· τινῶν γὰρ μορίων τεμνομένων ἡ αὐτὴ μένει ψυχή. καὶ εἰ μὴ ἐπὶ πάντων δὲ τῶν ἐμψύχων ὁ λόγος ἀληθής, ἀλλ' οὖν ἐπί τινων ἀληθὴς ὢν ὑγιὲς δείκνυσι τὸ ἐπιχείρημα.

p. 409a10 Δόξειε δ' ἂν οὐδὲν διαφέρειν μονάδας λέγειν ἢ σωμάτια μικρά.

Συνελάσαι βούλεται τὴν Ξενοκράτους δόξαν εἰς τὴν Δημοκρίτου. ἔλεγε δὲ ἐκεῖνος ἐκ σφαιρικῶν ἀτόμων τὴν ψυχὴν συνίστασθαι. ἐὰν οὖν, φησί, τὸ μέγεθος τῶν ἀτόμων ἀφέλῃ τις, ἔσονται στιγμαί, ὥστε τὰ αὐτὰ ἀμφοτέροις ἀκολουθήσει ἄτοπα. οὐδὲν δὲ τὴν ὑπόθεσιν Δημοκρίτου λυμαίνεται τὸ ἀφελεῖν τῶν ἀτόμων τὸ συνεχές· οὐδὲ γὰρ διὰ τὸ συνεχῆ σώματα εἶναι ἔλεγεν αὐτὰ κινεῖσθαι, ἀλλὰ διὰ τὸ πλῆθος αὐτῶν τῇ ἀντωθήσει τῇ πρὸς ἄλληλα. οὕτω δὲ καὶ Ξενοκράτης οὐκ ἐπειδὴ ἀμερῆ ὑπετίθετο τὰ ἐξ ὧν ἡ ψυχή, τὰς μονάδας λέγω, διὰ τοῦτο ἔλεγεν αὐτὰ κινεῖσθαι, ἀλλὰ διότι ποσὸν ἦν τὸ ἐξ αὐτῶν, ὁ ἀριθμός. κατὰ τοῦτο ἄρα συμφωνοῦσι, καθὸ καὶ κινεῖσθαι ἔλεγον ὁ μὲν τὰς ἀτόμους, ὁ δὲ τὸν ἀριθμόν. ἀκολουθεῖ δὲ ἐξ ἀνάγκης ἀμφοτέροις τὸ τὰ μὲν ἢ τῶν ἀτόμων ἢ τῶν ἀριθμῶν λέγειν κινεῖσθαι, τὰ δὲ κινεῖν· δέδεικται γὰρ αὐτῷ ἐν τῷ Ζ καὶ Η τῆς Φυσικῆς ὅτι τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἀδύνατον καὶ κινεῖν καὶ κινεῖσθαι οὔτε ἐπὶ τοῦ συνεχοῦς ποσοῦ οὔτε ἐπὶ τοῦ διωρισμένου. ἀκο-

---

1 μὲν om. D 4 τὸν ἐννέα R: τῶν ἐννέα Dt τὸ μὲν ἄρτιον R 6 εἰ γὰρ Dt: ἐὰν γὰρ R 6 et 7 ἀφέλω R: ἀφελῶ Dt 7 ἐστιν om. R 8 τοῦ ις Dt: τὸν ις R 9 φυτοῦ R: τοῦ φυτοῦ Dt 16 πάντων R: πᾶν Dt 18. 19 σώματα R 19 σμικρά t (ut Arist. ST) 20 εἰς τὴν δημοκράτους D
22 ἀφέλῃ Rt: ἀφελεῖ D 24 οὐδὲ Dt: οὐ R 27 λέγω Dt: λέγων R
31. 32 ἐν τῷ Ζ καὶ Η τῆς Φυσικῆς] immo ἐν τῷ Η καὶ Θ; v. Phys. Η 1 Θ 5 p. 257b2

λουθεῖ δὲ τούτοις τοῦτο, ὅτι ἑκάτερος αὐτῶν διωρισμένον ποσὸν ποιεῖ e 6v
τὴν ψυχὴν αὐτοκίνητον· ὥστε εἰ τῶν ἀτόμων καὶ τῶν ἀριθμῶν οἱ μὲν
κινοῦσιν, οἱ δὲ κινοῦνται, ἔσται μὲν τὸ ὅλον σύστημα αὐτοκίνητον, ὥσπερ
καὶ τὸ ὅλον ζῷον λέγεται αὐτοκίνητον, καίτοι τοῦ μὲν κινοῦντος τοῦ δὲ 45
5 κινουμένου, ἀλλ' ὥσπερ ἐν ζῴῳ τὸ κινοῦν ἡ ψυχὴ καὶ οὐ τὸ κινούμενον,
οὕτω καὶ ἐπὶ τοῦ τῆς ψυχῆς ἀριθμοῦ οὐ πᾶς ἔσται ψυχὴ ἀλλ' αἱ κινοῦσαι
μονάδες· ὁμοίως καὶ ἐπὶ τῶν σφαιρικῶν ἀτόμων αἱ κινοῦσαι ψυχή. ταύτῃ
μὲν οὖν εἰς τὴν αὐτὴν δόξαν συμφέρεται Δημόκριτός τε καὶ Ξενοκράτης.
ὅσα οὖν δέδεικται ἑπόμενα ἄτοπα τῇ Δημοκρίτου δόξῃ, τὰ αὐτὰ καὶ τῇ
10 Ξενοκράτους ἕψεται. εἴποι δ' ἄν τις μὴ ἀληθὲς εἶναι τὸ εἰς ταὐτὸ κατὰ
πάντα συμφέρεσθαι τήν τε Δημοκρίτου δόξαν καὶ τὴν Ξενοκράτους· οὐ γὰρ 50
ἁπλῶς ποσὸν ἐποίει τὴν ψυχὴν ὁ Δημόκριτος διωρισμένον. ὥσπερ Ξενο-
κράτης· ὑπετίθετο γοῦν μὴ ἐκ τῶν τυχουσῶν ἀτόμων εἶναι τὴν ψυχήν,
ἀλλ' ἐκ τῶν σφαιρικῶν, ἵνα τὴν αἰτίαν ἀποδῷ τῆς κινήσεως. οὐ καλῶς
15 οὖν εἰς ταὐτὸν ἀπάγει ἀμφοτέρας τὰς δόξας.

p. 409a 18 Ἐνδέχεται δὲ δὴ πῶς μονάδα αὐτὴν εἶναι; δεῖ γὰρ ὑπάρχειν τινὰ αὐτῇ διαφορὰν πρὸς τὰς ἄλλας. |

Μονάδα εἶπεν ἀντὶ τοῦ ἐκ μονάδων. εἰ οὖν, φησί, μονὰς ἢ ἐκ e 7r
μονάδων ἐστὶν ἡ ψυχή, δῆλον ὡς δεήσει διαφέρειν τὰς μονάδας, ἐξ ὧν ἡ
20 ψυχή, τῶν ἄλλων μονάδων τῶν μὴ ποιουσῶν ψυχάς· οὐ γὰρ δὴ πᾶσαι
ἁπλῶς αἱ μονάδες ἢ αἱ ἐξ ὧν ἡ ψυχὴ αὗται ψυχῆς εἰσι ποιητικαί, ἀλλ'
αἱ κινοῦσαι μόνον. τίς οὖν ἂν εἴη μονάδος πρὸς μονάδα διαφορά, οὐδ'
ἂν ἐπινοῆσαι δυνατόν, πλὴν τῷ τὰς μὲν αὐτῶν θέσιν ἔχειν, τὰς δὲ μὴ 5
ἔχειν. ἀλλὰ πᾶσαι αἱ μονάδες, ἐξ ὧν ὁ ἀριθμός, τουτέστιν ἡ ψυχή,
25 θέσιν ἔχουσιν· ἐν σώματι γάρ· τίς οὖν αὐτῶν ἡ διαφορά; ὥστε εἰ δεῖ
διαφορὰν εἶναι, ἵνα αἱ μὲν κινῶσιν, αἱ δὲ κινῶνται, τοῦτο δὲ ἀδύνατον,
οὐκ ἐνδέχεται ἀριθμὸν ἢ μονάδα εἶναι τὴν ψυχήν. καλῶς δὲ εἶπε
στιγμῆς μοναδικῆς. εἰ γὰρ ἡ μονὰς προσλαβοῦσα θέσιν στιγμὴ γίνεται.
αἱ δὲ μονάδες ἐξ ὧν ἡ ψυχὴ ἐν σώματι, στιγμαὶ ἄρα ἔσονται. ἐπεὶ οὖν
30 οὐχ ἁπλῶς στιγμὰς ἔλεγον ἀλλὰ μονάδας, αὐτὸς δὲ δείκνυσι ταύτας στιγμὰς 10
οὔσας, εἰκότως μοναδικὰς στιγμὰς εἴρηκεν.

---

3 post σύστημα αὐτοκίνητον unum versum et dimidium erasum habet, deinde iterat ὥστε (2)—σύστημα αὐτοκίνητον (3) D 7 ψυχή R: ψυχαί Dt 9 δημοκρίτου Dt: δημοκριτείῳ R 9. 10 τῇ ξενοκράτους DR: τοῦ ξενοκράτους t 11 οὐ γὰρ R: ὁ μὲν γὰρ D: οὐ μὲν γὰρ t 14 οὐ καλῶς DR: οὐχ ἁπλῶς t 15 ἀπάγει DR: ἐπάγει t 16 δὲ δὴ πῶς DR: δὲ δή πως t Arist. plerique: δή πως Arist. VWX αὐτὴν DR et Arist. TX: ταύτην Arist. vulg.: ταῦτα t 17 τινὰ αὐτῇ DR et Arist. codd. plerique: αὐτῆς t 21 ἢ αἱ Dt: αἱ om. R 21. 22 ἀλλ' αἱ] ἄλλαι D 22 τίς οὖν—δυνατόν (23) libri pro lemmate exhibent διαφοράν R 25 εἰ δεῖ scripsi: εἴδει vel εἰ δεῖ ante corr. D: ἔδει D¹ (in ras.) Rt 26 κινῶσιν Rt: in κινοῦσιν mut. D¹ κινῶνται R et ante corr. D: κινοῦνται corr. D¹: κινῶται t 27 post οὐκ add. ἄρα Rt 28 προσλαβοῦσα R: προλαβοῦσα Dt στιγμὴ Dt: στιγμαὶ R

p. 409a21 Εἰ μὲν οὖν εἰσιν ἕτεραι αἱ ἐν τῷ σώματι μονάδες καὶ e 7r
αἱ στιγμαί, ἐν τῷ αὐτῷ ἔσονται αἱ μονάδες· καθέξει γὰρ χώραν
στιγμῆς.

Ἔτι πρὸς Ξενοκράτην ὁ λόγος. ἔδειξεν ὅτι αἱ μονάδες ἐξ ὧν ἡ ψυχὴ
5 στιγμαί εἰσιν, ἐπειδὴ ἡ μονὰς στιγμή ἐστιν ἄθετος, αἱ δὲ μονάδες τῆς
ψυχῆς θέσιν ἔχουσιν· ἐν σώματι γάρ· ὥστε στιγμαί εἰσιν. ὁμοίως αἱ
στιγμαὶ μονάδες εἰσὶ θέσιν ἔχουσαι. εἰ τοίνυν καὶ αἱ μονάδες στιγμαί 15
εἰσι καὶ αἱ στιγμαὶ μονάδες, εἰσὶ δ' ἐν παντὶ σώματι στιγμαί, πότερον αἱ
μονάδες αἱ τὴν ψυχὴν ποιοῦσαι ἤτοι αἱ στιγμαὶ αἱ αὐταί εἰσιν ταῖς ἐν
10 τῷ σώματι ἐν ᾧ ἐστιν ἡ ψυχὴ στιγμαῖς ἤτοι μονάσιν, ἢ ἕτεραι; εἰ μὲν
οὖν ἕτεραι αἱ τῆς ψυχῆς ταῖς τοῦ σώματος, ὅταν γένηται ἡ ψυχὴ ἐν τῷ
σώματι, ἐφαρμόσουσιν αἱ τῆς ψυχῆς στιγμαὶ ταῖς τοῦ σώματος· στιγμὴ
δὲ στιγμῇ ἐφαρμόζουσα μίαν ποιεῖ στιγμήν· τὸ γὰρ ἀμερὲς τῷ ἀμερεῖ
συντιθέμενον ἀμερὲς ποιεῖ. εἰ δὲ μία ἐφαρμόζει ἑτέρᾳ ἡ τῆς ψυχῆς τῇ 20
15 τοῦ σώματος καὶ οὐδὲν πλείω τὸ ἐξ ἀμφοῖν, τί κωλύει καὶ πλείους τῆς
ψυχῆς στιγμὰς τῇ αὐτῇ στιγμῇ τοῦ σώματος ἐφαρμόσαι; μυρία γὰρ ἀδιαί-
ρετα συντεθέντα μέγεθος οὐ ποιεῖ. ὥστε καὶ πάσας τὰς τῆς ψυχῆς
στιγμὰς δυνατὸν ἐφαρμόσαι μιᾷ στιγμῇ τοῦ σώματος. ὅσαι δ' ἂν ἐφαρμό-
σωσι στιγμαί, μίαν ποιήσουσι στιγμήν· ὥστε κατὰ σημεῖον ἑαυτοῦ ἔσται
20 τὸ σῶμα ἔμψυχον, καθ' ὃ ἐφήρμοσαν πᾶσαι αἱ τῆς ψυχῆς στιγμαί. καὶ
οὐδὲν ἀδύνατον ἡ ὑπόθεσις ἔχει· εἰ γὰρ ἀριθμὸς ἡ ψυχή, ταὐτὸν δ' εἰπεῖν 25
σωρεία στιγμῶν διωρισμένων, ἐνδέχεται δὲ ἀπείρους στιγμὰς μιᾷ καὶ τῇ
αὐτῇ στιγμῇ ἐφαρμόσαι, ὥσπερ τῷ κέντρῳ τοῦ κύκλου τὰ πέρατα τῶν εὐ-
θειῶν τῶν ἐκ τῆς περιφερείας ἀγομένων ἐπ' αὐτὸ τὸ κέντρον, ἐνδέχοιτο
25 ἂν καὶ πάσας τὰς στιγμὰς ἐξ ὧν ἡ ψυχὴ μιᾷ στιγμῇ τοῦ σώματος ἐφαρ-
μόσαι. ἐνδεχόμενον δέ ἐστιν, οὗ μὴ ὄντος ἀναγκαίου, τεθέντος δὲ ὑπάρ-
χειν, οὐδὲν ἀδύνατον συμβαίνει. ἀλλὰ μὴν εἰ ἀριθμὸς ἡ ψυχή, ταὐτὸν δ'
εἰπεῖν πλῆθος στιγμῶν, ἐνδέχοιτο ἂν πάσας ἑνὶ σημείῳ τοῦ σώματος
ἐφαρμόζειν, διῃρημένας γε οὔσας ἐνεργείᾳ· τούτῳ δὲ ἕπεται τὸ καθ' ἓν 30
30 σημεῖον ἐψυχῶσθαι τὸ σῶμα, ὅπερ ἀδύνατον· καθ' ὅλον γὰρ ζῇ καὶ ἐψύ-
χωται. οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή· ταύτῃ γὰρ τῇ ὑποθέσει τὸ ἄτοπον
ἠκολούθησε. καὶ ἄλλως συμβήσεται τὴν ψυχὴν μίαν εἶναι στιγμήν. κἂν
εἴ τις δὲ μὴ τοῦτο ὑποθοῖτο πάσας τὰς τῆς ψυχῆς στιγμὰς μιᾷ στιγμῇ
τοῦ σώματος ἐφαρμόττειν, ἀλλὰ μίαν ψυχικὴν στιγμὴν μιᾷ σωματικῇ
35 στιγμῇ ἐφαρμόζειν, οὐδ' οὕτω τὸ ἄτοπον ὁ λόγος ἐκφεύξεται· καὶ οὕτω

---

1 αἱ ἐν — μονάδες Rt Arist.: ἐν τῷ σώματι αἱ μονάδες coll. D 1. 2 καὶ αἱ DR et Arist. E (ante corr.): καὶ Arist. SUVWy: ἢ t et Arist. T corr. E 7 εἰσὶ θέσιν — στιγμαὶ μονάδες (8) iteravit D, sed del. D¹ 10 τῷ om. t ἡ ἕτεραι D 14 post ἑτέρᾳ addiderat οὖσα, sed del. D 16 ψυχῆς om. D ante στιγμὰς add. τὰς t 18. 19 ἐφαρμόσουσι R 19 ποιήσωσι D 23 τὸ κέντρον t 26. 27 ὑπάρχειν R (cf. Anal. pr. A 13 p. 32a19): om. Dt 30 ἐμψυχῶσθαι D 30. 31 ἐμψύχωται D

γὰρ ἀνάγκη μὴ καθ' ὅλον ἑαυτὸ τὸ σῶμα ἐψυχῶσθαι, ἀλλὰ κατά τινας c 7r
τῶν ἐν αὐτῷ στιγμῶν, ὅλως δὲ μηδὲ εἶναί τι ἔμψυχον σῶμα. ὅλως δὲ αἱ 35
στιγμαὶ οὐ σῶμα· ὥστε ⟨εἰ⟩ αἱ ψυχικαὶ στιγμαὶ ἐν ταῖς τοῦ σώματος
στιγμαῖς ἐγγίνονται, οὐ ταὐτὸν δέ ἐστι τὸ σῶμα ταῖς ἐν αὐτῷ στιγμαῖς,
5 ὥσπερ οὐδὲ ταὐτόν ἐστιν εἰπεῖν πέρας καὶ περατούμενον, οὐδὲν ἄρα σῶμα
ἔμψυχον. εἰ δὲ αἱ τῆς ψυχῆς στιγμαὶ αἱ αὐταὶ εἶεν ταῖς τοῦ σώματος
στιγμαῖς, πᾶν δὲ σῶμα στιγμὰς ἔχει, ἔσται ἄρα πᾶν σῶμα ἔμψυχον. εἰ
μὲν οὖν εἰσιν ἕτεραι ⟨αἱ⟩ ἐν τῷ σώματι μονάδες καὶ αἱ στιγμαί
(μονάδας καὶ στιγμὰς ἐπὶ τοῦ αὐτοῦ φησι, λέγω δὴ τῶν ἐν τῷ σώματι 40
10 στιγμῶν· εἶπε γὰρ ὅτι καὶ αἱ στιγμαὶ μονάδες εἰσὶ θέσιν ἔχουσαι), εἰ οὖν
αἱ μονάδες, φησίν, ἤτοι αἱ στιγμαὶ αἱ ἐν τῷ σώματι ἕτεραί εἰσι ταῖς
μονάσιν ἤτοι ταῖς στιγμαῖς τῆς ψυχῆς, καθέξει χώραν στιγμῆς, ἡ μο-
νὰς δηλονότι τῆς ψυχῆς τῆς στιγμῆς τοῦ σώματος χώραν καθέξει. κοι-
νότερον δὲ εἶπε χώραν στιγμῆς· τὸ γὰρ ἀδιαίρετον οὐκ ἔστιν ἐν τόπῳ.
15 δύναται δὲ τόπον τῆς ψυχικῆς στιγμῆς εἰρηκέναι τὴν ἐν τῷ σώματι 45
στιγμήν.

p. 409a 23 Καίτοι τί κωλύει ἐν τῷ αὐτῷ εἶναι, εἰ δύο, καὶ
ἀπείρους;

Ἔχει ἡ ὑπόθεσις τὸ εἰκός· εἰ γὰρ δύο στιγμαὶ συνῆλθον ἐξ ἀνάγκης,
20 διότι αἱ στιγμαὶ τῆς ψυχῆς ἐν τῷ σώματι οὖσαι πάντως στιγμαῖς ταῖς
τοῦ σώματος ἐφαρμόσουσι, τί κωλύει καὶ πλείους συνελθεῖν ἐν ταὐτῷ καὶ
πάσας; ὥστε ἢ κατὰ μίαν στιγμὴν τοῦ σώματος ἔμψυχον ἔσται τὸ ζῷον,
εἰ πᾶσαι αἱ στιγμαὶ τῆς ψυχῆς μιᾷ στιγμῇ τοῦ σώματος ἐφαρμόσουσιν, ἢ
καθ' ἑκάστην τῶν ἐν τῷ σώματι στιγμῶν ψυχὴν ἕξει τὸ ζῷον· καὶ εἰ 50
25 ἄπειροι αἱ ἐν τῷ σώματι στιγμαί, ἢ πάσαις ἐφαρμόσουσιν αἱ ψυχικαὶ
στιγμαὶ καὶ οὕτως ἄπειροι ἔσονται ἐν τῷ ζῴῳ ψυχαί (ἔσται δὲ οὕτω καὶ
ἐνεργείᾳ τὸ ἄπειρον), ἢ οὐ πάσαις, καὶ οὐκ ἔσται καθ' ὅλον ἑαυτὸ ἔμψυχον
τὸ σῶμα οὐδ' ὅλως ἔμψυχον, ὡς εἴρηται. ὧν γὰρ ὁ τόπος ἀδιαίρετος,
καὶ αὐτά. ἐπειδὴ εἶπεν ὅτι οὐδὲν κωλύει ἐν τῷ αὐτῷ σημείῳ τοῦ σώ-
30 ματος ἄπειρα τῆς ψυχῆς ἐφαρμόσαι σημεῖα, ὡς γίνεσθαι σημεῖον ἓν τὴν
ψυχήν, αὐτὸ τοῦτο κατασκευάζει. εἰ γὰρ ὁ τόπος τῶν ἀπείρων στιγμῶν |

---

1 ἐμψυχῶσθαι D 2 ὅλως τε μηδὲ R 3 εἰ addidit Diels 6 αἱ αὐταὶ D^2Rt: ἑαυταὶ D^1 ταῖς Rt: ἐν ταῖς D 8 αἱ addidi coll. p. 169,1 καὶ αἱ Dt: αἱ om. R 9 ἐν σώματι t 11. 12 ἕτεραί εἰσι ταῖς μονάσιν] cf. p. 166, 13 169, 11 172, 10. 11 12. 13 ἡ μονὰς iterat t 13 δηλονότι — τῆς στιγμῆς Rt: ταῖς ψυχικαῖς δηλονότι στιγμαῖς D 21 τί om. D κωλύει DR et Arist. codd. plerique: κωλύσει t et Arist. VW 21 et 25 ἐφαρμόζουσι D 23 εἰ R: ἢ Dt στιγμῇ Rt: ψυχῇ D ἐφαρμόσουσιν ex ἐφαρμώσωσιν corr. D^1 24 καὶ εἰ R: καὶ ἢ Dt 25 αἱ ἐν R: αἱ om. Dt 27 οὐ πάσαις D: ἀπάσαις Rt 29 κωλύει D: κωλύσει Rt 30. 31 ἓν τὴν ψυχήν Dt: ἐν τῇ ψυχῇ R 31 κατασκευάζει D: κατασκευάσαι βούλεται Rt

τῆς ψυχῆς τὸ σημεῖόν ἐστι τὸ τοῦ σώματος, τοῦτο δὲ ἀδιαίρετον, καὶ e 7ᵛ τὰ ἄπειρα δηλονότι σημεῖα τὰ ἐφαρμόσαντα τῷ σημείῳ τοῦ σώματος ἀδιαίρετα ἔσται· ὡς γὰρ ἂν ἔχῃ ὁ τόπος, οὕτω καὶ τὰ ἐν αὐτῷ· ὥστε ἓν σημεῖον ἔσται ἡ ψυχή, καὶ καθ' ἓν σημεῖον ἔμψυχον τὸ σῶμα.

5 p. 409ᵃ25 Εἰ δ' αἱ ἐν τῷ σώματι στιγμαὶ ὁ ἀριθμὸς τῆς ψυχῆς, ἢ ὁ ἐκ τῶν ἐν τῷ σώματι στιγμῶν ἀριθμὸς ἡ ψυχή. 5

Τοῦτο ἕτερόν ἐστι μόριον τῆς διαιρέσεως. εἴπομεν γὰρ ὅτι ἢ αἱ αὐταί εἰσιν αἱ τῆς ψυχῆς στιγμαὶ ταῖς τοῦ σώματος ἢ ἕτεραι. γυμνάσας οὖν τὸ ἑτέρας εἶναι, νῦν τὸ λοιπὸν προχειρίζεται. εἰπὼν δὲ ὅτι αἱ ἐν 10 τῷ σώματι στιγμαὶ ὁ ἀριθμὸς τῆς ψυχῆς, ἐπαναλαμβάνει τὸν λόγον εἰς τὸ σαφέστερον· οὐ γὰρ ἔλεγον τὰς στιγμὰς ἀριθμὸν εἶναι τῆς ψυχῆς, ἀλλὰ τὸν ἀριθμὸν τῶν ἐν τῷ σώματι στιγμῶν τὴν ψυχήν, εἰ ταὐτὸν ὑποθοῖντο τὰς τῆς ψυχῆς στιγμὰς ταῖς τοῦ σώματος.

p. 409ᵃ28 Ἔτι δὲ πῶς οἷόν τε χωρίζεσθαι τὰς στιγμὰς καὶ 15 ἀπολύεσθαι τῶν σωμάτων, εἰ μὴ διαιροῦνται αἱ γραμμαὶ εἰς στιγμάς;

Ὁ Ξενοκράτης ἅτε δὴ Πλάτωνος ὢν μαθητὴς χωριστὴν ἔλεγεν εἶναι τὴν ψυχὴν τοῦ σώματος, ᾧ δῆλον ὅτι οὐκ ἀριθμὸν τοῦτον τὸν συνεγνωσμέ- 15 νον ἡμῖν αὐτὴν ἔλεγε (πῶς γὰρ ἐγχωρεῖ ἀριθμὸν καθ' αὑτὸν εἶναι;) ἀλλὰ 20 κατὰ ἀναλογίαν. πρὸς δὲ τὸ φαινόμενον ὁ Ἀριστοτέλης ἀπαντῶν, εἰ ἡ ψυχή, φησί, χωριστή, τὰς δὲ στιγμὰς ἀδύνατον χωρισθῆναι τοῦ σώματος, οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή. εἴπετο γὰρ τῷ ἀριθμὸν λέγειν τὸ στιγμὰς λέγειν· ὁ γὰρ ἀριθμὸς μονάδες, αὗται δὲ θέσιν ἔχουσαι στιγμαί εἰσιν. ἀδύνατον δὲ χωρισθῆναι τὰς στιγμὰς τὰς ἐν τῷ σώματι, ἐπεὶ μὴ διαιροῦνται 25 αἱ γραμμαὶ εἰς στιγμάς, ὥσπερ οὐδὲ τὰ ἐπίπεδα εἰς γραμμὰς οὐδὲ τὰ 20 σώματα εἰς ἐπιφανείας· γραμμῆς γὰρ μέρος γραμμή, στιγμὴ δὲ πέρας γραμμῆς· διαιρεῖται δὲ τὰ διαιρούμενα εἰς τὰ μέρη, οὐ τὰ πέρατα· τὸ γὰρ πέρας ἀχώριστον οὗ ἐστι πέρας.

---

1 ἐστὶ τοῦ σώματος D 3 ἔχῃ R: ἔχει Dt 5 στιγμαὶ DR Arist. vulg.: στιγμαί εἰσιν t et Arist. y τῆς DR Arist. E: ὁ τῆς t Arist. vulg. 6 ἢ ὁ DR: ἢ εἰ ὁ t et Arist. codd. praeter V omnes 7 ἕτερον iterat t 7. 8 αἱ αὐταὶ R: αἱ om. Dt 9 δὲ D: οὖν Rt 11. 12 τῆς ψυχῆς—τῶν Rt: ψυχῆς ἀλλ' ἀριθμὸν τὸν D 12 τῷ om. t 14 δὲ om. R στιγμὰς DR Arist. codd. EVWX: ψυχὰς t et Arist. ceteri 15 εἰ DR et Arist. E: εἴ γε t et Arist. vulg. 16 στιγμάς DR Arist. vulg.: τὰς στιγμάς t et Arist. TW 18 ὅτι om. D 19 ἡμῖν R: om. Dt 24 ἐπεὶ μὴ D: ἐπειδὴ οὐ Rt

p. 409a31 Συμβαίνει δέ, καθάπερ εἴπομεν, τῇ μὲν ταὐτὸ λέγειν e 7v
τοῖς σῶμά τι λεπτομερὲς αὐτὴν λέγουσι, τῇ δ', ὥσπερ Δημόκριτος κινεῖσθαί φησιν ὑπὸ τῆς ψυχῆς, ἴδιον τὸ ἄτοπον.

Τὰ αὐτά, φησίν, ἄτοπα ἕπεται τῇ Ξενοκράτους δόξῃ πῇ μὲν τοῖς σῶμα λεπτομερὲς λέγουσι τὴν ψυχήν, πῇ δὲ τῇ Δημοκρίτου δόξῃ. ἐκεῖνοι γὰρ ἔλεγον λεπτομερὲς εἶναι τὴν ψυχὴν σῶμα, ἵνα δύνηται δι' ὅλου χωρεῖν τοῦ σώματος καὶ ἔμψυχον ὅλον δι' ὅλου ποιοῦσα κινεῖν· ὥστε κατ' αὐτοὺς εἰ ἡ ψυχὴ σῶμα οὖσα δι' ὅλου χωρεῖ τοῦ σώματος καὶ ἔμψυχον ὅλον δι' ὅλου ποιοῦσα κινεῖ, δύο σώματα ἐν τῷ αὐτῷ ἔσονται, ὅπερ ἄτοπον. ταὐτὸν τοίνυν ἄτοπον συνέβαινε καὶ τοῖς ἀριθμὸν λέγουσιν. εἰ μὲν γὰρ ἄλλαι εἶεν μονάδες αἱ τῆς ψυχῆς ταῖς τοῦ σώματος στιγμαῖς, εἴπετο τὸ δύνασθαι πάσας τὰς τῆς ψυχῆς στιγμὰς μιᾷ στιγμῇ τοῦ σώματος ἐφαρμόζειν. ταύτῃ οὖν κοινωνοῦσι. καὶ ἄλλως αἱ μονάδες, ἐξ ὧν ὑπετίθετο ὁ Ξενοκράτης εἶναι τὴν ψυχήν, ἤτοι σωματικαί εἰσι καὶ ἀριθμηταί, ἢ οὐ σωματικαὶ οὐδὲ ἀριθμηταί, ἀλλὰ ἀμερεῖς καὶ ἀριθμοῦσαι μᾶλλον· πᾶς μὲν γὰρ σωματικὸς ἀριθμὸς πάντως ἀριθμητός, ὁ δὲ ἀριθμῶν ἀσώματος· ἁπλῶς γοῦν ἤτοι σωματικαί εἰσιν αἱ τῆς ψυχῆς μονάδες ἢ οὔ, ἀλλ' ἀμερεῖς. εἰ μὲν οὖν σωματικαὶ εἶεν, σῶμα διὰ σώματος χωρήσει, καὶ τὸ αὐτὸ ἕψεται τοῖς σῶμα λεπτομερὲς λέγουσι τὴν ψυχήν· εἰ δὲ ἀμερεῖς εἰσιν, εἰς τὰ αὐτὰ ἄτοπα ὑπαχθήσεται τῇ Δημοκριτείᾳ δόξῃ, εἴ γε καὶ ἐκεῖνος ταῖς ἀτόμοις ἐκίνει τὸ σῶμα, οὐχ ὅτι τοσόνδε ὄγκον ἔχουσιν ἢ ἁπλῶς ὄγκον, ἀλλ' ὅτι ἀριθμός. εἶπον δὲ ὅτι οὐ μόνον ἀριθμὸν ἀτόμων ἔλεγεν ὁ Δημόκριτος τὴν ψυχήν (οὕτω γὰρ ἂν αἱ τυχοῦσαι ἄτομοι ἐποίουν ψυχήν) ἀλλὰ μετὰ ὄγκου σφαιρικῶς ἐσχηματισμένου· οὐ γὰρ οἷόν τε ἄνευ ὄγκου σχῆμα εἶναι· πέρας γὰρ ὄγκου τὸ σχῆμα. ταῦτα μὲν οὖν εἰ μὴ αἱ αὐταί εἰσι στιγμαὶ αἱ τῆς ψυχῆς ταῖς τοῦ σώματος. εἰ δὲ εἶεν αἱ αὐταὶ στιγμαὶ ταῖς τοῦ σώματος αἱ τῆς ψυχῆς, εἴπετο εἶναι πᾶν σῶμα ἔμψυχον. εὐλογώτερον δὲ τὸ πρῶτον αὐτοὺς ὑποτίθεσθαι, εἴ γε μὴ πᾶν ἔλεγον ἔμψυχον. τοῦτο μὲν οὖν τὸ αὐτὸ ἄτοπον ἕψεται τοῖς τε λεπτομερὲς σῶμα λέγουσι τὴν ψυχὴν καὶ τοῖς ἀριθμόν. ἕπεται δὲ καὶ ἄλλο κοινὸν ἄτοπον τοῖς ἀριθμὸν λέγουσι καὶ Δημοκρίτῳ. ἔδειξε γὰρ καὶ ἐν τοῖς ἐπάνω μηδὲν διαφέρειν ἢ μικρὰ

---

1 ταὐτὸ λέγειν Dt Arist.: ταυτολογεῖν R 2 σῶμά τι DR Arist. vulg.: σῶμα t Arist. T λέγουσι DR: τιθεῖσι t Arist. 3 ὑπὸ τῆς ψυχῆς t Arist., item p. 173,9 DR: hic om. DR 5 σῶμα D: σῶμά τι Rt 7 κινῆ in ras. D² 8 καὶ ἔμψυχον — κινεῖ (9) om. R 9 post κινεῖ lac. exiguam habet, deinde iterat ὥστε (7) — σώματος (8) D ἔσονται Dt: ἔσται R 11 μονάδες D: αἱ μονάδες Rt 12 ψυχῆς στιγμὰς Dt: στιγμῆς R 17 post ἀμερεῖς iterat καὶ ἀριθμοῦσαι (15) — ἀσώματος (16) R 19 τὴν ψυχήν om. R 20 δημοκριτεία D: δημοκριτείῳ Rt 21 τοσόνδε D: ποσόνδε Rt 22 εἶπον scripsi: εἰπὼν libri ἀριθμὸν R: ἀριθμῶν Dt 23 ψυχήν (post ἐποίουν) D: τὴν ψυχήν Rt 25 ὄγκου γὰρ πέρας coll. t 26 ταῖς (post ψυχῆς) om. D 27 εἴπετο Dt: εἴπερ τὸ R 28 τοῦτο R: τούτω Dt

σφαιρία λέγειν κινούμενα συνεφέλκειν τὸ σῶμα, ἢ ἀριθμόν· οὐδὲ γὰρ τῷ e 7v
τὰς μὲν μεγέθη εἶναι, τὰς δὲ μονάδας ἀμερεῖς αἱ κινήσεις ἐγίνοντο, ἀλλὰ τῷ
ποσῷ· ὥστε τὸ θατέρῳ ἑπόμενον ἄτοπον καὶ τῷ λοιπῷ ἕψεται. εἴπετο
δὲ καὶ τῇ Ξενοκράτους δόξῃ ἰδίᾳ πολλὰ ἄτοπα καὶ τῇ Δημοκρίτου.
5 οὐκοῦν καὶ τὰ θατέρου θατέρῳ· τίνα δὲ ταῦτα, ἐν τοῖς ἐπάνω εἴρηται. 50
συμβαίνει δέ, καθάπερ εἴπομεν, τῇ μὲν ταὐτὸ λέγειν. τὸ ταὐτὸν
οὐκ ἐπὶ τὴν δόξαν ἀναφέρων ἀλλ' ἐπὶ τὸ ἑπόμενον ἄτοπον εἴρηκεν· οὐ τὰ
αὐτὰ μὲν γὰρ ἔλεγον περὶ ψυχῆς, τοῖς αὐτοῖς δὲ ἀτόποις περιέπιπτον. τῇ
δέ, ὥσπερ Δημόκριτος κινεῖσθαί φησιν ὑπὸ τῆς ψυχῆς, ἴδιον
10 τὸ ἄτοπον· καθό, φησί, κινεῖσθαι τὴν ψυχὴν ἔλεγεν ὁ Δημόκριτος, κατὰ
τοῦτο κοινωνῶν τῷ Ξενοκράτει· ἑκάτερος γὰρ αὐτῶν ἔλεγεν ὁ μὲν κινου-
μένας τὰς μονάδας κινεῖν τὴν ψυχήν, ὁ δὲ τὰ ἄτομα. κατὰ τοῦ|το οὖν e 8r
κοινωνοῦντες ἔχοιεν ἂν κοινὸν τὸ ἄτοπον ἀκολουθοῦν, ὅπερ ἄτοπον ὡς
πρὸς τὴν δόξαν τῶν λεγόντων σῶμα λεπτομερὲς τὴν ψυχὴν ἴδιόν ἐστι
15 Δημοκρίτου καὶ Ξενοκράτους. κατὰ τοῦτο μὲν οὖν ἐκοινώνουν, διέφερον
δὲ ὅτι ὁ μὲν ἀριθμοὺς ἔλεγεν, ὁ δὲ σώματα τὰς ἀτόμους.

p. 409b2 Εἰ γάρ ἐστιν ἡ ψυχὴ ἐν ἅπαντι τῷ αἰσθανομένῳ σώματι, ἀναγκαῖον ἐν τῷ αὐτῷ δύο εἶναι σώματα, εἰ σῶμά τι εἴη ἡ ψυχή.

20 Διὰ τούτων τὴν κοινωνίαν δείκνυσι Ξενοκράτους καὶ τῶν σῶμα 5
λεπτομερὲς λεγόντων. ἀκολουθεῖ γάρ, φησί, τοῖς σῶμα λεπτομερὲς λέγουσι
τὸ σῶμα διὰ σώματος χωρεῖν, εἴ γε δεῖ δι' ὅλου τοῦ σώματος χωρῆσαι
τὴν ψυχήν, ἵνα ὅλον ἔμψυχον ᾖ τὸ σῶμα καὶ ὅλον κινῆται. εἰ δέ τις
λέγοι ὅτι δύναται εἰς τὰ κενὰ τοῦ σώματος δῦσα ἡ ψυχὴ οὕτως αὐτὸ
25 κινεῖν ὡς τὰ ἐν ἀγγείοις, μάλιστα οὕτως οὐκ ἂν εἴη ἐν τῷ σώματι· πα-
ρακείσεται γὰρ αὐτῷ καὶ οὐκ ἐν παντὶ ἔσται· πῶς οὖν ὅλον ἔμψυχον;
ἔπειτα εἰ ἔξωθεν παρακειμένη οὐ ποιεῖ αὐτὸ ἔμψυχον, οὐδὲ ἔσωθεν ἄρα. 10

p. 409b7 Συμβαίνει τε κινεῖσθαι τὸ ζῷον ὑπὸ τοῦ ἀριθμοῦ, καθάπερ καὶ Δημόκριτον ἔφαμεν αὐτὸ κινεῖν.

30 Τὴν Δημοκρίτου καὶ Ξενοκράτους διὰ τούτων παραβάλλει δόξαν. τὰ
αὐτά, φησί, συμβήσεται ἄτοπα καὶ τούτοις, ἐπεὶ ἀμφότεροι τῷ κινεῖσθαι 15
τὰς ἀτόμους ἢ τὰς μονάδας τὸ σῶμα κινεῖσθαι ἔλεγον. τὰ δὲ ἑπόμενα

---

2 αἱ κινήσεις ἐγίνοντο Rt: ἢ κινήσεις ἐγένετο D 3 ὥστε τῷ θατέρῳ t 10 καθὸ om. t 12 κινῶν t κατὰ DR: καὶ t 17 εἰ DRt, Arist. E¹: εἴπερ Arist. codd. rell. et corr. E αἰσθανομένων t 18 ἀναγκαῖον — ψυχή (19) Dt: καὶ τὰ ἑξῆς R 18. 19 τι ἡ ψυχή Arist. 20 διὰ τούτων Rt: διατουτο (sic) D 23 ᾖ Dt: εἴη R 24 λέγοι D: λέγει Rt δῦσα scripsi: οὖσα libri αὐτὸ — οὕτως (25) om. D 25 ἐν τῷ Dt: τῷ om. R 26 καὶ om. t 28 ante κινεῖσθαι add. τὸ σῶμα t

κοινῶς ἄτοπα τούτοις οὐκ ἐπήγαγεν, ὡς ἤδη αὐτὰ εἰρηκώς, οἷον ὅτι ἢ e 8r
ὑφ' ἑαυτῶν κινοῦνται ἢ ὑπὸ ἄλλων· τίς οὖν ἡ διαφορὰ μονάδος ἢ πρὸς
ἑαυτὴν ἢ πρὸς ἄλλην; μονάδες γὰρ δυνάμει καὶ αἱ ἄτομοι Δημοκρίτου,
ἐπειδὴ οὐ καθὸ συνεχεῖς ἦσαν ἐκίνουν, ἀλλὰ καθὸ διωρισμένον ποσόν,
5 ὥσπερ ὁ ἀριθμός. βουλόμενος δὲ προσοικειῶσαι ἀλλήλαις τὰς δόξας ταύ-
τας σφαίρας μὲν μικρὰς εἶπε, μονάδας δὲ μεγάλας. εἴ τε γὰρ τῶν σφαι- 20
ρῶν ἀφέλοις τὸ συνεχές, ἔσονται στιγμαὶ ἢ μονάδες τοῦ μεγέθους ἀφῃρη-
μέναι, εἴ τε προσλάβοιεν αἱ στιγμαὶ ἤτοι αἱ μονάδες μέγεθος, ἔσονται
τοιαῦται, οἷαίπερ ἦσαν καὶ αἱ Δημοκρίτου σφαῖραι, οἷον μεγάλαι μονάδες.
10 ἢ ὅλως μονάδας. ἐπειδὴ βουλόμενος δεῖξαι ὅτι πρὸς τὸ κινεῖν οὐδὲν
συνεβάλλετο οὔτε ταῖς ἀτόμοις τὸ μέγεθος οὔτε ταῖς μονάσι τὸ ἀμερές,
τὰ μὲν ἄτομα εἶπε μικρά, τὰς δὲ μονάδας μεγάλας, ἵνα δείξῃ ὅτι οὐδὲν
τοῦτο διαφέρει, ἐπήγαγεν ἢ ὅλως μονάδας.

p. 409ᵇ11 Τοῖς δὴ συμπλέξασιν κίνησίν τε καὶ ἀριθμὸν εἰς τὸ 25
15 αὐτὸ ταῦτά τε συμβαίνει καὶ πολλὰ ἕτερα τοιαῦτα.

Συμπέρασμά ἐστι τοῦτο τῶν εἰρημένων· ἐνδείκνυται δὲ ὅτι οὐ μόνον τὰ εἰρημένα ἄτοπα ἀλλὰ καὶ ἄλλα πολλὰ αὐτοῖς ἀκολουθεῖ· τίνα δέ, ἐπιφέρει.

p. 409ᵇ13 Οὐ γὰρ μόνον ὁρισμὸν ψυχῆς ἀδύνατον τοιοῦτον εἶναι,
20 ἀλλὰ καὶ συμβεβηκός.

Ἐλέγξας ὅτι μὴ δύναται οὐσίας ψυχῆς εἶναι ὁρισμὸς ὁ ἀποδεδομένος ὑπὸ Ξενοκράτους λόγος ὅτι ψυχή ἐστιν ἀριθμὸς κινῶν ἑαυτόν, ἑξῆς δείκνυσιν ὅτι μηδὲ τῶν ἑπομένων τι τῇ ψυχῇ καὶ ὑπαρχόντων αὐτῇ, ἅπερ ἐστὶ τὰ πάθη καὶ αἱ ἐνέργειαι, δύναται ἀριθμὸς εἶναι κινῶν ἑαυτόν. τὰ γὰρ
25 πάθη τῆς ψυχῆς εἰσι λογισμοί, λῦπαι, ἡδοναί, φόβοι καὶ τὰ τοιαῦτα. τί 35
τοίνυν δύναται λέγεσθαι ἀριθμὸς κινῶν ἑαυτόν, οὐδὲ μαντεύσαιτο ἄν τις, μήτι γε εἰκότι λόγῳ χρήσαιτο, πῶς κινούμενος ὁ ἀριθμὸς διάνοια ἔσται ἢ πῶς αἴσθησις ἢ πῶς λύπη, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. καὶ ἄλλως, εἰ ὁ ἀριθμὸς κινῶν ἑαυτὸν ἡ ψυχή, ἐπειδὴ διάφορα τὰ τῆς ψυχῆς μόρια καὶ
30 αἱ δυνάμεις, ἀνάγκη μὴ τὸν αὐτὸν ἀριθμὸν εἶναι πᾶσαν ψυχικὴν δύναμιν. ποῖος οὖν ἀριθμὸς ἔσται τὸ λογικὸν τῆς ψυχῆς μόριον καὶ ταύτης αἱ διάφοροι δυνάμεις, ποῖος μὲν τὸ διανοητικόν, ποῖος δὲ τὸ δοξαστικόν, καὶ ἐπὶ 40
τῆς ἀλόγου ποῖος μὲν τὸ φανταστικὸν ἢ τὸ αἰσθητικὸν ἢ τῶν ἄλλων τι,

---

1 οἷον om. D ἢ om. D 9 καὶ om. R 10 ante ἢ ὅλως add. ἢ μεγάλας μονάδας R 11 συνεβάλλετο D: συνεβάλετο Rt 12 εἶπες R 14 κίνησίν τε — αὐτὸ (15) DR: εἰς τὸ αὐτὸ κίνησιν καὶ ἀριθμὸν t Arist. 24 αἱ ἐνέργειαι R: αἱ om. Dt 27 μήτι γε DR: μή τινι t 29. 30 καὶ αἱ D: ἢ αἱ Rt 33 τὸ ante αἰσθητικὸν om. D

τῷ ὄντι οὐδὲ πλάσασθαι ῥᾴδιον. καὶ ταῦτα οὖν πρὸς τοῖς εἰρημένοις τὰ e 8r
ἄτοπα τῇ Ξενοκράτους ἕψεται δόξῃ.

p. 409ᵇ18 Τριῶν δὲ τρόπων ἀποδεδομένων, καθ' οὓς ὁρίζονται τὴν ψυχήν.

Συμπεραίνει τὰ εἰρημένα, ἵνα προσθῇ τὸ λειπόμενον. εἶπε γὰρ ὅτι τῶν περὶ ψυχῆς εἰπόντων οἱ μὲν εἰς τὸ κινητικὸν αὐτῆς ἀπέβλεψαν, οἱ δὲ εἰς τὸ γνωστικόν, οἱ δὲ εἰς τὸ λεπτομερὲς ἢ ἀσώματον. ἐλέγξας οὖν τοὺς εἰς τὸ κινητικὸν αὐτῆς ἀποβλέψαντας καὶ εἰς τὸ ἀσώματον, νῦν ἐπὶ τὸ λοιπὸν μεταβαίνει. κινεῖν μὲν γὰρ αὐτὴν καὶ αὐτὸς βούλεται, καὶ ταύτῃ ἀποδέχεται τοὺς εἰς τοῦτο ἀποβλέψαντας, ὥσπερ καὶ τοὺς εἰς τὸ γνωστικὸν καὶ ἀσώματον· μέμφεται δὲ τοῖς μὲν ὅτι τῷ κινεῖσθαι οὕτω κινεῖν ἔλεγον, τοῖς δὲ ὅτι περιφαντασθέντες τὸ ἀσώματον οὐκ ἐκράτησαν τοῦ λόγου, ἀλλὰ λεπτομερὲς αὐτὴν σῶμα ἔλεγον. ταῦτα δὲ τίνας ἀπορίας καὶ ὑπεναντιώσεις ἔχει, διεληλύθαμεν σχεδόν. ἠκολούθει γὰρ τοῖς τε κινητικώτατον καὶ τοῖς λεπτομερέστατον λέγουσι τό τε σῶμα διὰ σώματος χωρεῖν e 8v
καὶ τὸ οὕτω κινεῖσθαι τὸ σῶμα ὑπὸ τῆς ψυχῆς, ὥσπερ ὑπὸ τοῦ ὑδραργύρου ἡ ξυλίνη Ἀφροδίτη, τούτῳ δὲ εἵπετο τὸ δύνασθαι πάλιν εἰς τὰ νεκρὰ σώματα εἰσιοῦσαν κινεῖν, καὶ τὸ μὴ εἶναι στάσεως τῷ ζῴῳ τὴν ψυχὴν αἰτίαν. καὶ οἱ πρὸς τὸ αὐτοκίνητον δὲ εἰρημένοι λόγοι πρόδηλοι. λείπεται οὖν ἐλέγξαι τοὺς εἰς τὸ γνωστικὸν αὐτῆς ἀποβλέψαντας, οἵτινες 5
ἐκ τῶν στοιχείων τῶν ὄντων ἔλεγον αὐτήν, ἵνα γνωρίζῃ τῷ ὁμοίῳ τὸ ὅμοιον· ᾧ λόγῳ φησὶ πολλὰ ἀδύνατα ἕπεσθαι.

p. 409ᵇ26 Τίθενται γὰρ γνωρίζειν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ ἂν εἰ τὴν ψυχὴν τὰ πράγματα τιθέντες.

Ἐπειδὴ γὰρ γνωστικὴν εἰδῶν τὴν ψυχὴν ἔχουσαν δύναμιν, λέγουσι δὲ τῷ ὁμοίῳ τὸ ὅμοιον γινώσκεσθαι, μονονουχὶ λέγουσι πάντα τὰ ὄντα τὴν ψυχὴν εἶναι· ἀλλ' ὡς ἄτοπον τοῦτο φυγόντες ἐκ τῶν στοιχείων αὐτὴν 15
τῶν ὄντων ποιοῦσιν. ἕπεται δὲ τῷ λόγῳ τούτῳ πολλὰ ἀδύνατα. εἰ γὰρ γνωρίζει τῷ ὁμοίῳ τὸ ὅμοιον, ταῦτα γνωρίσει, ἐξ ὧν αὐτὴ σύγκειται, λέγω δὴ τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς τῶν ὄντων. οὔκ εἰσι δὲ ἐν τοῖς οὖσιν αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα μόνα, ἀλλ' ἔστι πολλὰ καὶ ἄπειρα τὸν ἀριθμὸν τὰ παρὰ τὰς ἀρχὰς καὶ ἐξ αὐτῶν συγκείμενα, ἅπερ καὶ ἀλλήλων καὶ τῶν ἀρχῶν διαφέρουσι. πῶς οὖν ταῦτα γνώσεται; ἐξ ὧν μὲν οὖν εἰσι ταῦτα

---

3 ἀποδεδομένων DR: παραδεδομένων t Arist. 10 τοὺς (ante εἰς τοῦτο) ex τῆς corr. D¹ 11 τοῖς μὲν Dt: τοὺς μὲν R περιφαντασθέντες scripsi coll. p. 184,11: περ φαντασθέντες libri 13 ταῦτα ex ταύτας corr. D¹ 17 τούτω ex τοῦτο corr. D¹ ut vid. 18 καὶ τὸ R: καὶ τῷ Dt 22 ἕπεται t 24 τιθέντες DR Arist. vulg.: τίθενται t Arist. y: τιθένται Arist. E² 25 γνωστικὴν εἰδῶν D: γνωστικὸν εἶδος Rt: fort. γνωστικὴν εἶδον 27 φευγόντες sic t 28 τούτω ex τοῦτο corr. D 29 αὐτὴ Dt: αὕτη R 30 καὶ τὰς — στοιχεῖα (31) om. D

γνώσεται, λέγω δὴ τὰ στοιχεῖα, οὐκέτι δὲ καὶ αὐτὰ τὰ ἐκ τῶν στοιχείων. e 8r
μετὰ ποιᾶς γὰρ συνθέσεως ἕκαστον τούτων ἐστίν, ἧς συνθέσεως οὐ μετέ- 20
χουσα ἡ ψυχὴ οὐ γνωριεῖ αὐτά, εἴπερ τῷ ὁμοίῳ τὸ ὅμοιον γινώσκει. ὅτι
δὲ ἑκάστου λόγος ἴδιός ἐστι συνθέσεως, παρατίθεται αὐτὸ τοῦτο πιστού-
5 μενος καὶ τὰ Ἐμπεδόκλεια ἔπη τοῦτο δηλοῦντα. ὥστε εἰ δεῖ καὶ ταῦτα
γνωρίζειν τὴν ψυχήν, δεῖ τοὺς λόγους τῶν συνθέσεων αὐτῶν ἔχειν· εἰ δὲ μὴ
ἔχει, οὐ γνωριεῖ αὐτά. διόπερ καὶ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ οὐκ ἠρκέσθη
ἐκ τῶν στοιχείων ποιῆσαι τὴν ψυχήν, ἀλλὰ καὶ τὴν σύνθεσιν αὐτῆς κατὰ
ἁρμονικοὺς ἀριθμοὺς ποιεῖ. εἰ δὲ καὶ τὰ στοιχεῖα, ἐξ ὧν τὰ πράγματα, 25
10 ἐν τῇ ψυχῇ καὶ οἱ λόγοι τῶν συνθέσεων, καθ' οὓς σύγκειται, ἀνάγκη
πάλιν πάντα τὰ πράγματα εἶναι τὴν ψυχήν· εἰ γὰρ καὶ τὰ στοιχεῖα τοῦ
ἀνθρώπου ἐν τῇ ψυχῇ καὶ οἱ λόγοι τῆς συνθέσεως τούτων, ἄνθρωπος ἄρα
ἡ ψυχή, καὶ ὁμοίως καὶ ἐπὶ λίθου καὶ τῶν ἄλλων· οὐδὲν γὰρ ἄλλο ἐστὶν
ἕκαστον τῶν πραγμάτων, εἰ μὴ τὰ στοιχεῖα μετὰ ποιᾶς συνθέσεως. εἰ
15 μὲν γὰρ οἱ λόγοι τῆς συνθέσεως τῶν στοιχείων, οἷον ὁ ἡμιόλιος τυχὸν ἢ 30
ἄλλος ὁστισοῦν, καθ' αὑτοὺς ἐπεφύκεσαν εἶναι, κἂν πιθανότητα εἶχε τὸ
πλάσμα, ὅτι ἔχουσα τὰ στοιχεῖα ἡ ψυχή, ἔχουσα δὲ καὶ τοὺς λόγους τῶν
πραγμάτων, οὕτω γινώσκει τὰ σύνθετα· ἐπειδὴ δὲ οἱ λόγοι τῶν συνθέσεων
ἐν τοῖς συντεθεῖσι στοιχείοις εἰσίν, ἀνάγκη πᾶσα τὸν λέγοντα ἐν τῇ ψυχῇ
20 τὰ στοιχεῖα εἶναι, εἶναι δὲ καὶ τοὺς λόγους τῆς συνθέσεως τῶν πραγμά-
των, μηδὲν ἄλλο λέγειν ἢ ὅτι αὐτὰ τὰ πράγματα ἐν τῇ ψυχῇ ἐστιν. οἷον
ἵππος καὶ λίθος καὶ τὰ λοιπά. τοῦτο δὲ ὅτι ἄτοπον, οὐδὲ λέγειν δεῖ.
ἄπειρα δέ φησι τὰ πράγματα οὐ τῇ φύσει ἀλλ' ἡμῖν, ἢ εἰ μὴ τοῦτο, τῷ 35
ἀεὶ γίνεσθαι ἄπειρα.

25 p. 410a4 Ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισι τῶν δύο
τῶν ὀκτὼ μοιράων λάχε Νήστιδος αἴγλης, τέσσαρα δ' Ἡφαί-
στοιο· τὰ δ' ὀστέα λευκὰ γένοντο.

Ἐπειδὴ τῶν ἐπῶν τούτων ἐμνήσθη πρὸς πίστιν τοῦ κατά τινα λόγον
συνθέσεως ποιεῖν αὐτοὺς τὰ πράγματα, εἰ μέλλοιμεν παρακολουθεῖν τοῖς
30 ἔπεσι, δεῖ μικρὰ εἰπεῖν περὶ αὐτῶν. ὀκτὼ μοίρας παραλαμβάνει εἰς τὴν
τῶν ὀστῶν γένεσιν ὁ Ἐμπεδοκλῆς. ὧν τέσσαρας μὲν πυρός, δύο δὲ γῆς,
ἀέρος δὲ καὶ ὕδατος ἀνὰ μίαν. διὰ τί δὲ ὀκτὼ λέγομεν; ἴσμεν ὅτι εἰς
τὴν γένεσιν τῶν ὄντων τοὺς ἁρμονικοὺς οἱ Πυθαγόρειοι παρελάμβανον 45

---

4. 5 πιστούμενος Rt: πιστευόμενος D 5 ἔπη R: ἐπὶ Dt καὶ ταῦτα DR: καὶ om. t 7 διόπερ Dt: διὸ R ἐν τῷ Τιμαίῳ] p. 35 B sqq. 8 αὐτῆς Rt: αὐτὴν D 9 δὲ om. D 10 συνθέσεων AD: συνθέτων Rt σύγκεινται R 13 καὶ (ante ὁμοίως) om. R 22 ἄτοπον ὅτι coll. D 25 Ἡ δὲ χθὼν κτλ.] Empedocl. fragm. vv. 211 sqq. Mullach εὐστέρνοισιν R τῶν δύο DR Arist. plerique: τὰ δύο t Arist. E (corr. ex τῶν) V: τὼ δύο recte Diels Herm. XV, 166 sq. 26 μοιράων DRt Arist. UVW: μερέων recte Arist. ESTX 27 λευκὰ γένοντο Dt Arist. ETVWy: λεύκ' ἐγένοντο R Arist. SUX 30 μικρὸν R 31 τέσσαρα D 32 λέγωμεν R

ἀριθμούς. εἰς τὴν γένεσιν οὖν τῶν ὀστῶν παραλαμβάνει τὸν ὀκτώ, διότι e 8v
πρῶτος κύβος ὁ $\bar{η}$. τὸ δὲ κυβικὸν σχῆμα ἀπονέμουσι τῇ γῇ. οὐχ ὅτι κυ-
βικὸν τὸ σχῆμα τῆς γῆς. ἀλλὰ διὰ τὸ ἀκίνητον· ὡς οὖν γηΐνων τῶν
ὀστῶν ὄντων, εἰκότως τὸν κύβον εἰς τὴν αὐτῶν γένεσιν παρέλαβεν. ὁ δὲ
5 κύβος σύγκειται ἐξ ἁρμονικῶν ἀριθμῶν· ἔχει γὰρ πλευρὰς μὲν δώδεκα,
γωνίας δὲ ὀκτώ, ἐπίπεδα δὲ ἕξ· ἔχουσιν οὖν τὰ μὲν δώδεκα πρὸς τὸν
ὀκτὼ τὸν ἡμιόλιον λόγον, πρὸς δὲ τὰ ἕξ τὸν διπλάσιον, ὁ δὲ ὀκτὼ πρὸς
τὸν ἕξ τὸν ἐπίτριτον. οὗτοι δὲ οἱ ἀριθμοὶ ποιοῦσιν ἁρμονικοὺς λόγους· ὁ 30
μὲν γὰρ διπλασίων λόγος ποιεῖ τὴν διὰ πασῶν καλουμένην ἁρμονίαν. διὰ
10 πασῶν δὲ καλεῖται, ὅτι σύγκειται ἐξ ἡμιολίου καὶ ἐπιτρίτου λόγου· ὅταν γὰρ
οὕτως ἔχωσιν αἱ χορδαί, ὥστε τὴν μὲν πρώτην πρὸς τὴν δευτέραν τὸν
ἡμιόλιον ἔχειν λόγον, τὴν δὲ δευτέραν πρὸς τὴν τρίτην τὸν ἐπίτριτον, τότε
ἡ πρώτη πρὸς τὴν τρίτην τὸν διπλάσιον ἕξει λόγον, ὡς ἔχει ὁ $\overline{ιβ}$, $\bar{η}$, $\bar{ς}$·
διὰ πασῶν οὖν ὡς πάντας ἔχουσα τοὺς ἁρμονικοὺς λόγους. //ἡ δὲ ἐν ἐπι-
15 τρίτῳ λόγῳ ἁρμονία καλεῖται διὰ τεσσάρων. [δύο γὰρ τιθεμένων] πλευ- f 1r
ραὶ μὲν οὖν εἰσιν ἐν τῷ ὑποκειμένῳ κύβῳ αἱ ἀπὸ τοῦ Α ἕως τοῦ Μ,
γωνίαι δὲ αἱ ἀπὸ τοῦ Ν ἕως τοῦ Υ. τὸ δὲ ἐπὶ τῶν ἐπιφανειῶν, ὅτι $\bar{ς}$, πρό-
δηλον· τριῶν γὰρ οὐσῶν διαστάσεων ἑκάστη δύο πέρατα ἔχει. ὅτι δὲ ὁ
ὀκτὼ κύβος, πρόδηλον. κύβος γάρ ἐστιν ὁ ἔχων τὰς τρεῖς διαστάσεις ἴσας,
20 μῆκος, πλάτος, βάθος, μετρεῖται δὲ οὕτως· λαβόντες τὴν πλευρὰν τῆς μιᾶς 5
διαστάσεως, πολλαπλασιάζομεν ἐφ' ἑαυτήν. οἷον εἰ ἔχοι ἑκάστην πλευρὰν
τριῶν πηχῶν, τὴν μίαν ἐφ' ἑαυτὴν πολλαπλασιάσαντες, οἷον τρὶς τὰ τρία
ἐννέα, εἶτα πάλιν τὴν πλευρὰν ἐπὶ τὸν γενόμενον πολλαπλασιάσαντες τρὶς
ἐννέα φαμὲν εἴκοσι ἑπτὰ στερεῶν πηχῶν εἶναι τὸν κύβον. οὕτως οὖν καὶ
25 ἐπὶ τοῦ ἀριθμοῦ· ὅταν γὰρ τρεῖς ἀριθμοὶ ἴσοι ἐφ' ἑαυτοὺς πολλαπλασι-
ασθῶσιν, ὁ γινόμενος ἐξ αὐτῶν κύβος ἐστίν, οἷον δὶς δύο τέσσαρα καὶ δὶς
τέσσαρα $\bar{η}$. διὸ καὶ ὁρίζονται αὐτὸν κύβον λέγοντες εἶναι ἀριθμὸν ἴσον
ἰσάκις ἴσον. καὶ πάλιν ὅταν ὁ ποιήσας τὸν τετράγωνον ἀριθμὸν ἐπὶ τὸν 10
τετράγωνον πολλαπλασιασθῇ, κύβον ποιεῖ· πᾶς δὲ ἀριθμὸς ἐφ' ἑαυτὸν
30 πολλαπλασιαζόμενος τετράγωνον ποιεῖ· δὶς δύο τέσσαρα, καὶ δὶς τέσσαρα $\bar{η}$.
ἡ δὲ χθὼν ἐπίηρος, τουτέστιν ἡ εὐάρμοστος· εὐάρμοστος δὲ ὡς κυβική.
διότι ἐξ ἁρμονικῶν ὁ κύβος ἀριθμῶν. ἐν εὐστέρνοις χοάνοισιν ἀντὶ
τοῦ πλατέσι· καὶ γὰρ τὰ στέρνα πλατύτερα τῶν ἄλλων τοῦ ζῴου μερῶν.
ὥσπερ δὲ ὁ ποιητὴς ὑποτίθεται τὸν Ἥφαιστον ἐν χωνείᾳ βάλλοντα τὸν
35 χρυσὸν καὶ τὸν χαλκὸν καὶ τὰ λοιπά, οὕτω καὶ αὐτὸς τὴν χώνειαν ἐν τῇ 15

---

1 τὸ ὀκτώ D 4 παρέλαβον D 6 δὲ (ante ἕξ) om. R τὸν om. R
15 δύο γὰρ τιθεμένων si Philoponi sunt, huc certe falso sunt inserta: pertinent enim ad v. 18. 19 ὅτι δὲ ὁ ὀκτὼ κύβος 16 τοῦ α' Rt: τοῦ om. D 17 τοῦ υ' Rt: τοῦ γ' fort. D ἐπὶ D: om. Rt 21 ἔχει t 22 πολλαπλασιάσαντας D τρὶς R: τρεῖς Dt 23 τρὶς scripsi: τρεῖς libri 26 γενόμενος R 28 ὁ om. R 29 πᾶς—ποιεῖ (30) om. R 31 ἡ ante εὐάρμοστος om. t 34 ὁ ποιητὴς] cf. Il. Σ 474 sq. χονεία et 35 χονείαν t fort. βάλλονται D 34. 35 τὸν χρυσὸν DR: τε χρυσὸν t

γῇ ὑποτίθεται. τῶν δύο τῶν ὀκτὼ μοιράων λάχε Νήστιδος αἴγλης. f 1r
λέγει δὲ ὕδατος καὶ ἀέρος δύο μοίρας ἐν τῇ γῇ ἐμβληθῆναι. σημαίνει δὲ διὰ τοῦ μὲν Νήστιδος παρὰ τὸ νάειν τὸ ὑγρὸν τοῦ ὕδατος καὶ τοῦ ἀέρος, διὰ δὲ τῆς αἴγλης τὸ διαφανές. τέσσαρα δέ, φησίν, Ἡφαίστοιο. ὥστε
5 τὰ λειπόμενα δύο γῆς εἶεν ἄν, ἅπερ ὁ ἀὴρ καὶ τὸ ὕδωρ ἐμβληθέντα ἐν τῇ γῇ ὡς ἐν χωνείᾳ ἀποδιέλαβε καὶ ἐκέρασεν. ἐπειδὴ δὲ καὶ ξηρὰ καὶ λευκά ἐστι τὰ ὀστᾶ, πλεῖον παραλαμβάνει γῆς καὶ πυρός, δύο μὲν γῆς, τέσσαρα 20
δὲ πυρός· τῇ πυρίᾳ γὰρ οὐσίᾳ τὸ λευκὸν ἀποδιδόασιν· ἑκατέρας δὲ τῶν ὑγρῶν οὐσιῶν, τῆς τε τοῦ ἀέρος λέγω καὶ τῆς τοῦ ὕδατος, ἀνὰ μίαν μοῖραν.
10 καὶ ἄλλως, εἰ ἔδει τὸν ὀκτὼ εἰς ἁρμονικοὺς κατατεμεῖν ἀριθμούς, οὐχ οἷόν τε ἦν εἰς ἄλλους διαιρεθῆναι ἢ εἰς οὓς διεῖλεν. ἔδει μὲν γὰρ εἰς ὃ διαιρεθῆναι, ἵνα ἑκάστῳ τῶν στοιχείων ἀποδοθῇ τις μοῖρα, εἰς ἴσα δὲ οὐκ ἔδει διὰ τὸν εἰρημένον λόγον· περιελείπετο οὖν ἢ εἰς δύο τριάδας καὶ δύο μονάδας, ἢ ὡς αὐτὸς διεῖλεν. ἀλλ' αἱ δύο τριάδες οὐκ ἔχουσιν ἁρμονικὸν 25
15 λόγον πρὸς ἀλλήλας, ὥσπερ οὐδὲ αἱ δύο μονάδες, ἐκεῖ μέντοι πλείους αἱ ἁρμονικαὶ σχέσεις· καὶ γὰρ ἡ τετρὰς πρὸς τὴν δυάδα καὶ αὕτη πρὸς τὰς μονάδας ἁρμονικὸν σώζει λόγον.

p. 410a13 Ἔτι δὲ πολλαχῶς λεγομένου τοῦ ὄντος· σημαίνει γὰρ τὸ μὲν τόδε τι, τὸ δὲ ποσόν, τὸ δὲ ποιόν.

20 Εἰ τῷ ὁμοίῳ τὸ ὅμοιον γινώσκει, καὶ διὰ τοῦτο δεῖ αὐτὴν ἐκ τῶν στοιχείων τῶν ὄντων εἶναι, ἐπειδὴ πολλά, φησί, τὰ ὄντα, διαιροῦνται δὲ εἰς τὰς δέκα κατηγορίας, γινώσκει δὲ πάντα τὰ ὄντα ἡ ψυχή, ἢ ἀνάγκη κοινάς τινας εἶναι ἀρχὰς τῶν δέκα κατηγοριῶν καὶ στοιχεῖα, ἐξ ὧν οὖσα 35
ἡ ψυχὴ γνώσεται πάντα τὰ ὄντα, ἢ κοινῶν μὴ οὐσῶν ἀρχῶν, ἀλλ' ἑκάστης
25 κατηγορίας ἰδίων οὐσῶν ἀρχῶν, οἷον οὐσίας μὲν ὕλης καὶ εἴδους, ποσοῦ δὲ ἤτοι τοῦ συνεχοῦς ποσοῦ καὶ τοῦ διωρισμένου, ἤτοι τοῦ σημείου καὶ τῆς μονάδος (τὸ μὲν γὰρ ἀρχὴ τοῦ συνεχοῦς ποσοῦ, ἡ δὲ τοῦ διωρισμένου), ὁμοίως δὲ καὶ ἑκάστης τῶν ἄλλων ἀρχῶν τινων οὐσῶν (ἀρχὰς δὲ νῦν τῶν κατηγοριῶν λέγω τὰς στοιχειώδεις καὶ συγκατατεταγμένας, ὥσπερ καὶ
30 λίθου τυχόν ἐστιν ἀρχὴ καὶ ἡ οὐσία, ἔστι δὲ καὶ τὰ τέσσαρα στοιχεῖα), ἢ 40
οὖν ἐκ πασῶν ἔσται τῶν ἀρχῶν τῶν κατηγοριῶν ἢ ἐκ τῶν τῆς οὐσίας. ἀλλ' εἰ ἐκ τῶν τῆς οὐσίας ἀρχῶν ἔσται ἡ ψυχή, πῶς γνώσεται τὸ ποσὸν ἢ ποιὸν ἢ τὰς ἄλλας κατηγορίας; εἰ δὲ ἐκ τῶν τοῦ ποσοῦ ἀρχῶν ἡ ψυχὴ

---

1 ὀκτὼ] ἐκ τῶν D μοιράων t, ut p. 176, 26 libri: μοιρῶν R: μορέων ex μερέων corr. D[1] 2 δὲ (post λέγει) om. R ἐμβληθῆναι Dt: βληθῆναι R δὲ (ante διὰ) Dt: οὖν R 3 διὰ τοῦ μὲν D: διὰ μὲν τῆς Rt 5 ἐμβληθέντα Dt: ἐκβληθέντα R 6 ἀποδιέβαλε R 9 τῆς (post καὶ) om. R 10 κατατέμνειν R 12 ἀποδοθῇ Rt: ἡ ἀπαθῆ D 13 διὰ τὸν R: δὲ τὸν Dt 14 ἀλλ' αἱ R: ἄλλαι Dt 15 αἱ (post πλείους) om. D 16 σχέσεις Dt: στάσεις R τετρὰς πρὸς Rt: τετράπλευρος D αὕτη scripsi: αὐτὴ libri 19 τὸ δὲ ποιόν DR: ἢ ποιόν t Arist. 21 διαιροῦνται δὲ Dt: διαιρεῖται γὰρ R 28 καὶ ἑκάστης Rt: ἑκάστη D 30 τέσσαρα om. R

ἤ τινος ἄλλης τῶν παρὰ τὴν οὐσίαν, πῶς ἐκ τῶν ἀρχῶν τοῦ ποσοῦ οὐσία f 1r
γίνεται; ἡ γὰρ ψυχὴ οὐσία ἐστί. καὶ πάλιν πῶς τὰς λοιπὰς γνώσεται
κατηγορίας; εἰ δὲ ἐκ πασῶν τῶν ἀρχῶν ἐστι τῶν κατηγοριῶν, ἔσται ἡ
αὐτὴ καὶ οὐσία καὶ ποσὸν καὶ ποιὸν καὶ ἑκάστη τῶν ἄλλων κατηγοριῶν·
5 τοῦτο δὲ ἀδύνατον, διότι τὰ στοιχεῖα τοῦ ποσοῦ ποσὸν ποιεῖ καὶ τοῦ ποιοῦ 45
ποιόν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἀδύνατον δὲ τὴν ψυχὴν ποσὸν ἢ ποιὸν
εἶναι οὐσίαν οὖσαν. εἰ δέ τις λέγοι ὅτι τὸ μέν τι αὐτῆς ἔσται οὐσία, τὸ
δὲ ποσόν, τὸ δὲ ποιόν, τὸ δὲ ἑκάστη τῶν ἄλλων, πῶς ἐκ τούτων μία
ἔσται ἡ ψυχὴ λεγέτω· οὐδὲν γὰρ ἐκ τούτων συντεθὲν ἓν γίνεται. ἔτι δὲ
10 ἀνομογενὴς ἔσται αὐτὴ ἑαυτῇ. ἔτι τε ποῖον τῆς ψυχῆς μόριον ἢ δύναμιν
ποίᾳ τῶν κατηγοριῶν ἀναθήσομεν, ἀδύνατον πλάσαι. λείπεται οὖν τὸ
κοινὰ λέγειν εἶναι στοιχεῖα τῶν κατηγοριῶν τῶν δέκα, ἐξ ὧν τὴν ψυχὴν 50
εἶναι. τοῦτο δὲ ἀδύνατον· οὐδὲν γάρ ἐστι κοινὸν γένος τῶν δέκα κατηγο-
ριῶν, ἀλλὰ διῃρημέναι εἰσὶν αὗται ἀπ' ἀλλήλων, οὐδενὶ κοινῷ γένει συνα-
15 πτόμεναι· τὸ γὰρ ὂν ὁμωνύμως αὐτῶν κατηγορεῖται. εἰ δέ τις εἴποι
'ἀλλ' ἔστι καὶ ποσόν τι καὶ ποιὸν συνουσιωμένον τῇ οὐσίᾳ, ὥστε ἠδύνατο
οὐσία οὖσα ἀντιλαμβάνεσθαι καὶ ποσοῦ καὶ ποιοῦ· τὸ γὰρ πῦρ ὡς μὲν
σῶμα ὂν ἔχει συνουσιωμένον καὶ εἰδοποιοῦν αὐτὸ τὸ τριχῇ διαστατόν,
ὡς δὲ πῦρ τὴν θερμὴν καὶ ξηρὰν ποιότητα', λέγομεν | οὖν πρὸς τοῦτο f 1v
20 ὅτι, εἰ καὶ τοῦτο ἦν, πῶς γνώσεται τὰ ὑπὸ τὰς λοιπὰς κατηγορίας πρά-
γματα; ἔπειτα εἰ καὶ ἔστι τι ποσὸν καὶ ποιὸν εἰδοποιοῦν τινα οὐσίαν,
ἀλλ' οὖν τὸ ὡς συμβεβηκὸς ποσὸν καὶ ποιόν, ὃ γίνεται καὶ ἀπογίνεται,
τοῦτο οὐ γνώσεται μὴ οὖσα ἐκ τῶν ἀρχῶν τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ.
τοῖς δὴ λέγουσι, φησίν, ἐκ τῶν ἀρχῶν τῶν ὄντων εἶναι τὴν ψυχὴν ταῦτά
25 τε συμβαίνει τὰ ἄτοπα, καὶ ἔτι ἐκ τῆς τῶν εἰρημένων ὁμοιότητος ἔστιν 5
εὑρεῖν καὶ πολλὰ ἕτερα αὐτοῖς τοιαῦτα ἑπόμενα.

p. 410ª23 Ἄτοπον δὲ καὶ τὸ φάναι μὲν ἀπαθὲς εἶναι τὸ ὅμοιον
ὑπὸ τοῦ ὁμοίου, αἰσθάνεσθαι δὲ τὸ ὅμοιον τοῦ ὁμοίου.

Κἀκεῖνοι, φησί, τίθενται ὅτι οὐ πάσχει τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου,
30 ὡς καὶ ἡ ἀλήθεια ἔχει· οὔτε γὰρ τὸ ξηρὸν ὑπὸ τοῦ ὁμοίως ξηροῦ πεί- 10
σεται οὔτε τὸ ὑγρὸν ὑπὸ τοῦ ὁμοίως ὑγροῦ οὔτε τῶν ἄλλων οὐδέν. εἰ
γὰρ καὶ πάσχει ὁ λύχνος ὑπὸ μεγάλης λαμπάδος ἀποσβεννύμενος, ἀλλ'
οὐχ ᾗ ὅμοιον πάσχει, ἀλλ' ᾗ ἀνόμοιον· ὡς ἀσθενέστερον γὰρ ὑπὸ

---

4 post κατηγοριῶν iteraverat ἔσται — ποσὸν D, sed del D¹ 7 εἶναι DR: ποιεῖν t λέγει ὅτι τὸ μέν τοι αὐτῆς t 10 ἀνομογενὴς R et corr. D: ἂν ὁμογενὴς D ante corr. et t αὐτῇ ἑαυτῇ R ἔτι τε Dt: ἔτι δὴ R 14 κοινῶς D 16 ἀλλ' DR: ὅτι t 18 αὐτὸ AR: ἑαυτῷ Dt 22 ὡς συμβεβηκὸς ARt: ὦι (vel ὦε) συμβέβηκε D 23 τοῦτο οὐ AR: τούτου D: τούτου οὐ t 24 δὴ D: δὲ Rt post φησίν add. ἢ D 25 τε R, cf. de an. 410ª22: om. Dt ἔτι Rt: ὅτι D 27 καὶ DR Arist.: om. t 30 ὡς Dt: ὁμοίως R ἔχει om. R 32 ἀποσβεννύμενος Dt: σβεννύμενος R 33 ἀσθενέστερος t ὑπὸ — ὅτι τὸ ὅμοιον (p. 180,2) iterat D

τοῦ ἰσχυροτέρου. εἰ τοίνυν οὐ πάσχει τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, πῶς πάλιν f 1v
φασὶν ὅτι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γινώσκεται; τὸ γὰρ γινῶσκον πάσχει,
ποιοῦντος τοῦ γινωσκομένου. τό τε γὰρ αἰσθητὸν ποιεῖ εἰς τὸ αἰσθητήριον
διακρῖνον αὐτὸ ἢ συγκρῖνον, ἢ ἁπλῶς κινοῦν, τό τε γινῶσκον κινεῖται ὑπὸ
5 τοῦ γνωστοῦ, ὡς καὶ αὐτοῖς δοκεῖ· τὸ γὰρ αἰσθάνεσθαι τὴν ψυχὴν κινεῖ- 15
σθαι λέγουσιν. ὥστε εἰ οὐ πάσχει τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, ποιεῖ δὲ καὶ
πάσχει τό τε γινωσκόμενον καὶ τὸ γινῶσκον, οὐκ ἄρα τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου
γινώσκεται. καὶ αὐτὸς δέ φησιν ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς οὐ τὸ
τυχὸν ὑπὸ τοῦ τυχόντος πάσχειν· οὔτε γὰρ τὸ πάντῃ ἀνόμοιον ποιεῖν πρὸς
10 τὸ ἀνόμοιον οὔτε τὸ πάντῃ ταὐτόν, ἀλλὰ δεῖν τὸ ποιοῦν καὶ τὸ πάσχον
πῇ μὲν ὅμοιον εἶναι, πῇ δὲ ἀνόμοιον, δυνάμει μὲν ὅμοιον, ἐνεργείᾳ δὲ
ἀνόμοιον. ποιεῖ γὰρ τὸ θερμὸν εἰς τὸ ψυχρόν, δυνάμει μὲν θερμὸν ὄν, 20
ἐνεργείᾳ δὲ ψυχρόν. κἂν ποιῇ δὲ τὸ ἄγαν θερμὸν εἰς τὸ μετρίως θερμόν,
ἀλλ' οὐχ ᾗ θερμὸν ποιεῖ, ἀλλ' ᾗ ψυχρόν· τὸ γὰρ ἧττον θερμὸν μετέχει
15 ψυχροῦ. συνάγει οὖν ἐκ τούτων ὅτι καὶ ἑαυτοῖς τὰ ἐναντία λέγουσιν οἱ
φάσκοντες τῷ ὁμοίῳ τὸ ὅμοιον γινώσκειν τὴν ψυχήν, τοῦτό τε λέγοντες
καὶ ὅτι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές.

p. 410a27 Πολλὰς δὲ ἀπορίας καὶ δυσχερείας ἔχοντος τοῦ λέγειν καθάπερ Ἐμπεδοκλῆς.

20 Τὸ φάσκειν τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γνωρίζεσθαι, καθάπερ Ἐμπε-
δοκλῆς λέγει "γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν", καὶ εἴ τις ἄλλος τὸ αὐτὸ
τοῦτο λέγει, πολλὰς μὲν ἀτοπίας καὶ ἀπορίας ἔχον ἤδη ἐλήλεγκται· μά-
λιστα δὲ ἐλεγχθήσεται ὑπὸ τοῦ νῦν λεχθησομένου. τὸ γὰρ νῦν λεχθέν
φησιν ἀντὶ τοῦ τὸ λεχθησόμενον· σημαίνει δὲ ὁ γάρ σύνδεσμος ἐπαγόμενος 30
25 αἰτιολογικὸς ὤν, ὅσα γὰρ ἔστι καὶ τὰ ἑξῆς. εἰ γὰρ διὰ τοῦτο "γαίῃ μὲν
γὰρ γαῖαν ὀπώπαμεν", διότι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γνωρίζεται, ἔδει τὰ
μᾶλλον ἐγγίζοντα τῇ γῇ μᾶλλον αὐτὴν γινώσκειν. νῦν δὲ τοὐναντίον ἐστί·
τῶν γὰρ ἐν ἡμῖν τὰ μᾶλλον γῆς μετέχοντα, τρίχες καὶ ὀστᾶ καὶ ὄνυχες,
παντελῶς ἐστιν ἀναίσθητα, παντελῶς δὲ ἀναίσθητα ὄντα εὔδηλον ὡς οὐδὲ
30 τῶν ὁμοίων αἰσθάνεται. καίτοι ἔδει γε αἰσθητικὰ εἶναι μᾶλλον καὶ γνω- 35
ριστικὰ τῆς γῆς, εἰ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γινώσκεται. οὐκ ἄρα ἀλη-

---

1 τοῦ (ante ἰσχυροτέρου) om. R 2 φησὶν R 3 ποιεῖ Dt: ἐποίει R
8 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] A 7 p. 323b18 sqq. περὶ τῆς γενέσεως Dt
οὐ Dt: μὴ R 10 post οὔτε add. δὲ R πάσχειν R 15 καὶ ἑαυτοῖς R: καὶ ἐν ἑαυτοῖς Dt 20. 21 Τὸ φάσκειν — Ἐμπεδοκλῆς om. D
21 γαίῃ — ὀπώπαμεν] Empedocl. fragm. v. 378 Mullach 22 τοῦτο R: om. Dt
23 νῦν (post γάρ) om. R 24 φησιν Rt: φασιν D τοῦ τό] τοῦτο D
25 ἔστι] sic etiam de an. codd. EWX: ἔνεστι de an. vulg. 26 ὅμοιον Rt: ὅλον D 27 ἐγγίζοντα ARt: γνωρίζοντα D 29 παντελῶς δὲ ἀναίσθητα om. R
30 καὶ μᾶλλον coll. t

θὴς ὁ λόγος οὗτος. εἰ δέ τις τὸ νῦν καὶ τὸ ἤδη λελεγμένον ἀκούοι, δύ- f 1v
ναται πρὸς τὸ προσεχῶς εἰρημένον ἐξακοῦσαι· τὸ γὰρ μὴ δύνασθαι πάσχειν
τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, εἶναι δὲ καὶ τὸ αἰσθάνεσθαι, ὡς καὶ αὐτοῖς
δοκεῖ, πάσχειν τι καὶ κινεῖσθαι, ἐλέγχοι ἂν μάλιστα τὸν λόγον τὸν λέγοντα
5 τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου γινώσκεσθαι. ἀλλ', ὡς εἶπον, ἐπειδὴ ἐπιφέρει
τὸν γάρ σύνδεσμον, μᾶλλον ἂν εἴη ὡς πρὸς τὰ ἐπαγόμενα λέγων τὸ νῦν
λεχθέν.

p. 410b2 Ἔτι δ' ἑκάστῃ τῶν ἀρχῶν ἄγνοια πλείων ἢ σύνεσις 40
ὑπάρχει· γνώσεται μὲν γὰρ ἓν ἑκάστη, πολλὰ δ' ἀγνοήσει·
10 πάντα γὰρ τὰ ἄλλα.

Εἰ γὰρ γαίῃ μὲν γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, ἑκάστη ἄρα τῶν
ἀρχῶν ἓν γνωρίζουσα πλείονα ἀγνοήσει. ὥστε ἀγνωσίας μᾶλλον ἢ γνώ-
σεως αἴτια τὰ στοιχεῖα. δοκεῖ δὲ τοῦτο τὸ ἐπιχείρημα οὐκ εἰς ἄτοπον
ἀπάγειν τὸν λόγον, ἀλλὰ μόνον τὸ ἑπόμενον τῇ δόξῃ λέγειν· τί γὰρ τοῦτο
15 ἄτοπον, εἰ ἕκαστον ἓν μὲν γνωριεῖ, ἀγνοήσει δὲ τὰ ἄλλα; καὶ γὰρ ἡ ἁφὴ 45
γινώσκει μὲν τὸ ἁπτόν, ἀγνοεῖ δὲ τό τε ὁρατὸν καὶ τὸ ἀκουστὸν καὶ
ὀσφραντὸν καὶ γευστόν, καὶ αἱ ἄλλαι δὲ αἰσθήσεις ὁμοίως. τοῦτο δὲ τὸ
ἐπιχείρημα δοκεῖ ἐπὶ τῆς φιλίας μᾶλλον δεικνύναι τὸ ἄτοπον, περὶ ἧς
ἐπάγει τὰ ἑξῆς, καὶ διὰ τοῦτο προειλῆφθαι ἐπὶ τῶν στοιχείων τῶν ἄλλων,
20 ἵνα τὸ ἀκόλουθον καὶ ἐπὶ τῆς φιλίας ἐπαγάγῃ.

p. 410b4 Συμβαίνει δὲ Ἐμπεδοκλεῖ καὶ ἀφρονέστατον εἶναι τὸν 50
θεόν· μόνος γὰρ τῶν στοιχείων ἓν οὐ γνωριεῖ, τὸ νεῖκος.

Καὶ τοῦτο, φησίν, ἄτοπον τῇ Ἐμπεδοκλέους ἕπεται δόξῃ, ὅτι ὁ θεὸς
αὐτῷ ἀφρονέστερος τῶν θνητῶν συγκριμάτων ἔσται. συγκειμένων γὰρ
25 πάντων ἐκ τῶν τεσσάρων στοιχείων, ἔτι τε καὶ τοῦ νείκους καὶ τῆς φι-
λίας, καὶ διὰ τοῦτο πάντα γινωσκόντων τῷ ἔχειν τὰς ἀρχὰς πάντων, ὁ
σφαῖρος, ὃν θεὸν λέγει, οὐ μετέχων τοῦ νείκους οὐ γνώσεται αὐτό· οὗ-
τος γὰρ γίνεται αὐτῷ κατὰ τὴν ἐπικράτειαν τῆς φιλίας· τὰ δὲ θνητὰ |

---

1 νῦν καὶ] exspectas νῦν λεχθὲν λελεγμένον Dt: λεγόμενον R 3 αὐτοῖς Dt: αὐτῷ R 4 δοκεῖν D 5 ὑπὸ τοῦ ὁμοίου Dt: τῷ ὁμοίῳ R 8 πλείων D Arist. codd. ET: πλέον Rt Arist. reliqui σύνεσιν R 9 ὑπάρχει DR Arist. WX: ὑπάρξει recte t et Arist. vulg. ἓν ἑκάστη R Arist. TWX: ἐν ἑκάστη D: ἓν ἕκαστον t et Arist. vulg. 10 πάντα γὰρ D Arist.: γὰρ om. R: πάντα δὲ t 11 ἄρα om. R 12 ὥστε AR: ὥστε ἂν Dt ἀγνοσίας t 13 τὸ om. R 14 ἀπάγειν AR: ἀγαγεῖν Dt 16 τὸ ἁπτόν ART: τό δέ τι D τὸ ἀκουστὸν D: τὸ om. Rt 17 αἱ ἄλλαι AR; αἱ om. Dt 21 ante καὶ add. γε t et Arist. vulg. ἀφρονέστατα D 23 ὁ θεὸς R: ὁ om. Dt 24 post θνητῶν add. ἢ D 26. 27 ὁ γὰρ σφαῖρος D 27 γνώσεται AR: γινώσκει Dt

ἐκ πάντων ὄντα τῶν στοιχείων πάντα γνωριεῖ. διό φησι "γαίῃ μὲν γὰρ f 2ʳ γαῖαν ὀπώπαμεν" καὶ "στοργῇ δὲ στοργήν, νεῖκος δέ τε νείκεϊ λυγρῷ". τινὲς δὲ ἐπὶ τῆς φιλίας τὸν θεὸν ἐξέλαβον, ὅτι ὁ θεὸς ὅν φησιν (οὗτος δέ ἐστιν αὐτῷ ἡ φιλία) τὸ νεῖκος ἅτε ἐναντίον ὂν οὐ γνωριεῖ· ὥστε ἀφρονέ-
5 στατος ἔσται τῶν συνθέτων ἐκείνων καὶ τοῦτο γινωσκόντων. εἰ δέ τις εἴποι ὅτι οὐδὲ τὰ λοιπὰ στοιχεῖα εἴσεται, ἔτι ἀτοπώτερος ὁ λόγος. ἔστω δὲ τὰ μὲν ἄλλα στοιχεῖα γινώσκειν τὴν φιλίαν ἔχουσαν ἐν ἑαυτῇ τούτων ἕκαστον, ἵνα καὶ γνωρίσῃ αὐτά. εἰ ⟨δέ⟩ τις καὶ τοῦτο συγχωρήσειεν καὶ τὰ στοιχεῖα εἶναι ἐν ἀλλήλοις, τὸ μέντοι νεῖκος οὐ σχήσει ἐν ἑαυτῇ· ἔσονται
10 γὰρ τὰ ἐναντία ἅμα, ὅπερ ἀδύνατον. δοκεῖ δὲ ἡ ἐπὶ τοῦ σφαίρου ἐξήγησις εἶναι προσφυεστέρα. καλῶς δὲ ἐπεσημειώσατο ὁ Ἀλέξανδρος ὡς ἡ ἐπιχείρησις αὕτη ἔνδοξός ἐστιν. οὐ γὰρ ἀφρονέστερος ὁ θεὸς τῶν χειρόνων οὐκ ἔχων ἀντίληψιν· κρεῖττον γὰρ αὐτὸν τῶν ἀμεινόνων μόνων ἀντιλαμβάνεσθαι, ἀνεννόητον δὲ εἶναι τῶν χειρόνων.

15 p. 410ᵇ7 Ὅλως δὲ διὰ τίνα αἰτίαν οὐχ ἅπαντα ψυχὴν ἔχει τὰ ὄντα;

Πάνυ γε· εἰ γὰρ τὰ στοιχεῖα ἡ ψυχή, πάντα δὲ τὰ ὄντα ἐκ τῶν στοιχείων ἢ πάντων ἢ τινῶν ἢ ἑνός, οἷον ὁ κρύσταλλος ἐξ ἑνὸς τοῦ ὕδατος, ἔδει πάντα ἔμψυχα εἶναι καὶ αἰσθητικά, καὶ ἕκαστον τῶν συνθέτων
20 σωμάτων ἢ πάντα γινώσκειν τὰ ὄντα, εἰ ἐκ πάντων εἴη τῶν στοιχείων, ἢ τινά, εἰ ἐκ τινῶν, ἢ ἕν, εἰ μὴ σύνθετον εἴη, ἀλλ' ἐξ ἑνὸς στοιχείου, ὡς ὁ κρύσταλλος.

p. 410ᵇ10 Ἀπορήσειε δ' ἄν τις καὶ τί ποτέ ἐστι τὸ ἑνοποιοῦν αὐτά· ὕλη γὰρ ἔοικε τὰ στοιχεῖα εἶναι. κύριον δὲ ἐκεῖνο τὸ
25 συνέχον ὅ τί ποτέ ἐστι.

Ἐπεὶ ἐκ τῶν στοιχείων ἔλεγον τὴν ψυχήν, ταῦτα δὲ διακεκριμένα ἐστὶ καὶ ὕλης λόγον ἐπέχει, εἴπερ μὴ ἁπλῶς στοιχεῖα ἔλεγον τὴν ψυχήν, ἀλλ' ἐκ τῶν στοιχείων, τί τὸ ἑνοποιοῦν τὰ διακεκριμένα ταῦτα στοιχεῖα συνερχόμενα εἰς τὴν τῆς ψυχῆς γένεσιν, εἴ γε μία οὖσα ἡ ψυχὴ ἐκ

---

1 γὰρ om. R 2 στοργῇ—λυγρῷ] fragm. 380 Mullach δέ τε D: δέ γε Rt 4. 5 ἀφρονέστερος R 5 ἐκείνων καὶ Dt: ἐκεῖνο R 8 δέ addidi καὶ τὰ — σχήσει ἐν (9) om. D 12 αὕτη Rt: αὐτὴ D 13 ἔχον t αὐτὸν DR: αὐτῶν t ἀμεινόνων R: ἀμείνων Dt μόνον D 18 οἷον om. D 19 πάντα AR: πάντα τὰ D: τὰ πάντα t 20 et 21 εἰ ἐκ AR: ἢ ἐκ Dt 20 εἴη om. D 21 εἰ (ante μὴ) AR: ἦν D (sed ν add. m. alt.) t 24 ὕλη Arist. τὰ D et Arist. STWX: τά γε Rt Arist. vulg. στοιχεῖα εἶναι Dt: στοιχεῖα R Arist. κύριον DR: κυριώτατον t Arist. δὲ DR Arist. E¹: γὰρ t Arist. vulg. 26 ἐπειδὴ R διακεκριμμένα t 27 post ἔλεγον add. εἶναι R 28 post ἑνοποιοῦν add. φησί Rt 29 οὖσα ψυχὴ R

πλειόνων ἐστὶ τῶν στοιχείων; ἐκεῖνο οὖν τὸ τῆς ἑνώσεως αὐτῆς αἴτιον f 2r
τοῦτο ἂν εἴη ψυχή. ἐν οἷς δέ ἐστι τὸ μὲν συνέχον τὸ δὲ συνεχόμενον,
πρῶτον τῇ φύσει καὶ κάλλιον τὸ συνέχον τοῦ συνεχομένου· ὥστε εἰ ἐν
τῷ συνθέτῳ τὸ συνέχον καὶ κύριον ἡ ψυχή (διαπίπτει γὰρ ταύτης ἐξελθούσης
5 τὸ συγκείμενον) τὸ συνέχον δὲ τοῦτο καὶ ἄρχον τῇ φύσει, ἡ ψυχὴ ἄρα
ἄρχει, τὰ δὲ στοιχεῖα ἐκ τῆς ψυχῆς ἔχοντα τὴν ἕνωσιν καὶ τὴν συνέχειαν
ὑστέραν ἂν ἔχοι τάξιν. ὥστε ἡ ψυχὴ ἀρχοειδεστέρα τῶν στοιχείων. καὶ
γὰρ ἐν τοῖς ἐξ εἴδους καὶ ὕλης τὸ ἀρχοειδέστερον καὶ τῇ φύσει πρῶτον
τὸ εἶδός ἐστι· διὰ τοῦτο γὰρ ἡ ὕλη, εἴ γε τὸ μὲν οὗ ἕνεκα, ἡ δὲ ὕλη
10 ἕνεκά του, καὶ πρὸς τὴν τούτου ὑποδοχὴν ἡ ἐπιτηδειότης εὐτρεπίζεται τῆς
ὕλης. ἐν δὲ τοῖς ἐμψύχοις τὸ εἶδος ἡ ψυχή· πρῶτον ἄρα τῇ φύσει ἡ
ψυχή. ἐκεῖνοι δέ φασι πάντων ἀρχὰς εἶναι τὰ στοιχεῖα, καὶ τοῦ συνέχοντος
τῆς ψυχῆς τὰ συνεχόμενα τὰ στοιχεῖα ἀρχὰς εἶναί φασι καὶ αἴτια. οὕτως
δ' ἂν εἴη τὸ ἐπιχείρημα· τὸ κυριώτατον συνέχει, ἡ ψυχὴ δὲ κυριώτατον,
15 αὕτη ἄρα συνέχει· τὸ δὲ συνέχον ἀρχοειδέστερον· ἡ ψυχὴ ἄρα ἀρχοειδεστέρα. οὐκ ἄρα τὰ στοιχεῖα ἀρχαὶ τῶν ὄντων πάντων. τῆς δὲ ψυχῆς εἶναί τι κρεῖσσον καὶ ἄρχον ἀδύνατον. ἡ γὰρ ψυχὴ τοῦ μὲν σώματος τούτου, ἔτι δὲ καὶ τοῦ πνεύματος τιμιωτέρα, τοῦ δὲ νοῦ μόνον οὐ προγενεστέρα· ὁ δὲ νοῦς καὶ τῆς ψυχῆς τιμιώτερον καὶ προγενέστερον, ἅτε
20 χωριστὴν ἔχων τὴν οὐσίαν· ὥστε ἀρχικώτατον πάντων ὁ νοῦς κατὰ φύσιν. πῶς οὖν ἐκεῖνοί φασι τὰ στοιχεῖα; εὔλογον γὰρ τὸ τιμιώτερον τὴν φύσιν τοῦτο καὶ προγενέστερον εἶναι.

p. 410ᵇ14 Εὐλογώτατον γὰρ εἶναι τοῦτον προγενέστατον καὶ κύριον κατὰ φύσιν.

25 Ἐναργῶς ἄρα καὶ διὰ τούτων χωριστὸν εἶναι βούλεται τὸν νοῦν ὁ
Ἀριστοτέλης, εἴ γε καὶ τῆς ψυχῆς αὐτόν φησι προγενέστερον εἶναι. νοῦν δὲ λέγει τὴν λογικὴν ψυχήν, ψυχὴν δὲ τὴν λοιπήν. ἐντεῦθεν ἔχεις τὴν λύσιν ὧν ἀπορήσας ἀνωτέρω οὐκ ἐπελύσατο, ἡνίκα ἔλεγεν ἕπεσθαι ταῖς κράσεσι ταῖς τοῦ σώματος τὰς τῆς ψυχῆς κινήσεις. τοῦτο γὰρ συμβαίνει,
30 ὅταν παρὰ φύσιν ἔχῃ ὁ ἄνθρωπος. ὅταν γὰρ μὴ ἄρχῃ ὁ νοῦς, οὗπερ ἐστὶ κατὰ φύσιν τὸ ἀρχικόν, τῆς τάξεως ἀντιστραφείσης ἕπονται ταῖς κράσεσι τοῦ σώματος αἱ τῆς ψυχῆς δυνάμεις· ὅταν δὲ ὁ νοῦς ἄρχῃ, τότε κατὰ φύσιν ἔχοντος τοῦ ἀνθρώπου οὐκέτι ταῖς κράσεσι τοῦ σώματος ἀκολουθοῦσιν αἱ τῆς ψυχῆς δυνάμεις, ἀλλ' ἕπεται τῇ ψυχῇ τὸ σῶμα.

---

1 αὐτῆς At: αὐτοῖς DR, fort. recte 2 εἴη ἡ ψυχή t 4 ταύτης Rt: τοῦτο καὶ D 9 μὲν οὗ — εὐτρεπίζεται τῆς (10) om. D 14 ἡ ψυχὴ δὲ κυριώτατα t 15 αὕτη AR: αὐτὴ Dt 16 τῆς δὲ ψυχῆς Dt: τῇ δὲ ψυχῇ R 18 τοῦ δὲ νοῦ Dt: τούτου δὲ R μόνον οὐ] μόνου R 19 ante τιμιώτερον add. καὶ R 21 γὰρ om. R 22 post τοῦτο add. δὲ R 23 εὐλογώτατον Dt Arist. SV: εὔλογον R Arist. vulg.: εὐλογώτερον Arist. TW εἶναι τοῦτον D Arist. TV: εἶναι τοῦτο Rt: τοῦτον εἶναι Arist. vulg.: τοῦτο εἶναι Arist. X 25 καὶ ἄρα coll. t 26 εἴ γε Dt: εἰ γὰρ R 31 ἀντιστραφήσης ἕπηται D 33 ἀκολουθοῦσιν om. D

p. 410b16 Πάντες δὲ καὶ οἱ διὰ τὸ γνωρίζειν καὶ αἰσθάνεσθαι τὰ f 2r
ὄντα τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιοῦντες αὐτήν, καὶ οἱ τὸ
κινητικώτατον, οὐ περὶ πάσης λέγουσι ψυχῆς.

Εἰς τρία διελόμενος τοὺς περὶ ψυχῆς εἰπόντας, εἴς τε τοὺς εἰς τὸ κι- 50
5 νητικὸν ἀποβλέψαντας, καὶ τοὺς εἰς τὸ αἰσθητικόν, καὶ τοὺς εἰς τὸ ἀσώματον,
καὶ ἐλέγξας ἰδίᾳ ἑκάστην τῶν δοξῶν τούτων (ὡς γὰρ ἤδη εἶπον, ἑκάστης
αὐτῶν τὸ μέν τι ἀποδέχεται, τὸ δὲ ψέγει· ὅτι μὲν γὰρ τὸ κινοῦν τὴν
ψυχὴν εἰρήκασι καὶ τὸ αἰσθητικόν, καὶ ὅτι δεῖν ἐνόμισαν ὅτι μάλιστα
ἀσώματον εἶναι τὴν ψυχὴν ἀποδέχεται, ψέγει δὲ τοὺς μὲν ὅτι δεῖν ἐνόμισαν
10 τῷ κινεῖσθαι αὐτὴν κινεῖν, τοὺς δὲ ὅτι ἐκ τῶν ἀρχῶν εἶναι αὐτὴν διὰ τὸ
τῷ ὁμοίῳ τὸ ὅμοιον γινώσκεσθαι, τοὺς δὲ | ὅτι περιφαντασθέντες καλῶς f 2v
τὸ ἀσώματον οὐκ ἐκράτησαν τῆς ἐννοίας, ἀλλ' εἰς λεπτομερὲς κατηνέχθησαν
σῶμα) τούτων οὖν τῶν δοξῶν ἰδίᾳ ἑκάστην ἐλέγξας καὶ δείξας τὰ ἑκάστῃ
ἑπόμενα ἄτοπα, νῦν πρὸς πάντας κοινόν τινα ἔλεγχον κατατείνει· συμ-
15 βαίνει γάρ, φησί, τούτοις πᾶσι μὴ περὶ πάσης ψυχῆς διαλέγεσθαι. καὶ οἱ
μὲν τὸ κινητικώτατον σῶμα αὐτὴν εἰπόντες ἢ λεπτομερέστατον ἀμφότεροι
τῷ κινεῖν χαρακτηρίζοντες οὐδὲν οὔτε περὶ τῆς φυτικῆς ψυχῆς ἔσονται 5
εἰρηκότες οὔτε περὶ τῆς τῶν ζῳοφύτων· οὐ γὰρ ἡ τούτων ψυχὴ τῷ κινεῖν
χαρακτηρίζεται· οὐδὲν γὰρ τούτων κινεῖται κατὰ τόπον. καὶ περὶ μὲν τῶν
20 φυτῶν δῆλον· δόξειε δ' ἂν τὰ ζῳόφυτα κινεῖσθαι, οἷον οἱ σπόγγοι. οὐκ
ἔστι δὲ κίνησις αὕτη τοπική· οὐ γὰρ ἀμείβει τόπον, ἀλλ' οἷον συστολή τις
καὶ διαστολή ἐστι· κίνησιν δὲ ἐλάμβανον ἐκεῖνοι τὴν ἐκ τόπου εἰς τόπον
ἀμείβειν ποιοῦσαν καθ' ὅλα τὰ πράγματα· τούτων δὲ ἀκίνητοι αἱ ὁλότητες.
οἱ δὲ εἰς τὸ γνωστικὸν καὶ αἰσθητικὸν καὶ αὐτοὶ οὐδὲν περὶ τῆς φυτικῆς 10
25 εἰρήκασι· τὰ γὰρ φυτὰ ἔμψυχα μὲν ἀναίσθητα δὲ καὶ γνώσεως ἄμοιρα.

p. 410b20 Καίτοι γε δοκεῖ ταύτην μόνην τῶν κινήσεων κινεῖν ἡ
ψυχὴ τὸ ζῷον.

Εἰπὼν ὅτι οἱ εἰς τὸ κινητικὸν ἀποβλέψαντες οὐ περὶ πάσης ψυχῆς δια-
λέγονται (οὔτε γὰρ περὶ τῆς τῶν φυτῶν οὔτε περὶ τῆς τῶν ζῳοφύτων,
30 ἅπερ ζῳόφυτα αἰσθήσεως μὲν μετέχει, κινήσεως δὲ τῆς κατὰ τόπον
οὔ), ἵνα μή τις εἴποι ὅτι καὶ ταῦτα κινεῖται (ἀλλοιοῦται γὰρ καὶ αὐξάνεται 15
καὶ τὰ φυτὰ καὶ τὰ ζῳόφυτα), διὰ τοῦτο προσέθηκε ταύτην μόνην τὴν

---

1 τὸ αἰσθάνεσθαι καὶ γνωρίζειν coll. R 1. 2 τὰ ὄντα τὴν ψυχὴν D Arist. vulg.: τὴν ψυχὴν τὰ ὄντα Rt Arist. STU 2 ἐκ τῶν στοιχείων — ψυχῆς (3) Dt: καὶ τὰ ἑξῆς R ποιοῦντες D: λέγοντες t Arist. codd. sex οἱ om. t 3 ἁπάσης t Arist. 7 μέν τι DR: μέν τοι t 11 γνώσκεσθαι D ὅτι περιφαντασθέντες R: ὅτι περ φαντασθέντες Dt 14 πάντας om. D 20 φυτῶν om. D 20. 21 οὐκ ἔστι Dt: οὐκέτι R 21 αὕτη R: αὐτὴ Dt 22 καὶ διαστολή A: om. DRt 32 ζῴφυτα D

κίνησιν, λέγω δὴ τὴν κατὰ τόπον, κινεῖ ἡ ψυχὴ τὸ ζῷον. εἰ τοίνυν ταύτην f 2ᵛ
μόνην τὴν κίνησιν ἡ ψυχὴ κινεῖ, οἱ ἀπὸ τοῦ κινητικοῦ ὁριζόμενοι αὐτὴν
οὐκ ἂν περὶ πάσης λέγοιεν ψυχῆς. ὅτι γὰρ ἀλλοίωσις καὶ αὔξησις οὐκ
εἰσὶ ψυχῆς κινήσεις, πρόδηλον ἐξ ὧν καὶ τὰ ἄψυχα καὶ αὔξεται, ὡς οἱ
5 λίθοι, καὶ ἀλλοιοῦται, ὡς ἅπαντα τὰ ἐν γενέσει, τὴν δὲ κατὰ τόπον τὴν
ἐξ ἑαυτοῦ καὶ καθ' ὁρμὴν γινομένην μόνα τὰ ζῷα κινεῖται. ἔτι ἐκείνων μὲν 20
ἑκάστην τῶν κινήσεων εἰ καὶ καθὸ ἔμψυχόν ἐστι ποτὲ κινεῖται, ἀλλ' οὐχ
ὑπὸ τῆς ψυχῆς ἀλλ' ὑπό τινων ἔξωθεν (ἢ γὰρ ὑπὸ τῶν αἰσθητῶν ἢ ὑπὸ
τῶν νοητῶν ἢ ὑπὸ τοῦ προσκρινομένου τε καὶ αὔξοντος, κατὰ τὴν ψυχὴν
10 μέντοι καὶ καθὸ ἔμψυχον), τὴν δὲ καθ' ὁρμὴν οὐ καθὸ ἔμψυχον μόνον,
ἀλλὰ καὶ ὑπὸ τῆς ψυχῆς κινεῖσθαι δοκεῖ.

p. 410ᵇ21 Ὁμοίως δὲ καὶ ὅσοι τὸν νοῦν καὶ τὸ αἰσθητικὸν ἐκ τῶν στοιχείων ποιοῦσι. 25

Δείξας πῶς οἱ ἀπὸ τοῦ κινεῖν τὴν ψυχὴν ὁριζόμενοι οὐ περὶ πάσης
15 ψυχῆς λέγουσι, δείκνυσι πάλιν ὅτι οὐδὲ οἱ ἀπὸ τοῦ γνωρίζειν αὐτὴν ὁριζό-
μενοι περὶ πάσης διαλέγονται. ὡς αἴσθησιν δὲ καὶ νοῦν τὴν αὐτὴν λεγόντων
ψυχὴν τῶν ἀπὸ τοῦ γνωρίζειν αὐτὴν ὁριζομένων καὶ διὰ τοῦτο ἐκ τῶν
στοιχείων αὐτὴν συνιστάντων οὕτως εἶπεν· οὕτω γὰρ ἔλεγε φανερῶς μὲν
Δημόκριτος, ἐδόκει δὲ λέγειν καὶ ὁ Ἀναξαγόρας. οὐδὲ οὗτοι οὖν περὶ 30
20 πάσης ψυχῆς διαλέγονται· οὐ γὰρ ἂν οὗτοι λέγοιεν περὶ τῆς μὴ ἐχούσης
ψυχῆς αἴσθησίν τε καὶ νοῦν· ταῦτα γὰρ τῆς ψυχῆς τὰ γνωριστικά, νοῦς
τε καὶ αἴσθησις. οὐ διαλέγονται οὖν οὐδὲ οὗτοι περὶ τῆς φυτικῆς· οὐ
γὰρ αἰσθάνεται τὰ φυτά. καὶ τοῦτο μὲν κοινὸν τοῖς τὸ κινητικὸν λέγουσι
καὶ τοῖς ⟨τὸ⟩ αἰσθητικόν· τὰ γὰρ φυτὰ οὔτε κινεῖται οὔτε αἰσθάνεται. δοκοῦσι
25 δὲ περὶ πλειόνων διαλέγεσθαι οἱ τὸ αἰσθητικὸν εἰπόντες· περιλαμβάνουσι
γὰρ καὶ τὰ ζωόφυτα, ἅπερ οἱ τὸ κινητικὸν λέγοντες οὐ περιελάμ-
βανον. ἀπορήσειε δ' ἄν τις πρὸς αὐτούς, τί δήποτε, εἰ ἐκ τῶν στοιχείων 35
ἡ ψυχή, ἵνα γνωρίζῃ, αἱ μὲν τῶν ψυχῶν καὶ αἰσθάνονται καὶ διανοοῦνται,
αἱ δὲ αἰσθάνονται μόνον. τὸ αὐτὸ καὶ πρὸς τοὺς τὸ κινητικὸν λέγοντας
30 εἰπεῖν ἁρμόζει· διὰ τί γὰρ τῆς αὐτῆς οὔσης φύσεως αἱ μὲν καὶ κατὰ
τόπον κινοῦσιν, αἱ δὲ οὔ;

p. 410ᵇ24 Εἰ δέ τις καὶ ταῦτα παραχωρήσειε καὶ θείη τὸν νοῦν μέρος τι τῆς ψυχῆς, ὁμοίως δὲ καὶ τὸ αἰσθητικόν.

Τουτέστιν εἰ καὶ συγχωρήσομεν πάσης ψυχῆς μόριον εἶναι τὸν νοῦν 40

---

2 οἱ om. R 5 τὴν (post τόπον) om. R 6 ἑαυτοῦ R: αὐτοῦ Dt ἔτι Rt: ὅτι D 10 καὶ om. t 12 τὸ om. D 16 αἴσθησίν τε καὶ t 17 αὐτὴν Dt: τὴν ψυχὴν R 19 οὗτοι Rt: οὕτως D 23 κοινὸν om. D τοῖς τὸ R: τοῖς τε D: τοῖς τε τὸ t 24 τὸ addidi 27 ἀπορῆσαι D 28 γνωρίζει D 30 καὶ om. t 34 συγχωρήσωμεν D

καὶ τὸ αἰσθητικόν, ἢ ὡς ταὐτὸν ὂν ἢ ὡς συντρέχοντα ταῦτα, ὡς ἔνθα ἂν f2v
ᾖ αἴσθησις, εἶναι καὶ νοῦν, ὡς ἐδόκουν λέγειν οἱ Πυθαγόρειοι, εἰς πᾶν
σῶμα μετάγοντες τὴν ψυχήν, ἀλλ' οὖν οὐδ' οὕτως περὶ πάσης ἔσονται
διειλεγμένοι οἱ ἀπὸ τοῦ γνωρίζειν τὴν οὐσίαν αὐτῆς ὁριζόμενοι· ἡ γὰρ
5 φυτικὴ οὐ πέφυκε γνωρίζειν οὐδὲ αἰσθάνεσθαι. οὔτε οὖν περὶ πάσης
οὔτε περὶ οὐδεμιᾶς ὅλης. εἰ γὰρ καὶ ὅτι μάλιστα πᾶσα ψυχὴ καὶ νοῦν
καὶ αἴσθησιν ἔχει, ἀλλ' ἔχει καὶ τὴν θρεπτικὴν δύναμιν καὶ αὐξητικὴν 45
καὶ γεννητικήν, ἄλλας οὔσας τῶν γνωριστικῶν δυνάμεων, καὶ φανερώτερον
ἐκείνων ἐν πᾶσι τοῖς ψυχὴν ἔχουσιν ἐνούσας, περὶ ὧν οὐδὲν λέγουσιν.
10 ἀλλ' οὐδὲ περὶ τῆς κατὰ τόπον κινητικῆς. ὥστε εἰ ἐν ἅπαντι ἐμψύχῳ
ταῦτα, οὗτοι δὲ περὶ αὐτῶν οὐδὲν λέγουσι, περὶ οὐδεμιᾶς ὅλης διαλέγον-
ται. ὡς μία γάρ τίς ἐστιν ἐν ἑκάστῳ τῶν ἀτόμων ψυχή, πλείοσι δὲ
δυνάμεσιν ἢ μορίοις κεχρημένη· περὶ ὧν μὴ πάντων διαλεγόμενοι οὐδὲ
περὶ μιᾶς ὅλης εἶεν ἂν διειλεγμένοι. τοῦτο δὲ ἴσως καὶ ἀντιπίπτοντός ἐστι 50
15 λύσις· ἵνα γὰρ μή τις ὑπὲρ τῶν τὸ γνωριστικὸν τὴν ψυχὴν εἶναι τιθέν-
των ἀπολογούμενος εἴποι ὅτι οὐ περὶ πάσης ψυχῆς αὐτοῖς ὁ λόγος, ἀλλὰ
περὶ τῆς ἀνθρωπίνης, ἧς πάσης ἴδιον τὸ γινώσκειν, διὰ τοῦτό φησιν ὅτι
οὐδὲ περὶ ὅλης μιᾶς ποιοῦνται τὸν λόγον. ἡ γὰρ ἀνθρωπίνη ψυχὴ οὐ
πᾶσα καθ' ὅλην ἑαυτὴν γνωριστική ἐστιν· ἔστι γὰρ καὶ ἐν ταύτῃ καὶ τὸ
20 θυμικὸν καὶ ἐπιθυμητικὸν καὶ φυτικόν, ὧν οὐδὲν αἰσθήσεως μετέχει.
οὐδὲ περὶ τῆς ἀνθρωπίνης ἄρα πάσης διειλέχθησαν. |

p. 410b27 Τὸ αὐτὸ δὲ πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς καλου- f3r
μένοις ἔπεσι λόγος.

Λεγομένοις εἶπεν, ἐπειδὴ μὴ δοκεῖ Ὀρφέως εἶναι τὰ ἔπη, ὡς καὶ
25 αὐτὸς ἐν τοῖς Περὶ φιλοσοφίας λέγει· αὐτοῦ μὲν γάρ εἰσι τὰ δόγματα, 5
ταῦτα δέ φασιν Ὀνομάκριτον ἐν ἔπεσι κατατεῖναι. λέγει οὖν ἐκεῖ ὅτι ἡ
ψυχὴ ὑπὸ τῶν ἀνέμων ἐκ τοῦ παντὸς φερομένη ἀναπνεῖται ὑπὸ τῶν
ζῴων. ὥστε καὶ οὗτος ὁ λόγος οὐ περὶ πάσης ψυχῆς λέγει· οὐ γὰρ
πάντα ἀναπνεῖ τὰ ἔμψυχα· οὔκουν τὰ ἔντομα οὐδὲ τὰ φυτά. φασὶ δὲ
30 αἰνίττεσθαι τὰ ἔπη διὰ μὲν τῆς ἀναπνοῆς τὴν ἐπιτηδειότητα τοῦ δεξομένου
τὴν ψυχὴν σώματος, διότι ἡ ἀναπνοὴ καταψύχουσα τὸ ἔμφυτον θερμὸν
εἰς συμμετρίαν ἄγει, τοὺς δ' ἀνέμους φασὶ δυνάμεις τινὰς σημαίνειν δι' 10
ὧν κατάγεται ἡ ψυχὴ εἰς τὴν γένεσιν ἐκ τῆς ὁλικῆς ἐνεργείας, ἣν ἐνεργεῖ
τοῦ μερικοῦ σώματος τούτου καὶ τῆς γενέσεως ἀπηλλαγμένη.

---

1 συντρέχοντα Rt: τρέχοντα D 2 ᾖ R: ἡ Dt 9 τοῖς τὴν ψυχὴν t 10 εἰ R: ἢ Dt 11 οὐδὲν scripsi: οὐδὲ libri ὅλως D 12 δὲ R: om. Dt 15 ὑπὲρ Rt: ὑπὸ D 17 πάσης Rt: πᾶσιν D 19 γὰρ καὶ Dt: καὶ om. R 22 τὸ αὐτὸ D: ταυτὸ R: τοῦτο t Arist. 24 Λεγομένοις] volebat καλουμένοις quod exhibet Lobeck Aglaoph. p. 348 sq. λεγόμενος εἶπεν ἐπεὶ R 25 ἐν τοῖς Περὶ φιλοσοφίας] fragm. 9 p. 1475a40 Rose 26 φασιν DR: φησιν t Lobeck Rose ὀνομάκριτον ἐν ἔπεσι R: ὄνομα κρεῖττον ἐνέπεσε Dt κατατεῖναι Rt: κατατεῖνε D: καταθεῖναι Cudworth, cf. Lobeck l. l. p. 349 31 ἀναπνοὴ Dt: πνοὴ R

p. 411a1 Τοῦτο δὲ λέληθε τοὺς οὕτως ὑπειληφότας. εἴ τε δεῖ f 3r
τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖν, οὐδὲν δεῖ ἐξ ἁπάντων.

Ἐλελήθει, φησί, τοὺς ἐκ τῶν στοιχείων ποιοῦντας τὴν ψυχήν, ἵνα γνωρίζῃ, ὅτι οὐδὲν ἔδει ἐκ πάντων αὐτὴν εἶναι, ἀλλ' ἤρκει ἐκ τοῦ ἑτέρου μόνου τῶν ἐναντίων ποιεῖν αὐτήν. τὸ γὰρ ἕτερον τῶν ἐναντίων ἱκανὸν ἑαυτό τε γνωρίσαι τῷ ἐφαρμόζειν, καὶ τὸ ἐναντίον τῇ στερήσει καὶ τῷ μὴ ἐφαρμόζειν, ὥσπερ, φησίν, ἐπὶ τοῦ εὐθέος ἔχει καὶ τοῦ καμπύλου· τῷ γὰρ εὐθεῖ καὶ τὸ εὐθὺ γνωρίζεται τῷ ἐφαρμόζειν καὶ τὸ καμπύλον τῷ μὴ ἐφαρμόζειν. τὸ δὲ καμπύλον οὔτε ἑαυτῷ ἐφαρμόζει (ἀόριστον γὰρ τὸ καμπύλον καὶ οὐ πάντῃ ἐφαρμόζει διὰ τὴν ἀοριστίαν τῆς καμπυλότητος) οὔτε τῷ εὐθεῖ. ὁμοίως, ἵνα γνῶμεν τὴν ἄγνοιαν, οὐ δεόμεθα ἀγνοίας, ἀλλ' ἡ ἐπιστήμη καὶ ἑαυτὴν γινώσκει καὶ τὴν ἄγνοιαν· ὡσαύτως ἐπὶ ὄψεως καὶ τυφλώσεως. ἀλλ' ἐνταῦθα, διότι κατὰ στέρησιν καὶ ἕξιν ἡ ἀντίθεσις, εἰκότως καὶ τῆς ἕξεως μόνης χρεία πρὸς γνῶσιν ἀμφοτέρων· ἐπειδὴ γὰρ ἀόριστος ἡ στέρησις καὶ οὐδὲν ἕτερόν ἐστιν ἢ τοῦ εἴδους ἀπουσία, εἰκότως ἡ τοῦ εἴδους γνῶσις καὶ αὐτοῦ καὶ τῆς στερήσεώς ἐστι γνῶσις· τοῦτο γὰρ ἡ στέρησις, ὅπερ μὴ ἔστιν ἡ ἕξις· ἐπὶ μέντοι τῶν ἐναντίων ἑκατέρου εἰδοποιημένου καὶ ὡρισμένην ἔχοντος φύσιν οὐχ ἱκανὸν πρὸς γνῶσιν τὸ εἰπεῖν ὅπερ οὐ τοῦτο. εἰ γὰρ τὸ μὲν λευκὸν εἰδείην, ἀγνοοίην δὲ τὸ μέλαν, εἶτα ἔλεγέ τις ὅτι μέλαν ἐστὶν ὅπερ μὴ λευκόν, ἀνῄρει μὲν δῆλον ὅτι ἡ φαντασία τὸ λευκόν, ἐν ἀοριστίᾳ δὲ τὸ λοιπὸν ἦν, ὥσπερ ἐπὶ τῆς στερήσεως οὐκ ἔχουσα ὅπῃ ἐπερείδοιτο. δεῖ δέ, εἴπερ μέλλοι γνῶσις εἶναι τοῦ μέλανος, περιγραφῆναι τὴν φύσιν αὐτοῦ τῇ φαντασίᾳ. ἴσως οὖν, ἐπεὶ καὶ ἐν τοῖς στοιχείοις τὰ μέν εἰσι ποιητικὰ μᾶλλον καὶ εἰδικά, τὸ πῦρ καὶ ὁ ἀήρ, τὰ δὲ ὑλικὰ μᾶλλον καὶ παθητικά, ὡς ἡ γῆ καὶ τὸ ὕδωρ, τὰ κατὰ τὸ εἶδος τεταγμένα, ἃ καὶ ποιητικά, ἦν αὐτάρκη πρὸς τὴν τῆς ψυχῆς οὐσίαν· ἐγνώριζε γὰρ τούτοις καὶ τὰ ἄλλα τῇ ἀπουσίᾳ. ἐξ ἀναλογίας οὖν ὁ λόγος εἴληπται. εἰ γὰρ ἔνθα εἶδός ἐστι καὶ στέρησις, τῷ εἴδει καὶ αὐτὸ τὸ εἶδος καὶ τὴν στέρησιν γινώσκομεν, τὸ δὲ χεῖρον ἐν τοῖς ἐναντίοις ὕλης λόγον καὶ στερήσεως ἐπέχει, τῷ ἑτέρῳ ἄρα τῶν ἐναντίων τῷ ἀναλογοῦντι εἴδει καὶ τὸ ἕτερον γνωσόμεθα, ὅπερ ἀναλογεῖ τῇ στερήσει. μήποτε καὶ ὡς ἐναντία ἀρκεῖ εἰς τὴν ἀμφοτέρων γνῶσιν θάτερον, εἴπερ μία ἡ τῶν ἐναντίων ἐπιστήμη. ὅταν γὰρ ἐναντίον

---

1 εἴτε DR Arist. vulg.: εἴπερ t Arist. SVW 2 οὐθὲν t 4 ἤρκει ex εἴρκει corr. D[1], ut videtur post ἤρκει add. καὶ R 9 ἑαυτῷ scripsi: ἑαυτὸ libri ἐφαρμόζει Rt: γνωρίζει D 10 πάντῃ Dt: παντὶ R 11 τῷ εὐθεῖ Dt: τὸ εὐθὺ R οὐ δεόμεθα—ἄγνοιαν (12) om. D 14 καὶ om. R 15 ante ἀόριστος add. ὁ t 17 ἡ ἕξις Dt: ἡ om. R 20 ἐστὶν om. D post μὴ add. ἔστι R 22 ὅπῃ Dt: ὅπου R 23 μέλοι R 25 μᾶλλον καὶ (post ποιητικὰ) R: μᾶλλον δὲ καὶ Dt 26 τὸ εἶδος DR: τὸ om. t 27 τούτοις Dt: τοῦτο R 33 μία ἡ Dt: ἡ om. R

εἴπω, δῆλον ὅτι γνώσομαι παθητικάς τινας ἐναντιώσεις, ὥστε εἰ τὸ λευκὸν f 3r
εἰδείην ὅτι ἐστὶ διακριτικὸν τῶν ὄψεων, τούτῳ δῆλον ὅτι καὶ τὸ ἐναντίον
τὸ μέλαν γνώσομαι· ἐναντίον γὰρ τῇ διακρίσει ἡ σύγκρισις· τὸ ἄρα τῷ
λευκῷ ἐναντίον συγκριτικὸν ἔσται. ὥστε εἰ περιπέσοιμί τινι συγκρίνοντι,
5 εἰ καὶ μὴ τύχοιμι αὐτὸ εἰδώς, τῷ εἰδέναι τὸ λευκὸν ὅτι διακρίνει τούτῳ 40
γνωρίζω καὶ τὸ περιτυχὸν μέλαν ὅτι ἐναντίον ἐστὶ τῷ λευκῷ. οὕτως οὖν
ἥρκει τὴν ψυχὴν ἐξ ἑνὸς στοιχείου εἶναι, οἷον πυρός. εἰ γὰρ τοῦτο θερμόν
ἐστι καὶ ξηρόν, δῆλον ὅτι, ὅταν περιτύχω τοῖς λοιποῖς στοιχείοις τοῖς τὰς
ἐναντίας τούτῳ διαθέσεις ποιοῦσι, τῇ πρὸς τοῦτο ἐναντιότητι κἀκεῖνα
10 γνώσομαι. ὥστε ἥρκει καὶ ἐξ ἑνὸς στοιχείου ποιεῖν τὴν ψυχήν· ἐν ἑκάστῳ
γὰρ στοιχείῳ τῶν δύο ἐναντιώσεων ἅμα θάτερόν ἐστι μόριον.

p. 411 a 7 Καὶ ἐν τῷ ὅλῳ δέ τινες αὐτὴν μεμῖχθαί φασιν. ὅθεν 45
ἴσως καὶ Θαλῆς ᾠήθη πλήρη πάντα θεῶν εἶναι.

Ἑτέραν δόξαν ἐκτίθεται περὶ ψυχῆς. ὑπενόησαν, φησί, τινὲς ψυχὴν
15 ἐν παντὶ σώματι μεμῖχθαι, ὡς πᾶν εἶναι σῶμα ἔμψυχον· ἐκ δὲ τῆς 50
τοιαύτης δόξης καὶ τὸν Θαλῆν νομίσαι πάντα πλήρη θεῶν εἶναι, τοπικῶς
ὑπονοοῦντος τοῦ Θαλοῦ πανταχοῦ εἶναι τὸ θεῖον. ἢ τῷ αὐτὴν τὴν ψυχὴν
θεὸν ὑπονοεῖν, ἢ θείας μοίρας αὐτὴν εἶναι. τοιοῦτόν ἐστι καὶ τὸ Ἀράτου
"μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί, πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ
20 δὲ θάλασσα καὶ λιμένες." φασὶ δὲ καὶ τοὺς Στωϊκοὺς τοιαύτης εἶναι
δόξης· σῶμα γὰρ τὸ θεῖον ἐνόμιζον. τοπικῶς μὲν οὖν πανταχοῦ τὸν
θεὸν εἶναι ὑπονοεῖν ἄτοπον καὶ παράλογον, εἴ γε | μηδὲ σῶμα εἶναι τὸν f 3v
θεὸν οἷόν τε, ὁπότε καὶ ἡ αἴσθησις ἀσώματος ἀποδέδεικται, καὶ πρὸς
τοῦτο τῷ Ἀριστοτέλει ἡ ἔνστασις· ταῖς μέντοι ἐνεργείαις πανταχοῦ εἶναι
25 ἀνάγκη, εἴ γε πάντων αἴτιος εἶναι ἀποδείκνυται. οὕτω γοῦν νοοῦμεν τὸ
"πάντα θεοῦ πλήρη, πάντῃ δέ οἱ εἰσιν ἀκουαὶ καὶ διὰ πετράων καὶ ἀνὰ
χθόνα καί τε δι' αὐτοῦ ἀνέρος ὅττι κέκευθεν ἐνὶ στήθεσσι νόημα." πρὸς
ταύτην οὖν τὴν δόξαν τὴν ἐν παντὶ ψυχὴν εἶναι λέγουσαν πρῶτον μὲν 5
ἀπορεῖ, τί δήποτε ἐν παντὶ σώματι ψυχῆς οὔσης, τὰ μέν ἐστι ζῷα,
30 τὰ δὲ οὔ. καίτοι ἔδει πάντα εἶναι ζῷα· οὐδὲν δὲ τῶν ἁπλῶν ἐστι
ζῷον. καίτοι ἔδει μᾶλλον ταῦτα εἶναι ζῷα· ἐν γὰρ πυρὶ οὖσα καὶ ἐν
ἀέρι ἅτε ἐν καθαρωτέροις καὶ λεπτομερεστέροις σώμασιν οὖσα βελτίων

---

1 γνώσομαι — τούτῳ δῆλον ὅτι (2) om. D 3 γνωσόμεθα D 6 γνωρίζω scripsi: γνωρίζει libri οὕτω γοῦν R 8 τοῖς τὰς DR: τῆς τὰς t 11 ἅμα Dt: ἀνὰ R 13 πλήρη πάντα DR: πάντα πλήρη t Arist. 18 τὸ Ἀράτου] Phaen. 2 sqq. 21 οὖν om. D 22. 23 μηδὲν εἶναι σῶμα τὸν θεὸν οἴονται ὁπότε R 25 αἴτιος R: αὐτὸς Dt 26. 27 πάντα—νόημα] ignoti poëtae sunt; cf. Lobeck Aglaoph. p. 913 26 θεοῦ Lobeck l. l.: θεῶν libri ἀκουαὶ R: ἀκοαὶ Dt 27 τε om. D ὅττι Dt: οὔτι R ἐν στήθεσι σῆμα D 28 τὴν (post δόξαν) om. t 30 πάντα — ἔδει (31) om. D 31 post ζῷον add. ὡς τὰ στοιχεῖα t μᾶλλον post εἶναι transp. R 32 ἐν καθαρωτέροις R: ἐν om. Dt βελτίων t (cf. p. 189,5): βέλτιον ADR Pal.

ἂν εἴη ἐν τούτοις ἡ ψυχὴ τῶν συνθέτων. ὥστε καὶ μᾶλλον διαφαίνεσθαι f 3v
αὐτῆς ὤφειλον αἱ ἐνέργειαι. τοῦτο δὲ ὡς ὑπ' ἐκείνων λεγόμενον ἱστορεῖ,
ὅτι ἐν πυρὶ καὶ ἀέρι καθαρωτέρα ἐστὶν ἡ ψυχὴ καὶ ἀθανατωτέρα· ἔδει
οὖν καὶ μᾶλλον διαφαίνεσθαι τῶν συνθέτων. καὶ πρὸς αὐτὸ δὲ τοῦτο
ἀπορεῖ, πῶς φασι τὴν ἐν τοῖς στοιχείοις ἀθανατωτέραν εἶναι καὶ βελτίω·
ὁμοίως γὰρ τοῖς συνθέτοις καὶ τὰ ἁπλᾶ φθείρεται καὶ ἀλλοιοῦται καὶ μεταβάλλει. τί οὖν τὸ αἴτιον τοῦ ἀθανατωτέρας εἶναι τὰς ἐν τούτοις ψυχάς;

p. 411a13 Συμβαίνει δὲ ἀμφοτέρως ἄτοπον καὶ παράλογον.

Ἐπειδὴ εἶπε 'διὰ τίνα αἰτίαν ψυχῆς οὔσης ἐν τοῖς στοιχείοις οὐκ
ἔστι ζῷα;' νῦν δέ φησιν ὅτι ὁπότερον ἂν τούτων δῶσιν, ἄτοπον καὶ παράλογον τὸ ἑπόμενον· εἴτε γὰρ ζῷα αὐτὰ εἶναι εἴπωσι, παραβολώτερος ὁ λόγος, τουτέστι τολμηρὸς καὶ ἐπικίνδυνος, ῥᾴδιον ἔχων ἐκ τῆς αἰσθήσεως τὸν ἔλεγχον· ἄτοπον δὲ καὶ τὸ ψυχῆς ἐνούσης ἐν αὐτοῖς μὴ εἶναι αὐτὰ ζῷα· ψυχὴν γὰρ τοιαύτην ἔλεγον δηλονότι ἐνεῖναι αὐτοῖς, οἷα ἡ τῶν ζῴων.
δηλοῖ δὲ καὶ τὰ ἐπαγόμενα.

p. 411a16 Ὑπολαβεῖν δὲ ἐοίκασι τὴν ψυχὴν εἶναι ἐν τούτοις, ἐπεὶ τὸ ὅλον τοῖς μορίοις ὁμοειδές.

Πόθεν ὑπήχθησαν ἔμψυχα εἰπεῖν τὰ στοιχεῖα, νῦν λέγει· συνελογίσαντο γὰρ ὅτι, εἰ ὁμοιομερῆ τὰ στοιχεῖα καὶ διὰ τοῦτο ὁμοειδὲς τὸ ὅλον
τοῖς μέρεσι, τὰ δὲ μέρη τῶν ὅλων στοιχείων τὰ ἐν τοῖς ζῴοις ἔμψυχά ἐστι, καὶ τὰ ὅλα ἐξ ἀνάγκης ἔσται ἔμψυχα. εἰ γὰρ τὸ μέρος ἔμψυχον, ὅμοιον δὲ τῷ μέρει τὸ ὅλον, καὶ τὸ ὅλον ἄρα ἔμψυχον. διὰ γὰρ τοῦτο εἶναι τὰ ζῷα ἔμψυχα, τῷ ἔχειν ἕκαστον μόριόν τι τοῦ παντὸς σώματος τοῦ ἀέρος ἢ τοῦ πυρὸς ἢ τῶν ἄλλων ἐν αὐτῷ· ἐκείνων οὖν ἐμψύχων ὄντων,
καὶ ταῦτα ἔμψυχα εἰκότως. τὰ δὲ τῷ λόγῳ τούτῳ ἑπόμενα ἄτοπα ἐπάγει ἐφεξῆς.

p. 411a18 Ὥστ' ἀναγκαῖον αὐτοῖς λέγειν καὶ τὴν ψυχὴν ὁμοειδῆ τοῖς μορίοις εἶναι, εἰ τῷ ἀπολαμβάνεσθαί τι τοῦ περιέχοντος ἐν τοῖς ζῴοις ἔμψυχα τὰ ζῷα γίνεται.

Εἰ διὰ τοῦτο, φησίν, ἕκαστόν ἐστιν ἔμψυχον, τῷ ἐναπολαμβάνειν ἐν

---

1 διαφαίνεσθαι ARt: διαφέρεσθαι D 3 καὶ ἐν ἀέρι R 8 ἀμφοτέρως Dt Arist.: ἀμφοτέροις R παράλογον DR Arist.: παραλογώτερον t 10 ἔστι Dt: εἰσὶ R νῦν δέ Dt: δέ om. R 11 εἶναι om. R παραβολώτερος Dt: παραλογώτερος R, cf. Arist. 12 ἔχον D 16 δὲ om. t 17 ἐπεὶ DR Arist. codd. TVy: ὅτι t Arist. vulg. τὸ ὅλον R Arist.: τὸ om. Dt 23 τῷ Dt: τὸ R 25 τούτῳ Rt: τοῦτο D 27 ἀναγκαῖον DR Arist.: ἀναγκαίως t 27. 28 ὁμοειδεῖ D 28 εἰ] ἢ D τῷ DR Arist. vulg.: τὸ t Arist. TW ἀπολαμβάνεσθαι DR Arist. EVX: ἀπολαβεῖν t: ἀπολαμβάνειν Arist. reliqui ante τοῦ add. περὶ t 29 τὰ ζῶα DR Arist. EX: τὰ om. t Arist. reliqui 30 εἰ R: ἢ Dt τῷ Dt: τὸ R

ἑαυτῷ μόριόν τι τοῦ παντός, εἰσὶ δὲ πάντα τὰ μόρια τοῦ παντὸς ὁμοειδῆ f 3v
καὶ ἑαυτοῖς καὶ τῷ ὅλῳ, ἀνάγκη καὶ ὁμοίως αὐτὰ ἔμψυχα εἶναι· ὥστε 30
καὶ ἡ ἐν αὐτοῖς ψυχὴ ὁμοειδὴς ἑαυτῇ καὶ ὁμοιομερής. εἰ γὰρ μὴ εἴη ἡ
ψυχὴ ὁμοειδὴς ἑαυτῇ καὶ ὁμοιομερὴς ὡς ὁ ἀήρ, οὐ πᾶσα ἐν ἑκάστῳ
5 ἔσται, ἀλλὰ τόδε μὲν αὐτῆς τὸ μόριον ἐν τῷδε τῷ ἀέρι, φέρε εἰπεῖν τὸ
θυμικόν, τόδε δὲ ἐν τῷδε, τὸ ἐπιθυμητικόν, καὶ ἄλλο ἐν ἄλλῳ. εἰ δὲ
τοῦτο, οὐκέτι τὰ μόρια τοῦ ἀέρος ὁμοειδῆ ἔσονται ἑαυτοῖς καὶ τῷ ὅλῳ.
ἤτοι δὲ ὡς ὑπ' ἐκείνων λεγομένου τοῦ τὴν ψυχὴν ὁμοιομερῆ εἶναι
ταῦτα λέγει, ἢ ὡς ὄντος ἐναργοῦς τοῦ μὴ εἶναι αὐτὴν ὁμοιομερῆ εἰς 35
10 τοῦτο ἄγει τὸ ἄτοπον τὸν λόγον. οὔτε γὰρ πᾶν ἔμψυχον πάσας ἔχει τὰς
τῆς ψυχῆς δυνάμεις, οὔτε ἐν οἷς πᾶσαί εἰσιν, οἷον ἐν τοῖς ἀνθρώποις,
ἀλλήλοις εἰσὶν ὁμοειδεῖς. πρὸς δὲ τοῦτο, λέγω δὴ τὸ ἀναγκαῖον εἶναι ἐκ
τοῦ λόγου τούτου ὁμοειδῆ εἶναι τὴν ψυχήν, καὶ τὰ ἑξῆς κατασκευάζει.
ἔστι δὲ πρὸς τὸν λόγον τοῦτον καὶ τοιαύτῃ χρήσασθαι διαιρέσει τὸ ἀδύ-
15 νατον δεικνύντας. ἀνάγκη γὰρ τὴν ἐν ὅλῳ τῷ ἀέρι ψυχὴν ἢ ὁμοειδῆ
εἶναι αὐτῇ ἢ ἀνομοειδῆ. εἰ μὲν οὖν ὁμοειδής, ἐπειδὴ τῷ ἀπολαμβάνεσθαι 40
ἐν τοῖς ἐμψύχοις μέρος τι τοῦ ἀέρος ἔμψυχα γίνεται, ἔδει πάντα τῆς
αὐτῆς ψυχῆς μετέχειν. ἀλλὰ μὴν τὸ δεύτερον ψεῦδος ἐναργῶς· οὐχ
ὁμοειδὲς γὰρ τὸ αἰσθητικὸν τῷ θρεπτικῷ ἢ τοῖς ἄλλοις· καὶ τὸ πρῶτον
20 ἄρα. εἰ δὲ ἀνομοιομερὴς εἴη ἡ ψυχή, ἢ πάντα τὰ μόρια αὐτῆς διὰ
παντὸς διήκει τοῦ ἀέρος, ὡς ἐν ἑκάστῳ μορίῳ τοῦ σώματος ἔστι καὶ
θρεπτικὴ καὶ αὐξητικὴ δύναμις, ὁμοίως καὶ ἐν ἑκάστῳ κλάδῳ τοῦ
δένδρου, ἢ οὖν πάντα διὰ παντὸς διήκει, ἢ ἕκαστον μόριον τῆς ψυχῆς
μέρος τι τοῦ ἀέρος ἐμπεριείληφεν. εἰ μὲν οὖν πάντα τὰ μόρια τῆς ψυχῆς 45
25 ἐν ὁτῳοῦν μορίῳ εἰσὶ τοῦ ἀέρος, ἔδει πάντα ὁμοίως ἔμψυχα εἶναι καὶ
πάντα μετέχειν καὶ λόγου καὶ αἰσθήσεως καὶ θυμοῦ καὶ ἐπιθυμίας· ἀλλὰ
μὴν τὸ δεύτερον ψεῦδος· καὶ τὸ πρῶτον ἄρα. εἰ δὲ ἕκαστον μόριον τῆς
ψυχῆς μέρος τι τοῦ ἀέρος ἀπείληφεν, ἔδει ἄλλο ζῷον ἄλλης ψυχῆς
μετέχειν, τὸ μὲν τῆς ἐπιθυμητικῆς μόνον, τὸ δὲ τῆς θυμικῆς, τὸ δὲ τῆς
30 λογικῆς, τὸ δὲ ἄλλης τινός, εἴ γε τῷ ἐναπολαμβάνεσθαι μέρος τι τοῦ
ἀέρος ἔμψυχα τὰ ζῷα γίνεται. νῦν δὲ ὁρῶμέν τινα πασῶν τῶν 50
ψυχικῶν δυνάμεων μετέχοντα, τὰ δὲ τῶν πλειόνων, καὶ οὐδὲν μιᾶς μόνης
δυνάμεως μετέχει. εἰ δέ τις εἴποι ὅτι διὰ τὸ πλείονα μόρια τοῦ ἀέρος
ἐναπολαμβάνεσθαι ἐν τοῖς ζῴοις συμβαίνει πλειόνων δυνάμεων ψυχικῶν
35 αὐτὰ μεταλαμβάνειν, λεγέτω τίς ἡ ἀποκλήρωσις τινὰ μὲν μόρια ψυχῆς ἐν
πᾶσιν ἁπλῶς τοῖς ζῴοις ἢ ἐμψύχοις ἐναπολαμβάνεσθαι, τινὰ δὲ μή·

---

1 μόριόν τε τοῦ D 3 ἡ (ante ἐν αὐτοῖς) om. D 6 τόδε Rt: τῶδε D
12 ἀναγκαῖον Dt: ἀνάγκην R 14 ἔστι Rt: ἔτι D 14. 15 ἀδύνατα R 17 μέρος τι Rt: ante τι add. ἐστί D 19 γὰρ om. R 21 et 23 διήκει Dt: ἥκει R
22 ὁμοίως δὲ καὶ R 29 τὸ μὲν τῆς θυμητικῆς μόνον τὸ δὲ τῆς ἐπιθυμητικῆς R
30 εἴ γε Dt: εἰ δὴ R 32 τὰ δὲ Rt: μετέχοντα δὲ D οὐδὲν μιᾶς R: οὐδεμιᾶς Dt 34 ἐναπολαμβάνειν R 35 αὐτὰ λαμβάνει λέγω R 36 post ἢ add. ἁπλῶς D

θρεπτικὴ μὲν γὰρ ἐν πᾶσι καὶ αὐξητική, αἱ δὲ λοιπαὶ οὐ πάντως· καὶ f3v
πάλιν τίς ἡ ἀποκλήρωσις ἐν τοῖς μετέχουσιν αἰσθήσεως τὴν | ἁπτικὴν f4r
μὲν πάντως εἶναι, τὰς δὲ ἄλλας μηκέτι. ἄλλως τε εἰ ὁμοιομερὴς ὁ ἀήρ,
τίς ἡ ἀποκλήρωσις τόδε μὲν τὸ μέρος τοῦ ἀέρος τὸ λογιστικὸν τῆς ψυχῆς
5 ἀπειληφέναι, τόδε δὲ τὸ αἰσθητικόν, καὶ ἄλλο ἄλλο· οὐ γὰρ τὸ τυχὸν εἶδος
εἰς τὴν τυχοῦσαν ὕλην ἐγγίνεσθαι πέφυκεν. ὥστε εἰ ἀνάγκη ἕν τι μόριον
τῆς διαιρέσεως ἀληθεύειν, εἴ γε ἔμψυχα τὰ στοιχεῖα, δείκνυται δὲ ἕκαστον
ἀδύνατον, ψεῦδος ἄρα τὸ ἔμψυχα λέγειν.

p. 411a20 Εἰ δ' ὁ μὲν ἀὴρ διασπώμενος ὁμοειδής, ἡ δὲ ψυχὴ 5
10 ἀνομοιομερής, τὸ μέν τι αὐτῆς ὑπάρξει δῆλον ὅτι, τὸ δὲ οὐχ
ὑπάρξει.

Ὅτι ἀνάγκη κατὰ τὴν αὐτῶν ὑπόθεσιν καὶ τὴν ἐν τῷ παντὶ ψυχὴν
ὁμοιομερῆ ἑαυτῇ εἶναι, διὰ τούτων κατασκευάζει. εἰ γὰρ μὴ εἴη ὁμοιο-
μερὴς ἀλλ' ἀνομοιομερής, τὸ μὲν αὐτῆς τῶν μορίων ὑπάρξει ἐν τῷδε τῷ
15 μορίῳ τοῦ ἀέρος, φησί, τὸ δὲ οὐχ ὑπάρξει. εἰ δὲ τοῦτο, οὐκ ἔσονται
πάντα τὰ μόρια τοῦ ἀέρος καὶ τῶν ἄλλων στοιχείων ὁμοειδῆ ἑαυτοῖς, ὃ 10
μάλιστα ἐκεῖνοι ἐβούλοντο. εἰς τοὐναντίον οὖν περιάγει αὐτοῖς τὸν λόγον·
ἐκεῖνοι μὲν γὰρ κατεσκεύαζον ἔμψυχον εἶναι τὸ πᾶν ἐκ τοῦ λαμβάνειν τὰ
μέρη ὁμοειδῆ ὄντα καὶ ἑαυτοῖς καὶ τῷ ὅλῳ, αὐτὸς δὲ ἐκ τῆς ὑποθέσεως
20 τῆς ὑποτιθεμένης ἀνομοιομερῆ τὴν ψυχὴν τὸ ἐναντίον κατασκευάζει· τὰ
γὰρ μέρη τοῦ ἀέρος εἰ καὶ ὁμοειδῆ ἀλλήλοις εἰσὶν διὰ τὸ ὅμοιον εἶναι
ἑαυτῷ τὸν ἀέρα, ἀλλ' οὖν διὰ τὸ μὴ τὸ αὐτὸ τῆς ψυχῆς μόριον εἶναι ἐν
ἑκάστῳ οὐκ ἔσονται ὁμοειδῆ. τὰ γὰρ ἔμψυχα κατὰ τὴν τῆς ψυχῆς ἰδιό- 15
τητα μάλιστα χαρακτηρίζονται, ἐπειδὴ εἶδος ἑκάστου καὶ ἐντελέχεια ἡ
25 ψυχή. ὥστε εἰ ἀδύνατον ὅσον ἐπὶ τῇ αὐτῶν ὑποθέσει ἀνομοιομερῆ εἶναι
τὴν ψυχήν, ἐξ ἀνάγκης ὁμοειδὴς ἔσται. τοῦτο δὲ ψεῦδος ἐναργῶς· ἄλλου
γὰρ εἴδους τὸ λογικὸν τῆς ψυχῆς μόριον, καὶ ἄλλου τὸ θυμικὸν καὶ τὰ
λοιπὰ ὁμοίως. ὥστε εἰ ἀνάγκη τοῖς ἔμψυχον λέγουσι τὸ πᾶν ὁμοειδῆ τὴν
ψυχὴν καὶ ὁμοιομερῆ λέγειν, τοῦτο δὲ ψεῦδος, ψεῦδος ἄρα τὸ ἔμψυχον
30 λέγειν τὸ πᾶν.

p. 411a22 Ἀναγκαῖον οὖν αὐτὴν ἢ ὁμοιομερῆ εἶναι ἢ μὴ 20
ἐνυπάρχειν ἐν ὁτῳοῦν μορίῳ τοῦ παντός.

Τουτέστιν ὅσον ἐπὶ τῇ αὐτῶν ὑποθέσει τῇ λεγούσῃ ἐν ὁτῳοῦν μορίῳ
τοῦ παντὸς τὴν ψυχὴν εἶναι, ὅθεν καὶ τὰ ἔμψυχα μετέχοντα τῶν μορίων

---

2 ἐν τοῖς—ἀποκλήρωσις (4) om. D 3 εἰ R: οἱ t 4 μὲν τὸ Rt: μέντοι D
6 εἰ om. D ἕν τι Rt: ἕν τινι D 7 τῆς om. R 14 ἐν τῷδε—οὐχ ὑπάρξει
(15) om. D 21 ὁμοειδεῖ D 23 τὴν τῆς Dt: τῆς om. R 28 πᾶν Rt: περι
(sic) D 31 ἀνάγκη οὖν R αὐτὴν ἢ Rt Arist. (sed ἢ om. Arist. E): αὐτῇ D
32 ὁτῳοῦν] τῷ R 33 Τουτέστιν—μορίῳ τοῦ παντὸς (p. 192,10) om. D

τοῦ παντὸς ἔμψυχα γίνεσθαι, ἀνάγκη τὴν ψυχὴν ὁμοιομερῆ εἶναι· εἰ γὰρ f 4r
μὴ εἴη ὁμοιομερής, οὐκ ἔσται ἐν ὁτῳοῦν μορίῳ τοῦ παντὸς ἡ αὐτή. ὅτι
δὲ μὴ ὁμοιομερὴς μηδὲ ἐν πᾶσιν ἡ ψυχή, ἐνῆν δεικνύναι καὶ ἐκ τοῦ ἔνια
μόρια ἐν αὐτῷ φανερῶς εἶναι ἄψυχα, οἷον λίθους καὶ ξύλα καὶ τὰ ὅμοια, 25
5 καίτοι ἀέρος μετέχοντα. καὶ εἰ αὐτοὶ ἐπεχείρουν ἔμψυχα δεικνύναι τὰ
στοιχεῖα ἐκ τοῦ ὁμοιομερῆ μὲν εἶναι, τὰ δὲ μέρη αὐτῶν ἔμψυχα εἶναι,
λέγω δὴ τὰ ἐν τοῖς ζῴοις, τῷ αὐτῷ ἐπιχειρήματι τὸ ἐναντίον ἔστι κατα-
σκευάσαι. ἐπεὶ γὰρ τὰ μόρια τῶν στοιχείων τὰ ἐν τοῖς ἀψύχοις ὁμοειδῆ
εἰσι τοῖς ὅλοις, ταῦτα δὲ ἄψυχα, καὶ τὰ ὅλα ἄρα ἄψυχα. τὸ δὲ ἐν ὁτῳ-
10 οῦν μορίῳ τοῦ παντὸς εἴτε ἐπὶ τοῦ παντὸς ἀέρος λάβοις, οὗ μετέχοντα
τὰ ἔμψυχα αὐτῷ τούτῳ ἔμψυχα εἶναι ἔλεγον, προχωρεῖ ὁ λόγος, εἴτε
καὶ ἐπὶ τοῦ παντὸς καὶ κοσμικοῦ σώματος, ἔτι πλέον τὸ ἄτοπον δείκνυται. 30

p. 411a24 Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὡς οὔτε τὸ γινώσκειν
ὑπάρχει τῇ ψυχῇ διὰ τὸ ἐκ τῶν στοιχείων εἶναι, οὔτε τὸ κινεῖ-
15 σθαι αὐτὴν καλῶς οὐδὲ ἀληθῶς λέγεται.

Συμπεραίνει τὰ εἰρημένα, ταῦτα δέ ἐστιν ὅτι οὔτε τὸ γνωριστικὸν
ἔχει τῷ ἐκ τῶν στοιχείων εἶναι, οὔτε διὰ τὸ κινεῖν καὶ αὐτὴ κινεῖται,
ἀλλ' ἔστι μὲν κινητική τε καὶ γνωστική, οὐχ οὕτω δὲ ὡς ἐκεῖνοι ἔλεγον.

p. 411a26 Ἐπεὶ δὲ τὸ γινώσκειν τῆς ψυχῆς ἐστι καὶ τὸ αἰσθά- 35
20 νεσθαί τε καὶ δοξάζειν.

Ἐπειδὴ ἐμνήσθη προσεχῶς τοῦ ἀνομοειδῆ τὰ μέρη τῆς ψυχῆς εἶναι,
νῦν αὐτὸ τοῦτο προτίθεται ζητῆσαι. ἐπεὶ γὰρ πλείους καὶ διάφοροι αἱ 40
τῆς ψυχῆς ἐνέργειαι, πότερον μιᾶς οὔσης καὶ ἀμερίστου τῆς ψυχῆς κατ'
οὐσίαν ἐκ τῆς μιᾶς ταύτης οὐσίας αἱ διάφοροι δυνάμεις τε καὶ ἐνέργειαι
25 προέρχονται, ὥστε τὴν αὐτὴν εἶναι κατ' οὐσίαν καὶ μίαν τῷ ἀριθμῷ καὶ
θρεπτικὴν καὶ αὐξητικὴν καὶ γεννητικὴν καὶ λογιστικὴν καὶ θυμικὴν καὶ
ἐπιθυμητικήν, καὶ εἴ τις ἄλλη δύναμις ψυχική, ἢ μεριστή ἐστιν ἡ ψυχὴ
καὶ κατὰ ἄλλο καὶ ἄλλο μόριον αὐτῆς ἑκάστη τῶν ἐνεργειῶν τούτων γίνε-
ται; ἔτι δὲ ζητεῖ ὅτι ἡ δύναμις καθ' ἣν τὰ ζῷα λέγεται ζῆν πότερον 45
30 ἐν μιᾷ τῶν προειρημένων ἐνεργειῶν ἢ δυνάμεών ἐστιν, οἷον ἐν τῷ λογί-
ζεσθαι ἢ αἰσθάνεσθαι ἤ τινι τῶν ἄλλων, ἢ ἐν πάσαις αὐταῖς ἢ ἐν οὐδε-

---

11 αὐτῷ τούτῳ Dt: αὐτὸ τοῦτο R, fort. recte 13 γινόσκειν Dt 14 τῇ om. t
14. 15 οὔτε τὸ κινεῖσθαι—εἶναι (17) om. R 19 ἐπεὶ δὲ Arist. vulg. et infra p. 195,24
D: ἐπειδὴ δὲ R Arist. UWy, corr. E: ἐπειδὴ Dt τῆς DR Arist. vulg.: om. t Arist.
TWy ἐστι om. D 20 τε] τι R 22 ἐπειδὴ γὰρ Rt 29 πρότερον R

---

27 post ἐπιθυμητικήν, καὶ add. καθάπερ ἡ τοῦ πυρὸς οὐσία μία καὶ ἡ αὐτή ἐστιν, ἐξ ἧς ἡ καυστική τε καὶ ξηραντικὴ καὶ φωτιστικὴ πρόεισι δύναμίς τε καὶ ἐνέργεια A Pal.

μιᾷ, ἀλλ' ἄλλο τί ἐστι παρ' αὐτὰς τὸ τοῦ ζῆν αἴτιον τοῖς ζῶσι. ταῦτα f 4r
μὲν οὖν τὰ προβλήματα, ἅπερ ἐν τούτοις ζητεῖ. δοκεῖ δὲ ἐνταῦθα μιᾶς
οὐσίας εἶναι βούλεσθαι τὴν ψυχήν, οὐ τοῦτο ἄντικρυς ἀποφαινόμενος, ἀλλ'
ἐξ ὧν ἀπορεῖ πρὸς τὸν λόγον τὸν μεριστὴν εἶναι τὴν ψυχὴν ὑποτιθέμενον.
5 καὶ δείκνυσιν ὡς οὐχ οἷόν τε διαφόροις αὐτὴν μορίοις χρωμένην λογίζε-
σθαί τε καὶ αἰσθάνεσθαι καὶ ἐπιθυμεῖν καὶ τὰς λοιπὰς ἐνεργείας ἐνεργεῖν· 50
μηδὲν δὲ αὐτὸς προστιθέναι ἔδοξεν, ἐξ οὗ δυνατὸν συνάγειν ὡς μία τίς
ἐστιν ἡ ψυχὴ διαφόροις χρωμένη δυνάμεσι ταῖς εἰρημέναις. καὶ ὅτι μὲν
διαφορὰν οἶδε τῆς ψυχικῆς οὐσίας ὁ Ἀριστοτέλης καὶ μόνην μὲν ἀθάνατον
10 οἶδε τὴν λογικήν, τὴν δὲ λοιπὴν πᾶσαν θνητήν, πολλάκις ἐδείξαμεν· καὶ
νῦν δὲ μετρίας παραθησόμεθα χρήσεις αὐτὸ τοῦτο δεικνύοντες. ὁράττον-
ται δὲ τῶν ἐνταῦθα λεγομένων καὶ οἱ πᾶσαν ψυχὴν ἀπαθανατίζοντες καὶ
οἱ πᾶσαν θνητὴν ποιοῦντες· καί φασιν οἱ μὲν 'ὁρᾷς ὅτι πᾶσαν | ψυχὴν f 4v
βούλεται χωριστὴν εἶναι καὶ ἀθάνατον ὁ Ἀριστοτέλης. ἰδοὺ γάρ, φασί,
15 πᾶσαν ψυχὴν μιᾶς οὐσίας βούλεται εἶναι, τὸν νοῦν δὲ μόριον ὄντα τῆς
ψυχῆς χωριστὸν εἶναι καὶ ἀθάνατον λέγει· καὶ τὴν πᾶσαν ἄρα χωριστὴν
βούλεται καὶ ἀθάνατον, εἴ γε μιᾶς ἐστιν οὐσίας πᾶσα ψυχή.' πάλιν οἱ
θνητὴν εἶναι πᾶσαν βουλόμενοί φασιν ὅτι εἰ μία οὐσία ἐστὶ πάσης τῆς
ψυχῆς, λέγει δὲ ἀχώριστον εἶναι τήν τε θυμικὴν καὶ ἐπιθυμητικὴν καὶ 5
20 τὴν φυτικήν, δῆλον ὅτι καὶ πᾶσαν βούλεται θνητὴν εἶναι, εἴ γε μιᾶς ἐστιν
οὐσίας ἅπασα. ὅτι δέ, ὥσπερ εἶπον, οὐκ εἰσὶ μιᾶς οὐσίας αἱ ψυχαί,
ἐδήλωσε μὲν καὶ πρὸ Ἀριστοτέλους Πλάτων ἐκ τῆς διαφωνίας καὶ μάχης
τῶν παθῶν καὶ τοῦ λόγου· εἰ γὰρ μάχεται πρὸς ἄλληλα ὁ λόγος καὶ τὰ
πάθη, τὸ δὲ ἓν αὐτὸ πρὸς ἑαυτὸ οὐ μάχεται, οὐκ ἄρα μιᾶς οὐσίας ταῦτα.
25 καὶ ὁ Ἀριστοτέλης δὲ ἐν τῷ δευτέρῳ βιβλίῳ ὁρισάμενος τὴν ψυχὴν ἐντε-
λέχειαν εἶναι σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος, μετ' 10
ὀλίγα φησὶν "ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ χωριστὴ τοῦ σώματος ἢ μέρη
τινὰ αὐτῆς, εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον· ἐνίων γὰρ ἡ ἐντελέχεια τῶν
μερῶν ἐστιν αὐτῶν." ὥστε οἷόε μέρη τινὰ τῆς ψυχῆς ἀχώριστα καὶ διὰ
30 τοῦτο θνητά. εἰ δέ τινα μέρη ἀχώριστα, καί τινα χωριστὰ δηλονότι·
τοῦτο γοῦν καὶ ἐπήγαγεν "οὐ μὴν ἀλλ' ἔνιά γε οὐδὲν κωλύει διὰ τὸ μη-
δενὸς εἶναι σώματος ἐντελεχείας." σαφῶς ἄρα τινὰ μὲν μόρια τῆς ψυχῆς
αὐτόθεν τοῦ σώματος εἴδη φησί, διὸ καὶ ἀχώριστα (τοῦτο γάρ ἐστιν ἐν-
τελέχεια, τὸ εἶδος καὶ ἡ τελειότης τοῦ σώματος), τινὰ δὲ χωριστὰ διὰ τὸ 15
35 μηδενὸς εἶναι σώματος ἐντελεχείας. καὶ πάλιν εὐθέως ἐπάγει "ἔτι δὲ

---

1 τοῦ τὸ ζῆν coll. R 4 ὑποτιθέμενος t 7 ἐξ οὗ δυνατὸν t: om. DR 9 ψυχικῆς DR: ψυχῆς t 11 δὲ om. R 12 δὲ om. D καὶ (post λεγομένων) om. D ἀπαθανατίζοντες D: ἀθανατίζοντες Rt 13 ante θνητὴν add. ψυχὴν R 14 φασί scripsi: φησί libri 15 βούλεται — νοῦν δὲ R: εἶναι βούλεται δὲ τὸν νοῦν coll. Dt 16 λέγει R: λέγειν Dt 18 φασιν DR: φησιν t εἰ R: om. Dt 21 ὅπερ εἶπον t οὐκ ἐστὶ D αἱ om. D 22 Πλάτων] cf. Phaed. p. 94 B sqq. 23 post μάχεται add. ταῦτα R 24 ἓν om. D 25 δευτέρῳ om. D 27 φησὶν] B 1 p. 413a4 29 μερῶν Rt: ἀμερῶν D 30 ἀχώριστα — χωριστὰ R: χωριστὰ καί τινα ἀχώριστα Dt

ἄδηλον, εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχή, ὥσπερ πλωτὴρ πλοίου." f 4ᵛ
ὥστε καὶ εἰ λέγοι πᾶσαν ψυχὴν ἐντελέχειαν, οἷδέ τινα καὶ χωριστὴν ἐντελέχειαν ἔξωθεν τάττουσαν καὶ κοσμοῦσαν καὶ τελειοῦσαν τὸ ὑποκείμενον, ὥσπερ ὁ πλωτὴρ τὸ πλοῖον. εἰ δὲ ἡ μὲν χωριστὴ ἡ δὲ ἀχώριστος, καὶ
5 ἡ μὲν θνητὴ ἡ δὲ ἀθάνατος, δῆλον ὅτι καὶ ἡ οὐσία τούτων ἑτέρα. σαφῶς γοῦν ἐν τῷ δευτέρῳ λόγῳ οὐ μόνον ἑτέρας οὐσίας εἶναι λέγει τὸν νοῦν, 20
ἀλλὰ καὶ γένους ἑτέρου, ὡς μηδὲ τῷ γένει μίαν εἶναι τὴν λογικὴν τῇ ἀλόγῳ. ζητήσας γὰρ περὶ τῶν ἄλλων δυνάμεων τῆς ψυχῆς, εἴτε ἕκαστον ψυχή ἐστιν εἴτε μόριον ψυχῆς, "περὶ δὲ τοῦ νοῦ", φησί, "καὶ τῆς θεωρη-
10 τικῆς δυνάμεως οὐδέπω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι, καθάπερ τὸ ἀίδιον τοῦ φθαρτοῦ." καὶ ὅτι οὐ περὶ τοῦ θείου νοῦ ταῦτα λέγει, ὡς οἴεται ὁ Ἀλέξανδρος, σαφές· περὶ γὰρ τῶν μορίων τῆς ψυχῆς ζητῶν, εἴτε χωριστά ἐστιν ἀλλή- 25
λων εἴτε μή, ἐπήγαγε "περὶ δὲ τοῦ νοῦ", ὡς ἂν καὶ αὐτοῦ μορίου ὄντος
15 τῆς ψυχῆς· οὐκ ἂν δὲ τὸν θεῖον νοῦν μόριον ἔλεγεν εἶναι τῆς ψυχῆς. ἄλλως τε πῶς ἂν περὶ τοῦ θείου νοῦ τοῦ πάντῃ χωριστοῦ σωμάτων ἔλεγεν ἂν ἐνδέχεσθαι αὐτὸν χωρίζεσθαι; πῶς δ' ἂν ὅλως περὶ τοῦ θείου νοῦ ἐζήτει εἰ χωριστὸς ἢ μή; ὅτι δὲ οὐδὲ ἄλλον τινὰ νοῦν ἐπιγίνεσθαι ἡμῖν βούλεται, ὃν καλεῖ θεωρητικόν, αὐτός ἐστι πάλιν ὁ λέγων ὅτι ὁ θεωρη-
20 τικὸς νοῦς τοῦ πρακτικοῦ διαφέρει μόνῳ τῷ τέλει, ὡς τῷ ὑποκειμένῳ τῶν αὐτῶν ὄντων· τοῦ μὲν γὰρ τέλος τὸ ἀγαθόν, τοῦ θεωρητικοῦ δὲ ἡ ἀλή- 30
θεια. ὅταν μὲν γὰρ πρὸς τὰ ὑπέρτερα ἀνατείνῃ ἑαυτόν, θεωρητικὸς γίνεται ζητῶν τὴν τοῦ παντὸς φύσιν, ὅταν δὲ πρὸς τὰ καταδεέστερα, πρακτικός. ὡς εἰ ὁ πρακτικὸς νοῦς ἐστιν ὁ ἀνθρώπειος (ἀνθρώπων γὰρ αἱ
25 πράξεις) οὗτος δὲ τῷ τέλει μόνῳ διαφέρει τοῦ θεωρητικοῦ, καὶ ὁ θεωρητικὸς ἄρα νοῦς ἀνθρώπινος ἂν εἴη. ὅτι μὲν οὖν οὐ πᾶσαν ψυχὴν μιᾶς φησιν εἶναι οὐσίας, ἱκανὰ τὰ εἰρημένα, ἔτι μέντοι καὶ ἃ ἐν προοιμίοις παρεθέμεθα· ἔτι δὲ μᾶλλον αὐτοῖς τοῖς ῥητοῖς ἐπεξιόντες εἰσόμεθα. 35
ἐνταῦθα μέντοι πρὸς τὸν Τίμαιον δοκεῖ τὴν ἀπάντησιν ποιεῖσθαι, λέγοντα
30 μεμερίσθαι τὴν ψυχὴν κατὰ τὰ τοῦ σώματος μόρια, καὶ τὸ μὲν λογικὸν καὶ αἰσθητικὸν ἱδρῦσθαι ἐν τῷ ἐγκεφάλῳ, τὸ δὲ θυμικὸν ἐν τῇ καρδίᾳ, καὶ ἐν τῷ ἥπατι τὸ ἐπιθυμητικόν. ὡς πρὸς ταῦτα οὖν ἀπαντῶν καὶ μὴ βουλόμενος κατὰ τὰ μόρια τοῦ σώματος κατακεκερματίσθαι αὐτήν, ἀλλὰ μίαν συνέχειαν ἔχειν ὅλην δι' ὅλου τοῦ σώματος, εἰ καὶ πολυμερής ἐστιν,
35 οὕτω φησὶ μίαν αὐτὴν εἶναι, ἐπειδὴ καὶ τὸ ζῷον ἕν. καὶ ὁ Πλάτων δὲ 40

---

1 ὥσπερ R: ὡς Dt 5 ἡ ante οὐσία om. R 6 γοῦν Dt: οὖν R 9 περὶ δὲ τοῦ νοῦ κτλ.] B 2 p. 413ᵇ24 10 οὐδέν πω R 12 νοῦ om. D 13 σαφῶς D περὶ [illegible] τῶν μορίων D 15 τῆς (post ὄντος) om. R 16 τοῦ πάντῃ — νοῦ (17) om. D 18 εἰ] ἢ D 19. 20 ὅτι ὁ θεωρητικὸς — τέλει] Γ 10 p. 433ᵃ14 22 ἀνατείνει D 24 ὁ ἀνθρώπινος t 27 τὰ εἰρημένα Dt: καὶ ταῦτα R 28 ἔτι δὲ R: ὅτι δὲ D: ἔτι δὲ καὶ t 29 πρὸς τὸν Τίμαιον] Plat. Tim. p. 69 D sqq. 30 τὰ om. D 32 ἀπαντῶν Rt: ἀπάντων D 33 τὰ om. R κατὰ κεκερματίσθαι t: κατακεκερματεῖσθαι D: κατακερματίζεσθαι R 35 δὲ om. D

οὐχ ὡς οἰόμενος ἐν μὲν τῷ ἐγκεφάλῳ ἁπλῶς ἱδρῦσθαι τὴν λογικὴν οὐσίαν, f 4ᵛ
ἐν τῇ καρδίᾳ δὲ τὸν θυμὸν καὶ ἐν ἄλλῳ ἄλλο τι, οὕτως διῄρει αὐτὴν τοῖς
μορίοις τοῦ σώματος, ἀλλ' ὡς οἰόμενος ἕκαστον μόριον ἄλλο πρὸς ἄλλο
μόριον τῆς ψυχῆς ἐπιτηδείως ἔχειν εἰς τὸ δέχεσθαι τὰς παρ' αὐτοῦ
5 ἐλλάμψεις. ὥσπερ γὰρ οὐδὲ πάντες ὀφθαλμοὶ ἰσοτίμως τὰς ἐκ τοῦ ἡλίου
ἐλλάμψεις δέχονται, καὶ οὐ παρὰ τὸ μᾶλλον ἐν τῷδε τῷ ὀφθαλμῷ ἱδρῦ-
σθαι τὸν ἥλιον μᾶλλον ἐλλάμπεται, ἀλλὰ διὰ τὴν ἑαυτοῦ ἐπιτηδειότητα, 45
καὶ τῶν ἀψύχων δὲ τὰ διαφανῆ ἀπολαύει τῆς τοῦ φωτὸς ἐνεργείας διὰ
τὴν οἰκείαν ἐπιτηδειότητα, οὕτως οἰητέον καὶ τὴν ψυχὴν μᾶλλον ἔν τισι
10 μορίοις ἐλλάμπειν διὰ τὰς ἐκείνων ἐπιτηδειότητας, ὁπότε καὶ αὐτὸς ὁ
Ἀριστοτέλης φαίνεταί που δοξάζων ἐν τῇ καρδίᾳ τὸ ἡγεμονικὸν ἱδρῦσθαι.
ἀλλ' ἐκ τούτων πάλιν ἀπορία τις ἀναφύει· μήποτε γὰρ μία τίς ἐστι τῇ
οὐσίᾳ ἡ ψυχή, πρὸς δὲ τὰς διαφόρους κράσεις τε καὶ ἐπιτηδειότητας τῶν
σωμάτων ἐν ἄλλῳ ἄλλας ἴσχει ἐνεργείας, ἐν τῷ ὀφθαλμῷ μὲν τὴν ὀπτι- 50
15 κήν, ἐν ἀκοῇ δὲ τὴν ἀκουστικήν, καὶ ἄλλην ἐν ἄλλῳ. ἀλλ' εἰ τοῦτο,
δῆλον ὅτι ἡ μὲν ὀπτικὴ δύναμις ἐν τῷ ὀφθαλμῷ καὶ εἰδοποιεῖται, ἡ δὲ
ἀκοὴ ἐν τῷ ἀκουστικῷ μορίῳ, καὶ ἄλλη ἐν ἄλλῳ· εἰ δὲ τοῦτο, τὰ χείρω
εἰδοποιήσει τὰ κρείττω, καὶ ἡ ὕλη τοῦ εἴδους ἔσται αἰτία, καὶ διὰ τὴν
ὕλην τὸ εἶδος ἔσται. ἔσται γὰρ ἡ μὲν ὕλη οὗ ἕνεκα (ἕνεκα γὰρ τοῦ
20 ὄμματος τὸ ὁρᾶν) τὸ δὲ εἶδος ἕνεκά του· τοῦτο δέ ἐστιν ἀντιστρέφειν
τὴν τῶν πραγμάτων φύσιν. εἰ οὖν ταῦτα ἄτοπα καὶ ἀδύνατα, οὐκ ἐν τοῖς
μορίοις | αἱ διάφοροι γίνονται ἐνέργειαι τῆς ψυχῆς, ἀλλὰ τῇ οὐσίᾳ εἰσὶ f 5ʳ
διάφοροι.

Ἐπεὶ δὲ τὸ γινώσκειν τῆς ψυχῆς καὶ τὰ ἑξῆς. τῶν ἀπηριθμη-
25 μένων τὰ μέν ἐστι τῆς λογικῆς ψυχῆς, ἡ γνῶσις καὶ ἡ δόξα καὶ ἡ βού-
λησις, τὰ δὲ τῆς ἀλόγου, ἡ αἴσθησις καὶ ἡ ἐπιθυμία καὶ ἡ ὄρεξις καὶ ἡ
κίνησις ἡ κατὰ τόπον, αὔξησις δὲ καὶ ἀκμὴ καὶ φθίσις τῆς φυτικῆς. πό-
τερον ὅλῃ τῇ ψυχῇ τούτων ἕκαστον ὑπάρχει, τουτέστιν ἄρα μία
ἐστὶν οὐσία τῆς ψυχῆς, ἥτις πολυδύναμος οὖσα τὰς διαφόρους ταύτας 5
30 ἐνεργείας ποιεῖται, ἢ οὐκ ἔστι μία τῇ οὐσίᾳ ἀλλὰ πολυμερής, ἐκ διαφόρων
οὐσιῶν συγκειμένη, καὶ ἕκαστον τῶν μορίων αὐτῆς τινος τῶν εἰρημένων
ἀντιλαμβάνεται;

p. 411ᵇ3 Καὶ τὸ ζῆν δὲ πότερον ἕν τινι τούτων ἐστίν.

Ζητεῖ καὶ περὶ τοῦ ζῆν εἰκότως, ἐκ ποίου μορίου τῆς ψυχῆς παραγί-

---

2 οὕτως R: οὕτος οὖν Dt αὐτὴν R: αὐτοῖς Dt 5 ὥσπερ scripsi: ὥστε Rt: οὔτε D οὔτε (sic) γὰρ οὐδὲ — ἐλλάμψεις (6) iterat, sed del. D¹ ὀφθαλμοῖς R 6 οὐ παρὰ Rt: οὔτε D 7 ἐλλάμπεσθαι D αὐτοῦ R 11 που δοξάζων Rt: σπουδάζων D τὸ ἡγεμονικὸν om. D ἱδρύεσθαι D 14 ἐν ὀφθαλμοῖς μὲν R 15 et 17 τοῦτο] τούτω D 24 ἐπεὶ δὲ D: ἐπειδὴ Rt τῆς ψυχῆς om. R καὶ τὰ ἑξῆς om. t 26 ἡ ante αἴσθησις om. t 30 ἢ] ἡ D 33 δὲ DRt de an. V: δὴ de an. reliqui 34 περὶ τοῦ R: περὶ τούτων Dt ποίου Dt: πόσου R

νεται. αὐτὸς δὲ ἐν τῷ ἐφεξῆς βιβλίῳ ἐρεῖ ὅτι τοῦ πεζαιτάτου καὶ ἐσχάτου f 5r
μορίου ἐστὶ τῆς ψυχῆς, λέγω δὴ τῆς φυτικῆς δυνάμεως· οὐδὲν γὰρ ἀμοι- 10
ροῦν ταύτης ζῆν δύναται· διὸ καὶ τὰ μόνης αὐτῆς μετέχοντα ζῇ, λέγω
δὴ τὰ φυτά.

5 p. 411b5 Λέγουσι δέ τινες μεριστὴν αὐτήν, καὶ ἄλλῳ μὲν νοεῖν
ἄλλῳ δὲ ἐπιθυμεῖν.

Ἐντεῦθεν ἡ πρὸς τὰ προβλήματα ἀπάντησις. ἐπεὶ γὰρ διάφοροι αἱ
τῆς ψυχῆς ἐνέργειαι, ὡς παρέθετο, εἰκότως ἐζήτησεν, εἰ πάσῃ τῇ ψυχῇ
πάντα ἐνεργοῦμεν ἢ ἄλλῃ δυνάμει αὐτῆς ἄλλο· ἀλλ' ἐπεὶ ἄλογον τὰς
10 διαφόρους ἐνεργείας ἐκ τῆς αὐτῆς δυνάμεως λέγειν προέρχεσθαι. ἀνάγκη
πολυδύναμον εἶναι τὴν ψυχήν. ἀλλ' εἰ τοῦτο, εἰκότως πάλιν ἐπὶ τούτοις 20
ζητεῖται, πότερον διῄρηται ἡ ψυχὴ κατὰ τὰς δυνάμεις ταύτας, καὶ ἐν ἄλλῳ
μὲν μέρει τήνδε τὴν δύναμιν ἔχει, ἐν ἄλλῳ δὲ τήνδε, ὥστε διῃρῆσθαι
αὐτὴν εἰς μόρια τοσαῦτα, ὅσαι εἰσὶ καὶ αἱ δυνάμεις, ἢ μία οὖσα καὶ
15 ἀμερὴς τὰς διαφόρους δυνάμεις ἴσχει, ὥσπερ τὸ πῦρ ἓν ὂν καὶ τὸ αὐτὸ
κατ' οὐσίαν καὶ θερμαίνει καὶ ξηραίνει καὶ φωτίζει πολυδύναμον ὂν καὶ
οὐ πολυμερές, καὶ τὸ μῆλον ἓν ὂν κατὰ τὴν οὐσίαν διαφόρους ἔχει δυνά-
μεις τὸ εὐῶδες, τὸ γλυκύ, τὴν εὔχροιαν, τὸ σχῆμα· καὶ ἐπὶ ἄλλων, σχεδὸν 25
δὲ ἐπὶ πάντων τοῦτο ὁρᾶται. πρὸς οὖν τοὺς λέγοντας κατὰ μόρια αὐτὴν
20 διῃρῆσθαι τοπικῶς (αἰνίττεται δέ, ὡς εἶπον, τὸν παρὰ Πλάτωνι Τίμαιον)
νῦν ἐνίσταται. εἰ γὰρ διῄρηται ἡ ψυχὴ κατὰ μόρια, ἀνάγκη τὰ μόρια
ταῦτα ἢ διακεκριμένα εἶναι ἀλλήλων ἢ ἡνωμένα. ἀλλ' εἰ μὲν εἴη διακε-
κριμένα ἀπ' ἀλλήλων τὰ μόρια τῆς ψυχῆς, πῶς ἔσται τὸ ζῷον ἕν; εἰ δὲ
ἓν τὸ ζῷον καὶ συνεχές τε καὶ συμπαθὲς ἑαυτῷ, ἀνάγκη καὶ τὰς ψυχικὰς
25 δυνάμεις ἤτοι τὰ μόρια τῆς ψυχῆς τὰ εἰδοποιοῦντα τὸ ζῷον καὶ αὐτὰ 30
ἡνωμένα εἶναι· πῶς γὰρ αἴτια ἔσονται ἑνώσεως τῷ ζῴῳ αὐτὰ μὴ ὄντα
ἡνωμένα; εἰ δὲ ἥνωται τὰ μόρια τῆς ψυχῆς, τί ποτέ ἐστιν αὐτοῖς τῆς
ἑνώσεως αἴτιον; ἀλλ' ἆρα μὴ τὸ σῶμα; ἀλλὰ τοῦτο ἀδύνατον· τοὐναντίον
γὰρ ἡ ψυχὴ τῷ σώματί ἐστι τῆς ἑνώσεως αἰτία. χεῖρον γὰρ τῆς ψυχῆς
30 τὸ σῶμα, τὸ δὲ ἑνώσεως αἴτιόν τινι κρεῖττον εἶναι ἀνάγκη ἐκείνου· ἡ

---

1 ἑξῆς R πεζαιτάτου scripsi coll. A: πεζετάτου Dt: παιζετάτου R: τὸ πεζότατον μόριον Suid. v. Ψυχή 3 ζῇ AR: ζῆν Dt 5 αὐτήν DR Arist. vulg.: αὐτὴν εἶναι t Arist. TV 5 et 6 ἄλλῳ DR Arist. vulg.: ἄλλο t Arist. EW 7 ἐπειδὴ γὰρ R 8 εἰ R: ἢ Dt 9 πάντα (ντα m. alt. in lit.) D ἄλλο om. D 12 ταύτας D: ταύτης Rt 13 μέρη D 15 et 16 ὂν] ὄν D 16 οὐσίαν καὶ t: καὶ om. R: οὐσίας καὶ D 17 ὂν scripsi: ὄν DR: om. t 18 τὸ σχῆμα R: ante τὸ add. ἢ Dt 19 δὲ om. D τοῦτο Rt: τούτων D 22 εἶναι R: ταῦτα εἶναι Dt 23 ἀπ' ἀλλήλων om. R 24 συνεχές τε AR: συνέχετε D: συνέχεται t ἑαυτῷ A: αὐτῷ DRt 24. 25 ψυχικὰς δυνάμεις A: δυνάμεις om. Dt: ψυχὰς R 26 αἰτία t 27 τῆς ante ἑνώσεως om. R 28 et 29 αἰνώσεως D 29 τῷ σώματι Rt: τὸ σῶμα D

ψυχὴ δὲ κρείττων τοῦ σώματος καὶ ἑνώσεως αὐτῷ ἐστιν αἰτία, ὅθεν f 5r
ἐξελθούσης, φησί, διαπνεῖται τὸ σῶμα καὶ σήπεται. οὐκ ἄρα τὸ
σῶμα τῆς ἑνώσεως τῶν μορίων τῆς ψυχῆς αἴτιον. ἢ οὖν ὑπό τινος ἑτέρου 35
ἥνωται ἢ ὑφ' ἑαυτῶν. ὑφ' ἑαυτῶν μὲν οὖν ἀδύνατον, ἑτέρας γε ὄντα
5 οὐσίας· δεῖ γὰρ ἕν τι εἶναι τὸ ἑνῶσον τὰ ἑτεροφυῆ καὶ ἕτερον εἶναι τῶν
ἑνουμένων, ὥσπερ εἰ τύχοι τὸ ὑγρὸν ἕν τι καὶ ἕτερον τῶν συγκολλωμένων
ἀλλήλοις σωμάτων. ἐν γὰρ τῇ ἑνώσει τῆς γῆς πρὸς τὸ ὕδωρ τῶν μὲν
σωμάτων παρακειμένων ἀλλήλοις τῶν τε τοῦ ὕδατος καὶ τῶν τῆς γῆς, τῆς
δὲ ὑγρᾶς ποιότητος δι' ὅλων αὐτῶν χωρούσης καὶ δι' ἑαυτῆς μέσης
10 συγκολλώσης, τὴν ἕνωσιν τῶν ὑποκειμένων σωμάτων συμβαίνει γίνεσθαι. 40
τὰ γὰρ ἅπαξ ὑπὸ φύσεως διῃρημένα καὶ μὴ τὴν αὐτὴν αὑτοῖς οὐσίαν
λαχόντα οὐκ ἂν ὑπὸ τῆς ἑαυτῶν φύσεως ἑνωθείη τῆς ἅπαξ διακρινάσης,
ἀλλ' εἰ ἑνωθήσονται ταῦτα, ἕτερον δεῖ τούτοις προσγίνεσθαι, δι' οὗ μέσου
τὴν πρὸς ἄλληλα ἕξουσιν ἕνωσιν. ἀδύνατον ἄρα τὰ μόρια τῆς ψυχῆς ἕτερα
15 ὄντα ἀλλήλων ὑφ' ἑαυτῶν ἑνωθῆναι. εἰ δὲ μὴ οἴκοθεν ἔχουσι τὴν ἕνωσιν,
ἀλλ' ὑπό τινος ἄλλου, τοῦτο πάλιν ἀνάγκη ἢ ἓν εἶναι καὶ ἀμερὲς ἢ πολυ-
μερές. ἀλλ' εἰ πολυμερές, πάλιν ἐρησόμεθα τί ἔσται κἀκείνοις τῆς ἑνώσεως 45
αἴτιον· τὰ γὰρ αὐτὰ μὴ ἑνωθέντα πῶς ἂν αὐτὰ ἑτέροις ἑνώσεως αἴτια
γένοιντο; καὶ πάλιν τὸ ἐκεῖνα ἑνοῦν πότερον ἓν ἔσται ἢ πολλά; καὶ τοῦτο
20 ἐπ' ἄπειρον. εἰ δὲ ἓν τὸ ἑνοῦν τὰ μόρια τῆς ψυχῆς, τοῦτο ἂν εἴη ψυχή.
καὶ τί δήποτε, φησί, μὴ καὶ τὴν ψυχὴν αὐτόθεν ἓν ποιοῦσιν; εἰ γὰρ τὸ
ἑνώσεως αἴτιον τοῖς διακεκριμένοις ἓν δεῖ εἶναι, ὁρᾶται δὲ ἡ ψυχὴ ἑνώσεως
καὶ συνοχῆς τῷ σώματι αἰτία οὖσα, εὔλογον τὸ αὐτόθεν ἕν τι τὴν ψυχὴν
ὑποτίθεσθαι εἶναι, καὶ μὴ δεῖσθαι ἑτέρου τρίτου τοῦ καὶ αὐτὴν τὴν ψυχὴν 50
25 συνέχοντος. καὶ οὐδέν γε ἄτοπον τὴν ψυχὴν μίαν οὖσαν τῷ ὑποκειμένῳ
καὶ τῇ οὐσίᾳ δυνάμεσι κεχρῆσθαι διαφόροις, καὶ διὰ τοῦτο διαφόρους ἔχειν
ἐνεργείας, ὡς τὸ πῦρ, ὡς τὸ μῆλον, ὡς πάντα σχεδὸν τὰ σώματα, ἅ τινα
ἓν ὄντα τῷ ὑποκειμένῳ διαφόρους ἔχει δυνάμεις. ταῦτα δέ φησιν ὁ Ἀρι-
στοτέλης οὐκ ἀρεσκόμενος τῷ δόγματι, ὡς ἤδη εἴπομεν, λέγω δὴ τῷ μιᾶς
30 οὐσίας εἶναι τὴν ψυχήν, ἀλλ' ἐγκαλῶν τῷ Τιμαίῳ κατὰ τὰ μόρια τοῦ
σώματος διαιροῦντι καὶ τὴν ψυχήν. καὶ γὰρ αὐτὸς οὐ βού|λεται μὲν μίαν f 5v
οὐσίαν εἶναι τῆς ψυχῆς, ἀλλὰ ἐκ διαφόρων συγκεῖσθαι οὐσιῶν, ἡνωμένων
μέντοι τούτων ἀλλήλαις καὶ συνεχῶν οὕτως ὡς καὶ μίαν γίνεσθαι αὐτῶν
τὴν συμπάθειαν. διαβαίνει γάρ τι καὶ ἐκ τοῦ λόγου εἰς τὰ πάθη καὶ ἐξ
35 ἐκείνων εἰς τὸν λόγον· τό τε γὰρ ὑποτετάχθαι τὰ πάθη καὶ εἴκειν λόγῳ
ἄνωθεν ἐκ τῆς τοῦ λόγου συλλήψεως αὐτοῖς ἐφήκει, τό τε πρὸς τὰς οἰκείας

---

1 κρεῖττον D 3 ante αἴτιον add. ἐστιν R 5 τὸ ἕνωσον D 6 ἕν τι Rt: ἕν τε D
9 ἑαυτῆς Rt: αὐτῆς D 10 τῶν om. t 11 αὐτοῖς scripsi: αὐτοῖς Rt: αὐτῆς D
13 προσγενέσθαι R 15 οἴκωθεν t 16 ἓν DR: ἐν t 17 τί ἐστι R 22 ἓν δεῖ]
ἐν δέει D 27 ὡς πάντα AR: ὥσπερ D: ὥστε t 29 ante τῷ δόγματι add. ἐν t
τῷ (post δὴ) R: τὸ Dt 32 εἶναι τὴν ψυχήν t 33 γενέσθαι R 35 ὑποτε-
τάχθαι ADt: τετάχθαι R τὰ πάθη om. t εἴκειν A Pal.: εἴκεν R: ἥκειν Dt
36 ἐκ τῆς λόγου ἐλλάμψεως R

ἐνεργείας ἐμποδίζεσθαι τὸν λόγον ἐκ τῆς πρὸς τὰ πάθη σχέσεως αὐτῷ f 5v
περιγίνεται. οὕτως οὖν μία οὐσία ἡ ψυχή, ὡς καὶ τὸν ὅλον ἄνθρωπον 5
μιᾶς φαμεν εἶναι οὐσίας, καὶ ἁπλῶς τὰ ἐξ ὕλης καὶ εἴδους· ἐπεὶ ὅτι γε
οὐδὲ ἡ ἄλογος ψυχὴ πᾶσα μιᾶς οὐσίας ἐστί, δεικνύει τὸ μάχεσθαι ἀλλή-
5 λοις πολλάκις τὰ πάθη, θυμὸν λέγω καὶ ἐπιθυμίαν· οὐδὲν δὲ αὐτὸ ἑαυτῷ
μάχεται. πολλάκις γοῦν πρὸς τοῦ λόγου μᾶλλον ὁ θυμὸς γίνεται ὡς
συγγενέστερος διὰ τὸ φιλότιμον, ἀνθέλκει δὲ ἡ ἐπιθυμία. εἰ δέ τις ἐπι-
ζητοίη, τί οὖν τὸ ἑνοῦν τὰς διαφόρους ταύτας οὐσίας, λέγομεν ὅτι αὐτὸς ἐν 10
ἄλλοις εἶπεν ὅτι ἐν οἷς τὸ μὲν εἴδους λόγον ἐπέχει, τὸ δὲ ὕλης, ἐν τούτοις
10 οὐ δεῖ ζητεῖν τί τὸ ἑνῶσον ταῦτα· οἴκοθεν γὰρ ἔχουσι τὴν ἕνωσιν· πέφυκε
γὰρ ἡ ὕλη. ἐπειδὰν ἐπιτηδεία γένηται πρὸς τὸ καταδέξασθαι τὸ εἶδος, αὐτο-
μάτως καὶ ἐξ οὐδεμιᾶς προσεχεστέρας αἰτίας αὐτὸ δέχεσθαι, ὥσπερ, εἰ
τύχοι, ὅταν ἀποξεσθεὶς ὁ σίδηρος γένηται ἐπιτήδειος εἰς τὸ καταδέξασθαι
τὸ τοῦ σκεπάρνου ἢ τὸ τοῦ πρίονος εἶδος, οὐ δεῖ ἄλλο τι εἶναι τὸ ἑνοῦν
15 τὸ τοιόνδε σχῆμα τῷ σιδήρῳ, ἀλλ' αὐτομάτως συμφύεται ταῦτα ἀλλήλοις.
ὡσαύτως καὶ ἐπὶ τῶν φυσικῶν, οἷον τῆς τοῦ ζῴου διαπλάσεως καὶ τῶν 15
λοιπῶν πάντων. ἡ γὰρ ὕλη καὶ τὸ εἶδος τῶν πρός τί εἰσιν· ἡ γὰρ ὕλη
εἴδους ἐστὶν ὕλη, καὶ ἔμπαλιν· τὰ δὲ πρός τι ἅμα καὶ συνυφίστανται καὶ
συναναιροῦνται, καὶ οὐ δεῖ πρότερον εἶναι αὐτά, εἶτα δεηθῆναί τινος τοῦ
20 ἑνώσοντος· οὐδὲ γὰρ δεῖ πρότερον ἀνὰ μέρος εἶναι πατέρα καὶ υἱόν, εἶτα
τὴν πρὸς ἄλληλα σχέσιν αὐτὰ ἀναδέχεσθαι. ἀλλ' ἅμα τῷ ἐπινοηθῆναι τὸ
ἕτερον συνεπινενόηται καὶ τὸ λοιπόν. οὕτως οὖν καὶ ἐπὶ τῶν διαφόρων
τῆς ψυχῆς μορίων ἔχει. ἡ γὰρ ἄλογος ψυχὴ ὕλης λόγον ἐπέχει πρὸς τὴν 20
λογικήν, ἐκείνη δὲ εἴδους πρὸς ταύτην· ὁμοίως ἡ φυτικὴ ὕλης ἐπέχει λόγον
25 πρὸς τὴν ἄλογον, ὥσπερ καὶ πρὸς τὴν φυτικὴν τὸ σῶμα. οὐκοῦν οὐκ
ἐπιζητήσομεν ἐν τούτοις τὸ ἑνῶσον. ἅμα γὰρ τῷ ἐπιτήδειον γενέσθαι τὸ
ὕλης ἐπέχον λόγον πρὸς τὸ καταδέξασθαι τὸ εἶδος ἐπιγίνεται τοῦτο οὐδενὸς
δεόμενον ἔξωθεν τοῦ ἑνοῦντος, ἀλλ' οἴκοθεν ἔχει ταῦτα καὶ ἐκ τῆς ἑαυτῶν
φύσεως τὴν ἑνοποιὸν δύναμιν. ἀλλ' ἐπὶ μὲν τῆς ἀνθρωπείας ψυχῆς
30 προχωροίη ἂν οὗτος ὁ λόγος, τῆς λογικῆς μιᾶς οὔσης, καὶ διὰ ταύτης τῶν 25
ἑξῆς ἑνουμένων, ὥσπερ ἐπὶ τῆς Ἡρακλείας λίθου καὶ τῶν ἐξ αὐτῆς ἠρτη-
μένων ἀλλήλοις σιδηρίων. τί δ' ἄν τις εἴποι ἐπὶ τῶν ἀλόγων ζῴων; εἰ
γὰρ ἑτέρας οὐσίας τὰ μόρια τῆς ἐν αὐτοῖς ψυχῆς, αἰσθήσεώς φημι καὶ
θυμοῦ καὶ ἐπιθυμίας, τί ἔσται τὸ ταῦτα ἑνοῦν ὑπέρτερον ὂν κατ' αὐτά;
35 αὐτὰ μὲν γὰρ τῷ σώματι ἑνώσεως αἴτια, δεῖ δὲ πολλῷ πρότερον αὐτὰ
ἡνῶσθαι ὑπό τινος· ἐπεὶ πῶς αὐτὰ μὴ ἡνωμένα τοῖς μετ' αὐτὰ ἂν εἴη

---

4 δείκνυσι τῷ μάχεσθαι R 6 γοῦν AR Pal.: οὖν Dt 7 συγγενέστερος AD Pal.: εὐγενέστερος Rt 7. 8 ἐπιζητοῖ R 8 τὸ ἑνοῦν om. D λέγον μὲν D 8. 9 ἐν ἄλλοις] Metaph. H 6 p. 1045a23 sqq. 9 ὅτι om. t 11 πρὸς τὸ καταδέξασθαι AR: προσκαταδέξασθαι Dt 12 αἰτίας ADt: οὐσίας R 14 δεῖ AR: δὴ Dt 15 συμφύεται AR: φύεται Dt 17 εἰσίν. εἰ γὰρ D 21 τῷ A^2R: τὸ Dt 26 ἐπιζητήσωμεν D 28 ταῦτα καὶ AD: καὶ om. R: τοῦτο καὶ t 34 κατ' αὐτά Dt: καὶ ταῦτα R 36 μετ' αὐτὰ R: μετὰ ταῦτα Dt

ἑνώσεως αἴτια; καὶ οὐκ ἂν εἴποιμεν ἕτερον ἑτέρῳ ὡς ὅλην ὑποκεῖσθαι· f 5v
τῆς γὰρ αὐτῆς εἰσι τάξεως πάντα. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῆς φυτικῆς ψυχῆς 30
ἐροῦμεν. κἂν γὰρ τὴν ὅλην δημιουργίαν τις εἴποι ταῦτα ἑνοῦν, οὔπω τὸ
ζητούμενον εἶπε. τίνι γὰρ ἑνοῖ; τὸ γὰρ ὡς εἰδικὸν αἴτιον τῆς ἑνώσεως
5 ζητοῦμεν, οὐ τὸ ποιητικόν. τίνι οὖν αὐτὰ συνέδησεν, ὥσπερ τυχὸν τὸ
σῶμα τῇ φύσει ἢ ἁπλῶς δυνάμει τινὶ φυσικῇ. εἰ δέ τι εἴη καὶ ἐπὶ τῶν
τῆς ψυχῆς μορίων ἄλλο τὸ ἑνοῦν αὐτά, οἷον εἰδός τι αὐτῶν ἔσται, κἀκεῖνο
ἂν εἴη ἡ ψυχή. μήποτε δὲ οὐδὲ ἐπὶ τούτων ἄτοπον τὸ τὰ καταδεέστερα
ὕλης ἐπέχειν λόγον πρὸς τὰ κρείττω, ἐπεὶ καὶ ἐν τοῖς ἀψύχοις εἴδεσι τοῦτο 35
10 συμβαῖνον ὁρῶμεν· τὰ γὰρ τῶν στοιχείων εἴδη αἱ ποιότητες ὕλης λόγον
ἐπέχουσι πρὸς τὰ ἐξ αὐτῶν γινόμενα σώματα.

p. 411ᵇ14 Ἀπορήσειε δ' ἄν τις καὶ περὶ τῶν μορίων αὐτῆς, τίνα ἔχει δύναμιν ἕκαστον ἐν τῷ σώματι.

Καὶ τοῦτο εὐλόγως ἀπορήσειεν ἄν τις. εἰ γὰρ ὅλη ἡ ψυχὴ τὸ ὅλον 40
15 σῶμα συνέχει (εἶπε γὰρ πρὸ ὀλίγου "δοκεῖ γὰρ τοὐναντίον μᾶλλον ἡ ψυχὴ
τὸ σῶμα συνέχειν") εἰ οὖν ἡ ὅλη τὸ ὅλον σῶμα συνέχει, μεριστὴ δέ ἐστιν
ἡ ψυχὴ καὶ διῄρηται εἰς πλείω μόρια, ἀνάγκη καὶ ἕκαστον μέρος αὐτῆς
τοῦ σώματός τι συνέχειν, ὥσπερ καὶ ἐδόκουν λέγειν τὸ λογιστικόν τε καὶ
αἰσθητικὸν τιθέντες ἐν ἐγκεφάλῳ, τὸ θυμικὸν ἐν τῇ καρδίᾳ, καὶ ἄλλο
20 ἀλλαχοῦ. ἕκαστον οὖν μόριον αὐτῆς μόριόν τι τοῦ σώματος συνέξει ἐν ᾧ
καὶ ἔστιν· οὐ γὰρ τὸ ἐν ἄλλῳ μορίῳ τοῦ σώματος τῆς ψυχῆς μόριον ἄλλο 45
μόριον τοῦ σώματος συνέξει· ἕκαστον γὰρ μόριον τῆς ψυχῆς τοῦ ἐν ᾧ ἐστι
συνεκτικόν ἐστι. τοῦτο δέ, φησίν, ἔοικεν ἀδύνατον, τουτέστι τὸ λέγειν
ἕκαστον μόριον τῆς ψυχῆς μόριόν τι συνέχειν τοῦ σώματος. εἰ γὰρ τοῦτό ἐστιν,
25 ποῖον μόριον, φησίν, ἢ πῶς ὁ νοῦς συνέξει, χαλεπὸν καὶ πλάσαι·
μόριον γὰρ τῆς ψυχῆς καὶ ὁ νοῦς. εἰ τοίνυν συνέχει μὲν τὸ σῶμα ἡ
ψυχή, ἔστι δὲ μεριστή, καὶ τὰ μόρια αὐτῆς εἰκότως μόριον τοῦ σώματος
συνέξει· μόριον δὲ τῆς ψυχῆς καὶ ὁ νοῦς· καὶ αὐτὸν ἄρα δεῖ μόριόν τι 50
τοῦ σώματος συνέχειν. τοῦτο δὲ καὶ πλάσαι, φησί, χαλεπόν. αἱ μὲν γὰρ
30 ἄλλαι δυνάμεις τῆς ψυχῆς, ἅτε συγκινοῦσαι ἐν ταῖς ἐνεργείαις τὸ σῶμα ἢ
ὅλον ἢ μόριον, κἂν ὑπονοηθεῖεν ἔν τισιν ἀφωρισμένοις μορίοις· οὗτος δὲ μὴ
προσχρώμενος ἐν ταῖς ἐνεργείαις τῷ σώματι πῶς ἂν ὑπονοηθείη ἔν τινι
μορίῳ εἶναι; ἐναργῶς ἄρα διὰ τούτων χωριστὸν τοῦ σώματος τὸν νοῦν

---

1 ὕλην scripsi: ὕλη libri 2 δὲ A: om. DRt 3 κἂν in lit. D² γὰρ A: om. DRt
4 ἑνοῖ A: ἕνιοι D: ἑνοῖτο Rt ἰδικὸν t τῆς AD: αὐτῆς Rt ἑνώσεως Rt: γνώσεως AD 5 post ποιητικόν add. κατα (sic) D 7 ἄλλο τὸ Dt: ἄλλο τι R
8 ἡ om. R οὐδὲ AR: om. Dt 12 ἀπορήσειε δ' Dt Arist.: ἀπορήσειεν R
12. 13 τίνα δύναμιν ἔχει coll. t 14 ἀπορήσειεν R: ἀπορήσειε δ' Dt 16 ἡ om. t 19 ἐν (ante ἐγκεφάλῳ) om. D 20 οὖν om. R 21 τὸ ἐν R: τῷ ἐν Dt 22 τοῦ ἐν ᾧ—ψυχῆς (24) om. D 26 καὶ om. R 31 ὅλον AR: ὅλως Dt ἀφορισμένοις t 32. 33 ἔν τι μορίῳ D

φησιν· εἰ δὲ τοῦτο, καὶ ἀθάνατον, ὃ καὶ αὐτὸς εἶπε πολλάκις. καὶ τὰς f 5v
χρήσεις ἡμεῖς ἐν τοῖς προοιμίοις παρεθέμεθα. ἐν τούτῳ δὲ τῷ χωρίῳ ὁ
Ἀλέ|ξανδρος ἀπορήσας παντελῶς εἰπεῖν τι τοῦ ἰδίου σκοποῦ ἐχόμενον, f 6r
σιωπῇ παρῆκε τὸ χωρίον. καὶ ἐξ αὐτῶν ἄρα τῶν ἐνταῦθα λεγομένων
5 δῆλός ἐστιν ὁ Ἀριστοτέλης ἑτέρας οὐσίας εἶναι λέγων τὸν νοῦν καὶ
χωριστόν.

p. 411b19 Φαίνεται δὲ καὶ τὰ φυτὰ διαιρούμενα ζῆν.

Ἐλέγξας τῷ λόγῳ τοὺς λέγοντας μεριστὴν εἶναι κατὰ μόρια τὴν ψυχήν, 10
νῦν ἐπ' αὐτῶν τῶν πραγμάτων ψευδῆ ὄντα τὸν λόγον δείκνυσι. τὰ γὰρ
10 φυτά, φησίν, ἔτι καὶ τὰ ἔντομα τῶν ζῴων ἐὰν διαιρεθῇ, φαίνεται ἓν
ἕκαστον τῶν μορίων τὰς αὐτὰς ἔχον ἀπαραλλάκτως ψυχικὰς δυνάμεις· ἐν
ἑκάστῳ γὰρ τῶν κλάδων ἐστὶ καὶ γεννητικὴ καὶ θρεπτικὴ καὶ αὐξητικὴ
δύναμις, ἔτι τε καὶ τὰ μέρη τῶν διαιρεθέντων ἐντόμων ἕκαστον ὁρᾶται
ἔχον καὶ αἴσθησιν καὶ κίνησιν. εἰ δὲ μεριστὴ ἦν ἡ ψυχὴ κατὰ μόρια, οὐκ 15
15 ἂν τοῦτο ἦν, ἀλλ' ἦν ἐν τῷδε μὲν τῷ μορίῳ ἡ αἴσθησις, ἐν τῷδε δὲ ἡ
κίνησις. ἡ δὲ γεννητικὴ ἢ εὐθὺς ἔφθαρται ἐπὶ τῶν ἐντόμων ἅμα τῇ
διαιρέσει ἢ δυνάμει ἐστὶν ἐν ἑκάστῳ, ἢ οὐδὲ ἔστιν ὅλως· τὰ πολλὰ γὰρ
αὐτῶν, ἴσως δὲ καὶ πάντα, οὐ γεννᾷ. ὥστε μία καὶ ἡ αὐτὴ ψυχὴ ἐπὶ
τούτων πρότερον μὲν τῷ ἀριθμῷ, πρὶν διαιρεθῇ, μετὰ δὲ τὸ διαιρεθῆναι
20 τῷ εἴδει, οὐκέτι μέντοι καὶ τῷ ἀριθμῷ· οὐ γὰρ οἷόν τε τὰς ἐν διῃρη-
μένοις οὔσας ὑποκειμένοις μίαν εἶναι τῷ ἀριθμῷ. τοῦ δὲ μὴ ἐπὶ πολὺ ζῆν
τὰ μόρια τῶν ἐντόμων αἴτιόν φησι τὸ μὴ ἔχειν μόρια ὀργανικὰ ταῖς τῆς 20
ψυχῆς ὑπηρετοῦντα δυνάμεσιν, ἕντερα τυχὸν ἢ ὀφθαλμοὺς ἢ στόμα ἢ τὰ
τοιαῦτα, δι' ὧν τοῦ σώματος τὸ ἀπορρέον ἀνυφαίνεται. καὶ ὁμοειδεῖς
25 εἰσιν ἀλλήλαις καὶ τῇ ὅλῃ, ἀλλήλων μὲν ὡς οὐ χωριστὰ ὄντα,
τῆς δὲ ὅλης ψυχῆς ὡς διαιρετῆς οὔσης. τὰ γὰρ μόρια τοῦ ἐντόμου,
ὁμοίως δὲ καὶ τῶν φυτῶν ἑαυτοῖς τέ εἰσιν ὁμοειδῆ, ὅτι οὐ χωριστὰς
ἔχουσι τὰς δυνάμεις τῆς ψυχῆς, ἀλλὰ πᾶσαι αἱ δυνάμεις ἐν ἑκάστῳ εἰσί.
τοῦτο γάρ ἐστι τὸ ἀλλήλων μὲν ὡς οὐ χωριστὰ ὄντα. εἰσὶ δὲ καὶ 25
30 τῇ ὅλῃ ψυχῇ ὁμοειδῆ τῇ πρὸ τῆς τοῦ ζῴου διαιρέσεως. εἰσὶ δὲ αὐτῇ
διὰ τοῦτο ὁμοειδῆ, ὡς διαιρετῆς οὔσης τῆς ὅλης εἰς ὁμοιομερῆ· τῶν γὰρ
εἰς ὁμοιομερῆ διαιρουμένων ὁμοειδῆ τὰ μέρη τοῖς ὅλοις. διαιρεῖται δὲ κατὰ
συμβεβηκός· τῷ γὰρ τὸ ἐν ᾧ ἐστι διαιρεῖσθαι καὶ αὐτὴ συνδιαιρεῖται. ὁ
μὲν οὖν Ἀριστοτέλης ἐπί τινων παραδειγμάτων γυμνάσας τὸν λόγον, τῶν

---

3 εἶπεν D ἐχόμενον Rt: ἔχομεν D 10 ἔτι τε καὶ R 11. 12 ἐν ἑκάστῃ D
13 ἑκάστων D 14 ἔχων D καὶ (ante αἴσθησιν) om. R 15 ἦν (post ἀλλ') om. R - τῷδε δὲ R: τῷδε Dt: τῷ δὲ A 18 καὶ τὰ πάντα R 20 οὐ γὰρ — ἀριθμῷ (21) ARt: om. D 22 μόρια ὀργανικὰ ADt: ὄργανα τὰ R 24. 25 ὁμοειδεῖς — ἀλλήλαις] sic etiam Arist. codd. plerique: ὁμοειδῆ — ἀλλήλοις Arist. W 26 ταῖς δὲ ὅλαις ψυχαῖς D 27 ὅτι] διότι R 30 πρὸ] πρὸς R 32 διαιρεῖται D: διαιρετῆς Rt 33 τὸ ἐν A: τῷ ἐν DRt

φυτῶν λέγω καὶ τῶν ἐντόμων, εὐοδοῦντα αὐτὸν εὗρεν. ἀπορήσειε δ' ἄν τις, f 6r
μήποτε οὐκ ἐπὶ πάντων ἀληθὴς ὁ λόγος. ἐπὶ γὰρ τῶν ἄλλων ζῴων φαί- 30
νεται ὁ ἐγκέφαλος αἴτιος εἶναι καὶ κινήσεως καὶ αἰσθήσεως· ἐπιτεθὲν γάρ
τι ἐπὶ τὸν ἐγκέφαλον ἀναίσθητον καὶ ἀκίνητον τὸ ζῷον ποιεῖ. τοῦ νεύρου
5 τε διαιρεθέντος, δι' οὗ ἐπὶ τὸ λοιπὸν σῶμα ἐκ τοῦ ἐγκεφάλου ἥ τε αἴσθησις
παραγίνεται καὶ ἡ κίνησις, τὸ μὲν ἄνω μέρος τῆς διαιρέσεως ἅπαν καὶ
κινεῖται καὶ αἰσθάνεται, τὸ δὲ κάτω πᾶν καθάπαξ ἀμφοτέρων ἐστέρηται.
τὸ αὐτὸ γίνεται καὶ ἐμφράξεως ἐν τῷ νεύρῳ γενομένης. ἔτι τε ὁρᾶται θυ-
μοῦ μὲν γένεσις ἐκ τοῦ περικαρδίου οὖσα αἵματος, ἐπιθυμία δὲ ἅμα συνδια- 35
10 τίθησι τὸ ἧπαρ ἢ ἐκεῖθεν ἔχει τὴν γένεσιν. εἰ τοίνυν αἱ δυνάμεις αὗται
ἐν ὑποκειμένῳ σώματι τὸ εἶναι ἔχουσιν, ὁρῶνται δὲ μὴ πᾶσαι διὰ παντὸς
χωροῦσαι τοῦ σώματος (οὔτε γὰρ ὄψις οὔτε ἀκοή, οὐκ ὄσφρησις, οὐ γεῦσις·
ἥ τε πέττουσα δύναμις ἔν τισι μορίοις ἀφώρισται, θυμός τε οὐ δι' ὅλου
διήκει, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως) ἀνάγκη πᾶσα ἐν ἐκείνῳ ἑκάστην
15 μορίῳ ἱδρῦσθαι ἐν ᾧ καὶ ἐνεργεῖ. φασὶν οὖν πρὸς ταῦτα ὅτι ἀρχαὶ μέν
εἰσι τῶν δυνάμεων τούτων τὰ μόρια ταῦτα, οὐ μέντοι καθάπαξ ἐν αὐτοῖς 40
περιωρισμέναι εἰσὶν αἱ δυνάμεις, ἀλλὰ φοιτῶσιν ἐξ αὐτῶν καὶ εἰς τὸ λοιπὸν
σῶμα· ὅλον γοῦν τὸ σῶμα καὶ τῷ θυμῷ συνδιατίθεται καὶ τῇ ἐπιθυμίᾳ.
οὐκ αὔταρκες δὲ τοῦτο· αὐτὸ γὰρ τοῦτό ἐστιν ἡ ἀπορία ὅτι ἑκάστη τῶν
20 δυνάμεων τῆς ψυχῆς κεκλήρωται μόριόν τι τοῦ σώματος, οὗ πρώτως κατὰ
τὴν ἐν αὐτῷ ἱδρυμένην ψυχικὴν δύναμιν ἐνεργοῦντος ἢ πάσχοντος διὰ τὴν
συνέχειαν καὶ τὸ λοιπὸν σῶμα συμπάσχει. μήποτε οὖν ἐπὶ μὲν τῶν φυτῶν 45
καὶ τῶν ἐντόμων ἐν αὐτῷ τῷ φαινομένῳ σώματι ἡ ψυχὴ ἔχει τὸ εἶναι,
διὸ συνδιαιρεῖται τῷ ὑποκειμένῳ, ἐπὶ δὲ τῶν λοιπῶν ζῴων ἅτε ἐν ἄλλῳ
25 τινὶ ὑποκειμένῳ οὖσα τῷ πνεύματι καὶ κατ' ἐπιτηδειότητά τινα ἐλλάμπουσα,
τοῦτο ὅταν στερηθῇ τῆς ἐπιτηδειότητος ταύτης διαιρεθὲν τυχὸν ἤ τι τοιοῦτο
πεπονθός, οὐκέτι χωρεῖ αὐτῆς τὰς ἐνεργείας. εἰ δὲ ἐπιτηδειότητος δεῖται
πρὸς τὸ ἐλλαμφθῆναι, εἰκότως καὶ ἕκαστον τῶν μορίων αὐτοῦ τὸ μᾶλλον
ἔχον ἐπιτηδειότητα πρός τινα ψυχικὴν δύναμιν μᾶλλον ἢ μόνον ἐλλάμπεται, 50
30 καὶ ἐξ αὐτοῦ διὰ τὴν συνέχειαν καὶ ἐπὶ τὸ λοιπὸν παραπέμπεται σῶμα.
ἐν μέντοι τῷ πνεύματι οὕτως ἔχουσιν αἱ ψυχικαὶ δυνάμεις, ὥσπερ ἐν τῷ
δένδρῳ αἱ φυτικαί, ὅλαι δι' ὅλου χωροῦσαι τοῦ πνεύματος.

p. 411b27 Ἔοικε δὲ καὶ ἡ ἐν τοῖς φυτοῖς ἀρχὴ ψυχή τις εἶναι.

Ἐπειδὴ ἐνεκάλεσε τοῖς πρὸ αὐτοῦ φυσικοῖς ὅτι μὴ περὶ πάσης ψυχῆς

---

2 ἐπὶ γὰρ] ἐπεὶ γὰρ D 7 τὸ δὲ κάτω — ἐστέρηται om. D 8 ἐμφράξεως] ἐμφράξας D 9 οὖσα Rt: om. AD ἐπιθυμίας t 9. 10 συνδιατίθησι AR: συνδιατίθης D: συνδιατιθὲν t 11 ἔχουσιν ARt: ἔχουσαι D 12 οὐκ AD: οὔτε Rt οὐ γεῦσις ADR: οὔτε γεῦσις t 20 πρῶτος D 21 δύναμιν — οὖν ἐπὶ (22) om. D 25 καὶ om. R 26 τοῦτο A: τούτω DRt διαιρὲν D τοιούτω D 27 ἐπιτηδειότης D 29 τινα ADt: τὴν R 33 ψυχή Rt Arist. vulg.: om. D Arist. SU τις] τι D 34 Ἐπειδὴ DR: ἐπεὶ δὲ t

διελέχθησαν, αὐτὸς τοῦτο ποιεῖ καὶ | περὶ πάσης διαλέγεται. εἰπὼν οὖν f 6ᵛ
ἐν τοῖς ἐπάνω καὶ τὰ φυτὰ ἔμψυχα εἶναι, ἐν οἷς ἔλεγεν ὅτι διαιρούμενα
τὴν αὐτὴν κατ' εἶδος ἔχει ψυχήν, καὶ ἔτι ἔνθα ἐνεκάλει τοῖς Ὀρφικοῖς
ἔπεσι λέγουσι τὴν ψυχὴν ἐκ τοῦ ὅλου φερομένην ἀναπνεῖν ἡμᾶς, λέγων
5 ὅτι οὐχ οἷόν τε τοῖς φυτοῖς τοῦτο συμβαίνειν, νῦν οὖν ὅτι ψυχὴ καὶ ἡ ἐν
τοῖς φυτοῖς, τοῦτο πιστοῦται ἐκ τοῦ κοινὴν ταύτην μόνην εἶναι τὴν δύναμιν
καὶ τῶν φυτῶν καὶ τῶν ζῴων. εἰ γὰρ ἐν τοῖς ζῴοις ψυχική ἐστι δύναμις 5
ἡ θρεπτικὴ καὶ αὐξητικὴ καὶ γεννητική, ὁρῶνται δὲ αὗται καὶ ἐν τοῖς φυ-
τοῖς, δῆλον ἄρα ὅτι κἀκεῖνα ἔμψυχα ἂν εἴη. τὸ δὲ μόνης ταύτης ἀντὶ
10 τοῦ κατὰ μόνην ταύτην κοινωνεῖ τοῖς φυτοῖς τὰ ζῷα.

p. 411ᵇ29 Καὶ αὐτὴ μὲν χωρίζεται τῆς αἰσθητικῆς ἀρχῆς.

Διὰ τούτων ἐκεῖνό φησιν· ἡ μὲν φυτικὴ ἀρχὴ ἄνευ τῆς αἰσθητικῆς
εἶναι δύναται, ἐκείνη δὲ οὐκ ἄνευ ταύτης. τοῦτο δὲ οὐχ ὡς τῆς ψυχῆς 10
ἀμφοτέρας ἐχούσης τὰς δυνάμεις χωριστάς (τοῦτο γὰρ ἔναγχος ἔλεγξεν),
15 ἀλλ' ὅτι ἐν οἷς μὲν ἡ φυτική, οὐ πάντως καὶ ἡ αἴσθησις, ἐν οἷς δὲ ἡ
αἴσθησις, πάντως καὶ ἡ φυτική. εἰ δὲ μὴ οἱόν τε τὴν αἰσθητικὴν ἄνευ
τῆς φυτικῆς εἶναι, δῆλον ὡς καὶ αὕτη ψυχή ἐστι. διαλέγεται δὲ καὶ περὶ
ταύτης ὡς ψυχικῆς δυνάμεως, ἐπεὶ ἐζήτησεν ἀνωτέρω, τίνι μορίῳ τῆς
ψυχῆς τὸ ζῆν ἔχομεν. ἐρεῖ δὲ ἐν τοῖς ἑξῆς ὅτι κατὰ ταύτην τὴν δύναμιν 15
20 τὸ ζῆν ἐν τοῖς ἐμψύχοις ὑπάρχει. |

---

4 λέγων Rt: λέγον D 5 ἡ ἐν Dt: ἡ om. R 6 κοινῆ R 9. 10 ἀντὶ τοῦ] ὅτι R 11 αὐτὴ D Arist. X: αὕτη Rt Arist. vulg. 12 Διατοῦτο t φασὶν R 17 φυσικῆς t αὕτη R: αὐτὴ Dt ψυχή] ψυχική R 18 ἐπεὶ ἐζήτησεν R: ἐπεζήτησεν Dt 20 ἐν τοῖς ἐμψύχοις Dt: ἐν om. R post ὑπάρχει add. τέλος τοῦ πρώτου βιβλίου Rt: om. D

p. 412a3 Τὰ μὲν παρὰ τῶν προτέρων παραδεδομένα περὶ ψυχῆς εἰρήσθω.

Ἐκθέμενος ἐν τῷ πρὸ τούτου βιβλίῳ, ὥσπερ ὑπέσχετο, τὰς τῶν παλαιοτέρων δόξας καὶ διελέγξας, εἴ τι μὴ καλῶς εἴρηται, κατὰ τὰς ἐν προοιμίοις ὑποσχέσεις, ἐν τούτῳ λοιπὸν τὰ αὐτῷ δοκοῦντα περὶ ψυχῆς ἐκτίθεται. καὶ ἐν τῷ δευτέρῳ τούτῳ βιβλίῳ διαλέγεται περὶ τῶν ἀλόγων τῆς ψυχῆς δυνάμεων, ἐν δὲ τῷ τρίτῳ περὶ τῶν λογικῶν· ποιεῖται μέντοι κἀν τούτῳ μνήμην τῶν λογικῶν καὶ ἐν ἐκείνῳ τῶν ἀλόγων. ἐκτίθεται δὲ ἐν ἀρχῇ τὸν οἱονεὶ κοινὸν ὁρισμὸν τῆς ψυχῆς λέγων ἐντελέχειαν εἶναι σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. τούτου δραξάμενοι τοῦ ὁρισμοῦ ὅσοι τὸν φιλόσοφον βούλονται ἀθάνατον λέγειν τὴν λογικὴν ψυχήν, φασὶν ὅτι οὐ πάσης ψυχῆς ἐστιν οὗτος ὁ ὁρισμός, ἀλλὰ τῆς φυτικῆς· ταύτῃ γὰρ μόνῃ ἐφαρμόζει. εἰ γάρ ἐστιν ἐντελέχεια ἡ τελειότης καὶ τὸ εἶδος, φησὶ δὲ τὴν ψυχὴν σώματος εἶναι ἐντελέχειαν, τὸ δὲ εἶδος τῶν σωμάτων ἀχώριστον αὐτῶν ἐστι, δῆλον ὅτι περὶ τῆς ἀχωρίστου τῶν σωμάτων τούτῳ νῦν ὁ λόγος· αὕτη δέ ἐστι μόνη ἡ φυτική. κακῶς δὲ οὗτοι ὑπειλήφασιν· ἔστι γὰρ αὐτῷ τῷ ὄντι κατὰ πάσης ψυχῆς ὁρισμὸς οὗτος ἀποδεδομένος. εἰπὼν γὰρ ἐντελέχειαν εἶναι τὴν ψυχὴν ἐπήγαγε τὴν πρώτην· τῆς γὰρ ἐντελεχείας ἡ μέν ἐστι πρώτη, ἡ δὲ δευτέρα, ἡ μὲν πρώτη, φησίν, ὡς ἡ ἐπιστήμη, ἡ δὲ ὡς τὸ θεωρεῖν. λέγει οὖν ἐντελέχειαν ὡς τὴν ἐπιστήμην, οὐχ ὡς τὸ θεωρεῖν. ἐν γὰρ τῷ ὑπάρχειν, φησί, τὴν ψυχὴν καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν· ἀνάλογον δὲ ὁ μὲν ὕπνος τῇ ἐπιστήμῃ, ἡ δὲ ἐγρήγορσις τῷ θεωρεῖν. ὥστε εἰ οὕτω βούλεται τὴν ψυχὴν ἐντελέχειαν, ὥσπερ ἔστι τῆς ἐπιστήμης ἡ ἕξις, διὰ τὸ

---

1 Tit. Ἐξήγησις—ψυχῆς C: om. D: ante ἐξήγησις add. Ἰωάννου τοῦ Φιλοπόνου t
2 Τὰ μὲν δὴ ὑπὸ τῶν πρότερον Arist. vulg. 12 τὸν φιλόσοφον D: τῶν φιλοσόφων t
13 φυτικῆς scripsi: φυσικῆς Dt 16 αὐτῶν D: αὕτη t 17 τούτῳ νῦν Dt (τω νῦν in lit. D²): fort. αὐτῷ νῦν λόγος] ος in lit. D² 24 οὕτω A: οὐ Dt

τὴν ψυχὴν μὲν ἀεὶ ἔχειν, ἐν ὅσῳ ζῇ, τὸ ζῷον, μὴ ἀεὶ δὲ ἐνεργεῖν κατὰ f 7r
αὐτήν, ὡς ἐν τοῖς ὕπνοις, δῆλον ἄρα ὅτι οὐ περὶ τῆς φυτικῆς ἐστιν αὐτῷ
ὁ λόγος μόνης. ἡ γὰρ φυτικὴ οὐ κατὰ τὴν ἐπιστήμην θεωρεῖται, ἀλλὰ
κατὰ τὴν θεωρίαν· ἀεὶ γὰρ ἐνεργεῖ ἡ φυτικὴ ψυχὴ κατὰ τὸ δεύτερον 20
ἐνεργείᾳ, ὅπερ ἐστὶν ὡς τὸ θεωρεῖν, καὶ μᾶλλον ἐν τοῖς ὕπνοις, ἔνθα αἱ
λοιπαὶ τῆς ψυχῆς δυνάμεις ἠρεμοῦσι· τότε γοῦν μάλιστα αἱ πέψεις καὶ αἱ
περὶ τὰ ἀφροδίσια ἀβούλητοι πολλάκις ὁρμαί. ὥστε μᾶλλον ἂν εἴη περί
τε τῆς λογικῆς καὶ τῆς ἀλόγου ὁ λόγος οὗτος ἢ περὶ τῆς φυτικῆς. ἐσμὲν
γὰρ ἔμψυχοι κατὰ ταύτας τὰς ψυχὰς καὶ καθεύδοντες· ἔχομεν γὰρ κατὰ
τὸ δεύτερον τὴν ψυχὴν δυνάμει, ὅπερ ἐστὶ πρῶτον ἐνεργείᾳ, τοῦτο δέ
ἐστιν ὡς ἡ ἐπιστήμη· ἔχει γὰρ ὁ καθεύδων γεωμέτρης τὴν γεωμετρικὴν 25
ἕξιν, τὴν μέντοι θεωρίαν οὐκέτι. ἄλλως τε αὐτὸς ὁρισάμενος καὶ εἰπὼν
ὅτι ἔστιν ἡ ψυχὴ ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν
ἔχοντος, ἐπάγει ὅτι, ὅσον ἐκ τοῦ ὁρισμοῦ, ἀνάγκη τὴν ψυχὴν ἢ μέρη τινὰ
αὐτῆς, εἰ μεριστὴ πέφυκεν, ἀχώριστα εἶναι τοῦ σώματος, λέγων δηλονότι
περὶ τῆς φυτικῆς· τί γὰρ ἂν καὶ θρέψει ἡ θρεπτικὴ χωρισθεῖσα τοῦ σώ-
ματος ἢ ἡ αὐξητικὴ αὐξήσει; ἐνίων γάρ, φησίν. ἡ ἐντελέχεια τῶν μερῶν
ἐστιν αὐτῶν. εἶτα ἐπάγει "οὐ μὴν ἀλλ' ἔνιά γε οὐδὲν κωλύει διὰ τὸ 30
μηδενὸς εἶναι σώματος ἐντελεχείας". ὥστε καὶ τὸν νοῦν συμπεριέλαβε·
τοῦτον γὰρ περὶ σῶμα μὴ ἔχοντα τὰς ἐνεργείας μηδὲ σώματι εἰς τὸ
ἐνεργεῖν συγχρώμενον, τοὐναντίον δ', ὡς εἶπον, καὶ ἐμποδιζόμενον ὑπὸ
τούτου, οὐκ ἀνάγκη ἀχώριστον εἶναι. εἶτα πάλιν ἐπάγει "ἔτι δ' ἄδηλον
εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ ὡς πλωτὴρ πλοίου." δῆλον δ'
ὅτι οὐκ ἂν τοῦτο εἶπεν, εἴ γε περὶ μόνης τῆς φυτικῆς ἐποιεῖτο τὸν λόγον.
ἀπορήσειε δ' ἄν τις ἐκ τῶν εἰρημένων τὴν ἐναντίαν ἀπορίαν, μήποτε οὐδὲ 35
ἐμπεριέχεται τῷ ὁρισμῷ τούτῳ ἡ φυτικὴ ψυχή. εἰ γὰρ λέγει τὴν ψυχὴν
ἐντελέχειαν εἶναι οὐχ ὡς τὴν θεωρίαν, ἀλλ' ὡς τὴν ἐπιστήμην, ἡ δὲ
φυτικὴ ψυχὴ ἐντελέχειά ἐστιν οὐχ ὡς ἡ ἐπιστήμη, ἀλλ' ὡς ἡ θεωρία
(ἀεὶ γὰρ ἐνεργείᾳ ἐστὶ κατὰ τὸ δεύτερον σημαινόμενον τῆς ἐνεργείας)
δῆλον ὅτι οὐκ ἐφαρμόζει τῇ τοιαύτῃ ψυχῇ οὗτος ὁ ὁρισμός. λέγομεν οὖν
καὶ πρὸς τοῦτο ὅτι οὐδὲν ἧττον καὶ ἡ φυτικὴ ἐν τῷ ὁρισμῷ περιείληπται.
εἰπὼν γὰρ ἐντελέχειαν τὴν ὡς ἐπιστήμην, πᾶσαν ψυχὴν περιείληφεν· τὸ
γὰρ πάσῃ καὶ ἀεὶ παρακολουθοῦν εἶπεν. καὶ γὰρ ὅταν ἐνεργῇ ἡ λογικὴ 40
ψυχὴ καὶ ἡ ἄλογος, λέγοιτο ἂν ἐντελέχεια εἶναι ὡς ἐπιστήμη (τοῦτο δέ
ἐστιν ὡς ἡ ἕξις, ἥτις ἐστὶ τὸ δεύτερον μὲν δυνάμει, πρῶτον δὲ ἐνεργείᾳ)
διότι πᾶσα ἐνέργεια ἀπὸ δυνάμεως τῆς κατὰ τὴν ἕξιν προέρχεται. ἔχει

---

2 οὐ περὶ t: om. D 15 εἰ Arist.: ἢ Dt 18 οὐδὲν Arist. p. 413a7: οὐδὲ (sed infra p. 224,3 οὐδὲν) Dt 27 ἡ δὲ D: δὲ om. t 29 ἐνέργειά ἐστι libri 34 ἐντελέχεια D: ἐντελέχειαν t

---

2 post ὕπνοις omissis quae sequuntur add. ὁ μέντοι προκείμενος ὁρισμὸς πολλὰς παρέχεται ἀφορμὰς καὶ τοῖς βουλομένοις αὐτὸν ἐκδέχεσθαι περὶ πάσης εἰρῆσθαι ψυχῆς, καὶ οἷς περὶ μόνης ἐκλαμβάνεται τῆς φυτικῆς, ὧν ἡ σύνοψις τὴν λεπτομερεστέραν διήγησιν ὡς ὀχληρὰν ὑπερτίθεται A

γὰρ δηλονότι ὁ ἐνεργῶν γεωμέτρης καὶ ἐν αὐτῷ τῷ γεωμετρεῖν τὴν γεω- f 7r
μετρικὴν ἕξιν. εἰ γὰρ μὴ εἶχε, πῶς ἐνεργεῖ κατὰ ταύτην ἣν μὴ εἶχεν;
ὥστε ἔνθα μὲν ἡ ἐνέργεια ἐκείνη, πάντως καὶ ἡ ἕξις, οὐκέτι μέντοι ὅπου
ἡ ἕξις, ἐκεῖ καὶ | ἡ ἐνέργεια. ὁ γὰρ καθεύδων γεωμέτρης, ὡς πολλάκις f 7v
5 εἶπον, ἕξιν μὲν ἔχει γεωμετρικήν, ἐνέργειαν δὲ οὐκ ἔχει. εἰ τοίνυν ἐπὶ
πλέον τῆς ἐνεργείας ἡ ἕξις, διότι ἀεὶ καὶ πᾶσι τοῖς ἔχουσι παρακολουθεῖ,
εἰκότως πάσης ψυχῆς καὶ ὁπωσοῦν ἐχούσης, ἐνεργούσης λέγω καὶ μὴ
ἐνεργούσης, τὴν ἕξιν δὲ μὴ ἀφῃρημένης, βουλόμενος ἀποδοῦναι τὸν ὁρισμὸν
τῷ πᾶσι καὶ ἀεὶ παρακολουθοῦντι ἐχρήσατο, λέγω δὴ τῇ ἐντελεχείᾳ τῇ
10 ὡς ἐπιστήμῃ. ὥσπερ οὖν τὴν ἐνεργοῦσαν ψυχήν, τὴν λογικὴν λέγω καὶ
τὴν ἄλογον, περιλαμβάνει, οὕτω καὶ τὴν φυτικήν· ὃ γὰρ ὑπάρχει τῇ φυτικῇ 5
ἀεί, λέγω δὴ τὸ ἐνεργεῖν, τοῦτο ταῖς ἄλλαις ποτέ· ἡ μέντοι δύναμις ἡ
δευτέρα, ἥτις ἐστὶν ἡ κατὰ τὴν ἕξιν, πᾶσι πάρεστι καὶ ἀεί. ἄλλως τε
αὐτὸς ἐπὶ λέξεως πάσης ψυχῆς εἶναι βούλεται τὸν ἀποδεδομένον λόγον·
15 φησὶν ὅτι 'εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἡ πρώτη
ἐντελέχεια", καὶ ἐπὶ πάσης ἐκτείνων τὸν λόγον καὶ ἐνδεικνύμενος ὡς οὐχ
ὁρισμός ἐστιν· διὰ τοῦτο λέγει "εἰ δή τι". τοῦτο μὲν οὖν οὕτω διῃτήσθω. 10

Ζητῆσαι δ' ἄξιον ἐπὶ τούτοις, πῶς εἰπὼν αὐτὸς ἐν τῷ προτέρῳ λόγῳ
"εὐλαβητέον δὲ ὅπως μὴ λανθάνῃ, πότερον εἷς λόγος αὐτῆς ἐστι, καθά-
20 περ ζῴου, ἢ καθ' ἕκαστον ἕτερος, οἷον ἵππου, κυνός, ἀνθρώπου", ἐνταῦθα
αὐτὸς ἕνα ὁρισμὸν πάσης ἀποδίδωσι ψυχῆς. φαμὲν οὖν πρὸς τοῦτο ὅτι
μάλιστα μὲν οὐδὲ ὁρισμός ἐστιν ὁ ἀποδεδομένος. εἰ γὰρ μὴ ἔστι κοινὸν
γένος ψυχῆς ὡς ψυχῆς (ὡς γὰρ οὐσίας δῆλον ὅτι ἐστὶ κοινόν τι γένος
αὐτὸ τοῦτο ἡ οὐσία), ὥσπερ οὐδὲ τῶν ἀτόμων καθὸ ἄτομά εἰσιν, εἰ οὖν
25 μὴ ἔστι κοινόν τι γένος ψυχῆς τῶν κατὰ μέρος ψυχῶν ἢ κατ' εἶδος, μηδὲ 15
μὴν πασῶν ἐστί τι καὶ κοινὸν εἶδος ὡς μόνῳ τῷ ἀριθμῷ διαφερουσῶν,
ὥσπερ τῶν κατ' εἶδος ζῴων ἐστὶ κοινόν τι γένος τὸ ἁπλῶς ζῷον, καὶ
ἀνθρώπων ἕν τι εἶδος ὁ ἁπλῶς ἄνθρωπος, πᾶς δὲ ὁρισμὸς γένος ἔχει,
οὐδὲ ὁρισμὸν ἄρα πάσης ἔστιν ἁπλῶς ἀποδοῦναι ψυχῆς, ἀλλ' ὑπογραφήν.
30 ὥστε ὁ λόγος ὁ ἀποδεδομένος ἐνταῦθα περὶ πάσης ψυχῆς ὑπογραφή ἐστι

---

2 ἕξιν scripsi: τάξιν Dt 8 ἐνεργούσης τὴν—ἀφῃρημένης A: om. Dt 10 ἐπιστήμην t λέγω AD: λέγων t 15 φησὶν] fort. φησὶ γὰρ 16 ὡς οὐχ D: post οὐχ iterat ὡς t 17 λέγει scripsi: λέγειν Dt 18 εἰπὼν] A 1 p. 402b5 19 λανθάνει D 21 ἀποδίδωσι ψυχῆς ἁπάσης t 24. 25 εἰ οὖν μὴ A: om. Dt

---

9 τῷ πᾶσι καὶ ἀεὶ παρακολουθοῦντι, τῇ πρώτῃ λέγω ἐντελεχείᾳ, ἐχρήσατο. καὶ συμπεριλήψεται καὶ τὴν φυτικὴν ὁ λόγος. εἰ γὰρ καὶ ἀεὶ τρέφει τὸ σῶμα πέττουσα τὰς τροφάς, μηδὲν μηδὲ κατὰ τοὺς ὕπνους παραποδιζομένη, ἀλλὰ καὶ μᾶλλον τὸ οἰκεῖον ἔργον ἐνεργοῦσα τῆς κατὰ προχείρησιν (l. προχείρισιν) ἐνεργείας οὐκ ἀφίσταται, ἥτις τῆς δευτέρας ἐντελεχείας λόγον ἐπεῖχεν, ἀλλ' οὐν οὐδ' οὕτω τῆς ἕξεως διατέμνεται, δι' ἧς τῇ φυτικῇ δυνάμει συνετελεῖτο καὶ ἡ κατὰ προχείρησιν ἐνέργεια. ὥστε καὶ ἡ φυτικὴ ἀεὶ ἐν προχειρήσει οὖσα τὴν ὡς ἐπιστήμην καὶ πρώτην ἐντελέχειαν ἔχει, οὐδὲ τῆς δευτέρας καὶ ἀναλόγου τῷ θεωρεῖν διαπίπτουσα. ὥσπερ οὖν (10) A

καὶ οὐχ ὁρισμός. ἔπειτα οὐδὲ κυρίως μία ἐστὶν ἡ ὑπογραφὴ αὕτη. f 7v
ὁμωνύμων γὰρ πραγμάτων τῶν ψυχῶν δι' ὁμωνύμων φωνῶν τὴν ὑπο- 20
γραφὴν ἀποδέδωκε· τὰ δὲ ὁμώνυμα τῇ μὲν φωνῇ ἕν τί εἰσι, τῷ δὲ σημαι-
νομένῳ πλείονα. καὶ αὐτὸς δέ φησιν ἐν τοῖς Τόποις ὅτι δυνατὸν τῶν
5 ὁμωνύμων ἕνα ὁρισμὸν ἤτοι ὑπογραφὴν δι' ὁμωνύμων φωνῶν ἀπο-
δοῦναι. λέγομεν γὰρ ὑγιεινὸν σιτίον καὶ φάρμακον ὑγιεινόν, ὁμοίως καὶ
φλεβοτομίαν, λέγομεν δὲ καὶ γυμνάσιον ὑγιεινὸν καὶ οὖρα ὑγιεινὰ καὶ
σφυγμόν. τούτων οὖν ὁμωνύμων ὄντων δυνάμεθα, φησίν, ἕνα ὁρισμὸν
αὐτῶν δι' ὁμωνύμων φωνῶν ἀποδοῦναι λέγοντες ὑγιεινὸν εἶναι τὸ συμ- 25
10 μέτρως ἔχον πρὸς ὑγίειαν. τοῦτο δὲ τὸ συμμέτρως ἔχον πρὸς ὑγίειαν
ὁμώνυμόν ἐστιν· ἢ γὰρ ὡς ποιητικὸν ἢ ὡς σημαντικὸν ἢ ὡς φυλακτικόν·
καὶ εἰ προσθῶμεν τῷ κοινῷ τὸ ἰδίᾳ ὑπάρχον ἑκάστῳ, τότε γίνεται ἰδίᾳ
ἑκάστου ὁρισμός, οἷον τὸ συμμέτρως ἔχον πρὸς ὑγίειαν, ὥστε φυλάττειν
αὐτήν, ὡς τὸ γυμνάσιον, ἢ ὥστε σημαίνειν, ὡς τὰ οὖρα ἢ ὡς ὁ σφυγμός, ἢ
15 ὥστε ποιεῖν ὡς τὸ σιτίον. ὥστε φωνῇ μὲν εἷς ὁ ὁρισμὸς οὗτος ὁ λέγων τὸ
συμμέτρως ἔχον πρὸς ὑγίειαν, τῷ σημαινομένῳ δὲ πολλοί. οὕτως οὖν οὐδὲ 30
ἡ ἀποδοθεῖσα τῶν ψυχῶν ὑπογραφὴ ὁμώνυμος οὖσα οὐ μία ἔσται, ἀλλὰ
πλείους. ἡ γὰρ ἐντελέχεια λέγεται καὶ ἐπὶ τοῦ εἴδους τοῦ ἀχωρίστου τοῦ
σώματος καὶ ἐπὶ τοῦ χωριστοῦ. ἔστι γὰρ τελειότης καὶ ὁ κυβερνήτης τοῦ
20 πλοίου καὶ τὸ τῆς σαρκὸς εἶδος τοῦ τῆς σαρκὸς σώματος· ἀλλ' ὁ μὲν χωριστὸς
ὢν τοῦ πλοίου μόνην τὴν ἑαυτοῦ ἐνέργειαν τελειωτικὴν ἔχει τοῦ πλοίου,
τὸ δὲ τῆς σαρκὸς εἶδος καὶ καθόλου τὰ ἔνυλα εἴδη αὐτῇ τῇ οὐσίᾳ ἑαυτῶν
τελειωτικά ἐστι τῶν ὑποκειμένων. οὕτως οὖν καὶ ἐπὶ τῶν ψυχῶν ἡ μὲν 35
ἄλογος ψυχὴ καὶ ἡ φυτικὴ ἀχώριστον ἔχουσα τὴν οὐσίαν τοῦ ὑποκειμένου
25 καὶ μηδὲ ἐνεργῆσαι χωρὶς τοῦ ὑποκειμένου δυναμένη, αὐτὴν τὴν οὐσίαν
ἔχει τελειωτικὴν αὐτοῦ· ἡ μέντοι λογικὴ ψυχὴ οὐ τῇ οὐσίᾳ, ἀλλὰ τῇ
ἐνεργείᾳ μόνῃ τελειοῖ τὸ ζῷον· τῇ βουλήσει γὰρ ἑαυτῆς κινεῖ αὐτὸ τοιῶσδε
ἢ τοιῶσδε ὡς ὀργάνῳ τῇ ἀλόγῳ ψυχῇ χρωμένη. καὶ ἄλλως ἔστιν ἐν
ταῖς ψυχαῖς τὸ πρότερον καὶ τὸ ὕστερον· ἔνθα μὲν γὰρ ἡ λογική, ἐκεῖ
30 πάντως καὶ αἱ λοιπαί, οὐκέτι μέντοι καὶ ἔμπαλιν. ἐν οἷς δὲ τὸ πρότερον
καὶ τὸ ὕστερον, τούτων τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος· οὐκ 40
ἄρα οὐκ ἔστι κοινόν τι τῶν ψυχῶν γένος, ἀλλ' εἰσὶν ὁμώνυμοι ὡς τὰ ἀφ'
ἑνὸς καὶ πρὸς ἕν. εἶπον δὲ μὴ εἶναι τὴν λογικὴν ἄνευ τῶν ἄλλων πρὸς τὸ
ζῷον δῆλον τοῦτο ἀπιδὼν τὸ θνητόν, ἐπεὶ ὅσον ἐπὶ τῇ ἰδίᾳ οὐσίᾳ ἑαυτῆς
35 ἡ ψυχὴ καὶ πρὸ τῶν ἀλόγων ζωῶν καὶ μετ' αὐτὰς καθ' αὑτὴν εἶναι δύνα-
ται· ἀλλ' ὁ λόγος περὶ ψυχῶν τῶν ἐν τοῖς θνητοῖς ζῴοις τούτοις. ὥστε
εἰ ὁμώνυμοι αἱ ψυχαί, ὁμώνυμος καὶ ὁ ἀποδοθεὶς αὐτῶν ὁρισμός. καὶ διὰ
τοῦτο οὐχ εἷς. ὅθεν καὶ αὐτὸς εἰδὼς ὅτι ἀδύνατον κυρίως ἕνα ὁρισμὸν 45

---

2 τῶν ψυχῶν] fort. addendum οὐσῶν 4 ἐν τοῖς Τόποις] Topic. A 15 p. 107b6 cf. Z 10 p. 148a23 5 ante φωνῶν add. τῶν t 7 φλεβοτομίαν t: φλεβότομον D 12 τὸ t: τῷ D 17 οὐ fort. delendum 31 τούτων Diels: τοῦτο Dt 34 δῆλον] fort. δηλονότι ἀπιδὼν scripsi: ἀφιδῶν Dt 35 exspectas ἡ λογικὴ ψυχὴ ζωῶν scripsi: ζῴων Dt μετ' αὐτὰς scripsi: μετὰς D: μετὰ t

ἀποδοῦναι τῆς ψυχῆς, ἀποδιδοὺς αὐτὸν τοῦτον ⟨τὸν⟩ ὁρισμόν φησιν "εἰ δή τι f 7v
κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν". ζητήσει δ' ἄν τις ἐκ τῶν εἰρημένων
καὶ τί δήποτε, εἰ μὴ δυνατὸν ἕνα ὁρισμὸν πάσης ψυχῆς ἀποδοῦναι, ἐμέμψατο
τοῖς πρὸ ἑαυτοῦ μὴ περὶ πάσης ψυχῆς διαλεχθεῖσι. λέγω οὖν ὅτι πρῶτον
5 μὲν ἠδύναντο ποιῆσαι, ὅπερ αὐτὸς ἐποίησεν, εἰ καὶ μὴ ὁρισμόν, ἀλλ' οὖν
κοινόν τινα καὶ ὑπογραφικὸν λόγον ἀποδοῦναι περὶ πάσης· ἔπειτα οὐ τοῦτο
μέμφεται αὐτοῖς, διὰ τί μὴ ἕνα ὁρισμὸν ἀποδεδώκασι πάσης ψυχῆς, ἀλλὰ 50
τί μὴ περὶ πάσης διελέχθησαν ἰδίᾳ ἑκάστης, ὃ καὶ αὐτὸς ποιεῖ. μετὰ
γὰρ τὸ ἀποδοῦναι τὸν κοινὸν τοῦτον λόγον ἰδίᾳ περὶ ἑκάστης ἐρεῖ καὶ
10 διδάξει περὶ αὐτῶν ὅνπερ ἠπόρησε τρόπον. βουλόμενος γὰρ περὶ τῆς
ἀλόγου διαλεχθῆναι, πρῶτον περὶ τῶν ἀντικειμένων διαλέγεται, οἷον περὶ
αἰσθήσεως μέλλων διδάσκειν πρότερον τὸν περὶ τῶν αἰσθητῶν ποιεῖται
λόγον, καὶ περὶ ὄψεως τὸν τῶν ὁρατῶν, καὶ περὶ θρέψεως τὸν περὶ τρο-
φῶν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· | εἶτα οὕτως ἄνεισιν ἐπὶ τὰς ἐνεργείας. f 8r
15 κἀκεῖθεν ἐπὶ τὰς δυνάμεις τὰς προακτικὰς τούτων.

p. 412 a 3 Τὰ μὲν οὖν παρὰ τῶν προτέρων παραδεδομένα περὶ ψυχῆς εἰρήσθω.

Ἐντεῦθεν, ὡς ἤδη εἶπον, τὴν οἰκείαν περὶ ψυχῆς ἐκτίθεται δόξαν καὶ
βούλεται πρῶτον κοινόν τινα λόγον ἀποδοῦναι περὶ πάσης ψυχῆς. πρότερον 5
20 δὲ προεκτίθεται ⟨τὰ⟩ εἰς τὴν λῆψιν αὐτῶν τοῦ ὁρισμοῦ συμβαλλόμενα.
βουλόμενος γὰρ λαβεῖν τὸ γένος τῆς ψυχῆς πρὸς τὴν τοῦ ὁρισμοῦ ἀπό-
δοσιν, μᾶλλον δὲ τὸ ἀναλογοῦν γένει, ἐπειδὴ καὶ ὁ ὁρισμὸς ἀνάλογόν ἐστιν
ὁρισμῷ διὰ τὰς εἰρημένας αἰτίας, πρῶτον εἰκότως ποιεῖται διαίρεσιν τῶν
ὄντων εἰς τὰς δέκα κατηγορίας· ἀνάγκη γὰρ καὶ τὴν ψυχὴν τῶν ὄντων
25 οὖσαν ὑπὸ μίαν τούτων τελεῖν. ὅτι μὲν οὖν οὐκ ἔστι συμβεβηκὸς ἡ ψυχή,
δῆλον· οὔτε γὰρ ποσόν (τοῦτο γὰρ ἔδειξεν ἔν τε τοῖς πρὸς τὸν Τίμαιον 10
λόγοις, ἐν οἷς ἐδείκνυεν ὅτι ὅλως καὶ μέγεθος εἶναι τὴν ψυχὴν ἀδύνατον,
καὶ ἐν τοῖς πρὸς Ξενοκράτην, ἐν οἷς ἐδείκνυ ὅτι οὐχ οἷόν τε αὐτὴν εἶναι
ἀριθμόν· ὥστε οὔτε ὡς συνεχὲς ποσὸν ἔσται οὔτε ὡς διωρισμένον· ὅλως
30 ἄρα ποσὸν οὐκ ἔστιν)· ὅτι δὲ οὐδὲ ποιόν ἐστιν, ἔδειξεν ἐν οἷς ἐδείκνυ ὅτι
οὐκ ἔστιν ἁρμονία· τοῖς γὰρ αὐτοῖς ἐπιχειρήμασι δείξεις ὅτι οὐδ' ὅλως
ἐστὶ ποιόν. εἰ δὲ μήτε ποσόν ἐστι μήτε ποιόν, σχολῇ γε τῶν ἄλλων τι
εἴη συμβεβηκότων· ἐκ τούτων γὰρ αἱ λοιπαὶ συνεστήκασιν. οὐσία ἄρα ἡ 15
ψυχή. ἐπεὶ οὖν οὐσία ἡ ψυχή, πάλιν ὑποδιαιρεῖ τὴν οὐσίαν εἴς τε τὴν
35 σύνθετον καὶ τὴν ἁπλῆν, καὶ τὴν ἁπλῆν εἴς τε τὴν ὕλην καὶ τὸ εἶδος.
τριττῆς οὖν οὔσης τῆς οὐσίας, μάλιστα οὐσία εἶναι δοκοῦσι τὰ σώματα,

---

1 τὸν addidi 2 ζητήσει D: ζητῆσαι t 5 εἰ om. D 9 τὸ om. t 12 τὸν περὶ t: τῶν περὶ D 15 πρακτικὰς t 16. 17 Τὰ μὲν οὖν — εἰρήσθω D: ἐπεὶ δὲ τὰ παραδεδομένα περὶ ψυχῆς (om. παρὰ) τῶν ἄλλων ἐφ' ὅσον ἕκαστος ἀπεφήνατο, πρότερον εἴρηται ex alt. rec. t 20 τὰ addidi αὐτῶν] fort. αὐτοῦ συμβαλόμενα t 28 ἐδείκνυεν t 31 δείξει t 32 τι scripsi: τε libri

μᾶλλον δὲ ὡς πρὸς τοὺς πολλοὺς ἀνθρώπους (τούτων γὰρ μάλιστα ἔχουσι f 8r
τὴν γνῶσιν), καὶ τῶν σωμάτων μάλιστα οὐσίαι τὰ φυσικὰ σώματα, ἀντι-
διαστέλλων πρὸς τὰ τεχνητὰ ἢ καὶ τὰ μαθηματικὰ ἴσως. τεχνητὰ δέ
φησι σώματα, οἷς εἴδη τινὰ ἀπὸ τέχνης παραγίνεται, οἷον ὁ θρόνος, τὸ
5 ἀβάκιον· οὐ γάρ ἐστί τι σῶμα ᾗ σῶμα τεχνητόν. τῶν δὲ φυσικῶν σωμά- 20
των συνθέτων ὄντων συγκειμένων [τὸ] ἐξ ὕλης καὶ εἴδους, ἐν τούτοις
μᾶλλον οὐσία τὸ εἶδος· κατ' αὐτὸ τὸ εἶδος [τὸ] γὰρ καὶ ἔστι καὶ λέγεται
⟨τὰ⟩ σύνθετα. κοινῆς γὰρ οὔσης καὶ μιᾶς τῆς ὕλης ἡ διάκρισις καὶ ἡ
καθ' ἕκαστον οὐσίωσις ἐκ τῶν εἰδῶν. ἐκ μὲν οὖν τῆς διαιρέσεως ταύτης
10 ηὕρομεν ὅτι τε μᾶλλον οὐσία τὰ φυσικὰ σώματα καὶ ὅτι ἐν τούτοις τὸ
εἶδος μᾶλλον τῆς ὕλης. ἐντεῦθεν οὖν ζητητέον, ἐν τίνι τούτων θετέον
τὴν ψυχὴν ὡς γένει, πότερον σύνθετός τίς ἐστιν οὐσία, ταὐτὸν δ' εἰπεῖν 25
σῶμα φυσικόν, ἢ ἁπλῆ, καὶ εἰ ἁπλῆ, πότερον ὕλη ἢ εἶδος. ἵνα οὖν τοῦτο
εὑρῃ, ἐκ τῶν σαφεστέρων καὶ ὑστέρων ποιεῖται τὴν ἀρχὴν τῆς ζητήσεως.
15 σαφέστερον δὲ τῆς ψυχῆς τὸ ἔμψυχον, τὸ δ' ἔμψυχον τῷ ζῆν λέγεται
ἔμψυχον. τῶν οὖν φυσικῶν σωμάτων, φησί, τὰ μὲν ἔχει ζωήν, καὶ
ἔμψυχα καλοῦμεν, τὰ δὲ οὐκ ἔχει. ὥστε ἡ ψυχὴ ἐν τοῖς ἔχουσι ζωὴν
τῶν φυσικῶν σωμάτων θεωρεῖται. ταύτην δὲ τὴν ζωὴν ψυχὴν καλοῦμεν.
οὐ γὰρ δὴ τὸ σῶμα ψυχὴν καλοῦμεν· τῆς γὰρ ζωῆς ἀπελθούσης τὸ μὲν 30
20 σῶμα οὐδὲν ἧττόν ἐστι σῶμα, οὔτε δὲ ζῇ ἔτι οὔτε ἔμψυχον λέγεται·
ὥστε ἐν τοῖς ζωὴν ἔχουσιν ἡ ψυχὴ οὐκ ἔστι τὸ σῶμα ἀλλ' ἡ ἐν αὐτῷ
ζωή. τὰ ἄρα ζῶντα τῶν σωμάτων σύνθετά ἐστι ἔκ τε τοῦ σώματος
καὶ τῆς ζωῆς τῆς ἐν αὐτοῖς, ἣν καλοῦμεν ψυχήν. σύνθετον ἄρα τὸ
ἔμψυχον ἐκ ψυχῆς καὶ σώματος. ἀλλὰ μὴν πᾶσα σύνθετος οὐσία ἐξ
25 ὕλης ἐστὶ καὶ εἴδους· καὶ τὸ ἔμψυχον ἄρα ἐκ ψυχῆς ὂν καὶ σώματος
τὸ μὲν ἕξει ὡς ὕλην, τὸ δὲ ὡς εἶδος. εἰ δὲ τὸ εἰδός ἐστι τὸ συνοχῆς
καὶ ὅρου τῇ ὕλῃ αἴτιον, τοῦτο δέ ἐστιν ἡ ψυχὴ τῷ σώματι (ἐξελ- 35
θούσης γάρ, φησί, διαπνεῖται καὶ σήπεται), εἶδος ἂν εἴη τοῦ σώματος
ἡ ψυχή, ὕλη δὲ αὐτὸ τὸ σῶμα. ὅτι γὰρ τοῦ εἶναι τῷ σώματι αἰτία ἡ
30 ψυχή, δῆλον ἐξ ὧν τὰ ἔμψυχα αὐτῷ τούτῳ χαρακτηρίζεταί τε καὶ τὸ
εἶναι ἔχει· ὅθεν καὶ ἡ συνήθεια τὰ τῆς ψυχῆς ἐστερημένα σώματα, καί-
τοι οὐδὲν ἧττον σώματα ὄντα καὶ μετὰ τὸν ταύτης χωρισμόν, ὅμως οὐδ'
εἶναι λέγειν· "βέβηκεν, οὐκέτ' ἔστιν Ἀδμήτου γυνή". ὥστε εἰ σύνθετα
μὲν τὰ ἔμψυχα ἐκ ψυχῆς καὶ σώματος, πᾶν δὲ σύνθετον ἐξ ὕλης καὶ 40
35 εἴδους, ἐν τούτοις δὲ τὸ συνοχῆς καὶ τοῦ εἶναι αἴτιον τὸ εἶδος, τοιοῦτον
δὲ καὶ ἡ ψυχὴ ἐν τοῖς ἐμψύχοις, εἶδος ἂν εἴη ἡ ψυχή. οὕτως οὖν εὑρί-
σκει ὅτι οὐσία ἐστὶν ἡ ψυχὴ ἡ κατὰ τὸ εἶδος, ὅπερ εἶδος καλεῖ ἐντελέ-

---

4 εἴδη t: ἤδη D 6 τὸ delevi 7 τὸ (post αὐτὸ) om. D τὸ (ante γὰρ) delevi 8 τὰ addidi σύνθετον t 10 ηὕρομεν] sic libri 14 ὑστέρων scripsi: ὕστερον Dt 15 τὸ ζῆν D 16 fort. ζωήν, ἃ καὶ 21 ἐν αὐτῷ om. t 22 post ζωή add. καθ' ἣν ἔμψυχα λέγεται t 26 συνοχῆς scripsi coll. v. 35: συνεχῆς Dt 27 et 29 τὸ σώματι D 33 βέβηκεν — γυνή] Eurip. Alcest. 392 ἀτμήτου libri 35 τοιοῦτον — κατὰ τὸ εἶδος (37) repetunt Dt

χειαν παρὰ τὸ ἓν καὶ τὸ τέλειον καὶ τὸ συνέχειν· καὶ γὰρ ἑνώσεώς ἐστι f 8r
τῇ ὕλῃ τὸ εἶδος αἴτιον καὶ τελειώσεως, ἐπεὶ καὶ τελειότης ἐστὶ τοῦ ὑπο-
κειμένου καὶ συνέχει αὐτό. ἀποδίδωσιν οὖν ἐντεῦθεν τὸν ὁρισμὸν τῆς 45
ψυχῆς λέγων εἶναι αὐτὴν ἐντελέχειαν, τουτέστιν εἶδος καὶ τελειότητα.
5 τίνος τούτου; σώματος φυσικοῦ, ἵνα ἀντιδιαστείλῃ τῶν τεχνητῶν καὶ
τῶν συμβεβηκότων. εἶτα ἐπεὶ καὶ ὁ λίθος φυσικὸν σῶμα, καὶ ἔστι καὶ
τούτου τὸ εἶδος ἐντελέχεια, καὶ ἁπλῶς τὰ ἄψυχα πάντα, προσέθηκε
δυνάμει ζωὴν ἔχοντος, ἵνα ἀντιδιαστείλῃ τά τε ἄψυχα καὶ τὰ νεκρὰ
σώματα καὶ τὸ σπέρμα. οὔτε γὰρ τῶν ἀψύχων τι δυνάμει ζωὴν ἔχει
10 οὔτε τὸ νεκρὸν σῶμα οὔτε τὸ σπέρμα οὔτε τὸ ἔμβρυον τὸ μήπω διωργανω- 50
μένον. προϊὼν δὲ εἰς ταὐτὸν ἄγει τὸ διωργανῶσθαι τῷ δυνάμει ζωὴν
ἔχειν, ὡς ἑνὶ ἀνθ' ἑνὸς κεχρῆσθαι τούτῳ, τῷ τε δυνάμει ζωὴν ἔχειν
καὶ τῷ διωργανῶσθαι. οὔτε οὖν τὸ νεκρὸν δυνάμει ζωὴν ἔχει (κἂν γὰρ
δοκεῖ διωργανῶσθαι, ἀλλ' οὖν, ὡς αὐτός φησιν, ὁμώνυμά ἐστιν αὐτοῦ τὰ
15 μόρια· οὕτω γὰρ λέγεται χεὶρ ἡ τοῦ νεκροῦ, ὥσπερ καὶ ἡ λιθίνη· οὐ γὰρ
ἐνεργεῖ τὰ χειρός), οὐδὲ τὸ σπέρμα δυνάμει ζωὴν ἔχει, ἐπεὶ μήπω διοργα-
νωθὲν ἐπιτήδειον γέγονε τὴν ἐκ τῆς ψυχῆς ζωὴν καταδέξασθαι. ἀλλὰ |
λέγοιτο ἂν τὸ σπέρμα ἢ τὸ μὴ διωργανωμένον ἔμβρυον δυνάμει ζωὴν f 8v
ἔχον· δύναται γὰρ γενέσθαι δυνάμει ζωὴν ἔχον. ἀλλὰ τὸ τέλειον καὶ ἤδη
20 τὴν ζωὴν καταδεξάμενον τοῦτό φησι δυνάμει ζωὴν ἔχον. πῶς οὖν δυνάμει
καὶ μὴ ἐνεργείᾳ; ὅτι ὅσον ἐπὶ τῇ ἑαυτοῦ φύσει ἄζων ἐστὶ καὶ μόνως
ἐπιτήδειον πρὸς τὸ καταδέξασθαι τὴν ζωήν. δυνάμει δὲ τὸ δεύτερον τὸ
τὴν ἕξιν ἔχον· ἔχει γὰρ καθ' αὑτὸ τὴν ἕξιν τοῦ δύνασθαι ζῳοποιεῖσθαι, 5
εἰ καὶ ἀεὶ ζῳοποιεῖται ὑπὸ τῆς ψυχῆς, ἔστ' ἂν ᾖ. ὡς γὰρ ἤδη εἴπομεν,
25 τὰ ἔχοντα τὸ δεύτερον ἐνεργείᾳ, ὅπερ ἐστὶν ὡς τὸ θεωρεῖν, ταῦτα καὶ
τὴν ἕξιν ἔχει. ὥστε κἂν ἀεὶ ζῳοποιεῖται τὸ σῶμα, οὐκ ἄτοπον ὅσον ἐπὶ
τῇ αὐτοῦ φύσει τὸ λέγειν αὐτὸ δυνάμει ζωὴν ἔχειν. δῆλον γὰρ ὅτι ἔχον
τὴν δύναμιν τοῦ ζῳοποιεῖσθαι δύνασθαι, οὕτω ζῳοποιεῖται, ἐπεὶ εἰ μὴ
ἔχοι οἴκοθεν τὴν δύναμιν, οὐκ ἂν ζῳοποιηθείη. εἶπε δὲ τὸ σημαινό-
30 μενον τοῦτο τοῦ δυνάμει καὶ ἐν τῷ Περὶ ἑρμηνείας, ἔνθα διῄρει τὸ δυνα-
τόν· "τὸ γὰρ δυνατόν", φησίν, "οὐχ ἁπλῶς λέγεται, ἀλλὰ τὸ μὲν ὡς ἐνερ- 10
γείᾳ ὄν, οἷον δυνατὸν βαδίζειν, ὅτι βαδίζει, καὶ ὅλως δυνατὸν εἶναι, ὅτι
ἤδη ἔστι κατ' ἐνέργειαν". κατὰ τοῦτο οὖν εἴρηται καὶ τὸ δυνάμει ζωὴν
ἔχοντος. ἀπορήσειε δ' ἄν τις ἴσως ὅτι, εἰ οὐσία ἐστὶν ἡ ψυχὴ ἡ κατὰ
35 τὸ εἶδος, πῶς λέγομεν μὴ εἶναι κοινόν τι γένος ψυχῆς (κοινὸν γὰρ αὐτῶν
γένος ἡ οὐσία) ἢ πῶς ὅλως ὁμώνυμον εἶναι τὴν ἐντελέχειαν; πῶς δὲ ἔτι
ὁ κανὼν ὑγιὴς ὁ λέγων ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον, τούτων τὸ
κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος; ἰδοὺ γοῦν ὄντος ἐν ταῖς ψυχαῖς 15

---

2 τελειότης A Suid. s. v. Ἐντελέχεια: τελειώσεως Dt 5 σώματος fort. post τελειότητα (4) transponendum 7 τούτου τὸ scripsi: τοῦτο Dt 10. 11 διωργανωμένον scripsi: διοργανωμένω D: διωργανωμένοις t 12 ἑνὶ scripsi coll. p. 218,10: ἓν Dt 13 τὸν νεκρὸν t 30 ἐν τῷ Περὶ ἑρμηνείας] 13 p. 23a7 31. 32 τὸ μὲν ὅτι ἀληθὲς ὡς ἐνεργείᾳ ὄν Arist. l. l. 34 ὅτι ἡ οὐσία t

τοῦ προτέρου καὶ ὑστέρου ὅμως τὸ κοινῶς αὐτῶν κατηγορούμενον γένος f 8v
ἐστί· πᾶσα γὰρ ψυχὴ οὐσία ἐστὶν ἡ κατὰ τὸ εἶδος, ὅπερ καλεῖ ἐντελέχειαν.
ὅτι μὲν οὖν οὐχ ὁμοίως ἐντελέχεια πᾶσα ψυχὴ τοῦ ὑποκειμένου αὐτῇ
σώματος, ἤδη ἐπελυσάμεθα, ὅτι κἂν λέγηται ἡ λογικὴ ψυχὴ ἐντελέχεια
5 σώματος, ἀλλὰ τῇ ἐνεργείᾳ μόνον ἐστὶν ἐντελέχεια τοῦ σώματος, οὐ τῇ
οὐσίᾳ, ὥσπερ αἱ ἄλλαι. ἀλλὰ πῶς, εἴπερ γένος αὐτῶν ἐστιν ἡ οὐσία,
καὶ οὐσία ἡ κατὰ τὸ εἶδος, οὐ δοκεῖ λελύσθαι ὁ καθολικὸς κανών; λέγω 20
οὖν ὅτι, ὅτε λέγομεν ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον, τούτων τὸ κοινῶς
κατηγορούμενον οὐκ ἔστι γένος, κοινῶς κατηγορούμενον οὐ τὸ τυχὸν λαμβά-
10 νομεν, ἀλλὰ τὸ προσεχῶς περιέχον, ἐπεί τοί γε καὶ ζῷον τό τε ἀληθινόν,
οἷον ἵππος, καὶ τὸ χαλκοῦν ἢ ξύλινον ὡς μὲν ζῷα ὁμώνυμά ἐστιν (ἔστι
γὰρ ἐν αὐτοῖς τὸ πρότερον καὶ τὸ ὕστερον· ἐκ γὰρ τοῦ ἀληθινοῦ τὸ χαλ-
κοῦν ἢ τὸ ξύλινον) καὶ διὰ τοῦτο κατηγορούμενον αὐτῶν τὸ ζῷον ἢ ὁ
ἵππος οὐχ ὡς γένος αὐτῶν κατηγορεῖται, οὐδὲν δὲ κωλύει αὐτὰ ταῦτα κοινὰ 25
15 γένη ἔχειν τὰ πορρωτέρω κατηγορούμενα. τὸ γοῦν σῶμα καὶ ἡ οὐσία
ὡς γένος καὶ τοῦ ἀληθινοῦ ἵππου καὶ τοῦ ξυλίνου κατηγορεῖται τὸ αὐτὸ
καὶ ἐπὶ πάντων. οὕτως οὖν καὶ ἐπὶ ψυχῆς γένος μὲν αὐτῶν εἶναι τὴν
οὐσίαν οὐδὲν κωλύει, προσεχῶς μέντοι περιεκτικὸν αὐτῶν κοινόν τι γένος
οὐκ ἔχουσιν· οὔτε γὰρ ἡ ψυχὴ ὡς γένος αὐτῶν κατηγορεῖται οὔτε ἡ 30
20 ἐντελέχεια. ὡς γὰρ εἶπον, αἱ μὲν αὐτῇ τῇ οὐσίᾳ ἐντελέχειαί εἰσι τοῦ
σώματος, αἱ δὲ μόνῃ τῇ ἐνεργείᾳ· οὐχ ὁμοίως ἄρ' ἐντελέχειαι πᾶσαι,
διόπερ ἐστὶν ἐν αὐταῖς καὶ τὸ πρότερον καὶ τὸ ὕστερον.

p. 412a4 Πάλιν δ' ὥσπερ ἐξ ὑπαρχῆς ἐπανίωμεν.

Ἄλλην γὰρ ἀρχὴν ποιεῖται τοῦ λόγου τὰ αὐτῷ δοκοῦντα ἐκτιθέμενος· 35
25 πρότερον γὰρ τὰ τῶν παλαιῶν διηγεῖτο.

p. 412a7 Ταύτης δὲ τὸ μὲν ὕλην, ὃ καθ' ἑαυτὸ οὐκ ἔστι τόδε τι.

Τόδε τι τῷ Ἀριστοτέλει τὸ εἶδος ἐνταῦθα σημαίνει· ἐν γὰρ ταῖς
Κατηγορίαις τὸ ἄτομον· δοκεῖ γάρ, φησί, πᾶσα οὐσία τόδε τι σημαίνειν. 40
30 ἐπεὶ οὖν τὸ εἶναι ἑκάστῳ καὶ λέγεσθαι, οἷον ἄνθρωπον, ἵππον, κατὰ τὸ
εἰδός ἐστι (κοινῶς γὰρ πᾶσιν ὑπέστρωται ἡ ὕλη), διὰ τοῦτό φησιν ὅτι ἡ
κατὰ τὴν ὕλην οὐσία καθ' αὑτὴν οὐδὲν εἶδός ἐστιν, ἐπεὶ μηδὲ ὑφέστηκεν
καθ' αὑτήν, ἀλλ' ἀεὶ μὲν μετά τινος εἴδους θεωρεῖται, καθ' ὃ λοιπὸν
καὶ τὴν ὀνομασίαν ἔχει ἕκαστον· καθ' ὃ γὰρ ἑκάστου τῶν ἄλλων διαφέρει,

---

4 λέγεται t 13 et 14 αὐτῷ t 16 τὸ αὐτὸ — κατηγορεῖται (19) repetunt Dt
22 καὶ (post αὐταῖς) D: om. t 23 Πάλιν — ὑπαρχῆς D: νῦν ὥσπερ ἐξ ἀρχῆς πάλιν
ex alt. rec. t 26 ὕλην D: ὡς ὕλη t: ὡς ὕλην Arist. καθ' αὐτὸ μὲν οὐκ t
Arist. 29 δοκεῖ — σημαίνειν] Categ. 5 p. 3b 10 30 τῷ εἶναι D 32 οὐσία ex
οὐσίαν corr. D1

τοῦτο παρὰ τοῦ εἴδους ἔχει. ἔστι δὲ ἡ μὲν ὕλη δυνάμει· οὐδὲν γάρ ἐστι f 8v
τῶν εἰδῶν καθ' αὑτὴν ἡ ὕλη, ἀλλὰ δυνάμει πάντα. οὔτε γὰρ τὸ μηδ' 45
ὅλως ἐπιδεκτικόν τινος ὕλη ἐκείνου ἐστίν, ὡς ἐπὶ τῶν προσεχεστέρων ἔστιν
ὑλῶν ἰδεῖν (οὐ γὰρ ἄν ποτε γενήσεται φέρ' εἰπεῖν τῶν κεραμικῶν σκευῶν
5 ὕλη λίθοι, ἐπεὶ μὴ πέφυκε τὸ τούτων εἶδος δέχεσθαι) οὔτε τὸ μηκέτι
δυνάμενον τῷ ἤδη ἔχειν αὐτό· ὁ γὰρ κέραμος οὐ γενήσεται οὔτε ἑαυτοῦ
ὕλη οὔτε τῶν ὁμοειδῶν· ἤδη γὰρ ἐνεργείᾳ ἔχει τὸ εἶδος. οὐκοῦν ἡ πρώτη
δυνάμει μόνον θεωρεῖται, καὶ ἑκάστη δὲ τῶν προσεχεστέρων δυνάμει μόνως
ἐστὶν ἐκεῖνο οὗ ἐστιν ὕλη.

10 p. 412a9 Τὸ δὲ εἶδος ἐντελέχεια. 50

Οὐκ εἶπεν ἐντελεχείᾳ κατὰ δοτικὴν πτῶσιν, ἀλλὰ κατ' εὐθεῖαν. ἡ
γὰρ τὸ εἶδος λαβοῦσα ὕλη αὐτὴ λέγεται ἐντελεχείᾳ εἶναι. τοῦτο δ' ἐστὶ
τὸ συναμφότερον· τὸ μέντοι εἶδος καθ' αὑτὸ ἐντελέχειά ἐστιν. ἀντέθηκε
δὲ τῷ δυνάμει τὴν ἐντελέχειαν, διότι ἡ μὲν δύναμις ἀτελής, τελειότης δὲ
15 ἡ ἐντελέχεια· σημαίνει γὰρ τὸ ἐν τῷ τέλει εἶναι. ἐν ᾧ δὲ ἕκαστον ἔχει
τὸ εἶναι, ἐν τούτῳ τὴν οἰκείαν ἔχει τελειότητα· ἕκασ|τον δὲ ἔχει τὸ g 1r
εἶναι κατὰ τὸ ἑαυτοῦ εἶδος· τελειότης ἄρα ἑκάστου τὸ εἶδος αὐτοῦ. εἰ
τοίνυν τελειότης τὸ εἶδος, ἡ δὲ τελειότης ἐντελέχεια, εἰκότως μεταλαμβάνει
τὸ τοῦ εἴδους ὄνομα εἰς τὸ τῆς ἐντελεχείας. εἰ δὲ καθόλου τὸ εἶδος
20 ἐντελέχεια, εἶδος δὲ ἡ ψυχή, ἐντελέχεια ἄρα ἡ ψυχή. οὐ μόνον δὲ τὸ
κατὰ τὸν λόγον εἶδος ἐντελέχειαν λέγει, ἀλλὰ καὶ τὸ κατὰ τὴν μορφήν·
καὶ γὰρ ἐν τῇ Φυσικῇ περὶ ἀμφοτέρων διελέχθη· ἡ γὰρ τοῦ ἀνδριάντος
[ἡ] μορφὴ ἐντελέχεια αὐτοῦ ἐστι. ἴσως δὲ μετέλαβε τὸ τῆς ἐντελεχείας 5
ὄνομα ἀντὶ τοῦ εἴδους διὰ τὸ καὶ ἐπὶ τῶν συμβεβηκότων φέρεσθαι τὸ τοῦ
25 εἴδους ὄνομα, ὡς ὅταν εἴπω Σωκράτη τὸ εἶδος εἶναι σιμὸν προγάστορα·
ἀλλὰ ταῦτα οὐ τελειότης ἐστὶ Σωκράτους, ἀλλὰ συμβέβηκε Σωκράτει.

p. 412a10 Καὶ τοῦτο διχῶς, τὸ μὲν ὡς ἐπιστήμη, τὸ δὲ ὡς τὸ θεωρεῖν.

Διαιρεῖ τὴν ἐντελέχειαν εἰς δύο, εἴς τε τὴν καθ' ἕξιν καὶ εἰς τὴν
30 ἀπὸ τῆς ἕξεως ἐνέργειαν. χρησιμεύσει δὲ αὐτῷ καὶ ἡ τῆς ἐντελεχείας 10
διαίρεσις πρὸς τὴν ἀπόδοσιν τοῦ ὁρισμοῦ. διττῆς γὰρ οὔσης τῆς ἐντελε-
χείας, τῆς τε κατὰ τὴν ἕξιν, ἥτις καὶ πρώτη ἐστὶ καὶ τῷ χρόνῳ καὶ τῇ
φύσει, τῆς τε κατὰ τὴν ἀπὸ ταύτης ἐνέργειαν, εὑρήσει τὴν ψυχήν, ὡς

---

1 τοῦτο τὸ παρὰ D 4 γενήσεται scripsi: γενήσηται Dt 6 ἤδη D: εἴδη t 8 μόνως] μόνον t 9 ἐστιν ὕλη cum insequenti lemmate coniungit D: om. et pro his in lemmate exh. quae apud Aristotelem proxime antecedunt ἔστι δὲ ἡ μὲν ὕλη δύναμις t 11 ante δοτικὴν add. τὸ D 15 γὰρ τῷ D 16 ante τὴν add. καὶ t 17. 18 εἰ τοίνυν τελειότητος t 18 ἡ δὲ t: εἰ δὲ D 22 ἐν τῇ Φυσικῇ] Phys. B 1 p. 193a30 sqq. 23 ἡ delevi 25 σωκράτης t 26 Σωκράτει] σωκράτη t 30 χρησιμεύει t

ἤδη εἴπομεν, ἐντελέχειαν οὖσαν [κατὰ] τὴν πρώτην. καὶ ἡ δευτέρα γὰρ ἡ g1r
κατὰ τὸ θεωρεῖν παρὰ τῆς πρώτης ἔχει τὸ οὐσία εἶναι· αὐτὸ γὰρ τὸ θεωρεῖν οὐκ οὐσία καθ' αὑτό.

p. 412a11 Οὐσίαι δὲ μάλιστα εἶναι δοκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά.

Διελὼν εἰς τρία τὴν οὐσίαν, εἰς τὴν ὕλην καὶ τὸ εἶδος καὶ τὸ συναμφότερον (τοῦτο δέ ἐστι τὸ φυσικὸν σῶμα) ἐκ τούτου ἄρχεται διδασκαλίας, ὡς ἤδη εἶπον, ὡς σαφεστέρου. εὑρήσει γὰρ ἐκ τούτου πάλιν καὶ ὅτι οὐσία ἡ ψυχὴ καὶ ποία οὐσία. ταῦτα οὖν, φησί, μάλιστα δοκεῖ οὐσία εἶναι· ἡ γὰρ ὕλη καὶ τὸ εἶδος τοῖς πολλοῖς οὐδὲ ἔγνωσται, ἀλλὰ τὸ συναμφότερον μόνον ἴσασιν. λαβὼν οὖν ὅτι τὰ σώματα οὐσία καὶ τούτων μᾶλλον τὰ φυσικά, ἀντιδιαστέλλων πρός τε τὰ μαθηματικὰ καὶ τὰ τεχνητά, προστίθησι τούτου τὴν αἰτίαν· διότι, φησί, τὰ φυσικὰ τῶν ἄλλων εἰσὶν ἀρχαί· τῶν μὲν γὰρ μαθηματικῶν † ἔστιν ἐπινοίᾳ, τῶν δὲ τεχνικῶν, ὅτι κἀκείνων ἕκαστον φυσικόν τι σῶμα ἔχει ὑποκείμενον. τῷ γὰρ ἀβακίῳ τεχνικῷ ὄντι σώματι ἔστιν ὑποκείμενον τὸ ξύλον, ὅπερ ἐστὶ φυσικὸν σῶμα.

p. 412a13 Τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δὲ οὐκ ἔχει.

Λαβὼν ὅτι τὸ φυσικὸν σῶμα μάλιστα οὐσία, διαιρεῖ τοῦτο εἴς τε τὸ ἔμψυχον καὶ τὸ ἄψυχον καὶ δείκνυσιν ὅτι ἡ ψυχὴ οὐσία. ἐπεὶ γὰρ φυσικὸν σῶμα ἡ συναμφότερός ἐστιν οὐσία ἐκ τῆς ὕλης οὖσα καὶ τοῦ εἴδους, φυσικὸν δὲ τὸ ἔμψυχον, καὶ τοῦτο ἄρα ἐξ ὕλης καὶ εἴδους. ἀλλὰ τὰ μὲν ἁπλᾶ σώματα λεγόμενα ἐκ τῆς πρώτης ὕλης ⟨καὶ⟩ τοῦ εἴδους ἐστί, ταῦτα δὲ ἐκ προσεχεστέρας ὕλης τοῦ σώματος καὶ εἴδους τῆς ψυχῆς. εἰ δὲ τὸ εἶδος οὐσία, καὶ ἡ ψυχὴ ἄρα· καὶ εἰ τὸ εἶδος ἁπλῆ τις οὐσία, καὶ ἡ ψυχή. ἁπλῆ τις ἄρα οὐσία ἡ ψυχή, ἡ κατὰ τὸ εἶδος.

p. 412a14 Ζωὴν δὲ λέγομεν τὴν δι' αὐτοῦ τροφήν τε καὶ αὔξησιν καὶ φθίσιν.

Διελὼν τὰ φυσικὰ σώματα εἴς τε τὰ ζωὴν ἔχοντα καὶ μὴ ἔχοντα ἐφεξῆς ὁρίζεται τί ποτέ ἐστιν ἡ ζωή· ἐκ τούτου γὰρ ἔμελλεν ἔσεσθαι γνώριμα καὶ τὰ ζωὴν ἔχοντα. δι' αὐτοῦ δὲ τροφήν φησι καὶ αὔξησιν, ἐπεὶ δοκεῖ ἡ πρόσθεσις αὔξησις εἶναι, οἷον εἰ ὕδατι ἐπιπροσθείην ὕδωρ· ἀλλ' οὐκ ἔστι δι' αὐτοῦ ἡ αὔξησις, ἀλλὰ δι' ἄλλου τοῦ προστιθέντος. δόξειε δ' ἂν

---

1 κατὰ delevi 5 φυτικά D 6 ante διελὼν add. καὶ t 11 τούτων t: τοῦτο D 14 ἔστιν ἐπίνοια D: exspectas tale aliquid ὅτι ἐκεῖνα ἐν τοῖς φυσικοῖς ἐστιν ἐπινοίᾳ (vel χωριστὰ ὄντα μόνῃ ἐπινοίᾳ) 15 τι D: om. t 22 λεγόμενα D: λέγομεν ὅτι t καὶ addidi 31 πρόθεσις D ἐπιπροσθείην D: ἐπὶ προσθείη t 32 δ' ἂν D: om. t

καὶ τὸ πῦρ τρέφεσθαί τε καὶ αὔξεσθαι μὴ ἔχον ζωήν, ἀλλ' οὐκ ἀληθὲς g 1r
τοῦτο· δι' αὐτῶν γὰρ ταῦτα τρέφεται, ὅσα ὄργανα ἔχει δι' ὧν δέχεται
τὴν τροφήν, καὶ οἷς ἐκ τῆς τροφῆς προσθήκη τε καὶ αὔξησις κατὰ πᾶν
μόριον γίνεται· τὸ δὲ πῦρ καὶ τὸ ὕδωρ καὶ τὰ τοιαῦτα οὐ δι' ὀργάνων δέχε-
5 ται οὔτε τὴν αὔξησιν κατὰ πᾶν μόριον ποιεῖται. ἔτι ἐπὶ τοῦ πυρὸς γένε-
σις μᾶλλον καὶ φθορὰ θεωρεῖται, τὸ δὲ αὐξόμενον δεῖ μένειν· εἴρηται δ'
ἀκριβῶς περὶ τούτων ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς. ἐκ τούτου δὲ 40
συνάγουσιν ὅτι οὐ ζῷον τὸ κατὰ γαστρός· εἰ γὰρ ζωή ἐστιν ἡ δι' αὐτοῦ
τροφή τε καὶ αὔξησις καὶ φθίσις, τοῦτο δ' ἐστὶν ἡ διὰ τῶν οἰκείων ὀργά-
10 νων, τὸ δὲ ἔμβρυον οὐ διὰ τῶν οἰκείων τρέφεται ὀργάνων, λέγω δὴ τοῦ
στόματος, οὐκ ἄρα ζῷον οὐδὲ ζῶν· τρέφεται γὰρ τῷ ὀμφαλῷ διὰ τοῦ ἱμάν-
τος ἐκεῖνο παρὰ τῆς μητρὸς δεχόμενον. // ἀλλ' ἔστιν ἐνστῆναι πρὸς τοῦτο,
ὅτι καὶ τὸ ἔμβρυον δι' αὐτοῦ τρέφεται· εἰ γὰρ αὔξεται, δῆλον ὅτι καὶ
τρέφεται. καὶ ὅτι οὐ πρόσθεσις τὸ τοιοῦτο, σαφές· οὐ γὰρ ὀστοῦν τῷ ὀστῷ 45
15 προστίθεται οὐδὲ τῇ σαρκὶ σάρξ· ἀλλὰ προπαρασκευάζει ἡ φύσις τῆς
μητρὸς τὴν τροφήν, ὥσπερ καὶ ἡμῖν οἱ ἀρτοποιοῦντες. ἀλλὰ καὶ τοῖς
παιδίοις αἱ μητέρες προμασώμεναι τὴν τροφὴν προκατασκευάζουσιν. οὕτως
οὖν καὶ ἐπὶ τοῦ ἐμβρύου δευτέρα τίς ἐστι τῆς τροφῆς παρασκευὴ ἡ ἐκ
τῆς φύσεως τῆς μητρὸς γινομένη· ἀλλὰ καὶ διὰ οἰκείων ὀργάνων τρέφεται.
20 εἰ γὰρ καὶ μὴ διὰ στόματος, ἀλλ' οὖν γε καὶ ἐν αὐτῷ πρῶτον ἡ γαστὴρ
πέττει, αὕτη δὲ τῷ ἥπατι παραπέμπει, κἀκεῖνο διὰ τῶν φλεβῶν εἰς ἕκα- 50
στον μόριον, καὶ οὕτως ἐξομοιοῦται ἐν ἑκάστῳ ἡ τροφὴ πρὸς τὴν ὑποκει-
μένην οὐσίαν· ταῦτα δὲ καὶ ἐπὶ τῶν τελείων συμβαίνει ζῴων. καὶ ἄλλως,
εἰ τοῖς τελειοτάτοις τῶν ζῴων ἡ κατὰ τόπον ὑπάρχει κίνησις, κινεῖται δ'
25 ἐναργῶς καὶ τὰ ἔμβρυα τὴν κατὰ τόπον κίνησιν, ζῷα ἄρα καὶ ταῦτα.
ἀλλὰ πρὸς ταῦτα πάντα ἀντικατασκευάζοντές φασιν ὅτι εἰ μηδὲν μάτην (
ὑπὸ τῆς φύσεως γίνεται, μήτε δ' ἀτελές τι καὶ μὴ δυνάμενον ἑαυτῷ
ἐπαρκεῖν, τί δή ποτε, εἴ γε ἦν τέλειον ζῷον, ἔτι αὐτὸ | ἡ φύσις ἐν τῇ g 1v
γαστρὶ ἐπέχει; οὐ δῆλον ὡς ἔτι ἀτελὲς καὶ ὁδεῦον εἰς τὸ εἶναι ζῷον,
30 μήπω δὲ ὄν; πῶς δ' ἄν, εἰ ζῷον ἦν. οὐ τέλεια αὐτῷ παρεῖχε τὰ ὄργανα,
δι' ὧν ἔζη, οἷον στόμα; ἀλλ' ἔστι καὶ πρὸς τοῦτο εἰπεῖν ὅτι ὥσπερ καὶ
ὅταν ἤδη γεννηθῇ, ζῷον μέν ἐστιν, ἔτι μέντοι τῶν ὀργάνων συμπήξεως
δεόμενον οὐ δύναται τὰς τελείας τοῦ ζῴου ἐνεργεῖν ἐνεργείας, οὕτω. φημί.
καὶ ἐν τῇ μήτρᾳ ὄν, ἐπειδὴ πᾶν σῶμα χρόνῳ τὴν ἑαυτοῦ ἴσχει τελειό- 5
35 τητα, ἔτι δέεται πλείονος βοηθείας, καὶ διὰ τοῦτο ἐμφυλάττεται ἐν τῇ
μήτρᾳ τὸ τοῦ ζῴου μὲν εἶδος ἀπειληφός, ἔτι μέντοι τοῦ ὀργάνου πλείονος,
ὅπερ εἶπον, φυλακῆς καὶ φροντίδος δεομένου· ἐπεὶ εἰ πρὸς τὰς τελειοτάτας
τις ἀποβλέποι ἐνεργείας, οὐδὲ τὸ μειράκιον ἐρεῖ ζῷον, εἰ μὴ τὸν ἡβή-

---

3 αὔξησιν t 7 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] A 5 8 γαστρός D: γαστέρα t
εἰ γὰρ t: ἡ γὰρ D 11 οὐδὲ Diels: οὐδὲν Dt γὰρ D: δὲ t 12 ἐκεῖνο Diels:
ἐκεῖνον Dt 14 ante ὀστοῦν add. τὸ t 15 ἡ φύσις D: om. t 21 αὕτη scripsi:
αὐτὴ Dt 30 δ' ἄν] fort. γὰρ ἄν παρεῖχε scripsi: παρέχει Dt 32 post
μέντοι add. καὶ t τῶν D: τῆς t 35 δέεται sic libri 38 ἀποβλέπει t

σαντα καὶ ἤδη λοιπὸν τὰς γεννητικὰς ἐνεργοῦντα ἐνεργείας, ὅπερ ἄλογον g l v
μόνον τὸν οὕτως ἔχοντα ζῷον εἶναι λέγειν. ἀλλ' ἴσως οὐκ ἀναγκαῖα τὰ
εἰρημένα· οὐδὲ γὰρ εἰ τρέφεται δι' αὐτοῦ, ζῷον ἤδη. οὐδὲ γὰρ ταὐτὸν 10
ζῶν τε καὶ ζῷον· ζῆν μὲν γὰρ αὐτὸ καὶ ζωὴν ἐροῦμεν, ζῷον δ' οὐκέτι.
5 ἐπεὶ καὶ τὰ φυτὰ δι' αὐτῶν τρέφεται, ἀλλ' οὐ ζῷα. ἀλλ' οὐδὲ αὐτὸ τὸ
αἰσθήσεως μετέχειν ἤδη ποιεῖ ζῷον· τὰ γοῦν μόνης τῆς ἁπτικῆς μετέ-
χοντα οὐ ζῷα· τὰ γὰρ ζωόφυτα ἁφῆς μετέχει. ἄλλως τε ζῴων μάλιστα
ἴδιον τὸ ὅλα καθ' ὅλα μεταβαίνειν τοὺς τόπους, ὅπερ τοῖς ἐμβρύοις οὐχ
ὑπάρχει· συνῆπται γὰρ τῇ μητρὶ καὶ συνδέδεται οἷον μόριον αὐτῆς ὑπάρ-
10 χον, καὶ κινεῖται ὡς τὰ ζωόφυτα. τί δὲ τῷ ὄντι καὶ κατεῖχεν ἡ φύσις
ἐν γαστρί, εἴ γε τελείως ἀπείργαστο ζῷον; ἄλλως τε εἰ ὁδῷ βαδίζει ἡ δη- 15
μιουργία ἐκ τῶν ἀτελεστέρων ἐπὶ τὰ τελειότερα καὶ οὐκ ἄλλως αἱ ὑπέρ-
τεραι ζωαὶ παραγίνονται, μὴ προϋπαρξάντων τῶν καταδεεστέρων, ἔστι δὲ ἡ
τάξις πρῶτον τὸ ἄψυχον, εἶτα ἡ φυτικὴ ζωή, εἶτα ἡ τῶν ζωοφύτων, εἶτα
15 ἡ τῶν ἀλόγων, καὶ ἐσχάτη ἡ τῶν λογικῶν, σκοπῆσαι χρὴ ὡς ταύτῃ τῇ
τάξει τῆς δημιουργίας ἡ φύσις χρῆται. μετὰ γὰρ τὴν σύμπηξιν τοῦ σπέρ-
ματος τὸ συστὰν ἐκεῖνο ἄψυχόν τί ἐστιν, εἶτα διοργανωθὲν τὴν ἀρχὴν
ἔοικε φυτῷ αἰσθήσεως τέως ἀμοιροῦν. προϊὸν δὲ καὶ προσλαβὸν αἴσθησίν 20
τε τὴν ἁπτικὴν καὶ κίνησιν τὸ τηνικαῦτα τοῖς ζωοφύτοις ἔοικε συνημμένον
20 τε τῇ ἑαυτοῦ ἀρχῇ τῇ μήτρᾳ. ὥσπερ ἐκεῖνα πέτραις ἢ τοῖς περικειμένοις
ὀστράκοις, καὶ τοῦτο μέχρι τῆς ἀποκυήσεως· τὸ τηνικαῦτα λοιπὸν ζῷα
γίνεται τέλεια. τάς τε μεταβατικὰς κινούμενα κινήσεις καὶ διὰ τῶν οἰκείων
ὀργάνων τρεφόμενα, φημὶ δὴ στόματος καὶ τῶν τοιούτων, καὶ πάσαις ἐνεργεῖ
ταῖς αἰσθήσεσι· τέλος δ' ἐπὶ ἀνθρώπων καὶ τὴν λογικὴν ἀπολαμβάνει ζωήν,
25 τὴν ἄλογον τὴν ἀρχὴν βιοτεύοντα. εἰ δὲ μὴ γεννᾷ ἐξ ἀρχῆς, οὐ παρὰ 25
τοῦτο οὐ ζῷα· οὐδὲ γὰρ πᾶν ζῷον γεννᾷ. πολλὰ γὰρ καὶ ἐκ σήψεως
γίνεται, ἅπερ τὴν γόνιμον οὐκ ἔχει δύναμιν, καὶ ὅμως ζῷά ἐστι. καὶ
ἡμίονοι δὲ καὶ ὅσα ἐκ συνδυασμοῦ διαφόρων εἰδῶν γίνεται. ζῷα μέν ἐστι.
τὴν γεννητικὴν δὲ οὐκ ἔχει δύναμιν· οὐδὲ γὰρ τὸ γεννᾶν ζῴων ἴδιον, ἀλλὰ
30 τὸ αἰσθήσει καὶ κινήσει χρῆσθαι. ὅτι δ' οὐ ζῷον τὸ κατὰ γαστρός,
κἀντεῦθεν δῆλον· εἰ γὰρ τὸ ζῷον οὐσία ἐστὶν ἔμψυχος αἰσθητική, τουτέστι
πεφυκυῖα αἰσθάνεσθαι, εἰ ἦν ζῷον, ἔδει πρὶν τελεσφορηθῆναι, εἰ ἐκτρωθῇ, 30
ἐνεργεῖν κατὰ τὰς αἰσθήσεις· νῦν δ' οὐκ ἐνεργεῖ· οὔκουν ζῷον ἦν.

---

5 αὐτὸ] αὐτὸς D 7 ἁφῆς] ἁφῆς D 13 προϋπαρξάντων t: προϋπάρξας D
18 αἰσθήσεώς τε ὡς D 18. 19 αἰσθητικήν τε καὶ ἁπτικήν t 19 τὸ om. t
τῷ ζωοφύτῳ t 29 οὐ γὰρ t ζῴων t: ζῶον D 30 δ' οὐ scripsi: οὐδ'
οὐ Dt 31 κἀντεῦθεν D: ἐντεῦθεν t 32 εἰ ἐκτρωθῇ D: ἢ ἐκτρωθῆναι t
33 οὔκουν scripsi: οὐκοῦν t: οὐκᾶν (sic) D

p. 412a16 Ἐπεὶ δέ ἐστι σῶμα καὶ τοιόνδε τὸ ζωὴν ἔχον, οὐκ g 1v
ἂν εἴη τὸ σῶμα ἡ ψυχή· οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ
σῶμα, μᾶλλον δὲ ὡς ὑποκείμενον καὶ ὕλη.

Ὅπερ διὰ τούτων λέγει, τοῦτό ἐστιν· ἐπειδὴ τὸ ζωὴν ἔχον σῶμα καὶ
5 σῶμά ἐστι καὶ τοιονδὶ σῶμα, ἀντὶ τοῦ σύνθετον ἐκ σώματος καὶ ζωῆς,
ἥπερ ζωὴ ψυχή ἐστι, ἀνάγκη τὸ μέν τι τούτων εἶναι ὕλην, τὸ δὲ εἶδος.
δείκνυσι δὲ τοῦτο οὕτως· ἐπεὶ γάρ, φησί, τὸ ἔμψυχον σῶμα σῶμά ἐστι
τοιονδί, ὡς ἂν εἰ ἔλεγε τὸ μέν τι ἔχει ὑποκείμενον, τὸ δὲ ἐν ὑποκειμένῳ 40
(ὑπόκειται γὰρ τὸ σῶμα, ἐν ὑποκειμένῳ δὲ τὸ τοιονδί), οὐκ ἂν εἴη ἡ
10 ψυχὴ τὸ ὑποκείμενον, ταὐτὸν δ' εἰπεῖν ἡ ὕλη. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν
οὐκ ἂν εἴη τὸ σῶμα ἡ ψυχή, ἀντὶ τοῦ ὑποκειμένου καὶ τῆς ὕλης τὸ
σῶμα λαβών· τοῦτο γὰρ τὴν τοῦ ὑποκειμένου καὶ τῆς ὕλης τάξιν ἔχει.
εἶτα καὶ τὴν αἰτίαν ἐπιφέρει, πῶς οὐχ ὑποκείμενον ἡ ψυχή· οὐ γάρ ἐστι,
φησί, τῶν καθ' ὑποκειμένου τὸ σῶμα, καθ' ὑποκειμένου λέγων ἀντὶ
15 τοῦ ἐν ὑποκειμένῳ, τουτέστιν οὐκ ἔστιν εἶδος· τὸ γὰρ ἐν ὑποκειμένῳ ἐστὶ
τὸ εἶδος, οὐ τὸ ὑποκείμενον, ὑπόκειται δὲ τὸ σῶμα· φαμὲν γὰρ ὅτι σῶμά 45
ἐστι τοιόνδε, ὥστε τὸ σῶμα ἐν ὑποκειμένου τάξει ἐστίν. ἐκ τούτου δὲ δῆλον
ὅτι λέγων οὐκ ἂν εἴη τὸ σῶμα ἡ ψυχὴ τὸ σῶμα ἀντὶ τοῦ ὑποκειμένου
ἐλάμβανε· διὸ ἐπήγαγεν οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα.
20 εἰ γὰρ τὸ σῶμα ἡ ψυχή, τουτέστιν εἰ ἦν ὑποκείμενον ἡ ψυχή, ἦν ἂν τὸ
σῶμα ἐν ὑποκειμένῳ· εἰ δὲ μὴ ἔστιν ἐν ὑποκειμένῳ τὸ σῶμα, οὐκ ἂν εἴη
ἡ ψυχὴ ὑποκείμενον, ὅπερ αὐτὸς εἶπεν οὐκ ἂν εἴη τὸ σῶμα ἡ ψυχή.
ἀνάγκη γὰρ τῶν δύο τούτων τὸ μὲν ὑποκείμενον εἶναι, τὸ δὲ εἶδος. τινὲς
δὲ ὑπενόησαν αὐτὸν λέγειν ὅτι οὐκ ἔστιν ἡ ψυχὴ σῶμα, ὧν ἐστι καὶ ὁ 50
25 Ἀλέξανδρος. διὰ γὰρ τοῦ δεῖξαι, φησίν, ὅτι οὐ σῶμα, συναποδείκνυσιν ὅτι
οὐδὲ ὑποκείμενον. οὐχ οὕτω δὲ ἔχει· οὐ γὰρ νῦν πρόκειται αὐτῷ δεῖξαι
ὅτι οὐ σῶμα ἡ ψυχὴ ἀλλ' ἀσώματος (ἐν γὰρ τοῖς ἑξῆς τοῦτο δείκνυσιν,
ἢ καὶ ἤδη συναποδέδεικται ἐν οἷς ἐδείκνυτο μὴ οὖσα μέγεθος· εἰ γὰρ μὴ
μέγεθος, οὐδὲ σῶμα· ἐπὶ πλέον γὰρ τὸ μέγεθος τοῦ σώματος), ἀλλὰ τὸ νῦν
30 δεικνύμενόν ἐστιν ὅτι εἶδος καὶ οὐχ ὕλη ἐστί, τὸ δὲ σῶμα ὑποκείμενον καὶ
ὕλη. ἔπειτα καὶ ἐκ τῆς προσθήκης τοῦ ἄρθρου δῆλον· οὐ γὰρ εἶπεν οὐκ
ἂν εἴη | σῶμα ἡ ψυχὴ ἀλλὰ τὸ σῶμα· τὸ γὰρ ἄρθρον ὡρισμένου ἐστί g 2r
τινος δηλωτικόν, ἡ δὲ ψυχὴ καθάπαξ ἔστιν ἀσώματος· ἀλλ' ὡς εἴπομεν, τὸ
σῶμα δηλοῖ αὐτῷ τὸ ὑποκείμενον καὶ τὴν ὕλην. δῆλον δὲ καὶ ἐκ τούτων
35 ὅτι εἶδος ἡ ψυχή· ᾧ γὰρ διαφέρει ἀλλήλων τὰ ὁμογενῆ, τοῦτο εἶδος αὐτῶν·

---

1 καὶ D Arist. codd. plerique: om. t Arist. ET τοιονδί Arist. codd. plerique
τὸ ζωὴν D: ζωὴν γὰρ t Arist. 2 ἡ D Arist. codd. plerique: om. t Arist. ET
4 διὰ D: δ' ἐκ t 8 τὸ μέντοι t 10 γὰρ D: δὲ t 15 ἐν ὑποκειμένα τουτέστιν D 30 ὅτι om. D post ὕλη ἐστὶ add. ἡ ψυχή t 32 ὡρισμένον D
33 δηλωτική t 34 αὐτῷ] αὐτὸ t δῆλον δ' ἐκ t

διαφέρει δὲ τὰ σώματα ἀλλήλων ὁμογενῆ ὄντα τῷ ἐμψύχῳ· ἡ ψυχὴ ἄρα ς 2r
τῶν ἐμψύχων εἶδος. ἐν γὰρ τῷ ὑπάρχειν τὴν ψυχὴν καὶ ὕπνος
καὶ ἐγρήγορσίς ἐστι. διελὼν τὴν ἐντελέχειαν εἰς τὴν πρώτην καὶ τὴν 5
δευτέραν, εἰς τὴν ἕξιν λέγω καὶ τὴν ἀπὸ τῆς ἕξεως ἐνέργειαν, καὶ εἰπὼν
5 ὅτι ἡ ψυχὴ οὕτως ἐντελεχειά ἐστιν ὡς ἡ ἐπιστήμη, πάνυ ἐναργεῖς τὰς
τούτου ἀποδείξεις ἐπήγαγε, τὰ κατὰ τὸν ὕπνον λέγω καὶ τὴν ἐγρήγορσιν·
ὅπερ ἴσον ἐστὶ τῷ ἐνεργεῖν καὶ μὴ ἐνεργεῖν τὴν ψυχήν· ἐνέργεια γὰρ ἡ
ἐγρήγορσις. ἀνενεργησία δὲ ὁ ὕπνος· ἀλλ' ὅμως οὐδὲν ἧττον ψυχῆς ἔχομεν
ἐν ἑκατέρῳ. καλῶς δὲ πάνυ ἐπέστησεν ὁ Ἀλέξανδρος τῇ αἰτίᾳ τῆς μετα-
10 λήψεως ἐκ τοῦ εἴδους εἰς τὴν ἐντελέχειαν. ἐπεὶ γάρ, φησίν, ἦν ἀναγκαῖον 10
διορίσαι, πότερον χρὴ τὸ ἔμψυχον ἀπὸ τῶν ἐνεργειῶν τῶν κατὰ τὴν ψυχὴν
λέγειν τοιοῦτον εἶναι, ἢ ἀπὸ τοῦ δύνασθαι ἐνεργεῖν, ὧν τὸ μὲν δύνασθαι
πρῶτον, τὸ δ' ἐνεργεῖν ὕστερον, μέλλων, φησί, τῷ πρώτῳ καὶ τῷ ὑστέρῳ
προσχρῆσθαι πρὸς τὸν διορισμόν, ἐπεὶ ἄτοπον ἐπὶ τοῦ εἴδους λέγειν τὸ
15 πρότερον καὶ τὸ ὕστερον (ἓν γὰρ τὸ εἶδος ἑκάστου), εἰς τὴν ἐντελέχειαν
καὶ τελειότητα μετέλαβε τὸ εἶδος· οὐκέτι γὰρ ἄλογον τὸ λέγειν τελειότητα
τὴν μὲν πρώτην, τὴν δὲ δευτέραν. αὕτη μὲν οὖν, φησίν, ἡ αἰτία τῆς μετα- 15
λήψεως. εἴη δ' ἄν, φησί, διαφορὰ εἴδους καὶ ἐντελεχείας, ὅτι πᾶν μὲν
εἶδος ἐντελέχεια, οὐ πᾶσα δὲ ἐντελέχεια εἶδος· ἡ γὰρ ἀπὸ τῆς ἕξεως ἐνέρ-
20 γεια ἐντελέχεια μέν, οὐ μὴν καὶ εἶδος· ὥστε ἐπὶ πλέον ἡ ἐντελέχεια τοῦ
εἴδους. εἶδος δὲ δῆλον ὅτι ἀκουστέον τὸ οὐσιῶδες, οὐ τὸ κατὰ συμβεβηκός·
ἐκεῖνο γὰρ οὐ τελειότης τοῦ ὑποκειμένου, ὡς ἤδη εἶπον. εἰ δὲ οὕτω
ταῦτα ἔχει, ὁ μὲν ὁριζόμενος τὴν ψυχὴν καὶ λέγων εἶδος αὐτὴν τοῦ τοιοῦδε
σώματος οὐκέτι ἂν εὐλόγως τὸ πρῶτον προστιθείη, ὁ δὲ ἐντελέχειαν, ἐπειδὴ 20
25 ἐπὶ πλέον ἡ ἐντελέχεια τοῦ εἴδους, καὶ ταύτης ἂν τῆς προσθήκης
δέοιτο.

p. 412a26 Προτέρα δὲ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ ἡ ἐπιστήμη.

Πάνυ ἀσφαλῶς τῇ προσθήκῃ ἐχρήσατο εἰπὼν ἐπὶ τοῦ αὐτοῦ. ἐπὶ
γὰρ ἄλλου καὶ ἄλλου δυνατὸν προτέραν εἶναι τὴν ἐνέργειαν τῆς ἕξεως· ὁ
30 γὰρ διδάσκαλος τῆς ἕξεως τοῦ μαθητοῦ προτέραν ἔχει τὴν ἐνέργειαν· ἐπὶ 25
μέντοι ἑνὸς καὶ τοῦ αὐτοῦ προηγεῖται τῆς ἐνεργείας ἡ ἕξις. τοῦτο δὲ ἐπὶ
τῶν ἐν γενέσει καὶ φθορᾷ ἐστιν ἀληθές, ἐφ' ὧν καὶ χωρίζεσθαι πέφυκε
τῆς ἕξεως ἡ ἐνέργεια. τὰ γὰρ θεῖα σύνδρομον ἔχει τῇ ἕξει τὴν ἐνέργειαν·
ἀεὶ γὰρ ἐνεργεῖ τὴν ἕξιν ἔχοντα· ἄνευ γὰρ δυνάμεως ἐνέργειαί εἰσιν. ὡς ἐν
35 τῷ Περὶ ἑρμηνείας εἴρηκεν. ὥστε ἐπὶ μὲν τῶν θνητῶν προηγεῖται τῆς
ἐνεργείας ἡ ἕξις, καὶ τούτων ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ· ὡς δὲ ἐπὶ τοῦ παν-

---

7 ἡ om. t 15 πρῶτερον (sic) D ante ἑκάστου add. τῷ D, τῶν t 16 οὐκ ἔτι D: οὐκ ἔστι t 19 ἐντελέχεια εἶδος AD: ante εἶδος add. καὶ t 23 εἶδος A: εἶναι Dt 24 προστεθείη t ἐντελέχειαν t: ἐντελέχεια D: ἐντελεχεία A
34. 35 ἐν τῷ Περὶ ἑρμηνείας] c. 13 p. 23a23 35. 36 τῆς ἐνεργείας ἡ ἕξις scripsi: ἡ ἐνέργεια τῆς ἕξεως Dt 36 τοῦ αὐτοῦ t: τοῦ om. D

τὸς σύνδρομά εἰσι ταῦτα ἀλλήλοις· ἀεὶ γάρ ἐστι καὶ ἕξις ἐν τῷ παντὶ καὶ g 2r
ἐνέργεια. † οὔτε πρὸς τὰ θεῖα ἀποβλέψωμεν, ἀσυνδρόμους ἔχει ταύτας
εἴτε καὶ πρὸς τὸ καθόλου τὸ ἐν τοῖς θνητοῖς· καὶ γὰρ ἐν τῇ τούτων ὁλό-
τητι ἀεί ἐστιν ἀμφότερα, οὐδ' ὅλως δεῖ ἕτερον ἑτέρου προτιθέναι· ὡς
5 ἐν τῷ παντὶ ⟨δὲ⟩ τὰ τέλεια τῶν ἀτελῶν προκέοιτο ἄν· ὡς γὰρ εἶπον, τὰ προα-
κτικὰ αἴτια προηγεῖται ἐν τῇ ἐνεργείᾳ ὄντα τῇ τελείᾳ, καὶ ὅλως ἐκ τῶν
τελείων δεῖ τὴν τοῦ παντὸς δημιουργίαν ἄρχεσθαι, οὐκ ἐκ τῶν ἀτελῶν.

p. 412a28 Τοιοῦτο δέ, ὃ ἂν ᾖ ὀργανικόν.

Εἰπὼν δυνάμει ζωὴν ἔχοντος ἐπεξηγεῖται τοῦτο· τοῦτο γάρ ἐστι, φησί,
10 τὸ δυνάμει ζωὴν ἔχον, ὅπερ ἂν εἴη ὀργανικόν. οὐ γὰρ ἡ πρώτη τοῦ
πυρὸς ἐντελέχεια ψυχή, λέγω δὴ ἡ θερμαντικὴ δύναμις· καίτοι καὶ τοῦτο
φυσικόν ἐστι σῶμα, ἀλλ' ἐπεὶ μὴ ἔστιν ὀργανικόν, οὐκ ἔστιν ἡ πρώτη
αὐτοῦ ἐντελέχεια ψυχή, ἡ θερμαντικὴ λέγω καὶ ξηραντικὴ δύναμις. ὀργα-
νικὸν δέ ἐστι τὸ ἔχον ὄργανα, δι' ὧν αἱ κατὰ τὸ ζῆν ἐνέργειαι γίνονται·
15 τοιαῦτα δέ ἐστι τὰ ἀνομοιομερῆ, ὧν ἕκαστον διαφόροις ἐνεργείαις ὑπηρετεῖται.

p. 412b1 Ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη, ἀλλὰ παντελῶς
ἁπλᾶ.

Ἐπεὶ καὶ τὰ φυτὰ ἔμψυχα, ἡ δὲ ψυχὴ ἐντελέχειά ἐστιν ὀργανικοῦ
σώματος, διὰ τοῦτό φησιν ὅτι καὶ τὰ τοῦ φυτοῦ μέρη ὄργανά εἰσιν· ἰδίαν
20 γὰρ ἕκαστον ἔχει ἐνέργειαν. ἁπλᾶ μέντοι, φησί, τὰ τῶν φυτῶν εἰσιν ὄρ-
γανα, ἁπλᾶ δὲ ὡς πρὸς τὰ τῶν ζῴων· καὶ γὰρ τῷ ὑποκειμένῳ καὶ ταῖς
ἐνεργείαις ἁπλούστερά ἐστι τὰ τῶν φυτῶν· ἕκαστον γὰρ τῶν ἐν τοῖς ζῴοις
ὀργανικῶν ἐκ πολλῶν ὁμοιομερῶν συνέστηκε, τὰ μέντοι τῶν φυτῶν, φέρ'
εἰπεῖν τὸ πρέμνον, ἐκ φλοιοῦ καὶ ξύλου ἢ ἄλλου τινός. ἀλλὰ καὶ πρὸς τὰς
25 ἐνεργείας, ἐπὶ μὲν τῶν φυτῶν μίαν καὶ ἁπλῆν ἕκαστον τῶν μορίων ἐνεργεῖ
ἐνέργειαν, ἐπὶ μέντοι τῶν ζῴων ἕκαστον πολλὰς καὶ ποικίλας, καὶ τοῦτο
εἰκότως· ἐπεὶ γὰρ τὰ ὄργανα πρὸς ὑπηρεσίαν τῶν τῆς ψυχῆς ὁρμῶν γέ-
γονεν, εἰκότως ἀναλόγως ταῖς ψυχικαῖς κινήσεσι τὰ ὄργανα κατεσκεύασται.
εἰσὶ δὲ αἱ μὲν τῶν ζῴων ψυχαὶ ποικίλαι ταῖς ὁρμαῖς, ἡ δὲ τῶν φυτῶν
30 ἁπλῆ· ἡ γὰρ θρεπτικὴ δύναμις μόνον τρέφει, καὶ ἡ αὐξητικὴ αὔξει καὶ
πλέον οὐδὲν ἐνεργεῖ. πῶς δὲ ὀργανικὸν τὸ σῶμα τῶν φυτῶν δεικνὺς ἅμα
καὶ τί ἐστιν ὀργανικὸν ἐξηγεῖται· οἷον τὸ φύλλον περικαρπίου σκέπασμα,
τὸ δὲ περικάρπιον καρποῦ. καρπὸς μὲν λέγεται αὐτὸ τὸ σπέρμα, οἷον τοῦ
σύκου αἱ κεγχραμίδες καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες, περικάρπιον δὲ τὸ περι-
35 κεχυμένον τούτοις ὑγρὸν μετὰ τοῦ περιέχοντος αὐτὸ δέρματος. γεγόνασιν

---

1 παντὶ καὶ D: καὶ om. t 2 οὔτε] fort. οὐ ⟨γὰρ εἴ⟩ τε 3 καθόλου D: καθόλον t 4 δεῖ scripsi: ἀεὶ Dt προτιθέναι scripsi: προστιθέναι Dt 5 δὲ addidi 10. 11 τοῦ πυρὸς D: τοῦ om. t 28 κατεσκεύασται A: κατεσκευᾶσθαι t: κατασκευᾶσθαι D 34 ἐλαιῶν] ἐλεῶν D

γοῦν τὰ φύλλα, φησίν, ἵνα σκέπωσι τὸ περικάρ|πιον καὶ μὴ βλάπτηται g 2v
ἐκ τοῦ περιέχοντος, τὸ δὲ περικάρπιον, ἵνα τὸν καρπὸν φυλάττῃ· τούτου
γὰρ ἕνεκεν πάντα ἡ φύσις ἐμηχανήσατο διὰ τὴν ἐκ τῆς διαδοχῆς διαμονήν.

p. 412b4 Εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν.

Ὁρᾷς ὡς οὐ βούλεται κοινὸν γένος εἶναι ψυχῶν ἢ κοινὸν ὁρισμόν.
ὡς γὰρ ἤδη εἴρηται, ἐν οἷς τὸ πρῶτόν ἐστι καὶ τὸ ὕστερον, τούτων τὸ 5
κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος. ἐκ δὲ τοῦ νῦν ἀποδεδομένου ὁρι-
σμοῦ δῆλον σαφῶς ὅτι ταὐτόν ἐστι τὸ δυνάμει ζωὴν ἔχον τῷ ὀργανικῷ·
ἀνωτέρω γὰρ εἰπὼν φυσικοῦ δυνάμει ζωὴν ἔχοντος, νῦν φησι φυσικοῦ ὀρ-
γανικοῦ, ἑνὶ ἀνθ' ἑνὸς κεχρημένος τοῖς ὀνόμασι τούτοις.

p. 412b6 Διὸ καὶ οὐ δεῖ ζητεῖν εἰ ἓν ἡ ψυχὴ καὶ τὸ σῶμα, ὥσπερ
οὐδὲ τὸν κηρὸν καὶ τὸ σχῆμα.

Ἠπόρησεν αὐτὸς ἐν τῷ πρὸ τούτου λόγῳ, τοῖς εἰς μόρια διαιροῦσι 10
τὴν ψυχὴν τί ποτέ ἐστι τὸ ἑνοῦν ταῦτα, εἴπερ μία ἡ ψυχὴ ἑνὸς ὄντος καὶ
τούτου ζῴου· οὐ γὰρ δὴ πολλαὶ αἱ ψυχαί. ἐπεὶ ἕκαστος πολλὰ ἂν ἦν ζῷα
ἑκάστου μορίου ζῴου ὄντος. ἐπὶ μὲν τούτων εἰκότως ἦν ἡ ἀπορία, καὶ
ἔτι ἐπὶ πάντων τῶν περὶ ψυχῆς μὲν εἰπόντων, μηδὲν δὲ προσδιορισαμένων
περὶ τῆς ἐπιτηδειότητος τοῦ δεξομένου αὐτὴν σώματος, ὅ τί ποτέ ἐστι τὸ
τὴν ψυχὴν ἑνοῦν τῷ σώματι καὶ ποιοῦν ἓν τὸ ζῷον. οὐκέτι οὖν ἡ ζή-
τησις αὕτη προχωρήσει καθ' οὓς ἡ ψυχὴ μὲν ἐντελέχεια, ὕλη δὲ καὶ 15
ὑποκείμενον τὸ σῶμα. ὥσπερ γὰρ ἐπὶ τοῦ σφαιρικοῦ κηροῦ οὐκ ἂν ζητήσειέ
τις, τί ποτέ ἐστι τὸ ἑνῶσαν τὸ σχῆμα καὶ τὸν κηρόν (πάθος γὰρ τοῦ κηροῦ
τὸ σχῆμα, καὶ οὐδενὸς δεῖ τοῦ ἑνώσοντος ταῦτα· αὐτὴ γὰρ ἡ οἰκεία τού-
των φύσις καὶ ἡ ἐπιτηδειότης τοῦ κηροῦ τῆς ἑνώσεώς ἐστιν αἰτία), οὕτω
καὶ ἐπὶ τοῦ σώματος καὶ τῆς ψυχῆς. ἐπειδὴ ἐντελέχεια καὶ τελειότης τοῦ
σώματος ἡ ψυχή. ὡς καὶ τὸ σχῆμα τοῦ σφαιρικοῦ κηροῦ ἐντελέχεια.
οἴκοθεν ἔχουσιν τὴν ἕνωσιν. ὡς γὰρ εἴπομεν, ὅταν τὸ μὲν ᾖ ὕλη τὸ δὲ 20
εἶδος, αὐτὴ ἡ τῆς ὕλης ἐπιτηδειότης εὐθὺς τὴν τοῦ εἴδους δέχεται τελειό-
τητα μηδενὸς προσδεηθεῖσα μέσου. καὶ γὰρ τοῦ ἑνός, φησί, καὶ τοῦ εἶναι
πλεοναχῶς λεγομένου (λέγεται γὰρ ἓν ἢ τῷ γένει ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ
ἢ δεσμῷ ἢ κόλλῃ, ἢ ὅσα ἄλλα ἐν τῇ Φυσικῇ σημαινόμενα τοῦ ἑνὸς ἀριθ-
μεῖται, ἔτι δὲ καὶ τοῦ εἶναι), καὶ τοῦ μὲν ὄντος δυνάμει, τοῦ δὲ ἐντελεχείᾳ,
τὸ κυρίως ἓν καὶ τὸ κυρίως εἶναι τοῖς πράγμασι κατὰ τὴν ἑκάστου ἐντελέ-
χειάν ἐστι. καθ' ἣν καὶ ὅλως ἐστὶ καὶ λέγεται τόδε τι. ὥστε εἰ καὶ ἡ
ἕνωσις καὶ ὅλως τὸ εἶναι τόδε τι τοῖς συνθέτοις ἐκ τοῦ εἴδους ἐστίν, οὐ 25

2 τούτου D: τοῦτον t 4 δή D Arist. vulg.: δέ t Arist. ESTVy 5 κοινῶν γένος D 11 καὶ οὐ δεῖ t Arist.: δὴ D 17 προδιορισμένων t 23 δεῖ] δὴ D ἑνώσαντος D 27 ὕλη ἢ coll. t 31 ἐν τῇ Φυσικῇ] cf. A 2, sed respicere videtur Metaph. Δ 6. 7

ζητητέον τί τὸ ἑνοῦν τὴν ψυχὴν τῷ σώματι. λέγω δὴ ὡς ἓν ὑπάρχον καὶ g 2ᵛ
συνεκτικόν· αὐτὸ γὰρ τοῦτο φύσις εἴδους ἐστὶ καὶ ὕλης τὸ τόδε ἐν τῷδ' εἶναι.

p. 412ᵇ9 Καθόλου μὲν οὖν εἴρηται τί ἐστιν ἡ ψυχή· οὐσία γὰρ ἡ
5 κατὰ τὸν λόγον.

Ἀποδοὺς ὁλοσχερέστερον τὸν τῆς ψυχῆς ὁρισμὸν ἐπεξέρχεται τοῖς μέρεσιν αὐτοῦ διὰ τούτων, καὶ ἐπὶ παραδειγμάτων δείκνυσιν ὡς καλῶς ἀπεδόθη ἕκαστον. καὶ ἅμα διὰ τοῦτο δείκνυσιν, ὡς ἀχώριστος ἡ ψυχὴ τοῦ σώματος, καθὸ ἐντελέχειά ἐστιν· ἀχώριστος γὰρ ἡ τελειότης, τουτέστι
10 καθὸ τελειότης. πῶς δὲ ἂν λεχθείη καὶ ἡ λογικὴ ἀχώριστος, ἐροῦμεν 35
ἐπεξερχόμενοι τῷ ῥητῷ. ἀποδεδώκαμεν οὖν τὴν ψυχήν, φησίν, οὐσίαν εἶναι τὴν κατὰ τὸν λόγον, τουτέστι κατὰ τὸ εἶδος, εἶδος δὲ φυσικοῦ ὀργανικοῦ σώματος. ὅτι οὖν καλῶς οὐσία ἡ κατὰ τὸ εἶδος ἀπεδόθη, δείκνυσιν ἐπὶ παραδειγμάτων καὶ τεχνητῶν καὶ φυσικῶν. τὸ γὰρ τεχνητὸν ὄργανον,
15 φησίν, ὁ πέλεκυς εἴ γε ἦν φυσικὸν σῶμα, ἅτε δὴ ὀργανικὸν εἶχεν ἂν ψυχὴν αὐτὸ τὸ τοῦ πελέκεως εἶδος, τουτέστι τὴν τμητικὴν δύναμιν τὴν ἐκ τοῦ τοιοῦδε σχήματος ἐγγενομένην, ὕλην δὲ καὶ οἷον σῶμα αὐτὸν τὸν σίδηρον, 40
ἐξ οὗ εἰ ἐχωρίσθη ἡ ψυχή, τουτέστι τὸ σχῆμα καὶ ἡ τμητικὴ δύναμις, οὐκέτι ἂν ἦν πέλεκυς, μηκέτι οἰκεῖον εἶδος τὴν τμητικὴν δύναμιν ἔχων.
20 εἰ τοίνυν τὸ εἶδος τοῦ πελέκεως τὸ σχῆμα καὶ ἡ ἐκ τούτου τμητικὴ δύναμις, καὶ χωρισθείσης αὐτοῦ οὐκέτι ἐστὶ πέλεκυς, ὡς δὲ ἡ ψυχὴ πρὸς τὸ σῶμα, οὕτως τὸ τοῦ πελέκεως σχῆμα πρὸς τὸν σίδηρον, εἶδος δὲ τοῦ πελέκεως κατ' αὐτὸ τοῦτο, καθ' ὃ ἔχει τὸ εἶναι καὶ λέγεται ὁ πέλεκυς, τὸ τοιοῦτον δὲ σχῆμα ὃ τὴν τμητικὴν ἔχει δύναμιν, καὶ τοῦ ὀργανικοῦ ἄρα φυσικοῦ σώματος 45
25 εἶδος ἂν εἴη ἡ ψυχή, διότι καὶ κατὰ αὐτὴν ἔχει τὸ εἶναι. χωρισθείσης γὰρ τῆς ψυχῆς οὐκέτι ὀργανικὸν τὸ σῶμα, ἀλλ' ἢ ὁμωνύμως· οὕτω γὰρ λέγεται ἡ νεκρὰ χεὶρ ὡς ἡ ξυλίνη ἢ λιθίνη· τὸ γὰρ ἑκάστου εἶδος κατὰ τὰς ἑκάστου οὐσιώδεις ἐνεργείας χαρακτηρίζεται. ὥσπερ οὖν μηκέτι δυνάμενος ὁ πέλεκυς τὰ πελέκεως ἐνεργῆσαι ἀπολωλεκὼς ἂν εἴη τὸ ἑαυτοῦ εἶδος, οὕτω
30 καὶ τοῦ ἐμψύχου τὰς ὡς ἐμψύχου ἐνεργείας ἀπολωλεκότος, ἀπολωλεκὸς ἂν εἴη τὸ ἔμψυχον τὸ ἑαυτοῦ εἶδος. ἀπόλλυσι δ' ἑκάτερον τὰς ἑαυτοῦ ἐνεργείας, ὁ μὲν ἀποβεβληκὼς τὸ σχῆμα, τὸ δὲ τὴν ψυχήν. εἶδος δὲ τοῦ πελέκεως τὸ τοιόνδε σχῆμα, λέγω δὴ ὅπερ τὴν τμητικὴν ἔχει δύναμιν· καὶ τοῦ ἐμψύχου ἄρα ἡ ψυχὴ εἶδος. ὡς γὰρ τὸ σχῆμα τοῦ πελέκεως
35 πρὸς τὸν σίδηρον, οὕτως ἡ ψυχὴ πρὸς τὸ ἔμψυχον· τελειότης δὲ τοῦ πελέκεως καὶ εἶδος τὸ σχῆμα καὶ ἡ τμητικὴ δύναμις, καὶ τοῦ σώματος ἄρα

---

2 συνεκτικόν scripsi: συνδεκτικόν Dt 4 ἡ ψυχή t Arist.: ἡ om. D, sed cf. p. 220,19 6 ἐπεξέρχεται scripsi coll. 11: ὑπεξέρχεται Dt 15 ἦν scripsi: οὖν Dt 16 αὐτὸ scripsi: αὐτοῦ Dt ubique πελέκεος D 17 ἐγγινομένην t 18 χωρισθείη t 19 ἔχον t 23 fort. legendum καὶ αὐτὸ et δὲ delendum 26 τὸ om. t ἢ om. t 33 λέγω δὲ t

ἡ ψυχή. ὥστε καλῶς εἴρηται εἶδος ἡ ψυχὴ καὶ τελειότης τοῦ σώματος. g 2v
ἅμα οὖν δῆλον καὶ ὅτι φυσικοῦ καλῶς προ|σετέθη· ὁ γὰρ πέλεκυς καὶ g 3r
σῶμά ἐστι καὶ ὀργανικὸν σῶμα, ἀλλ' ὅμως ἡ ἐντελέχεια αὐτοῦ οὐκ ἔστι
ψυχή, ἐπειδὴ τεχνητὸν καὶ οὐ φυσικὸν τὸ σῶμα. γυμνάσας δὲ ἐπὶ τεχνητοῦ
5 παραδείγματος τὸν λόγον, ἐγγυτέρω προκειμένου γενόμενος συγγενεστέρῳ
κέχρηται παραδείγματι, ἐπὶ τῶν μερῶν τῶν ἐμψύχων γυμνάζων τὸν λόγον.
εἰ γὰρ ἦν, φησίν, ὁ ὀφθαλμὸς ζῷον, ἦν ἂν ψυχὴ αὐτοῦ ἡ ὄψις,
σῶμα δὲ οἱ χιτῶνες καὶ τὸ ὑποκείμενον ὑγρόν. εἰδοποιεῖται δὲ ἡ τοῦ 5
ὀφθαλμοῦ φύσις κατὰ τὴν ὄψιν· εἰ γὰρ μὴ βλέποι, οὐκ ἂν εἴη ὀφθαλμός·
10 ὥστε ἡ ψυχὴ ἂν αὐτοῦ ἡ οὐσία ἦν αὐτοῦ ἡ κατὰ τὸ εἶδος. ὃν οὖν λόγον
ἔχει, φησίν, ἡ ὄψις πρὸς τὸν ὀφθαλμόν, τοῦτον ἡ ὅλη ψυχὴ πρὸς τὸ ὅλον
σῶμα. εἰ τοίνυν ἡ ὀπτικὴ δύναμις, μέρος οὖσα τῆς αἰσθητικῆς δυνά-
μεως τῆς ψυχῆς, εἶδός ἐστι τοῦ ὀφθαλμοῦ, καὶ ἡ ὅλη ἄρα ψυχὴ τοῦ ὅλου
ζῴου εἶδος ἔσται. καὶ ὡς ἐπὶ τοῦ πελέκεως ἔχει ἡ τμητικὴ αὐτοῦ δύ-
15 ναμις κἂν μὴ τέμνῃ, καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ ἡ ὀπτικὴ κἂν μύῃ, οὕτω καὶ 10
ἐπὶ τῆς ὅλης ἔχει ψυχῆς ἡ πρώτη ἐντελέχεια, ἥτις κἂν καθεύδῃ τὸ ζῷον
ἐνυπάρχει· ἔστι γὰρ οὐδὲν ἧττον ἔμψυχον καὶ καθεῦδον. καὶ ὡς ἐπὶ τοῦ
πελέκεως [καὶ] ἡ τμῆσις, καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ τὸ ὁρᾶν, οὕτως ἐπὶ τοῦ
ζῴου ἡ ἐγρήγορσις. καθόλου μὲν οὖν εἴρηται τί ἡ ψυχή ἐστι, ἀντὶ
20 τοῦ κοινότερον καὶ ὁλοσχερέστερον· προελθὼν γὰρ ἐπιδιαρθρώσει περὶ
ἑκάστης ψυχῆς δυνάμεως ἰδίᾳ. οὐσία γὰρ ἡ κατὰ τὸν λόγον, τουτέστιν
ἡ κατὰ τὸ εἶδος. τὸν γὰρ λόγον φέρει καὶ ⟨ἐπὶ⟩ τοῦ ὁρισμοῦ καὶ ἐπὶ
τῆς αἰτίας καὶ ἐπὶ τοῦ εἴδους, ὥσπερ καὶ ἐνταῦθα. καὶ ἐν τῇ Φυσικῇ δὲ 15
περὶ τῶν ἀρχῶν διαλεγόμενος τῶν ὄντων, ὕλης καὶ εἴδους, διαλεχθεὶς περὶ
25 τῆς ὕλης φησὶ 'μία μὲν οὖν ἀρχὴ αὕτη', δηλονότι ἡ κατὰ τὴν ὕλην, 'ἑτέρα
δὲ ἡ ὁ λόγος' τουτέστι τὸ εἶδος. τοῦτο δέ ἐστι τὸ τί ἦν εἶναι τῷ
τοιῷδὶ σώματι. ἐπειδὴ εἶπεν ὅτι ψυχή ἐστιν οὐσία ἡ κατὰ τὸ εἶδος, οὐ πᾶν
δὲ εἶδος ψυχή, διὰ τοῦτο ἐπήγαγε τοῦτο δὲ τὸ τί ἦν εἶναι τῷ τοιῷδε
σώματι, τουτέστι τοῦτο λέγω τὸ εἶδος τὴν ψυχήν, καθ' ἣν τὸ τοιόνδε
30 σῶμα, τουτέστι τὸ φυσικὸν ὀργανικόν. τὸ εἶναι ἔχει καὶ τὸν ὁρισμόν. τοῦτο 20
γὰρ σημαίνει τὸ τί ἦν εἶναι, τουτέστι καθ' ὅ ἐστιν αὐτῷ τὸ εἶναι καὶ καθ' ὃ
εἶναί τι λέγεται· κατὰ γὰρ τὰ εἴδη οἱ ὁρισμοὶ τῶν πραγμάτων. οὕτως
οὖν καὶ τῶν ἐμψύχων τὸ εἶναι κατὰ τὴν ψυχήν ἐστι καὶ ὁ ὁρισμός· εἰδο-
ποιοῦνται γὰρ τὰ ἔμψυχα κατὰ τὴν ψυχήν. ἦν γὰρ ἂν τὸ πελέκει
35 εἶναι οὐσία αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦτο. εἰ ὁ πέλεκυς, φησίν, ὄργανον
ὢν ἦν καὶ φυσικὸν σῶμα (φυσικὸν δέ φησιν ὡς ἔμψυχον), ἦν ἂν αὐτοῦ ἡ
κατὰ τὸ εἶδος οὐσία, ταὐτὸν δὲ εἰπεῖν ἡ ψυχή, τοῦτο αὐτὸ τὸ πελέκει

---

2 φυσικοῦ D^2: φυσι D^1: φύσει t 3 ἡ om. t 10 οὖν D: νῦν t 11. 12 ὅλον τὸ σῶμα coll. t 16. 17 ζῷον ἐν ὑπάρχει D 18 καὶ delevi 20 ἐπιδιαρθρώσει scripsi: ἐπὶ διαρθρώσει D: ἐπὶ διορθώσει t 22 ἐπὶ prius addidi 23 ἐν τῇ Φυσικῇ] A 7 p. 191a12. 13 25. 26 μία δὲ ἡ ὁ λόγος Arist. l. l. 26 ἡ om. t 29 τοιόνδε] τοιῶδι D 30 ὀργανικόν scripsi: ὄργανον Dt 34 ἂν τῷ t 37 αὐτῷ τῷ πελέκει t

εἶναι, τουτέστι καθ' ὃ ὁ πέλεκυς ἔχει τοῦτο αὐτό, τὸ εἶναι πέλεκυς, τοῦτο g 3r
ἦν ἂν αὐτοῦ ψυχή· καὶ εἰ ἐχωρίσθη αὐτοῦ ἡ ψυχὴ καὶ ἐγένετο ἄψυχον, 25
οὐκέτι ἂν οὐδὲ πέλεκυς ἦν, εἰ μὴ ὡς ὁ γεγραμμένος. νῦν δέ, φησί, καὶ
ἄψυχος ὢν ὁ πέλεκυς πέλεκύς ἐστι, ἐπειδὴ ἡ ψυχὴ οὐκ ἔστι τεχνητοῦ
5 σώματος ἐντελέχεια, ἀλλὰ φυσικοῦ ὀργανικοῦ. τοῦτο δ' εἶπε βουλόμενος
δεῖξαι ὅτι καλῶς πρόσκειται τῷ ὁρισμῷ τὸ ὀργανικοῦ. εἶτα βουλόμενος
ἡμῖν παραστῆσαι, ποῖον λέγει φυσικὸν ὀργανικὸν σῶμα, προσέθηκε τοῦ
ἔχοντος ἀρχὴν κινήσεως καὶ στάσεως ἐν ἑαυτῷ. καὶ γὰρ ἐν τῇ 30
Φυσικῇ τὴν φύσιν εἶπεν ἀρχὴν εἶναι κινήσεως καὶ ἠρεμίας· κυρίως δὲ
10 κίνησίς ἐστιν ἐπὶ τῶν ἐμψύχων ἡ κατὰ τόπον καὶ κατὰ αὔξησιν καὶ μείωσιν·
ἡ γὰρ κατὰ ἀλλοίωσιν καὶ ἐπὶ τῶν ἀψύχων ὁρᾶται· καὶ λίθος γὰρ καὶ
ἄλλα πολλὰ τῶν ἀψύχων ἔχουσιν οἴκοθεν αἰτίαν ἀλλοιωτικήν. ταῦτα
οὖν λέγω φυσικὰ τὰ ἐξ αὐτῶν ἔχοντα κινήσεως ἀρχὴν καὶ ἠρεμίας· ὁ δὲ
πέλεκυς τὴν καθὸ πέλεκύς ἐστι κίνησιν οὐκ ἔχει οἴκοθεν. ἀλλ' ἔξωθεν ἐκ
15 τοῦ χρωμένου. καὶ τὰ τεχνητὰ δὲ πάντα ἔχει ἀρχὴν κινήσεως καὶ ἠρεμίας 35
οὐκ ἐν ἑαυτοῖς, ἀλλ' ἔξωθεν ἐν τοῖς δημιουργήσασιν ἢ τοῖς κινοῦσιν.

p. 412b17 Θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν δεῖ τὸ λεχθέν.

Μετάγει τὸ παράδειγμα ἀπὸ τοῦ τεχνητοῦ ἐπὶ τὸ φυσικὸν καὶ ἔμψυχον·
μέρη γάρ φησι τῶν ἐμψύχων. εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, τουτέστιν
20 αὐτὸς καθ' αὑτὸν δίχα τῆς τοῦ σώματος ὁλότητος. σημειωτέον δ' ὅτι
τὸν ὀφθαλμὸν πῇ μὲν λαμβάνει ἐπὶ τοῦ συναμφοτέρου, ὥσπερ ὧδέ τε
καὶ μετ' ὀλίγα, ἔνθα φησὶν 'ἀλλ' ὥσπερ ὀφθαλμὸς ἡ κόρη καὶ ἡ ὄψις',
κέχρηται δὲ τῷ τοῦ ὀφθαλμοῦ ὀνόματι καὶ ἐπὶ τοῦ σώματος μόνου τοῦ
ὑποκειμένου τῇ ὀπτικῇ δυνάμει· εὐθὺς οὖν φησιν ὁ δὲ ὀφθαλμὸς ὅλη 45
25 ὄψεως. ἐνταῦθα δὲ ὀφθαλμὸν λαμβάνων τὸ συναμφότερον δι' ὧν φησιν
εἰ γὰρ ἦν ὁ ὀφθαλμὸς ζῷον, φανερῶς δείκνυσιν ὅτι τὸ εἶδος τοῦ συν-
αμφοτέρου ἐστὶν εἶδος καὶ οὐ τοῦ σώματος. γίνεται μὲν γὰρ καὶ ἔστιν ἐν
τῷ σώματι, οὐ μὴν καὶ εἰδός ἐστι τοῦ σώματος, ἀλλὰ τοῦ συναμφοτέρου·
ᾧ γὰρ αἴτιόν ἐστι τοῦ εἶναι, τούτου καὶ εἰδός ἐστιν, ἔστι δὲ τῷ συναμ-
30 φοτέρῳ αἴτιον τὸ εἶδος. εἰπὼν γοῦν καὶ αὐτὸς τὸ συναμφότερον ὀφθαλμὸν
διὰ τοῦ εἰπεῖν εἰ γὰρ ἦν ζῷον ὁ ὀφθαλμός, ἐπήγαγε ψυχὴ ἂν αὐτοῦ 50
ἦν ἡ ὄψις, τοῦ ὀφθαλμοῦ δηλονότι, ὅπερ ἦν τὸ συναμφότερον. δεῖ δὲ
λαβεῖν τὸ ἐπὶ μέρους ἐφ' ὅλου τοῦ ζῴου. ἕκαστον γὰρ τῶν αἰσθη-
τηρίων χαρακτηρίζεται κατά τινα αἰσθητικὴν τῆς ψυχῆς δύναμιν, πλὴν
35 τῆς ἁφῆς· αὕτη γὰρ δι' ὅλου διήκει τοῦ σώματος. ὃν λόγον ἔχει ἑκάστη
αἴσθησις πρὸς τὸ ὑποκείμενον αὐτῇ αἰσθητήριον, οὕτω καὶ ἡ ὅλη ψυχὴ πρὸς
τὸ ὅλον αἰσθητικὸν σῶμα· εἶδος δὲ τὸ μέρος τοῦ μέρους· καὶ ἡ ὅλη ἄρα τοῦ

---

1 αὐτό, τὸ scripsi: τὸ αὐτὸ Dt 6 τὸ scripsi: τοῦ Dt 8. 9 ἐν τῇ Φυσικῇ] B 1 p. 192b21 10 ἢ κατὰ τόπον D 17 δεῖ t Arist.: om. D 19 ἦν t: εἴην D 26 ὁ om. D 32 δὲ Dt Arist. VX: δὴ Arist. plerique 33 ζῴου] ζῶντος σώματος Arist. 35 post ὃν fort. addendum οὖν 36 αὐτῆς t 37 τὸ μέρος om. t

ὅλου αἰσθητικοῦ σώματος εἶδος ἂν εἴη. τὸ δὲ | ᾗ τοιοῦτον ἀντὶ g 3
τοῦ ᾗ αἰσθητικόν· οὐ γὰρ καθὸ βαρὺ τὸ σῶμα ἢ λευκὸν ἤ τι τῶν
τοιούτων, εἰδοποιεῖται ὑπὸ τῆς ψυχῆς, ἀλλ' ᾗ αἰσθητικόν. τούτου δ'
ἐπιλαβόμενοι τοῦ ῥητοῦ οἱ πᾶσαν ψυχὴν ἀπαθανατίζειν βουλόμενοι. λέγω
5 δὴ τοῦ ὅτι δεῖ λαβεῖν τὸ ἐπὶ μέρους ἐφ' ὅλου τοῦ ζῴου, πειρῶνται καὶ τὸν
Ἀριστοτέλην τοῦτο δεικνύναι λέγοντα. εἰ γάρ, φασίν, ὡς ἔχει τὸ μέρος,
οὕτως ἔχει καὶ τὸ ὅλον, εἶπε δὲ ἐν τῷ πρώτῳ λόγῳ περὶ τῆς ὀπτικῆς 5
δυνάμεως δεικνὺς ὅτι οὐδὲν βλάπτεται τοῦ αἰσθητηρίου πεπονθότος ἅτε μὴ
ἐν αὐτῷ ἔχουσα τὸ εἶναι, ὅτι εἰ λάβοι ὁ πρεσβύτης ὄμμα τοιονδί, ὄψεται
10 ἂν ὥσπερ καὶ ὁ νέος, δῆλον, φασίν, ὅτι καὶ ἡ ὅλη ψυχὴ χωριστὴ ἔσται.
λέγω οὖν πρὸς τοῦτο ὅτι εἰ καὶ συγχωρήσομεν ταύτην χωριστὴν εἶναι τὴν
ψυχήν, λέγω δὴ τὴν αἰσθητικήν (καίτοι ποίου αἰσθητοῦ ἀντιλήψεται προ-
χωρισθεῖσα σώματος;) ἀλλ' οὐ καὶ τὴν φυτικήν· περὶ γὰρ αὐτῆς οὐδ' 10
ἔμφασιν οὐδαμοῦ δέδωκεν. ἔπειτα εἰ καὶ χωριστή ἐστιν ἡ ἄλογος, ἀλλ'
15 οὖν γε τούτου μόνου τοῦ σώματος, οὐχὶ δὲ καὶ τοῦ πνεύματος, ὡς ἐδείχθη
τε ἤδη ὑφ' ἡμῶν καὶ ἔτι ἐν τοῖς ἑξῆς δειχθήσεται.

p. 412b25 Ἔστι δὲ οὐ τὸ ἀποβεβληκὸς τὴν ψυχὴν τὸ δυνάμει ὂν ὥστε ζῆν, ἀλλὰ τὸ ἔχον.

Πῶς εἶπεν τὸ δυνάμει ζωὴν ἔχοντος, διὰ τούτων ἐξηγεῖται· ὡς γὰρ
20 ἤδη ἔχον τὴν ζωήν, καὶ οὔτε ὡς ἀποβεβληκὸς οὔτε ὡς δυνάμενον ἔχειν·
παρεθέμεθα δὲ ἀνωτέρω τὰς χρήσεις ἐκ τοῦ Περὶ ἑρμηνείας ὅτι οἶδεν καὶ
τοιοῦτο τοῦ δυνάμει σημαινόμενον τὸ ὡς ἤδη ἐνεργείᾳ ὄν. τὸ δὲ σπέρμα
καὶ ὁ καρπὸς τὸ δυνάμει τοιονδὶ σῶμα. καρπὸν λέγει τὸ τῶν δέν-
δρων καὶ φυτῶν σπέρμα, οἷον τῶν σύκων τὰς κεγχραμίδας· τὸ γὰρ λέπος 20
25 μετὰ τοῦ ἄλλου ἐδωδίμου ὑγροῦ περικάρπιόν φησιν. ὡς ἐν Μετεώροις. ὃ
δὲ λέγει τοῦτό ἐστιν, ὅτι τέλειον ἤδη καὶ ὀργανικὸν σῶμα τοῦτό ἐστι τὸ
δυνάμει ζωὴν ἔχον, τὸ δὲ σπέρμα οὐ δυνάμει ζωὴν ἔχον ἐστίν, ἀλλὰ
δυνάμενον ζωὴν ἔχειν, τουτέστι δυνάμει ὀργανικόν. ὥστε τὸ δυνάμει τὸ
ἐπὶ τοῦ σπέρματος τὸ κατὰ τὴν ἐπιτηδειότητά ἐστιν· ἔχει γὰρ ἐπιτηδειότητα
30 τοῦ δύνασθαι γενέσθαι ὀργανικόν τε καὶ ἔμψυχον· οὐ γὰρ ἔστιν ἤδη· τὸ
δ' ἤδη τελειωθὲν καὶ διωργανωμένον, οἷά ἐστι τὰ ἡμέτερα σώματα, ταῦτα 25
ἤδη δυνάμει ζωὴν ἔχει. εἰ δέ τις εἴποι ὅτι 'οὐκ ἐνεργείᾳ ἔχει τὴν
ζωήν;' φαμὲν πάλιν, ὅπερ σχεδὸν ἤδη εἶπον, ὅτι ὥσπερ ὁ ὀφθαλμὸς δυνά-
μει ἐστὶν ὁρατικὸς αὐτὸς καθ' ἑαυτόν, οὐχ ὁρᾷ δὲ ἄνευ τῆς τοῦ φωτὸς

---

10 φησίν t 11 συγχωρήσωμεν t 12 καίτοι scripsi: καὶ τὸ Dt 13 τοῦ σώματος t 15 δὲ om. t 20 δυνάμενον D: δύναμιν t 21 ἐκ τοῦ Περὶ ἑρμηνείας] 13 p. 23a7 22 τοῦ scripsi: τὸ Dt 24 καὶ τῶν φυτῶν t 25 ἐν Μετεώροις] Meteorol. Δ 3 p. 380a11 sqq. 26 λέγει τοιοῦτόν ἐστιν t 27. 28 ἀλλὰ δυνάμει ζωὴν ἔχον D 29 ἔχει γὰρ ἐπιτηδειότητα D: ἡ γὰρ ἐπιτηδειότης t 32 οὐκ] fort. πῶς οὐκ (cf. p. 209,20. 21) vel οὐκοῦν 34 αὐτὸς D: αὐτὰς t

ἐλλάμψεως (τοῦτο γὰρ αὐτῷ χαρίζεται τὸ ἐνεργείᾳ ὁρᾶν), καὶ εἴ τις g 3v
ἐνεργείᾳ ὁρῶντος τοῦ ὀφθαλμοῦ λέγοι τὸν ὀφθαλμὸν δυνάμει ὁρατικὸν εἶναι,
ἀληθεύει (αὐτὸς γὰρ κατὰ τὴν ἑαυτοῦ οὐσίαν μόνην τὴν εἰς τὸ ὁρᾶν ἔχει
ἐπιτηδειότητα, τῆς ἐνεργείας ἐξ ἑτέρου ⟨τοῦ⟩ φωτὸς παραγινομένης), οὕτω
5 καὶ ἐπὶ τοῦ ὅλου σώματός φαμεν καὶ τῆς ὅλης ψυχῆς, ὅτι αὐτὸ μὲν τὸ 30
σῶμα ὅσον ἐφ' ἑαυτῷ τὴν ἐπιτηδειότητα μόνην τῆς ζωῆς ἔχει, αὐτὴ μέντοι
ἡ κατ' ἐνέργειαν ζωὴ ἐκ τῆς ψυχῆς αὐτῷ παραγίνεται. καλῶς οὖν εἴρη-
ται τὸ δυνάμει ζωὴν ἔχοντος. ὡς μὲν οὖν ἡ τμῆσις καὶ ἡ ὅρασις,
οὕτω καὶ ἡ ἐγρήγορσις ἐντελέχεια. τὴν ἀναλογίαν δείκνυσι τῶν
10 εἰκόνων πρὸς τὸ πρωτότυπον· εἴπομεν δὲ ἤδη τὴν ἀναλογίαν. τμῆσιν δὲ
καὶ ὅρασιν τὴν δευτέραν λέγει ἐντελέχειαν τοῦ ὀφθαλμοῦ καὶ τοῦ πελέ-
κεως, ἥτις ἦν ὡς τὸ θεωρεῖν, ὄψιν δὲ καὶ τὴν δύναμιν τοῦ ὀργάνου τὴν 35
τμητικὴν τὴν πρώτην, ἥτις ἦν ὡς ἡ ἐπιστήμη, καθ' ἣν καὶ τὴν ψυχὴν
ἐχαρακτήρισεν. τὸ δὲ σῶμα τὸ δυνάμει ὄν, τουτέστι τὸ σῶμά ἐστι
15 τὸ δυνάμενον ταύτας τὰς ἐνεργείας δέξασθαι, ὥσπερ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ
ὑποκείμενον ἡ κόρη. τὸ δὲ συναμφότερον ἐπὶ μὲν τοῦ ὅλου τὸ ζῷον ἐκ
ψυχῆς ὂν καὶ σώματος, ἐπὶ δὲ τοῦ μέρους ὁ ὀφθαλμὸς ἐκ τῆς κόρης ὢν
καὶ τῆς ὄψεως· κόρην δὲ τὸν ὅλον ὀφθαλμόν φησι, χιτῶνας μετὰ τῶν ὑγρῶν.

p. 413a4 Ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ χωριστὴ τοῦ σώματος,
20 ἢ μέρη τινὰ αὐτῆς, εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον. 40

Ἀποδοὺς τὸν τῆς ψυχῆς ὁρισμὸν ὡς συμπέρασμά τι τῷ ὁρισμῷ ἐξ
ἀνάγκης ἑπόμενον συνάγει τὸ ἀχώριστον εἶναι τοῦ σώματος τὴν ψυχήν.
εἰ γὰρ εἶδος καὶ τελειότης ἐστὶ τοῦ ἐμψύχου σώματος ἡ ψυχή, τὴν δέ
τινος τελειότητα χωρὶς ἐκείνου εἶναι ἀδύνατον, δῆλον ἄρα ὅτι καὶ ἡ ψυχὴ
25 τοῦ σώματός ἐστιν ἀχώριστος. ταῦτα γὰρ τῶν πρός τι, τὸ εἶδος καὶ ἡ 45
τελειότης (τὸ γὰρ εἶδος ὕλης ἐστὶν εἶδος καὶ τελειότης), τὰ δὲ πρός τι
ἅμα ἢ εἰσὶν ἢ οὔκ εἰσιν. ὅσον μὲν οὖν ἐπὶ τῷ ἀποδεδομένῳ ὅρῳ τῆς ψυχῆς,
πᾶσα ἂν εἴη ἀχώριστος τοῦ σώματος, οὗπέρ ἐστιν ἐντελέχεια, εἴ γε πάσῃ
ἐφαρμόζει ὁ ὁρισμός. εἰ δὲ καὶ μὴ [καὶ] πᾶσα εἴη ἀχώριστος, ἀλλ' οὖν ἔνια
30 μέρη τῆς ψυχῆς ἐναργῶς ἀχώριστά εἰσι σώματος, οἷς ἐφαρμόζει ὁ ὁρισμός.
διότι τῶν μερῶν τοῦ ἐμψύχου ἐντελέχειαί εἰσιν. ἡ γὰρ θρεπτικὴ δύναμις
αὐτοῦ τοῦ τρεφομένου σώματός ἐστι τελειότης, ὁμοίως καὶ ἡ αὐξητικὴ
καὶ ἡ γεννητική, ἔτι μέντοι καὶ τὸ ὀρεκτικὸν αὐτῆς εἰδοποιεῖ τὸ μόριον 50
ἐν ᾧ ἐστιν. εἰ τοίνυν σωμάτων εἰσὶν αὗται τελειότητες καὶ περὶ σώματα,
35 ἀδύνατον ταῦτα ⟨τὰ⟩ μόρια τῆς ψυχῆς χωριστὰ εἶναι σώματος· τίνος γὰρ
ἔσονται τελειότητες, ἢ περί τί ἐνεργήσουσι χωρισθεῖσαι σωμάτων; τί γὰρ ἡ
θρέψις θρέψει ἢ ἡ αὔξησις αὐξήσει χωρισθεῖσαι σωμάτων; ἀλλ' εἰ καὶ
ταῦτα, φησί, τὰ μόρια τῆς ψυχῆς ἀχώριστα εἶναι ἀνάγκη τοῦ σώματος,

---

4 τοῦ addidi παραγενομένης t 13 ἡ om. t 18 τῆς ὄψεως—χωριστὴ (19) iterat D 21 συμπέρασμά t: πέρασμά D 26 καὶ ἡ τελειότης D 29 alterum καὶ del. Diels 31 ἐντελεχεία D 33 εἰδοποιεῖται μόριον t

ἔνιά γε οὐδὲν κωλύει εἶναι χωριστὰ διὰ τὸ μηδενὸς εἶναι σώματος g 3r
ἐντελεχείας. ἐναργῶς ἄρα οὐ βούλεται ἐντελέχειαν εἶναι τοῦ σώματος
τὴν | λογικὴν ψυχήν, καὶ διὰ τοῦτο χωριστὴν εἶναι τοῦ σώματος ἀποφαί- g 4r
νεται. εἶτα ἐπειδὴ διὰ τούτων ἐδόκει μερικὸν ποιεῖν τὸν ἀποδεδομένον
5 τῆς ψυχῆς ὁρισμόν, διὰ τοῦ εἰπεῖν ὅτι τινὰ μόρια τῆς ψυχῆς χωριστά ἐστι
τοῦ σώματος διὰ τὸ μηδενὸς εἶναι σώματος ἐντελεχείας, καίτοι εἰπὼν 'εἰ
δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς,' θεραπεύων τοῦτο καὶ δεικνὺς ὅτι καὶ οὕτως
οὐδὲν ἔλαττον δύναται κοινὸς εἶναι πάσης ψυχῆς καὶ τῆς λογικῆς αὐτῆς ὁ 5
ἀποδεδομένος ὁρισμός, προσέθηκεν·

10 p. 413a8 Ἔτι δὲ ἄδηλον, εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ ὥσπερ πλωτὴρ πλοίου.

Τί γάρ, φησί, φοβούμεθα καὶ ἐπὶ πάσης ψυχῆς ἐκτείνειν τὸν λόγον, λέγοντες ὡς ἔνια τῆς ψυχῆς μόρια διὰ τὸ χωριστὰ εἶναι οὐδενός εἰσι σώματος ἐντελέχεια, ὡς διὰ τοῦτο μὴ ἁρμόζειν ἐπὶ πάσης ψυχικῆς δυνάμεως
15 τὸν ὁρισμόν; οὔπω γὰρ ἐκ τῶν εἰρημένων δῆλον ἡμῖν ἔσται. πῶς εἴπομεν 10
τὴν ψυχὴν ἐντελέχειαν εἶναι, πότερον ὡς ἀχώριστον, ὥσπερ ἔχει τὸ τοῦ πελέκεως εἶδος πρὸς τὸν πέλεκυν, ἢ ὡς χωριστήν, [ἢ] ὥσπερ ἔχει ὁ κυβερνήτης πρὸς τὴν ναῦν· τελειοῖ γὰρ τὸ εἶδος τοῦ πλοίου ὁ κυβερνήτης χωριστὸς ὤν. εἰ τοίνυν ἐνδέχεται κατά τι μὲν ἐντελέχειαν
20 εἶναι, κατά τι δὲ τὸ αὐτὸ χωριστὸν ὡς μὴ ὂν κατ' ἐκεῖνο ἐντελέχειαν, ἐπὶ πάσης ἄρα ψυχικῆς δυνάμεως δυνατὸν ἁρμόζειν τὸν ὁρισμόν. ὥστε καὶ ὅτε ἐλέγομέν τινα μέρη τῆς ψυχῆς ἀχώριστα εἶναι διὰ τὸ τῶν μερῶν 15
αὐτῶν εἶναι ἐντελεχείας, ὡς ἀχωρίστου οὔσης τῆς ἐντελεχείας οὕτως ἐλέγομεν (τίνος γὰρ ἔσται τελειότης ἡ θρεπτικὴ δύναμις χωρισθεῖσα σώματος;)
25 καὶ πάλιν ἡνίκα ἔλεγον ὅτι ἔνιά γε τῆς ψυχῆς μόρια οὐδὲν κωλύει χωριστὰ εἶναι διὰ τὸ μηδενὸς εἶναι σώματος ἐντελεχείας, οὕτως ἔλεγον μὴ εἶναι ἐντελεχείας ὡς μὴ ἐν τῷ σώματι τῆς οὐσίας αὐτῶν ἐχούσης τὸ εἶναι, ἐπεί εἰσι καὶ αὐτὰ ἐντελέχεια τοῦ ζῴου, ὡς ὁ κυβερνήτης τοῦ πλοίου. δύναται γὰρ καὶ κατά τινα τρόπον, ὡς ἤδη εἶπον, λέγεσθαι καὶ ἡ λογικὴ ψυχὴ 20
30 ἀχώριστος εἶναι τοῦ σώματος, καθό ἐστιν ἐντελέχεια. τὰς γὰρ ἐνεργείας, καθ' ἃς τελειοῖ τὸ ζῷον κινοῦσα αὐτὸ τοιῶσδε ἢ τοιῶσδε ἀχωρίστους ἔχει τοῦ σώματος· ἐξελθοῦσα γὰρ αὐτοῦ οὐκέτι ταύτας ἐνεργήσει· ἴσχει γὰρ αὐτὰς ἐκ τῆς σχέσεως τῆς πρὸς τὸ σῶμα. ὥστε ταύτῃ καθὸ ἐντελέχειά ἐστι, λέγω δὴ κατὰ τάσδε τὰς ἐνεργείας, ἀχώριστος ἂν εἴη τοῦ σώματος, ὥσπερ
35 καὶ τοῦ κυβερνήτου αἱ ὡς κυβερνήτου ἐνέργειαι τοῦ πλοίου εἰσὶν ἀχώριστοι. καὶ χωρίζεται μὲν ὡς ἄνθρωπος, ὡς μέντοι κυβερνήτης ὢν ἐνεργείᾳ ἅμα 25
τε κεχώρισται τῆς νεὼς καὶ ἐφθαρμένας ἔχει τὰς τοιαύτας ἐνεργείας.

---

11 ὥσπερ t Arist.: ὡς D 12 ἐκτείναν t 13 χωριστὰ scripsi: ἀχώριστα Dt
17 ἢ alterum del. Diels 20 τὸ αὐτὸ scripsi: αὐτὸ τὸ Dt ἐντελέχειαν scripsi: ἐντελέχεια Dt 31 τοιῶς ἢ τοιῶς libri 32 αὐτὰς A: αὐτὰ Dt 35 αἱ ὡς A ἕως Dt κυβερνήτου AD: κυβερνᾷ t

οὕτως οὖν καὶ ἡ λογικὴ ψυχὴ ὡς μὲν χωριστὴν ἔχουσα οὐσίαν οὐκ ἔστιν g 4r
ἐντελέχεια σώματος, ὡς μέντοι τοιάνδε σχέσιν ἀναλαμβάνουσα πρὸς τὸ
σῶμα, καθὸ καὶ τὸ ψυχὴ λέγεσθαι ἔχει (ἡ γὰρ ψυχὴ πρὸς τὸ σῶμα λέ-
γεται) ἐντελέχειά τ' ἐστὶ τοῦ σώματος καὶ ἀχώριστος αὐτοῦ· χωρισθεῖσα
5 γὰρ αὐτοῦ ἀπόλλυσι ταύτας τὰς ἐνεργείας, ἃς ἐκ τῆς πρὸς αὐτὸ σχέσεως
ἀνειλήφει, οἷον τὸ ζῳοποιεῖν, τὸ κινεῖν αὐτὸ πάσας τὰς φυσικὰς κινήσεις,
καὶ εἴ τι τοιοῦτον ἄλλο. τί γὰρ φυσικῶς κινήσει ἢ ζῳοποιήσει παντὸς 30
οὖσα ἔξω σώματος; τὸ δὲ εἰ μεριστὴ πέφυκεν οὐ σωματικῶς ἀκουστέον
μεριστὴν οὐδὲ κατὰ τόπον, ἀλλὰ κατ' οὐσίαν, τουτέστιν εἰ διῄρηται τῇ
10 οὐσίᾳ καὶ ἄλλη τῆς ψυχῆς δύναμις ἄλλης ἐστὶν οὐσίας, καὶ μὴ ὁμοούσια
πάντα τῆς ψυχῆς μόρια. ἐνίων γὰρ ἡ ἐντελέχεια τῶν μερῶν αὐτῶν.
διὰ τούτων δοκεῖ κατὰ μόρια τοῦ σώματος διαιρεῖν τὴν ψυχήν· ἐνίων γάρ,
φησί, μερῶν τοῦ σώματος ἐντελέχειά ἐστι τὰ μόρια τῆς ψυχῆς, ὥστε
ἀχώριστα αὐτῶν εἶναι, οἷον ὀφθαλμῶν μὲν ὄψις, ὀσφρήσεως δὲ ὄσφρησις, 35
15 καὶ ἐπὶ τῶν ἄλλων ἄλλη τις. ἡ δὲ λέξις ἐνίων γὰρ τῆς ψυχῆς μορίων
ἡ ἐντελέχεια, τουτέστιν ἔνια τῆς ψυχῆς μέρη, ὧν ἕκαστον ἐντελέχειαν
εἶναι ὡρισάμεθα, αὐτῶν τῶν μερῶν τοῦ σώματός εἰσιν ἐντελέχειαι, τού-
τέστιν εἴδη τελειωτικά ἐστι τῶν τοῦ σώματος μερῶν, ὡς ἀχώριστα αὐτῶν
δηλονότι διὰ τοῦτο εἶναι. τί οὖν ἐνεκάλει τῷ Τιμαίῳ κατὰ μόρια διαι-
20 ροῦντι; εἴρηται δὲ περὶ τούτων ἔμπροσθεν. ὁ δὲ Ἀλέξανδρος ἐνταῦθα
φανερῶς τοῦ Ἀριστοτέλους εἰπόντος ὅτι ἔνιά γε οὐδὲν κωλύει χωριστὰ 40
εἶναι διὰ τὸ μηδενὸς εἶναι σώματος ἐντελεχείας, τὸ μὲν πρῶτόν φησιν
ὅτι ὁ Ἀριστοτέλης δοκεῖ ἐνδοιάζειν, εἰ ἀχώριστος πᾶσα ἡ ψυχή, καίτοι
ἀποφηναμένου αὐτὸ τοῦτο διὰ τὸ μηδέπω ἀποδεδειχέναι ὅτι ἀχώριστός
25 ἐστι· προϊὼν δὲ καὶ ὑπὸ τῆς λέξεως βιαζόμενός φησιν ὅτι ἔοικε δὲ περὶ
τοῦ νοῦ λέγειν ὅτι ἔστι χωριστός. τὸ δὲ οὐδὲν κωλύει οὐκ ἔστιν
ἐνδοιάζοντος· ἀλλ' ἐπεὶ ἀπεφήνατο πᾶσαν ψυχὴν ἐντελέχειαν εἶναι, διὰ
τοῦτό φησιν ὅτι καὶ οὕτως οὐδὲν κωλύει τινὰ μόρια τῆς ψυχῆς εἶναι 45
χωριστά (δύνανται γὰρ εἶναι ἐντελέχειαι ὡς ὁ κυβερνήτης τοῦ πλοίου),
30 ἢ καὶ ἄλλως διὰ τὸ μηδέπω αὐτὸ τοῦτο ἀποδεῖξαι· οὐδὲν γὰρ οὔπω περὶ
τῶν λογικῶν δυνάμεων διελέχθη.

p. 413a11 Ἐπεὶ δ' ἐκ τῶν ἀσαφῶν μὲν φανερωτέρων δὲ γίγνεται
τὸ σαφὲς καὶ κατὰ τὸν λόγον γνωριμώτερον.

Ἀποδοὺς κοινῶς τί ποτέ ἐστιν ἡ ψυχὴ, ὅτι ἐντελέχεια σώματος
35 φυσικοῦ ὀργανικοῦ, διὰ τούτων λοιπὸν διδάξαι βούλεται, διὰ τί εἴρηται καὶ 50
πῶς ἔστιν ἐντελέχεια ἡ ψυχή, πῶς μὲν ἡ φυτική, πῶς δ' ἡ αἴσθησις
καὶ ἑκάστη τῶν ἄλλων· προηγεῖσθαι γὰρ δεῖ ἐπὶ πάσης διδασκαλίας τοῦ

---

3 τὸ (ante σῶμα) om. D 5 ἀπόλλυσι A: ἀπολύει Dt 6 κινεῖν AD: κοινωνεῖν t
9. 10 τῇ οὐσίᾳ D: ἡ οὐσία t 10 ἄλλης scripsi: ἄλλως Dt 19 τῷ Τιμαίῳ] Plat. Tim. p. 69 D sqq. 22 ἐντελεχείας Aristoteles: ἐντελέχεια Dt 24 ἀποφηναμένου t: ἀποφηναμένους D fort. ὅτι ⟨οὐ πᾶσα⟩ ἀχώριστος 29 ἐντελέχεια D 34 ἡ om. t

διότι τὸ ὅτι. τεσσάρων γὰρ ὄντων προβλημάτων, τοῦ εἰ ἔστι, καὶ τί ἐστι, g 4r
καὶ ὁποῖόν τί ἐστι, καὶ διὰ τί ἐστι, πρωτίστην ἔχει τάξιν τὸ εἰ ἔστιν· εἰκότως
οὖν, ἐπειδὴ ζητεῖται εἰ ἔστι κοινός τις ὁρισμός, * * μᾶλλον δὲ ἀνάλογον ὁρι-
σμῷ ἀποδοὺς τὸν εἰρημένον λόγον, ὥστε ἐν ταὐτῷ καὶ τὸ τί ἐστιν ἔχομεν,
5 λοιπὸν οὖν τὰ λοιπὰ β̄ ζητεῖ | προβλήματα, πῶς ἑκάστη τῶν ψυχικῶν δυνά- g 4v
μεων λέγεται ἐντελέχεια καὶ διὰ τί. ἐπειδὴ δὲ λέγει ἐκ τῶν ἀσαφῶν μὲν
ἡμῖν δὲ φανερωτέρων τὸ κατὰ λόγον σαφὲς καὶ γνώριμον γίνεσθαι, τίνα δ'
ἔστι τὰ ἡμῖν φανερώτερα οὐ προσέθηκε, τοῦτο αὐτὸ πρῶτον ζητῆσαι ἀναγ-
καῖον· πολλὴ γὰρ περὶ τούτου τοῖς ἐξηγηταῖς γέγονεν ἀμφιβολία, ἄλλου
10 ἄλλο φανερὸν οἰομένου λέγειν αὐτόν. φαμὲν οὖν ἡμεῖς ὅτι κατὰ τρεῖς 5
τρόπους τὸ σαφέστερον ἡμῖν θεωρεῖται. καὶ γὰρ τὸ ὅτι τοῦ διότι σαφέστερον
ἡμῖν καὶ πρῶτον εἰς γνῶσιν· καὶ γὰρ ὅτι ἔχομεν ψυχὴν καὶ ὅτι ἀθάνατος
αὕτη, προχειρότερον τοῖς πολλοῖς εἰς νόησιν ἢ τὸ παρακολουθῆσαι καὶ ἐπι-
βαλεῖν τῷ λόγῳ τῷ ταῦτα κατασκευάζοντι. δεύτερον, ὡς ἐν τῇ Φυσικῇ εἴρηται.
15 τὸ καθόλου καὶ συγκεχυμένον σαφέστερον ἡμῖν ἐστι τοῦ μερικοῦ ἢ καὶ διηρθρω-
μένου μᾶλλον, οἷον τὸ εἰδέναι ἁπλῶς ὅτι σῶμα τοῦ ὅτι τοιόνδε σῶμα, οἷον
οὐράνιον καὶ γήινον ἢ τοιῶσδε ἢ τοιῶσδε κεκραμένον. τρίτον σαφέστερον ἡμῖν 10
ἐστι τὸ ὡς πρὸς ἡμᾶς μὲν πρῶτον, ὕστερον δὲ τῇ φύσει· τῶν γὰρ ἁπλου-
στέρων, ἅπερ ἐστὶ τῇ φύσει πρῶτα, τὰ συνθετώτερα ἡμῖν γνωριμώτερα.
20 τοῦ οὖν ἡμῖν σαφεστέρου καὶ φανερωτέρου τριχῶς ὑπάρχοντος, πᾶσι τοῖς
τρόποις τούτοις εὑρήσομεν ἐνταῦθα κεχρημένον τὸν Ἀριστοτέλη. καὶ γὰρ τὸ
ὅτι πρὸ τοῦ διότι ἐδίδαξεν· ὅτι μὲν γὰρ ἐντελέχεια σώματος φυσικοῦ
ὀργανικοῦ, ἐδίδαξεν, καὶ ὅτι τὴν ἐντελέχειαν ἐνδέχεται καὶ ὡς χωριστὴν
εἶναι καὶ ὡς ἀχώριστον, διδάξει δὲ προϊὼν καὶ πῶς ἐστιν ἐντελέχεια, τί 15
25 ποιοῦσα καὶ πῶς τελειοῦσα τὸ σῶμα. οὐχ ὥσπερ δὲ ἑνὶ λόγῳ τὸ ὅτι
τῆς ψυχῆς ἐδίδαξεν, οὕτω καὶ τὸ ὅπως ἐντελέχειά ἐστιν ἑνὶ λόγῳ
διδάξει· ἐντελέχεια μὲν γὰρ πᾶσα, οὐχ ὡσαύτως δὲ ἀλλὰ ἄλλως μὲν ἡ
φυτική, ἄλλως δὲ ἡ αἰσθητική, ἄλλως δὲ ἡ λογική, καὶ τὰ μόρια τούτων
ἑκάστης ἄλλο ἄλλως. ἀλλὰ καὶ ἐκ τῶν συγκεχυμένων ἀρξάμενος καὶ κοινο-
30 τέρων πρόεισιν ἐπὶ τὰ τρανέστερα καὶ ἰδικώτερα. πρῶτον γὰρ συγκεχυ-
μένως παραδοὺς ἡμῖν τὴν ἔννοιαν τῆς ψυχῆς διὰ τοῦ ἀποδεδομένου λόγου, 20
ἐφεξῆς περὶ ἑκάστου μορίου τῆς ψυχῆς διαρθρώσει, πῶς καὶ τίνος ἕκαστόν
ἐστιν ἐντελέχεια. καὶ τρίτον ἐκ τῶν ἐσχάτων τῇ φύσει καὶ ἡμῖν γνωριμω-
τέρων ἀρξάμενος προελεύσεται ἐπὶ τὰ τῇ φύσει πρῶτα καὶ τιμιώτερα,
35 ὅνπερ μάλιστα τρόπον καί φησιν ἐν τούτοις μετέρχεσθαι. ἔστι μὲν γὰρ
τὸ τῇ φύσει πρῶτον καὶ ὕστερον καὶ ἐν τῷ ὅτι καὶ διότι, ἀνάπαλιν
ἐφ' ἡμῶν τε ἔχον καὶ ἐπὶ τῆς φύσεως. πρῶτον γὰρ τῇ φύσει τὸ διότι

---

2 πρώτην t 3 lacunam indicavi: addendum τὸν ὁρισμόν 6 post ἀσαφῶν add. ἡ D 10 αὐτὸν t: αὐτῶν D 11 θεωρεῖται—ἡμῖν (12) iterat D 13 ἢ τῷ D 14 ἐν τῇ Φυσικῇ] A 1 p. 184a21 15. 16 διηρημένου A 17 τοιῶσδε ἢ τοιῶσδε A: τοιῶς utrobique Dt 21 τρόποις scripsi: πρώτοις Dt 23 ὀργάνου D 25 τὸ ὅτι scripsi: τῷ ὅτι Dt 27 διδάξῃ D 30 πρῶτον scripsi: πρῶτος Dt 35 καί φησιν] fort. addendum δεῖν 37 ὑφ' ἡμῶν t

τοῦ ὅτι· ὧν γὰρ ποιεῖ πάντων ἡ φύσις τοὺς λόγους ἐν ἑαυτῇ προαποκει- g 4v
μένους ἔχει· οὐδὲν γὰρ οὔτε μάτην οὔτε ἐκ ταὐτομάτου ποιεῖ, ἀλλὰ πρός
τινα σκοπὸν ἕκαστον τῶν ἔργων αὐτῆς ἀπευθύνει. εἰ τοίνυν τῶν γινομένων
ὑφ' αὑτῆς ἔχουσα τοὺς λόγους ἐν ἑαυτῇ προϋπάρχοντας οὕτω ποιεῖ τὰ
5 φυσικὰ πράγματα, σαφὲς ὡς τὸ διότι πρότερον παρὰ τῇ φύσει τοῦ ὅτι.
τοῦτο δ', ὡς εἶπον, τὸ ὅτι καὶ συγκεχυμένον ἐστί· διὰ τοῦ μαθεῖν γὰρ ὅτι
ἔστιν ἡ ψυχὴ ἐντελέχεια οὐδὲν τρανὲς οὐδὲ διηρθρωμένον ἠκούσαμεν· οὔτε
γὰρ ὡσαύτως πᾶσα ψυχὴ ἐντελέχεια· ἀλλ' οὐδὲ ὅπως αὐτὸ τοῦτό ἐστιν
ἐντελέχεια, τί που ποιοῦσα καὶ πῶς τελειοῦσα, ἐγνωσμένον. ὥστε ἐν τῷ
10 ὅτι καὶ διότι καὶ οἱ λοιποὶ δύο τρόποι τῆς διδασκαλίας συνῆλθον. διὰ τοῦτο
οὖν ἐκ τοῦ ὅτι τὴν ἀρχὴν τῆς διδασκαλίας ἐποιήσατο, διότι ἡ ἡμετέρα
φύσις ἔκ τε τῶν ἀτελῶν ἐπὶ τὰ τέλεια πρόεισι, καὶ ἐκ τῶν φανερῶν ἐπὶ
τὰ ἀφανῆ· τελειότερον δὲ τοῦ ὅτι τὸ διότι, καὶ φανερώτερα ἡμῖν τὰ τῇ
φύσει ὕστερα καὶ συγκεχυμένα. ὥσπερ γὰρ οὐδ' ἀποδεικτικὸν συλλογισμὸν
15 εἰδέναι δυνατὸν τὸν μὴ ἁπλῶς τί ἐστι συλλογισμὸς εἰδότα, οὐδὲ τὸν ὀξύ-
ρυγχον τύπον γράφειν τὸν μὴ ἁπλῶς εἰδότα γράφειν (συγκεχυμένον δὲ
τοῦτο, ὁ ἁπλῶς συλλογισμός· πλείονες γὰρ τούτου διαφοραί· ὁμοίως δὲ καὶ
τὸ ἁπλῶς γράφειν, διηρθρωμένον δὲ τῶν εἰδῶν ἕκαστον), οὕτως οὖν τὸν
μὴ ἁπλῶς τί ἐστι σῶμα εἰδότα ἀδύνατον εἰδέναι τί ἐστι πυρὸς σῶμα ἢ
20 ἀέρος ἢ οὐρανοῦ, καὶ τὸν μὴ ἁπλῶς εἰδότα τί ἐστι ψυχὴ ἀδύνατον εἰδέναι
τί ἐστι λογικὴ ἢ ἄλογος ἢ φυτική· συγκεχυμένον δὲ τὸ ἁπλῶς σῶμα καὶ
ἁπλῶς ψυχή, διηρθρωμένα δὲ τῶν εἰδῶν ἕκαστον. ἀλλὰ καὶ ἐκ τῶν ἀτελῶν
ἀρξάμενοι, οἷον τῶν ἐν γενέσει, πρόιμεν ἐπὶ τὴν τῶν οὐρανίων γνῶσιν καὶ
τὴν ἐν αὐτοῖς τάξιν, κἀκεῖθεν ἐπὶ τὸν ταῦτα τάξαντα. περιέχονται μὲν
25 οὖν, ὅπερ εἶπον, οἱ τρεῖς τῆς διδασκαλίας τρόποι ἐν τῇ ἀπὸ τοῦ ὅτι ἐπὶ
τὸ διότι προόδῳ. ὁμοίως καὶ ἐν τῇ προχειρίσει τῶν δυνάμεων τῶν ψυχικῶν
τῇ αὐτῇ τάξει χρῆται ἀπὸ τῶν ἀτελεστέρων ἀρχόμενος καὶ ἐσχάτων καὶ
προϊὼν ἐπὶ τὰ πρῶτα καὶ τελειότερα. πρότερον γὰρ διαλέγεται περὶ τῆς
φυτικῆς, εἶτα περὶ αἰσθητικῆς, καὶ τρίτον περὶ τῆς φανταστικῆς· ἐπὶ τού-
30 τοις προϊὼν ἐπὶ τὰς λογικὰς τῆς ψυχῆς δυνάμεις ἄρχεται πάλιν ἀπὸ τῶν
ὑστέρων τε καὶ ἀτελεστέρων, πρότερον περὶ τῆς δοξαστικῆς δυνάμεως
διαλεγόμενος, εἶτα περὶ τῆς διανοητικῆς, καὶ τελευταῖον περὶ τοῦ νοῦ. εἰ
γὰρ καὶ ὡς πρὸς τὸ ζῷον προτέρα τῇ φύσει ἐστὶν ἡ φυτική (συναναιρεῖ
γὰρ τὰς ἄλλας καὶ οὐ συναναιρεῖται), δευτέρα δὲ καὶ ἡ αἰσθητικὴ καὶ αἱ
35 λοιπαὶ ἐφεξῆς, ὡς ἀπηριθμησάμεθα, ἀλλ' οὖν ὡς πρὸς τὸ πᾶν ἔμπαλιν
ἔχουσι· πρότερα γὰρ τῇ φύσει ἐν τῷ παντὶ τὰ τελειότερά τε καὶ τιμιώ-
τερα, ὕστερα δὲ καὶ τὰ ἀτελέστερα· συνεκτικὰ γὰρ τῶν ἀτελεστέρων τὰ

---

1 ἐν ἑαυτῷ t 6 τὸ ὅτι scripsi: τὸ διότι Dt post τὸ ὅτι fort. addendum μᾶλλον καθόλου 9 ἐγνωσμένον. ὥστε scripsi: ἐγνωσμένως τε D: ἐγνωσμένως t: ceterum ante ὥστε aliquid intercidisse videtur 13 δὲ om. t 15 τί ἐστι—τὸν μὴ ἁπλῶς (16) iterat D 16 εἰδότα om. D 25 τῆς om. t 26 ὁμοίως scripsi: ὅμως Dt προχειρίσει scripsi: προχειρήσει t: προχειρήση D 26 τῶν ψυχικῶν δυνάμεων t 34 καὶ (ante οὐ) om. t 36 τὰ om. t 37 τὰ (post καὶ) om. t

τελειότερα καὶ πρακτικά. οὐκοῦν ὡς πρὸς τὸ πᾶν πρότερον τῇ φύσει ὁ g 4v
νοῦς καὶ ἐφεξῆς τὰ λοιπά, κατὰ τὴν αὐτὴν τάξιν ἀνάπαλιν ὁδευόντων·
ὡς μέντοι ἐν τῷ ζῴῳ καὶ ὡς πρὸς τὴν ἡμετέραν γνῶσιν πρῶτον ἡ φυτική·
διόπερ ἀπὸ ταύτης ἤρξατο ἐν τῇ διδασκαλίᾳ. ἐπὶ μὲν οὖν τῶν ψυχικῶν
5 δυνάμεων ταύτῃ τῇ τάξει τῆς διδασκαλίας ἐχρήσατο. ἑκάστῳ δὲ μορίῳ
τῶν τῆς ψυχῆς δυνάμεων ἐπεξιών, τῆς τε φυτικῆς λέγω καὶ αἰσθητικῆς,
οὐκέτι τῷ αὐτῷ κέχρηται τρόπῳ τῆς διδασκαλίας· οὐ | γὰρ ἐκ τῶν g 5r
ἐσχάτων ἤρξατο, ἀλλ' ἐκ τῶν πρώτων καὶ τιμιωτέρων. περὶ γὰρ τῆς
φυτικῆς διαλεγόμενος πρότερον διείλεκται περὶ τῆς γεννητικῆς δυνάμεως,
10 εἶτα περὶ τῆς αὐξητικῆς, καὶ τρίτον περὶ τῆς θρεπτικῆς· καίτοι κρείττων
μὲν πασῶν καὶ τιμιωτέρα ἡ γεννητική, καὶ ἡ αὐξητικὴ δὲ τῆς θρεπτικῆς
κρείττων. τῆς μὲν γὰρ θρεπτικῆς ἔργον ἐστὶ τὸ σώζειν τὸ εἶδος (μέχρι
γὰρ τοσούτου σωζόμεθα, ἕως ἂν τρεφώμεθα), τῆς δὲ αὐξητικῆς τὸ εἰς τὸ 5
τέλειον καὶ κατὰ φύσιν μέτρον ἀγαγεῖν, εἰς ὃ γενόμενα τά τε ζῷα καὶ φυτὰ
15 ἐπὶ τὸ σκοπιμώτατον τῆς φύσεως τέλος παραγίνεται τὴν γεννητικὴν δύναμιν·
οὗτος γὰρ τῆς φύσεως ὁ τελικώτατος σκοπὸς διὰ τὴν ἔφεσιν τῆς ἀιδιότητος, τῆς
ἀθανασίας τοῖς θνητοῖς ζῴοις ἐπισκευαστῆς γινομένης τῇ διαδοχῇ, ὡς αὐτὸς
ἐν ἑτέροις εἶπεν. ὥστε ἡ μὲν αὐξητικὴ ὅλης ἐπέχει λόγον πρὸς τὴν γεννη-
τικήν, πρὸς δὲ τὴν αὐξητικὴν ἡ θρεπτική. ἐπί τε οὖν τῶν μορίων τῆς φυτικῆς
20 ψυχῆς ἐκ τῶν τελειοτέρων ἤρξατο, καὶ ἔτι ἐπὶ τῶν μορίων τῆς αἰσθητικῆς. 10
πρῶτον γὰρ ἐρεῖ περὶ ὄψεως, καὶ δεύτερον περὶ ἀκοῆς, τρίτον περὶ
ὀσφρήσεως, καὶ τέταρτον περὶ γεύσεως, καὶ ἔσχατον περὶ ἁφῆς· τιμιωτέρα
δὲ πασῶν ἡ ὄψις, καὶ αἱ ἐφεξῆς τῶν μετὰ ταύτας κατὰ τὴν αὐτὴν τάξιν.
πρῶτον μὲν ὅτι καὶ γεῦσις καὶ ἁφὴ καὶ ὄσφρησις πρὸς τὸ εἶναι συμβάλλον-
25 ται, ἀκοὴ δὲ καὶ ὄψις πρὸς τὸ εὖ εἶναι, δι' ὧν τὸ φιλοσοφίας ἐπορισά-
μεθα γένος, ὥς φησιν ὁ Πλάτων· διόπερ καὶ ὁ ποιητὴς τῷ Ἡλίῳ ταύτας
μόνας ἀνέθηκεν [Ἥλιος] καὶ τούτων προέταξε τὴν ὄψιν. καὶ ἡ μὲν 15
ὄψις καὶ τῶν πορρωτάτων ἀντιλαμβάνεται καὶ τὴν ἐνέργειαν ἄχρονον ἔχει,
ἡ ἀκοὴ δὲ καὶ αὐτὴ μὲν τῶν πόρρω, οὐχ οὕτω δέ, ἔτι δὲ τῶν ἐγγυτέρων
30 ἡ ὄσφρησις, γεῦσις δὲ καὶ ἁφὴ αὐτῶν ἁπτομένη τῶν αἰσθητῶν. ἔνθεν
ὅσα μέν τινα τῶν τιμιωτέρων ἔχει αἰσθήσεων, πάντως καὶ τὰς λοιπὰς ἔχει
πάσας, οὐκέτι μέντοι τὸ τὰς ἀτιμοτέρας ἔχον πάντως καὶ τὰς τιμιωτέρας.
τινὰ γὰρ μόνης ἁφῆς μετέχει, ὡς τὰ ζῳόφυτα· συστέλλεται γοῦν καὶ
ἐκτείνεται ἀνιώμενα ἢ διαχεόμενα πρὸς τὰ συνεγγίζοντα· ἄλλα δὲ πρὸς 20
35 ταύτῃ μόνης γεύσεως μετέχει, ὡς τὰ ὄστρεα· φαίνεται γὰρ βοσκόμενα·
ἕτερα πρὸς ταύταις καὶ ὄσφρησιν μόνην· φασὶ γοῦν κοχλιά τινα δελέασιν
ἐφέπεσθαι, οἷον τὰς χήμας, τῇ ὀσμῇ ἑπόμενα· ἕτερα δὲ ἀκοὴν ὄψεως δίχα,

---

2 ante τὰ add. καὶ t 6 τῆς (ante ψυχῆς) om. D διεξιών t 10 κρείττων t: κρεῖττον D 11 ἡ ante αὐξητικὴ om. D 18 ἐν ἑτέροις] de gener. an. B 1 p. 731b31 sqq. 24 ante γεῦσις add. ἡ t 26 ὁ Πλάτων] Tim. p. 47 A ὁ ποιητὴς] Il. Γ 277 27 Ἥλιος] initium versus significati fort. a lectore aliquo additum: ἡέλι' ὃς Dt 28 πορρωτάτων D: πορρωτάτω t 29 ἡ om. D 30 ἁπτομένης D 34 δὲ om. t 35 ταύτῃ scripsi: ταύτης D: ταύταις t

ὡς οἱ καλούμενοι ἀσπάλακες· εἴ τι μέντοι ὄψεως μετέχει, πάντως καὶ g 5r
τῶν λοιπῶν. τίνος οὖν ἕνεκα ἐπὶ τῶν ὅλων δυνάμεων ἐκ τῶν ἐσχάτων
καὶ ἀτιμοτέρων ἀρξάμενος ἐπὶ τῶν μορίων ἀνάπαλιν ὁδεύει καὶ τὴν ἀρχὴν
ἀπὸ τῶν πρώτων καὶ τιμιωτέρων ποιεῖται; οἱ μὲν οὖν πρὸς τοῦτό φασιν 25
5 ὅτι ἔμιξεν ἐν τῇ διδασκαλίᾳ ἀμφοτέρας τὰς ὁδούς, ἐπὶ μὲν τῶν ὅλων
δυνάμεων ἀπὸ τῶν ἐσχάτων ἀρξάμενος καὶ ἀτελεστέρων, ἐπὶ δὲ τῶν
μορίων ἀπὸ τῶν πρώτων καὶ τελειοτέρων. οἱ δὲ ἀκριβέστερον λέγοντές
φασιν ὅτι τῶν πρώτων ἢ καὶ τελειοτέρων δυνάμεων τῆς ψυχῆς ἐπί τε
τῆς αἰσθητικῆς καὶ φυτικῆς σαφέστερα ἡμῖν εἰσι τὰ ἀποτελέσματα. τῆς
10 γοῦν γεννητικῆς σαφέστερον τὸ ἀποτέλεσμα μᾶλλον ἢ τῆς αὐξητικῆς, καὶ
ταύτης μᾶλλον ἢ τῆς θρεπτικῆς. ὁμοίως ἔχει καὶ ἐπὶ τῶν μορίων τῆς 30
αἰσθητικῆς ψυχῆς· τρανεστέρα γὰρ ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὕτη τῆς ὀσφρή-
σεως, καὶ αὕτη τῆς γεύσεως, καὶ αὕτη τῆς ἁφῆς. οὐκ ἔδει οὖν ἐκ τῆς ἁπτι-
κῆς ἄρξασθαι· ὡς γὰρ αὐτός φησιν ἐν τοῖς ἑξῆς, ἀμφιβάλλεται ὅλως, εἰ αἰσθη-
15 σίς ἐστιν ἁφή. δοκεῖ γὰρ μηδὲ αἴσθησις εἶναι· ἑκάστη γὰρ τῶν ἄλλων αἰσθή-
σεων περὶ μίαν τινὰ τῶν αἰσθητῶν ἀντίθεσιν ἐνεργεῖ καὶ ⟨τὰ⟩ ταύτης μεταξύ,
οἷον ὄψις μὲν περὶ τὸ μέλαν καὶ τὸ λευκὸν καὶ τὰ τούτων μεταξὺ χρώματα,
ἀκοὴ περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον καὶ τοὺς μεταξύ, ὄσφρησις 35
περὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες, γεῦσις περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ
20 τὸ τούτων μεταξύ· πάντα γὰρ ὑπό τι τούτων τῶν ἀντικειμένων ἀνάγει ὁ
Ἀριστοτέλης, τὸ γλυκὺ λέγω καὶ τὸ πικρόν· ἡ μέντοι ἁφὴ περὶ πλείους
ἀντιθέσεις ἔχει οὐκ οὔσας ὑπαλλήλους· περί τε γὰρ τὸ θερμὸν καὶ τὸ
ψυχρόν, τὸ ὑγρὸν καὶ τὸ ξηρόν, τὸ σκληρὸν καὶ τὸ μαλακόν, τὸ βαρὺ καὶ
τὸ κοῦφον, τὸ μανὸν καὶ τὸ πυκνόν, ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται.
25 ὥστε ἐπειδὴ ἄπορος ὁ περὶ τῆς ἁπτικῆς αἰσθήσεως λόγος, οὐ δεῖ δὲ ἐκ 40
τῶν ἀμφιβόλων ἄρχεσθαι, οὐκ ἤρξατο ἀπ' αὐτῆς. ἐπειδὴ οὖν συνέβη ἐν
τοῖς μορίοις τῆς τε φυτικῆς καὶ αἰσθητικῆς ψυχῆς τὰ τελειότερα καὶ πρῶτα
τῇ φύσει καὶ ἡμῖν σαφέστερα εἶναι, εἰκότως ἀπὸ τούτων τὴν ἀρχὴν τῆς
διδασκαλίας ποιεῖται. ἀμέλει ἐπὶ τῆς λογικῆς ψυχῆς ἐκ τῶν ὑστέρων τὴν
30 ἀρχὴν ἐποιήσατο· μᾶλλον γὰρ γνωριμώτερον τοῖς πολλοῖς ἡ φαντασία τῆς
δόξης, καὶ αὕτη μᾶλλον τῆς διανοίας, καὶ ταύτης πολλῷ μᾶλλον ἀσαφέ-
στερος ὁ νοῦς, ὅσῳ καὶ ὀλιγάκις καὶ εἰς ὀλίγους αἱ ἐνέργειαι αὐτοῦ 45
φοιτῶσι. τελευταῖον δὲ πάντων ζητεῖ περὶ τοῦ κατὰ τόπον κινητικοῦ,
τί ποτε τοῦτό ἐστι, πότερον ἕτερον παρὰ τὰ ἀπηριθμημένα τῆς ψυχῆς
35 μόρια, ἢ τούτων τι ἢ πάντα τῆς κατὰ τόπον κινήσεως αἴτια. καὶ δοκεῖ
πάντα εἶναι αἴτια τῆς κατὰ τόπον κινήσεως· ἐν μὲν γὰρ ἀνθρώποις τοῖς
κατὰ νοῦν ζῶσιν ὁ νοῦς αἴτιος τούτου· αὐτὸς γὰρ κινεῖ τὸ ζῷον· ἐν δὲ
τοῖς ἀλόγοις ἡ αἴσθησις. ἔστι δὲ τῷ ὄντι ἕτερον πάντων τούτων τὸ κατὰ

---

2 ὅλων scripsi coll. v. 5: ἄλλων Dt 4 τιμιοτέρων D 5 ὅλων D: ἄλλων t
8 καὶ om t 9 σαφεστέρα D 10 ἀποτέλεσμα scripsi: ἀποτελέσματα Dt 14. 15 εἰ
ἡ αἴσθησις t 15 δοκεῖ γὰρ D: δοκεῖ δέ t 16 τὰ addidi 17 τούτων scripsi:
τούτου Dt 18 τὸν ante ὀξὺν om. t 22 ὑπ' ἀλλήλας t 22. 23 τὸ ante ψυχρόν et
ξηρόν et μαλακόν om. t 30 γνωριμότερον D 31 αὕτη scripsi: αὐτὴ Dt

τόπον κινητικόν· τὸ γὰρ ὀρεκτικὸν τῆς κατὰ τόπον κινήσεως αἴτιον. τοῦτο g 5r
δὲ διάφορόν ἐστι· ἔστι γὰρ καὶ ἐν ταῖς λογικαῖς δυνάμεσιν ἡ ὄρεξις, ἔστι 50
δὲ καὶ ἐν τοῖς ἀλόγοις, ὡς καὶ ἐν ἀρχῇ εἴπομεν.

Ἐπεὶ δὲ ἐκ τῶν ἀσαφῶν μὲν φανερωτέρων δὲ γίνεται τὸ
5 σαφὲς καὶ κατὰ λόγον γνωριμώτερον. πειρατέον πάλιν οὕτως
ἐπανελθεῖν περὶ αὐτῆς. διὰ συντομίαν ἀσαφῆ τὴν λέξιν ἐποίησεν.
ἵνα οὖν σαφῆ τὴν διάνοιαν ποιήσωμεν τῶν λέξεων, δεῖ προσθεῖναι τῷ μὲν
ἀσαφῶν τῇ φύσει, τῷ δὲ φανερωτέρων τὸ ἡμῖν, ἵνα ᾖ ἡ λέξις οὕτως·
ἐπεὶ δὲ ἐκ τῶν ἀσαφῶν μὲν τῇ φύσει, φανερωτέρων δὲ ἡμῖν. | τὸ δὲ g 5v
10 γίνεται τὸ σαφὲς καὶ κατὰ τὸν λόγον γνώριμον ἴσον ἐστὶ τῷ γίνεται
τὸ τῇ φύσει σαφὲς καὶ κατὰ τὴν διδασκαλίαν γνωριμώτερον. ὡς εἶναι πᾶν τὸ
λεγόμενον τοιοῦτον· ἐπεὶ δὲ ἐκ τῶν ἀσαφῶν μὲν τῇ φύσει, ἡμῖν δὲ φανε-
ρωτέρων τὸ τῇ φύσει σαφὲς καὶ πρῶτον γίνεται καὶ ἡμῖν κατὰ τὸν λόγον
γνωριμώτερον, πειρᾶσθαι δεῖ ἐπανελθόντας ὥσπερ ἐξ ἀρχῆς τὸν περὶ ψυχῆς
15 μεταχειρίζεσθαι λόγον ἀρχομένους ἀπὸ τῶν ἡμῖν σαφῶν. ἀσαφεστέρων δὲ 5
τῇ φύσει· οὕτω γὰρ εὑρήσομεν τί ποτέ ἐστιν ἡ ψυχή, ὅπερ μὲν τῇ φύσει
σαφές ἐστιν, ἡμῖν δὲ ἄδηλον. διὰ τοῦτο οὖν πάλιν ἀρχόμενος τοῦ περὶ
ψυχῆς λόγου ἄρχεται ἐκ τοῦ ἐμψύχου, ὅπερ ἐστὶν ἡμῖν σαφές, καὶ ζητεῖ
τίνι διαφέρει τοῦ ἀψύχου, καὶ τοῦτό φησι ψυχῆς εἶναι ἴδιον. τίνα δέ ἐστιν
20 ἀσαφῆ τῇ φύσει; ἃ ποιεῖ δεύτερα. σαφῆ δὲ ἃ πρῶτα ποιεῖ, οἷον πρῶτον
ποιεῖ ἡ φύσις τὰ στοιχεῖα, εἶτα ἐκ τούτων τοὺς χυμούς, εἶτα ἐκ τούτων
τὰ ὁμοιομερῆ, εἶτα ἐκ τούτων τὰ ὀργανικά, καὶ τέλος ἐκ τούτων τὸ ζῷον. 10
ἡμεῖς δὲ πρῶτον μὲν γινώσκομεν τὸ ζῷον, εἶτα ὅτι ἐξ ἀνομοιομερῶν
σύγκειται, καὶ οὕτως ἀνάπαλιν ὁδεύοντος ὀψέ ποτε τὰ στοιχεῖα ἐξ ὧν
25 συνέστηκε τὸ ζῷον γινώσκομεν.

p. 413a13 Οὐ γὰρ μόνον τὸ ὅτι δεῖ τὸν ὁριστικὸν λόγον διδάσκειν, ὥσπερ οἱ πλεῖστοι τῶν ὅρων λέγουσιν, ἀλλὰ καὶ τὴν αἰτίαν ἐνυπάρχειν καὶ ἐμφαίνεσθαι.

Διὰ τοῦτο, φησίν, ὥσπερ ἐξ ὑπαρχῆς τὸν περὶ ψυχῆς λόγον ποιού-
30 μεθα, ὅτι ἐν μὲν τοῖς ἔμπροσθεν οὐχ ἱκανῶς περὶ αὐτῆς διελέχθημεν, τὸ 15
ὅτι μόνον ἀποδεδωκότες. οὐ γὰρ δεῖ τὸν τὴν οὐσίαν τινὸς παραστῆσαι
βουλόμενον τὸ ὅτι μόνον ἐν τῷ ὁρισμῷ αὐτῆς ἀποδιδόναι, ἀλλὰ καὶ τὴν
αἰτίαν, δι' ἣν ἔστι τοῦτο. ἐν δὲ τῷ ἀποδεδομένῳ περὶ ψυχῆς λόγῳ ὅτι
μέν ἐστιν ἐντελέχεια σώματος φυσικοῦ ὀργανικοῦ εἴρηται, οὐκέτι μέντοι
35 πῶς ἐντελέχεια καὶ διὰ τί· οὐδὲ γὰρ οἷόν τε καθόλου περὶ ψυχῆς λόγον
ἀποδιδόντα τὸ διὰ τί λέγειν, μήτε ὁμοειδῶν οὐσῶν τῶν ψυχῶν πασῶν

---

1 ὀρεκτικὸν A: θρεπτικὸν Dt 3 καὶ (post ὡς) om. t 6 ἐπανελθεῖν Dt de an. S: ἐπελθεῖν de an. reliqui 10 γίνεται (post τῷ) scripsi: γίνεσθαι Dt 13 τὸ scripsi: τῶν Dt γίνεται Diels: γὰρ Dt καὶ (ante ἡμῖν) om. t 26. 27 διδάσκειν D: δηλοῦν t Arist. 31 ἀπεδωκότες sic t 32 τὸ ὅτι scripsi: τῷ ὅτι Dt 33 τῶν ἀποδεδομένων, ut vid., D

μήτε ὁμογενῶν. διόπερ ἐντεῦθεν ἀπὸ τῶν ἐναργῶν ἀρξάμενος τῶν ἐπὶ g 5v
ἑκάστης ψυχικῆς δυνάμεως θεωρουμένων οὕτως ἀποδώσει διὰ τί ἑκάστη
ἐστὶν ἐντελέχεια καὶ πῶς.

p. 413a16 Νῦν δὲ ὥσπερ συμπεράσματα οἱ λόγοι τῶν ὅρων
εἰσίν.

Εἴρηται καὶ ἐν τῷ πρώτῳ λόγῳ ὅτι τῶν ὁρισμῶν οἱ μὲν ἐκ τῆς ὕλης λαμβάνονται, οἱ δὲ ἐκ τοῦ εἴδους, οἱ δὲ ἐκ τοῦ συναμφοτέρου· οἷον ἐκ τῆς ὕλης ὅτι θυμός ἐστι ζέσις τοῦ περικαρδίου αἵματος, καὶ οἰκία ἐστὶ σύνθεσις λίθων καὶ ξύλων, ἐκ δὲ τοῦ εἴδους ὄρεξις ἀντιλυπήσεως, καὶ σκέπασμα κωλυτικὸν ὄμβρων καὶ καυμάτων, ἐκ δὲ τοῦ συναμφοτέρου ζέσις τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως, καὶ σκέπασμα κωλυτικὸν ὄμβρων καὶ καυμάτων ἐκ τοιαύτης συνθέσεως λίθων καὶ ξύλων. τούτων τῶν ὁρισμῶν (καὶ καθόλου πᾶς ὁρισμός, ὥς φησιν αὐτὸς ἐν τῇ Ἀποδεικτικῇ) ὁ μέν ἐστιν ἀρχὴ ἀποδείξεως ὁ ἐκ τοῦ εἴδους, ὁ δὲ συμπέρασμα ὁ ἐκ τῆς ὕλης, ὁ δὲ ἀπόδειξις διαφέρουσα τῇ θέσει ὁ ἐκ τοῦ συναμφοτέρου. οἷον βουλόμενός τις ὁρίσασθαι τὸν θυμὸν κέχρηται συλλογισμῷ τοιούτῳ· ὁ θυμούμενος ὀρέγεται ἀντιλυπῆσαι τοῦτον ᾧ ὀργίζεται· τοῦ ὀρεγομένου ἀντιλυπῆσαι ζεῖ τὸ περὶ τὴν καρδίαν αἷμα· εἶτα τὸ συμπέρασμα 'τοῦ θυμουμένου ἄρα ζεῖ τὸ περικάρδιον αἷμα'. τούτου οὖν τοῦ συλλογισμοῦ καὶ τῆς ἀποδείξεως ὁ μὲν ἐκ τῆς ὕλης ὁρισμὸς τοῦ θυμοῦ συμπέρασμά ἐστιν, ὁ δὲ ἐκ τοῦ εἴδους ἀρχή· ἔστι γὰρ ἡ πρώτη πρότασις ἡ λέγουσα ὁ θυμούμενος ὀρέγεται ἀντιλυπήσεως· ὁ μέντοι ἐκ τοῦ συναμφοτέρου ὁρισμὸς συλλογισμός ἐστιν ἤτοι ἀπόδειξις τῇ θέσει μόνῃ διαφέρουσα, διότι ἐν μὲν τῷ συλλογισμῷ πρώτη ἐστὶ πρότασις ἡ λέγουσα ὁ θυμούμενος ὀρέγεται ἀντιλυπήσεως, δευτέρα δὲ τοῦ ὀρεγομένου ἀντιλυπήσεως ζεῖ τὸ περικάρδιον αἷμα, ἐν μέντοι τῷ ὁρισμῷ τῷ ἐκ τοῦ συναμφοτέρου ἀνάπαλιν ἀρχόμεθα· ζέσις γάρ, φαμέν, τοῦ περικαρδίου αἵματος, εἶτα δι' ὄρεξιν ἀντιλυπήσεως. τί οὖν φησιν; ὅτι δεῖ τοιούτους τοὺς ὁρισμοὺς ἀποδιδόναι, ἔχοντας καὶ τὴν αἰτίαν δι' ἣν ἐστι τοιόνδε τὸ πρᾶγμα. οἱ γὰρ πολλοί, φησί, τῶν ὁρισμῶν τῶν νῦν ἀποδεδομένων ἐοίκασι τοῖς συμπεράσμασι τῶν συλλογισμῶν, οὐκ ἔχοντες ἐν αὐτοῖς τὴν αἰτίαν δι' ἣν οὕτως ἔχουσιν, ἥτις αἰτία ἀνάλογόν ἐστι τῷ μέσῳ ὅρῳ ἐν τῷ συλλογισμῷ, τουτέστιν ἐκ τῆς ὕλης μόνης ἀποδίδονται. ἡ μὲν οὖν ἔννοια τῶν εἰρημένων αὕτη. τὴν δὲ λέξιν ὁ μὲν Ἀλέξανδρος οὕτω καθίστησιν. νῦν δὲ ὥσπερ συμπεράσματα οἱ λόγοι, ἀντὶ τοῦ οἱ ὁρισμοί, τῶν ὅρων

---

6 πρότω D[1], sed corr. D[2] 13. 14 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 8 p. 75b31 sqq. 17 ᾧ scripsi: ὃν (sed ὃ in lit. D[2]) Dt ὀρίζεται t 18. 19 et 26 ζεῖ Diels: ζῇ ADt 18 τὴν om. t 26 περικάρδιον D: περὶ τὴν καρδίαν t 30 οἱ] οὐ t τῶν νῦν ἀποδεδομένων ὁρισμῶν t 32 ἥτις ἡ αἰτία D

εἰσίν, ἀντὶ τοῦ τῶν συλλογισμῶν· ὅρους δ' ἐκάλεσε τοὺς συλλογισμούς, g 5ᵛ διότι ἐκ τῶν ὅρων οἱ συλλογισμοί. καὶ ἄλλως δέ, ὥσπερ συμπεράσματα τῶν λόγων, τουτέστι τῶν συλλογισμῶν, οἱ ὅροι εἰσίν, ἀντὶ τοῦ οἱ ὁρισμοί, ἵνα τὰς πτώσεις ἐναλλὰξ ποιήσωμεν, καὶ τὴν μὲν γενικὴν τῷ λόγῳ ἀπο- 5 δῶμεν, τὴν δ' εὐθεῖαν τῷ ὅρῳ. ἁπλούστερον δὲ οἱ Ἀττικοὶ ἐξηγηταὶ καὶ προσφυέστερόν φασιν οἱ λόγοι τῶν ὅρων ἀντὶ τοῦ οἱ λόγοι τῶν ὁρισμῶν, τουτέστιν οἱ προφορικοὶ λόγοι, δι' ὧν τοὺς ὁρισμοὺς τῶν πραγμάτων ἀποδίδομεν· τὸ δὲ συμπεράσματά εἰσι, δηλονότι τῶν συλλογισμῶν· τὰ γὰρ συμπεράσματα συλλογισμῶν εἰσι συμπεράσματα.

10 p. 413ᵃ17 Οἷον ὅτι ἐστὶν τετραγωνισμὸς τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι.

Εἰπὼν ὅτι δεῖ τὸν ὁρισμὸν τὸν τέλειον μὴ μόνον τὸ ὅτι ἀλλὰ καὶ τὴν αἰτίαν διδάσκειν καὶ ὅτι οἱ πλεῖ|στοι τῶν ὁρισμῶν τὸ ὅτι μόνον διδά- g 6ʳ σκουσι (τοῦτο γάρ ἐστι τὸ ὥσπερ συμπεράσματά εἰσι) παράδειγμα τῶν 15 εἰρημένων διὰ τούτων τίθησι, ποῖος μὲν ὁρισμός ἐστιν ἀρχὴ ἀποδείξεως, ποῖος δὲ συμπέρασμα. τὸν γὰρ τετραγωνισμόν, φησίν, εἰ μὲν οὕτως ὁρίσει, τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον ποιῆσαι ἰσόπλευρον, ὁ τοιοῦτος, φησίν, ὁρισμὸς λόγος τοῦ συμπεράσματός ἐστιν, ἀντὶ τοῦ συμπέρασμά ἐστιν ἀποδείξεως· ἐκ γὰρ τῆς ὕλης εἴληπται. εἰ δέ τις οὕτως ὁρίσαιτο, ὅτι 5 20 τετραγωνισμός ἐστι μέσης εὕρεσις, ἀρχὴ ἀποδείξεως ὁ τοιοῦτος ὁρισμός· τὸ γὰρ εἶδος καὶ τὴν αἰτίαν εἶπεν. εἰ δέ τις οὕτως εἴποι 'τετραγωνισμός ἐστι τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον ποιῆσαι δι' εὑρέσεως μέσης', ἐκ τοῦ συναμφοτέρου ὡρίσατο, καὶ ἔστιν ὁ τοιοῦτος ὁρισμὸς ἀπόδειξις τῇ θέσει διαφέρουσα. συλλογίσαιτο γὰρ ἄν τις οὕτως· ὁ τετραγωνίσαι βουλόμενος 25 μέσην ἀνάλογον ζητεῖ· ἡ μέση εὑρεθεῖσα ἴσον τῷ ἑτερομήκει ἰσόπλευρον καὶ ὀρθογώνιον ποιεῖ. δῆλον δὲ ὅτι τετραγωνισμὸν τοῦ ἑτερομήκους λέγει. 10 ἔστι δὲ τετράγωνον μὲν ἰσόπλευρόν τε [ἐστὶ] καὶ ὀρθογώνιον, τουτέστι χωρίον καὶ τὰς πλευρὰς τὰς τέσσαρας ἴσας ἔχον καὶ τὰς γωνίας ὀρθάς, ἑτερόμηκες δὲ ὀρθογώνιον μέν ἐστιν, οὐκ ἰσόπλευρον δέ. οἱ οὖν 30 βουλόμενοι τὸ ἑτερόμηκες τετραγωνίσαι μέσην ἀνάλογον ζητοῦσιν. οἷον τί λέγω; ἔστω χωρίον ἑτερόμηκες ἔχον τὴν μὲν ἑτέραν τῶν πλευρῶν πηχῶν ὀκτώ, τὴν δὲ ἑτέραν δύο· σαφὲς ὅτι τὸ ὅλον ἔστι πηχῶν $\overline{\iota\varsigma}$· πᾶν γὰρ τετράπλευρον μετρεῖται πλευρᾶς ἐπὶ πλευρὰν πολλαπλασιαζομένης. ἐὰν 15 οὖν θελήσωμεν τῷ ἑτερομήκει τούτῳ χωρίῳ ἴσον τετράγωνον ποιῆσαι, 35 ὥστε εἶναι πηχῶν $\overline{\iota\varsigma}$, ὅσον ἦν καὶ τὸ ἑτερόμηκες, ὀφείλομεν τῶν $\overline{\beta}$ πλευρῶν τοῦ ἑτερομήκους μέσην ἀνάλογον εὑρεῖν, ἵνα τοῦτον ἔχῃ τὸν λόγον πρὸς τὴν μείζονα πλευράν, ἥτις ἦν πήχεων $\overline{\eta}$, ὃν λόγον πρὸς αὐτήν, τὴν

---

2 συμπεράσματι D 8 τὰ δὲ συμπεράσματα t 9 εἰσι τὰ συμπεράσματα D
10 ὅτι] sic D: τί t Arist. 17 post ὁρίσει fort. addendum τις 25 ἡ Diels: εἰ Dt 27 μὲν om. t ἐστὶ delevi 29 δὲ (post ἑτερόμηκες) om. t 30 ζητοῦσαι D 32 πηχῶν] πήχεων t 34 θελήσομεν D 35 τὸ scripsi: τῷ D: om. t

μέσην λέγω, ἡ τῶν β̄ πήχεων τοῦ ἑτερομήκους ἔχει πλευρά. εἴη δ' ἂν g 6r
ἡ τοιαύτη πήχεων τεσσάρων· ὃν γὰρ λόγον ἔχει τὰ τέσσαρα πρὸς τὰ
ὀκτώ, τοῦτον τὸν λόγον ἔχει τὰ β̄ πρὸς τὰ δ̄· ἥμισυ γὰρ ἑκάτερον τοῦ
μείζονος. αὕτη ἐστὶ μέση ἀνάλογον· ἐκ ταύτης οὖν ἀναγραφήσεται τετρά- 20
γωνον χωρίον πήχεων ῑς̄ ἴσον τῷ ἑτερομήκει. καὶ οὕτως ἐπὶ παντὸς
ἑτερομήκους δεῖ ποιεῖν βουλομένοις ἴσον αὐτῷ τετράγωνον ἀναγράφειν.
πάλιν γὰρ εἰ εἴη ἑτερόμηκες ἔχον τὴν μίαν πλευρὰν πηχῶν ῑς̄, τὴν δὲ
ἑτέραν δ̄, ἀναγράφει χωρίον δηλονότι πήχεων ξδ̄. τούτῳ εἰ θελήσειας
ἴσον τετράγωνον ποιῆσαι, ζήτησον μέσην ἀνάλογον, αὕτη δ' ἔστι πηχῶν η̄·
ὀκτάκις δὲ τὰ ὀκτὼ ξδ̄. ὥσπερ γὰρ ἡ τῶν ῑς̄ πηχῶν πλευρὰ τοῦ ἑτερο- 25
μήκους διπλασίων ἐστὶ τῆς εὑρεθείσης ὀκταπήχους, οὕτω καὶ αὕτη διπλα-
σίων ἐστὶ τῆς λοιπῆς πλευρᾶς τοῦ ἑτερομήκους, πηχῶν οὔσης τεσσάρων.
τὸ οὖν μέσης εὕρεσις. ὁ μὲν Ἀλέξανδρός ⟨φησι⟩ δεδεῖχθαι ἐν τῷ δευτέρῳ
τῶν Εὐκλείδου· τὸ δ' οὐκ ἔστιν· οὐδὲν γὰρ ἐκεῖ τοιοῦτο δέδεικται, ἀλλ'
ἐν τῷ ἕκτῳ· ἐκεῖ γὰρ δέδεικται 'δύο δοθεισῶν εὐθειῶν μέσην ἀνάλογον
εὑρεῖν', καὶ ὅτι 'ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τῶν ἄκρων ἴσον
ἐστὶ τῷ ἀπὸ τῆς μέσης'.

Λέγομεν οὖν ἀρχὴν λαβόντες τῆς σκέψεως διωρίσθαι τὸ 30
ἔμψυχον τοῦ ἀψύχου τῷ ζῆν. ὡς πολλάκις εἴρηται, ἐκ τῶν ὑστέρων
τῇ φύσει καὶ ἡμῖν σαφεστέρων διδάσκει περὶ τῶν πρώτων καὶ ἀσαφεστέρων.
βουλόμενος γὰρ τὸ χαρακτηριστικὸν ἴδιον τῆς ψυχῆς λαβεῖν, ζητεῖ τί ἐστι
τὸ τοῦ ἐμψύχου χαρακτηριστικόν, ὅπερ ἐστὶ ψυχῆς ὕστερον τῇ φύσει· τῷ
γὰρ μετέχειν ψυχῆς ἔμψυχον λέγεται καὶ ἀπ' αὐτῆς τὴν προσηγορίαν
εἴληφε, τὸ δὲ ἀπό τινος δεύτερον ἐκείνου τοῦ ἀφ' οὗ ἐστι καὶ λέγεται.
εἰ οὖν τὸ ἔμψυχον τοῦ ἀψύχου τῷ ψυχῆς μετέχειν διαφέρει, διαφέρει δὲ 35
πάλιν καὶ τῷ ζῆν, ψυχῆς ἄρα χαρακτηριστικὸν ἡ ζωὴ ἔοικεν εἶναι.

p. 413a22 Πλεοναχῶς δὲ τοῦ ζῆν λεγομένου, κἂν ἕν τι τούτων ἐνυπάρχῃ μόνον, ζῆν αὐτό φαμεν.

Χαρακτηρίσας κατὰ τὴν ζωὴν τὴν ψυχὴν διαιρεῖ τὴν ζωὴν εἰς διά-
30 φορα σημαινόμενα· πλεοναχῶς γάρ, φησί, τοῦ ζῆν λεγομένου, τουτέστι

---

1 ἔχῃ D 4 αὕτη γάρ ἐστι t ἀνάλογος t 5 ante τῷ add. τὸν D 7 et 9 πήχεων t 8 τούτῳ scripsi: τούτων D: τοῦτον t 11 διπλασίων t: διπλασίως D διπλασίων — αὕτη leviter immutata (pro ἐστὶ τῆς exh. αὐτῆ τῆς D, αὐτῆς τῇ t) iterant Dt 13 τὸ οὖν] fort. τίς οὖν φησι addidi 14 τῶν D: τοῦ t 15 ἕκτῳ et γάρ om. t 15. 16 δύο — εὑρεῖν] Euclid. elem. VI, 13 16 προσευρεῖν Euclid. ἐὰν τρεῖς — μέσης (17)] Euclid. elem. VI, 17 ἀνάλογοι ὦσι t post ἄκρων add. περιεχόμενον ὀρθογώνιον Euclid. 17 post μέσης add. τετραγώνῳ Euclid. 19 ἔμψυχον τοῦ ἀψύχου Arist.: ἄψυχον τοῦ ἐμψύχου Dt 22 τῷ scripsi: τὸ Dt 24 καὶ om. t 25 τὸ ψυχῆς t 26 πάλιν om. t τὸ ζῆν t 28 ἐνυπάρχῃ D Arist. vulg.: ὑπάρχῃ t Arist. SWX ζῆν αὐτό φαμεν D Arist.: ζῆν λέγομεν αὐτό t 29 ζωὴν (ante εἰς) D: ψυχὴν t

πλείόνων οὐσῶν ψυχικῶν δυνάμεων, καθ' ἃς τὸ ζῆν ἐγγίνεται τοῖς μετέ- g 6r
χουσιν αὐτῶν· καὶ ὅτι τοῦτό φησιν, ἐπάγει οἷον νοῦς, αἴσθησις καὶ τὰ
λοιπά. εἶτα ὅτι καθ' ἕκαστον τούτων ζωή τίς ἐστι πιστούμενός φησιν ὅτι 45
κἂν ἕν τι τούτων ὑπάρχῃ τινί, ζῆν λέγεται τὸ μετέχον αὐτοῦ. ὅθεν καὶ
5 τὰ φυτὰ θρεπτικὴν ἔχοντα δύναμιν ζῇ μηδεμίαν τῶν ἄλλων ἔχοντα, μήτε
αἰσθητικὴν μήτε τὴν κατὰ τόπον κινητικὴν μήτε τῶν ἀνωτέρω εἰρημένων
μηδεμίαν. ἕπεται δὲ τῇ θρεπτικῇ ἡ αὐξητική· διὰ γὰρ τὴν εἰς τὸ τέλειον
εἶδος ἄφιξιν ἡ τροφή· αὔξεται γοῦν τρεφόμενα, ἕως μὴ ἐπικρατεστέρα ᾖ
ἡ φθίσις· τότε γὰρ ἡ τροφὴ ἐν ὅσῳ ἐστὶ τὸ εἶδος μόνον φυλάττει. τὸ
10 δὲ κατὰ τοὺς ἐναντίους τόπους ἀντὶ τοῦ πάντῃ· ὡς γὰρ καὶ ἐν τῷ 50
Περὶ γενέσεως εἶπεν, ταῦτα καὶ τρέφεσθαι καὶ αὔξεσθαι λέγεται τὰ κατὰ
πᾶν μόριον ἑαυτῶν τρεφόμενα καὶ αὐξόμενα. τὰ γὰρ κατὰ πρόσθεσιν
αὔξεσθαι δοκοῦντα οὐ κατὰ πᾶν μόριον ἑαυτῶν αὔξονται, διὸ οὐδὲ αὔξησις
ἐπ' ἐκείνων λέγεται, ἀλλὰ πρόσθεσις. ἐὰν γὰρ ἐπὶ τὸν σωρὸν τοῦ σίτου
15 προσθήσω ἕτερον σῖτον, οὐ δι' ὅλων τῶν μορίων τοῦ σωροῦ ἡ πρόσθεσις
γέγονεν, ἀλλ' ἐφ' ἑνός, καθ' ὃ καὶ ἡ πρόσθεσις ἐγένετο· τὸ δὲ σῶμα
ὅλον δι' ὅλου αὔξει. οὕτως οὖν καὶ τὰ φυτὰ καθ' ὅλα ἑαυτὰ αὔξει· καὶ |
γὰρ κατὰ τὸ ἄνω καὶ τὸ κάτω (καὶ γὰρ καὶ αἱ ῥίζαι εἰς βάθος αὔξον- g 6v
ται) καὶ δεξιὰ καὶ ἀριστερά (εἰς πλάτος γὰρ ἑκατέρωθεν ἐπιδίδωσιν), ἀλλὰ καὶ
20 ἔμπροσθεν καὶ ὄπισθεν· ὁμαλὴν γὰρ καὶ ἴσην καὶ τὴν κατὰ βάθος ποιεῖ-
ται αὔξησιν. ὥστε εἰ καὶ ταῦτα ζῆν λέγεται μίαν τὴν θρεπτικὴν δύναμιν
ἔχοντα, ἔοικεν ἄρα ἑκάστη τῶν ψυχικῶν δυνάμεων ζωὴ εἶναι.

p. 413 a 31 Χωρίζεσθαι δὲ τοῦτο μὲν τῶν ἄλλων δυνατόν, τὰ δὲ 5
ἄλλα τούτου ἀδύνατον ἐν τοῖς θνητοῖς.

25 Ὅτι μὲν οὖν ἑκάστη τῶν ψυχικῶν δυνάμεων ζωή ἐστι καὶ ζῆν ποιεῖ
τὰ μετέχοντα ἤδη εἶπεν· δῆλον γὰρ ὅτι καὶ τὰ αἰσθήσεως μετέχοντα κατὰ
αὐτὸ τοῦτο ζῇ, μᾶλλον δὲ καὶ τρανεστέραν ζωὴν ἔχει, ὁμοίως δὲ καὶ τὰ
νοῦ μετέχοντα ζῇ κατ' αὐτὸ τοῦτο. ἀλλ' εἰ καὶ ἑκάστη τῶν δυνά-
μεων τούτων ζωή ἐστιν, ἀλλ' οὖν, φησίν, ἡ μὲν θρεπτικὴ καὶ χωρὶς τούτων 10
30 εἶναι δύναται ἐσχάτη πάντων οὖσα, ἐκεῖναι δὲ δίχα ταύτης οὐκ εἰσι. καὶ
καλῶς προσέθηκεν ἐν τοῖς θνητοῖς· ἐν γὰρ τοῖς θείοις ἄχρηστος ἡ θρε-
πτική, αὐξήσεως καὶ μειώσεως ἐκεῖ μὴ οὔσης, ἐπὶ μέντοι τῶν θνητῶν

1 καθ' ἃς D²: καθ' ἃ D¹t 4 ὑπάρχει D 5. 6 μὴ δὲ αἰσθητικὴν D 7 τῇ θρεπτικῇ scripsi: ἡ θρεπτικὴ Dt 10. 11 ἐν τῷ Περὶ γενέσεως] A 5 p. 321 a 2. 19 13 αὔξονται — ἐκείνων (14) in ras. D¹ αὔξεται t 14 πρόθεσις D 17 καθόλου ἑαυτὰ t 18 τὰ ἄνω καὶ τὰ t καὶ (post γὰρ) om. t 19 ἑκατέρωθεν D: ἑτέρωθεν t 26 εἶπον t 27 δὲ post ὁμοίως om. t 27. 28 τὰ τοῦ νοῦ t

1 τὸ ζῆν — φησὶν ὅτι (3)] τὸ ζῆν ἐγγίνεται, πλείους καὶ αἱ δι' αὐτῶν ζωαὶ καὶ τὸ ζῆν, οἷον κατὰ νοῦν, κατ' αἴσθησιν, κατὰ τὰ λοιπά· διὸ A Suid. s. v. Ζωή

διʼ αὐτὸ τοῦτο ⟨τὸ⟩ θνητὰ εἶναι ἀδύνατον τὴν κρείττονα γενέσθαι ψυχικὴν g 6ᵛ
δύναμιν μὴ οὔσης τῆς καταδεεστέρας, καὶ διὰ τὰς πολλάκις εἰρημένας αἰτίας· ἐπεὶ γὰρ θνητόν ἐστι καὶ δέεται εἰσροῆς, ἐπειδὴ καὶ ἀπορρεῖ, ἀνάγκη πάντως τῆς θρεπτικῆς δυνάμεως τῆς προσυφαινούσης ἀντὶ τοῦ ἀπορρεύ- 15
5 σαντος ἐν τῷ σώματι, ἵνα φυλάττηται τὸ εἶδος. διὰ τοῦτο δίχα τῆς θρεπτικῆς δυνάμεως οὐδέν ἐστι τῶν ἐμψύχων. τὰ μέντοι λογικὰ καὶ θυμοῦ μετέχει καὶ ἐπιθυμίας, ἵνα καὶ προσιῶνται τὰ σωστικὰ τοῦ ζῴου καὶ ἀποσείωνται τὰ λυμαινόμενα. φανερὸν δὲ ἐπὶ τῶν φυομένων ὅτι ἡ θρεπτικὴ δύναμις τῶν ἄλλων χωρίζεται· τὰ γὰρ φυτὰ ταύτην μὲν ἔχουσι, τῶν δὲ
10 ἄλλων οὐδεμίαν· οὔτε γὰρ αἰσθητικὴν οὔτε ὀρεκτικὴν οὔτε τινὰ τῶν ἐπάνω πολλῷ μᾶλλον.

p. 413ᵇ1 Τὸ μὲν οὖν ζῆν διὰ τὴν ἀρχὴν ταύτην ὑπάρχει πᾶσι 20
τοῖς ζῶσιν.

Εἰπὼν ἐν τοῖς ἐπάνω ὅτι κἂν ἕν τι τούτων ὑπάρχῃ, ζῆν λέγεται, νῦν
15 λέγει ὅτι παρὰ τῆς θρεπτικῆς δυνάμεως τὸ ζῆν ὑπάρχει. εἰ οὖν τοῦτο λέγει ὅτι ἔνθα ἂν ᾖ τῶν ἄλλων τις, ἀνάγκη καὶ ταύτην εἶναι, ἄν τε μόνη ᾖ, εὐθὺς καὶ τὰ μετέχοντα ζῆν λέγεται, πρὸς δὲ τούτοις εἰ τὸ ζῆν ἐστιν, ὡς αὐτὸς μικρῷ πρόσθεν ὡρίσατο, τὸ διʼ αὐτοῦ τρέφεσθαί τε καὶ αὔξεσθαι, τὸ δὲ τρέφεσθαί τε καὶ αὔξεσθαι παρὰ τῆς θρεπτικῆς, εἰκότως ἄρα καὶ 25
20 τὸ ζῆν παρὰ ταύτης, ὅτι εἰ καὶ ἑκάστη τῶν ψυχικῶν δυνάμεων ζωή τίς ἐστι, τὰ μέντοι θνητὰ ἄνευ τῆς θρεπτικῆς εἶναι οὐ δύναται, ἀλλὰ μάλιστα ἡ ζωὴ αὐτῶν κατὰ ταύτην χαρακτηρίζεται, διὰ τὸ ῥευστὴν μὲν εἶναι τὴν φύσιν αὐτῶν, ἄνευ δὲ τοῦ προσκρίνοντος ἀντὶ τοῦ ἀπορρεύσαντος εἶναι μὴ δύνασθαι· τοῦτο δὲ ποιεῖ ἡ θρεπτική. εἰκότως ἄρα εἶπε τὸ ζῆν εἶναι τοῖς
25 ἐμψύχοις διὰ ταύτην.

p. 413ᵇ2 Τὸ δὲ ζῷον διὰ τὴν αἴσθησιν πρώτως.

Ὥσπερ τὰ ζῶντα κατὰ τὴν θρεπτικὴν δύναμιν χαρακτηρίζεται, οὕτω καὶ τὰ ζῷα κατὰ τὴν αἰσθητικήν· ὥστε τὰ μόνης ταύτης μετέχοντα, κἂν μηδεμιᾶς ἄλλης τῶν ὑπερτέρων μετέχῃ, ζῷα λέγεται. πρώτως δὲ μετέχειν
30 τῶν αἰσθήσεών φησι τὰ μετέχοντα τῆς ἁφῆς. διὸ κἂν αὐτῆς μόνης μετέχοι τι, οὐ μόνον ζῆν λέγεται, ἀλλὰ καὶ ζῷον εἶναι, διότι τῇ αἰσθήσει τὸ ζῷον χαρακτηρίζεται, οἷά ἐστι τὰ ζώφυτα καλούμενα, οἷον οἱ σπόγγοι· μόνης 35
γὰρ ἁφῆς οὗτοι μετέχουσιν· ἅπερ ζώφυτα ἐκλήθη, διότι ζῷα μέν ἐστι παρὰ τὸ αἰσθήσεως μετέχειν, φυτῶν δὲ ἔχει τὸ μὴ ἀμείβειν τόπον ἐκ
35 τόπου. μᾶλλον δὲ καὶ κατὰ αὐτὸ τοῦτο ἔχει τι τῶν ζῴων, καὶ οὐδὲ τοῦτο

---

1 τὸ addidi ἀδύνατον Diels: δυνατὸν Dt 4 post πάντως fort. addendum μετέχειν
7. 8 ἀποσείωνται scripsi: ἀποσίωνται Dt 8 post φυομένων repetit φανερὸν D 12 πᾶσι Dt de an. SUX: om. de an. plerique 14 ὑπάρχει D 17 πρὸς] πρὸ D
32 et 33 ζωόφυτα t 34 μὴ om. D, sed in mrg. suppl., ut vid., D²

καθάπαξ τῶν φυτῶν ἔχει· ἀμείβει γὰρ κατὰ μόρια τοὺς τόπους συστελλό- g 6v
μενα καὶ ἐκτεινόμενα. εἰ δὲ ἐκ τῆς αἰσθήσεως χαρακτηρίζει τὰ ζῷα,
αἴσθησις δὲ οὐκ ἔστιν ἐν τοῖς θείοις, αἴσθησιν δέ φημι τὴν κατὰ τὰς ε̄
ταύτας τὰς ἡμετέρας, ἔοικεν ἄρα μὴ λέγειν ἐκεῖνα εἶναι ζῷα, οἷον τὰ 40
5 οὐράνια. ἀλλὰ λέγω ὅτι περὶ τῶν θνητῶν ὁ λόγος· ἐν ἐκείνοις δ' εἰ καὶ
μή εἰσιν αὗται αἱ αἰσθήσεις, κρείττονες δῆλον ὅτι εἰσὶν ἄλλαι καὶ θειότεραι.
ἀπορήσειε δ' ἄν τις ὅτι εἰ ἐκ τοῦ ζῆν τὸ ζῷον προσηγόρευται, ζῇ δὲ καὶ
τὰ φυτά, διὰ τί μὴ κἀκεῖνα ζῷα λέγομεν. αὐτὸς δὲ τοῦτο αὐτὸ ἐπιλυόμενος
ἐν τοῖς ἑξῆς φησιν ὅτι ὥσπερ δρομέας λέγομεν οὐ τοὺς ὁπωσοῦν τοῦ τρέχειν
10 μετέχοντας, ἀλλὰ τοὺς σφοδρῶς καὶ τρανέστερον μετειληφότας τοῦ τρέχειν,
οὕτω καὶ ζῷα λέγονται οὐ τὰ ὁπωσοῦν μετέχοντα τοῦ ζῆν καὶ τῆς ζωῆς,
ἀλλ' ἐν οἷς τὸ τῆς ζωῆς εἶδος τρανέστερον. τρανεστέρα δὲ τῶν αἰσθήσεων 45
ζωὴ ἡ θρεπτική.

p. 413ᵇ5 Ὥσπερ δὲ τὸ θρεπτικὸν δύναται χωρίζεσθαι τῆς ἁφῆς
15 καὶ πάσης αἰσθήσεως, οὕτως ἡ ἁφὴ τῶν ἄλλων αἰσθήσεων.

Ὥσπερ δὲ ἀντὶ τοῦ ὥσπερ γάρ· ἔστι γὰρ αἰτιολογικόν. εἰπὼν γὰρ
ὅτι πρώτη τῶν ἄλλων αἰσθήσεων ἡ ἁφή, τοῦτο κατασκευάζει διὰ τούτων. 50
ὥσπερ γὰρ τὰ μετέχοντα τῶν ἄλλων ψυχικῶν δυνάμεων πολλῷ πρότερον
τῆς θρεπτικῆς μετέχει, οὐκέτι δὲ τὰ τῆς θρεπτικῆς μετέχοντα ἀνάγκη καὶ
20 τῶν ἄλλων τινὸς μετέχειν, ἀλλὰ καὶ καθ' αὑτὴν θεωρεῖται ὡς ἐπὶ τῶν
φυτῶν, οὕτω καὶ τὰ τινὸς τῶν ἄλλων αἰσθήσεων μετέχοντα ἀνάγκη πᾶσα
καὶ ἁφῆς μετασχεῖν, οὐκέτι μέντοι καὶ ἔμπαλιν· πολλὰ γοῦν ἁφῆς μετέ-
χοντα οὐδεμιᾶς τῶν ἄλλων μετέχει, ὡς σπόγγοι καὶ ὄστρεα καὶ οἱ καλού-
μενοι κοχλίαι καὶ ὅλως τὰ κογχύλια. | ὥστε εἰ πρότερόν ἐστι τῇ φύσει g 7r
25 τὸ συνεισφερόμενον ἄλλῳ καὶ ἀναιρεθὲν συναναιροῦν, προτέρα ἄρα τῶν
αἰσθήσεων ἡ ἁπτική. δύναται δὲ τὸ ὥσπερ δὲ καὶ ἀπὸ ἄλλης ἀρχῆς
εἰρῆσθαι.

p. 413ᵇ9 Δι' ἣν δ' αἰτίαν ἑκάτερον τούτων συμβέβηκεν, ὕστερον
ἐροῦμεν.

30 Ἑκάτερον τούτων, διὰ τί τό τε θρεπτικὸν τῶν ἄλλων τῆς ψυχῆς δυ-
νάμεων χωρίζεται καὶ τὸ ἁπτικὸν τῶν ἄλλων αἰσθήσεων· ἐρεῖ γὰρ ἐν τοῖς 5
ἐφεξῆς τὴν αἰτίαν ἣν ἤδη εἶπον, ὅτι τοῦ σώματος ῥευστοῦ ὄντος ἀνάγκη
πᾶσα [ἐν] τοῖς μετέχουσι τῆς ζωῆς τῆς θρεπτικῆς δυνάμεως διὰ τὴν σω-

---

6 κρείττον sic t ἄλλαι Diels: ἀλλὰ Dt 7 εἰ om. t 8 ἐπιλυόμενος scripsi: ἐπιλύομεν D: ἐπιλύων t 10 ἀλλὰ τοῦ σφοδρῶς t 11 οὐ τὰ — ἀλλ' (12) A Suid. s. v. Ζωή: om. Dt 12 τρανέστερον om. D 12. 13 exspectas δὲ ἡ αἰσθητικὴ ζωὴ τῆς θρεπτικῆς 14 ὥσπερ δὲ D Arist. vulg.: ὥσπερ γὰρ Arist. X: καὶ ὥσπερ t 15 οὕτω καὶ ἡ t 19 οὐκ ἔστι δὲ t 30 ἑκάτερον τούτων in lemmate ponit t 33 ἐν del. Diels

τηρίαν τοῦ εἴδους μετέχειν. διὰ τοῦτο καὶ ἡ ἁφὴ τῶν ἄλλων χωριστὴ g 7r
καὶ μετὰ τῶν ἄλλων πασῶν, διότι ἡ αἴσθησις πρὸς διάκρισιν τῶν τε οἰκείων καὶ σωστικῶν τοῦ ζῴου καὶ τῶν ἀλλοτρίων καὶ φθαρτικῶν ὑπάρχει, οἰκειότατα δὲ ἡμῖν τῶν αἰσθητῶν τὰ ἐξ ὧν συνεστήκαμεν· ταῦτα δέ ἐστι τὸ
5 ξηρόν, τὸ ὑγρόν, τὸ θερμόν, τὸ ψυχρόν· τούτων δὲ ἔχει τὴν αὐτὴν λῆψιν ἡ ἁφή. εἰκότως ἄρα πρωτίστη καὶ καθολικωτάτη τῶν αἰσθήσεων ἡ ἁφή, 10
καὶ ἄνευ ταύτης οὐδεμία τῶν ἄλλων εἶναι δύναται.

p. 413ᵇ10 Νῦν δὲ τοσοῦτον εἰρήσθω μόνον, ὅτι ἐστὶν ἡ ψυχὴ πάντων τῶν εἰρημένων ἀρχὴ καὶ τούτοις ὥρισται, θρεπτικῷ,
10 αἰσθητικῷ, διανοητικῷ, κινήσει.

Οἱ μὲν πᾶσαν ψυχὴν ἀπαθανατίζειν βουλόμενοι λέγουσι τὸ μὲν θρεπτικὸν καὶ αὐξητικὸν καὶ τὰ ὅμοια ἐνεργείας εἶναι ψυχῆς, ἃς φασι καὶ τὸν 15
Ἀριστοτέλη ἀχωρίστους εἶναι λέγειν, τὴν μέντοι ψυχὴν καὶ τὰς δυνάμεις, ἀφ' ὧν αἱ ἐνέργειαι αὗται προέρχονται, ταύτας εἶναι χωριστάς· τὴν ψυχὴν
15 οὖν αἰτίαν καὶ ἀρχὴν τούτων τῶν ἐνεργειῶν φασι λέγειν αὐτόν, τῆς θρεπτικῆς καὶ αἰσθητικῆς καὶ τῶν ἄλλων. ὅτι δὲ οὐ τοῦτο οἴεται ὁ Ἀριστοτέλης, πολλάκις εἴρηται. προσφυέστερον δὲ καὶ ἀληθέστερον ὁ Ἀλέξανδρος ἐξηγεῖται ἀρχὴν καὶ αἰτίαν εἶναι λέγων τὴν ψυχὴν τοῦ τρέφεσθαι, τοῦ 20
αὔξεσθαι, τοῦ αἰσθάνεσθαι, ἅπερ εἰσὶ τῷ ὄντι ἐνέργειαι ψυχῆς. ὅτι δὲ
20 οὐκ ἀρχὴν τοῦ θρεπτικοῦ καὶ αἰσθητικοῦ τὴν ψυχὴν λέγει, ἐδήλωσεν ἐξ ὧν ἐπάγει ὅτι τούτοις ὥρισται, θρεπτικῷ, αἰσθητικῷ καὶ τοῖς λοιποῖς, ἀντὶ τοῦ περιώρισται ἐν τούτοις ἡ ψυχή, καὶ ἐν τούτοις τὸ εἶναι τῇ ψυχῇ. ἐπὶ πᾶσι δὲ καὶ ὕστερον ἐπάγει τὸ κινητικόν, διότι ἐν πᾶσιν ὁρᾶται τοῖς εἰρημένοις ἡ κίνησις, καὶ ἐν τῷ διανοητικῷ ἐκ ζητήσεως εἰς
25 εὕρεσιν. καὶ ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα.

p. 413ᵇ13 Πότερον δὲ τούτων ἕκαστόν ἐστι ψυχὴ ἢ μόριον 25
ψυχῆς, καὶ εἰ μόριον, πότερον οὕτως ὥστε εἶναι χωριστὸν λόγῳ μόνῳ ἢ καὶ τόπῳ.

Ὅπερ καὶ ἐν τῷ πρώτῳ λόγῳ ἠπόρησε, τοῦτο καὶ νῦν ἀπορεῖ, ὅτι
30 ἆρα κατὰ μόρια σωματικὰ διῄρηνται αἱ τῆς ψυχῆς δυνάμεις τῷ τόπῳ, ὥσπερ ἐδόκει λέγειν καὶ ὁ Τίμαιος λέγων ἐν καρδίᾳ μὲν εἶναι τὸ θυμικόν, τὸ δὲ ἐπιθυμητικὸν ἐν ἥπατι καὶ ἐν ἐγκεφάλῳ τὸ αἰσθητικόν, ἢ οὐ τόπῳ οὐδὲ κατὰ μόρια τοῦ σώματος, ἀλλὰ μόνον τῷ λόγῳ, τουτέστι τῇ οὐσίᾳ, 30
ἑτέρα ἐστὶν ἀλλήλων; ἄλλος γὰρ ἑκάστης δυνάμεως ὁ ὁρισμὸς δηλονότι.

---

3 καὶ τῶν σωστικῶν t 5 post θερμόν add. καὶ t 8 δὲ D: δ' ἐπὶ t Arist. ὅτι — ψυχὴ iterat D 8. 9 ὅτι — ἀρχὴ D: ὅτι ἐστὶν ἡ ψυχὴ τῶν εἰρημένων τούτων ἀρχή Arist.: ὅτι ἡ ψυχὴ τούτων ἐστὶν ἀρχὴ τῶν εἰρημένων t 11 ἀποθανατίζειν t 20 λέγει τὴν ψυχὴν coll. t 25 προτάσεως t 27 καὶ εἰ μόριον πότερον D Arist.: καὶ πότερον μόρια t 28 μόνῳ D: μόνον t Arist. 31 ὁ Τίμαιος] Plat. Tim. p. 69 D sqq.

ἐπιλύεται οὖν τοῦτο τῷ αὐτῷ τρόπῳ ὥσπερ καὶ ἐξ ἀρχῆς, ἔκ τε τῶν g 7r
φυτῶν καὶ τῶν ἐντόμων. οὐ γὰρ χαλεπόν, φησίν, ἐπὶ ἐνίων δυνάμεων
τῆς ψυχῆς ἰδεῖν ὅτι οὐκ εἰσι κεχωρισμέναι τῷ τόπῳ. ἐπί τε γὰρ τῶν
φυτῶν διαιρουμένων ἐν ἑκάστῳ τῶν κλάδων εὑρήσεις καὶ τὸ θρεπτικὸν καὶ
5 αὐξητικὸν καὶ γεννητικόν, ὥστε ἡ ἐν τοῖς φυτοῖς ψυχὴ ἐνεργείᾳ μὲν μία
ἐστί, δυνάμει δὲ πολλαί, διότι διαιρουμένου τοῦ φυτοῦ ἐν ἑκάστῳ τῶν 35
διαιρεθέντων τέλειον τῆς ψυχῆς τῆς φυτικῆς τὸ εἶδος ὁρᾶται. ὥστε πρό-
τερον μὲν μία ἦν τῷ ἀριθμῷ πρὸ τῆς διαιρέσεως, μετὰ δὲ τὴν διαίρεσιν
πλείους μὲν τῷ ἀριθμῷ γεγόνασιν, εἶδει δὲ μία. ἔστι γὰρ ἐν τοῖς φυτοῖς
10 δι' ὅλου καὶ ἐν ἑκάστῳ τῶν κλάδων σπέρματι ἀνάλογον ἡ ἐντεριώνη,
ἐν ᾗ ἡ ψυχὴ ἀμερῶς τὸ εἶναι ἔχει· ὅθεν διὰ τὴν ἐκείνης ἀμέρειαν καὶ
ἐν τῷ ἀποτμηθέντι κλάδῳ πᾶσαι αἱ δυνάμεις αὐτῆς εὑρίσκονται. ὁμοίως
καὶ ἐπὶ τῶν ἐντόμων ἔχει· εἰ γὰρ διαιρεθείη ταῦτα, ἕκαστον τῶν διαιρε- 40
θέντων καὶ τὴν αἰσθητικὴν καὶ τὴν κινητικὴν ἔχον δύναμιν ὁρᾶται· εἰ δὲ
15 ἦσαν τῷ τόπῳ διῃρημέναι αἱ τῆς ψυχῆς δυνάμεις, ἔδει τὴν μὲν αἰσθητι-
κὴν δύναμιν ἐν τῷδε εἶναι τῷ μορίῳ, ἐν ἑτέρῳ δὲ τὴν κινητικήν. μᾶλλον
δὲ τοῦ ἐπὶ τῶν φυτῶν παραδείγματος ἕνεκεν ἐλήφθη· πρόκειται γὰρ αὐτῷ
δεῖξαί τινας δυνάμεις τῆς ψυχῆς ἀμερίστους εἶναι τῷ τόπῳ, τὰ δὲ φυτὰ
μίαν ἔχει ψυχικὴν δύναμιν· διὰ γὰρ τὴν γεννητικὴν χρεία τῆς αὐξητικῆς,
20 διὰ ταύτην δὲ τῆς θρεπτικῆς. φησὶν οὖν ὅτι ὥσπερ ἐπὶ τῶν φυτῶν διαι- 45
ρουμένων ἐν ἑκάστῳ τῶν μορίων πᾶσα ἡ ψυχικὴ δύναμις ὁρᾶται, οὕτως
καὶ ἐπὶ τῶν ἐντόμων πλείους ἐχόντων ψυχικὰς δυνάμεις πᾶσαι ἐν ἑκάστῳ
τῶν διαιρεθέντων εὑρίσκονται μορίων. ἐπὶ μὲν οὖν τῆς ἁπτικῆς δυνάμεως
καὶ τῆς κατὰ τόπον κινητικῆς προχωρήσει αὐτῷ ὁ λόγος· ἐπὶ δὲ τῶν
25 λοιπῶν, ὀπτικῆς, ἀκουστικῆς, γευστικῆς, ὀσφραντικῆς, τάχα δὲ καὶ ἐπὶ τῆς
ἐπιθυμητικῆς τε καὶ θυμοειδοῦς, οὐκέτι ἔχει δεικνύναι ὡς οὐκ εἰσι τόπῳ κεχω- 50
ρισμέναι. ἐναργῶς γὰρ κατὰ μόρια τοῦ σώματος διῄρηνται ἀλλήλων, εἰ
μή τις τοῦτο λέγοι ὡς καὶ αὗται ἀμέριστοι ἀλλήλων εἰσί, διότι πᾶσαι ἐκ
τοῦ ἐγκεφάλου προέασιν, ὅθεν εἰ πάθοι τι ὁ ἐγκέφαλος, ἀναίσθητον παντε-
30 λῶς καὶ ἀκίνητον τὸ ζῷον γίνεται. ἐπιτιθεμένου γὰρ ἐπὶ τὸν ἐγκέφαλον
κάρφους πᾶσα αἴσθησις καὶ κίνησις ἀνενέργητος μένει. ἔτι δὲ σαφέστερον
τοῦτο δείκνυται ἐντεῦθεν· εἰ γὰρ ἔμφραξις γένοιτο ἐν τῷ νεύρῳ, ἢ τμη-
θείη ἢ δεθείη, τὸ μὲν ἄνω μέρος τοῦ σώματος αἰσθάνεταί τε καὶ κινεῖται.
τὸ δὲ κάτω ἀκίνητόν ἐστι καὶ ἀναί|σθητον. ὥστε ἐκ τοῦ ἐγκεφάλου πᾶσαι g 7v
35 αἱ αἰσθητικαὶ δυνάμεις προέρχονται· ἐπειδὴ δὲ δέονται ὀργάνων, καὶ ὀργά-
νων οὐ τῶν αὐτῶν, ἐπεὶ καὶ αἱ δυνάμεις διάφοροι, ἑκάστη ἐν τῷ οἰκείῳ
διαφαίνεται ὀργάνῳ. ἴσως οὖν ταύτῃ παραμυθήσαιτο ἄν τις τὴν ἀπορίαν·
ἀλλ' οὐ φαίνεται οὕτω βουλόμενος ἀμερεῖς αὐτὰς εἶναι ὁ Ἀριστοτέλης, ὡς
ἔν τινι μὲν μορίῳ πάσας οὔσας, ἀπ' ἐκείνου δὲ εἰς τὸ λοιπὸν φοιτᾶν

---

17 τὸ ἐπὶ D φοιτῶν t παραδείγμα D 23 εὑρίσκεται D μορίων om. t 25 ἀκουστικῆς A: ἀκουστῆς Dt 28 ἀμερίσται sic t 34 ἔσται t 35. 36 οὐ τῶν αὐτῶν ὀργάνων coll. t

σῶμα, ἀλλὰ ἐν ὅλῳ εἶναι τῷ σώματι ἀμερίστως· τοιούτοις γὰρ ἐχρήσατο g 7v
παραδείγμασιν τῷ τε κατὰ τὰ φυτὰ καὶ τὰ ἔντομα. ἀλλά φασιν ὅτι ἐν
τῷ πνεύματι ἱδρῦσθαι αὐτὰς βούλεται· ὅλον γὰρ δι' ὅλου ἐκεῖνο καὶ ὁρᾶν
καὶ ἀκούειν καὶ ταῖς λοιπαῖς ἐνεργεῖν αἰσθήσεσι, καὶ οὕτως εἶναι ἐν ἐκείνῳ
5 τὰς αἰσθήσεις πάσας, ὡς ἐν τοῖς φυτοῖς τὰς φυτικὰς δυνάμεις καὶ ἐν τοῖς
ἐντόμοις τήν τε ἁφὴν καὶ τὴν κατὰ τόπον κίνησιν· μηδὲ γὰρ διωργανῶσθαι
τὸ πνεῦμα, ἀλλ' ὥσπερ ἐν κεράμῳ παχυνόμενον τὸ ὕδωρ ἤ τι τοιοῦτον 10
ἄλλο συσχηματίζεται τῷ ἀγγείῳ, οὕτω καὶ τὸ πνεῦμα ἐκ τῆς μοχθηρᾶς
ἐν τῷ σώματι τούτῳ διαίτης ὑπὸ τῶν ἐκ ταύτης ἀτμῶν παχύνεσθαι καὶ
10 ἔνθεν ὁρᾶσθαι τὰ ἐν τοῖς τάφοις φαντάσματα ἐσχηματισμένα οἷόν περ καὶ
τὸ σῶμα τοῦτο, διὰ δὲ τὸ εὔπλαστον καὶ εἰς ἕτερα μεταβάλλεσθαι σχήματα
τῇ φαντασίᾳ συνδιαπλαττόμενον. διό φασι καὶ τοῖς καθαρμοῖς κεχρῆσθαι
εἰς τὸ λεπτύνειν τοὺς ἐν αὐτῷ ἐγγενομένους ἀτμοὺς καὶ διαίτης ἐπιμελεῖ-
σθαι τοὺς σπουδαιοτέρους λεπτῆς, καὶ ἀπέχεσθαι πολλῶν ἐδωδίμων, ὅσα 15
15 παχύτερον αὐτὸ ποιεῖ· ὑπὸ γὰρ ἀτμῶν καὶ αὐτὸ τρέφεσθαι. // ἀλλὰ πρὸς
τοῦτο εἴποιμι ἂν ὅτι εἰ μὴ διωργάνωται τὸ πνεῦμα, οὐχ ὑποπεσεῖται τῷ
ὅρῳ ἡ ἐν αὐτῷ ψυχή· ὀργανικοῦ γὰρ σώματος εἶπεν εἶναι τὴν ψυχὴν ἐντε-
λέχειαν· ταύτῃ γὰρ διέκρινε τῶν εἰδῶν τῶν ἀψύχων αὐτήν. καὶ γὰρ
ἐκείνων τὸ εἶδος ἐντελέχειά ἐστιν, ἀλλ' οὐκ ὀργανικὸν σῶμα λίθος καὶ τὰ
20 ὅμοια. εἰ μὲν οὖν καὶ ἡ ἐν τῷ πνεύματι ψυχὴ ὑποπίπτει τῷ ὅρῳ, ἀνάγκη
διωργανῶσθαι τὸ πνεῦμα· εἰ δὲ διωργάνωται, ἀνάγκη συνδιαιρεῖσθαι τοῖς 20
ὀργάνοις τὰ τῆς ψυχῆς μόρια. δῆλον γὰρ ὅτι ἑκάστη δύναμις ἐν ἑκάστῳ
τῶν ὀργάνων ἐνιδρυμένη οὕτως ἐνεργεῖ· οὐ γὰρ δήπου ἐν ἄλλῳ τινὶ ἵδρυται·
ἐν γὰρ τῷ πνεύματι πρώτῳ. εἰ μὲν οὖν ἡ ὄψις, εἰ τύχοι, ὄργανον ἴδιον
25 ἔχουσα οὐ μόνον ἐν αὐτῷ ἐνεργεῖ τῷ ὀργάνῳ, ἀλλὰ καὶ ἐν τοῖς λοιποῖς
μορίοις τοῦ πνεύματος, περιττὸν καὶ μάτην τὸ ὄργανον· εἰ δὲ ἐν αὐτῷ
μόνῳ ἐνεργεῖ καὶ ἐν αὐτῷ μόνῳ ἵδρυται, διὰ τί ἐν ἄλλῳ μὲν μορίῳ τοῦ
πνεύματος ἔχει τὸ εἶναι ἡ ὄψις, ἐν ἄλλῳ δ' ἐνεργεῖ, εἰ μή τις πλασμα- 25
τωδῶς ὑποθοῖτο καὶ ἐν ἐκείνῳ ἐν ἑνὶ μὲν μορίῳ εἶναι πάσας, ἐξ ἐκείνου
30 δ' ἐπὶ τὸ λοιπὸν φοιτᾶν. πόθεν γὰρ τοῦτο οὕτως ἔχον δείξειεν; ὅπερ δ'
ἐπὶ τῆς ὄψεως εἴρηται, τοῦτο δῆλον ὅτι καὶ ἐπὶ τῶν λοιπῶν αἰσθήσεων ἔσται.
εἰ δὲ τοῦτο ἀληθές, ἀνάγκη κατὰ μόρια τοῦ σώματος διῃρῆσθαι τὴν
ψυχήν. εἰ μὲν οὖν διωργάνωται τὸ πνεῦμα, ἕψεται ὅπερ εἶπον, τὸ κατὰ μόρια
διῃρῆσθαι τὴν ψυχήν· εἰ δὲ μὴ διωργάνωται, οὐ περιέξει τὴν ἄλογον ψυχὴν
35 ὁ ὅρος, ἀλλὰ μόνην τὴν φυτικὴν καὶ τὴν λογικήν· ἐν γὰρ τῷ πνεύματι 30
τὸ εἶναι τῇ ἀλόγῳ· εἰ μή τις τοῦτο εἴποι ὅτι ὡς ἐν τούτῳ τῷ σώματι πολι-
τευομένην ὡρίσατο τὴν ψυχήν, ἐπεὶ μηδὲ τὰς τῶν οὐρανίων ψυχὰς περι-
λαμβάνει ὁ ὅρος· οὐδὲ γὰρ ἐκεῖνα διωργάνωται.

---

8. 9 μοχθηρᾶς ἐν τούτῳ τοῦ σώματος διαίτης t 11 εὔπλαστον scripsi coll. p. 20,12: ἄπλαστον Dt 14 ἐδοδίμων t 17 εἶπεν scripsi: εἰπὼν Dt 25 αὐτῷ ἐνεργεῖ A: post αὐτῷ repetunt μόνον Dt 29 ὑπόθητο t 30 φοιτᾶ t 33 τὸ πνεῦμα A: om. Dt

p. 413ᵇ16 Ἔνια δὲ ἀπορίαν ἔχει. g 7ᵛ

Εἰ μὴ καὶ τῷ τόπῳ κεχώρισται. λέγει δὲ περὶ τοῦ νοῦ, ὡς ἐφεξῆς ἐρεῖ.

p. 413ᵇ22 Εἰ δὲ αἴσθησιν, καὶ φαντασίαν καὶ ὄρεξιν· ὅπου μὲν γὰρ αἴσθησις, καὶ ἡδονὴ καὶ λύπη· ὅπου δὲ ταῦτα, ἐξ ἀνάγκης καὶ ἐπιθυμία.

Δείξας ὅτι τὸ αἰσθητικὸν καὶ τὸ κατὰ τόπον κινητικὸν ἀχώριστά εἰσιν ἀλλήλων τῷ τόπῳ, ἐκ τούτων βούλεται συλλογίσασθαι ὅτι καὶ τὸ ὀρεκτικὸν καὶ φανταστικὸν καὶ αὐτὰ ἀχώριστα. καὶ περὶ μὲν τοῦ ὀρεκτικοῦ συλλογίζεται, περὶ δὲ τοῦ φανταστικοῦ οὐκέτι· οὐ γὰρ δοκεῖ αὐτῷ τὸ αἴσθησιν ἔχον εὐθὺς καὶ φαντασίαν ἔχειν. μύρμηκες μὲν γὰρ καὶ μυῖαι καὶ πολλὰ τοιαῦτα ὅτι φαντασίαν ἔχει, πρόδηλον· ἴσασι γὰρ ἑαυτῶν τὰς καταδύσεις· σκώληκες δέ, ὡς ἐν τοῖς ἑξῆς ἐρεῖ, οὐ φαίνονται φαντασίαν ἔχοντες· ὁρῶνται γὰρ πεπλανημένας ποιούμενοι τὰς κινήσεις, ὥστε ἢ οὐκ ἔχουσι τὸ φανταστικόν, ἢ εἰ καὶ ἔχουσιν, ἀμυδρότατον καὶ τοιοῦτον, ὡς μηδὲ δοκεῖν εἶναι. ὅτι μέντοι τὸ αἴσθησιν ἔχον εὐθὺς καὶ ὄρεξιν ἔχει, τοῦτο δείκνυσιν ἐνταῦθα. τὰ γὰρ αἴσθησιν ἔχοντα τοῦ ἡδέος καὶ τοῦ λυπηροῦ ἀντίληψιν ἔχει· τούτου γὰρ διακριτικόν ἐστιν ἡ αἴσθησις, καὶ μάλιστα τῶν ἄλλων ἡ ἁφή· τὸ δὲ τούτων ἀντιλαμβανόμενον φεύγει μὲν τὸ λυποῦν, προσίεται δὲ τὸ ἡδύ. ὁρῶνται γὰρ οἱ κοχλίαι οὕτω, καίτοι μόνης τῆς ἁπτικῆς μετέχοντες, ὕδατος μὲν προσενεχθέντος προϊόντες ἔξω τῶν ὀστράκων ἑαυτῶν καὶ ἐμφορούμενοι, σκληροῦ δέ τινος ἢ τραχέος ἐφαψαμένου συστελλόμενοι· καὶ σπόγγοι δὲ ὁμοίως συστέλλονται ἁψαμένου τινὸς ἀνιαροῦ· τὸ δὲ προσίεσθαι τὸ ἡδὺ καὶ φεύγειν τὸ λυπηρὸν ἐπιθυμίας ἐστὶ καὶ ὀρέξεως. ταῦτα δὲ φαντασίαν ἔχειν οὐκ εὔλογον.

p. 413ᵇ24 Περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέν πω φανερόν.

Εἰπὼν ὅτι ἔνια μόρια τῆς ψυχῆς οὐ χαλεπὸν ἰδεῖν ὅτι ἀχώριστά ἐστιν ἀλλήλων τῷ τόπῳ, καὶ δείξας | ὅτι τὸ αἰσθητικὸν καὶ τὸ κατὰ g 8ʳ τόπον κινητικὸν ἐναργῶς ἀχώριστά ἐστιν ἀλλήλων τῷ τόπῳ, εἶτα ἐκ τούτων καὶ περὶ τοῦ ὀρεκτικοῦ συλλογισάμενος, ἐπεὶ καὶ ὁ νοῦς μόριον εἶναι

---

1 ἔχειν D 5 καὶ ἡδονὴ καὶ λύπη D: ἡδονή τε καὶ λύπη Arist. W: λύπη τε καὶ ἡδονή t Arist. SUX: καὶ λύπη τε καὶ ἡδονή Arist. ETV post ἡδονὴ add. παρακολουθεῖ t et Arist. T 15 δοκεῖν A: δοκεῖ Dt 17 γὰρ om. t 19 τούτων t: τοῦτον D 20 κογχλίαι D οὕτω Diels: οὗτοι Dt 26. 27 οὐδέν πω D Arist. ES: οὐδέπω t Arist. plerique 30 post τόπῳ repetit καὶ δείξας (29) — ἀχώριστά ἐστιν D 31 post εἶναι fort. addendum δοκεῖ

τῆς κοινότερον λεγομένης ψυχῆς, διὰ τοῦτό φησιν ὅτι ἐκ τῶν εἰρημένων g 8r
οὐδὲν ἔχομεν λέγειν φανερὸν περὶ τοῦ νοῦ ὅτι καὶ αὐτὸς ἀχώριστός ἐστι
τῷ τόπῳ τῶν ἄλλων δυνάμεων· οὐ γὰρ ὥσπερ συνελογισάμεθα περὶ τῆς ὀρέ-
ξεως, οὕτω καὶ περὶ τοῦ νοῦ ἐκ τῶν εἰρημένων συλλογίσασθαι δυνατόν. 5
5 εἶτα ἐπειδὴ δοκεῖ αὐτῷ χωριστὸν εἶναι τὸν νοῦν, αὐτὸ τοῦτο ἐπήγαγε·
ταὐτὸν δέ φησι νοῦν καὶ τὴν θεωρητικὴν αὐτοῦ δύναμιν. τοῦ γὰρ νοῦ τὸ
μέν ἐστι θεωρητικόν, τὸ δὲ πρακτικόν. τὸ μὲν οὖν πρακτικὸν ἐκ τῆς
σχέσεως αὐτῷ γίνεται τῆς πρὸς τὸ σῶμα· διὸ μετὰ τὸ ἀπολυθῆναι σώ-
ματος μόνος ἔσται θεωρητικός, οὐκέτι δὲ καὶ πρακτικός. [ὁ] αὐτὸς δ' ἐν
10 τοῖς ἑξῆς τὸν θεωρητικὸν νοῦν τοῦ πρακτικοῦ μόνῳ τῷ τέλει διαφέρειν
φησί, τῷ ὑποκειμένῳ μὴ διαφέροντας, ὡς οὐδὲ τὸ σπέρμα καὶ ὁ καρπός· 10
τῷ μὲν γὰρ θεωρητικῷ τέλος ἐστὶν ἡ τῆς ἀληθείας κατάληψις. τῷ δὲ
πρακτικῷ ἡ τοῦ ἀγαθοῦ. ἐπεὶ οὖν μόνος ὁ θεωρητικὸς νοῦς χωριστός
ἐστι, διὰ τοῦτο προσέθηκε καὶ τῆς θεωρητικῆς αὐτοῦ δυνάμεως.

15 p. 413ᵇ25 Ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον
ἐνδέχεται χωρίζεσθαι, καθάπερ τὸ ἀίδιον τοῦ φθαρτοῦ.

Ἐναργῶς πάλιν διὰ τούτου καὶ ἑτέρας οὐσίας εἶναι τὸν νοῦν καὶ χω- 15
ριστὸν εἶναι τοῦ σώματος καὶ ἀθάνατον ἀπεφήνατο. διὰ δὲ τοῦ εἰπεῖν ὅτι
ἕτερον γένος εἶναι ψυχῆς τὸν νοῦν ἔδειξεν ὅτι ὁμώνυμόν ἐστι τὸ τῆς ψυχῆς
20 ὄνομα. εἶτα ὅτι ὁ μὲν νοῦς μόνος χωριστὴν ἔχει τὴν οὐσίαν, ἡ δὲ λοιπὴ πᾶσα
ψυχὴ ἀχώριστον, ἐπήγαγε τὸ καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι.
εἶτα ἐπειδὴ ὁμώνυμον τὸ χωρίζεσθαι (λέγονται γὰρ καὶ τῶν συμβεβηκότων
τινὰ χωριστά, ἅπερ ἅμα τε χωρίζεται τοῦ ὑποκειμένου καὶ φθείρεται), διὰ
τοῦτο ἐπήγαγε καὶ τί τὸ εἶδος τοῦ χωρισμοῦ· καθάπερ γάρ, φησί, τὸ 20
25 ἀίδιον τοῦ φθαρτοῦ· οὕτω γάρ ἐστι, φησί, χωριστὸς ὁ νοῦς ἀπὸ τῶν
σωμάτων καὶ τῶν ἄλλων τῆς ψυχῆς δυνάμεων, ὥσπερ ἐστὶ χωριστὸν τοῦ
φθαρτοῦ τὸ ἀίδιον. ὥστε φθαρτὰ μὲν τὰ ἄλλα μόρια τῆς ψυχῆς, τοῦτο
δὲ μόνον ἀίδιον, ὁ νοῦς. τὸ δὲ ἔοικεν οὐκ ἐνδοιάζων λέγει. ὡς ἐνόμισεν
ὁ Ἀλέξανδρος, ἀλλ' ἤτοι ὅτι οὔπω περὶ τοῦ νοῦ πρόκειται διδάξαι, ἢ ὅπερ
30 καὶ μᾶλλον, ἀντὶ τοῦ φαίνεται· οὐ γὰρ πάντως τὸ ἔοικε τὴν ἀμφισβήτησιν
σημαίνει. καὶ γὰρ ὁ Πορφύριος λέγων "ἔοικε δὲ μήτε τὸ γένος μήτε τὸ 25
εἶδος ἁπλῶς λέγεσθαι" οὐ δήπου ἐνδοιάζων λέγει· ἐπάγει γοῦν εὐθὺς τὰ
διάφορα αὐτῶν σημαινόμενα. καὶ πολλὰς ἐκ τούτου ἐκλεξάμενος δύναιτο
ἄν τις παραθέσθαι χρήσεις, ἱκανὰ δὲ καὶ τὰ ἤδη εἰρημένα περὶ τοῦ νοῦ
35 δεῖξαι τὴν αὐτοῦ δόξαν. "ποῖον γὰρ μόριον", φησίν, "ἢ πῶς ὁ νοῦς συνέξει.
χαλεπὸν καὶ πλάσαι". ἱκαναὶ δὲ καὶ ἃς ἐν τῷ προοιμίῳ παρεθέμεθα.
πῶς δ' ἄν τις ὅλως κἂν ὑπονοήσειεν αὐτὸν μὴ περὶ τοῦ ἡμετέρου νοῦ,

---

7 ἐκ τῆς A Suid. s. v. Θεωρία: om. Dt 9 ἔσται ὁ θεωρητικός t ὁ delevi
9. 10 ἐν τοῖς ἑξῆς] Γ 10 p. 433ᵃ14. 15 16 ἐνδέχεσθαι D, sed cf. v. 21 25 τῶν
om. D 31 Πορφύριος] Isag. p. 1,18 Busse μήτε τὸ γένος om. D
35. 36 ποῖον — πλάσαι] de an. Λ 5 p. 411ᵇ18

ἀλλὰ περὶ τοῦ θείου ταῦτα λέγειν; οὐ γὰρ ἂν περὶ τοῦ θείου νοῦ εἶπεν g 8r
τὸ οὐδέν πω φανερόν, καὶ ὅτι ἐνδέχεται χωρίζεσθαι. ἢ πῶς ὅλως 30
μόριον εἶναι ψυχῆς τῆς κοινῶς λεγομένης τὸν θεῖον νοῦν εἶπεν; ἄλλως τε
τὸ προκείμενον περὶ τῆς ἡμετέρας ψυχῆς καὶ κοινῶς τῆς ἐν τοῖς θνητοῖς
5 ζῴοις· δῆλον οὖν ὅτι καὶ νοῦν οὐκ ἄλλον τινά φησιν ἢ τὸν ἡμέτερον.
φέρεται δὲ καὶ ἄλλη γραφή, ᾗ κέχρηται καὶ ὁ Ἀλέξανδρος, ἀλλ' ἔοικε
ψυχῆς γένος ἕτερον εἶναι· τοῦτο μόνον ἐνδέχεσθαι. κἂν οὕτω
δὲ ᾖ, τὸ χωριστὸν οὐδὲν ἧττον σημαίνεται. εἰ γὰρ τῶν ἄλλων ἀχω-
ρίστων ὄντων τῆς ψυχῆς μορίων τοῦτο γένος ψυχῆς ἕτερον ἐκείνων ἐστί, 35
10 χωριστὸν πάντως ἂν εἴη, καὶ τὸ ἐνδέχεται χωρίζεσθαι ἀντὶ τοῦ ἐξ ἀνάγκης
ἀκουστέον. ὅτι δὲ τοῦτό φησι, λέγω δὴ ὅτι χωριστὸς ὁ νοῦς, διὰ τῶν
ἑξῆς ἐδήλωσεν "τὰ δὲ λοιπὰ μόρια τῆς ψυχῆς φανερὸν ἐκ τούτων ὅτι οὐκ
ἔστι χωριστά, καθάπερ τινές φασιν", ὡς τοῦ νοῦ δηλονότι χωριστοῦ ὄντος.
καὶ σκόπει ὅπερ εἶπον, ὅτι οὐ περὶ τοῦ θείου, ἀλλὰ περὶ τοῦ ἡμετέρου
15 ὁ λόγος, λέγω δὴ τῆς λογικῆς ψυχῆς· ἐπήγαγε γοῦν "τὰ δὲ λοιπὰ μόρια
τῆς ψυχῆς." οὐ γὰρ δήπου ὁ θεῖος νοῦς μόριον ἂν εἴη ψυχῆς. ὥστε 10
ψυχὴν λαβὼν τὴν ἐκ λόγου καὶ ἀλογίας, ἔτι τε καὶ τῆς φυτικῆς συγκει-
μένην, ταύτης τὸ ἓν μόριον τὸν νοῦν καὶ χωριστὸν καὶ ἀίδιόν φησιν εἶναι,
τὰ δὲ λοιπὰ καὶ ἀχώριστα καὶ φθαρτά.

20 p. 413ᵇ27 Τὰ δὲ λοιπὰ μόρια τῆς ψυχῆς φανερὸν ἐκ τούτων ὅτι οὐκ ἔστι χωριστά, καθάπερ φασί τινες.

Τὰ οὖν λοιπὰ μόρια, φησί, τῆς ψυχῆς πάντα παρὰ τὸν νοῦν φανερὸν
ἐκ τῶν εἰρημένων ὅτι οὐ χωριστὰ οὔτε ἀλλήλων οὔτε τοῦ σώματος, ἀλλή-
λων μέν, ὡς ἐπὶ τῶν διαιρουμένων ἐντόμων δέδεικται, τοῦ δὲ σώματος, 15
25 ὅτι τούτου ἐντελέχειαί εἰσιν· οὔτε γὰρ αἰσθητικὴ ἢ θρεπτικὴ ἢ κινητικὴ
ἢ ὀρεκτικὴ δύναμις ἄνευ τοῦ σώματος· τοῦ γὰρ τρέφεσθαι καὶ αἰσθάνεσθαι
καὶ κινεῖσθαι δυναμένου δυνάμεις εἰσίν. αὐτὸς μέντοι ἄρτι ὅτι μὴ κατὰ
τόπον εἰσὶν ἀλλήλων χωριστὰ λέγων φανερὸν εἶναι ἐκ τῶν δεδειγμένων.
τὸ δὲ τινές φασιν αἰνιττόμενος εἰς Πλάτωνα λέγει, ὃς οὐ τῷ λόγῳ μόνον
30 ἀλλὰ καὶ τόπῳ αὐτὰς διακρίνει, ὡς εἴρηται.

p. 413ᵇ29 Τῷ δὲ λόγῳ ὅτι ἕτερα, φανερόν. 56

Εἰ γὰρ καὶ μὴ κεχώρισται τῷ τόπῳ, ἀλλ' οὖν τῷ ὁρισμῷ οὐ τὰ
αὐτά εἰσιν· ἄλλος γὰρ λόγος αἰσθητικοῦ καὶ ἄλλος τοῦ κατὰ τόπον κινη-
τικοῦ, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

---

4 κοινῶς τοῖς ἐν D 7 εἶναι τοῦτο Dt Arist. S: εἶναι καὶ τοῦτο Arist. reliqui
9 ἐκείνων Diels: ἐκεῖνον Dt 13 τινά t 15 λέγω δὲ t 17. 18 συγκειμένην scripsi: συγκειμένης Dt 19 τὰ δὲ — φθαρτά om. t φθαρτά scripsi: ἄφθαρτα D
20. 21 lemma om. D 23 ὅτι] οὔτι D 28 ἐκ δὲ τῶν t 29 ante τὸ δὲ aliquid excidisse videtur

p. 413b 32 Ἔτι δὲ ἐνίοις μὲν τῶν ζῴων ἅπαντα ὑπάρχει ταῦτα, g 8r
τισὶ δέ τινα. |

Ὅτι τῷ λόγῳ ἕτεραι ἀλλήλων εἰσὶν αἱ τῆς ψυχῆς δυνάμεις, καὶ διὰ g 8v
τούτων κατασκευάζει. αἱ γὰρ τῶν ζῴων διαφοραὶ ἐκ τῆς κατὰ εἶδος τῶν
5 ψυχῶν γίνονται διαφορᾶς· διαφέρουσι δὲ τὰ ζῷα ἀλλήλων τῷ τὰς μὲν
πλείους δυνάμεις ἔχειν τῆς ψυχῆς, τὰς δὲ ἐλάττους. εἰ δὲ ἦσαν πᾶσαι
αἱ ψυχικαὶ δυνάμεις αἱ αὐταὶ τῷ λόγῳ, οὐκ ἂν διέφερον ἑαυτῶν τὰ ζῷα· 5
οὐ γὰρ δὴ κατὰ τὴν διαφορὰν τῆς ὕλης διαφέρουσιν, ὥσπερ λέγουσιν οἱ
Πυθαγόρειοι εἰς διάφορα σώματα ἐμβιβάζοντες τὰς ψυχὰς καὶ ἐκ τῆς δια-
10 φορᾶς τῶν σωμάτων τὰς διαφόρους ἐνεργείας τῶν ψυχῶν γίνεσθαι. εἰ δὲ
τοῦτο ἄλογον (ἕκαστον γὰρ ἐκ τοῦ εἴδους χαρακτηρίζεται, εἴδους δὲ λόγον
ἐπέχει ἡ ψυχή) διαφόρους εἶναι ἀνάγκη τὰς τῆς ψυχῆς δυνάμεις τῷ
ὁρισμῷ, καὶ ἐκ τούτου τὰς διαφορὰς τῶν ζῴων γίνεσθαι, ἐπειδὴ μὴ πάντα
πάσας ἔχει, ἀλλὰ τὰ μὲν πάσας, τὰ δέ τινας, τὰ δὲ μίαν. τὸ δὲ ἐνίοις 10
15 μὲν τῶν ζῴων καὶ τὸ τοῦτο δὲ ποιεῖ διαφορὰν τῶν ζῴων εἶπεν
ἀντὶ τοῦ τῶν ζώντων· τὰ γὰρ μίαν ἔχοντα ψυχικὴν δύναμιν, οἷον τὴν φυ-
τικήν, οὐ ζῷα.

p. 414a 1 Διὰ τίνα δ' αἰτίαν γέγονεν, ὕστερον σκεπτέον.

Τίνος χάριν, φησίν, αἱ μὲν συνημμέναι εἰσὶ καὶ πλείους τῆς ψυχῆς
20 δυνάμεις ἐν τοῖς αὐτοῖς, ἐν ἄλλοις δὲ ἐλάττους, ἐν ἄλλοις δὲ μία μόνη.
ὕστερον ἐροῦμεν, καὶ ἔτι τίνος χάριν αἱ μὲν πρότεραι, αἱ δὲ δεύτεραι·
ἐρεῖ γὰρ ἐν τοῖς ἑξῆς περὶ τούτων. 15

p. 414a 2 Παραπλήσιον δὲ καὶ περὶ τὰς αἰσθήσεις συμβέβηκεν.

Ὅπερ καθόλου ἐπὶ τῶν τῆς ψυχῆς δυνάμεων συμβέβηκε, φησί, τοῦτο
25 καὶ ἐπὶ τῆς αἰσθητικῆς μόνης γέγονε· τὰ μὲν γὰρ τῶν ζῴων πάσας ἔχει
τὰς αἰσθήσεις, τὰ δὲ πλείους, τὰ δὲ μίαν. καὶ τούτων δὲ τὴν αἰτίαν ἐν 20
τοῖς ἑξῆς ἐρεῖ, ἣν ἤδη προείπομεν.

---

1 ἔτι] ὅτι D (ut Arist. U), sed corr. D[1], ut vid. ταῦτα om. t 2 τισὶ δέ τινα D Arist.: ἐνίοις δὲ ἐλάττω, τοῖς δὲ ἓν μόνον t 5 ἀλλήλων τὰ ζῶα coll. t 9 καὶ fort. delendum 12. 13 τῷ ὁρισμῷ scripsi: τῶν ὁρισμῶν Dt 14 ἔχη D 18 διὰ τίνα D Arist.: δι' ἣν t γέγονεν D Arist. UXy: om. t Arist. vulg. ὕστερον σκεπτέον D: ὕστερον ἐπισκεπτέον Arist. vulg.: σκεπτέον ὕστερον t Arist. W

p. 414a4 Ἐπεὶ δὲ ᾧ ζῶμεν καὶ αἰσθανόμεθα διχῶς λέγεται, g 8v
καθάπερ ᾧ ἐπιστάμεθα.

Πρόκειται διὰ τούτων τὸν ὁρισμὸν ἐξηγήσασθαι καὶ ἐκ τοῦ ὅτι μεταβῆναι εἰς τὸ διότι· τῇ μὲν γὰρ φύσει πρῶτον τὸ διότι, ἡμῖν δὲ πρῶτον τὸ ὅτι σαφέστερον. εἰπὼν οὖν ὅτι ἐντελέχειά ἐστιν ἡ ψυχὴ βούλεται νῦν δεῖξαι ὅτι καλῶς ἐντελέχειαν αὐτὴν ὡρίσατο, τουτέστιν οὐσίαν τὴν κατὰ τὸ εἶδος, ὅπερ ἐστὶ τὸ διότι. λαβὼν γὰρ ὅτι τὰ ἔμψυχα τῶν ἀψύχων τῷ ζῆν διαφέρει, ἐκ τούτου δείκνυσιν ἐνταῦθα ὅτι καλῶς τὴν ψυχὴν ἐντελέχειαν εἶναι ὡρίσατο τοῦ φυσικοῦ ὀργανικοῦ σώματος. κατὰ ταύτην γάρ φησι ζῆν τε καὶ αἰσθάνεσθαι τὸ ζῷον, κυρίως μὲν καὶ πρώτως τῇ ψυχῇ, δευτέρως δὲ καὶ δι' ἐκείνην τῷ σώματι· ὥστε εἴπερ εἰδοποιεῖται τὰ ἔμψυχα τῷ ζῆν καὶ τῷ αἰσθάνεσθαι, τούτου δὲ πρώτως αἰτία ἡ ψυχή, αὕτη ἄρα εἶδός ἐστι καὶ ἐντελέχεια τῶν ἐμψύχων. προέρχεται διὰ τοῦτο ἡ κατασκευὴ τοῦτον τὸν τρόπον. πάντα, φησί, τὰ σύνθετα διχῶς λέγονται εἶναι, καὶ κατὰ τὴν ὕλην καὶ κατὰ τὸ εἶδος· καὶ γὰρ πρώτως κατὰ τὸ εἶδος ἕκαστον εἶναι λέγεται ὅπερ ἐστί. δευτέρως δὲ κατὰ τὴν ὕλην. διότι τὸ καθ' ὃ εἶναι λέγεται, τουτέστι τὸ εἶδος, ἐν τῇ ὕλῃ ἐστίν. ἡ δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. λεγόμεθα γάρ, φησίν, ἐπίστασθαι διχῶς, ἐπιστήμῃ τε καὶ ψυχῇ· τῇ τε γὰρ ψυχῇ ἐπιστήμονες εἶναι λεγόμεθα (οὐ γὰρ δὴ τῷ σώματι) καὶ πάλιν τῇ ἐπιστήμῃ ἐπιστήμονες εἶναι· ἀλλὰ κυρίως μὲν καὶ πρώτως τῇ ἐπιστήμῃ, δι' ἐκείνην δὲ καὶ τῇ ψυχῇ (ἐν ταύτῃ γὰρ ἡ ἐπιστήμη), καὶ διὰ τοῦτο ἡ μὲν ψυχὴ ὑποκείμενόν τι καὶ οἷον ὕλη, εἶδος δὲ ἡ ἐπιστήμη. πάλιν ὑγιαίνειν λεγόμεθα ἢ τῇ ὑγείᾳ ἢ τῷ σώματι ἢ τοῖς ὀφθαλμοῖς. ἀλλὰ πάλιν ἐνταῦθα ἐν τῷ συναμφοτέρῳ τούτῳ, τῷ τε σώματι λέγω καὶ τῇ ὑγείᾳ. πρώτως μὲν διὰ τὴν ὑγίειαν ἔχομεν τὸ ὑγιαίνειν, δευτέρως δὲ τῷ σώματι καὶ δι' ἐκείνην, καὶ διὰ τοῦτο τὸ μὲν εἴδους ἐπέχει λόγον, ἡ ὑγίεια, τὸ δὲ ὕλης, τὸ σῶμα. ἡ γὰρ ἐπιστήμη τελειοῖ τὴν ψυχὴν ὥσπερ ἡ ὑγίεια τὸ σῶμα. πρώτως οὖν ὑπάρχει τὸ ὑγιαίνειν τε καὶ ἐπιστήμοσιν εἶναι διὰ τὴν ἐπιστήμην τε καὶ τὴν ὑγίειαν· διὰ γὰρ τὴν ὑγίειαν καὶ τὸ σῶμα ὑγιαίνειν λέγεται, καὶ διὰ τὴν ἐπιστήμην ἐπίστασθαι ἡ ψυχή. ὁμοίως λευκοὶ λεγόμεθα ἢ μέλανες ἢ ἐρυθροὶ πρώτως μὲν διὰ τὸ τοιόνδε χρῶμα, δευτέρως δὲ διὰ τὴν ἐπιφάνειαν, καὶ ἔστιν ἡ μὲν ὑποκείμενον, τὸ δ' εἶδος· ὡσαύτως θερμοὶ εἶναι ἢ ψυχροὶ πρώτως μὲν διὰ τὴν θερμότητα ἢ ψυχρότητα, δευτέρως δὲ διὰ τὸ σῶμα, καὶ ἔστι τὸ μὲν ὑποκείμενον, ἡ δὲ τοιάδε ποιότης εἶδος. ὥσπερ οὖν ἐπὶ τούτων καὶ ἐπὶ πάντων ἔχει, οὕτως ἀνάγκη καὶ ἐπὶ τῶν ἐμψύχων εἶναι. τὸ γὰρ ζῆν διχῶς λέγεται· ζῆν γὰρ ἢ τῷ σώματι λεγόμεθα ἢ τῇ ψυχῇ, ἀλλὰ πρώτως μὲν τῇ ψυχῇ.

---

1 ᾧ D Arist.: ὡς t 3 τοῦτον t 7. 8 τὸ ζῆν t 11 ὥστε εἴπερ A: ὥσπερ Dt 13 διὰ τοῦτο D: om. t: fort. διὰ τούτων 15 καὶ γὰρ — εἶδος (16) om. D 25. 26 et 34 δεύτερον t 26 εἶδος t 27 λόγον ὑγιείας t 30 ὑγιαίνει t 37 τὸ σώματι t

κατὰ δεύτερον λόγον καὶ δι' ἐκείνην τῷ σώματι· τῷ γὰρ ζῆν τὰ ἔμψυχα g 8v
σώματα τῶν ἀψύχων διέφερον, ἅτε δὴ τῆς ζωῆς ἐκ τῆς ψυχῆς παραγινο- 50
μένης. τούτων οὖν ἀνάγκη εἶδος μὲν τὴν ψυχὴν εἶναι, ὥσπερ καὶ ἐπὶ τῶν
ἄλλων πάντων (διὸ πρώτως ἕκαστον ἐλέγετο εἶναι κατὰ τὸ εἶδος ἐν ἑαυτῷ)
5 ὕλην δὲ καὶ ὑποκείμενον τὸ σῶμα. τὸ δὲ οἷον ἐνέργεια τῶν δεκτικῶν
εἶπεν ἀντὶ τοῦ τελειότης· ἔστι γὰρ τοῦ μὲν ἐπιστημονικοῦ, λέγω δὴ τῆς
ψυχῆς, τελειότης ἡ ἐπιστήμη, τοῦ δὲ ὑγιαστοῦ, λέγω δὴ τοῦ σώματος, ἡ
ὑγίεια τελειότης· τὸ γὰρ ὑγιαστὸν καὶ τὸ ἐπιστημονικὸν δυνάμει εἰσὶ καὶ
ἀτελῆ. τελειοῦνται δὲ τῇ ἐπιστήμῃ τε καὶ τῇ | ὑγιείᾳ. ὥστε εἰ τὸ σῶμα h 1r
10 ὕλη, ἡ δὲ ψυχὴ εἶδος, ἔστι δὲ ἡ μὲν ὕλη δύναμις. ἐντελέχεια δὲ τὸ εἶδος,
διότι τελειωτικὸν τοῦ δυνάμει ἐν τῇ ὕλῃ τὸ εἶδος, καλῶς ἄρα ἐντελέχειαν
εἶναι τὴν ψυχὴν ὡρίσατο.

p. 414a11 Δοκεῖ γὰρ ἐν τῷ πάσχοντι καὶ διατιθεμένῳ ἡ τῶν ποιητικῶν ἐνυπάρχειν ἐνέργεια.

15 Ἐπειδὴ εἶπε τὴν ἐπιστήμην καὶ τὴν ὑγίειαν ἐνέργειαν εἶναι τοῦ ὑγιαστοῦ καὶ τοῦ ἐπιστημονικοῦ, ἐπεὶ οὐ τοῦ τυχόντος δοκεῖ ἐνέργεια εἶναι ἡ 5
ἐπιστήμη τε καὶ ὑγίεια, ἀλλὰ τοῦ ἐμποιοῦντος εἰς τὸ ὑγιαστὸν καὶ τὸ ἐπιστημονικόν, οἷον τοῦ ἰατροῦ ἢ τοῦ ἐπιστήμονος, διὰ τοῦτο προσδιωρίσατο
ὅτι ἐν τῷ πάσχοντι καὶ διατιθεμένῳ ἐστὶν ἡ ἐνέργεια τοῦ ποιοῦντος. τοῦτο
20 γὰρ ἔδειξε καὶ ἐν τῇ Φυσικῇ ὅτι μία ἐστὶν ἡ ἀμφοῖν ἐνέργεια τοῦ τε ποιοῦντος καὶ τοῦ πάσχοντος, καὶ ἔστιν αὕτη ἐν τῷ πάσχοντι καὶ οὐκ ἐν τῷ
ποιοῦντι· ἐκεῖνος γὰρ ἀκίνητός ἐστι καὶ τὴν ἰδίαν ἔχει τελειότητα, ὁ δὲ
πάσχων ἐστὶν ὁ κινούμενος καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἀγόμενος. ὑπο- 10
μιμνήσκων οὖν ἡμᾶς τῶν ἐκεῖσε εἰρημένων εἶπεν ταῦτα. διὰ τοῦτο οὖν
25 οὐχ ἁπλῶς ἐνέργεια εἶπεν ἀλλ' οἷον ἐνέργεια.

p. 414a12 Ἡ ψυχὴ δὲ τοῦτο ᾧ ζῶμεν καὶ αἰσθανόμεθα καὶ διανοούμεθα πρώτῳ.

Δείξας τῇ ἐπαγωγῇ ὅτι καθ' ὃ πρώτως ἕκαστον λέγεται, τοῦτο εἶδός
ἐστι, καθ' ὃ δὲ δευτέρως, τοῦτο ὕλη καὶ ὑποκείμενον, μετάγει τὸν λόγον ἐπὶ 15
30 τὸ ζητούμενον, τουτέστι τὸ ἔμψυχον· πρώτως γὰρ τῇ ψυχῇ καὶ ζῆν καὶ
αἰσθάνεσθαι καὶ διανοεῖσθαι λεγόμεθα. οὐκοῦν εἶδος ἡ ψυχή, ὕλη δὲ καὶ
ὑποκείμενον τὸ σῶμα. ζῆν δὲ καὶ αἰσθάνεσθαι καὶ διανοεῖσθαι εἰπὼν τὴν
φυτικήν τε καὶ τὴν ἄλογον καὶ τὴν λογικὴν ψυχὴν ἐδήλωσεν, ἵνα ἐπὶ
πάσης ψυχῆς ἁρμόσῃ τὸν λόγον.

---

2 ἅτε δὲ t 4 ἁπάντων t κατὰ τὸ om. D ἐν ἑαυτοῦ D 6 δὴ scripsi: δὲ Dt 14 ὑπάρχειν Arist. 15 εἶπε scripsi: εἰπὼν Dt 15. 16 ὑγιαστικοῦ t 16 ἐπεὶ οὐ — δοκεῖ om. D τυχοῦντος t 18 προδιωρίσατο t 20 ἐν τῇ Φυσικῇ] Γ 3 p. 202a13 sqq. 27 πρώτως t

p. 414a14 Τριχῶς γὰρ λεγομένης τῆς οὐσίας, καθάπερ εἴπομεν. h 1r

Ὅτι μὲν τριχῶς ἡ οὐσία, ἔδειξε πρὸ ὀλίγου· ἐπεὶ δέ ἐστι τὸ τρίτον σημαινόμενον τῆς οὐσίας τὸ ἐξ ἀμφοῖν, ἔστι δὲ καὶ τὸ ἔμψυχον ἡ ἐξ ἀμφοῖν οὐσία, ἐκ ψυχῆς τε καὶ σώματος, ὧν ἀνάγκη τὸ μὲν εἶδος εἶναι, τὸ δὲ ὕλην (τοῦτο γὰρ ἦν τὸ ἐξ ἀμφοῖν, τὸ ἐξ εἴδους καὶ ὕλης) δέδεικται δὲ ἡ ψυχὴ οὐσία οὖσα ἡ κατὰ τὸ εἶδος, εἴη ἂν τοῦ σώματος τοῦ φυσικοῦ ὀργανικοῦ εἶδος ἡ ψυχή. καὶ οὐ τὸ σῶμα τῆς ψυχῆς εἶδος. εἰ δὲ ἡ ψυχὴ εἶδος, ὕλη ἄρα τὸ σῶμα. ἡ δὲ ὕλη δύναμις, φησί, τουτέστιν ἐν τῷ εἶναι δυνάμει τὸ εἶναι ἔχει· τὸ σῶμα ἄρα δυνάμει. τὸ δ' εἶδος ἐντελέχειά ἐστι τοῦ δυνάμει ὄντος. εἶδος δὲ ἡ ψυχή· ἡ ψυχὴ ἄρα ἐντελέχεια. καλῶς ἄρα ἀπεδόθη ὁ ὁρισμὸς τῆς ψυχῆς ἐντελέχειαν εἶναι λέγων σώματος φυσικοῦ ὀργανικοῦ.

p. 414a19 Καὶ διὰ τοῦτο καλῶς ὑπολαμβάνουσιν, οἷς δοκεῖ μήτε ἄνευ σώματος εἶναι μήτε σῶμά τι ἡ ψυχή.

Δείξας ὅτι καλῶς εἴρηται ἐντελέχεια σώματος ἡ ψυχή, ὅπερ ἦν αὐτῷ προκείμενον δεῖξαι (ὡς γὰρ διὰ τῶν πρώτων μὴ ἱκανῶς τούτου δεδειγμένου. μηδὲ τῆς αἰτίας ἀποδεδομένης δι' ἣν ἡ ψυχὴ ἐντελέχεια. ἐπανῆλθεν ὡς τοῦτο δείξων), ἐκ τῶν οὖν δεδειγμένων ἐπαινεῖ τοὺς μήτε σῶμα τὴν ψυχὴν εἰπόντας εἶναι μήτε ἄνευ σώματος. εἰ γὰρ σώματός ἐστιν ἐντελέχεια, οὐκ ἂν εἴη αὕτη σῶμα· οὐ γὰρ ἡ τινὸς τελειότης ταὐτόν ἐστιν ἐκείνῳ οὗ ἐστι τελειότης. ἀλλ' οὐδὲ ⟨ἄνευ⟩ σώματος ἡ ψυχή (τίνος γὰρ ἂν ἔτι εἴη ἐντελέχεια;) καὶ σώματος τοιούτου, τουτέστι φυσικοῦ ὀργανικοῦ. ἐντεῦθεν δὲ δόξειεν ἂν πᾶσαν ψυχὴν ἀχώριστον λέγειν εἶναι τοῦ σώματος· ἀλλὰ δεῖ εἰς ὅλην τὴν τοῦ φιλοσόφου ἀποβλέπειν ἔννοιαν καὶ τῶν ἔμπροσθεν εἰρημένων περὶ τοῦ νοῦ ἀναμνησθῆναι· ὥστε εἰ πανταχοῦ τὸν νοῦν χωριστὸν καὶ ἀθάνατον ἀποφαίνεται, εἶναι ψυχὴν ἐνταῦθα ἀκουστέον τήν τε φυτικὴν καὶ τὴν ἄλογον. ἄλλως τε καὶ ὁ νοῦς, καθὸ ἐντελέχειά ἐστι τοῦ σώματος, κατὰ τοῦτο ἀχώριστός ἐστιν. ἔστι δὲ ἐντελέχεια τοῦ σώματος οὔτε τῇ οὐσίᾳ οὔτε πάσαις ἑαυτοῦ ταῖς ἐνεργείαις, ἀλλὰ ταύταις ἃς ἴσχει ἐκ τῆς σχέσεως τῆς πρὸς τὸ σῶμα. ὧν μάλιστά εἰσιν αἱ πρακτικαί· αὗται δὲ αἱ ἐνέργειαι ἀχώριστοί εἰσι τοῦ σώματος. καὶ ὥσπερ ὁ κυβερνήτης ἐντελέχεια ὢν τῆς νεώς, καθὸ κυβερνήτης, ἀχώριστός ἐστι τῆς νεώς, ἐπειδὴ δὲ οὐ μόνον κυβερνήτης ἐστὶν ἀλλὰ καὶ ἄνθρωπος, ὡς δὲ ἄνθρωπος

---

5 ὕλης καὶ εἴδους coll. t 18 ἐκ τούτων οὖν t 20 αὕτη] fort. αὐτὴ
21 ἄνευ addidi 22 σώματος] σῶμά τι t 23 εἶναι λέγειν t 31 post σώματος fort. addenda ex A ἅμα γὰρ τῷ φθαρῆναι τὸ σῶμα συμφθείρονται καὶ αἱ τοιαῦται τοῦ νοῦ ἐνέργειαι, ἃς ἐκ τῆς σχέσεως ἔσχε τοῦ σώματος, quae eadem habet Pal.

μὴ ὢν ἐντελέχεια τῆς νεὼς ταύτῃ καὶ χωριστός ἐστιν, οὕτω καὶ ἡ ἡμετέρα h 1v
ψυχὴ ὡς μὲν ψυχὴ ἐντελέχεια οὖσα τοῦ σώματος ταύτῃ ἄνευ σώματος
οὐκ ἂν εἴη, ἐπειδὴ δὲ ἔχει τινὰς καὶ χωριστὰς σώματος ἐνεργείας, τὰς
περὶ τῶν νοητῶν φημι, εἰς ἃς οὐ μόνον οὐ συμβάλλεται τὸ σῶμα ἀλλὰ 45
5 καὶ ἐμποδίζει, πρόδηλον ὅτι καὶ τὴν οὐσίαν ἕξει χωριστήν, νοῦς τότε καὶ
οὖσα καὶ λεγομένη, οὐκέτι μέντοι ψυχὴ εἰ μὴ δυνάμει, ὥσπερ καὶ ἐν σώ-
ματι οὖσα δυνάμει ἔστι νοῦς, ὡς καὶ αὐτός φησι. καὶ εἰ ὅλως πέφυκε
περιφαντάζεσθαι τὰς περὶ τῶν νοητῶν ἀφαντάστους πάντῃ ἐνεργείας, καὶ
τοῦτο μὴ μάτην ἔχει ἐκ φύσεως, ἀνάγκη καὶ ἐνεργῆσαί ποτε οὕτω. καὶ
10 τούτῳ δ' ἕπεται τὸ καὶ τὴν οὐσίαν αὐτῆς χωριστὴν εἶναι· περὶ δὲ τούτων
εἴπομεν ἐν τοῖς ἔμπροσθεν ἀκριβέστερον.

p. 414a22 Καὶ οὐχ ὥσπερ οἱ πρότεροι εἰς σῶμα ἐνήρμοζον αὐτήν, 50
οὐδὲν προσδιορίζοντες ἐν τίνι καὶ ποίῳ.

Καὶ πρότερον ἐμέμψατο τοὺς περὶ ψυχῆς μὲν διαλεγομένους, μηδένα
15 δὲ περὶ τοῦ σώματος ποιουμένους λόγον | τοῦ δεξομένου αὐτήν, ὡς δυνατοῦ h 1v
ὄντος κατὰ τοὺς Πυθαγορικοὺς μύθους τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν
ἐνδύεσθαι σῶμα. καίτοι, φησίν, οὐδὲ φαίνεται τὸ τυχὸν εἶδος εἰς τὸ τυχὸν
γινόμενον ὑποκείμενον· οὐ γάρ ποτε ἡ γλῶττα ψόφοις γένοιτο ἂν ὑποκεί-
μενον, οὐδὲ ἡ ἀκοὴ ὀσφραντοῖς ἢ ἡ ῥὶς χυμοῖς· οὐδὲ κηρὸς δέξαιτο ἄν ποτε
20 τὸ ὀστράκου εἶδος ἢ χαλκοῦ. οὐκοῦν εἰ μὴ τὸ τυχὸν εἶδος ὡς τὸ τυχὸν
γίνεται ὑποκείμενον, εἶδος δὲ ἡ ψυχὴ σώματος, οὐκ εἰς τὸ τυχὸν γενήσεται 5
σῶμα. ὅπερ οἱ παλαιοὶ μὲν οὐ προσδιωρίσαντο, αὐτὸς δὲ προσδιωρίσατο
εἰπὼν 'σώματος φυσικοῦ ὀργανικοῦ'. τῆς γὰρ ἁπλῶς ψυχῆς τὸ ἁπλῶς
ὀργανικὸν σῶμά ἐστιν ὑποκείμενον. ἥνπερ νῦν ὡρίσατο. τῆς δὲ τοιάσδε
25 ψυχῆς τὸ τοιόνδε ὀργανικὸν σῶμα, οἷον εἰ τύχοι λογικῆς μὲν τὸ ὄρθιον
καὶ χερσὶ χρώμενον διὰ τὴν τοῦ λόγου ὑπηρεσίαν, ἄλλης δὲ τὸ γαμψώ-
νυχον διὰ τὸ ἁρπακτικόν, καὶ ἁπλῶς πρὸς τὴν ἐνέργειαν ἑκάστης ψυχῆς
καὶ τὸ τοῦ σώματος κατεσκεύασται σχῆμα. τοῦτο δὲ καὶ ὁ Πλάτων πρὸ 10
αὐτοῦ ἀπεφήνατο, ὡς ἔφθημεν εἰπόντες· περὶ γὰρ τοῦ σχήματος τοῦ ἀν-
30 θρωπίνου σώματος εἰπὼν φησιν 'οὐ γὰρ ἥ γε μήποτε ἰδοῦσα τὸ ὂν εἰς
τόδε ἥξει τὸ σχῆμα'. ὂν δὲ λέγει τὸ νοητόν· τὸ δὲ νοητὸν γινώσκει
μόνως ἡ λογικὴ ψυχή· μόνῃ ἄρα τῇ λογικῇ ψυχῇ τὸ ἀνθρώπειον σῶμα
οἰκεῖον. οὕτω δὲ γίνεται κατὰ λόγον· ἑκάστου γὰρ ἡ ἐντελέχεια ἐν τῷ
δυνάμει ὑπάρχει καὶ τῇ οἰκείᾳ ὕλῃ πέφυκεν ἐγγίνεσθαι. ὡς μὲν οὖν
35 ἐκεῖνοι, φησίν, ἔλεγον περὶ ψυχῆς μηδὲν προσδιορίζοντες περὶ τοῦ δεκτικοῦ 15

---

1 ἀχώριστος D 4 οὐ (post μόνον) om. D 12 πρότεροι D: πρότερον t Arist. 13 οὐθὲν t Arist. προσδιορίζοντες Arist. vulg. et v. 35 Dt: διορίζοντες D: προσδιορίσαντες t Arist. SUX 14 ἐμέμψαντο t μὲν om. t 15 τοῦ (post περὶ) om. t 19 οὐ κηρὸς t 26 ἄλλης scripsi: ἄλλοις Dt 28 τὸ om. t κατεσκευάσθαι σῶμα t 30 φησιν] Plat. Phaedr. p. 249 B τὸ ὂν] τὴν ἀλήθειαν Plato 31 ἥξει] ἕξει t 32 μόνης ἡ t ἀνθρώπινον t

σώματος, οὔτε κατὰ λόγον ἐστὶν οὔτε τοῖς φαινομένοις ἀκόλουθον· ὡς δὲ h 1ᵛ
ἡμεῖς εἴπομεν τοιοῦδε φήσαντες ἐντελέχειαν σώματος τὴν ψυχήν, καὶ τὰ
φαινόμενα οὕτως ἔχοντα μαρτυρεῖ καὶ ὁ λόγος. ἡ γάρ τινος, φησίν, ἐντε-
λέχεια ἐν ἐκείνῳ γίνεσθαι πέφυκεν. ὃ φύσει ἔχει δύναμιν τοιοῦτον εἶναι·
5 τοιοῦτον δέ ἐστιν ἡ ἑκάστου προσεχὴς ὕλη· οὐδὲ γὰρ ἡ τυχοῦσα ὕλη τὸ
τυχὸν εἶδος δέξασθαι δύναται· οὐδὲ γὰρ κηρὸς δέξαιτο ἄν ποτε τὸ τῆς
οἰκίας εἶδος οὐδὲ πάπυρος τοῦ πλοίου, οὐδὲ τὸ τυχὸν ἄρα σῶμα τῆς τυ- 20
χούσης ψυχῆς δεκτικὸν ἂν εἴη. ἀνάγκη ἄρα τῷ περὶ ψυχῆς λόγῳ καὶ
τὸν περὶ τοῦ δεκτικοῦ σώματος συνεισάγεσθαι, ἐπεὶ καὶ τῶν πρός τι ταῦτα,
10 ἡ ὕλη φημὶ καὶ τὸ εἶδος, τὰ δὲ πρός τι χωρὶς ἀλλήλων ἢ εἶναι ἢ γνω-
σθῆναι ἀδύνατον, ᾗ τοιαῦτά ἐστι.

p. 414ᵃ29 Τῶν δὲ δυνάμεων τῆς ψυχῆς αἱ λεχθεῖσαι τοῖς μὲν ὑπάρχουσι πᾶσαι, καθάπερ εἴπομεν, τοῖς δέ τινες αὐτῶν, ἐνίοις δὲ μία μόνη.

15 Ὅπερ ὑπέσχετο πρὸ ὀλίγου ἐρεῖν περὶ τῶν δυνάμεων τῆς ψυχῆς, τίσι 25
τίνες τε καὶ πόσαι ὑπάρχουσι, καὶ διὰ τίνα αἰτίαν καὶ ποῖαι, τίνων δυνά-
μεις ἀχώριστοί εἰσι καὶ τίνες τίνων χωρίζονται, τοῦτο νῦν λέγει, ὅτι ταῖς
μὲν κρείττοσιν αἱ χείρους ἀκολουθοῦσι καὶ ἀχώριστοι αὐτῶν εἰσιν, αὗται
μέντοι δίχα τῶν κρειττόνων εἶναι δύνανται. τοῖς μὲν γὰρ ὑπάρχει μόνη ἡ
20 φυτική, τοῖς δὲ πρὸς ταύτῃ καὶ ἡ αἰσθητική, οἷς ἕπεται πάντως καὶ ἡ
ὀρεκτική· πᾶν γὰρ τὸ αἰσθήσεως μετέχον ἀνάγκη μετέχειν καὶ ὀρέξεως,
ὡς ἤδη τε ἔδειξε πρὸ ὀλίγου καὶ νῦν δείξει· τοῖς δὲ πρὸς τοῖς εἰρημένοις 30
καὶ ἡ διάνοια, οἷον ἀνθρώποις ἤ τισιν ἄλλαις τοιαύταις ἢ καὶ κρείττοσι
δυνάμεσιν. ἅμα δὲ διὰ τούτων δείκνυται ὅτι ἔστι τὸ πρῶτον καὶ τὸ δεύ-
25 τερον ἐν ταῖς ψυχαῖς.

p. 414ᵃ31 Δυνάμεις δὲ εἴπομεν θρεπτικόν.

Σημειωτέον ὅτι ἐν τῇ καταριθμήσει τῶν ψυχικῶν δυνάμεων πρότερον μὲν τὸ ὀρεκτικὸν οὐκ ἐνέθηκε καθ' αὑτὸ ὡς πάντως τῷ αἰσθητικῷ συνεζευγμένον, ἔνθα ἔλεγεν ὅτι τούτοις ὥρισται ἡ ψυχή, θρεπτικῷ, αἰσθητικῷ, 40
30 διανοητικῷ, κινήσει, νῦν δὲ καὶ αὐτὸ ἐγκατέλεξε ταῖς ἄλλαις δυνάμεσιν. ἑτέροις δὲ τοῦτό τε καὶ τὸ αἰσθητικὸν καὶ τὸ ὀρεκτικόν, ἑτέροις ἀντὶ τοῦ τοῖς ζῴοις. ἐπάγει γὰρ τὰ δὲ ζῷα πάντα ἔχουσι μίαν τῶν αἰσθήσεων, τὴν ἁφήν. τὰ οὖν ζῷα, φησί, μετέχει τῆς τε θρεπτικῆς καὶ αἰσθήσεως καὶ ὀρέξεως. εἶτα πάνυ ἐναργῶς τοῦτο κατασκευάζει ὅτι

3 ἢ γὰρ D 7 οἰκείας D πάπυρον t 8 ἀνάγκης t 11 ἀδύνα τ D
13 ἐνυπάρχουσι t 13. 14 ἐνίοις οὐδὲ μία D 15 ἐρεῖν marg. D¹: εὑρεῖν in textu Dt 17 νῦν] μὲν t 18 αἱ χεῖρες t 21 τὸ om. t 31 post αἰσθητικὸν add. εἰ δὲ τὸ αἰσθητικόν Arist. vulg. 33 τε om. t 34 καὶ αἰσθήσεως καὶ ὀρέξεως om. D

πάντως, ἔνθα κἂν μία αἴσθησις ᾖ, πάντως ἀνάγκη ἐπιθυμίαν εἶναι καὶ h 1v
ὄρεξιν. διὰ τοῦτο γοῦν τὰ ζῷα αἴσθησιν ἔχει πάντα· ἐν πᾶσι γὰρ πάν-
τως ἐστὶν ἡ ἁφή, κἂν μή τις ἄλλη τῶν αἰσθήσεων· ἡ δὲ αἴσθησις τοῦ 45
ἡδέος καὶ τοῦ λυπηροῦ ἀντιλαμβάνεται· ἔνθα δὲ τὸ ἡδύ, ἐκεῖ πάντως καὶ
5 ἐπιθυμία καὶ ὄρεξις· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος ἐστὶν ἔφεσις. ὅθεν καὶ τὰ
μόνης τῆς ἁφῆς μετέχοντα ὁρῶνται διαχεόμενα μὲν προσιόντων τῶν ἡδέων,
συστελλόμενα δὲ λυπηροῦ τινος προσπελάσαντος. εἰπὼν δὲ ὅτι ᾧ δὲ
αἴσθησις ὑπάρχει, τούτῳ καὶ ἡδονὴ καὶ λύπη, προσέθηκε δὲ καὶ
τὸ ἡδὺ καὶ τὸ λυπηρόν. καλῶς δὲ πάνυ καὶ χρησίμως ἐχρήσατο τῇ
10 μεταβάσει· ἡ γὰρ ὄρεξις οὐκ ἔστιν ἡδονῆς ἀλλὰ τοῦ ἡδέος. ὁρίζει δὲ τὴν 50
ὄρεξιν ἐπιθυμίᾳ. θυμῷ. βουλήσει· ἕκαστον γὰρ τούτων ὄρεξίς τίς ἐστι.
δῆλον δὲ ὅτι ἁπλῶς μὲν ὄρεξις ἡ τῷ αἰσθητικῷ ὑπάρχουσα, οὐ πᾶσα
δὲ ὄρεξις. τοῖς μὲν γὰρ τὴν ἁφὴν μόνην ἔχουσιν ἡ κατὰ ἐπιθυμίαν
ὑπάρχει ὄρεξις, τοῖς δὲ πάσας τὰς αἰσθήσεις καὶ ἡ κατὰ θυμόν· ὁρῶνται
15 γὰρ τὰ τοιαῦτα ἀμυντικὰ εἶναι· ἡ δὲ βούλησις μόνου ἐστὶ τοῦ λόγου.
ὥστε ὁμώνυμος ἡ ὄρεξις, καὶ ἡ ἐπιθυμία δὲ ὡσαύτως, καὶ ὥσπερ ἡ διά-
θεσις ἔστι μὲν | καὶ ἐπὶ τῆς ἕξεως κατηγορουμένη κοινῶς, ἔστι δὲ πάλιν h 2r
καὶ ἀντιδιαστελλομένη πρὸς τὴν ἕξιν ἰδικωτέρα, οὕτω καὶ ἡ ὄρεξις λέγεται καὶ
κοινῶς ἐπί τε θυμοῦ καὶ ἐπιθυμίας καὶ τοῦ λόγου (καὶ γὰρ τῶν θείων ὀρέγεσθαί
20 φαμεν καὶ ἐπιστήμης ὀρέγεσθαι), ἔστι δὲ καὶ ἰδικώτερον λεγομένη ὄρεξις
ἐπὶ τῶν φυσικῶν κινήσεων ἀντιδιαστελλομένη πρὸς τὸν λόγον· καὶ ἡ ἐπι-
θυμία ὡσαύτως ἡ μέν ἐστι κοινή, ἡ δὲ ἀντιδιαστελλομένη πρὸς θυμὸν καὶ 5
τὸν λόγον.

p. 414b6 Ἔτι τε τῆς τροφῆς αἴσθησιν ἔχουσιν· ἡ γὰρ ἁφὴ τῆς
25 τροφῆς αἴσθησις.

Ὅτι τὰ αἰσθήσεως μετέχοντα καὶ ὀρέξεως μετέχει, κἂν μίαν μόνην
τῶν αἰσθήσεων ἔχῃ τὴν ἁφήν, ἔδειξεν ἤδη κοινότερον καὶ ὁλοσχερέστερον
τῷ συναισθάνεσθαι τοῦ ἡδέος καὶ τοῦ λυπηροῦ· τὰ δὲ τούτων συναισθα- 10
νόμενα προσίεται μὲν τὸ ἡδύ, ἀποστρέφεται δὲ τὸ λυπηρόν· ὃ δὲ προσίεταί
30 τι, τοῦτο καὶ ἐπιθυμεῖ· ἡ δὲ ἐπιθυμία ὄρεξίς τις (διὰ τοῦτο γὰρ καὶ τὴν
διαίρεσιν τῆς ὀρέξεως ἐποιήσατο)· τὰ ἄρα αἰσθήσεως μετέχοντα δι' αὐτὸ
τοῦτο καὶ ὀρέξεως μετέχει. νῦν δὲ προσεχέστερον καὶ ἰδικώτερον αὐτὸ
τοῦτο δείκνυσιν, ὅτι τὰ τὴν ἁφὴν ἔχοντα πάντως καὶ ὄρεξιν ἔχει. ἡ γὰρ
ἁφή, φησί, τούτων αἰσθάνεται, οἷς τρέφεται τὸ ζῷον, τρέφεται δὲ ἐξ ὧν 15
35 καὶ συνέστηκε, συνέστηκε δὲ ἐκ τῶν τεσσάρων ποιοτήτων, ξηρᾶς, ὑγρᾶς,

---

12. 13 ὄρεξις τῷ αἰσθητικῷ ἁπλῶς ὑπάρχουσα φαίνεται, οὐ πᾶσα δὲ ὄρεξις παντὶ αἰσθητικῷ. τοῖς μὲν γὰρ A 18 ἰδικώτερον t 20 λεγομένη A: λέγομεν ἡ Dt 22 ἡ δὲ] καὶ t 24 ἔτι τε D: ἔτι δὲ t Arist. vulg.: ἔτι Arist. EWy 27 post ὁλοσχερέστερον repetit ὅτι — μετέχει (26) t 28 τῷ A corr. D^2: τοῦ D^1: ἐκ τοῦ t τὰ δὲ] fort. τὰ γὰρ 30 διὰ γὰρ τοῦτο coll. t 31 ἄρα A: ἅπερ Dt

θερμῆς, ψυχρᾶς, ὡς ἐν τῷ Περὶ γενέσεως ἔδειξεν· ἐκ τούτων ἄρα καὶ h 2r
τρέφεται· ἕκαστον γὰρ τῷ οἰκείῳ τρέφεται. ἔτι καὶ πῶς τούτοις τρέφεται
ἔδειξεν· ἡ γὰρ τροφή, φησί, διὰ θερμῶν γίνεται καὶ ξηρῶν, τὸ δὲ ποτὸν
διὰ ὑγρῶν καὶ ψυχρῶν· τούτων δὲ τῶν ποιοτήτων ἡ ἁφὴ κριτική. οἷς δὲ
5 αἴσθησις τῶν τρεφόντων, τούτοις καὶ πεῖνα καὶ δίψα· ἑκάτερον δὲ ἐπιθυ-
μία δι' ἔνδειαν τῶν τρεφόντων, ἡ δὲ ἐπιθυμία ὄρεξις. ξηροῖς γὰρ καὶ θερ-
μοῖς καὶ ψυχροῖς καὶ ὑγροῖς τρέφεται τὰ ζῶντα πρώτως· ἡ γὰρ τῶν μὴ 20
τοιούτων χυμῶν ἔφεσις κατὰ συμβεβηκὸς γίνεται· οἷον γὰρ ἡδύσματα
τῶν τροφῶν εἰσιν οἱ χυμοί, ὡς αὐτός φησι. καὶ ὅτι μὲν τὸ ποτὸν διὰ
10 ψυχρῶν γίνεται καὶ ὑγρῶν, καὶ οἱ ἰατροί φασιν· γίνεσθαι γὰρ τὴν δίψαν
μὴ μόνον διὰ ξηρότητα, ἀλλὰ καὶ διὰ θερμότητα, ὥστε καὶ ὑπὸ ψυχροῦ
μόνου ἀέρος παραμυθεῖσθαι τὴν τοιαύτην δίψαν. ὥστε εἰ τὸ ποτὸν τῆς
δίψης ἐστὶ φάρμακον ('πίον τε' γάρ, φησὶν Ὅμηρος, 'ἀκέοντό τε δίψαν'),
ἡ δὲ δίψα διὰ ξηρότητα γίνεται ἢ θερμότητα (ἐν μὲν τοῖς πυρετοῖς προ- 25
15 φανὲς ὡς θερμότης τῆς δίψης αἴτιον· πολλάκις οὖν καὶ τῆς γαστρὸς ὑγρότη-
τος πεπληρωμένης ποτοῦ γίνεται ἔφεσις· ὅτι δὲ καὶ διὰ ξηρότητα γίνεται * *)
οὐκοῦν εἰ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, ἡ δὲ δίψα διὰ ξηρότητα γίνεται
ἢ θερμότητα, ψυχρῷ ἄρα καὶ ὑγρῷ τὸ ποτὸν γίνεται. εἰ δὲ καὶ θερμὸν
πολλάκις ἐν τῷ ποτῷ παραλαμβάνομεν, τοῦτο κατὰ συμβεβηκὸς ποιοῦμεν
20 δι' ἀσθένειαν, εἰ τύχοι, στομάχου ἢ διὰ συνήθειαν, ὥσπερ καὶ τοὺς ἡδεῖς
τῶν οἴνων καὶ τὰ προπώματα διὰ τὴν ἡδονὴν παραλαμβάνομεν, οὐ διὰ τὴν 30
δίψαν. εἰ τοίνυν τὸ ποτὸν ψυχροῖς γίνεται καὶ ὑγροῖς, ἡ τροφὴ ἐξ ἀνάγκης
ξηροῖς γενήσεται καὶ θερμοῖς. εἰ γὰρ ἐξ ὧν ἐσμεν, τούτοις καὶ τρεφό-
μεθα, ἐσμὲν δὲ ἐκ ξηρῶν καὶ ὑγρῶν καὶ θερμῶν καὶ ψυχρῶν, πεῖνα δὲ
25 καὶ δίψα ἔφεσις ἀναπληρώσεως τοῦ διαφορηθέντος ἐκ τῆς οὐσίας ἡμῶν,
διαφορούμεθα δὲ κατὰ πάσας τὰς ποιότητας ἐξ ὧν συγκείμεθα, γίνεται
δὲ τὸ ποτὸν ψυχροῖς καὶ ὑγροῖς, ἡ τροφὴ ἄρα ξηροῖς καὶ θερμοῖς ἐξ ἀνάγ-
κης γενήσεται. εἰ γὰρ μὴ ἔστιν ἕτερον εἶδος τροφῆς παρά τε τὸ ποτὸν 35
καὶ τὴν ἰδίως λεγομένην τροφήν (ἔστι γὰρ καὶ τὸ ποτὸν τροφή τις). ἀνάγκη
30 δὲ τὴν τροφὴν ἐκ τῶν αὐτῶν γενέσθαι, ἐξ ὧν καὶ συνεστήκαμεν, ἀνάγκη
πᾶσα τοῦ ποτοῦ ψυχροῖς καὶ ὑγροῖς γινομένου, τὴν τροφὴν ξηροῖς γενέσθαι
καὶ θερμοῖς. καὶ εἰ τροφὴ φυτῶν ἡ κόπρος, αὕτη δὲ θερμή, οὐ μόνοις
ἄρα ξηροῖς ἡ τροφὴ γίνεται, ἀλλὰ καὶ θερμοῖς. καὶ εἰ προσενεχθεὶς οἶνος
πολλάκις ἔπαυσε πεῖναν καὶ δῆλον ὅτι οὐχ ᾗ ὑγρός (μᾶλλον γὰρ ἂν τοῦτο
35 ἐποίησεν ὕδωρ· νῦν δὲ οὐ ποιεῖ), δῆλον ἄρα ὅτι ᾗ θερμὸς εὕρεψε· καὶ 40
θερμῷ ἄρα ἡ τροφὴ γίνεται.// ἔστι δὲ εἰς τοῦτο αὐτὸ καὶ λογικώτερον
ἐπιχειρῆσαι. ἡ ἐκ τῶν κοινοτέρων εἰς τὰ ἰδικώτερα διαίρεσις κατά τινα

---

1 ἐν τῷ Περὶ (τῆς add. D) γενέσεως] B 2 p. 329ᵇ7 sqq. 4 ψυχρόν t 6 δι' ἔνδειαν — ἐπιθυμία A: om. Dt 13 Ὅμηρος] Il. X 2 πίον τ' Il. l. l.: πίοντο Dt 14 post μὲν addendum γὰρ 15. 16 ὑγρότητος scripsi: ὑγρότης Dt 16 ποτοῦ] ποτὲ D ὅτι δὴ t post γίνεται addendum φανερόν 19 ποτῷ] πότῳ D²: τόπῳ D¹t 25 ἡμῶν] ἡμᾶς t 35 ᾗ scripsi: ἡ D: εἰ t 36 εἰς om. t 37 κοινωτέρων D

ἀντίθεσιν γίνεται τῶν ἀντικειμένων· οἷον διαιρεῖται ἡ οὐσία εἰς τὸ σῶμα h 2r
καὶ τὸ ἀσώματον, πάλιν τὸ σῶμα εἰς τὸ ἔμψυχον καὶ τὸ ἄψυχον, καὶ τὸ
ζῷον εἰς τὸ λογικὸν καὶ τὸ ἄλογον, καὶ τὸ λογικὸν εἰς τὸ θνητὸν καὶ τὸ
ἀθάνατον. καὶ δῆλον ὅτι τούτων ἡ ἀντίθεσις ὡς ἡ τῶν κατὰ στέρησίν
5 ἐστιν καὶ ἕξιν· ἐπεὶ γὰρ μὴ εἴχομέν τι κατηγορῆσαι τῆς ἀσωμάτου οὐσίας, 45
ἀπεφήσαμεν αὐτῆς τὸ σῶμα, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ἡ μέντοι τοῦ
ἐμψύχου διαίρεσις εἰς τὸ ζῷον καὶ ζώφυτον καὶ φυτὸν καὶ αὕτη τοι κατά
τινα τοιαύτην ἀντίθεσιν εἴληπται· ὃ γὰρ ὑπάρχει τῷ ζῴῳ ἰδίως, τούτου
ἐστέρηται τὸ ζώφυτον, καὶ ὃ τούτῳ ὑπάρχει, τούτου ἐστέρηται τὸ φυτόν.
10 ἔτι τοῦ χρώματος ἡ διαίρεσις πρώτως εἰς τὸ λευκὸν γίνεται καὶ μέλαν
(τὰ γὰρ ἄλλα ἐκ τούτων) ταῦτα δ' ἐναντία, καὶ τοῦ ἀριθμοῦ εἰς τὸν
περιττὸν καὶ τὸν ἄρτιον. ὥσπερ δὲ ἡ διάθεσις διαιρεῖται εἴς τε τὴν ἕξιν 50
καὶ τὴν ἰδίως λεγομένην διάθεσιν, οὕτως ἡ τροφὴ εἰς τὴν ἰδίως τροφὴν
καὶ τὸ ποτόν. οὐκοῦν καὶ τούτων τὴν διαίρεσιν τὴν ἐκ τοῦ κοινοτέρου
15 κατά τι τῶν ἀντικειμένων ληπτέον. ἀλλὰ μὴν οὔτε ὡς τὰ κατὰ στέρησιν
καὶ ἕξιν δυνατὸν λαβεῖν οὔτε κατάφασιν καὶ ἀπόφασιν οὔτε πολλῷ μᾶλλον
ὡς τὰ πρός τι· μόνως ἄρα ὡς τὰ ἐναντία ληπτέον ἀντιδιῃρῆσθαι. εἰ
τοίνυν τὸ ποτὸν ψυχρῶν ἐστι καὶ ὑγρῶν, ὡμολογημένως ἡ τροφὴ ξηρῶν
ἔσται καὶ θερμῶν. | οὐδὲν δὲ θαυμαστόν, εἰ ἅμα τῶν ἐναντίων πολλάκις h 2v
20 ἐφιέμεθα, λέγω δὴ ποτοῦ τε καὶ τροφῆς, ταὐτὸν δὲ εἰπεῖν ξηροῦ καὶ
ὑγροῦ, θερμοῦ καὶ ψυχροῦ· καὶ γὰρ ἐκ τούτων ἔχομεν τὴν σύστασιν, ὧν
διαφορουμένων εἰκότως εἰς ἀναπλήρωσιν τούτων κινεῖται ἡ ὄρεξις. τοῦ
γὰρ ὁμοίου τὸ ὅμοιον ἐφίεται· ἑκάστου οὖν τῶν στοιχείων ἐλλείποντος,
εἰκότως πάντων γίνεται ἔφεσις. ἐξ οὗ μάλιστα δῆλον ὡς ξηρῶν μὲν καὶ
25 θερμῶν ἡ τροφή, ψυχρῶν δὲ καὶ ὑγρῶν τὸ ποτόν. εἰ γὰρ ἐκ τῶν τεσσά- 5
ρων συνεστήκαμεν, πάντων δὲ γίνεται διαφόρησις, πεῖνα δὲ καὶ δίψα πληρώ-
σεώς ἐστιν ἔφεσις τῶν διαφορηθέντων, θερμῶν ἄρα καὶ ξηρῶν, ψυχρῶν καὶ
ὑγρῶν ἔφεσις πεῖνα καὶ δίψα· αὗται γὰρ μόναι τῶν διαφορηθέντων ὀρέξεις.
καὶ ὅτι ξηρῶν μὲν πεῖνα, ὑγρῶν δὲ δίψα, προφανές· θερμὸν δὲ καὶ
30 ψυχρὸν πῶς μεριστέον; εἰ μὲν γὰρ τῇ δίψῃ τὸ θερμὸν ἀπονείμωμεν,
ἄτοπον· ἐν γὰρ πυρετοῖς, ὡς εἶπον, προφανῶς ψυχροῦ ἡ ἔφεσις· θερμότης
γὰρ τὸ ἐνοχλοῦν· συμβήσεται οὖν τὴν αὐτὴν καὶ μίαν ἔφεσιν τῶν ἐναντίων 10
εἶναι, καὶ τῶν δύο ἐναντιώσεων τὰ τρία μόρια τῇ μιᾷ ὀρέξει ἀποδώσομεν.
ἄμφω δὲ ἄτοπα, καὶ εὔλογον δύο μὲν οὐσῶν τῶν ὀρέξεων, δύο δὲ τῶν
35 ἀντιθέσεων, ὧν αἱ ὀρέξεις γίνονται, ἑκατέρας ἀντιθέσεως ἕν τι μόριον
ἑκατέρᾳ τῶν ὀρέξεων ἀπονεῖμαι τὴν φύσιν. ὅταν δὲ λέγω ψυχροῦ ἔφεσιν,
οὐ πάντως τῇ θίξει λέγω ψυχροῦ, ἀλλὰ πάντως τῇ δυνάμει. πολλάκις δὲ
καὶ τοῦ ἑτέρου τούτων γίνεται ὄρεξις, οἷον ἢ τροφῆς ἢ ποτοῦ, ὅταν τὸ

---

4 τῶν om. t 7 et 9 ζωόφυτον t 8 τὸ ζῶον D 12 τὸν om. t
13 οὕτω καὶ ἡ t 14 κοινωτέρου D 15 τὰ om. t 18 ὡμολογημένως scripsi:
ὁμολογημένως Dt 20 λέγω δὲ t 27 διαφωρηθέντων t 29 δὲ (post θερμὸν) om. t
32 συμβήσεται οὖν] καὶ ἄλλως συμβήσεται A 35 γίνονται scripsi: γίνεται Dt 36 δὲ
A: om. Dt ἔφεσιν A: ἔφεσις Dt 37 δὲ] ἢ t 38 ποτοῦ] δίψης D

ἕτερον τούτων ἐνδεῶς ἔχῃ. λέγω δὴ τὸ ξηρὸν καὶ θερμόν, ἢ τὸ ὑγρὸν καὶ h 2ᵛ
ψυχρόν. ὅτι δὲ ἡ μὲν τροφὴ οὐ μόνον ξηρῶν ἐστιν ἀλλὰ καὶ θερμῶν,
καὶ τὸ ποτὸν οὐ μόνον ὑγρῶν ἀλλὰ καὶ ψυχρῶν, κατεσκεύαζε καὶ οὕτως
ὁ φιλόσοφος· τὸ γὰρ ξηρόν, φησί, γῆς· ἐκ ταύτης ἡ καπνώδης ἀναθυμίασις,
5 αὕτη δὲ θερμή· ὁμοίως, φησί, καὶ ἐκ τῶν ὑγρῶν ἡ ἀτμιδώδης, αὕτη δὲ
ψυχρά· συνέπεται ἄρα τῷ μὲν ξηρῷ τὸ θερμόν, τῷ δ' ὑγρῷ τὸ ψυχρόν.
τοῦτο δὲ οὐκ ἐχυρόν· πᾶν γὰρ εἰς πᾶν μεταβάλλει, καὶ μάλιστα τὰ ἐναντία
εἰς τὰ ἐναντία. ταύτῃ οὖν τὰ ὑγρῶν καὶ θερμῶν ἐφιέμενα καὶ τῶν 20
ἐναντίων ἐφίεται, ὅπερ ἄλογον. ἐκ δὲ τῶν εἰρημένων ἔχεις τὴν αἰτίαν δι'
10 ἣν προτετίμηται τῶν αἰσθήσεων πασῶν ἡ ἁφή, καὶ ταύτης μὴ οὔσης
οὐδεμία ἄλλη εἶναι δύναται, ἄνευ δὲ τῶν ἄλλων αὕτη, διότι τούτων
ἐστὶν ἀντίληψις. ἐξ ὧν τὸ εἶναι ἔχομεν· μὴ οὔσης οὖν τῆς ἁπτικῆς
αἰσθήσεως ἀντίληψιν οὐκ ἴσχομεν τῆς διαφορηθείσης ἡμῶν οὐσίας. οὕτω δ'
ἂν οὐδ' ὀρεγοίμεθα τοῦ λείποντος. εἰ δὲ τοῦτο, οὐδὲ τῆς πληρώσεως ἔφεσιν
15 ἔξομεν, ἐξ οὗ σώζεται τὸ ζῷον καὶ μὴ ὄντος ἐξ ἀνάγκης φθαρήσεται. 25

p. 414ᵇ9 Τῶν δὲ ἄλλων αἰσθητῶν κατὰ συμβεβηκός.

Διττὴν εἰς τοῦτο φέρουσι τὴν ἐξήγησιν. ἢ γὰρ τὴν ἁφὴν φησι τῶν
ἄλλων αἰσθητῶν κατὰ συμβεβηκὸς ἀντιλαμβάνεσθαι ἢ τὴν ὄρεξιν. ἀντι- 30
λαμβάνεται γὰρ ἡ ἁφὴ πρώτως μὲν καὶ καθ' αὑτὸ θερμῶν ξηρῶν, ὑγρῶν
20 ψυχρῶν· αὗται γὰρ τῶν ποιοτήτων ἁπταί· τῶν δὲ ἄλλων εἰ λέγοιτο ἀντι-
λαμβάνεσθαι, κατὰ συμβεβηκὸς δηλονότι. τοῦτο δὲ οὐ μόνον ἐπὶ τῆς
ἁφῆς, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἁρμόσει λέγειν. ἡ γὰρ ὀπτικὴ
αἴσθησις πρώτως μὲν τῶν χρωμάτων ἀντιλαμβάνεται. κατὰ συμβεβηκὸς
δὲ τοῦ γλυκέος ἢ τοῦ πικροῦ ἢ τοῦ ὀξώδους, οἷον ἐὰν ἴδῃ μέλι, ὡς μὲν
25 ξανθοῦ ἀντιλήψεται καθ' αὑτό. ὡς δὲ γλυκέος κατὰ συμβεβηκός. ἐπειδὴ 35
γὰρ συνενήργησάν ποτε αἱ δύο αἰσθήσεις, ἡ ὀπτικὴ λέγω καὶ ἡ γευστική,
οἶδεν ὅτι τὸ τοιόνδε εἶδος γλυκύ ἐστιν ἢ πικρόν ἤ τι τοιοῦτον [εὐῶδες τυχὸν
ἢ δυσῶδες]. οὕτως καὶ ἡ ἁφὴ πρώτως μὲν τῶν εἰρημένων ἀντιλαμ-
βάνεται, κατὰ συμβεβηκὸς δὲ καὶ τῶν ἄλλων. εἰ γὰρ μύων φέρ' εἰπεῖν
30 ἄψωμαι ἄρτου, οἶδα ὅτι τοιάνδε ἔχει ποιότητα καὶ τοιόνδε χρῶμα· καὶ
εἰ ἅψωμαι μέλιτος, οἶδα ὅτι γλυκὺ καὶ ξανθόν· τὰ αὐτὰ καὶ ἐπὶ τῶν
λοιπῶν αἰσθήσεων. καὶ τὴν αἰτίαν εἴπομεν διὰ τὸ συνενηργηκέναι ποτὲ 40
τὰς αἰσθήσεις, ἐπεὶ εἴ τι θεάσωμαι ἐν ᾧ μήποτε συνενήργησαν αἱ αἰσθήσεις,
ποῖον μὲν χρῶμα ἔχει οἶδα, οὐκέτι μέντοι καὶ τὴν ποιότητα τοῦ χυμοῦ
35 διακρῖναι δύναμαι· ὁμοίως καὶ ἐπὶ ἁφῆς καὶ τῶν λοιπῶν. εἰ μὲν οὖν
πρὸς τὴν ἁφὴν ἐκληψόμεθα τὸ τῶν δὲ ἄλλων αἰσθητῶν κατὰ συμ-

---

2 post θερμῶν add. ἀλλὰ t 4 φησί] cf. Meteorol. B 4 p. 360ᵃ8 sqq. Γ 6 p. 378ᵃ18 11 τῶν] τοῦ t 14 ὀρεγοίμεθα scripsi: ὀρεγόμεθα Dt 15 ζῷον] ζώων t 17 ἢ scripsi: εἰ Dt 19 καθ' αὑτῶν t 22 αἴσθησιν t 23 ἀναλαμβάνεται t 24 ὀξώδους A: ἐξώδους D: εὐώδους t 27 ἤ τι A: ὅτι Dt 27. 28 εὐῶδες—δυσῶδες delevi 33 θεάσωμαι D: ἴδωμεν t συνήργησαν libri

βεβηκός, εἴη ἂν τοῦτο εἰρηκώς, ὥς φησιν ὁ Ἀλέξανδρος· ἤτοι ἐπεί τινες h 2v
ἐνόμισαν πάσας τὰς αἰσθήσεις ἁφὰς εἶναι καὶ πάντα τὰ αἰσθητὰ ἁπτά,
ἐπεὶ δοκεῖ ἁπτομένοις κἀκείνων ἡ ἀντίληψις γίνεσθαι (καὶ γὰρ ἡ ὄψις
ἁπτομένη τοῦ διαφανοῦς καὶ ἡ ὄσφρησις τοῦ διακονουμένου τῇ ὀσμῇ, ὃ 45
5 δίοσμον λέγουσι, καὶ ἡ ἀκοὴ ὁμοίως), τοῦτο οὖν διαστελλόμενος εἶπεν ὅτι
τῶν ἄλλων αἰσθητῶν κατὰ συμβεβηκὸς δι' ἁφῆς ἀντιλαμβανόμεθα. / οὐ
γὰρ καθὸ ἅπτεται τοῦ διαφανοῦς ἡ ὄψις ἀντιλαμβάνεται τῶν ὁρατῶν οὐδὲ
ἡ ὄσφρησις τῶν ὀσφραντῶν οὐδὲ ἡ ἀκοὴ τῶν ἀκουστῶν, ἀλλὰ συμβέβηκεν
αὐταῖς τὸ ἅπτεσθαι τούτων, δι' ὧν ἀντιλαμβάνονται τῶν οἰκείων αἰσθητῶν.
10 οὐ γὰρ ὥσπερ ἡ ἁφὴ τῶν οἰκείων αἰσθητῶν ἁπτομένη ἀντιλαμβάνεται,
οὕτω καὶ αἱ ἄλλαι τῇ ἁφῇ ἔχουσι τὴν ἀντίληψιν· οὐ γὰρ τῶν χρωμάτων 50
ἡ ὄψις ἀντιλαμβάνεται ἁπτομένη αὐτῶν, ἀλλὰ τοῦ διαφανοῦς δι' οὗ ὁρᾷ
τὰ χρώματα.// ἢ τῶν δὲ ἄλλων αἰσθητῶν, φησὶν ὁ Ἀλέξανδρος, κατὰ
συμβεβηκὸς τὴν ἁφὴν εἶπεν ἀντιληπτικὴν εἶναι, ὅτι τούτων ἐστὶν ἀντι-
15 ληπτική, οἷς ἄλλα συμβέβηκε. τὰ γὰρ ἁπλᾶ καὶ πρῶτα σώματα, ἐξ ὧν
καὶ τὰ ἄλλα, τούτοις ὥρισται ὧν ἐστιν ἡ ἁφὴ ἀντιληπτική· θερμὸν γὰρ
καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν αἱ εἰδοποιοὶ καὶ ἁπλαῖ τῶν πρώτων
σωμάτων διαφοραί. ἐπεὶ οὖν τὰ ἄλλα, ὧν αἱ ἄλλαι αἰσθήσεις | καθ' h 3r
αὐτὰς ἀντιλαμβάνονται, συμβέβηκε τοῖς σώμασιν, ὧν ἡ ἁφὴ κυρίως ἐστὶν
20 ἀντιληπτική, κατὰ συμβεβηκὸς ἂν ἐκείνων ἡ ἁφὴ ἀντιλαμβάνεσθαι.
κυριώτερον δὲ τὸ τῶν ἄλλων αἰσθητῶν κατὰ συμβεβηκὸς πρὸς
τὴν ἐπιθυμίαν συντακτέον, ἵν' ᾖ ἡ σύνταξις οὕτως· οἷς δὲ ταῦτα, καὶ
ἐπιθυμία· τοῦ γὰρ ἡδέος ὄρεξις αὕτη, τῶν δὲ ἄλλων αἰσθητῶν κατὰ
συμβεβηκός. ὀρέγεται γὰρ ἡ ἐπιθυμία πρώτως δι' ὧν τρέφεται ὑγρῶν
25 καὶ ξηρῶν, θερμῶν καὶ ψυχρῶν, κατὰ συμβεβηκὸς δὲ χυμῶν καὶ χρωμά- 5
των καὶ τῶν ἄλλων αἰσθητῶν. ὁ γὰρ φέρ' εἰπεῖν λευκὸν οἶνον ἢ γλυκὺν
ἐπιθυμῶν, κατὰ συμβεβηκὸς τούτων ὀρέγεται διά τινα συνεθισμόν, ἐπεὶ
πρώτως ὑγρῶν ἐφίεται. καὶ ὅτι πρὸς τοῦτο μᾶλλον ὑπακουστέον τὸ τῶν
δὲ ἄλλων κατὰ συμβεβηκός, τὰ ἑπόμενα δείκνυσιν· οὐδὲν γάρ, φησίν, εἰς
30 τροφὴν συμβάλλεται ψόφος οὐδὲ χρῶμα. ὥστε πρὸς τὴν ὄρεξιν ἡ
ἀπόδοσις· δι' ὧν γὰρ τρέφεται, φησί, τούτων ὀρέγεται, τῶν δὲ ἄλλων κατὰ
συμβεβηκός· ὡς γὰρ προελθὼν ἐρεῖ, ὁ χυμὸς οἷον ἥδυσμά τί ἐστι τῶν 10
τρεφόντων, χυμὸν δὲ λέγει τὴν τοιάνδε γευστὴν ποιότητα τὴν ἐπιγενο-
μένην τοῖς τρέφουσι. ψυχρὸν δὲ τὸ ποτὸν εἶπεν, ὅτι κἂν θερμὸν τὸ ὕδωρ
35 πίνηται, τῇ θίξει ἐστὶ θερμόν, τῇ δὲ δυνάμει ψυχρόν, ὅθεν σβέννυσι τὴν
ἐκ τοῦ διψῆν ἐγγινομένην ξηρότητα. καὶ οἱ ἀκριβῶς δὲ διψῶντες ψυχροῦ
ὀρέγονται, ὅθεν οὐκ ἂν εἰ μὴ δι' ἀνάγκην οὐδὲ οἶνον προσιοῖντο. τί οὖν;
οὐχὶ καὶ οἱ τοιοῖδε χυμοὶ συμβάλλονται πρὸς σωτηρίαν τῷ ζῴῳ καὶ ἄλλοι δὲ

---

4 διακονουμένου A: διακρινομένου Dt 6 δι' ἁφῆς scripsi: δι' ἀμφῆς D: om. t
7 διαφανοῦς] αφανοῦς (sic) D 9 τὸ om. t 11 αἱ om. t 13 ἢ om. t
20 ἂν] addendum λέγοιτο 25 καὶ ante ψυχρῶν om. D 33 χυμὸν] χυμῶν t 36 διψεῖν D ξηρότητα] exspectas θερμότητα δὲ om. t
38 δὲ om. t

λυμαίνονται αὐτό; λέγω οὖν ὅτι ὡς μὲν σώματα ἁπλῶς ὑπὸ ξηρῶν καὶ h 3r
ὑγρῶν, θερμῶν τε καὶ ψυχρῶν τρέφονται, ὡς δὲ καὶ τοιῶσδε πεποιωμένα 15
δέονται καὶ τοιᾶσδε ἐν ταῖς τροφαῖς ποιότητος. ἄλλως τε διὰ τοῦτο οὐκ
ἐν πᾶσιν αἱ αὐταὶ τῶν τροφῶν ποιότητες παραλαμβάνονται διὰ τὴν πρὸς
5 αὐτὰς ἀσυμμετρίαν τῆς τοιᾶσδε τῶν στοιχείων κράσεως. ἐπειδὴ γὰρ καὶ
τοιαίδε ποιότητες ἐκ τῆς τοιᾶσδε τῶν στοιχείων κράσεως ἐν τοῖς συν-
θέτοις ἐπιγίνονται κατά τινα τῶν ἁπλῶν τινος ἐπικράτειαν, εἰκότως τοῖσδε
μὲν ἐν οἷς φέρ' εἰπεῖν ἐπικρατεῖ τὸ θερμόν, τοὺς τοιούσδε χυμοὺς προσ- 20
φέρομεν, οἵτινες ἐγγίνονται τοῦ ψυχροῦ ἐπικρατοῦντος· τὰ γὰρ ἐναντία
10 τῶν ἐναντίων ἰάματα. ὥστε οὐκ ἐπειδὴ τοιόσδε ὁ χυμός, προσφέρομεν
αὐτὸν τοῖς αὐτοῦ δεομένοις, ἀλλ' ἐπεὶ κατ' ἐπικράτειαν γέγονε τοῦ ψυχροῦ
τυχὸν ἢ θερμοῦ ἢ ξηροῦ ἢ ὑγροῦ. ὥστε πάλιν πρώτως μὲν ταῦτά ἐστι
τὰ τρέφοντα, κατὰ συμβεβηκὸς δὲ οἱ χυμοί. πεῖνα δὲ καὶ δίψα ἐπι-
θυμία. εἰπὼν τὰ τὴν ἁφὴν ἔχοντα αἰσθάνεσθαι τροφῆς, τὰ δὲ αἰσθανό-
15 μενα τροφῆς καὶ πεινῆν καὶ διψῆν, τὴν δὲ πεῖναν καὶ τὴν δίψαν ἐπι- 25
θυμίαν εἶναι, τὴν δὲ ἐπιθυμίαν ὄρεξιν, συνήγαγε καὶ ἔδειξεν ὅτι τοῖς τὴν
ἁπτικὴν αἴσθησιν ἔχουσιν ἕπεται πάντως ἡ ὄρεξις.

p. 414b14 Διασαφητέον δὲ περὶ αὐτῶν ὕστερον.

Ἐρεῖ γὰρ ἐφεξῆς ἰδίᾳ περὶ ἑκάστης δυνάμεως ψυχικῆς, ἐρεῖ δὲ καὶ
20 περὶ τῶν ἰδίων αἰσθητῶν ἑκάστης αἰσθήσεως, ὅταν περὶ τῶν αἰσθήσεων 30
αὐτῶν διαλέγηται.

p. 414b16 Περὶ δὲ φαντασίας ἄδηλον, ὕστερον δὲ ἐπισκεπτέον.

Πρότερον μὲν ἔλεγεν, ὥσπερ τὴν ὄρεξιν ἕπεσθαι τοῖς μετέχουσιν
αἰσθήσεως, οὕτω δὲ καὶ τὴν φαντασίαν, ἡνίκα περὶ τῶν ἐντόμων ἔλεγε·
25 νῦν δὲ ἄδηλόν φησιν εἶναι, εἰ πάντως τοῖς αἴσθησιν ἔχουσι καὶ φαντασία
ἕπεται. οἱ γὰρ σπόγγοι συναισθάνονται μὲν τοῦ ἡδέος καὶ τοῦ λυπηροῦ.
φαντασίαν δὲ οὐκ ἂν εἰκότως ἔχειν αὐτούς τις ὑπονοήσει. εἴπερ κρείττων 35
μὲν ἡ φαντασία τῶν αἰσθήσεων. ἐκεῖνα δὲ οὐδεμίαν ἄλλην αἴσθησιν ἔχει
πλὴν τῆς ἁφῆς, ὥστε τῶν χειρόνων μὴ ὄντων οὐκ ἂν εἴη ἡ κρείττων.
30 ἐρεῖ δὲ περὶ αὐτῆς καὶ ἐν τούτῳ τῷ λόγῳ μετ' ὀλίγα καὶ ἔτι ἐντελέστε-
ρον ἐν τῷ τρίτῳ, τίσι τε ὑπάρχει τῶν ζῴων καὶ τίσιν οὔ.

p. 414b16 Ἐνίοις δὲ πρὸς τούτοις ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν. 40

Τὴν τάξιν τῶν ψυχικῶν δυνάμεων παραδίδωσιν ἅμα δηλῶν ὅτι ἔστιν

1 αὐτῷ t 2 στρέφονται D 6 αἱ τοιαίδε t 11 ἐπικράτεισαν t
13 τρέφοντα Diels: τρεφόμενα Dt 30 καὶ περὶ αὐτῆς coll. t 31 τίσι δὲ ὑπάρχει t

ἐν αὐταῖς τὸ πρῶτον καὶ τὸ ὕστερον. ἔν τισι μὲν γάρ ἐστι μόνη ἡ h 3r
θρεπτική, ἔν τισι δὲ καὶ ἡ αἰσθητική, ᾗτινι καὶ ἡ ὀρεκτικὴ ἕπεται·
πρὸς τούτοις ἔν τισι καὶ ἡ φαντασία. ἐν ἄλλοις καὶ τὸ κατὰ τόπον κινητι-
κόν. ἑτέροις καὶ τὸ διανοητικόν, ὅπερ ἐστὶ δυνάμει νοῦς, οἷον
5 ἐν ἀνθρώποις. καὶ ἐν οἷς μὲν τὰ κρείττονα, πάντως καὶ τὰ χείρονα.
οὐκέτι δὲ καὶ ἔμπαλιν. τὸ δὲ κἂν εἴ τι τοιοῦτον ἕτερον καὶ τιμιώ- 45
τερόν φασι περὶ δαιμόνων τινῶν λέγειν συστοίχων πως τῇ ἀνθρωπείᾳ
φύσει· οὐδὲ γὰρ ἐκ τῶν ἀεὶ ἄνω κάθοδον καὶ ὑπόβασιν ἄμεσον δεῖ μέχρις
ἡμῶν εἶναι, φασίν, οὐδὲ τὴν πτῶσιν εὐθὺς ἐν τοῖς ἐσχάτοις γίνεσθαι τῆς
10 λογικῆς οὐσίας, ἀλλ' εἶναι καὶ οἷον μεσότητα, ἥτις οὔτε οὕτω συμπέ-
πλεκται πρὸς τὴν ἀλογίαν ὡς ἡμεῖς, οὔτε μὴν ἄσχετός ἐστι πρὸς αὐτήν. καὶ
τὴν ψυχὴν δέ φασιν μὴ εὐθὺς εἰς τόδε καταπίπτειν, ἀλλὰ πρότερον
ἀέριον γίνεσθαι ἐπί τινα χρόνον ἀπαθεστέραν ταύτης ζωὴν ζῶσαν, οὐ μέν- 50
τοι πάντῃ ἄσχετον πρὸς τὰς δυνάμεις τὰς ἀλόγους· ἣν ἴσως αἰνίττεται
15 διὰ τούτων.

p. 414b 19 Δῆλον οὖν ὅτι τὸν αὐτὸν τρόπον εἷς ἂν εἴη λόγος ψυχῆς τε καὶ σχήματος.

Δείξας ὅτι ἔστιν ἐν ταῖς ψυχικαῖς δυνάμεσι τὸ πρότερον καὶ τὸ ὕστερον, βούλεται λοιπὸν ἐντεῦθεν δεῖξαι ὅτι καλῶς ἐκ τοῦ συγκεχυμένου
20 μεταβαίνει ἐπὶ τὸ διηρθρωμένον καὶ ἐκ τοῦ κοινότερον ἀποδεδομένου ὁρισμοῦ ἐπὶ | τὸν ἰδίᾳ ἑκάστης δυνάμεως ὁρισμόν. μάλιστα μὲν γὰρ h 3v
εἰ καὶ τὸ κοινῶς κατηγορούμενον τῶν ψυχῶν γένος ἦν, οὐδὲ οὕτως ἔδει ἐναπομένειν τὸν φυσικὸν ἐν τοῖς τῶν γενῶν ὁρισμοῖς. ἀλλὰ μεταβαίνειν ἐπὶ τὰ εἰδικώτατα εἴδη· ἡ γὰρ ἑκάστου γνῶσις ἐκ τῶν ἰδίᾳ ἑκάστῳ ὑπαρ-
25 χόντων γνωρίζεται. ἐπεὶ δὲ οὐκ ἔστι γένος τὸ κοινῶς τῶν ψυχῶν κατη- γορούμενον, ἀλλ' ὁμώνυμος φωνὴ κατὰ τὰ ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν, γελοῖον τὸ ἐναπομένειν ἐν τοῖς κοινοῖς λόγοις. ὥσπερ γὰρ τὸ σχῆμα 5
ὁμώνυμός ἐστι φωνή, καὶ εἰ τοῦτο ὁριζόμενός τις ἐρεῖ ὅτι σχῆμά ἐστι τὸ ὑπό τινος ἤ τινων ὅρων περιεχόμενον, εἰ μὴ ἐπεξέλθοι τοῖς κατὰ μέρος
30 σχήμασι, τριγώνῳ, τετραγώνῳ καὶ τοῖς λοιποῖς, οὐδὲν ἔσται δεδιδαχὼς ἡμᾶς περὶ σχημάτων (οὐ γάρ ἐστι φύσις τις αὐτὴ καθ' αὑτὴν σχήματος ἄνευ τῶν κατὰ μέρος, ὥσπερ ἐστὶν ἡ τοῦ ζῴου φύσις τις ἰδιάζουσα πᾶσιν ἐφαρμόζουσα τοῖς μερικοῖς, ἃ κἂν μὴ ᾖ, οὐδὲν ἧττον τὸ ζῷον δύναται εἶναι οὐσία ἔμψυχος αἰσθητική), οὕτως οὐδὲ ὁ περὶ ψυχῆς κοινὸν λόγον 10
35 ἀποδεδωκὼς εἰ μὴ ἐπεξέλθοι τοῖς κατὰ μέρος, οὐδὲν ἂν εἴη δεδιδαχώς. ἐπειδὴ μηδὲ γένος ἐστὶ ψυχῶν. οὐδὲν γὰρ ἄλλο ἐστὶ ψυχὴ παρ' ἑκάστην

---

6 καὶ (post ἕτερον) Dt: ἢ Arist. ETVW: ἢ καὶ Arist. SUX 9 φασίν scripsi: φησιν Dt 14 ἣν] ἵνα t αἰνίττηται t 17 τε om. D σχήματος] σώματος D 24 ἰδικώτατα t γνῶσις] exspectas φύσις vel οὐσία 26 κατὰ τὰ ὡς D: ὡς τὰ omisso κατὰ A: τὰ ὡς t 28 εἰ scripsi: εἰς Dt 29 ἐπεξέλθοι scripsi coll. v. 35: ἐξέλθοι Dt 36 ἐπεὶ t παρ' ὃ ἑκάστη t

τῶν κατὰ μέρος, ὥσπερ οὐδὲ τὸ σχῆμα ἕτερόν τί ἐστι παρ' ἕκαστον τῶν h 3ᵛ σχημάτων, οἷον τρίγωνον ἢ τετράγωνον καὶ τὰ λοιπά. ἀλλ' ὥσπερ ἐν τοῖς σχήμασι πρῶτον μέν ἐστι τὸ τρίγωνον (ἐν τοῖς εὐθυγράμμοις λέγω, ἐπεί τοι ὁ κύκλος τὴν πρωτίστην ἔχει τάξιν ἅτε ὑπὸ μιᾶς γραμμῆς περι-
5 εχόμενος, δευτέραν δὲ τὸ ἡμικύκλιον ἢ ἁπλῶς τὸ τμῆμα ἅτε ὑπὸ δύο 15 γραμμῶν περιεχόμενον, καὶ τρίτην τὸ τρίγωνον ὑπὸ τριῶν περιεχόμενον), ἐν δὲ τοῖς εὐθυγράμμοις πρῶτον μὲν τὸ τρίγωνον, δεύτερον δὲ τὸ τετράγωνον· σύγκειται γὰρ ἐκ δύο τριγώνων· εἰ γὰρ ἐπιζεύξεις τὴν διαγώνιον τοῦ τετραγώνου, ποιεῖς β̄ τρίγωνα ὀρθογώνια· τρία δὲ συντεθέντα τρίγωνα
10 τὸ πεντάγωνον ποιεῖ, λέγω δὴ τὸ ΑΓΒ καὶ ΑΒΕ καὶ ΕΔΒ, τέσσαρα δὲ τὸ ἑξάγωνον, τό τε ΑΖΕ καὶ τὸ ΑΕΓ * *, πέντε δὲ τὸ ἑπτάγωνον, καὶ ἐφεξῆς τρίγωνον προσθεὶς καὶ γωνίαν προσθήσεις· πᾶν γὰρ πολύγωνον ἐκ τριγώνων ἔχει τὴν γένεσιν, καὶ ἐν παντὶ πολυγώνῳ, ἂν ἐπιζεύξῃς εὐθεῖαν 20 δύο πλευρὰς ὑποτείνουσαν, τρίγωνον ποιήσεις, καὶ πᾶν εἰς τρίγωνα διαιρεῖ-
15 ται· καὶ διὰ τοῦτο ἀναιρεθέντος τοῦ τριγώνου μὲν οὐδὲν τῶν ἐφεξῆς ἔσται, ἐκείνων δὲ ἀναιρεθέντων μένει τὸ τρίγωνον· ὥστε ἔστι τὸ πρότερον καὶ ὕστερον ἐν αὐτοῖς, καὶ διὰ τοῦτο ⟨τὸ⟩ κοινῶς αὐτῶν κατηγορούμενον τὸ σχῆμα οὐκ ἔστι γένος, ἀλλ' ἔστι περίληψίς τις κεφαλαιώδης τούτων, ὧν κατηγορεῖται· οὕτως οὖν καὶ ἐπὶ τῶν ψυχῶν ἀναιρεθείσης μὲν τῆς θρεπτι-
20 κῆς οὐδεμία ἔσται τῶν ἄλλων ἐν τοῖς θνητοῖς ζῴοις· καὶ γὰρ καὶ τὴν 25 αἰτίαν εἴπομεν πολλάκις· τῶν δὲ ἄλλων ἀναιρεθεισῶν μόνη αὕτη εἶναι δύναται, ὡς ἐπὶ τῶν φυτῶν. εἰ τοίνυν τὸ κοινῶς αὐτῶν κατηγορούμενον μὴ ἔστιν οὐσία τις, γελοῖον τὸ μένειν ἐπὶ τοῦ κοινοῦ λόγου· οὐδὲν γὰρ ἐξ αὐτοῦ περὶ τῆς οὐσίας τῶν ψυχῶν εἰσόμεθα. διὸ ἀναγκαῖον τὸν περὶ
25 ἑκάστης ἰδίᾳ λόγον ἐπεξελθεῖν.

p. 414ᵇ21 Οὔτε γὰρ ἐκεῖ σχῆμα παρὰ τὸ τρίγωνόν ἐστι καὶ τὰ ἐφεξῆς οὔτε ἐνταῦθα ψυχὴ παρὰ τὰ εἰρημένα. 30

Τὸ μὲν γὰρ γένος φύσις ἔστι τις ἐν τοῖς εἴδεσι μὲν ὑπάρχουσα, ἴδιον μέντοι ὁρισμὸν παρ' ἕκαστον τῶν εἰδῶν ἔχουσα, ὅσπερ ὁρισμὸς
30 ἐφαρμόζει μὲν τοῖς εἴδεσιν, οὐδενὸς δέ ἐστιν αὐτῶν ἴδιος, ἀλλὰ τῆς οὐσίας τοῦ γένους ἐστὶν ἴδιος· ὁ μέντοι τοῦ σχήματος λόγος οὐδενὸς ἄλλου δηλω- 35 τικός ἐστι παρὰ τὰ κατὰ μέρος σχήματα, ὧν κατηγορεῖται. διὸ οὐ μόνον ἐστὶν ἐν τούτοις ὥσπερ τὸ γένος ἐν τοῖς εἴδεσιν, ἀλλὰ καὶ τούτων τί ἐστι. τὸ γὰρ ὑπό τινος ἤ τινων ὅρων περιεχόμενον ἐξαρίθμησίς ἐστι τῶν
35 σχημάτων, οὐ φύσις τις οἰκεία δηλουμένη, ὁ μὲν κύκλος ὑπό τινος, τὸ δὲ τρίγωνον ὑπό τινων. ὡς οὖν ὁ κοινὸς λόγος ἐν τοῖς σχήμασιν οὐ φύσεώς τινος δηλωτικὸς παρὰ τὰ κατὰ μέρος σχήματα, οὕτως οὐδὲ ὁ τῆς ψυχῆς

---

3 λέγω scripsi: λέγων Dt 4. 5 περισχόμενος D 5 δεύτερον D 6 γραμμῶν] γραμμᾶς (sic) t 10 λέγω δὲ t 11 ΑΕΓ] α η̄ γ̄ t lacunam indicavi 13 γέννησιν t 17 τὸ addidi 24 αὐτῶν t 27 τὰ εἰρημένα D: τὰς εἰρημένας t Arist. 29 ὅσπερ scripsi: ὥσπερ Dt

κοινὸς λόγος. τεκμήριον δὲ τὸ ἀναιρεθέντος ἑνὸς ἀναιρεῖσθαι καὶ τὰ h 3v
λοιπά, τριγώνου μὲν τὰ σχήματα, τῆς θρεπτικῆς δὲ δυνάμεως τὰς λοιπάς. 40
ἐφ' ὧν δ' ἑνὸς εἴδους ἀναιρεθέντος τὰ λοιπὰ ἀναιρεῖται, τούτων τὸ
κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος, ἀλλ' ὁμώνυμος φωνή.

5 p. 414ᵇ25 Διὸ γελοῖον ζητεῖν τὸν κοινὸν λόγον καὶ ἐπὶ τούτων καὶ ἐφ' ἑτέρων.

Πῶς οὖν αὐτὸς ἀποδέδωκας κοινὸν λόγον ἐπὶ πάσης ψυχῆς, ὅστις 47
οὐδεμιᾶς ψυχῆς ἐστιν ἴδιος; ἀλλ' οὐ τοῦτό φησιν ὅτι οὐ δεῖ τὸν κοινὸν
ἀποδιδόναι λόγον, ἀλλ' ὅτι οὐ δεῖ τοῦτον μόνον ζητεῖν οὐδὲ νομίζειν
10 ἀρκεῖν τὴν ἀπόδοσιν τοῦ κοινοῦ λόγου εἰς τὸ δηλῶσαι ἡμῖν τὴν οὐσίαν
τοῦ προκειμένου, ἀλλὰ δεῖ καὶ τοὺς τῶν εἰδικωτάτων εἰδῶν ὁρισμοὺς 50
ἀποδιδόναι, εἴπερ ἡ ἑκάστου οὐσία κατὰ τὰ ἰδίως ὑπάρχοντα. τὸ ὅλον
οὖν τοῦτό φησιν ὅτι γελοῖόν ἐστι τῷ κοινῷ λόγῳ ἀρκεῖσθαι μόνῳ ἀφέντας
τὸν ἴδιον ἑκάστου. μάλιστα μὲν γάρ, εἰ καὶ ἦν τις ἐξῃρημένη καὶ κοινή
15 τις οὐσία ἡ ψυχή, οὐκ ἔδει τὸν φυσικὸν ἐπὶ τοῦ ὅρου ταύτης μένειν, ἀλλὰ
ζητεῖν τὸν εἰδικώτατον ἑκάστης ψυχῆς μετὰ τῆς ὑποβεβλημένης αὐτῷ
ὕλης, ὥσπερ οὐδὲ ἐπὶ τῆς ἐννοίας τοῦ κοινοῦ ζῴου δεῖ καταμένειν, ἀλλὰ
καὶ περὶ τῶν εἰδικωτάτων τὴν σκέψιν | ποιεῖσθαι. νῦν δὲ πολλῷ πλέον, h 4r
ὅτε μηδὲ γένος ἐστὶν ἡ ψυχὴ ἁπλῶς· εἰ δὲ μὴ γένος, οὐδὲ ὁ ταύτην
20 ἑρμηνεύων λόγος ὅρος ἐστί· τὰς δὲ τῶν πραγμάτων οὐσίας διὰ τῶν ὁρι-
σμῶν ἐροῦμεν. γελοῖον ἄρα τὸν φυσικὸν μέχρι μόνου τοῦ κοινοῦ λόγου
ἐγκαταμένειν, ἀλλ' ὥσπερ ὁ γεωμέτρης ὁρισάμενος κοινῶς τὸ σχῆμα
προσέθηκε τοὺς εἰδικωτάτους ἑκάστου τῶν ἐν ὑποστάσει σχημάτων ὁρι-
σμούς, οὕτω δεῖ καὶ ἡμᾶς κοινῶς τὴν ἐνέργειαν τῆς ψυχῆς παραδεδωκότας 5
25 καὶ ἰδίᾳ τὸν περὶ ἑκάστης οὐσίας ψυχικῆς ποιήσασθαι λόγον. ἀεὶ γὰρ
τῷ ἐφεξῆς ὑπάρχει δυνάμει τὸ πρότερον· ἔν τε τῷ τετραγώνῳ
ὑπάρχει δυνάμει τὸ τρίγωνον (εἰ γὰρ ἐπιζεύξῃς, ὥσπερ εἶπον, τὴν δια-
γώνιον, ποιήσεις δύο τρίγωνα ὀρθογώνια) καὶ ἐπὶ τῶν ψυχῶν ἔνθα ἔστι
τὸ κατὰ τόπον κινητικόν, ἐκεῖ πάντως καὶ τὸ αἰσθητικόν, ἔνθα δὲ τοῦτο,
30 ἐκεῖ καὶ τὸ θρεπτικόν. οὐκέτι μέντοι, ἔνθα τὰ πρότερα, ἐκεῖ καὶ τὰ
ὕστερα· τό τε γὰρ θρεπτικὸν δίχα τῶν ἄλλων ἐστὶν ἐπὶ τῶν φυτῶν καὶ
τὸ τρίγωνον δίχα τῶν ἐφεξῆς σχημάτων. ὥστε τὸ πρότερόν ἐστιν ἐν 10
αὐτοῖς καὶ τὸ ὕστερον· οὐκοῦν οὐκ ἀρκέσει ὁ κοινὸς λόγος, ἀλλὰ καὶ ἰδίᾳ
ἑκάστου ζητητέον τὸν λόγον.

---

3 ἀναιρεῖται D: ἀναιροῦνται t 16 εἰδικώτατον scripsi: ἰδικώτατον Dt 18 εἰδικωτάτων scripsi: ἰδικωτάτων Dt 19 ἁπλῶς ἡ ψυχή coll. t 23 εἰδικωτάτους scripsi: ἰδικωτάτους Dt 25. 26 γὰρ ἐν τῷ Arist. τῶν ἐφεξῆς t 27. 28 διγώνιον t 32 τὸν τρίγωνον t

p. 414ᵇ33 Διὰ τίνα δ' αἰτίαν τῷ ἐφεξῆς οὕτως ἔχουσι, σκεπτέον. h 4r

Βούλεται ἐντεῦθεν τὴν αἰτίαν ἀποδοῦναι τῆς τάξεως τῶν ψυχικῶν δυνάμεων, τίνος ἕνεκα αἱ μὲν ὕστεραι οὐκ ἄνευ τῶν προτέρων εἰσίν, αἱ πρότεραι δὲ καὶ τῶν ὑστέρων χωρίς. ἀλλὰ πρὶν τὴν αἰτίαν ἀποδῷ, πρότερον ὅπως ἔχουσι τάξεως διεξέρχεται, ὅτι ἡ μὲν αἰσθητικὴ οὐκ ἄνευ τῆς θρεπτικῆς, ἡ θρεπτικὴ δὲ ἄνευ τῆς αἰσθητικῆς· πάλιν ἐπὶ τῆς αἰσθητικῆς αἱ μὲν ἄλλαι χωρὶς τῆς ἁπτικῆς οὐ δύνανται εἶναι, αὕτη δὲ χωρὶς ἐκείνων ἐστί, καὶ ἁπλῶς αἱ τιμιώτεραι οὐκ ἄνευ τῶν καταδεεστέρων, αὗται δὲ χωρὶς ἐκείνων δύνανται. οἷον σπόγγοι μὲν καὶ ἀκαλῆφαι, ὥς φασιν, καὶ εἴ τι ὅμοιον, μόνης ἁπτικῆς μετέχουσι, τὰς δὲ χήμας καὶ τὰ ὄστρεά φασι πρὸς ταύτῃ καὶ τὴν γευστικὴν ἔχειν· καὶ γὰρ βόσκονται, καὶ ὁρᾶται ἐν αὐτοῖς στόματι καὶ γαστρὶ ἀνάλογόν τι· εἰ δὲ στόμα, ἐξ ἀνάγκης καὶ γευστικὴ αἴσθησις. ὀσφρήσεως δὲ οὐ μετέχουσιν· οὐ γὰρ φαίνονται ἐφαπτόμεναι δελέατι. αἱ δὲ πορφύραι καὶ κήρυκες πρὸς ταύταις ἔχουσι καὶ τὴν ὀσφραντικήν· ἕπεσθαι γὰρ αὐτάς φασι τῷ δελέατι· ἀκουστικὴν δὲ οὐκέτι ἔχουσιν· οὐ γὰρ φαίνονται πάσχουσαί τι ὑπὸ τῶν ψόφων. ἕτερα δὲ πρὸς ταύταις ταῖς τρισὶ καὶ τὴν ἀκουστικὴν ἔχουσιν, οἷον οἱ ἀσπάλακες· ὀμμάτων γὰρ οὗτοι ἐστέρηνται. μᾶλλον δὲ τούτους μέν φησιν ὁ Ἀριστοτέλης ὀφθαλμοὺς ἔχειν· φαίνονται γὰρ ὀφθαλμοὺς ἔχοντες ὑπὸ τὸ δέρμα. τῆς φύσεως αὐτῆς τοῦτο μηχανησαμένης. ἐπεὶ τὸ ζῷον τοῦτο ὑπὸ γῆν διαιτᾶται τῷ στόματι διορύττον τὴν γῆν καὶ ταύτῃ διαιτώμενον· ἵνα οὖν μὴ βλάπτοιντο οἱ ὀφθαλμοὶ διορύττοντος τὴν γῆν, ἐσκέπασεν τούτους ἡ φύσις τῷ δέρματι. πᾶσι γὰρ τοῖς κατὰ τόπον κινουμένοις ζῴοις ἀναγκαίως ἡ φύσις καὶ ὀφθαλμοὺς ἐχορήγησεν, ἵνα μὴ ἐπὶ κακῷ ἔχοιεν τὴν κατὰ τόπον κίνησιν κατὰ κρημνῶν φερόμενα. ἐν τοῖς ἐνύδροις δὲ ἔστιν εὑρεῖν ἐστερημένα ὄψεως, μὴ τοιαύτης οὔσης αὐτοῖς τῆς βλάβης τῷ ἐν ὕδατι διαιτᾶσθαι. ὥστε ἔνθα μὲν ὄψις, ἐκεῖ καὶ αἱ λοιπαί, ὁμοίως ἔνθα ἀκοή, καὶ αἱ ἐφεξῆς, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· οὐκέτι μέντοι ταῖς ἐσχάταις αἱ πρῶται ἀκολουθοῦσι. τέτακται δὲ προσεχῶς ὑπὲρ τὰς αἰσθήσεις τὸ ὀρεκτικόν, ὃ καὶ πάντως ἕπεται ταῖς αἰσθήσεσι, κἂν μία ᾖ, καὶ ὑπὲρ τοῦτο τὸ κατὰ τόπον κινητικὸν * * * ὅπερ οὐχ ἕπεται τοῖς κατὰ τόπον κινουμένοις· μύρμηκες μὲν γὰρ καὶ μέλιτται καὶ τὰ τοιαῦτα ὁμολογουμένως μετέχει φαντασίας. σκώληκες δὲ καὶ ἁπλῶς ὅσα τὴν κίνησιν ἄτακτον ποιεῖται, φαντασίας οὐ μετέχει, εἰ δέ τις καὶ δῷ τοῦτο, ἀμυδρᾶς δηλονότι ταύτης καὶ μηδὲ γνωσθῆναι εἰ ἔστι δυναμένης. ἡ αὐτὴ τάξις καὶ ἐπὶ τῶν λογικῶν δυνάμεων· εὔλογον γὰρ τὰ οὐράνια διανοίᾳ μὲν χρῆσθαι συστοίχως

2 ψυχικῶν scripsi: φυσικῶν Dt 5 ἔχωσι D 9 ἀκάλεφαι t 11 πρὸς ταύτην τὴν t
14 ἐφαπτόμεναι] fort. ἐφεπόμεναι 15 et 17 ἀκουστὴν t 16 οὐ γὰρ] οὐδὲ t
18 φησιν] Γ 1 p. 425ᵃ11 19 ἔχειν — ὀφθαλμοὺς iterat D 21 διορύττων D
22 ὀρύττοντος D 25 ἐν] καὶ t 27 ὄψεις D 29 ὑπὲρ] ἐπὶ t 31 lacunam indicavi: addendum καὶ ὑπὲρ τοῦτο τὸ φανταστικόν 32 ὁμολογουμένης t
33 ἀτάκτως t 35. 36 τῶν λοιπῶν λογικῶν t

τῇ ἑαυτῶν ζωῇ, ἐπειδὴ ὅλως περίκεινται σώματα, δόξῃ δὲ χρῶνται οὐ h 4r
τῇ ἄνευ λόγου, ἀλλὰ τῷ συμπεράσματι τῆς διανοίας. αἱ δὲ φυτικαὶ
δυνάμεις θρεπτικὴ μὲν καὶ αὐξητικὴ πάντως συνέπονται, εἰ καὶ μὴ ἀεί·
χρόνῳ μὲν γὰρ ἡ αὐξητικὴ λήγει, μένει δ' ἡ θρεπτική· γεννητικὴ δ'
5 οὐ πᾶσιν ὑπάρχει, οἷς τροφὴ καὶ αὔξησις ὑπάρχει· τῶν τε γὰρ ζῴων
πολλὰ ταύτης ἐστέρηται, οἷον σκώληκες καὶ πάντα τὰ ἐκ σήψεως γινό-
μενα, καὶ πολλαὶ τῶν αὐτομάτων βοτανῶν σπέρμα οὐ φέρουσι, καίτοι 45
τρεφόμενα καὶ αὐξόμενα. πάντως μέντοι ταῖς κρείττοσιν αἱ χείρους
ἕπονται ἐν τοῖς θνητοῖς ζῴοις, ὡς αὐτὸς εἶπεν· ἐπὶ γὰρ τῶν ἀιδίων
10 δι' αὐτὸ τοῦτο τὸ ἀίδια εἶναι αἱ φυτικαὶ ἐκλελοίπασι, τὸ ἀπορρέον ἐν
τοῖς θνητοῖς ἀνυφαίνουσαι, θυμὸς δὲ καὶ ἐπιθυμία μηδενὸς ὄντος τοῦ
λυμαινομένου, ὃ δεῖ ἀμύνεσθαι· ὅθεν οὐδὲ τοιούτοις διωργάνωται μορίοις
τοῖς ταῖς τοιαύταις τῆς ψυχῆς δυνάμεσιν ὑπηρετοῦσιν. ἀλλὰ πρὸς λόγον
τῆς ψυχικῆς ζωῆς καὶ τὰ σώματα τῶν μὲν ἀλόγων πλάγια καὶ κάτω
15 νεύοντα διὰ τὸ χρόνιον τῆς ζωῆς, τῶν δ' ἀνθρώπων ὄρθιά τε καὶ σφαι- 50
ρικὰ κατὰ τὸ ἄνω, ὡς ἔμπροσθεν εἴρηται, τὸ μὲν διὰ τὴν ἄλογον, τὸ δὲ
διὰ τὴν λογικὴν ζωήν, τοῦ ὀρθίου δεικνύντος ὡς καὶ τὴν ἄλογον ἠρτῆσθαι
δεῖ τῆς λογικῆς καὶ πρὸς ἐκείνην νεύειν· τῶν δὲ οὐρανίων μόνων σφαιρικὰ
τὰ σώματα, μιμήματα ὄντα τῆς νοερᾶς αὐτῶν ζωῆς, καθ' ἣν χαρακτηρί-
20 ζονται. τὰς δὲ αἰτίας τούτων λέξει ἐφεξῆς.

p. 415a6 Καὶ τῶν αἰσθητικῶν δὲ τὰ μὲν ἔχει τὸ κατὰ τόπον h 4v
κινητικόν, τὰ δὲ οὐκ ἔχει.

Ὥσπερ τὰ μετέχοντα αἰσθήσεως πάντως καὶ θρεπτικῆς μετέχει,
οὐκέτι μέντοι καὶ ἔμπαλιν, οὕτως τὰ μὲν μετέχοντα τοῦ κατὰ τόπον κινη-
25 τικοῦ πάντως καὶ αἰσθήσεως μετέχει, ἐπειδὴ κρεῖττον τοῦτο τῆς αἰσθή-
σεως, οὐκέτι δὲ τὰ μετέχοντα αἰσθήσεως καὶ τοῦ κατὰ τόπον μετέχει
κινητικοῦ, οἷά εἰσι πάντα τὰ ζώφυτα· ἐρρίζωται γὰρ ταῦτα ἐν ταῖς πέτραις 5
καὶ ὅλα τόπον οὐκ ἀμείβει. εἰ μὲν οὖν κίνησιν λάβωμεν τὴν καθ' ὅλον
τὸ πρᾶγμα, ἐνδέχεται αἴσθησιν μὲν ἔχειν τινά, κίνησιν δὲ μὴ ἔχειν· εἰ δ'
30 ἁπλῶς πᾶσαν τὴν κατὰ τόπον κίνησιν, πάντως ἔνθα ἂν ᾖ αἴσθησις, καὶ
μόνη ἡ ἁφή, ἐκεῖ καὶ ἡ κατὰ τόπον κίνησις ἢ καθ' ὅλα ἢ κατὰ μέρη.
διὰ τοῦτο γὰρ δέδωκεν ἡ φύσις τὴν αἴσθησιν ταύτην, ἵνα ἴῃται μὲν ἐπὶ
τὰ ἡδέα τε καὶ ὠφέλιμα, ἐκκλίνῃ δὲ ἀπὸ τῶν βλαπτόντων συναίσθησιν
αὐτῶν λαμβάνον τὸ μετέχον αὐτῆς. φαίνονται γοῦν καὶ οἱ σπόγγοι καὶ 10
35 οἱ κοχλίαι καὶ ἄλλα πλεῖστα ἀντιτύπου μὲν θιγόντος συστελλόμενοι, ὑγροῦ

---

6. 7 γενόμενα D 9 ἐπὶ scripsi: ἐπεὶ Dt 11. 12 τοῦ λυμαινομένου Diels: τὸ λυμαινόμενον Dt 12 et 18 δεῖ D: δὴ t 18 τῆς λογικῆς scripsi: ταῖς λογικαῖς Dt 21 δὲ D Arist. vulg.: om. t Arist. WX 25 τῆς om. t 28 λάβομεν D καθ' ὅλον scripsi: καθόλου Dt 29 μὲν ἔχει D 30 ᾖ scripsi: ἡ Dt 31 ἡ καθόλα t 32 ἴῃται scripsi: ἴεται Dt 33 ὠφέλιμα scripsi: ὠφέλημα Dt 34 λαμβάνων D

δὲ διαχεόμενοι. οὕτως ἄρα διὰ τοῦτο ἡ αἴσθησις ἐδόθη διὰ τὸ ἴεσθαι h 4ᵛ
μὲν ἐπὶ τὸ συγγενὲς καὶ ἡδύ, ἐκκλίνειν δὲ τὸ βλαβερόν· τὸ δ' ἵεσθαι καὶ
ἐκκλίνειν, κινήσεις κατὰ τόπον εἰσί.

p. 415ᵃ7 Τελευταῖον δὲ καὶ ἐλάχιστα λογισμὸν καὶ διάνοιαν.

Οἷον ὁ ἄνθρωπος, ἢ ⟨εἴ⟩ τι τοιοῦτον ἄλλο εἶδος ὑπάρχει. ἐλάχιστα
δέ, φησί, λογισμοῦ μετέχει καὶ διανοίας εἰκότως· τὰ γὰρ πράγματα ὅσῳ 15
μᾶλλον ἐγγίζει τῇ μιᾷ τῶν πάντων ἀρχῇ, τῷ μὲν ποσῷ ἐλαττοῦται,
ὑπεραίρει δὲ κατὰ τὴν δύναμιν, διότι κἀκείνη ἀριθμοῦ ἐκτὸς οὖσα παντο-
δύναμός ἐστι· διὸ καὶ τὰ πλησιέστερα ταύτης συστέλλει μὲν τὸ ποσόν, αὔξει
10 δὲ τὴν δύναμιν. διὰ τοῦτο οὖν τὰ λογισμοῦ καὶ διανοίας μετέχοντα ἐν τοῖς
θνητοῖς ἐλάχιστά ἐστι τῷ ἀριθμῷ, διότι τῇ δυνάμει μέγιστα.

p. 415ᵃ8 Οἷς μὲν γὰρ ὑπάρχει λογισμὸς τῶν φθαρτῶν, τούτοις καὶ τὰ λοιπὰ πάντα.

Ἀναγκαίως προσέθηκε τὸ φθαρτῶν· ἐν γὰρ τοῖς φθαρτοῖς πᾶσαι
15 αἱ προειρημέναι ψυχικαὶ δυνάμεις ὑπάρχουσι, καὶ ἡ τάξις αὐτῶν ἡ εἰρη-
μένη. τὰ μέντοι θεῖα καὶ ἀθάνατα λογισμὸν μὲν ἔχειν δόξει, τῶν δὲ
ἄλλων δυνάμεων μηδεμίαν· πρὸς γὰρ τὴν χρείαν καὶ σωτηρίαν τῶν θνη-
τῶν πᾶσαι ἐκεῖναι γεγόνασι. λογισμὸν δέ φησι τὴν διάνοιαν. οὐ θαυμα-
στὸν δὲ καὶ τὰ θειότερα ζῷα, οἷον τὰ οὐράνια, διὰ τὴν ἐπιπλοκὴν τὴν τοῦ 25
20 σώματος χρῆσθαι διανοίᾳ. ἀναλόγῳ μέντοι τῇ ζωῇ αὐτῶν, οὐχ ὥσπερ ἡ
παρ' ἡμῖν ἐξ ἀπορίας εἰς εὐπορίαν προϊούσῃ καὶ ἀπὸ ζητήσεως εἰς εὕρεσιν,
ἀλλ' ἀζήτητα διά τινων πρώτων συναγούσῃ τὰ δεύτερα, τοσοῦτον διαφε-
ρούσης τῆς τοιαύτης διανοίας τοῦ νοῦ, ὅτι ἐκεῖνος μὲν μιᾷ ἐπιβολῇ περι-
λαμβάνει τὸ γνωστόν, αὕτη δὲ μεταβάσεώς τινος δεῖται, ἀπραγμόνως μέντοι,
25 καὶ ἀπορία καὶ ζήτησις οὐ προηγήσατο.

p. 415ᵃ10 Ἀλλὰ τοῖς μὲν οὐδὲ φαντασία, τὰ δὲ ταύτῃ μόνῃ ζῶσι. 30

Τῶν γὰρ μὴ μετεχόντων λόγου τὰ τελειότατα [ταῦτα] κατὰ φαντασίαν
ζῇ. τὸ δὲ ταύτῃ μόνῃ ζῶσιν εἶπεν πρὸς ἀντιδιαστολὴν τοῦ λογισμοῦ,
ἐπεὶ ζῶσι καὶ τῇ αἰσθήσει, ἀλλ' ἕκαστον κατὰ τὸ τιμιώτατον τῶν ἐν ἑαυ-
30 τῷ χαρακτηρίζεται. τινὰ δὲ καὶ τῶν αἰσθήσεως μετειληφότων φαντασίαν
οὐκ ἔχει· τοῦτο γὰρ δοκεῖ λέγειν. ἔστι δὲ ἄπορος ὁ λόγος· εἰ γὰρ τὰ

---

1 ἵεσθαι] ἴεσθαι t: ἴσεσθαι D 2 ἴεσθαι Dt 4 δὲ καὶ] δὲ τὸ t 5 εἴ addidi
7 τῶν om. t 9 πλησιέτερα D ταύτης scripsi: ταύταις Dt 11 διότι] διὸ t
12 οἷς] οἷ ut vid., D 14 τὸν φθαρτῶν t 17 μηδεμίαν om. D 21 προϊούσῃ
et 22 συναγούσῃ scripsi: προϊοῦσα et συνάγουσα Dt 22 ἀλλ' ἀζήτητα scripsi: ἀλλὰ
ζητεῖ τὸ Dt 26 τοῖς] τὰ t ταύτῃ] ταῦτα D μόνῃ, ut Arist. vulg.,
scripsi coll. v. 28: μόνον Dt Arist. SUX 27 ταῦτα delevi

αἰσθήσεως μετέχοντα καὶ ὄρεξιν ἔχει. ἡ δὲ ὄρεξις τῶν ἀπόντων ἐστίν (τοῦ h 4ᵛ
γὰρ παρόντος οὐκ ἔστιν ὄρεξις), τὸ δὲ ὀρέγεσθαι τοῦ μὴ παρόντος οἷον δι' 35
ἀνατυπώσεως αὐτοῦ γίνεται, πῶς οἷόν τε τὰ ὀρέξεως μετέχοντα, ταὐτὸν
δ' εἰπεῖν τὰ αἰσθήσεως, μὴ μετέχειν καὶ φαντασίας; τὸν δὲ περὶ τούτων
5 λόγον ζητήσομεν ἀκριβέστερον, ὅταν τὸν περὶ τῆς φαντασίας προχειρίζηται
λόγον ὁ φιλόσοφος. διαλέξεται γὰρ περὶ αὐτῆς καὶ ἐνταῦθα μέν, μάλιστα
δ' ἐν τῷ τρίτῳ βιβλίῳ. δύναται δὲ λέγειν ἁπλῶς τινα φαντασίας μὴ με-
τέχειν, ὅσα μηδὲ αἰσθήσεως, οἷον τὰ φυτά.

p. 415ᵃ11 Περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος. 40

10 Κἀνταῦθα πάλιν δῆλός ἐστι χωρίζων τὸν νοῦν καὶ μὴ συναριθμῶν
ταῖς ἄλλαις τῆς ψυχῆς δυνάμεσιν. ἐνταῦθα δὲ πάλιν ὁ Ἀλέξανδρός φησιν
αὐτὸν λέγειν περὶ τοῦ θείου νοῦ τοῦ ἐν τοῖς ἀιδίοις. ἀλλ' οὐ πόρρω τὰ
περὶ αὐτοῦ εἰρημένα, ἔνθα ἔλεγε "περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς
δυνάμεως οὐδέν πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ
15 τοῦτο μόνον ἐνδέχεσθαι χωρίζεσθαι". μονονουχὶ γὰρ κἀνταῦθα τὰ αὐτά
φησιν· ἐκεῖ μὲν γὰρ ἔλεγεν "οὐδέν πω φανερόν", ἐνταῦθα δὲ "ἕτερος 45
λόγος". ἀλλ' ὅμως οὐκ ἂν εἴποι τις ἐκεῖνα περὶ τοῦ θείου νοῦ λέγεσθαι· οὐ
γὰρ δὴ χωρίζεται τῶν σωμάτων ἐκείνων, εἴπερ ἀίδιά ἐστιν. εἶτα καὶ ἐπήγαγε
"τὰ δὲ λοιπὰ μόρια τῆς ψυχῆς", ἀντιδιαστελλόμενον πρὸς ταῦτα. εἰ δὲ
20 μηδὲ μετέχουσιν ἐκεῖνα τούτων τῶν δυνάμεων, ὡς ἀρτίως εἴρηται, ἀλλὰ
ὁ ἡμέτερός ἐστι δηλονότι ὁ καὶ χωριστὸς τοῦ σώματος ἐν ᾧ ἐστι καὶ
μόριον ὢν τῆς ὅλης ψυχῆς τῆς ἐν τῷ ζῴῳ, ἄλλως τε αὐτὸς ἐν τῷ ἑφε-
ξῆς βιβλίῳ τῇ Ἠθικῇ πραγματείᾳ φησὶν ὅτι πρακτικὸς νοῦς ὁ ἡμέτερός 50
ἐστι καὶ οὐχ ὁ θεῖος (ἡμέτεραι γὰρ αἱ κατὰ νοῦν πράξεις). οὗτος δὲ ὁ
25 αὐτός ἐστι τῷ θεωρητικῷ κατὰ τὸ ὑποκείμενον μόνῳ τῷ τέλει διαφέρων,
οὐκ ἂν λέγοι περὶ τοῦ θείου λέγων περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ, ἀλλὰ
περὶ τοῦ ἡμετέρου. καλῶς δέ φησιν ἕτερον λόγον εἶναι περὶ τούτου· ὡς
γὰρ εἶπον πολλάκις, αὐτός φησιν ἔν τε τῇ Περὶ μορίων καὶ ἐν τῷ Ε τῆς
Μετὰ τὰ φυσικά, ὅτι φυσικοῦ τὸ διαλεχθῆναι περὶ ψυχῆς οὐ πάσης, ἀλλ'
30 ὅσῃ μὴ ἄνευ τῆς ὕλης· ἐπεὶ οὖν ὁ θεωρητικὸς νοῦς χωριστός ἐστιν, εἰ- h 5ʳ
κότως φησὶν ἕτερον λόγον εἶναι περὶ αὐτοῦ· θεολόγου γὰρ τὸ περὶ τῶν
χωριστῶν εἰδῶν διαλέγεσθαι. ἀλλ' ὅμως, ὥσπερ εἴωθεν, καθάπερ ἐν τῇ
Φυσικῇ πρὸς τῷ τέλει ἀνήγαγεν ἑαυτὸν ἐπὶ τὴν χωριστὴν αἰτίαν τῶν φυ-
σικῶν πραγμάτων περὶ τοῦ ἀκινήτου αἰτίου διαλεχθείς, οὕτω καὶ ἐνταῦθα
35 μετὰ τὸ διαλεχθῆναι περὶ τῶν ἄλλων ἀνάξει αὐτὸν καὶ ἐπὶ τὸν νοῦν. ἀναγ-
καίως δὲ προσέθηκε τοῦ θεωρητικοῦ· εἰ γὰρ καὶ ὁ αὐτός ἐστι τῷ πρακ- 5

---

5 προχειρίζεται t 10 συναριθμεῖν t 12 οὐ πόρρω] p. 413ᵇ24 16 οὐδέπω t 19 ἀντιδιαστελλόμενος t 20 μηδὲ D: μὴ t 23 post βιβλίῳ videtur addendum καὶ τῇ Ἠθικῇ πραγματείᾳ] Eth. Nicom. Γ 5 p. 1112ᵇ31, cf. K 8 p. 1178ᵃ9 ᵇ10 ὅ[τι] ὁ D 28 ἔν τε τῇ Περὶ μορίων — Μετὰ τὰ φυσικά (29)] de Part. anim. A 1 p. 641ᵃ33 sqq., Metaph. E 1 p. 1026ᵃ5 32. 33 ἐν τῇ Φυσικῇ] Θ 6

τικῷ κατὰ τὸ ὑποκείμενον. ἀλλ' οὖν ὡς μὲν πρακτικὸς ἀχωρίστους ἔχει h 5r
τὰς ἐνεργείας τοῦ σώματος· περὶ γὰρ τοῦτο πᾶσα πρᾶξις· ὥστε ἐπεὶ χω-
ρισθεὶς ὁ νοῦς οὐχ ὡς πρακτικὸς χωρίζεται (ταύτῃ γὰρ ἀχώριστος) ἀλλ'
ὡς θεωρητικός, διὰ τοῦτο τοῦ θεωρητικοῦ εἶπεν.

5 p. 415ᵃ12 Ὅτι μὲν οὖν ὁ περὶ τούτων ἑκάστου λόγος οὗτος οἰ-
κειότατος καὶ περὶ ψυχῆς, δῆλον.

Ἔδειξε γὰρ ὅτι ἐν οἷς ὁ κοινὸς λόγος οὐκ ἔστιν ἰδία τις φύσις παρὰ
τὰ ὧν κατηγορεῖται, γελοῖον τὸ ἐναπομένειν ἐν τῷ κοινῷ λόγῳ, ἀλλὰ δεῖ 10
καὶ τὴν περὶ ἑκάστου τῶν σημαινομένων ὑπὸ τοῦ κοινοῦ λόγου προχειρί-
10 σασθαι διδασκαλίαν. ἐπεὶ οὖν τοιοῦτος καὶ ὁ κοινὸς περὶ ψυχῆς λόγος,
ἀναγκαῖον τῷ περὶ ψυχῆς διαλεγομένῳ τὸν περὶ ἑκάστης δυνάμεως ψυχικῆς
ποιήσασθαι λόγον. ἀναγκαῖον δὲ τὸν μέλλοντα περὶ τούτων σκέψιν
ποιήσασθαι λαβεῖν ἕκαστον αὐτῶν τί ἐστιν. ἀποδοὺς τὸν κοινὸν περὶ
ψυχῆς λόγον, εἶτα δείξας ἐφεξῆς ὅτι οὐ δεῖ μέχρι τοῦ κοινοῦ λόγου στῆναι,
15 ἀλλ' ἰδίᾳ περὶ ἑκάστης τῶν ψυχικῶν δυνάμεων διαλεχθῆναι, διότι τὸ κοινῶς 15
αὐτῶν κατηγορούμενον οὐκ ἔστι γένος (ἔστι γὰρ ἐν αὐταῖς τὸ πρότερον καὶ
τὸ ὕστερον· ἐν οἷς μὲν γὰρ αἱ κρείττους, οἷον ἡ λογική, ἐν τούτοις καὶ αἱ
λοιπαί, οὐ μέντοι καὶ ἔμπαλιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μορίων, οἷον ἐπὶ
τῆς αἰσθητικῆς, τὰ μὲν τῶν ἄλλων τινὸς αἰσθητικῶν δυνάμεων μετέχοντα
20 πάντως καὶ ἁφῆς μετέχει, τὰ δὲ ἁφῆς οὐ πάντως καὶ τῶν ἄλλων τινός·
σπόγγοι γοῦν καὶ ἀκαλῆφαι καὶ εἴ τι τοιοῦτον μόνης ἁφῆς μετέχουσι·
φαίνεται γὰρ συστελλόμενα ἁπτομένου τινὸς καὶ διαχεόμενα) ἐπεὶ οὖν ἀναγ- 20
καῖος ὁ περὶ ἑκάστης τῶν ψυχικῶν δυνάμεων λόγος, δεῖ, φησί, τὸν μέλ-
λοντα περὶ αὐτῶν διαλαμβάνειν ζητῆσαι τίς τέ ἐστιν ἡ οὐσία αὐτῶν ἑκά-
25 στου, εἶτα, φησί, καὶ περὶ τῶν ἑχομένων, τουτέστιν τῶν ἰδίως καὶ καθ'
αὑτὰ συμβεβηκότων. καθ' αὑτὰ δὲ συμβεβηκότα λέγει τὰ ὡμολογημένα
ταῖς δυνάμεσι ταύταις ὑπάρχοντα· ταῦτα γὰρ πρὸς τὴν λῆψιν τοῦ ὁρισμοῦ
καὶ τῆς οὐσίας συμβάλλεται, οἷον ὅτι τὸ ζῆν τῷ σώματι ἀπὸ τῆς φυτικῆς,
ὅτι ἔστιν ἐν αὐταῖς τὸ πρῶτον καὶ τὸ ὕστερον, ὅτι αἱ αἰσθήσεις μειζόνων
30 μὲν αἰσθητῶν ἀντιλαμβανόμεναι οὐκέτι μετ' ἐκεῖνα τῶν ἡττόνων δύνανται 25

---

2. 3 ἐπεὶ χωρισθεὶς] ἐπιχωρησθεὶς t 7 post ὅτι add. τι (vel τε) D 8 δεῖ] δὲ t
11 ἀναγκαῖος D τῶν περὶ ψυχῆς διαλεγομένων t 13 ἀποδιδοὺς t 18 οὐ—
ἔμπαλιν om. D 20 τῶν om. t 24 αὐτῶν (post οὐσία) om. t 26 post λέγει
add. οὐ D ὡμολογημένα Dt: ὁμολογουμένως A: fort. ὡμολογημένως
30 οὐκέτι—ἡττόνων A Suid. s. v. Αἰσθήσεις: τῶν ἡττόνων οὐ Dt

---

16 οὐκ ἔστι γένος, ἀλλ' ὁμώνυμος φωνή, ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· διὸ καὶ ὁ κοινὸς αὐτῶν λόγος οὐδὲ εἰς ἑκάστην συμβάλλεται τῶν δυνάμεων. καὶ γάρ ἐστιν αὐτοῖς τὸ πρότερον κτλ. A

ἀντιλαμβάνεσθαι (ὁ γὰρ πληκτικωτέρων χυμῶν γευσάμενος τῶν ἠρεμαιο- h 5r
τέρων οὐκ ἐπαισθήσεται, καὶ ὁ μεγάλων ψόφων ἀκηκοὼς ἀνεπαίσθητός ἐστι
πρὸς τοὺς ἥττονας, οἷον ψιθυρισμούς· ὁμοίως ὁ πρὸς τὸν ἥλιον ἀτενίσας
ἀναγνῶναι οὐ δύναται οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι·
5 ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς ὁ θερμοῦ ἢ ψυχροῦ σφοδροῦ ἁψάμενος τοῦ
χλιαροῦ οὐκ ἐπαισθήσεται). ὁ δὲ νοῦς ἐναντίως ἔχει· ὅσῳ γὰρ τῶν μει-
ζόνων νοητῶν ἀντιλαμβάνεται, τοσοῦτον ἀκριβέστερός ἐστι περὶ τὴν ἀντί- 30
ληψιν τῶν ἡττόνων, καὶ τὰς μὲν αἰσθήσεις αἱ ὑπερβολαὶ τῶν αἰσθητῶν
φθείρουσιν (ὑπερβολὴ γὰρ φωτὸς ἢ ζόφου ἔφθειρε τὴν ὄψιν, ὁμοίως καὶ
10 ἐπὶ τῶν ἄλλων), τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερ-
κέστερον ποιεῖ. ταῦτα μὲν οὖν τὰ καθ' αὑτὸ συμβεβηκότα ταῖς ψυχικαῖς
δυνάμεσι καὶ τὰ ὅμοια τούτων ὡμολογημένα ὄντα πρὸς τὴν λῆψιν τῆς οὐ-
σίας καὶ τοῦ ὁρισμοῦ συμβάλλονται. λέγει δὲ αὐτὸς ὅτι μετὰ τὸν περὶ
τῆς οὐσίας λόγον δεῖ εἰπεῖν καὶ περὶ τῶν ἐχομένων τῇ οὐσίᾳ, περὶ 35
15 τῶν ἀδήλων λέγων καθ' αὑτὸ συμβεβηκότων, ἅτινα ἐκ τῆς εὑρέσεως τῆς
οὐσίας ἀναφαίνεται. οἷον εἰ χωριστὴν ἔχουσι τὴν οὐσίαν ἢ ἀχώριστον
(εὑρήσομεν γὰρ ἐκ τοῦ ἀποδιδομένου ὁρισμοῦ ὅτι ἀχώριστον). καὶ πότερον
θνητὴ ἢ ἀθάνατος. τὸ δὲ καὶ περὶ τῶν ἄλλων ἤτοι τῶν κατὰ συμβε-
βηκὸς ὑπαρχόντων, οἷον εἰ κινεῖται κατὰ συμβεβηκός, καὶ εἰ ἐν τόπῳ ἐστίν·
20 ἢ ἐχόμενα μὲν εἶπεν τὰ προσεχέστερον ἰδίως συμβεβηκότα, οἷον τὸ χω-
ριστὸν ἢ ἀχώριστον, ἄλλα δὲ τὰ πορρώτερον, οἷον τὸ θνητὸν ἢ ἀθάνατον· 40
ἤγουν ὅτι τινῶν μὲν καθ' αὑτὸ ἀντιλαμβάνονται, τινῶν δὲ κατὰ συμβεβη-
κός, οἷον ἡ ὄψις καθ' αὑτὸ μὲν χρωμάτων, κατὰ συμβεβηκὸς δ' εἰ τύχοι
σχημάτων.

25 p. 415a14 Ἀναγκαῖον δὲ τὸν μέλλοντα περὶ τούτων σκέψιν ποι-
εῖσθαι λαβεῖν ἕκαστον αὐτῶν τί ἐστιν.

Ἐντεῦθεν βούλεται τὸν τρόπον τῆς διδασκαλίας ἐκθέσθαι, ᾧ μέλλει
χρήσασθαι περὶ ἑκάστης τῶν ψυχικῶν δυνάμεων. οὔσης γὰρ πρώτης μὲν 45
τῆς δυνάμεως, δευτέρας δὲ τῆς ἐνεργείας, πρότερον μὲν περὶ τῶν ψυχικῶν
30 ἐνεργειῶν διαλέγεται, εἶτα περὶ τῶν δυνάμεων, διὰ τὸ σαφεστέρας εἶναι
τῶν δυνάμεων τὰς ἐνεργείας, καὶ ἔτι πρὸ τούτων περὶ τῶν ἀντικειμένων
ταῖς δυνάμεσιν, ἀντικειμένων δὲ ὡς τὰ πρός τι· τῇ γὰρ θρέψει ἡ τροφὴ
ἀντίκειται· ἡ γὰρ θρέψις τῇ τροφῇ τρέφει καὶ τροφῆς ἐστι θρέψις, ὁμοίως
ἡ ὅρασις ὁρατοῦ ὅρασις, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. αὐτὸ οὖν τοῦτο

---

1 γευόμενος τὸν t 6 post νοῦς add. τούτοις A Suid. γὰρ A: om. Dt 7 ἀκριβέστερος A: ἀκριβέστερον Dt 12. 13 οὐσίας ἑκάστης δυνάμεως καὶ τοῦ A 14 τῇ οὐσίᾳ Dt: fort. τῆς οὐσίας 16 ἀναφέρεται D 18 ἄλλων] ἐχομένων t 23 χρωμάτων scripsi: χρώματα Dt 25 σκέψιν] λόγον t 26 τί ἐστιν ἕκαστον αὐτῶν coll. t 27 τρόπον D: τύπον t

διὰ τούτων κατασκευάσαι βούλεται, ὅτι δεῖ τῆς διδασκαλίας ἐκ τῶν ἀντι- h 5r
κειμένων ἄρξασθαι ὡς σαφεστέρων. 50

p. 415ᵃ16 Εἰ δὲ χρὴ λέγειν ἕκαστον αὐτῶν, οἷον τί τὸ νοητικὸν ἢ τὸ αἰσθητικὸν ἢ τὸ θρεπτικόν, πρότερον ἔτι λεκτέον, τί τὸ νοεῖν ἢ τὸ αἰσθάνεσθαι.

Εἰ δεῖ, φησί, περὶ τῶν ψυχικῶν δυνάμεων διαλαβεῖν, ταὐτὸν δὲ εἰπεῖν περὶ τῶν οὐσιῶν (ὁ γὰρ τὴν δύναμιν ἐγνωκὼς τὴν οὐσίαν ἔγνωκεν· ἔγνω γὰρ ὅτι οὐσία ἐστὶν ἀσώματος ἐν ὑποκειμένῳ σώματι τοιάνδε | δύ- h 5v
ναμιν ἔχουσα) ἐπεὶ οὖν, φησί, περὶ τῶν δυνάμεων δεῖ διαλαβεῖν. τῶν δὲ δυνάμεων πρότεραι αἱ ἐνέργειαι, ἀναγκαίως πρῶτον περὶ τῶν ἐνεργειῶν δεῖ διαλεχθῆναι. πῶς δὲ πρότεραι τῶν δυνάμεων αἱ ἐνέργειαι, προσέθηκεν ὅτι τῷ λόγῳ: αἱ μὲν γὰρ δυνάμεις τῷ χρόνῳ πρότεραι τῶν ἐνεργειῶν, αἱ μέντοι ἐνέργειαι τῷ μὲν χρόνῳ δεύτεραι, τῷ δὲ λόγῳ πρότεραι, ἀντὶ τοῦ τῇ διδασκαλίᾳ· σαφέστεραι γὰρ ἡμῖν εἰσιν αἱ ἐνέργειαι τῶν δυνάμεων, δεῖ δὲ πανταχοῦ ἀπὸ τῶν σαφεστέρων τὴν ἀρχὴν ποιεῖσθαι. ἢ ὡς ὁ Ἀλέξανδρός φησι, τῷ λόγῳ ἀντὶ τοῦ τῇ τελειότητι· τελειότης γὰρ τοῦ δυνάμει ἡ ἐνέργεια· ταύτης γὰρ ἕνεκα ἡ δύναμις, τὸ δὲ οὗ ἕνεκα πρότερον τοῦ ἕνεκά του. παντὸς γὰρ τὸ μὲν τέλος τῷ χρόνῳ ὕστερον. τῷ δὲ λόγῳ πρότερον· προθέμενοι γὰρ τῷ λόγῳ τὸ τέλος, οὕτω τὰ πρὸς αὐτὸ ζητοῦμεν καὶ παρασκευαζόμεθα. καὶ ἡ φύσις δὲ πάντα ἕνεκά του ποιεῖ. εἰ γὰρ καὶ μὴ ἔγνωκεν ἃ ποιεῖ μηδὲ προτίθεται περὶ αὐτῶν. ἀλλ' οὖν φυσικῶς πρός τι τέλος ὁρᾷ αὐτῆς ἡ ἐνέργεια. εἰκότως οὖν πρότερον τῶν δυνάμεων τὸν περὶ τῶν ἐνεργειῶν προχειρίσεται λόγον ὡς προτέρων τῇ τε γνώσει τῇ ἡμετέρᾳ διὰ τὴν σαφήνειαν καὶ τῷ τέλει. εἰ δὲ οὕτω, φησί, τουτέστιν εἰ περὶ τῶν σαφεστέρων καὶ πρώτων πρότερον δεῖ ποιεῖσθαι τὸν λόγον, σαφέστερα δὲ τῶν ἐνεργειῶν τὰ ἀντικείμενα αὐταῖς, περὶ τῶν ἀντικειμένων ἄρα πρῶτον δεῖ ποιήσασθαι τὸν λόγον. ἀντικείμενα δὲ ὡς πρός τι· ἡ γὰρ αἴσθησις αἰσθητοῦ ἐστιν αἴσθησις, καὶ ἡ νόησις νοητοῦ νόησις, καὶ ἡ θρέψις τῇ τροφῇ ἐστι θρέψις. ὅτι δὲ τῆς μὲν δυνάμεως ἡ ἐνέργεια πρώτη τῷ λόγῳ, καὶ τῆς ἐνεργείας τὰ ἀντικείμενα, τίνα τέ ἐστι καθόλου τὰ τῷ λόγῳ πρῶτα, ἐν τῷ Θ τῆς Μετὰ τὰ φυσικὰ λέγει· ὧν γὰρ ἐν τῷ ὁρισμῷ παραλαμβάνομέν τινα, ταῦτα πρῶτα ἐκείνων ὁριζόμεθα τῷ λόγῳ. τὴν μὲν οὖν δύναμιν ὁριζόμενοι χρείαν ἔχομεν τῆς ἐνεργείας, οἷον ὁριζόμενοι τὴν ὄψιν λέγομεν δύναμις ἀφ' ἧς τὸ ὁρᾶν, ὅπερ ἐστὶν ἐνέργεια· οὐκέτι δὲ τὴν ἐνέργειαν ὁριζόμενοι προσχρώμεθα τῇ δυνάμει· τὸ γὰρ ὁρᾶν ἐστι τὸ ἀντιλαμβάνεσθαι τῶν ὁρατῶν, τουτέστι τῶν χρωμάτων. πάλιν τῆς ἐνεργείας

---

1 διά] δὴ t 3 ἕκαστον] legendum τί ἕκαστον οἷον τί D Arist. vulg.: τί om. t Arist. TU 5 ἢ τὸ D: καὶ τί τὸ t Arist. 9 δεῖ addidi 11 πῶς δὲ — αἱ ἐνέργειαι D: om. et lemma πρότεραι γὰρ — ἐνέργειαι (p. 415ᵃ18. 19) exh. t
31 ἐν τῷ Θ τῆς Μετὰ τὰ φυσικά] Θ 8 p. 1049ᵇ12 32 παραλαμβανόμενα t

κατὰ τὸν αὐτὸν λόγον πρότερά ἐστι τὰ ἀντικείμενα. περὶ ἃ αἱ ἐνέργειαι· h 5v
ὁριζόμενοι γὰρ τὴν ἐνέργειαν τὴν κατὰ τὸ ὁρᾶν, προσχρώμεθα τῷ ὁρατῷ 25
(τὸ γὰρ ὁρᾶν φαμεν ἀντίληψιν χρωμάτων εἶναι), οὐκέτι δὲ τῷ τοῦ χρώματος λόγῳ ἐμπεριέχεται τὸ ὁρᾶν. τὸ μὲν οὖν χρῶμα ὡς μὲν ὁρατὸν
5 πρός τί ἐστιν, πρός τι δέ ἐστιν οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν· ἐν τούτοις γὰρ ἀνάγκη ἐν τῷ ἑκατέρου λόγῳ θάτερον ἐμπεριέχεσθαι· ὡς δὲ χρῶμα οὐκ ἔστι τῶν πρός τι· διὸ οὐκ ἀνάγκη παραλαμβάνεσθαι ἐν τῷ ὁρισμῷ αὐτοῦ τὸ ὁρᾶν. ταῦτα οὖν τῷ λόγῳ πρῶτα ἐκείνων ὧν ἐν τῷ ὁρισμῷ παραλαμβάνονται. τούτων δὲ ἔτι πρότερον δεῖ τὰ ἀντι-
10 κείμενα τεθεωρηκέναι. καὶ ἀρχόμενος τοῦ βιβλίου ἔλεγε 'δεῖ ζητῆσαι, εἰ 30
δέοι περὶ τῶν ἀντικειμένων ταῖς ἐνεργείαις πρότερον διαλαβεῖν', καὶ νῦν φησιν ὅτι ἀπὸ τούτων ἀρκτέον τῆς διδασκαλίας ὡς σαφεστέρων καὶ τῇ φύσει πρώτων. ὡς γὰρ ἐν Κατηγορίαις ἔδειξεν, αἰσθήσεως μὲν οὔσης πᾶσα ἀνάγκη εἶναι καὶ αἰσθητόν, καὶ θρέψεως οὔσης ἀνάγκη πᾶσα εἶναι
15 καὶ τροφήν, καὶ ἀναιρουμένων τούτων οὔτε αἴσθησις οὔτε θρέψις ἔσται· θρέψεως δὲ καὶ αἰσθήσεως ἀναιρεθείσης τὰ ὧν ἡ αἴσθησις ἀντιληπτικὴ καὶ τὰ οἷς τρέφεται τὰ τρεφόμενα οὐδὲν κωλύει εἶναι. καὶ γὰρ εἰ μὴ 35
ὡς αἰσθητὰ πρῶτα αἰσθήσεως, ἀλλ' οὖν προὐπάρχει γε αὐτῆς ὡς τάδε τινά. τίνα δέ ἐστι τὰ ἀντικείμενα ταῖς ἀπὸ τῶν ψυχικῶν δυνάμεων ἐνερ-
20 γείαις, τῷ τρέφεσθαι, τῷ αἰσθάνεσθαι, τῷ νοεῖν, ἐπήγαγε· περὶ τροφῆς γάρ, φησί, καὶ αἰσθητοῦ καὶ νοητοῦ. καὶ ἐπὶ μὲν τῆς θρεπτικῆς δυνάμεως πρῶτον περὶ τροφῆς διαλέγεται· ἐπὶ δὲ τῆς γεννητικῆς καὶ τῆς αὐξητικῆς ἐπεὶ μὴ εὗρεν ἀντικείμενόν τι ἀνάλογον τῇ τροφῇ (οὐ γὰρ ὥσπερ ἐστί τι ἔξω τῆς θρέψεως ἡ τροφή, οὕτω καὶ ἐπ' ἐκείνων· ἐν αὐτῷ γάρ ἐστι τῷ 40
25 αὐξομένῳ ἡ αὐξητικὴ δύναμις· ὁμοίως τὸ γεννώμενον ὅμοιόν ἐστι τοῦ γεννῶντος, ὥστε ὅσα λέγεται περὶ τοῦ γεννῶντος, τοσαῦτα καὶ περὶ τοῦ γεννωμένου, καὶ οὐδὲν δεῖ περὶ αὐτοῦ ἰδίᾳ εἰπεῖν, καὶ παντὶ προφανὲς ὅτι ὅμοιον τῷ γεννῶντι τὸ τικτόμενον, ἐπειδὴ τῆς τροφῆς ἄπορος ὁ λόγος, ὡς μαθησόμεθα), διὰ τοῦτο οὖν ἀπὸ τῶν τελῶν ἐποιήσατο τούτων τὴν διδα-
30 σκαλίαν, τῆς αὐξητικῆς λέγω καὶ γεννητικῆς. τέλος δὲ τῆς μὲν γεννητικῆς δυνάμεως ἡ τοῦ θείου μίμησις· ἐπεὶ γὰρ πάντα μὲν τοῦ πρώτου ἐφίε- 45
ται καὶ τῆς ἐν ἐκείνῳ ἀιδιότητος, οὐ δύναται δὲ τὰ φθαρτὰ τῷ τὰ αὐτὰ μένειν κατὰ ἀριθμὸν μιμεῖσθαι τὴν τοῦ θείου ἀιδιότητα, τῷ γεννᾶν ἕτερα οἷα αὐτὰ τὴν ἀιδιότητα μιμεῖται. τέλος δὲ τῆς αὐξητικῆς τὸ ἀγα-
35 γεῖν τὸ αὐξόμενον εἰς τὸ τέλειον καὶ κατὰ φύσιν εἶδος, εἰς ὃ γενόμενον τὰς τελειοτάτας τῆς φύσεως ἐνεργεῖ ἐνεργείας, λέγω τὰς γεννητικάς. ἐκ τῶν τελῶν οὖν τὴν περὶ τούτων ποιεῖται διδασκαλίαν. εἰ δέ τις ἀκριβῶς ἐπισκέπτοιτο, καὶ τὴν θρεπτικὴν ἀπὸ τοῦ τέλους ἐδίδαξεν, ὡς ὁ ὁρισμὸς 50
αὐτῆς δηλοῖ. ὡρίσατο γὰρ αὐτὴν οὕτως· δύναμίς ἐστι, φησίν, οἵα τε οὖσα

---

2 κατὰ τοῦ ὁρᾶν t 5 πρός τι δέ ἐστιν om. D 9 τούτων] τούτω t 10 ἀρχόμενος τοῦ βιβλίου] p. 402b15 13 ἐν Κατηγορίαις] 7 p. 7b35 sqq. 18 αὐτῆς (η ex corr.) D1: αὐτὸς t 32. 33 τῷ—κατὰ omisso τὰ iterat D 33 κατὰ τὸν ἀριθμὸν t 35 καὶ τὸ κατὰ t 36 ἐνεργείας] ἐνεργείαις t 39 φησίν] p. 416b18

σώζειν τὸ ἔχον αὐτήν, καθὸ ἔχει τὸ εἶναι, τὸν ἄνθρωπον, καθὸ ἄνθρωπος, h 5v
καὶ τὰ λοιπά.

p. 415a22 Οἷον περὶ τροφῆς καὶ αἰσθητοῦ καὶ νοητοῦ.

Πρὸ γὰρ τῆς θρεπτικῆς δυνάμεως διδάξει τί ποτέ ἐστι τροφή. καὶ πρὸ
5 τῆς αἰσθητικῆς δυνάμεως τί ποτέ ἐστιν αἰσθητόν. οὐκέτι δὲ περὶ τοῦ
νοῦ μέλλων διδάσκειν πρότερον περὶ τοῦ νοητοῦ διαλέξεται· ἀσαφέστε|ρον h 6r
γὰρ ἐνταῦθα τὸ ἀντικείμενον τοῦ νοῦ, λέγω τὸ νοητόν. ἀλλ' ἐπειδὴ οὔπω
ταῦτα διείρηκεν, λέγω δὴ τὰ περὶ τῶν διδασκαλιῶν πασῶν τῶν ψυχικῶν
δυνάμεων. διὰ τοῦτο προσέθηκε καὶ νοητοῦ. ἵνα μὴ ἐπιταράξῃ τὴν διδα-
10 σκαλίαν, ἐπεί, ὡς εἶπον, οὐ τῇ αὐτῇ τάξει ἐπὶ τούτων χρήσεται.

p. 415a22 Ὥστε πρῶτον περὶ τροφῆς καὶ γεννήσεως λεκτέον.

Ἐπειδὴ πρῶτον τῇ φύσει ἡ θρεπτικὴ δύναμις, ὡς πολλάκις εἶπον, 5
ἔφη δὲ δεῖν πρὸ τῶν δυνάμεων περὶ τῶν ἐνεργειῶν εἰπεῖν, πρὸ δὲ τῶν
ἐνεργειῶν περὶ τῶν ἀντικειμένων, πρὸς ἃ ⟨αἱ⟩ ἐνέργειαι τὸ εἶναι ἔχουσι.
15 τῷ δὲ τρέφεσθαι ἡ τροφὴ ἀντίκειται (τὸ γὰρ τρεφόμενον τροφῇ τρέφεται),
διὰ τοῦτο ἀρχόμενος πάλιν τοῦ περὶ ψυχῆς λόγου περὶ τροφῆς πρῶτον
λέγειν, φησί, δεῖ. συνῆψε δὲ τῇ τροφῇ τὴν γέννησιν, ὡς τῆς τρο-
φῆς καὶ τοῦ γεννᾶν αἰτίας οὔσης· τὸ γὰρ σπέρμα περίττωμά ἐστι τροφῆς.
γέννησιν δὲ τὸ γεννώμενον εἶπεν· τοῦτο γὰρ τῷ γεννᾶν ἀντίκειται· τὸ γὰρ 10
20 γεννῶν γεννώμενον γεννᾷ. καὶ περὶ τῆς γεννητικῆς οὖν μέλλοντας εἰπεῖν
πρῶτον περὶ τοῦ ἀντικειμένου ῥητέον. οὐκ ἔστι δ', ὅπερ εἶπον, τὸ γεννώ-
μενον ὡς ἀντικείμενον, ἀλλὰ μᾶλλον ὡς τέλος· τούτου γὰρ στοχάζεται ἡ
φύσις διὰ τὴν ἔφεσιν τῆς διαμονῆς, τοῦ ποιῆσαι ἄλλο οἷον αὐτό. μήποτε
δὲ οὐδὲν κωλύσει καὶ ὡς ἀντικείμενον αὐτὸ θεωρεῖν, ὅταν ὡς γεννώμενον
25 μόνον θεωρῆται· οὔτε γὰρ γέννησιν ἐνδέχεται ἄνευ τοῦ γεννωμένου οὔτε 15
γεννώμενον ἄνευ γεννήσεως. ὥσπερ οὖν ἡ οἰκοδόμησις τοῦ οἰκοδομητοῦ
ἐστιν οἰκοδόμησις καὶ ἡ αἴσθησις αἰσθητοῦ αἴσθησις, οὕτω δήπου καὶ ἡ
γέννησις γεννητοῦ γέννησις· καὶ ὥσπερ τέλος τῆς οἰκοδομήσεως τὸ ἀπο-
τελέσαι τὸ οἰκοδομητόν, τουτέστιν οἰκίαν ποιῆσαι, οὕτω καὶ τῆς γεννήσεως
30 τὸ ποιῆσαι ἄλλο οἷον τὸ γεννῶν. ὥσπερ οὖν τὴν οἰκίαν οὐδὲν κωλύει καὶ
ὡς ἀντικείμενον καὶ ὡς τέλος θεωρεῖσθαι τῆς οἰκοδομήσεως. ὡς μὲν αὐτὸ
τοῦτο οἰκίαν, τουτέστι σκέπασμα κωλυτικὸν ἀπ' ὄμβρων καὶ καυμάτων, τέ-
λος, ὡς μέντοι οἰκοδομητόν, ἕως ἂν οἰκοδομῆται, ἀντικείμενον, οὕτω καὶ 20
τῆς γεννήσεως τὸ γεννώμενον ὡς μὲν ἔτι γεννώμενον ἀντικείμενον (ὡς γὰρ

---

4 διδάξει post τροφή coll. t 6 νοητοῦ] νοῦ t 8 δι' εἴρηκεν (sic) D: δ' εἴρηκε t 9 ἐπιταράξει D 14 αἱ add. Diels 16 περὶ θρεπτικῆς ψυχῆς t 17 δεῖν t 19 γένησιν t 22 ὡς τέλος Diels: εἰς τέλος Dt 23 τοῦ scripsi: τὸ Dt 25 θεωρεῖται t 27 post ἐστιν add. ἡ D 33 οὕτω] οὐδὲ D

ἡ οἰκοδόμησις πρὸς τὸ οἰκοδομητόν, οὕτως ἡ γέννησις πρὸς τὸ γεννητόν), h 6r
ὡς δὲ ἤδη γεγεννημένον τέλος. τὸ αὐτὸ καὶ ἐπὶ αὐξήσεως καὶ αὐξητοῦ καὶ ηὐξημένου.

p. 415a23 Ἡ γὰρ θρεπτικὴ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει πρώτη.

Ἐντεῦθεν λοιπὸν ἄρχεται τὴν περὶ τῆς φυτικῆς ψυχῆς διδασκαλίαν ποιεῖσθαι. θρεπτικὴν ψυχὴν ἐνταῦθα τὴν φυτικὴν λέγει. ἐπειδὴ πρὸ τῶν δυνάμεων δεῖ περὶ τῶν ἐνεργειῶν διαλαβεῖν, πρὸ δὲ τῶν ἐνεργειῶν περὶ τῶν ἀντικειμένων, προτέρα δὲ τῶν ψυχικῶν δυνάμεων ἡ φυτική, διότι τὰ μὲν ἔχοντα τὰς ἄλλας ψυχικὰς δυνάμεις ἔχει καὶ ταύτην, τὰ δὲ ταύτην ἔχοντα οὐ πάντως ἔχει καὶ τὰς ἄλλας, διὰ τοῦτο πρῶτον περὶ τροφῆς καὶ γεννήσεως ἀναγκαῖον εἰπεῖν· ταῦτα γὰρ ἔργα ἐστὶ τῆς φυτικῆς ψυχῆς, περὶ ἧς πρῶτον διαληπτέον ὡς κοινοτάτης· κατὰ ταύτην γὰρ τὸ ζῆν πᾶσιν ὑπάρχει τοῖς ζῶσιν, ὥσπερ τὸ ζῴοις εἶναι κατὰ τὴν αἴσθησιν. καὶ πρότερόν γε, ὡς ἤδη εἶπον, περὶ τῆς γεννητικῆς ποιεῖται τὸν λόγον. ἧς ἐστιν ἔργα γεννῆσαί τε καὶ τροφῇ χρῆσθαι. ὁρᾷς ὅτι τὸ ἡ γὰρ θρεπτικὴ ψυχὴ εἶπεν ἀντὶ τοῦ ἡ φυτική· ταύτῃ γὰρ τῆς θρεπτικῆς ἔργα φησὶν εἶναι τὸ γεννῆσαι καὶ τροφῇ χρῆσθαι, ἀντὶ τοῦ θρέψαι.

p. 415a26 Φυσικώτατον γὰρ τοῖς ζῶσίν ἐστιν, ὅσα τέλεια καὶ μὴ πηρώματα ἢ τὴν γέννησιν αὐτομάτην ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό.

Ἰδοὺ γὰρ ἀρχὴν τῆς γεννητικῆς δυνάμεως ἀπὸ τοῦ τέλους ἐποιήσατο διδάσκων τί ποτέ ἐστι τὸ τέλος αὐτῆς. φυσικώτατον δὲ ἀντὶ τοῦ σκοπιμώτατον τέλος τῆς φύσεως τοῦτό ἐστι, τὸ ποιῆσαι ἄλλο οἷον αὐτό. πάντα οὖν τὰ ζῶῆς μετέχοντα, εἰ μὴ πηρώματα εἴη, ὡς οἱ εὐνοῦχοι, ἢ μὴ τέλεια, οἷον τὰ νεογνά, ⟨ἢ⟩ εἰ μὴ αὐτομάτην ἔχει τὴν γέννησιν, ὡς τὰ ἐκ σήψεως γινόμενα, οἷον σκώληκες καὶ ψύλλαι καὶ κώνωπες καὶ τὰ τοιαῦτα, σκοπιμώτατον τέλος ἔχει παρὰ τῆς φύσεως τὸ γεννᾶν οἷον αὐτό. ἡμίονοι δὲ καὶ εἴ τι τούτοις ὅμοιον, οἱονεὶ καὶ αὐτὰ πηρώματά ἐστιν· οὐ σώζει γὰρ οὐδέτερον εἶδος· διὸ οὐκ ἔχουσι τὴν ἐξ ἀλλήλων γέννησιν. ἱστοροῦσι δὲ ὅτι κυήσασαί ποτε ἡμίονοι ἐξήμβλωσαν, μὴ δυνηθείσης τῆς φύσεως τελεσφορῆσαι τὸ κυηθὲν διὰ τὸ μὴ εἶναι εἰλικρινῆ μηδετέραν φύσιν, μήτε τὴν ἵππου μήτε τὴν ὄνου, ἀλλ' ἑκατέραν πήρωμα εἶναι. οὐ πάντα δὲ τὰ ἐκ

---

1 γέννησις πρὸ τὸ t 2 τέλος A: εἰς τέλος Dt 4 πρώτη D Arist. UVXy: καὶ πρώτη t Arist. vulg. 7 πρὸ] περὶ D 15 τροφῆς D 18 τοῖς ζῶσιν ἐστίν D: τῶν ἐν τοῖς ζῶσιν ἔργων t: τῶν ἔργων τοῖς ζῶσιν Arist. vulg. 18. 19 ἢ μὴ πειρώματα D 19 γένεσιν t Arist. αὐτομάτην D Arist. vulg.: αὐτόματον t Arist. SUW 21 Ἰδοὺ γὰρ — οἷον αὐτό (23) iterat D 25 ἢ addidi 30 κυήσασαί t 32 πήρωμα scripsi: πείρωμα D: πειρώματα t

σήψεως οὐ κυΐσκει· ἱστορεῖ γὰρ Ἀριστοτέλης ἐν τῇ Περὶ ζῴων ἱστορίᾳ h 6r
ἰχθῦς τινας ἐκ σήψεως γινομένους καὶ κυΐσκοντας· καὶ μέλιτται δὲ ἐκ σή-
ψεως τῶν ταυρείων σωμάτων γινόμεναι ὁμοίως γεννῶσιν ἐναφιεῖσαι τοῖς
κηρίοις τὸ σπέρμα. εἶτα καὶ τὴν αἰτίαν προστίθησι, τίνος ἕνεκα τὸ φυσι-
5 κώτατον τέλος τοῖς ζῶσίν ἐστι τὸ ποιῆσαι ἕτερον οἷον αὐτό· ἵνα γάρ, φησί,
τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν, ᾗ δύνανται. δοκεῖ γὰρ αὐτῷ πάντα
τὰ φύσει συνεστῶτα ἔφεσιν τοῦ ἀρίστου καὶ πρώτου τῶν ὄντων ἔχειν, λέγω
δὴ τοῦ θείου, ἔφεσιν δὲ φυσικήν· διόπερ ἕκαστον, ᾗ δύναται, μιμεῖται τὴν 50
ἐν τῷ πρώτῳ ἀιδιότητα. //ἀπορήσειε δ' ἄν τις, εἰ φυσικώτατόν ἐστιν τοῖς
10 ζῶσι πᾶσι τὸ ποιῆσαι οἷον αὐτό, ἕκαστον δὲ τοῦ ὁμοίου ἐστὶ γεννητικόν,
συμβήσεται ἢ καὶ ἐν τῇ ἀλόγῳ ψυχῇ εἶναι τὴν γεννητικὴν δύναμιν, καὶ
τὴν αἴσθησιν αἴσθησιν γεννᾶν, καὶ τὸν θυμὸν θυμόν, καὶ ἐπὶ τῶν λοιπῶν
ὡσαύτως, ἢ τὴν φυτικὴν γεννητικὴν εἶναι τῆς ἀλόγου, ὡς εἶναι ἐκ τοῦ
χείρονος τὸ κρεῖττον, ὅπερ ἄτοπον. μήποτε οὖν ἔστιν εἰπεῖν ὅτι ὥσπερ
15 ὁ ἀποτμηθεὶς κλάδος ἔχει ἐν ἑαυτῷ ἀμερῶς τὰς φυσικὰς πάσας δυνά- h 6v
μεις, καὶ ὥσπερ τὰ μόρια τῶν ἐντόμων καὶ τῶν ὅλων ἀποτμηθέντα ἔχει
ἐν ἑαυτοῖς τήν τε αἰσθητικὴν δύναμιν καὶ τὴν κατὰ τόπον κίνησιν, οὕτω
καὶ ἐν τῷ σπέρματι τῷ ἐκ τῶν ζῴων ἀμερῶς ἐνυπάρχουσιν οἱ λόγοι τῶν
ψυχικῶν δυνάμεων· οὐ γὰρ ἄζων ἕξεισιν. ἀλλ' εἰ τοῦτο δοθείη ὅτι καὶ
20 τῆς ἀλόγου ψυχῆς οἱ λόγοι εἰσὶν ἐν τῷ σπέρματι, ὧν αὐξομένων ἢ τελεσφο- 5
ρουμένων ἐγγίνεσθαι τὴν ἄλογον ψυχὴν ἐν τῷ σώματι. μηδεμιᾶς ἔξω-
θεν οὐσίας τῆς ἀλόγου ψυχῆς ἐγγενομένης ἐν τῷ σώματι, πολλὰ τῶν ὡμο-
λογημένων ἀνατρέψομεν. σκοπείσθω δ' ὡς ἐπὶ ἀνθρώπου ὁ λόγος. //λέγε-
ται δὴ τῇ ἀνθρωπείᾳ ψυχῇ ἐγκατιούσῃ εἰς γένεσιν. πρὶν εἰς τόδε τὸ σῶμα
25 πέσῃ, πρότερον προσυφαίνεσθαι αὐτῇ τὸ πνεῦμα καὶ τὰς ἐν αὐτῷ ἀλόγους
δυνάμεις. εἰ δὲ τοῦτο ἀληθές, προϋπάρχειν ἀνάγκη τοῦ σπέρματος τὴν
ἄλογον ψυχήν. εἰ γὰρ ἐν τῷ σπέρματι τὴν γένεσιν ἴσχει, ψεῦδος τὸ εἰρη- 10
μένον, καὶ εἰ ἐν τῷ πνεύματι ἔχει τὸ εἶναι καὶ ἐπιδιαμένει μετὰ τὴν διά-
λυσιν τοῦ ζῴου, ἀδύνατον ἐν τῷ σπέρματι τοὺς λόγους αὐτῆς εἶναι· ἐν
30 ἐκείνῳ γὰρ ἕξει καὶ τὸ εἶναι. εὔλογον δὲ καὶ τὸ ἐπιδιαμένουσαν * * τοῦ
σώματος καὶ προϋπάρχειν αὐτοῦ. μήποτε οὖν ὥσπερ τῶν αὐτομάτων ζῴων
τε καὶ φυτῶν ἡ γένεσις οὐκ ἐκ προϋποκειμένης ψυχῆς τῇ διαδοχῇ γίνεται,
ἀλλὰ τῆς ὅλης ἐπιτηδείας γενομένης ὑπὸ τῆς ὅλης δημιουργίας ἐνίεται ἐν
αὐτῇ τῶν τε βοτανῶν καὶ τῶν ζῴων τὰ εἴδη καὶ αἱ ἐν αὐτοῖς ψυχικαὶ 15
35 δυνάμεις, οὕτω καὶ ἐπὶ τῆς ἀλόγου ψυχῆς τῆς ἐν πᾶσι τοῖς ζῴοις γίνεται
ἐκ τῆς ὅλης δημιουργίας ὑφισταμένων αὐτῶν. εἰ γόνιμος οὖν δύναμις τῆς
ἀλόγου ψυχῆς, οὐδεμία ἀπορία· τῆς γὰρ γονίμου δυνάμεως οὐ χρεία ταύτῃ
τὴν κατὰ ἀριθμὸν ἐχούσῃ ἀιδιότητα. //ἀλλ' εἰ πάντα τοῦ ἀεὶ ἐφίεται, καὶ

---

1 ἐν τῇ Περὶ ζῴων ἱστορίᾳ] Z 15 5 οἷον om t 6 μετέχουσιν D 7 συνεστότα ἔφεσι D 22. 23 ὁμολογουμένων t 27 γέννησιν t 28 εἰ D²: om. D¹t 30 lacunam indicavi: addendum μετὰ τὴν διάλυσιν 34 αὐτοῖς, ut videtur, D: αὐτῷ t 35 ψυχῆς τοῖς ἐν D 36 εἰ D²: ἡ D¹t 38 τὴν fort. D: τῆς t ἐχούσῃ scripsi: ἐχούσης Dt

διὰ τοῦτο ἐνέσπαρται τοῖς ἐμψύχοις ἡ γεννητικὴ δύναμις. πῶς ἐπὶ τῶν h 6v
ἀψύχων προχωρήσει ὁ λόγος: οὐδὲ γὰρ τὴν γεννητικὴν ἔχει δύναμιν. φημὶ
οὖν ὅτι κἀν τούτοις κατὰ τὰ μέτρα τὰ αὐτῶν ἔστι τὴν τοιαύτην ἐνέργειαν 20
θεάσασθαι. ὥσπερ γὰρ καὶ ἐν τοῖς ἐμψύχοις οὐχ ὁμοία ἡ ἕφεσις τοῦ τοι-
5 ούτου, ἀλλ' ἐν μὲν τοῖς ζῴοις προαιρετὴν ἔχουσι τὴν κίνησιν καὶ ὄρεξις
ἐντίθεται ὑπὸ τῆς φύσεως τῆς γεννητικῆς δυνάμεως παροιστρῶσα τὰ ζῷα
καὶ ἐπείγουσα εἰς τὴν τοιαύτην ἐνέργειαν, καὶ ἐν αὐτοῖς τούτοις διαφορὰ
πλείστη (ὁ μὲν γὰρ ἄνθρωπος μετὰ τοῦ καὶ ἐφιστάνειν τῷ γεννωμένῳ,
φημὶ δ' ὅτι τῆς διαδοχῆς ἕνεκεν τοιαῦται ὑπάρχουσιν ἡμῖν ἐνέργειαι), ἐν
10 δὲ τοῖς φυτοῖς ἀπροαιρέτου τῆς κινήσεως οὔσης, αὐτόματος ἡ γεννητικὴ 25
ἐνέργεια πρόεισιν, οὕτως οὐδὲν θαυμαστὸν εἰ καὶ ἐπὶ τῶν ἀψύχων φανείη
ὑφειμένη ἡ τοιαύτη δύναμις. τὰ γοῦν στοιχεῖα ὁρῶντα εἰς ἄλληλα τὸ ἐπι-
κρατοῦν εἰς τὴν ἑαυτοῦ ἰδέαν μεταβάλλει τὸ ἐπικρατούμενον· τὸ γὰρ θερ-
μὸν ἐπικρατῆσαν τοῦ ψυχροῦ εἰς ἑαυτὸ μεταβέβληκεν. ὁμοίως καὶ εἰ τὸ
15 ψυχρὸν ἐπικρατήσῃ τοῦ θερμοῦ, ἐπὶ ξηροῦ τε καὶ ὑγροῦ ὡσαύτως. ἐπεὶ
γὰρ μὴ ἄφθαρτά ἐστι τὰ στοιχεῖα, τούτου χάριν εἰ φθαρείη ὑπὸ θερμοῦ
ψυχρόν, ἀλλαχοῦ ἡ ἀνταπόδοσις γίνεται ἐπικρατοῦντος τοῦ ψυχροῦ, ἵνα τὰ 30
εἴδη φυλάττηται. καὶ τὰ μέταλλα δὲ φθειρόμενα πάλιν ἀνταποδίδοται· εἰ
γὰρ καὶ μὴ ὅδε ὁ λίθος γεννᾷ ἄλλον ὅμοιον ἑαυτῷ, ἀλλ' οὖν αὐτὴ οἷον ἡ
20 τοῦ μετάλλου ὁλότης τὴν γεννητικὴν ἔχει δύναμιν. ἔοικε γὰρ ὅδε ὁ λίθος
μορίῳ τινὶ ζῴου, αὐτὴ δ' ἡ τοῦ μετάλλου ὁλότης ὅλῳ τῷ ζῴῳ. καὶ γὰρ
ἐν τοῖς ζῴοις ἐν τοῖς ὅλοις ἡ γεννητικὴ δύναμις, οὐκ ἐν τοῖς μορίοις, καὶ
ὥσπερ ἐν τοῖς ζῴοις σαρκός τινος ἀφαιρεθείσης ἀντ' αὐτῆς ἑτέραν γεννᾷ
ἡ φύσις, οὕτω καὶ ἐν τοῖς μετάλλοις ἀντὶ τοῦ ἀφαιρεθέντος ἀποδίδοται.

25 p. 415b2 Τὸ δὲ οὗ ἕνεκα διισσόν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ. 35

Ἐπειδὴ εἶπεν φυσικώτατον εἶναι τοῖς ζῶσι τὸ γεννᾶν οἷον αὐτό, τοῦτο
⟨δὲ⟩ διὰ τὸ πάντα τοῦ πρώτου ὀρέγεσθαι καὶ τῆς ἐκείνου ἀιδιότητος. ἐπειδὴ 40
ὅλως ἐμνήσθη τελικοῦ αἰτίου, διὰ τοῦτό φησιν ὅτι τὸ οὗ ἕνεκα, τουτέστι
τὸ τέλος διττόν ἐστι, τὸ μὲν οὗ ἕνεκα. τὸ δὲ ᾧ, ὅπερ καὶ ἐν τῇ Ποιητικῇ
30 καὶ ἐν τῇ Περὶ γενέσεως εἶπεν. οἷον τί λέγω; ὁ οἰκοδόμος τέλος ἔχει τὸ
ποιῆσαι σκέπασμα κωλυτικὸν ὄμβρων καὶ καυμάτων. τοῦτο τὸ τέλος οὗ
ἕνεκά ἐστιν· ἕνεκα γὰρ σκέπης ποιεῖ τὴν οἰκίαν. ἔχει δὲ καὶ ἄλλο τέλος
ἡμᾶς· τὸ γὰρ σκέπασμα τοῦτο ἡμῖν ποιεῖ. ἐσμὲν οὖν καὶ ἡμεῖς τοῦ οἰ-

---

3 κἀν A: καὶ Dt 7 ἐπείγουσα A: ἀγείρουσα Dt 8 γεννωμένῳ A: γινομένῳ Dt
9 fort. φημὶ δὴ 18 φυλάττεται t 19 ἑαυτῷ A: ἑαυτὸ Dt 20 ὁ λίθος
ὅδε coll. t 21 ζῴου A: ζώω Dt αὐτὴ A: αὕτη Dt 25 τὸ μὲν] τὸ δὲ D
26 Ἐπειδὴ εἶπεν D: Τὸ δὲ ᾧ ἕπεται t 27 δὲ addidi τὸ scripsi: τοῦ
Dt 29. 30 ἐν τῇ Ποιητικῇ καὶ ἐν τῇ Περὶ γενέσεως] nihil tale legitur; verba fort.
depravata sunt: exspectas tale quid ὅπερ καὶ ἐπὶ τῆς ποιητικῆς τέχνης καὶ τῆς φυσικῆς
γενέσεως εἶπεν 32 post σκέπης add. πασμα D 33. p. 270,1 τοῦ οἰκοδο-
μόμου D

κοδόμου τέλος τὸ ὡς ᾧ. ὥσπερ οὖν ἐνταῦθα, οὕτω καὶ ἐπὶ πάντων τῶν h 6r
φύσει συνεστώτων ἔστι διττὸν τὸ τέλος· ἡ μὲν γὰρ ἔφεσις τοῦ θείου, δι' 45
ἣν ἕκαστον τῶν ἐμψύχων ποιεῖ ἄλλο οἷον αὐτό, τέλος ἐστὶ τὸ οὗ· τούτου
γὰρ ἕνεκα ἡ γένεσις· ἐπειδὴ δὲ τὰ σώματα ὄργανα γίνονται ταῖς ψυχαῖς,
5 αἱ ψυχαί εἰσι τέλη ὡς ᾧ. ἀναλογεῖ οὖν τῷ μὲν τεχνίτῃ τῷ οἰκοδόμῳ ἡ
φύσις, τῷ δὲ ἀνθρώπῳ τῷ ἐπιτάττοντι γενέσθαι τὸ σκέπασμα ἡ ψυχή, τῷ
σώματι δ' ἡ οἰκία. οὐ μόνον δ' ἐπὶ τῶν ζῴων τέλος ἐστὶ διττόν, τό τε
οὗ καὶ τὸ ᾧ, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν· καὶ γὰρ καὶ ἐν τούτοις ἡ φύσις
ὀργανικὸν ποιεῖ τὸ σῶμα πρὸς τὴν χρείαν τῆς ἐν αὐτοῖς ψυχῆς ἀναφερό- 50
10 μενον. ὀργανικὰ γὰρ καὶ τὰ τῶν φυτῶν μέρη, ἡ ῥίζα καὶ φλοιὸς καὶ ἐν-
τεριώνη καὶ φύλλα καὶ τὰ τοιαῦτα. ἐπὶ μὲν οὖν τῶν ἐμψύχων διττὸν τὸ
τέλος, ὥσπερ εἴρηται. ἐπὶ δὲ τῶν λοιπῶν οὐκέτι ἔστιν εὑρεῖν διττὸν τὸ τέ-
λος· μέταλλα γὰρ καὶ λίθοι καὶ ἁπλῶς τὰ ἄψυχα, προσεχῶς ὑπὸ ψύξεως
καὶ θερμότητος γινόμενα, ἐξῃρημένως δὲ ὑπὸ τῆς ὕλης δημιουργίας, ἓν
15 τέλος ἔχει τὸ οὗ (ἕνεκα γὰρ τῆς κοσμοποιίας), οὐκέτι μέντοι καὶ τὸ ὡς ᾧ
τέλος ἐστὶν ἐν τούτοις. οὐ γάρ εἰσιν | ὄργανά τινων οὐδὲ εἰς χρείαν h 7r
ψυχῶν τινων κατασκευάζεται. μᾶλλον δὲ τὸ διττὸν τοῦτο τέλος ἐπὶ πάντων
κοινῶς θεωρητέον. καὶ ἔστι τὸ ὡς οὗ τέλος κοινῶς πάντων φυσικῶν τε
καὶ τεχνητῶν ἡ τοῦ ἀγαθοῦ ἔφεσις (ἕνεκα γὰρ τοῦ ἀγαθοῦ καὶ ἡ φύσις
20 καὶ ἡ τέχνη πάντα πράττει) τὸ δ' ᾧ τοῦ κοσμῆσαι τὴν ὕλην ἕνεκα. ἔστι
γὰρ τέλος καὶ τὸ εἶδος ἁπλῶς τοῦ ἀβακίου ἢ τοῦ ζῴου, ὅπερ ἐστὶ τὸ κο-
σμῆσαι τὴν ὕλην, καὶ ἡ τοῦ ἀγαθοῦ ἔφεσις, δι' ἣν ταῦτα γίνεται, ἡ χρεία 5
τυχὸν ἢ ἡ τοῦ θείου μίμησις. ἐπισημαίνονται δὲ ἐνταῦθα ὅτι καὶ τὸν σκο-
πὸν ὁ Ἀριστοτέλης τέλος λέγει (τὸ γὰρ οὗ ἡ ἔφεσις, τοῦτο σκοπός ἐστι)
25 καὶ διὰ τοῦτο διττὸν τὸ τέλος εἶπε. τὴν δὲ ὄρεξιν κοινότερον εἶπε· κυρίως
γὰρ ἐπὶ μόνων τῶν ἐχόντων αἴσθησιν ἡ ὄρεξις, ὡς ἀνωτέρω εἶπε. τὰ δὲ
φυτὰ ὄρεξιν οὐκ ἔχει. ἐπεὶ μηδὲ αἴσθησιν. ὄρεξιν οὖν λέγει τὴν φυσικὴν
πρὸς τοῦτο κατασκευήν. καὶ ὥσπερ ἀμέλει καὶ τὸ πῦρ λέγομεν ἐφίεσθαι
τοῦ ἄνω καὶ οὕτως ἐπ' αὐτὸ ἰέναι. πάντα οὖν τὰ τὴν φυσικὴν αὐτὴν 10
30 ὁρμὴν καὶ ὄρεξιν ἔχοντα ἐφίεται τῆς τοῦ πρώτου ἀιδιότητος. καὶ ἐπεὶ τὰ
φθαρτά, φησί, μὴ δύναται ταὐτὰ μένειν τῷ ἀριθμῷ, τῷ ποιεῖν ἄλλα οἷα
αὐτὰ τῷ εἴδει τῇ διαδοχῇ τὴν ἀιδιότητα μεταδιώκει. τὸ δὲ τὸ μὲν μᾶλλον
τὸ δὲ ἧττον ἤτοι διὰ τὸ τὰ μὲν πολυχρονιώτερα εἶναι, τὰ δὲ ὀλιγοχρονιώ-
τερα, ἢ διὰ τὰ διαλείποντα καὶ μὴ συνεχῶς ὄντα, ἀλλὰ κατὰ καιρούς
35 τινας γινόμενα, ὡς ἀκρίδων γένη καὶ σφῆκες καὶ ἐμπίδες, καὶ εἴ τινα
τοιαῦτα. κυριώτερον δ' ἄν τις τούτου ἀκούοι οὐκ ἐπὶ χρονικῆς παρατά-
σεως, ἀλλ' ἐπὶ τοῦ ποιοῦ τῆς μεθέξεως, ἐπεὶ οὕτω τὸ κρεῖττον τῶν θνη- 15
τῶν ζῴων, ὁ ἄνθρωπος, πολλῶν χειρόνων ἔσται ἧττον μετέχον τοῦ θείου·

---

1 τῶν] οὖν t 4 δὲ A Suid. s. v. Τέλος: γὰρ Dt 9 τῆς] τοῖς D
10 καὶ φλοιὸς AD: αἱ φλοιαὶ t 11 ἐπὶ A: ἐπεὶ Dt 15 ὡς ᾧ A Suid.: ᾧ ὡς Dt 20 πράττοι t 21 ἁπλῶν D 24 ἡ om. t 29 πάντως t
32 τὸ δὲ om. t 35 τινας] τινα t 36 ἀκούοι scripsi: ἀκούει Dt 38 χειρόνων scripsi: χείρω D: χειρώνων t

πολλὰ γὰρ τῶν ζῴων πολυχρονιώτερά ἐστιν ἀνθρώπου. κορῶναι καὶ ἐλέ- h 7r
φαντες καὶ ὄφεις καὶ ἄλλα πλεῖστα. οὐχ οὕτως οὖν ἀκουστέον τοῦ τὰ
μὲν μᾶλλον τὰ δ' ἧττον, ἀλλὰ κατὰ τὸ ποιὸν τῆς μεθέξεως. ὥσπερ ⟨γὰρ⟩
καὶ τὰς τοῦ ἡλίου ἐλλάμψεις οὐ πάντα τὰ ζῷα ὁμοίως δέχεται (ἄλλως
5 γὰρ ἀετὸς τοῦ ἡλιακοῦ φωτὸς μετέχει καὶ ἄλλως ἄνθρωπος καὶ νυκτερὶς 20
ἄλλως κατὰ τὰ μέτρα τῆς ὀπτικῆς αὐτῶν δυνάμεως) οὕτως καὶ τὰς
τοῦ θεοῦ ἐλλάμψεις ἄλλα ἄλλως ὑποδέχεται κατὰ τὰ μέτρα τῆς ἑαυτῶν
οὐσίας.

p. 415b7 Ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος αἰτία καὶ ἀρχή.

10 Εἰπὼν περὶ τοῦ τέλους τῆς γεννητικῆς δυνάμεως, καὶ μέλλων περὶ 26
τροφῆς καὶ αἰσθητοῦ καὶ ἁπλῶς τῶν ἀντικειμένων ταῖς ψυχικαῖς ἐνεργεί-
αις διαλαβεῖν, πρότερον διὰ τούτων διδάσκει ὅτι ἀναγκαῖος τῷ περὶ τῆς ψυχῆς
λόγῳ ὁ περὶ τῶν ἀντικειμένων λόγος. τὸ γὰρ ἔμψυχον καθὸ ἔμψυχόν
ἐστι τρέφεται, ὥστε τοῦ τρέφεσθαι αὐτὸ ἡ ψυχὴ αἴτιον· ὁμοίως καὶ τοῦ
15 αἰσθάνεσθαι τῷ ζῴῳ αἰτία ἡ ψυχή. τὸ δὲ τρεφόμενον τῇ τροφῇ τρέφε- 30
ται, καὶ τὸ αἰσθανόμενον αἰσθητοῦ αἰσθάνεται. ὥστε τῷ μέλλοντι περὶ
ψυχῆς τῆς τε θρεπτικῆς καὶ αἰσθητικῆς διαλαβεῖν δεῖ πρότερον εἰδέναι τί
ποτέ ἐστι τὸ τρέφεσθαι καὶ αἰσθάνεσθαι, καὶ τῷ ταῦτα γνῶναι θέλοντι
ἀναγκαῖον εἰδέναι τίς ποτέ ἐστιν ἡ τροφὴ καὶ τὸ αἰσθητόν. ἡ γὰρ αἴσθη-
20 σις αἰσθητοῦ ἐστιν αἴσθησις, καὶ τὸ τρεφόμενον τῇ τροφῇ τρέφεται·
ταῦτα δὲ τῶν πρός τι, τῶν δὲ πρός τι τὸ ἕτερον εἰδέναι θέλοντα ἀναγκαῖον
καὶ τὸ λοιπὸν γιγνώσκειν. ὥστε ἀναγκαῖος τῷ περὶ τῆς ψυχῆς λόγῳ ὁ 35
περὶ τῶν ἀντικειμένων λόγος. ὁ γὰρ σῖτος ὡς μὲν σῖτος οὐκ ἔστι πρός τι,
ὡς δὲ τροφὴ πρός τί ἐστιν· ὁμοίως καὶ ὁ λίθος ὡς μὲν οὐσία τις οὐκ ἔστι
25 τῶν πρός τι, ὡς δὲ ὁρατὸς πρός τί ἐστιν· τὸ γὰρ ὁρατὸν τῇ ὁράσει ἐστὶν
ὁρατόν. πόθεν οὖν ὅτι ἡ ψυχὴ τροφῆς καὶ αἰσθήσεως τοῖς σώμασιν αἰτία, ἵν'
οὕτως ἀναγκαῖος δειχθῇ ὁ περὶ τούτων λόγος; τοῦτο δείκνυσι διὰ τῶν προκει-
μένων. τῶν γὰρ αἰτίων, φησί, πολλαχῶς λεγομένων (ἢ γὰρ ὑλικόν ἐστι τὸ
αἴτιον ἢ εἰδικὸν ἢ τελικὸν ἢ ποιητικόν) τετραχῶς οὖν τῶν αἰτίων λεγο-
30 μένων, κατὰ τοὺς τρεῖς τρόπους δείκνυσιν αἰτίαν οὖσαν τὴν ψυχὴν τοῖς 40
ζῶσιν, καὶ ὡς εἶδος καὶ ὡς τέλος καὶ ὡς ποιητικόν· ὅτι γὰρ οὐχ ὑλικὸν
αἴτιον ἡ ψυχή, προφανές. καὶ ὅτι μὲν ἡ ψυχὴ ὡς εἶδος τοῖς ζῶσιν
αἰτία, δείκνυσι διὰ δύο ἐπιχειρημάτων· τὸ γὰρ ὡ ς οὐ σ ί α τὸ εἶδος σημαί-
νει αὐτῷ. ἡ ψυχή, φησί, τοῖς ζῶσιν ἔστι τοῦ ζῆν αἰτία· τὰ δὲ ζῶντα,
35 καθὸ ζῇ, τὸ εἶναι ἔχει· πᾶν δὲ καθ' ὃ ἔχει τὸ εἶναι, τοῦτο εἶδος αὐτοῦ
ἐστιν· ἡ ψυχὴ ἄρα εἶδός ἐστι τῶν ζώντων. ἢ οὕτω μᾶλλον· ἡ ψυχὴ τοῦ
ζῆν τοῖς ζῶσιν αἰτία, τὸ δὲ ζῆν τοῖς ζῶσιν τὸ εἶναι αὐτῶν ἐστιν· ἡ 45

---

3 γὰρ addidi 12 τῆς om. t 15 ζῴῳ] βίῳ t 21 τὸ scripsi: τὸν Dt 22 τὸν λοιπὸν t 24. 25 ὁμοίως—πρός τί ἐστιν iterat D 30 τοὺς om. t 34 αἰτία ἔστι τοῦ ζῆν coll. t 35 πᾶν γὰρ t 36 οὕτω] οὔ· οὔ D 37 αὐτῶν] αὐτῷ t

ψυχὴ ἄρα τὸ εἶναί ἐστι τῶν ζώντων. παντὸς δὲ τὸ εἶναι ἡ οὐσία αὐτοῦ h 7r
ἐστιν· ἡ ψυχὴ ἄρα τῶν ζώντων πάντων οὐσία ἐστίν. ἡ οὐσία δὲ τοῦ
εἶναι πᾶσιν αἰτία· ἡ ψυχὴ ἄρα τοῖς ζῶσιν ἅπασι τοῦ εἶναι αἰτία. ὡς
οὐσία ἄρα αἴτιον τοῦ εἶναι ἡ ψυχή. ἓν μὲν οὖν ἐπιχείρημα ὅτι αἴτιον
5 ἡ ψυχὴ ὡς εἶδος τοῦτο. ἕτερον δὲ ὅπερ ἤδη καὶ ἐν τοῖς προλαβοῦσιν
εἴρηκε· παντὸς γάρ, φησί, τοῦ δυνάμει ὄντος ἡ ἐντελέχεια εἶδός ἐστιν· ἡ
δὲ ψυχὴ τοῦ δυνάμει ζωὴν ἔχοντος σώματος ἐντελέχειά ἐστιν· ἡ ψυχὴ
ἄρα εἶδός ἐστι τοῦ δυνάμει ζωὴν ἔχοντος σώματος. οὕτω μὲν οὖν αἰτία 50
ἡ ψυχὴ τοῦ σώματος τοῦ ἐμψύχου ὡς εἶδος αὐτοῦ οὖσα. ἀλλὰ μὴν καὶ
10 ὡς ποιητικὸν αἴτιον αἰτία καὶ ἀρχὴ ἡ ψυχὴ καὶ ὡς τελικόν. καὶ ὅτι
αἴτιον ὡς τέλος ἡ ψυχή, δείκνυσιν οὕτως (λαμβάνει δὲ πρότερον ὅτι ἡ
φύσις πάντα ἕνεκά του ποιεῖ· ἔδειξε γὰρ τοῦτο ἐν τῇ Φυσικῇ ἀκροάσει)·
τὰ διωργανωμένα σώματα ἕνεκα τῆς ψυχῆς· οὗ δὲ ἕνεκά τι γίνεται, τοῦτο
τέλος ἐκείνου· ἡ ψυχὴ ἄρα τελικόν ἐστι τῶν διωργανωμένων σωμάτων
15 αἴτιον. ὅτι δὲ καὶ ὡς ποιη|τικὸν αἴτιον ἀρχὴ ἡ ψυχή, σαφῶς δείκνυσι. h 7v
ποιητικὸν δὲ αἴτιον τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. κινήσεως δὲ εἴδη δ̄,
πρώτη μὲν καὶ κυριωτάτη κίνησις ἡ κατὰ τόπον, εἶτα ἡ κατὰ ἀλλοίωσιν,
εἶτα ἡ κατὰ αὔξησιν, εἶτα ἡ κατὰ φθίσιν. καὶ ὅτι μὲν τῆς κατὰ τόπον
κινήσεως αἰτία τοῖς ζῴοις ἡ ψυχή, προφανές. ἀλλὰ ταύτῃ οὐ πᾶσαν
20 ψυχὴν περιλαμβάνει, ἀλλὰ τὴν ἐν τοῖς ζῴοις κατὰ τόπον κινητικήν. διὸ
δείκνυσιν ὅτι καὶ ἀλλοιώσεως αἰτία. τῶν γὰρ αἰσθήσεων αἰτία ἡ ψυχή, 5
αἱ δὲ αἰσθήσεις ἀλλοιοῦνταί πως πάσχουσαι ὑπὸ τῶν αἰσθητῶν· ἀλλοίωσις
γάρ τις ἡ διάκρισις καὶ ἡ σύγκρισις τῶν ὄψεων. ἀλλ' οὔπω διὰ τούτων
καὶ τὰ φυτὰ περιέλαβε· διὸ ἐπάγει ὅτι καὶ αὐξήσεως καὶ φθίσεως αἰτία
25 ἡ ψυχή, ἵνα πάντα τὰ ἔμψυχα περιλάβῃ. οὐχ ὁμοίως δέ ἐστι ποιητικὴ
ἀρχὴ καὶ εἰδική. εἰδικὴ μὲν γὰρ ἀρχή ἐστιν ὡς αὐτῆς τῆς οὐσίας τοῦ
ἐμψύχου σώματος αἰτία οὖσα, εἴ γε τὸ ἑκάστου εἶδος οὐσία αὐτοῦ ἐστιν,
ὁμοίως καὶ τελική· ποιητικὴ δὲ οὐκέτι τῆς οὐσίας. ἀλλά τινων ἐνεργειῶν
ἢ παθῶν ἀρχὴ καὶ αἰτία ἐστί. πῶς δὲ λέγομεν καὶ φθίσεως αἰτίαν 10
30 ψυχήν; οὐδὲν γὰρ οὔτε αὐτὸ αὑτῷ οὔτε τῷ ἑαυτοῦ ὑποκειμένῳ φθορᾶς
ἐστιν αἴτιον. πάντα γὰρ οὐ μόνον τοῦ εἶναι, ἀλλὰ καὶ τῆς ἀιδιότητος
ἐφίεται, ὡς ἤδη εἴρηται, κατὰ τὰ ἑαυτῶν μέτρα. λέγομεν οὖν ὅτι ὥσπερ
λέγεται καὶ τὸ μὴ ὂν καὶ ἡ στέρησις αἴτιον εἶναι τῆς γενέσεως τῶν ὄντων,
οὐ τῷ ποιητικὴν ἔχειν αἰτίαν, ἀλλὰ τῷ ἐκ τούτων μεταβάλλειν τὸ γινό-
35 μενον καὶ τῷ ταῦτα παραχωρεῖν τῷ εἴδει γινομένῳ (πᾶν γὰρ τὸ γινόμενον
ἐξ οὐκ ὄντων καὶ ἐκ τῆς ἰδίας στερήσεως γίνεται, ὡς εἴρηται ἐν τοῖς
Φυσικοῖς) οὕτω καὶ ἡ ψυχὴ αἰτία λέγεται εἶναι φθίσεως, οὐ τῷ ποιεῖν 15

---

12 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 8 13 τὰ—ψυχῆς om. D 13. 14 τοῦτο τέλος ἐκείνου om. D 17 πρώτη γὰρ καὶ t 20 κατὰ τόπον κινητικήν om. t 23 ἡ (post τις) om. t 24 ἀπάγει t 26. 27 ὡς αὐτῆς—αὐτοῦ ἐστιν A: om. Dt 30 αὐτὸ A: αὐτὸς Dt 31 αἴτιόν ἐστιν t 34 ἀλλὰ τῷ] ἀλλὰ τῶν D 35 γινομένῳ A: γινομένων Dt 36. 37 ἐν τοῖς Φυσικοῖς scripsi: ἐν ταῖς φυσικαῖς Dt: cf. Phys. A 8 p. 191b13 sqq. 37 οὐ τῷ A: οὕτω Dt

τὴν φθίσιν, ὥσπερ ποιεῖ τὴν αὔξησιν, ἀλλὰ τῷ δι' ἀσθένειαν λοιπὸν ἐνδι- h 7v
δόναι καὶ ὑποχωρεῖν αὐτή. ἄλλως τε πρὸς τὸ δεῖξαι ὅτι ποιητικὸν αἴτιόν
ἐστιν ἡ ψυχή, ἀρκεῖ τὸ εἰδέναι ὅτι αὐξήσεώς ἐστιν αἰτία. εἰ τοίνυν κατὰ
πάντας τοὺς τῶν αἰτίων τρόπους αἰτία ἡ ψυχὴ τῷ ἐμψύχῳ σώματι τοῦ
5 εἶναι, ᾗ ἔμψυχόν ἐστιν, ᾗ δὲ ἔμψυχόν ἐστι, ταύτῃ τρέφεταί τε καὶ αὔξε-
ται καὶ γεννᾷ, καὶ τούτων ἄρα ἡ ψυχὴ αἰτία, ὅπερ δειχθῆναι προὔκειτο.
ταῦτα δὲ πολλαχῶς λέγεται. τὴν αἰτίαν λέγει καὶ τὴν ἀρχὴν πολλα- 20
χῶς λέγεσθαι. λέγεται γὰρ τετραχῶς ὡς εἶδος, ὡς ὕλη, ὡς ποιητικόν,
ὡς τελικόν. ὁμοίως δὲ ἡ ψυχὴ τοὺς διωρισμένους τρόπους τρεῖς
10 αἰτία. τῶν γὰρ τεσσάρων τρόπων τῶν αἰτίων τῶν διωρισμένων ἐν τῇ
Φυσικῇ ἀκροάσει κατὰ τοὺς τρεῖς ὁμοίως αἰτία ἐστὶν ἡ ψυχὴ τῷ σώματι.
καὶ γὰρ ὅθεν ἡ κίνησις, τουτέστιν ὡς ποιητικὸν αἴτιον (οὕτω γὰρ
αὐτὸ καλεῖ), καὶ οὗ ἕνεκα, τουτέστιν ὡς τέλος, καὶ ὡς οὐσία τῶν
ἐμψύχων σωμάτων ἡ ψυχὴ αἰτία, ἀντὶ τοῦ ὡς εἶδος. ἐν γὰρ τῷ 25
15 οἰκείῳ εἴδει ἑκάστου οὐσία χαρακτηρίζεται· ἡ γὰρ ὕλη κοινὴ πάντων· καὶ
τὰ ἔμψυχα δὲ τὸ εἶναι ἔχει κατὰ τὴν ψυχήν· ὥστε εἶδος τῶν ἐμψύχων
σωμάτων ἡ ψυχή. ὅτι μὲν οὖν ὡς οὐσία δῆλον· τὸ γὰρ αἴτιον τοῦ
εἶναι πᾶσιν ἡ οὐσία. ὅτι αἰτία ἡ ψυχὴ ὡς εἶδος, διὰ τούτων δείκνυσιν·
ἔστι δὲ τοῦτο τὸ πρῶτον ἐπιχείρημα· ἡ γὰρ ψυχή, φησίν, ἀρχὴ καὶ αἰτία
20 τοῦ ζῆν τοῖς ζῶσι· τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν· ἑκάστου δὲ τὸ
εἶναι τὸ εἶδος αὐτοῦ ἐστι καὶ ἡ οὐσία· ἡ ψυχὴ ἄρα εἶδός ἐστι καὶ οὐσία
τῶν ζώντων. ἑκάστου δ' ἡ οὐσία τοῦ εἶναί ἐστιν αἰτία· ἡ ψυχὴ ἄρα 30
τοῖς ζῶσιν [οὐσία] τοῦ εἶναι ἔστιν αἰτία. οὐ τῇ τάξει δὲ ταύτῃ προήνεγκε
τὰς προτάσεις, ἀλλ' ἐκ τῶν ὑστέρων ἤρξατο· τὸ γὰρ αἴτιον, φησί, τοῦ
25 εἶναι πᾶσιν ἡ οὐσία, ἵνα ᾖ ὁ λόγος οὕτως· ἡ οὐσία, ταὐτὸν δ' εἰπεῖν
τὸ εἶδος, τοῦ εἶναί ἐστι πᾶσιν αἴτιον (κατὰ τοῦτο ἕκαστον καὶ ἔστι καὶ
λέγεται), ὥστε καὶ τοῖς ζῶσιν ἡ οὐσία καὶ τὸ εἶδος τοῦ εἶναι αἰτία· τὰ
δὲ ζῶντα τὸ εἶναι ἔχει κατὰ τὴν ζωήν (ταύτῃ γὰρ τῶν ἄλλων διαφέρει).
τῆς δὲ ζωῆς ἡ ψυχὴ αἰτία· ὥστε εἰ τοῦ μὲν εἶναι πᾶσιν αἴτιον ἡ οὐσία
30 ἡ ἑκάστου καὶ τὸ εἶδος, τοῖς δὲ ζῶσι τῆς ζωῆς αἰτία ἡ ψυχή, καθ' ὃ καὶ 35
τὸ εἶναι ἔχουσιν, εἶδος ἄρα ἐστὶ καὶ οὐσία τῶν ζώντων ἡ ψυχή. ὁ δ'
Ἀριστοτέλης εἰρηκὼς τὰς προτάσεις τὸ συμπέρασμα οὐ προσέθηκεν ὡς
δῆλον. οὐσίαν δέ, ὡς ἤδη εἶπον, τὸ εἶδός φησι.

p. 415b 14 Ἔτι τοῦ δυνάμει ὄντος λόγος ἡ ἐντελέχεια.

35 Τὸ δεύτερον ἐπιχείρημα· λόγος δέ φησιν ἀντὶ τοῦ ἡ οὐσία καὶ τὸ εἶδος.

---

2 αὐτή scripsi: αὐτήν A: αὕτη Dt 5 ᾗ δὲ A: εἰ δὲ Dt 7 ταῦτα δὲ πολλαχοῦ t 9 τοὺς Dt Arist. SUX: κατὰ τοὺς Arist. plerique 10. 11 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 3 p. 194b 23 sqq. 13 οὐχ ἕνεκα D 21 ἡ (ante οὐσία) om. t 23 οὐσία delevi ταύτῃ scripsi: αὕτη Dt 25 οὕτως] fort. οὗτος 26 post τοῦτο addendum γὰρ 30 ἡ (ante ἑκάστου) om. t 34 ἔτι D Arist.: ἔστι δὲ t

p. 415ᵇ15 Φανερὸν δ' ὡς καὶ τὸ οὗ ἕνεκα αἰτία ἡ ψυχή. h 7ᵛ

Δείξας ὅτι ὡς εἶδος ἀρχὴ καὶ αἰτία ἡ ψυχὴ τοῦ σώματος, νῦν δείκ- 44
νυσιν ὅτι καὶ ὡς τέλος. ὥσπερ γὰρ ὁ νοῦς ἕνεκά του ποιεῖ, τὸν
αὐτὸν τρόπον καὶ ἡ φύσις. νοῦν λέγει τὸν πρακτικόν, οἷον ὁ οἰκοδο- 45
μικὸς νοῦς οὐδὲν μάτην παραλαμβάνει, ἀλλὰ πάντα πρὸς ἕν τι τέλος
ὁρῶντα, τὴν κατασκευὴν τῆς οἰκίας. οὕτως οὖν καὶ ἡ φύσις οὐδὲν μάτην
ποιεῖ, ἀλλ' ἕκαστον αὐτῆς ἔργον ἕνεκά του ἐστίν· ἔδειξε δὲ σαφῶς τοῦτο
ἐν τῇ Φυσικῇ ἀκροάσει. δηλοῦσι δὲ καὶ αἱ περὶ χρείας μορίων τῶν
ἰατρῶν πραγματεῖαι ὅτι οὐδὲ τὸ ἐλάχιστον ἔργον τῆς φύσεως μάτην ἐστίν,
ἀλλ' ἕνεκά του. οὗ δ' ἕνεκα ποιεῖ, φησί, τοῦτό ἐστι τέλος αὐτῆς. τίνος 50
οὖν ἕνεκα ποιεῖ; τῆς ψυχῆς, φησί. τὰ γὰρ σώματα, φησί, τῶν ἐμψύχων
πάντα, τῶν τε ζῴων καὶ τῶν φυτῶν, ὄργανά ἐστι τῶν ψυχῶν, τὸ δὲ
ὄργανον ἕνεκα τοῦ χρωμένου γίνεται καὶ τοῦτον ἔχει τέλος· ὥστε καὶ τὰ
ὑπὸ φύσεως γινόμενα σώματα, τὰ ἔμψυχα λέγω, τέλος ἔχει τὴν ψυχὴν
τὴν χρησομένην αὐτήν. διττῶς δὲ τὸ οὗ ἕνεκα, τό τε οὗ καὶ τὸ
ᾧ, ἐνταῦθα ἤτοι οὕτως ἐκληπτέον, τὴν μὲν ψυχὴν τέλος ὡς οὗ, τὸ δὲ
ζῷον ὡς ᾧ (ποιεῖ γὰρ τὸ ὀργανικὸν σῶμα ἡ φύσις τῆς μὲν ψυχῆς
ἕνεκα, ἵνα χρῆται αὐτῷ ὡς τέλος ἡ ψυχὴ ὡς | οὗ, τέλος δὲ ὡς ᾧ τὸ h 8ʳ
ἔμψυχον· ὥστε γὰρ ἀνεμποδίστους εἶναι τῷ ζῴῳ τὰς ἐνεργείας, πάντα
ποιεῖ ἡ φύσις) ἢ τοίνυν οὕτως τὸ οὗ καὶ τὸ ᾧ, ἢ ὥσπερ καὶ πρὸ ὀλίγου
εἰρήκαμεν, οὗ μὲν ἕνεκα τῆς κοσμοποιίας καὶ τῆς ἀιδιότητος (τούτου γὰρ
πάντα ἐφίεται) ᾧ δὲ τῇ ψυχῇ· ταύτῃ γὰρ παρασκευάζει εἰς χρῆσιν τὸ
ὄργανον· ὅπερ καὶ μᾶλλόν ἐστιν ἀληθέστερον.

p. 415ᵇ21 Ἀλλὰ μὴν καὶ ὅθεν πρῶτον ἡ κατὰ τόπον κίνησις, 5
ψυχή.

Λοιπὸν ἐπὶ τὸ ποιητικὸν μεταβέβηκεν· τὸ ποιητικὸν γὰρ αἴτιον
οὕτως ἀεὶ καλεῖ, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. πολλαχῶς δὲ τῆς κινήσεως 10
λεγομένης, ὡς εἴρηται, ὅτι μὲν τῆς κατὰ τόπον κινήσεως αἰτία ἡ ψυχὴ
πρόδηλος. ἀλλ' οὐ πᾶσι, φησίν, ὑπάρχει τοῖς ζῶσιν ἡ δύναμις
αὕτη, τουτέστιν ἡ κατὰ τόπον κινητική, ὥστε ταύτῃ οὐ δόξει πᾶσα ψυχὴ
ποιητικὸν αἴτιον εἶναι. διόπερ δείκνυσιν αὐτὴν καὶ τῶν λοιπῶν κινήσεων
αἰτίαν οὖσαν, ἀλλοιώσεως λέγω καὶ αὐξήσεως καὶ μειώσεως, καὶ οὕτω
καθολικὸν ἐπὶ πάσης ψυχῆς τὸν λόγον ἐποιήσατο. ὅτι μὲν οὖν αἰτία ἡ ψυχὴ

---

1 τὸ D Arist. V: om. t Arist. vulg. αἰτία ἡ ψυχή Dt Arist. X: ἡ ψυχὴ αἰτία Arist. vulg. 8 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 2 p. 194ᵃ28 sqq. 10 οὗ δ' scripsi: οὐδ' Dt 13 τοῦτον] fort. τοῦτο 15 αὐτήν] fort. αὐτοῖς 20 ἢ τοίνυν A: ἡ τοίνυν Dt 25 ἡ ψυχή t 31 αὐτῆς καὶ D 33 καθολικὸν λόγον ἐπὶ πάσης ψυχῆς t

ἀλλοιώσεως, δείκνυσιν οὕτως· ἡ ψυχὴ τοῖς ζῴοις αἰσθήσεώς ἐστιν αἴτιον, h 8r
πᾶν δὲ τὸ αἰσθανόμενον ἀλλοιοῦται, ἡ ψυχὴ ἄρα ἀλλοιώσεως αἰτία. πῶς 15
δὲ λέγει τὴν αἴσθησιν ἀλλοίωσιν, νῦν μὲν οὐ προσέθηκεν, ἐφεξῆς δὲ προσθήσει ὅτι διττὴ ἡ ἀλλοίωσις καὶ καθόλου τὸ πάσχειν διττόν, τὸ μὲν ἐπὶ
5 φθορὰν ἄγον, τὸ δ' εἰς τελείωσιν. πάσχει γὰρ καὶ ὁ μαθητὴς ὑπὸ τοῦ διδασκάλου καὶ ἀλλοιοῦται, ἀλλ' οὐκ εἰς φθορὰν ἀλλ' εἰς τελείωσιν ἀγόμενος· τὸ γὰρ ἐν αὐτῷ δυνάμει προάγεται εἰς ἐνέργειαν. οὕτω δὲ καὶ ἡ αἴσθησις ἀλλοιοῦται καὶ πάσχει ὑπὸ τῶν αἰσθητῶν εἰς τελείωσιν ἀγομένη καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν προαγομένη. ὅτι δὲ καὶ αὐξήσεως καὶ 20
10 μειώσεως αἰτία ἡ ψυχή, δείκνυσιν οὕτως· τὸ αὐξόμενον καὶ μειούμενον τρέφεται (οὐδὲν γὰρ αὔξεται, ὃ μὴ τρέφεται), πᾶν δὲ τὸ τρεφόμενον ζωῆς μετέχει, καὶ ἀδύνατόν ἐστι τρέφεσθαι τὸ μὴ ζωῆς μετέχον, ὥστε τοῦ τρέφεσθαι τὸ ζῆν αἴτιον· ζωῆς δὲ πάσης ψυχή ἐστιν αἰτία· τοῖς ἄρα αὐξομένοις καὶ μειουμένοις αὐτοῦ τούτου τῆς αὐξήσεως καὶ τῆς μειώσεως
15 ἡ ψυχή ἐστιν αἰτία. εἰ δὲ καὶ λίθοι τινὲς δοκοῦσιν αὔξεσθαι, οὐκ ἔστι κυρίως αὔξησις αὕτη, ἀλλὰ μᾶλλον πρόσθεσις· αὔξησιν γὰρ ταύτην φησὶ τὴν 25
δι' ὀργάνων φυσικῶν γινομένην, ὄργανα δὲ ἐν τοῖς ἀψύχοις οὐκ ἔστιν· οὐδ' ἄρα αὔξεται. καὶ ἄλλως τὸ αὐξόμενον κατὰ πᾶν μόριον αὔξεται, ὡς ἐν τῷ Περὶ γενέσεως δέδεικται, ἐπὶ δὲ τῶν λίθων ἔξωθεν ἴσως κόνεως προστιθε-
20 μένης μεταβολή τις γίνεται, καὶ οὕτω μεῖζον τὸ ὅλον γίνεται οὐκ αὐξήσεως γινομένης, ἀλλὰ προσθέσεως, ὥσπερ ἂν εἰ καὶ τὸ πῦρ αὔξεσθαι λέγοιτο ξύλων πλειόνων προστιθεμένων. οὕτω δὲ καὶ τὰ μέταλλα αὔξεται ὑγρᾶς οὐσίας ἔξωθεν περιπαγείσης, ἐξ ἧς συνεστήκασι, καὶ ταύτης μεταβαλλού- 30
σης εἰς τὴν αὐτῶν οὐσίαν ὑπὸ τῆς ἐν τῇ γῇ φυσικῆς δυνάμεως ἐκ τοῦ
25 παντός. εἰ γὰρ συνοχῆς αἴτιον ἡ ψυχή, συνέχεται δὲ καὶ ἔστι τά τε ζῷα καὶ τὰ φυτά, ἕως ἂν τρέφηται, τροφὴ δὲ αὐξήσεως αἴτιον, ἡ ψυχὴ ἄρα αὐξήσεως αἴτιον. κακῶς ἄρα ταῖς ὑλικαῖς ἀρχαῖς γῇ καὶ πυρὶ τὴν τῆς αὐξήσεως ἀνατίθησιν αἰτίαν. ἀλλ' εἴποι ἂν πρὸς τοῦτο ἴσως ὁ Ἐμπεδοκλῆς ὅτι ὥσπερ σὺ καὶ ὑλικὰς καὶ ποιητικὰς τῶν φυσικῶν αἰτίας ἀπο-
30 δίδως, οὕτω κἀγὼ νῦν οὐ τὰς ποιητικάς, ἀλλὰ τὰς ὑλικὰς ἀποδέδωκα. 35
ἀλλ' οὐχ ἕξει χώραν ἡ ἀπολογία· οὐδὲ γὰρ αἱ ῥίζαι γήινοι μᾶλλον ἤπερ οἱ κλάδοι, πανταχοῦ δὲ τὸ γεῶδες πλεονάζει· ὅσον οὖν ἐπὶ τῇ οὐσίᾳ τῆς γῆς, οὐδὲν αὔξειν ἐπὶ τὸ ἄνω ὤφειλεν.

---

5 καὶ om. t 18. 19 ἐν τῷ Περὶ γενέσεως] A 5 p. 321a2. 19 19 ἐπὶ—λίθων A: οἱ δὲ λίθοι Dt 21 γενομένης t 24 αὐτῶν] αὐτὴν A 25 συνοχῆς] συνεχὲς t 26. 27 ψυχὴ ἄρτι αὐξήσεως D 27 post κακῶς ἄρα fort. excidit Ἐμπεδοκλῆς πυρὶ] περὶ t 31 ἤπερ t 32 post κλάδοι add. αὐξάνονται μᾶλλον ἤπερ οἱ κλάδοι t 33 ὤφειλεν ἐπὶ τὸ ἄνω coll. t

p. 415ᵇ28 Ἐμπεδοκλῆς δ' οὐ καλῶς εἴρηκε τοῦτο, προστιθεὶς h 8ʳ τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν ῥιζουμένων διὰ τὸ τὴν γῆν οὕτω φέρεσθαι κατὰ φύσιν, ἄνω δὲ διὰ τὸ πῦρ ὡσαύτως.

Δείξας ὅτι αὐξήσεως αἰτία ἡ ψυχή, αἰτιᾶται Ἐμπεδοκλέα οὐ καλῶς 45 εἰπόντα τὴν αὔξησιν ἐν τοῖς ἐμψύχοις γίνεσθαι. ἔλεγε γὰρ αὔξεσθαι τὸ φυτὸν τοῦ μὲν ἐν αὐτῷ πυρὸς τοὺς κλάδους ἐπὶ τὸ ἄνω αὔξοντος, τῆς δὲ γῆς τῆς ἐν αὐτῷ τὰς ῥίζας ἐπὶ τὸ κάτω αὐξούσης· πυρὶ γὰρ καὶ γῇ ἀνετίθει τὴν αἰτίαν τῆς αὐξήσεως· τὸ μὲν γὰρ ἐπὶ τὸ ἄνω τοὺς κλάδους αὔξειν ὡς ἀνώφορον, τὴν δὲ γῆν ἐπὶ τὸ κάτω τὰς ῥίζας ὡς κατώφορον. αἰτιᾶται δὲ αὐτὸν πρῶτον μὲν ὡς οὐ καλῶς λέγοντα κάτω εἶναι τῶν 50 φυτῶν τὰς ῥίζας· οὐ γὰρ πᾶσι, φησί, τὸ αὐτὸ ἄνω καὶ κάτω. εἶτα καὶ τὴν αἰτίαν προστίθησι. τὰ γὰρ ὄργανα, φησί, τοῖς ἔργοις κρίνεται. εἰ γὰρ τῶν ἐνεργειῶν χάριν τὰ ὄργανα, τὰ τὰς αὐτὰς ἐνεργοῦντα ἐνεργείας τὰ αὐτὰ ἂν εἴη. ὥσπερ οὖν ἐν τοῖς ἄλλοις ἐμψύχοις τὸ δι' ὧν ἐκτρέφεται στόμα ἐστίν, οὕτως ἄρα καὶ τοῖς φυτοῖς τὸ δι' ὧν τρέφεται στόμα ἂν εἴη. τρέφεται δὲ διὰ τῶν ῥιζῶν· αὕτη ἄρα στόμα τῶν φυτῶν. τῶν δὲ ἄλλων πάντων ἐμψύχων τὸ στόμα δι' οὗ τρέφεται ἄνω ἐστί· πάντων γὰρ ἡ κεφαλὴ ἐν ᾗ τὸ στόμα τὸν ἄνω τόπον | ἐπέχει. καὶ τῶν φυτῶν ἄρα τὸ h 8ᵛ στόμα καὶ ἡ κεφαλὴ ἀνάλογον ἄνω εἴη ἄν· ὥστε αἱ ῥίζαι τῶν φυτῶν ἄνω μᾶλλον. οἱ δὲ κλάδοι κάτω. ὡς μὲν γὰρ πρὸς τὸ πᾶν. εἴ γε ὅλως δεῖ λέγειν ἐπὶ τοῦ παντὸς τὸ ἄνω καὶ τὸ κάτω, τὸ μὲν πέριξ πᾶν ἄνω ἔσται. λέγω δὴ ὁ οὐρανός, τὸ δὲ μέσον κάτω, ἡ γῆ· τὰ μέντοι ἔμψυχα ἄνω λέγεται ἔχειν τὴν κεφαλὴν οὐ πάντως ὡς πρὸς τὸ πέριξ, ἀλλ' ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἐπειδὴ καὶ ἐκ τοῦ οὐρανοῦ ἡ ἀρχὴ τῆς κινήσεως 5 τῶν ἐνταῦθα. καὶ τῶν ἀλόγων τοίνυν ζῴων τῶν πλείστων, σχεδὸν δὲ πάντων ἐπὶ γῆν κεκυφότων, ὡς μηδὲ τῶν ὀπισθίων ὑψηλοτέραν ἐπὶ τὸ πέριξ ἔχειν τὴν κεφαλήν, ὅμως λέγεται τὰ ἄνω τῶν ζῴων μέρη εἶναι ἡ κεφαλή τε καὶ τὰ περὶ τὴν κεφαλήν· ὥστε τὴν κεφαλὴν ἄνω λέγομεν. ἀνάλογον δὲ κεφαλῇ αἱ ῥίζαι· ἐκεῖθεν γὰρ ἡ ἀρχὴ τῆς κινήσεως τοῖς φυτοῖς· ὥστε ἄνω ἂν εἶεν αἱ ῥίζαι καὶ οὐ κάτω. ἓν μὲν οὖν τοῦτο ἄτοπον ἐγκαλεῖ αὐτῷ. πρὸς ὅ τις ὑπὲρ αὐτοῦ ἀπολογούμενος ἐρεῖ ὅτι 10 ἐκεῖνος τὸ ἄνω καὶ κάτω ὡς πρὸς τὸ πᾶν ἔλεγεν· αἱ μὲν γὰρ ῥίζαι ὡς ἐπὶ τὸ κέντρον αὔξουσι, τὸ δὲ λοιπὸν ὡς ἐπὶ τὸν οὐρανόν. ἕτερον πάλιν ἄτοπον ἐκ τοῦ λόγου συνάγει πάνυ προσεκτικώτατα· εἰ γὰρ ὑπὸ πυρός, φησί, καὶ γῆς ἡ αὔξησις γίνεται, καὶ τὸ μὲν πῦρ ἐπὶ τὸ ἄνω αὔξει, ἡ γῆ δὲ

2 ῥιζουμένων Dt Arist. plerique: συρριζουμένοις Arist. E 7 αὐτῷ scripsi: ἑαυτῷ Dt 8 τὸ om. t 24 πρὸς A: om. Dt 27 ἐπὶ τὴν γῆν t 31 ἂν εἶναι t 32 ὑπὲρ] ὕπαρ t αὐτοῦ] ἐκεῖνο D 34 αὔξουσαι t 35 προσεκτικώτα D εἰ] οὐ t 36 ἡ δὲ γῆ t

ἐπὶ τὸ κάτω, διεσπάσθη ἂν τὰ φυτὰ μηδενὸς ὄντος τοῦ συνέχοντος. h 8v
εἰ δὲ ἔστι τι τὸ συνέχον, τοῦτο ἂν εἴη ἡ ψυχὴ καὶ τροφῆς καὶ αὐξήσεως αἴτιον.

p. 416a9 Δοκεῖ δέ τισιν ἡ τοῦ πυρὸς φύσις ἁπλῶς αἰτία τῆς τροφῆς καὶ τῆς αὐξήσεως εἶναι.

Ἐπειδὴ ἔδειξεν ὅτι αὐξήσεως αἰτία ἡ ψυχή, ἀναιρεῖ τὰ ἄλλα τὰ δοκοῦντά τισιν αὐξήσεως αἴτια εἶναι. Ἐμπεδοκλῆς μὲν οὖν τὴν γῆν καὶ τὸ πῦρ ἐπὶ τῶν φυτῶν ᾐτιᾶτο διὰ τὸ τούτων μὲν ἐναντίας εἶναι τὰς κινήσεις ἐπὶ τὸ ἄνω τε καὶ κάτω. ὁρᾶσθαι δὲ καὶ τὰ φυτὰ ἐπὶ τὰ ἐναντία τὴν αὔξησιν ποιούμενα κατὰ τὰς ῥίζας καὶ κατὰ τοὺς κλάδους. ἕτεροι δὲ τὸ πῦρ ὑπενόησαν μόνον αὐξήσεως αἴτιον εἶναι, πρὸς οὓς ἐνίσταται νῦν. καλῶς δὲ προσέθηκε τὸ ἁπλῶς· κατὰ τοῦτο γὰρ ἡμάρτανον οἱ τὴν αὐξητικὴν δύναμιν ἀνατιθέντες τῷ πυρί, ὅτι ἁπλῶς αὐτὸ αἴτιον αὐξήσεως ἔλεγον· συναίτιον μὲν γὰρ εἶναι τὸ πῦρ ὡς ὄργανον τὸ δι' οὗ τῆς αὐξήσεως καὶ αὐτῷ δοκεῖ, οὐ μὴν ἁπλῶς αὐξήσεως αἴτιον. ἀλλὰ τοσοῦτον ἐνδεῖν φησι τοῦ ἁπλῶς αὐξήσεως αἴτιον εἶναι, ὅτι καὶ χεῖρον ἢ κατὰ τὰ ὄργανα συναίτιον αὐτό φησιν ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς. τὰ μὲν γὰρ ὄργανα ῥυθμιζόμενα μὲν ὑπὸ τοῦ λόγου τυγχάνει τοῦ τέλους, ἐώμενα δὲ ὑπὸ τοῦ τεχνίτου βλάβης οὔκ εἰσιν αἴτια, ἐπεὶ μηδ' ἐνεργεῖν δύνανται ἄνευ τεχνίτου, τὸ δὲ πῦρ αὐτὸ καθ' αὑτὸ ἐνεργοῦν φθορᾶς αἴτιον γίνεται· ἑψομένου γὰρ τοῦ σιτίου καὶ τοῦ φαρμάκου εἰ μὴ ὑπὸ τοῦ ἰατρικοῦ ἢ μαγειρικοῦ λόγου κυβερνηθείη τὸ ἕψον πῦρ, φθείρει μᾶλλον καὶ ἐξίστησι τοῦ οἰκείου εἴδους. εἰπὼν δὲ ὅτι ἔδοξέ τισι τὸ πῦρ τροφῆς εἶναι καὶ αὐξήσεως αἴτιον, πόθεν εἰς τὴν τοιαύτην ὑπήχθησαν ἔννοιαν, ἐπήγαγε. μόνον γάρ, φησί, τῶν ἁπλῶν σωμάτων φαίνεται τρεφόμενον καὶ αὐξόμενον· ἐπὶ τούτου γὰρ μόνον ἡ συνήθεια τῷ τῆς τροφῆς κέχρηται ὀνόματι, καὶ διὰ τοῦτο καὶ τῷ τῆς αὐξήσεως· τὸ γὰρ τρεφόμενον τοῦτο καὶ αὔξεται. ἔχομεν τούτου πολλὴν τὴν χρῆσιν ἔν τε τῇ συνηθείᾳ καὶ παρὰ τοῖς ἀρχαίοις· "τοὺς ἅμα σοι πάντας", φησὶν ὁ ποιητής, "πῦρ ἐσθίει", καὶ πάλιν 'παμφάγῳ πυρὶ' εἴρηται. εἰ τοίνυν τῶν ἁπλῶν τοῦτο μόνον τρέφεταί τε καὶ αὔξεται, τοῦτο ἂν εἴη καὶ ἐν τοῖς συνθέτοις τροφῆς αἴτιον καὶ αὐξήσεως, λέγω δὴ τοῖς ἐμψύχοις. δείξας οὖν ὁ φιλόσοφος ὅτι μὴ ὁμοίως τρέφεταί τε καὶ αὔξεται τὰ ἔμψυχα ὥσπερ τὸ πῦρ, συναποδεδειχὼς ἔσται διὰ τούτου ὅτι μηδὲ ἐν τοῖς ἐμψύχοις αἴτιον τροφῆς καὶ αὐξήσεως τὸ πῦρ. ἡ δὲ δεῖξις τοιαύτη· πάντα τὰ φύσει τρεφόμενά τε καὶ αὐξόμενα, τοῦτο δ' ἐστὶν τὰ ἐν αὑτοῖς τὴν θρεπτικήν τε καὶ αὐξητικὴν δύναμιν ἔχοντα (τὰ γὰρ μὴ οὕτω τρεφόμενά τε καὶ αὐξόμενα

---

1 διέσπαστ' ἂν t 17 ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς] B 9 p. 336a12 19 οὔκ εἰσιν scripsi: οὐ γάρ εἰσιν Dt 20 δύναται D 27 καὶ τὸ τῆς D 29 τοὺς—ἐσθίει] Il. Ψ 182 30 παμφάγῳ πυρὶ] παμφάγου πυρός legitur Eurip. Med. v. 1187 32 λέγω δὲ t 37 τε om. D

οὐ κυρίως λέγεται ταῦτα ἅπερ λέγεται) τὰ τοίνυν φύσει τρεφόμενα καὶ h 8v
διὰ τοῦτο αὐξόμενα ὅρον ἔχει τῆς αὐξήσεως, καὶ ὥρισται αὐτῶν ἐπὶ τὸ
μέτρον ἡ αὔξησις· τοῦ δὲ πυρὸς οὐχ ὥρισται ἡ τροφή τε καὶ ἡ αὔξησις· 45
ἐπ' ἄπειρον γὰρ αὐξηθήσεται, ἐὰν ὕλη χορηγεῖται. οὐκ ἄρα τὸ πῦρ ὁμοίως
5 τοῖς ἐμψύχοις τρέφεταί τε καὶ αὔξεται. εἰ δὲ μὴ ὁμοίως, οὐκ ἂν οὐδὲ
τοῖς ἐμψύχοις αἴτιον εἴη τῆς αὐξήσεως. τοῦ μὲν γὰρ πυρὸς οὐκ ἔστι
πέρας οὐδὲ λόγος τῆς αὐξήσεως· τὰ δὲ φύσει αὐξόμενα ἔχουσι πέρας τι
καὶ ὡρισμένον λόγον τῆς αὐξήσεως· τὸ δὲ κατὰ λόγον αὔξειν καὶ διωρισ-
μένως ψυχῆς ἂν εἴη καὶ οὐ πυρός. οὕτω μὲν οὖν ἔδειξεν ὅτι οὐ τὸ πῦρ
10 αἴτιον τοῖς ἐμψύχοις τῆς αὐξήσεως. ὅτι δὲ οὐδὲ κυρίως ἐπὶ τοῦ πυρὸς
λέγεται τροφή τε καὶ αὔξησις, ἀλλὰ γένεσις, ἔδειξεν ἐν τῷ Περὶ γενέσεως 50
καὶ φθορᾶς. ὑπενοήθη δὲ τοῦτο μόνον τῶν στοιχείων τρέφεσθαί τε καὶ
αὔξεσθαι, ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἐναργῶς ὁ πλεονασμὸς πρόσθεσίς ἐστι
(προστιθεμένου γὰρ ὕδατος ὕδατι καὶ γῆς γῇ οὕτως γίνεται αὐτῶν ὁ
15 πλεονασμός, τοῦτο δὲ ⟨ὅτι⟩ οὐκ ἔστι τροφὴ οὐδὲ αὔξησις, προφανές), τὸ δὲ
πῦρ πλεονάζει οὐ πυρὸς προστεθέντος, ἀλλ' ἀνομοειδοῦς ὕλης, οἷον ξύλων
ἢ τῶν τοιούτων, καὶ τούτων ὑπὸ τῆς τοῦ πυρὸς δυνάμεως μεταβληθέντων
εἰς τὴν αὐτοῦ οὐσίαν οὕ|τως ὁ πλεονασμὸς τοῦ πυρὸς γίνεται. δοκεῖ δὲ i 1r
τοιοῦτόν τι καὶ ἡ κυρίως αὔξησις εἶναι· μεταβαλλούσης γὰρ τῆς τροφῆς
20 εἰς τὴν τοῦ σώματος φύσιν οὕτως ἡ αὔξησις τῶν ἐμψύχων γίνεται. ἔδειξε
δέ, ὡς εἶπον, ὅτι ἐπὶ τοῦ πυρὸς γινόμενον γένεσίς ἐστι καὶ οὐκ αὔξησις.

p. 416a18 Ἐπεὶ δ' ἡ αὐτὴ δύναμις τῆς ψυχῆς θρεπτική τε καὶ γεννητική, περὶ τροφῆς ἀναγκαῖον διωρίσθαι πρῶτον. 5

Εἰπὼν περὶ τοῦ τέλους τῆς γεννητικῆς δυνάμεως, εἶτα ἐφεξῆς δείξας
25 ὡς ἀναγκαῖος τῷ περὶ ψυχῆς ἐρεῖν μέλλοντι ὁ περὶ τῶν ἀντικειμένων ταῖς
ψυχικαῖς ἐνεργείαις λόγος, τῷ δεῖξαι τὴν ψυχὴν ἐν τοῖς ἐμψύχοις αἰτίαν
οὖσαν τροφῆς τε καὶ αὐξήσεως καὶ ἀλλοιώσεως τῆς τε κατὰ τὰς αἰσθήσεις
καὶ τὰς λοιπάς, μεταξὺ δὲ μνησθεὶς τῆς Ἐμπεδοκλέους δόξης οὐ τῇ ψυχῇ
ἀνατιθέντος τὴν αὔξησιν, ἀλλὰ τοῖς ὑλικοῖς αἰτίοις, καὶ ὅλως ἐλέγξας τοὺς 10
30 οἰομένους αἰτίαν εἶναι τὴν πυρίαν οὐσίαν τῆς ἐν τοῖς ἐμψύχοις αὐξήσεως,
λοιπὸν ἐνταῦθα περὶ τῶν ἐχομένων ποιεῖται τὸν λόγον, λέγω δὴ περὶ
τροφῆς, ἵν' οὕτω λοιπὸν καὶ περὶ αὐτῶν τῶν δυνάμεων διαλάβῃ. ὡς γὰρ
περὶ μιᾶς τῆς φυτικῆς δυνάμεως καὶ ἀνωτέρω τὸν λόγον ἐποιήσατο, ἐν οἷς
ἔλεγεν "ἡ γὰρ θρεπτικὴ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει πρώτη καὶ κοινοτάτη
35 δύναμίς ἐστι ψυχῆς, καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν· ἧς ἐστιν ἔργα γεννῆσαί

3 ἡ (post καὶ) om. D 4 ἄρα A Suid. s. v. Πῦρ: ἔτι t: dubio compendio utitur D 6 εἴη A: ἐπὶ Dt 11. 12 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] A 5 p. 322a16 12 μόνον A et fort. D: om. t 15 ὅτι add. Diels 16 προστιθέντος D 23 διωρίσθαι D Arist. vulg.: διορίσαι Arist. UW: διορίσασθαι Arist. y 26 ἐν τοῖς ἐμψύχοις om. t 31 λέγω δὲ t 34 ψυχὴ om. t

τε καὶ τροφῇ χρῆσθαι", κἀνταῦθα πάλιν ἐπειδὴ ἡ αὐτὴ δύναμίς ἐστι i 1r
θρεπτική τε καὶ γεννητική, περὶ τροφῆς ἀναγκαῖον διωρίσθαι πρῶτον. δ 15
γάρ φησι, τοιοῦτόν ἐστιν· ἐπειδὴ μία τίς ἐστι καὶ ἡ αὐτὴ δύναμις ἡ φυτική,
ἧς ἐστιν ἔργα γεννῆσαί τε καὶ τροφῇ χρῆσθαι (διὰ τῶν ἄκρων καὶ τὸ
5 μέσον περιλαμβάνων τὸ αὔξειν καὶ εἰς τὸ τέλειον μέτρον ἄγειν τὰ αὐξό-
μενα), εἴπομεν δέ, φησί, περὶ τοῦ τέλους τῆς γεννητικῆς ἐνεργείας, ἀναγ-
καῖον καὶ περὶ τοῦ ἀντικειμένου τῇ θρεπτικῇ ἐνεργείᾳ εἰπεῖν, λέγω δὴ τῆς
τροφῆς, ἵν' οὕτω λοιπὸν καὶ τὸν περὶ τῆς δυνάμεως αὐτῆς ποιησώμεθα 20
λόγον. μίαν δὲ δύναμίν φησι θρεπτικήν τε καὶ αὐξητικὴν καὶ γεννητικὴν
10 οὐχ ἁπλῶς, ὅτι ἡ φυτικὴ κοινὴ τούτων κατηγορεῖται, ἀλλ' ὅτι ἓν τέλος
ἐστὶ πασῶν τούτων τῶν ἐνεργειῶν, τοῦτο δέ ἐστι τὸ γεννῆσαι ἕτερον οἷον
αὐτὸ διὰ τὴν ἔφεσιν τῆς ἀιδιότητος, πάντα δέ, φησί, ἀπὸ τοῦ τέλους τοῦ
σκοπιμωτάτου προσαγορεύειν δίκαιον· ὥστε ἐπεὶ τέλος πάσῃ τῇ φυτικῇ
δυνάμει τὸ γεννῆσαι ἕτερον οἷον αὐτό, γεννητικὴν τὴν πᾶσαν καλεῖν
15 δίκαιον. θρεπτικὴ γὰρ καὶ αὐξητικὴ εἰς ὑπηρεσίαν ταύτης γεγόνασιν· 25
ἐπεὶ γὰρ ἀδύνατόν ἐστι τὰ ἔμψυχα γεννᾶν μὴ εἰς τὸ ὡρισμένον καὶ κατὰ
φύσιν μέτρον ἐλθόντα, διὰ τοῦτο χρεία τῆς αὐξητικῆς ἐνεργείας τε καὶ
δυνάμεως· ἀλλ' ἐπεὶ πάλιν αὔξεσθαι ἀδύνατον μὴ τρεφόμενα, διὰ τοῦτο
χρεία τῆς θρέψεως. ὥστε διὰ μὲν τὴν γέννησιν ἡ αὔξησις, διὰ δὲ τὴν
20 αὔξησιν ἡ τροφή· διὰ τὴν γέννησιν ἄρα ἡ τροφή. ἐπεὶ οὖν ἐκ τοῦ τέλους
καλεῖν ἅπαντα δίκαιον, γεννητικὴν πᾶσαν ταύτην κλητέον τὴν δύναμιν.
τὴν δὲ θρεπτικὴν τῇ αὐξητικῇ εἰς ταὐτὸν ἄγει δι' ἣν ἐροῦμεν ⟨ἐπ'⟩ αὐτῇ 30
τῇ λέξει γενόμενοι αἰτίαν. ὅθεν οὐδὲ ἰδίᾳ τὸν περὶ αὐξήσεως ποιεῖται
λόγον, ἀλλὰ συμπεπλεγμένως τῷ περὶ τροφῆς. οὐδὲ ὁρίζεται ἰδίᾳ τὴν
25 αὐξητικὴν δύναμιν. ἐπεὶ δὲ ἡ αὐτὴ δύναμις τῆς ψυχῆς· τῆς φυτικῆς
ψυχῆς ἡ αὐτὴ δύναμις θρεπτική ἐστι καὶ γεννητική. ἐλλιπῶς εἴρηται
τὸ νόημα κατὰ τὴν φράσιν· ἐχρῆν γὰρ οὕτως εἰπεῖν ' ἐπεὶ δὲ ἡ αὐτὴ
δύναμις τῆς ψυχῆς θρεπτικὴ καὶ γεννητική, εἴρηται δὲ περὶ τοῦ τέλους
τῆς γεννητικῆς, ἀναγκαῖον καὶ περὶ τοῦ ἀντικειμένου τῆς θρεπτικῆς εἰπεῖν· 35
30 τὸ δ' ἀντικείμενον τῇ θρεπτικῇ δυνάμει ἡ τροφή ἐστι· δεῖ πρῶτον περὶ
τροφῆς εἰπεῖν'.

p. 416a20 Ἀφορίζεται γὰρ πρὸς τὰς ἄλλας δυνάμεις τῷ ἔργῳ τούτῳ.

Ἡ θρεπτική, φησί, ψυχὴ τῶν ἄλλων ψυχικῶν δυνάμεων χωρίζεται τῷ
35 τρέφειν (ἴδιον γὰρ τοῦτο ταύτης), τρέφει δὲ τροφῇ· διὸ περὶ τροφῆς
ἀνάγκη πρῶτον εἰπεῖν.

---

12 ἰδιότητος D ἀπὸ τοῦ τέλους φησὶ coll. t 13 τέλος] τελεῖν D 14 et 21 πᾶσαν, ut videtur, D: πᾶσι t 18 στρεφόμενα D 22 ἐπ' addidi 26 ἐλλειπῶς libri 29 fort. τῇ θρεπτικῇ 30 δεῖ] fort. δεῖ ἄρα vel διὸ δεῖ 34 χωρίζεται scripsi: χωρίζει Dt

p. 416a21 Δοκεῖ δὲ εἶναι ἡ τροφὴ τὸ ἐναντίον τῷ ἐναντίῳ, οὐ i 1r
πᾶν δὲ παντί. ἀλλ' ὅσα τῶν ἐναντίων μὴ μόνον γένεσιν ἐξ 41
ἀλλήλων ἔχουσιν ἀλλὰ καὶ αὔξησιν.

Διαπεφώνηται ὁ περὶ τροφῆς λόγος. οἱ μὲν γάρ φασιν ὅτι ὅμοιά
5 ἐστὶν ἡ τροφὴ τῷ τρεφομένῳ· τρέφεσθαι γὰρ τὸ ὅμοιον τῷ ὁμοίῳ· εἰ γὰρ
προστεθεῖσα ἡ τροφὴ τῷ τρεφομένῳ αὔξει αὐτό, αὐξητικὸν δὲ τοῦ ὁμοίου
τὸ ὅμοιον, οὐ τὸ ἐναντίον (τοῦτο γὰρ καὶ φθαρτικὸν τοῦ ἐναντίου), οὐκ 45
ἔστιν ὑπὸ τοῦ ἐναντίου τρέφεσθαι τὸ τρεφόμενον. ἀλλ' ὑπὸ τοῦ ὁμοίου.
ἕτεροι δέ φασιν ὅτι τῷ ἐναντίῳ τρέφεται τὸ τρεφόμενον· εἰ γὰρ πάσχει
10 ἡ τροφὴ ὑπὸ τοῦ τρεφομένου καὶ μεταβάλλει εἰς αὐτό, οὐ πάσχει δὲ τὸ
ὅμοιον ὑπὸ ὁμοίου. ἀλλ' ὑπὸ τοῦ ἐναντίου τὸ ἐναντίον πάσχει καὶ μετα-
βάλλει τὸ ἐναντίον εἰς τὸ ἐναντίον, ἐναντίον ἄρα ἡ τροφὴ τῷ τρεφομένῳ.
οὗτοι μὲν οὖν οἱ φερόμενοι περὶ τροφῆς λόγοι. ἐναντίοι δοκοῦντες εἶναι.
εὔλογον μέντοι αἰτίαν ἑκάτερος ἔχων. τούτοις οὖν τοῖς λόγοις διαιτῶν
15 Ἀριστοτέλης φησὶν ὅτι δοκοῦσιν εἶναι ἐναντίοι κατὰ ἀλήθειαν οὐκ ὄντες· 50
ἑκάτερος γὰρ αὐτῶν πρὸς μέρος τι ἀπέβλεψε καὶ πρὸς τοῦτο ἀληθῆ λέγει.
ἡ γὰρ τροφὴ δυνάμει μέν ἐστιν ὁμοία τῷ τρεφομένῳ. ἐνεργείᾳ δ' ἐναντία.
ὁ γὰρ ἄρτος καὶ τὰ ὄψα ἀκατέργαστα μὲν ὄντα καὶ ἄπεπτα ἐναντία πώς
ἐστι τῷ τρεφομένῳ· ὁπηνίκα δὲ μεταβληθῇ καὶ ἀλλοιωθῇ, τότε ὅμοια
20 γίνεται. μεταβάλλει δ' οὐ τὸ ὅμοιον εἰς τὸ ὅμοιον οὐδὲ τὸ τυχὸν εἰς
τὸ τυχόν, ἀλλὰ τὸ ἐναντίον εἰς τὸ ἐναντίον· οὐ γὰρ τὸ λευκὸν εἰς τὸ
θερμὸν | μεταβάλλει, ἀλλὰ τὸ ψυχρὸν εἰς τὸ θερμόν. κἂν γοῦν τὸ i 1v
φαιὸν εἰς λευκὸν μεταβάλλῃ, οὐχ ᾗ μετέχει λευκοῦ, ἀλλ' ᾗ μετέχει
μέλανος μεταβάλλει. ὥστε εἰ μεταβάλλει ἡ τροφή, δῆλον ὅτι εἰς τὸ
25 ἐναντίον μεταβάλλει. διττῆς οὖν οὔσης τῆς τροφῆς, τῆς μὲν ἀπέπτου τῆς
δὲ πεπεμμένης, ἡ μὲν ἄπεπτος ἐναντία ἐστὶ τῷ τρεφομένῳ. ἡ δὲ πεπεμμένη
καὶ μεταβάλλουσα ἤδη ὁμοία. εἰπὼν δὲ ὅτι δοκεῖ ἡ τροφὴ τὸ ἐναντίον 5
εἶναι τῷ ἐναντίῳ, ἐπήγαγεν ὅτι οὐ πᾶν ἐναντίον παντὶ ἐναντίῳ τροφή ἐστιν.
ἀλλ' ὅσα πρὸς τῷ μεταβάλλειν εἰς τὸ ἐναντίον αὔξει ἢ τὸ μεταβαλλόμενον·
30 πολλὰ γάρ, φησί, τῶν ἐναντίων εἰς ἄλληλα μεταβάλλει, οἷον ὑγίεια καὶ
νόσος, λευκὸν καὶ μέλαν, ἀλλὰ ταῦτα οὐδὲν τῷ ποσῷ μεταβάλλοντα προστί-
θησι· διὸ οὔκ εἰσιν ἀλλήλων τροφή, οὐδὲ τρέφεται τὸ λευκὸν τῷ μέλανι,
ὅταν μεταβάλλῃ τὸ μέλαν εἰς τὸ λευκόν, οὐδὲ ἡ ὑγίεια τῇ νόσῳ. οὐχ
ἁπλῶς δὲ τοῦτο λέγει ὅτι τὰ μεταβάλλοντα εἰς ἄλληλα ἐναντία καὶ τῷ 10

---

1 τῷ ἐναντίῳ D Arist. (cod. E pr. m.): τῶν ἐναντίων t Arist. corr. E 2 post γένεσιν add. εἶναι D 5 τῶν τρεφομένων t τρέφεσθαι — τρεφομένῳ (6) A Suid. s. v. Τροφή: om. Dt 8 ἔστιν] ἔτι, ut vid., D τρέφεται D 9 τῷ ἐναντίῳ A: τὸ ἐναντίον Dt 11 ὑπὸ τοῦ ὁμοίου t 12 τῶν τρεφομένων t 21 τὸ (ante θερμὸν) om. D 22 κἂν γοῦν A Suid.: καὶ γὰρ Dt 23 μεταβάλλῃ] μεταβάλλει t 23. 24 μετέχῃ μέλανος D 26 τρεφομένῳ] πεπεμμένῳ AD 29 τὸ μεταβαλλόμενον] fort. αὐτὸ μεταβάλλοντα (vel μεταβαλλόμενα) 33 μεταβάλῃ D

ποσῷ προστιθέντα ταῦτα τρέφεται ὑπ' ἀλλήλων (οὐ γὰρ ἀληθὲς τοῦτο, i 1ᵛ
ὡς καὶ αὐτὸς ἐρεῖ). ἀλλ' ὅτι τὰ τρέφοντα τῶν ἐναντίων τῷ ποσῷ προστί-
θησιν· ὅταν γὰρ ὑπὸ ψυχῆς τὰ τοιαῦτα τῶν ἐναντίων μεταβάλλωνται,
λέγω δὴ ὅσα καὶ τῷ ποσῷ τοῦ εἰς ὃ μεταβάλλει προστίθησι, τότε γίνεται
5 τροφή. τὰ γοῦν ἁπλᾶ σώματα αὔξεται μὲν μεταβάλλοντα εἰς ἄλληλα, οὐ
τρέφεται δὲ ὑπ' ἀλλήλων, μᾶλλον δὲ οὐδὲ κυρίως ἡ αὔξησις ἐπὶ τούτων
λέγεται, ἀλλὰ πρόσθεσις, ὡς ἐν τῷ Περὶ γενέσεως ἔδειξεν. ὅτι δὲ ἡ 15
πρώτη τροφὴ καὶ ἄπεπτος ἐναντία ἐστὶ τῷ τρεφομένῳ. δῆλον ἐντεῦθεν·
εἰ γὰρ πάσχει ὑπὸ τοῦ τρεφομένου καὶ μεταβάλλει εἰς τὴν ἐκείνου οὐσίαν,
10 οὐ τὸ τυχὸν δ' ὑπὸ τοῦ τυχόντος πάσχει, οὐδὲ τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος
μεταβάλλει, ἀλλὰ τὸ ἐναντίον εἰς τὸ ἐναντίον, δῆλον ὅτι πάσχουσα ἡ
τροφὴ ὑπὸ τοῦ τρεφομένου, ἵνα εἰς τὴν ἐκείνου οὐσίαν μεταβάλλῃ, ἐναντία
ἔσται τῷ τρεφομένῳ. ἄλλως τε ἐπειδὴ συνεστήκαμεν ἐκ ψυχροῦ καὶ
θερμοῦ καὶ ξηροῦ καὶ ὑγροῦ, δῆλον ὅτι εἰς τὰς συστοίχους ποιότητας 20
15 τῷ τρεφομένῳ καὶ ἡ τροφὴ μεταβληθήσεται· ἢ οὖν θερμοτέρα οὖσα
ἐπὶ τὸ ψυχρότερον διὰ τῆς πέψεως μεταβληθήσεται, ἢ ψυχροτέρα ἐπὶ
τὸ θερμότερον, ἢ ξηροτέρα ἐπὶ τὸ ὑγρότερον, ἢ ὑγροτέρα ἐπὶ τὸ ξηρό-
τερον. ὅθεν καὶ τῇ πλεονεκτούσῃ ἐν τῷ σώματι ποιότητι τὴν ἐναντίαν
τροφὴν προσάγομεν, ξηροτέρου μὲν ὄντος τοῦ σώματος ὑγροτέραν προσ-
20 φέροντες, θερμοτέρου δὲ ψυχροτέραν, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως· 25
δῆλον γὰρ ὅτι δεῖται καὶ ὕλης ἐπιτηδείας ἡ θρεπτικὴ δύναμις τῆς πεφυ-
κυίας ῥᾳδίως εἰς τὴν τοῦ τρεφομένου οὐσίαν μεταβάλλεσθαι. ἐπειδὰν δὲ
ἤδη πάθῃ ἡ τροφὴ καὶ ἐξομοιωθῇ τῷ τρεφομένῳ, οὐκέτι ἐστὶν ἐναντία
ἀλλ' ὁμοία· αὕτη δ' ἐστὶν ἡ ἐσχάτη καὶ ἐν ἑκάστῳ λοιπὸν ἐξομοιωθεῖσα
25 μορίῳ, καὶ προσκριθῆναι μέλλει.

p. 416ᵃ25 Φαίνεται δὲ οὐδ' ἐκεῖνα τὸν αὐτὸν τρόπον ἀλλήλοις εἶναι τροφή.

Ἐπειδὴ εἶπεν ταῦτα τῶν ἐναντίων τροφὴν εἶναι ἀλλήλων, ἅπερ μὴ
μόνον ἐξ ἀλλήλων γίνεται, ἀλλὰ καὶ αὔξει ἄλληλα, διὰ τοῦτο προσέθηκεν
30 ὅτι οὐ πάντα τὰ τοιαῦτα τροφὴ εἶναι ἀλλήλων λέγονται, καὶ δείκνυσι τοῦτο
διὰ παραδείγματος ὅτι μὴ πᾶν τὸ αὔξον κατὰ τὸ ποσὸν τροφή ἐστι τῷ
ἐναντίῳ, ἀλλὰ τὸ μὲν εἰδικώτερον τῶν ἐναντίων αὐξόμενον ὑπὸ τῆς τοῦ
ὁλικωτέρου τε καὶ ἐναντίου αὐτῷ εἰς αὐτὸ μεταβολῆς τρέφεσθαι λέγεται. 35
οὐκέτι δὲ τὸ ὁλικώτερον ἀπὸ τοῦ εἰδικωτέρου. οὕτω γὰρ ἔχει πρὸς
35 ἄλληλα τὸ πῦρ καὶ τὸ ὕδωρ· τούτων γοῦν εἰς ἄλληλα μεταβαλλόντων τὸ
μὲν ὕδωρ, φησί, τῷ πυρί ἐστι τροφή, τὸ δὲ πῦρ τῷ ὕδατι οὐκέτι· οὐδεὶς

---

3 μεταβάλωνται t 4 δὴ] δὲ t τοῦ scripsi: τῷ Dt 7 ἐν τῷ Περὶ γενέσεως] A 5 p. 321ᵇ22 (?) 12 ἐναντία — ἄλλως τε (13) om. D 22 τοῦ om. t 24 ἑκάστῳ scripsi: ἑκατέρῳ Dt 30 οὐ Diels: οὖν Dt 32 εἰδικώτερον et 34 εἰδικωτέρου Diels: ἰδικώτερον et ἰδικωτέρου Dt 35 μεταβαλόντων t 36 τὸ πυρὶ t τῷ δὲ πῦρ D

γὰρ ἂν εἴποι ὅτι τρέφεται τὸ ὕδωρ ὑπὸ τοῦ πυρός, τὸ δὲ πῦρ τρέφεσθαι i 1v
λέγεται. 'τοὺς ἅμα γάρ σοι πάντας', ⟨φησὶν⟩ ὁ ποιητής, 'πῦρ ἐσθίει'.
ὅθεν καὶ ζητήσειεν ἄν τις, εἰ ὁμοίως ὥσπερ ⟨ἡ⟩ τοῦ ὕδατος εἰς τὸ πῦρ
μεταβολὴ γένεσις μόνον ἐστὶ καὶ οὐκ αὔξησις, οὕτω δὲ καὶ † ἐπὶ τοῦ πυρὸς 40
5 τὸ ὕδωρ, ὡς δέδεικται ἐν τῇ Περὶ γενέσεως, διὰ τί τὸ μὲν ὕδωρ οὐ
λέγεται τῷ πυρὶ τρέφεσθαι, τὸ δὲ πῦρ τῷ ὕδατι. ὅτι γὰρ ὕδατι τρέφεται
τὸ πῦρ, δῆλον· ὑγρῷ γὰρ τρέφεται. τὸ γὰρ ἔλαιον ὕδωρ ἐστὶ πεπονθός τι
καὶ ὁ κηρὸς καὶ τὰ τοιαῦτα· καὶ τὰ ξύλα δὲ καὶ τὰ ὅμοια τῷ μετέχειν
ὑγρότητος οὕτως ὕλη πυρὸς γίνεται, ὅθεν τὰ πάντῃ κατεξηραμμένα ξύλα
10 οἷον τὰ σεσηπότα ἢ ἡ τέφρα οὐδὲ καίεσθαι δύναται, διὰ τὸ πάντῃ ἀμοι- 45
ρεῖν ὑγρότητος. λέγομεν οὖν πρῶτον ὅτι καὶ τῇ συνηθείᾳ ἠκολούθησεν ὁ
φιλόσοφος. λέγομεν γὰρ τροφὴν εἶναι τὸ ἔλαιον τῷ πυρί, τοῦτο δὲ οὐδέν
ἐστιν ἄλλο ἢ τὸ ὕδωρ τροφὴν λέγειν τῷ πυρί· τὸ γὰρ ἔλαιον, ὡς ἐν τῷ
τετάρτῳ τῶν Μετεώρων δέδεικται, ἐξ ὕδατός ἐστι καὶ ἀέρος. ἅπερ ἄμφω
15 ὑγρὰ τὴν φύσιν. ἔπειτα δέδεικται ἐν τῇ Περὶ γενέσεως ὅτι τὸ αὐξόμενον
τὸ εἶδός ἐστιν, οὐχ ἡ ὕλη· δεῖ γὰρ τὸ αὐξόμενον ἓν εἶναι τῷ ἀριθμῷ· ἡ
δὲ ὕλη ἀπόρρυτος οὖσα καὶ ἐπίρρυτος οὐχ ἡ αὐτή ἐστιν ἐν τῷ αὐξομένῳ,
τὸ δὲ εἶδος τὸ αὐτό. εἰδικώτερον δὲ ὡς ἐν στοιχείοις τὸ πῦρ, τὸ δὲ
ὕδωρ ὑλικώτερον, ὡς ἐν ἐκείνοις ἔδειξεν. τὸ γὰρ εἶδος δραστικώτερον 50
20 καὶ ἀσώματον καὶ περιεκτικόν, εἴ γε πάσχει μὲν ἡ ὕλη, ποιεῖ δὲ τὸ εἶδος,
καὶ ἡ μὲν σκεδαστή, περιέχεται δὲ καὶ ὁρίζεται ὑπὸ τοῦ εἴδους. ὁρῶνται
δὲ ταῦτα ἐπὶ τοῦ πυρός· καὶ γὰρ δραστικώτατον τῶν ἄλλων στοιχείων
ἐστὶ καὶ λεπτομερέστατον καὶ περιεκτικώτατον· περιέχει γὰρ ἡ τοῦ πυρὸς
σφαῖρα τὰ λοιπὰ στοιχεῖα. καὶ καθόλου δὲ τοῖς ἐναντίοις τὸ κρεῖττον τῶν
25 ἐναντίων εἴδους λόγον ἐπέχει, ἣ φησι (διὸ καὶ τὴν ἐπὶ τοῦτο μεταβολὴν
γένεσίν φησι), τὸ δὲ χεῖρον ὕλης· διὸ φθο|ρὰν καλεῖ τὴν ἐπὶ τοῦτο μετα- i 2r
βολήν. ἄλλως τε τὸ τρεφόμενον δι' αὑτοῦ κατεργαζόμενον τὴν τροφὴν
εἰς ἑαυτὸ μεταβάλλει· δοκεῖ δὲ τοῦτο ποιεῖν καὶ τὸ πῦρ ἐπιχεομένου τοῦ
ἐλαίου καὶ τῶν ξύλων ὑποτιθεμένων· ἡ μέντοι μεταβολὴ τοῦ πυρὸς εἰς τὸ
30 ὕδωρ οὐχ οὕτω γίνεται. διὰ δὲ τοῦ εἰπεῖν ἐν μὲν οὖν τοῖς ἄλλοις
σώμασι καὶ ὡς τοῖς πολλοῖς δοκεῖ τοῦτο ἐδήλωσεν· ἡ γὰρ κυρίως
τροφὴ ἐπὶ τῶν ἐμψύχων σωμάτων, ταῦτα δὲ σύνθετα, ἅπερ καὶ τρέφεται. 5

2 τοὺς—ἐσθίει] cf. p. 277, 29 φησὶν addidi 3 ἡ addidi 4. 5 ἐπὶ—ὕδωρ] verba depravata: exspectas ἡ τοῦ πυρὸς εἰς τὸ ὕδωρ 5 ἐν τῇ Περὶ γενέσεως] A 5 p. 321 a 12 7 γὰρ (post ὑγρῷ) om. D 9 τὰ πάντα t
13 τὸ γὰρ] τῶ γὰρ D 13. 14 ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] Δ 7 p. 383 b 21 p. 384 a 16, 10 p. 388 a 32 all. 15 ἐν τῇ Περὶ γενέσεως] A 5 p. 321 b 22 sqq.
18 δὲ (ante ὡς) om. t 19 ἐν ἐκείνοις] de gen. et corr. B 8 p. 335 a 19
21 ὁρῶνται Diels: ὁρῶντα Dt 30 ἄλλοις Dt Arist. SUX: ἁπλοῖς Arist. vulg.
31 τοῦτο ἐδήλωσεν om. D

p. 416a29 Ἀπορίαν δὲ ἔχει· φασὶ γὰρ οἱ μὲν τὸ ὅμοιον τῷ ὁμοίῳ τρέφεσθαι, καθάπερ καὶ αὐξάνεσθαι. i 2r

Εἰπὼν "δοκεῖ δ' εἶναι ἡ τροφὴ τὸ ἐναντίον τῷ ἐναντίῳ", νῦν φησιν ὅτι ἀπορίαν ἔχει ὁ περὶ τροφῆς λόγος· οἱ μὲν γάρ φασι τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου τρέφεσθαι, οἱ δὲ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου. περὶ δὲ τούτων εἶπεν μὲν καὶ ἐν τῷ Περὶ γενέσεως, λέγει δὲ καὶ νῦν· ἀναγκαῖος ⟨γὰρ⟩ ὁ περὶ τροφῆς λόγος τῷ περὶ τῆς θρεπτικῆς δυνάμεως λέξοντι. εἰπὼν δὲ ὅτι ἀπορίαν ἔχει, διότι οἱ μὲν τῷ ὁμοίῳ τρέφεσθαι λέγουσι τὰ τρεφόμενα, οἱ δὲ τῷ ἐναντίῳ, ἑκατέρᾳ δόξῃ διὰ βραχέων προσέθηκε τὰ κατασκευαστικά. τῇ μὲν τῷ ὁμοίῳ τρέφεσθαι ἀξιούσῃ εἰπὼν καθάπερ καὶ αὐξάνεσθαι· εἰ γὰρ τῷ αὐτῷ τρεφόμεθά τε καὶ αὐξόμεθα, αὐξόμεθα δὲ τῷ ὁμοίῳ (σαρκὸς γὰρ προσθέσει ἡ σὰρξ αὔξεται) καὶ τρεφόμεθα οὖν τῷ ὁμοίῳ· τῇ δὲ τῷ ἐναντίῳ τρέφεσθαι ἀξιούσῃ εἰπὼν ὅτι τὸ ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου. τὸ γὰρ πάσχον ὑπὸ τοῦ ἐναντίου πάσχει, καὶ τὸ τὴν τροφὴν μεταβάλλειν καὶ πέττεσθαι πάσχειν τί ἐστι· πᾶσα δὲ μεταβολή, καὶ ἡ ἐκ τοῦ μεταξύ, ἐξ ἐναντίου πως καθὸ γίνεται, μετέχει τοῦ ἐναντίου, καὶ οὐ γίνεται ἡ μεταβολὴ ἐξ αὐτοῦ καὶ εἰς αὐτό. ἀντικείμενον δὲ ἐνταῦθα τὸ ἐναντίον λαμβάνει, καὶ οὐ πᾶν ἁπλῶς ἀντικείμενον. καὶ δῆλον ἐξ ὧν προσέθηκε καὶ τὸ μεταξύ· τῶν γὰρ ἐναντίων μεταξύ τί ἐστι καὶ οὐχ ἁπλῶς πάντων τῶν ἀντικειμένων.

p. 416a34 Ἔτι πάσχει τι ἡ τροφὴ ὑπὸ τοῦ τρεφομένου, ἀλλ' οὐ τοῦτο ὑπὸ τῆς τροφῆς.

Εἰπὼν ὅτι τὸ τρέφειν καὶ τρέφεσθαι πάσχοντός τινος καὶ ποιοῦντος γίνεται ("ὡς ἀπαθοῦς ὄντος, φησί, τοῦ ὁμοίου ὑπὸ τοῦ ὁμοίου", διὰ τούτου δεικνὺς ὡς δέον ποιεῖν τε καὶ πάσχειν τὸ τρέφον καὶ τὸ τρεφόμενον) εἶτα εἰπὼν τὴν τροφὴν μεταβάλλειν, νῦν δείκνυσιν ὅτι ἡ μὲν τροφή ἐστιν ἡ πάσχουσα καὶ ἀλλοιουμένη, ποιητικὸν δὲ καὶ ἀπαθὲς τὸ τρεφόμενον. εἰ γὰρ τὸ τρεφόμενον τὸ αὐτὸ μένον κατὰ εἶδος τρέφεται, ἡ δὲ τροφὴ οὐχ ἡ αὐτὴ μένει, αὕτη ἄρα ἐστὶν ἡ μεταβάλλουσα. παραδείγματι δὲ χρησάμενος τῷ τέκτονι καὶ δείξας ὅτι ὑπὸ τοῦ τεχνίτου καὶ τοῦ εἴδους ἡ ὕλη πάσχει, ἀλλ' οὐκ ἀνάπαλιν ὁ τεχνίτης ὑπὸ τῆς ὕλης, ἐπεὶ δοκεῖ ὁ τεχνίτης ἐν τῷ τὴν ὕλην ἐργάζεσθαι μεταβάλλειν, τίς ἡ τούτου μεταβολὴ λέγει· εἰς ἐνέργειαν γὰρ ἐξ ἀργίας, φησίν, οὗτος μεταβάλλει, ἀλλ' οὐ κατὰ

---

1 τὸ] τῷ D 3 δοκεῖ Arist.: ἀρκεῖ Dt 6 ἐν τῷ Περὶ γενέσεως] A 5 p. 322a1sqq. γὰρ addidi 10 et 13 ἀξιούσῃ scripsi: ἀξιοῦσιν Dt 12 οὖν scripsi: ἐν Dt 13. 14 τὸ ὅμοιον — ὁμοίου scripsi: τὸν οἱονεὶ ἀπαθεῖ (ἀπαθῆ t) ὑπὸ τὸ ὅμοιον Dt 15 πάσχειν τί ἐστι om. D 16 post πως fort. addendum καὶ καθὸ D: καθὼς t 16. 17 οὐ γίνεται] τοῦτο D 19 καὶ τὸ Dt Arist. X: ἢ τὸ Arist. vulg. 21 Ἔτι τροφὴ πάσχει τι t τι] τε D 27 τὸ τρεφόμενον scripsi: τὸ τρέφον Dt 33 ἀργίας Arist.: ἐνεργείας Dt ante φησίν add. γὰρ D

πάθος (οὐ γὰρ πάσχει τι οὐδὲ ἀλλοιοῦται), ἐνδεικνύμενος ὅτι τοιαύτη τις i 2ʳ
καὶ ἡ τῆς θρεπτικῆς δυνάμεως μεταβολὴ ἐν τῷ τρέφειν, οὐκ ἀλλοίωσις,
ἀλλὰ τελειότης· τελειότης γὰρ ἡ ἐνέργεια τῆς δυνάμεως. ἡ δὲ τοιαύτη
μεταβολὴ οὐ κίνησις, ἀλλὰ γένεσις μᾶλλον τῆς τελειότητος, ὡς ἔδειξεν
5 ἐν τῇ Φυσικῇ ἀκροάσει.

p. 416ᵇ3 Πότερον δέ ἐστιν ἡ τροφὴ τὸ τελευταῖον προσγινόμενον ἢ τὸ πρῶτον, ἔχει διαφοράν.

Ζητεῖ ποῖον δεῖ τροφὴν λέγειν, πότερον ὃ ἐξ ἀρχῆς προσφερόμεθα,
τὸν ἄρτον λέγω καὶ τὰ λοιπά, ἢ τὸ τελευταῖον τῷ σώματι προσκρινόμενον, 40
10 οἷον τὸ μεταβάλλον ἐκ τῆς τροφῆς αἷμα καὶ ἐν τοῖς μορίοις γινόμενον καὶ
ὁμοιούμενον ἤδη αὐτοῖς· τοῦτο γάρ ἐστι τὸ ἔσχατον· τροφῆς γάρ, οἱ ἰατροί
φασι, τὸ τρέφον τροφή. ἐκ τούτων γὰρ εὑρεθήσεται τὸ ζητούμενον, πότε-
ρον τῷ ὁμοίῳ τρεφόμεθα ἢ τῷ ἐναντίῳ. εἰ μὲν γὰρ τὸ πρῶτον προσ-
φερόμενόν ἐστιν ἡ τροφή, τῷ ἐναντίῳ τρεφόμεθα, εἰ δὲ τὸ ἔσχατον προσ-
15 κρινόμενον τῷ σώματι, τῷ ὁμοίῳ· εἰ δὲ ἀμφότερα τροφή, ὅπερ καὶ δοκεῖ, 45
καὶ τὸ πρῶτον καὶ τὸ ἔσχατον, καὶ τῷ ὁμοίῳ καὶ τῷ ἐναντίῳ· ἡ μὲν
γὰρ πρώτη καὶ ἄπεπτος ἐναντία, ἡ δὲ δευτέρα καὶ πεπεμμένη ὁμοία.
ὥστε ἑκάτερος τῶν περὶ τροφῆς εἰρηκότων ὡς πρὸς μέρος ἀποβλέψας
ὑγιῶς μὲν εἴρηκεν. οὐ τελείως δέ. ἀπορήσειε δ' ἄν τις, τί ποτέ ἐστι τὸ
20 ἔσχατον προσκρινόμενον. εἰ γὰρ μὴ πρῶτον σὰρξ γίνεται, εἶτα προσκρίνε-
ται τῇ σαρκί (πρόσθεσις γὰρ τοῦτο, οὐκ αὔξησις) πᾶν ὅπερ ἂν εἴη ἔσχα-
τον πρὸ τῆς μεταβολῆς, τοῦτο ἀνάγκη ἐναντίον εἶναι· εἰ γὰρ μετα-
βάλλει * * μόνως οὖν τὸ ἐναντίον τροφή. εἰ δὲ ἔσχατον λέγει τὸ ἤδη
ἐξομοιωθέν, οὐκέτι τὸ τοιοῦτο τροφή, ἀλλὰ μόριον. καὶ ἐπιλυόμενος ὁ 50
25 φιλόσοφος ὅτι ἡ γενομένη σὰρξ ἐστι κατὰ τὶ μὲν τροφή, κατὰ τὶ δὲ
μόριον· τοῦ μὲν γὰρ πρὸ τῆς προσκρίσεως γενομένου σώματος τροφὴ ἂν
εἴη, τοῦ μέντοι ὡς ὅλου θεωρουμένου, λέγω δὴ τοῦ μετὰ τὴν πρόσκρισιν,
μόριόν ἐστιν. ὁ δὲ περὶ τούτων λόγος ἐντελέστερος ἐν τῷ Περὶ γενέσεως
καὶ φθορᾶς εἴρηται.

30 p. 416ᵇ9 Ἐπεὶ δ' οὐδὲν τρέφεται μὴ μετέχον ζωῆς. | i 2ᵛ

Ὥστε οὐ κυρίως ἐπὶ τοῦ πυρὸς ἡ τροφὴ λέγεται. μεταβαίνει δὲ

---

3 alterum τελειότης Diels: τελειοῦται Dt 5 ἐν τῇ Φυσικῇ ἀκροάσει] H 3 7 τὸ om. t 9 προκρινόμενον D 20. 21 προκρίνεται D 23 lacunam indicavi: exspectas οὔπω ὅμοιον vel tale quid 24 τῷ τοιούτῳ D 25 post φιλόσοφος addendum φησὶν κατὰ τὶ μὲν—μόριον (26) scripsi: κατὰ τὴν τροφὴν κατὰ δὲ τὸ (τὸ om. D) μόριον Dt 26 γὰρ om. t προσκρίσεως scripsi: κρίσεως Dt γενομένου] νοουμένου D σώματος scripsi: σῶμα Dt 27 μέντοι] μέν τοι t 28. 29 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] A 5 322ᵃ4 sqq. 30 ἐπεὶ δ' t Arist: ἐπειδὴ D οὐδὲ t

ἀπὸ τῆς τροφῆς ἐπὶ τὴν ἐνέργειαν. αὕτη δ' ἐστὶ τὸ τρέφειν· τὸ γὰρ i 2v
τρέφειν τοῦ τρεφομένου ἐστί. καὶ εἴη ἂν τὸ μὲν τρέφεσθαι τὸ διὰ τῆς
περὶ τὴν τροφὴν ἐνεργείας τοῦ τὴν θρεπτικὴν δύναμιν ἔχοντος σώζεσθαι
τὴν οὐσίαν τοῦ τρεφομένου, τὸ δὲ τρέφειν τὸ ἐνεργεῖν περὶ τὴν τροφὴν 5
5 τὴν δύναμιν τὴν θρεπτικήν. λοιπὸν ἀπὸ τῆς ἐνεργείας, ἥτις ποτέ ἐστιν
ἡ θρεπτικὴ δύναμις, εὑρήσει καὶ ὁριεῖται. εἰ δὲ μηδέν, φησί, τρέφεται
μὴ μετέχον ζωῆς, ἀπὸ δὲ ψυχῆς τοῖς ζῶσιν ἡ ζωή, ἀνάγκη τὸ ἔμψυχον
σῶμα εἶναι τὸ τρεφόμενον κατ' αὐτὸ τοῦτο, καθὸ ἔμψυχόν ἐστι, καὶ οὐ
κατὰ συμβεβηκός. οὐ γὰρ τῷ τρεφομένῳ σώματι συμβέβηκεν ἐμψύχῳ
10 εἶναι, ἀλλ' ὅτι ἔμψυχον, διὰ τοῦτο τρέφεται· εἰ δὲ τὸ τρεφόμενον ἔμψυχον,
καὶ ἡ τροφὴ καθ' αὑτὸ τοῦ ἐμψύχου ἐστίν. ὥστε οὐ κυρίως τὸ πῦρ 10
τρέφεσθαι λέγεται. τῶν γὰρ πρός τι τὰ μὲν κυρίως καὶ καθ' αὑτὸ πρὸς
ἐκεῖνό ἐστι, πρὸς ὃ ἀποδίδοται, τὰ δὲ κατὰ συμβεβηκός, ὡς δοῦλος λέγε-
ται ἀνθρώπου εἶναι δοῦλος καὶ δεσπότου δοῦλος, ἀλλὰ τοῦ μὲν δεσπότου
15 καθ' αὑτό, τοῦ δὲ ἀνθρώπου κατὰ συμβεβηκός· συμβέβηκε γὰρ τῷ δεσπότῃ
ἀνθρώπῳ εἶναι. λέγοιτ' ἂν καὶ τοῦ γραμματικοῦ δοῦλος καὶ τοῦ ῥήτο-
ρος, κατὰ συμβεβηκὸς δῆλον. ἡ δὲ τροφὴ καθ' αὑτὸ πρὸς τὸ ἔμψυχον
λέγεται.

p. 416b 11 Ἔστι δ' ἕτερον τροφῇ καὶ αὐξητικῷ εἶναι. 15

20 Καὶ τοῦτο τοῖς περὶ τροφῆς λόγοις οἰκεῖον. εἶπε δὲ τοῦτο καὶ ἐν
τοῖς Περὶ γενέσεως, ὅτι οὐ κατὰ τὸ αὐτὸ τρεφόμεθά τε καὶ αὐξόμεθα. 20
ἐπειδὴ γὰρ τὸ τρεφόμενον καὶ εἶδός ἐστι καὶ ποσόν τι, ὁμοίως δὲ καὶ ἡ
τροφή * * τρέφει τὸ τρεφόμενον (τροφῆς γὰρ ἴδιον τὸ σώζειν τὸ εἶδος, ⟨καὶ⟩
μέχρι τούτου ἐστίν, ἕως ἂν τρέφηται τὰ τρεφόμενα, κἂν μὴ αὐξάνῃ). ᾗ δὲ
25 ποσόν, αὔξει τῷ τρεφομένῳ προστιθεμένη ἡ τροφή. οὐκ αὔξεται δὲ ἀεὶ τὸ
τρεφόμενον, ὅταν ἡ ἀπόκρισις ἢ ἴση ᾗ ἢ πλείων τῆς ἐκ τῆς τροφῆς γινο-
μένης προσκρίσεως, ὡς εἶπεν ἐν τῷ Περὶ γενέσεως· καὶ οὕτως μέντοι ἡ
τροφὴ ὅσον ἐφ' ἑαυτῇ τῷ ποσῷ προστίθησιν. ἐπεὶ οὖν ἡ τροφὴ ἡ αὐτὴ
τρέφει τε καὶ αὔξει (ᾗ μὲν γὰρ δυνάμει ἐστὶν ὅπερ τὸ τρεφόμενον, τρέφει 25
30 τε καὶ σώζει τὸ εἶδος τοῦ τρεφομένου, ᾗ δὲ πεπόσωται, ταύτῃ δὲ αὔξει),
δῆλον ὅτι καὶ ἡ περὶ τὴν τροφὴν ἐνεργοῦσα δύναμις καὶ πέττουσα αὐτὴν
καὶ μεταβάλλουσα καὶ προσκρίνουσα τῷ σώματι, μία ἂν εἴη ἡ αὐτὴ
θρεπτική τε καὶ αὐξητική. ὅτε μὲν γὰρ οὕτως ἔχει τὸ τρεφόμενον, ὡς
οἷόν τε εἶναι καὶ τῷ ποσῷ αὐτοῦ προστιθέναι, οὐ μόνον τρέφει, ἀλλὰ καὶ
35 αὔξει· ὅτε δ' ἀδυνάτως ἔχει τὸ τρεφόμενον διὰ τὸ τῷ χρόνῳ καμεῖν,
τρέφει μέν, οὐκέτι δὲ καὶ αὔξει· ξηρότερα γὰρ ἑαυτῶν γινόμενα τὰ μόρια 30

---

4 τὸ alterum scripsi: τοῦ Dt 11 καθ' αὑτὸ scripsi: καθὸ αὐτὸ Dt 13 ὡς] ὁ D 17 fort. δηλονότι 20. 21 et 27 ἐν τοῖς Περὶ γενέσεως] A 5 p. 322a20 sqq. 23 lacunam indicavi: addendum est tale quid ᾗ μὲν δυνάμει ἐστὶν ὅπερ τὸ τρεφόμενον ἡ τροφή καὶ addidi 26 πλείων scripsi: πλείω Dt 28 ἡ αὐτὴ scripsi: αὕτη Dt 29 ᾗ scripsi: εἰ Dt 30 τε om. D ᾗ scripsi: ἡ D: εἰ t 36 τρέφει μὲν scripsi: τρεφόμενον Dt

οὐκέτι ἐπεκτείνεσθαι πέφυκε καὶ τῷ ποσῷ προστιθέναι. ὅθεν καὶ ταχεῖα i.2ᵛ
ἡ τῶν κομιδῇ νηπίων παιδίων αὔξησις γίνεται, καὶ ἐν ἄλλοις πολλάκις δύο
ἢ τρισὶν ἔτεσι δύο πήχεων προσθήκην λαβόντα ἐν ἄλλοις πλείστοις ἐλαχίστην
προσθήκην λαμβάνουσιν. ἤδη λοιπὸν ἐπὶ τὸ ξηρότερον ἀλλασσόντων τῶν
5 μορίων καὶ μὴ δυναμένων ἐπεκτείνεσθαι καὶ τῷ ποσῷ προστιθέναι, ἐπεὶ
ὅσον ἐπὶ τῇ θρεπτικῇ δυνάμει καὶ τῷ ποσῷ ἀεὶ προσετίθετο. καὶ ἄλλως
λοιπὸν ἀπορροῆς πλείονος γινομένης διὰ τὸ ἐπὶ φθίσιν ὁδεύειν τὸ ζῷον. 35
οὐκ ἐξαρκεῖ ἡ θρεπτικὴ δύναμις ἀνυφῆναί τε τὸ ἀπορρεῦσαν καὶ ἐπιπροσ-
θεῖναι τῷ ἐξ ἀρχῆς. ἐπεὶ οὖν ἡ θρεπτικὴ δύναμις ἡ αὐτή ἐστι καὶ
10 αὐξητική, εἰκότως θρεπτικῆς καὶ γεννητικῆς μόνης ἐμνήσθη, τὴν αὐτήν,
ὡς εἶπον, οἰόμενος τῇ θρεπτικῇ τὴν αὐξητικήν. καὶ γενέσεως ποιητι-
κὸν οὐ τοῦ τρεφομένου, ἀλλ' οἷον τὸ τρεφόμενον. εἰπὼν ὅτι ἡ
τροφὴ καὶ αὔξει καὶ τρέφει κατ' ἄλλο καὶ ἄλλο, λέγει ὅτι καὶ γεννήσεως
ποιητικὸν ἡ τροφή. εἴπερ τὸ σπέρμα περίττωμά ἐστι τῆς ἐσχάτης τροφῆς. 40
15 ὡς δείξει ἐν τοῖς Περὶ γενέσεως ζῴων. ἀμέλει καὶ πρὸς τὴν ποιότητα
καὶ πρὸς τὴν ποσότητα τῆς τροφῆς μᾶλλον ἢ ἧττον ἡ κίνησις τῶν ἀφρο-
δισίων γίνεται. οὐ τῆς τοῦ τρεφομένου δὲ γενέσεως ποιητικὸν ἡ τροφή
(οὐδὲν γὰρ αὐτὸ ἑαυτὸ γεννᾷ· ἔστι γὰρ ἤδη ἡ οὐσία αὐτοῦ) ἀλλ' οἷον
τὸ τρεφόμενον. πάντα γὰρ τὰ γεννῶντα ἐπὶ τὸ πλεῖστον καὶ κατὰ
20 φύσιν ἑαυτοῖς ὅμοια γεννᾷ· τῆς γὰρ ἀιδιότητος ἐφιέμενα οὕτως αὐτῆς
τυγχάνει, ὡς εἴρηκεν ἀνωτέρω, τῷ γεννᾶν ἄλλα οἷα αὐτά.

p. 416ᵇ17 Ὥσθ' ἡ μὲν τοιαύτη τῆς ψυχῆς ἀρχὴ δύναμίς ἐστιν 45
οἷα σώζειν τὸ ἔχον αὐτὴν ᾗ τοιοῦτον.

Εἰπὼν ὅτι ἡ τροφὴ σωστική ἐστι τοῦ τρεφομένου, καθό ἐστι τροφή,
25 ἐκ τούτου καὶ τὴν θρεπτικὴν εὑρίσκει ψυχὴν καὶ ὁρίζεται αὐτὴν ὅτι ἔστι 50
δύναμις οἵα τε οὖσα σώζειν τὸ ἔχον αὐτὴν ᾗ τοιοῦτον. τὸ δὲ ᾗ τοιοῦ-
τον ἀντὶ τοῦ κατ' αὐτὸ ἐκεῖνο τὸ εἶδος, τουτέστιν ἐν τῷ αὐτῷ εἴδει
σώζουσα τὸ τρεφόμενον. καὶ αὐτὸς μὲν τῆς θρεπτικῆς μόνης δυνάμεως
τὸν ὁρισμὸν ἀποδέδωκε, δυνατὸν δὲ ἐκ τούτου καὶ τῆς αὐξητικῆς καὶ τῆς
30 γεννητικῆς τὸν ὁρισμὸν ἀποδοῦναι. ἔστι γὰρ ἡ αὐξητικὴ δύναμις ψυχῆς
ἄγουσα εἰς τέλειον εἶδος τὸ ἔχον αὐτήν, εἰς ὃ γεγονὸς δύναται πάσας
ἐκτελεῖν τὰς φυσικὰς ἐνεργείας· γεννητικὴ δ' ἐστὶ δύναμις τῆς ψυχῆς οἵα
τε οὖσα παρασκευάζειν | τὸ ἔχον αὐτὴν ποιεῖν ἕτερον οἷον αὐτὸ κατ' i 3ʳ
ἔφεσιν τῆς ἐν τῷ πρώτῳ ἀιδιότητος. ἡ μὲν οὖν θρεπτικὴ δύναμις τοι-
35 αύτη· ἡ δὲ τροφή, φησί, παρασκευάζει τῇ θρεπτικῇ δυνάμει τὴν τοιαύτην
ἐνέργειαν· τροφῆς γὰρ μὴ οὔσης οὐκ ἐνεργεῖ ἡ θρεπτικὴ δύναμις. ἔστιν

1 καὶ (post πέφυκε) D²: om. D¹t 2 νηπίων om. D ἄλλοις scripsi: ὅλοις Dt
6 προσετίθετο] σετιθετο in litura, item καὶ ἄλλως D¹ 15 ἐν τοῖς Περὶ γενέσεως ζῴων]
A 18 p. 725ᵃ3 sqq. 17 τοῦ om. t 18 ἀλλ' οἷον Arist.: ἀλλοιοῦν Dt 19 τὸ
στρεφόμενον D 21 τὸ γεννᾶν t 32 γεννητικῆς t 33 παρασκευάζειν A: παρα-
σκευάζει Dt αὐτὸ A: om. Dt

οὖν ἡ τροφὴ σκευαστικὴ τῆς ἐνεργείας τῆς θρεπτικῆς δυνάμεως, καθ' ἣν i 3ʳ σώζεται τὸ ἔχον αὐτήν. διὸ ἀποστερηθὲν τροφῆς οὐ δύναται εἶναι τὸ ἔμψυχον· τοῦτο γάρ ἐστι τὸ τρεφόμενον. ἐπεὶ δέ ἐστι τρία, τὸ τρεφόμενον καὶ ᾧ τρέφεται καὶ τὸ τρέφον. ἐπειδὴ εἶπεν περὶ τροφῆς, βούλεται τὰ ἐξ αὐτῆς παρονομαζόμενα διορίσασθαι καὶ εἰπεῖν τί ἕκαστόν ἐστιν· ἔστι γάρ τι τὸ τρέφον καὶ τὸ τρεφόμενον καὶ ᾧ τρέφεται. τὸ μὲν οὖν τρέφον ἐστὶν ἡ πρώτη δύναμις τῆς ψυχῆς, ἥτις ἡ θρεπτική ἐστιν (εἴρηται δὲ πολλάκις διὰ τί πρώτη), τὸ δὲ τρεφόμενον τὸ ἔμψυχον σῶμα, καθὸ ταύτην ἔχει τὴν δύναμιν, τὸ δὲ ᾧ τρέφεται ἡ τροφή.

p. 416ᵇ23 Ἐπεὶ δὲ ἀπὸ τοῦ τέλους ἅπαντα προσαγορεύειν δίκαιον.

Ὡς γὰρ ἀπὸ τοῦ νοεῖν ὁ νοῦς προσαγορεύεται, καὶ ἀπὸ τοῦ αἰσθάνεσθαι ἡ αἴσθησις, τέλος δὲ καὶ τῆς θρεπτικῆς δυνάμεως, ἣν καλεῖ πρώτην ὡς κάτωθεν πρώτην, τὸ γεννῆσαι οἷον αὐτό (τὰ γὰρ τέλεια τῶν τρεφομένων καὶ μὴ πηρώματα πάντα γεννᾷ) δίκαιον καὶ ταύτην ἀπὸ τοῦ τέλους προσαγορεῦσαι, λέγω δὴ γεννητικήν, ἐπειδὴ τέλος αὐτῇ τὸ γεννῆσαι.

p. 416ᵇ25 Ἔστι δὲ ᾧ τρέφει διττόν, ὥσπερ καὶ ᾧ κυβερνᾷ, καὶ ἡ χεὶρ καὶ τὸ πηδάλιον.

Εἰπὼν τί ποτέ ἐστι τὸ ᾧ τρέφεται, ὅτι ἡ τροφή, προστίθησι καὶ τὸ ἕτερον νῦν ᾧ τρέφεται· τῇ μὲν γὰρ τροφῇ ὡς ὑλικῷ τρέφεται, τὸ δὲ νῦν προστιθέμενον τὸ ὀργανικόν ἐστι ᾧτινι ὡς δι' ὀργάνου τρέφεται. τοῦτο οὖν τὸ ὄργανον διττόν φησι, τὸ μὲν κινοῦν καὶ κινούμενον, τὸ δὲ μόνως κινούμενον, οὐκέτι δὲ καὶ κινοῦν. τὸ μὲν γὰρ ἔμφυτον θερμόν, ᾧτινι τρέφει ἡ ψυχὴ ὡς δι' ὀργάνου, καὶ κινεῖ καὶ κινεῖται· κινεῖται μὲν ὑπὸ τῆς θρεπτικῆς δυνάμεως, κινεῖ δὲ τὰ λοιπὰ μόρια, οἷον ὀδόντας, φλέβας, γαστέρα καὶ τὰ ἄλλα δι' ὧν ἡ τροφή, ἅτινα μόνως κινεῖται, οὐκέτι δὲ καὶ κινεῖ ἄλλο τι ὡς ὄργανον, ἀλλὰ τὴν τροφήν. ἐνεδείξατο δὲ τὸ διττὸν τοῦ ᾧ τρέφει ὡς δι' ὀργάνου τῇ τοῦ κυβερνήτου παραθέσει. καὶ γὰρ ἡ μὲν χεὶρ καὶ κινοῦν καὶ κινούμενον· κινεῖται μὲν γὰρ ὑπὸ ψυχῆς, κινεῖ δὲ τὸ πηδάλιον· τὸ δὲ πηδάλιον μόνως κινούμενον· οὐ γὰρ καὶ αὐτὸ ἄλλο κινεῖ ὄργανον, ἀλλὰ τὴν θάλατταν ἢ τὸ πλοῖον, ὥσπερ ἐκεῖνα τὴν

---

1 σκευαστικὴ] παρασκευαστικὴ A 2 δυνατὸν t 3 τρία om. t 6 καὶ (post τρέφον) om. D καὶ ᾧ τρέφεται om. D 12 προσαγορεύεται et 16 προσαγορεῦσαι D 15 πάντα scripsi: ταῦτα Dt 16 post δὴ add. τὴν t 18 τρέφει D Arist. Ty, cf. p. 288,5: τρέφεται t Arist. vulg. καὶ ante ᾧ D Arist. vulg.: om. t Arist. SUWX καὶ ante ἡ D Arist. EVy: om. t Arist. vulg. 20. 21 ὅτι — ὑλικῷ τρέφεται om. t 22 ᾧτινι scripsi coll. v. 25: τινὶ Dt 24 μόνον t 28 ἄλλο τι] ἀλλ' ὅτι t

τροφήν. οἱ δὲ τὴν τροφὴν φασι κινοῦν καὶ κινούμενον, ⟨κινούμενον⟩ μὲν i 3r
ὑπὸ τοῦ θερμοῦ, κινοῦν δὲ καθὸ τρέφει. κάλλιον δὲ κινοῦν μὲν καὶ κινού- 26
μενον λαβεῖν τὸ θερμόν, κινούμενον μὲν ὑπὸ ψυχῆς, κινοῦν δὲ τὴν τροφήν,
τὴν δὲ τροφὴν κινούμενον μόνον· οὐ γὰρ κινεῖ τὸ τρέφον ἐν τῷ τρέφειν. ὡς
5 δέδεικται. λέγει δὲ ὁ Ἀλέξανδρος καὶ ἄλλην ἐξήγησιν· τὸ γὰρ ᾧ τρέφει τὸ
διττὸν οὐκ ἐπὶ τῆς τροφῆς ληπτέον, φησί, νῦν, ἀλλὰ διττὸν λέγει τὴν θρεπτικὴν
ψυχὴν καὶ τὸ ἔμφυτον θερμόν. ὧν τὸ μέν ἐστιν ἀκίνητον ἡ θρεπτικὴ δύναμις
(αὕτη γὰρ οὐ κινουμένη κινεῖ), τὸ δὲ ἔμφυτον θερμὸν κινοῦν καὶ κινού- 30
μενον· κινεῖ μὲν γὰρ τὴν τροφήν, κινεῖται δὲ ὑπὸ τῆς δυνάμεως. ἡ δὲ
10 ἐξήγησις αὕτη ἁρμόζει ἂν πρὸς γραφὴν τὴν φερομένην οὕτως τὸ μὲν κινοῦν
καὶ κινούμενον, τὸ δὲ κινοῦν μόνον, δηλονότι αὐτὸ μὴ κινούμενον.
καὶ ἁρμόσοις ἂν πρὸς ταύτην τὴν γραφὴν τὸ παράδειγμα τὸ τοῦ κυβερνήτου
οὕτως· τὸ μὲν πηδάλιον κινοῦν καὶ κινούμενον, κινοῦν μὲν τὴν θάλατταν
ἢ τὸ πλοῖον, κινούμενον δὲ ὑπὸ τῆς χειρός, τὴν δὲ χεῖρα κινοῦν μόνον·
15 κινεῖ γὰρ τὸ πηδάλιον, οὐκέτι δὲ καὶ ὑπ' ἄλλου κινεῖται. τὰ γὰρ τῶν 35
συνεχῶν μόρια οὐ κινεῖται καθ' αὑτά, ἐπειδὴ μηδὲ ἐν τόπῳ καθ' αὑτά,
ὡς δέδεικται ἐν τῇ Φυσικῇ· συνεχὴς δὲ ἡ χεὶρ τῷ κυβερνήτῃ. καὶ
ἄλλως, ὅτι τὸ μὲν πηδάλιον ὑπό τινος ἐκτὸς ὄντος κινεῖται ὑπὸ τῆς χειρός,
ἡ δὲ χεὶρ οὐδὲν ἔξωθεν κινοῦν αὐτὴν ἔχει. εἰ μὲν οὖν ἡ γραφὴ ἔχοι
20 τὸ δὲ κινοῦν μόνον, ἡ τελευταία ἐξήγησις ἁρμόσει, εἰ δὲ τὸ κινούμενον
μόνον, αἱ λοιπαί.

p. 416ᵇ27 Πᾶσαν δ' ἀναγκαῖον τροφὴν δύνασθαι πέττεσθαι. 40

Εἰπὼν ὅτι διττὸν τὸ ᾧ τρέφει ἡ ψυχή, τί ἐστι πρὸς τῇ προειρη-
μένῃ τροφῇ ἄλλο δι' οὗ γίνεται διττὸν τὸ ᾧ τρέφει, νῦν λέγει· τὸ γὰρ
25 ἔμφυτον, φησί, θερμόν. εἶτα καὶ πῶς τρέφει ἐπήγαγε. δεῖ μὲν γάρ,
φησί, τὴν τροφὴν πέττεσθαι, τὸ δὲ τὴν πέψιν ἐργαζόμενον τὸ θερμόν
ἐστιν· ὥστε ταύτῃ τρέφει. εἰ δὲ πᾶν ἔμψυχον τρέφεται, ἡ δὲ τροφὴ ὑπὸ
τοῦ θερμοῦ πέττεται, ἀνάγκη ἄρα πᾶν ἔμψυχον ἔχειν θερμότητα. τύπῳ μὲν 45
οὖν ἡ τροφὴ τί ἐστιν εἴρηται· διασαφητέον δέ ἐστιν ὕστερον ὑπὲρ
30 αὐτῆς ἐν τοῖς οἰκείοις λόγοις. ὅτι διχῶς ἡ τροφή (καὶ γὰρ τὸ ἐναντίον
καὶ τὸ ὅμοιον), καὶ ὅτι τῶν αὔξειν δυναμένων ἐναντίων. καὶ ὅτι πέττεται καὶ
μεταβάλλει, καὶ ὅτι κατὰ ἄλλο τρέφει καὶ κατὰ ἄλλο αὔξει, καὶ ὅτι καθὸ
τρέφει σώζει τὸ τρεφόμενον, καὶ ὅτι καὶ γενέσεως ἡ αὐτὴ ἀρχὴ οὐ τοῦ

---

1 οἱ δὲ — κινοῦν καὶ om. D κινούμενον alterum addidi 6 φησί, νῦν] φησὶν μῦ (sic) D
11 κινοῦν μόνον] sic etiam Arist. codd. omnes praeter E, qui κινούμενον habet
17 ἐν τῇ Φυσικῇ] Δ 4 p. 211ᵃ29 sqq. 19 εἰ] ἡ t ἡ (ante γραφὴ) om. t
γραφὴ ἔχει t 20. 21 εἰ δὲ — λοιπαί om. t 22 ante πᾶσαν add. quae apud
Arist. proxime antecedunt τὸ μὲν κινοῦν — μόνον t πᾶσαν] fort. πᾶσιν D
δύνασθαι D Arist. vulg.: δυνάμει t: δυνατὸν Arist. y 23 τὸ ᾧ τρέφει scripsi: τῷ
τρέφει D: τὸ τρέφειν t 23. 24 τῇ εἰρημένῃ t 29 ἡ τροφὴ om. t
ὑπὲρ] περὶ Arist. 31 δυναμένων ἐναντίον t

τρεφομένου, ἀλλ' οἷον τὸ τρεφόμενον, καὶ ὅσα ἄλλα εἴρηται. διασαφητέον i 3r
δὲ περὶ αὐτῆς ὕστερον ἐν τοῖς οἰκείοις λόγοις. εἴρηκε μέν πως περὶ 50
τροφῆς καὶ ἐν τοῖς Περὶ γενέσεως, ἐρεῖ δ' ὕστερον καὶ ἐν τῇ Περὶ ζῴων
γενέσεως πραγματείᾳ, εἰς ἣν καὶ ὑπερτίθεται· ἐν ᾗ καὶ περὶ σπέρματος
5 ἐρεῖ, ὃ καὶ αὐτὸ τῆς τροφῆς ἐστι· περίττωμα γάρ, φησί, τροφῆς τὸ
σπέρμα ἐστί. διὸ καὶ τροφαί τινες πρὸς σπέρματος γένεσιν ἐπιτηδείως
ἔχουσιν, αἱ δ' ἐναντίως.

p. 416b32 Διωρισμένων δὲ τούτων λέγομεν κοινῇ περὶ πάσης αἰσθήσεως. |

10 Εἰπὼν περὶ τῆς πρώτης ψυχῆς. λέγω δὴ τῆς φυτικῆς ψυχῆς, ὅτι ἔστι i 3v
δύναμις ψυχῆς σωστικὴ τοῦ ἔχοντος αὐτὴν διὰ τῆς οἰκείας ἐνεργείας, ἥτις
παρουσίᾳ τροφῆς γίνεται, καὶ διὰ τούτου δείξας ὅτι ἔστιν ἐντελέχεια τοῦ
ἔχοντος αὐτὴν σώματος καὶ ἀχώριστος αὐτοῦ, μετελήλυθεν ἐπὶ τὸν τῆς
αἰσθητικῆς ψυχῆς λόγον· καὶ ὥσπερ ἐπὶ τῆς ψυχῆς ἁπλῶς πρότερον κοινὸν
15 λόγον ἀποδέδωκε περὶ πάσης ψυχῆς. εἶθ' οὕτως ἰδίᾳ περὶ τῶν κατὰ μέρος 5
ψυχῶν τὸν λόγον ποιεῖται, οὕτω καὶ ἐνταῦθα πρότερον κοινῶς περὶ πάσης
αἰσθήσεως διαλέγεται, εἶτα περὶ ἑκάστης ἰδίᾳ. ἀποδίδωσι δὲ κοινὸν λόγον
τῆς αἰσθητικῆς ψυχῆς· τὴν γὰρ αἴσθησιν εἶναι δύναμιν τῆς ψυχῆς δι'
ἀλλοιώσεως ὁμοιοῦσθαι τοῖς αἰσθητοῖς, ταύτῃ καὶ αἰσθητικὴν ψυχὴν ἐρεῖ.
20 ὅσα οὖν πρὸς τὸ ὁρίσασθαι καθόλου τὴν αἴσθησιν αὐτῷ χρήσιμά ἐστι,
ταῦτα προδιαστέλλεται. πρῶτον δὲ χρήσεται τῷ τε πάσχειν τὴν αἴσθησιν
καὶ τῷ ἀλλοιοῦσθαι. διαλέξεται δὲ καὶ περὶ τοῦ δυνάμει καὶ τοῦ ἐνερ- 10
γείᾳ, καί τινας ἀπορίας περί τε τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος καὶ περὶ
αἰσθήσεως ἀπορήσει καὶ ἐπιλύσεται.

25 p. 416b33 Ἡ δὲ αἴσθησις ἐν τῷ κινεῖσθαί τι καὶ πάσχειν συμβαίνει. καθάπερ εἴρηται· δοκεῖ γὰρ ἀλλοίωσίς τις εἶναι.

Πρῶτον ὅτι ἡ αἴσθησις ἐν τῇ τῶν αἰσθητῶν ἀντιλήψει τοιῶσδε ἢ
τοιῶσδε διατιθεμένη ἀλλοιοῦσθαι δοκεῖ· εἰ δὲ ἀλλοιοῦται, καὶ πάσχει· 15
πάθος γὰρ ἡ ἀλλοίωσις· εἰ δὲ πάσχει, καὶ κινεῖται. οὐχ ὡς αὐτῷ δὲ
30 δοκοῦντα ταῦτα λέγει τὸ τὴν αἴσθησιν ἀλλοιοῦσθαι καὶ πάσχειν, διὸ προσέ-
θηκε τὸ δοκεῖ· δείξει γὰρ προϊὼν πῶς ἕκαστον τούτων ἐπὶ ψυχῆς λέγε-
ται, ὅτι οὐ κυρίως οὔτε ἀλλοιοῦσθαι οὔτε πάσχειν λέγεται ἡ αἴσθησις.
τὸ δὲ καθάπερ εἴρηται εἶπεν, ἐπεὶ πρὸ ὀλίγου δεικνὺς ὅτι ἡ ψυχὴ

---

3 ἐν τοῖς Περὶ γενέσεως] A 5 3. 4 ἐν τῇ Περὶ ζῴων γενέσεως] A 18 p. 724b26 sqq. 4 καὶ (post εἰς ἣν) om. t περὶ σπέρματος] σπέρματα D 8 λέγομεν Dt Arist. VWX: λέγωμεν Arist. vulg. 10 δὴ scripsi: δὲ Dt 18 αἴσθησιν] δύναμιν D post αἴσθησιν fort. addendum λέγων 19 ταύτῃ καὶ om. D 22. 23 τῇ ἐνεργείᾳ D 23 τοῦ ante πάσχοντος om. D 25 τι D Arist. STWX: τε t Arist. vulg. 27. 28 τοιῶσδε ἢ τοιῶσδε A: τοιῶς ἢ τοιῶς Dt

καὶ ὡς ὅθεν ἄρχεται κινήσεως αἰτία τῶν ζῴων ἐστίν, ἔδειξεν ὅτι οὐ μόνον i 3ᵛ
οὐσήσεως καὶ τῆς κατὰ τόπον κινήσεως, ἀλλὰ καὶ ἀλλοιώσεώς ἐστιν 20
αἰτία, προχειρισάμενος τὸ τὴν αἴσθησιν ἀλλοίωσιν εἶναι. ἡ οὖν αἴσθησις
ἀλλοίωσις, ἡ δὲ ἀλλοίωσις κίνησις, ἡ αἴσθησις ἄρα ἐν τῷ ἀλλοιοῦσθαί τε
5 καὶ κινεῖσθαί ἐστι.

p. 416ᵇ35 Φασὶ δέ τινες καὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν.

Εἰπὼν δὲ τὴν αἴσθησιν ἐν τῷ κινεῖσθαι καὶ πάσχειν συμβαίνειν εἰς
ἀπορίαν καθόλου ἐκτίθεται ἐν τούτοις, πῶς πάσχει τὸ πάσχον ὑπὸ τοῦ 25
ποιοῦντος, πότερον τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχει ἢ τὸ ἐναντίον ὑπὸ
10 τοῦ ἐναντίου. δοκεῖ γὰρ ἑκάτερον ἔχεσθαί τινος λόγου· οὔτε γὰρ τὸ
πάντῃ ἕτερον πάθοι ἂν ὑπὸ τούτου ᾧ κατὰ μηδὲν κοινωνεῖ (οὐ γὰρ
πάθοι ἂν λευκότης ὑπὸ γλυκύτητος· οὐδὲν γὰρ αὐτοῖς κοινόν· οὐδὲ θερμό-
της ὑπὸ λευκότητος) οὔτε μὴν τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάθοι ἄν· λευκότης
γὰρ πρὸς τὴν ὁμοίαν λευκότητα οὐδὲν δράσει· οὐ γὰρ τὸ τυχὸν εἰς τὸ τυχὸν 30
15 δρᾷ, τὸ δ' ἐναντίον εἰς τὸ ἐναντίον· λευκότης γὰρ ὑπὸ μελανίας πείσεται καὶ
φύξις ὑπὸ θερμότητος καὶ τοὔμπαλιν. δόξει οὖν καὶ εὔλογον εἶναι καὶ τὸ
ἐναντίον ὑπὸ τοῦ ἐναντίου πάσχειν καὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου. ταύ-
την οὖν τὴν ἀπορίαν ἐπιλυσάμενος διὰ ταύτης εὑρήσει καὶ ὅπως ἡ αἴσθησις
ὑπὸ τῶν αἰσθητῶν πάσχει, πῇ μὲν ὁμοία οὖσα, πῇ δὲ ἀνομοία, ὅτι δυνά-
20 μει ὁμοία τοῖς κατ' ἐνέργειαν αἰσθητοῖς, εἴ γε πάσχει μὲν ὑπὸ τούτων, τὸ
δὲ πάσχον ὑπὸ τοῦ οὕτως ὁμοίου πάσχει. λέγω δὴ δυνάμει μὲν ὁμοίου, 35
ἐνεργείᾳ δ' ἀνομοίου καὶ ἐναντίου, ὡς δείξει. ταύτην δὲ τὴν ἀπορίαν
ἐπελύσατο μὲν καὶ ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς· ταύτην γὰρ ἐδήλωσε
τὴν πραγματείαν εἰπὼν ὅτι εἴρηται μὲν ἐν τοῖς καθόλου λόγοις·
25 οὐκ ἀνταπέδωκεν ὅτι ῥηθήσεται δὲ καὶ νῦν. ὁ μέντοι γε Ἀλέξανδρος λέγει
φέρεσθαι καὶ τοιαύτην γραφὴν 'λεκτέον δὲ καὶ νῦν'. εἰ δὲ καὶ μὴ προσ-
γέγραπται τοῦτο, οὐδὲν ἧττον δεῖ προσυπακούειν αὐτὸ τοῦτο· ὡς γὰρ
ὁμολογούμενον αὐτὸ παρῆκεν, ἐρεῖ δὲ ἐν τοῖς ἐφεξῆς περὶ αὐτοῦ τούτου.

p. 417ᵃ2 Ἔχει δὲ ἀπορίαν, διὰ τί οὐ καὶ τῶν αἰσθήσεων αὐτῶν 40
30 γίνεται αἴσθησις.

Ἀπορήσας καθόλου πότερον τὸ πάσχον ὑπὸ τοῦ ὁμοίου πάσχει ἢ
τοῦ ἀνομοίου, πρὶν ἐπιλύσασθαι ταύτην τὴν ἀπορίαν ἑτέραν ἐπισυνάπτει

---

1 ἄρχεται] fort. ἀρχὴ τῆς 3 τὸ Diels: τῷ Dt 6 καὶ] κατὰ D 7 Εἰπὼν scripsi: ἐπεὶ Dt συμβαίνει t εἰς om. t 9 ἢ τὸ — πάθοι ἂν (11) in ras. D¹ 11 ἂν om. t ᾧ scripsi: ὡς Dt: ὃ A κοινωνοῦν t 12 ἂν λευκότης ὑπὸ t: λευκότης ἐπὶ D 18 εὑρήσει] εἴρηκε t 21 δὲ om. D¹, sed supra add. D² λέγω δὲ t 23 ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς] A 7 p. 323ᵇ17 sqq. 24 εἴρηται μὲν Dt Simpl.: εἴρηται Arist. SV: εἰρήκαμεν Arist. vulg. 25 γε om. t 28 δὲ om. D 29 ἀπορίαν] πορίαν in lit. D¹, ut vid.

ἀπορίαν, καὶ διὰ τῆς λύσεως τῆς δευτέρας ἐπιλύεται καὶ τὴν προτέραν· i 3v
τοῦτο γὰρ ἔθος τῷ Ἀριστοτέλει. τίς οὖν ἡ ἀπορία; εἰ ἡ αἴσθησις,
φησίν, ἀντιληπτική ἐστι τῶν αἰσθητῶν, αἰσθητὰ δὲ καὶ τὰ αἰσθητήρια,
δι' ὧν αἰσθανόμεθα, διὰ τί οὐχὶ καὶ τούτων ἡ αἴσθησις ἀντιλαμβάνεται,
καὶ μηδενὸς ἔξωθεν παρόντος: οἷον διὰ τί ὁ ὀφθαλμὸς οὐχ ὁρᾷ ἑαυτὸν
συγκείμενός τε ἐκ τούτων ἅ ἐστιν ὁρατά, λέγω δὴ τῶν στοιχείων; ἠπόρησε
δὲ ταύτην τὴν ἀπορίαν, οἰκείαν μὲν οὖσαν καὶ ἄλλως τοῖς περὶ αἰσθήσεως
λόγοις, νῦν δ' ὅτι καὶ ἡ λύσις αὐτῆς συνίστησι τὸ τὴν αἴσθησιν ἐν τῷ
πάσχειν τε καὶ ἀλλοιοῦσθαι συμβαίνειν. τίς οὖν ἡ λύσις τῆς ἀπορίας;
φησὶν οὖν ὅτι ἡ αἴσθησις δυνάμει μόνον ἐστὶ τοῦτο ὅπερ ἐστί, πᾶν δὲ τὸ
δυνάμει προάγεται εἰς ἐνέργειαν ὑπό τινος ἐνεργείᾳ ὄντος· οὐκοῦν καὶ ἡ
αἴσθησις δυνάμει οὖσα προάγεται εἰς ἐνέργειαν ὑπὸ τοῦ αἰσθητοῦ, αἰσθη-
τοῦ δὲ τοῦ ἔξωθεν. πᾶν δὲ τὸ δυνάμει εἰς ἐνέργειαν προαγόμενον ὑπὸ
τοῦ ὁμοίου προάγεται ἐνεργείᾳ ἤδη ὄντος. τὸ γὰρ σκληρὸν ὑπὸ ψυχροῦ
κατὰ συμβεβηκὸς γίνεται· τῷ γὰρ ψυχρὸν γενέσθαι παρηκολούθησε τὸ
σκληρόν, ὡς ἐπὶ κρυστάλλου. καὶ ἡ αἴσθησις ἄρα δυνάμει οὖσα ὑπὸ τοῦ
ὁμοίου προάγεται | εἰς ἐνέργειαν ἐντελεχείᾳ ἤδη ὄντος· ὥστε ἡ αἴσθησις i 4r
δυνάμει ἐστὶν ὅπερ τὸ αἰσθητόν. πῶς δὲ λέγεται τοῦτο, διαρθρώσει
προϊών. ἀλλ' εἰ ὑπὸ τοῦ αἰσθητοῦ προάγεται εἰς ἐνέργειαν, αἰσθητὸν δὲ
καὶ τὸ αἰσθητήριον ἐν ᾧ ἡ αἴσθησις, διὰ τί μὴ καὶ ὑπὸ τούτου προάγε-
ται εἰς ἐνέργειαν; ἄλλως τε εἰ μὴ οἷά τέ ἐστιν ἡ αἴσθησις τοῦ οἰκείου
αἰσθητηρίου ἀντιλαμβάνεσθαι αἰσθητοῦ γε ὄντος, τί δήποτε τῶν ὑπερβολῶν
αὐτοῦ ἀντιλαμβάνεται; τῆς μὲν γὰρ κατὰ φύσιν θερμασίας τῆς ἐν τῷ
παντὶ σώματι ἡ ἁπτικὴ αἴσθησις οὐκ ἀντιλαμβάνεται· ἐπειδὰν μέντοι εἰς
ἀμετρίαν ἡ ἐν ἡμῖν θερμότης ἐκπέσῃ, ὡς ἐπὶ τῶν πυρετῶν, τὸ τηνικαῦτα
αἰσθάνεται ταύτης. καὶ ἡ ὄψις ὁμοίως τοῦ μὲν ὀφθαλμοῦ κατὰ φύσιν
ἔχοντος οὐκ ἀντιλαμβάνεται, οἷον ποιόν ἐστι τὸ τῶν ὑγρῶν ἢ τὸ τῶν
χιτώνων χρῶμα· ἐπειδὰν μέντοι παρὰ φύσιν τι πάθῃ, ὡς ἐπὶ τῶν ἰκτερι-
ώντων, τῆς ἐν τῷ ὀφθαλμῷ ὠχριάσεως αἴσθησιν ἴσχει· διὸ οἴονται πάντα
ὠχρὰ εἶναι. ὁμοίως εἰ καὶ ἄλλος τις χυμὸς ἐνσκήψοι ἐν τῷ κρυσταλλο-
ειδεῖ, καὶ τοῦ χρώματος καὶ τοῦ σχήματος αὐτοῦ ἀντιλαμβάνεται. ὅθεν
καὶ ἐν ταῖς ἀρχαῖς τῶν ἐπιχύσεων, πρὶν τελείως κωλυθῇ ἡ ἐνέργεια τῆς
κόρης σκεπασθείσης, ἐν πᾶσι δοκοῦσιν ὁρᾶν κωνώπια καί τινα τοιαῦτα. φαμὲν
οὖν πρὸς ταύτην τὴν ἀπορίαν, λέγω δὴ διὰ τί μὴ αἰσθάνεται ἡ αἴσθησις τοῦ
οἰκείου αἰσθητηρίου, αἰσθητοῦ γε ὄντος καὶ αὐτοῦ ἐκείνου, φαμὲν ὅτι οὐχ
ὡσαύτως ἥ τε αἴσθησις τοῦ αἰσθητοῦ ἀντιλαμβάνεται. καὶ ὁ νοῦς τῶν νοητῶν.
ὁ μὲν γὰρ νοῦς ἐμπεριέχων τὸ γνωστὸν κύριός ἐστι τῆς αὐτοῦ ἐνεργείας, καὶ

---

2 τῷ D: om. t ἡ (post εἰ) A: om. Dt 11 post ἐνεργείᾳ unam litt. eras. habet D 12 τοῦ αἰσθητοῦ] αἰσθητοῦ in lit. D[1] 15 τῷ] τὸ D[1], sed corr. D[2], ut vid. 17 post ὥστε add. καὶ t 19 ἀλλ' εἰ A: καὶ εἰ Dt 23 τῷ om. t 28 χιτώνων A: χειτόνων Dt 28. 29 ἰκτεριώντων] ὠχριώντων t 30 ἐν σκήψοι AD: ἐν σκήψῃ t 32 ἐπιχύσεων A Suid. s. v. Ὀφθαλμός: ἐπικλύσεων Dt 33 ἐν om. D 34 λέγω δὲ t

ὑπ' οὐδενὸς ἐμποδίζεται, ὅταν βούληται τὴν οἰκείαν προβαλέσθαι ἐνέργειαν, i 4r
ἐν ἑαυτῷ. ὅπερ εἶπον, ἔχων τὰ νοητά· αὐτὸς γὰρ εἰς ἑαυτὸν ἐπιστρέψας
πάντα ὁρᾷ· ἡ δὲ αἴσθησις ἐκτὸς ἔχει τὸ γνωστόν· διὸ οὐκ ἄλλως γινώ-
σκει ἢ πρὸς τὸ ἔξω ἀποταθεῖσα, τοῦτο δὲ ἐπεὶ μηδὲ χωριστὰς ἔχει τὰς
5 ἐνεργείας· οὐ γὰρ αὐτὴ εἰς ἑαυτὴν ἐπιστρέφειν δύναται, ἐπειδὴ ἐν ὑποκει-
μένῳ τὸ εἶναι ἔχει τῷ ἰδίῳ αἰσθητηρίῳ, καὶ μετὰ τούτου τὴν ἀντίληψιν 20
τῶν αἰσθητῶν ποιεῖται. εἰκότως οὖν οὐχ οἵα τέ ἐστιν ἡ αἴσθησις τοῦ
ἰδίου αἰσθητηρίου ἀντιλαμβάνεσθαι. εἰ γὰρ μετ' αὐτοῦ τῶν αἰσθητῶν
θιγγάνει διὰ τὸ ἐν αὐτῷ τὸ εἶναι ἔχειν, καὶ τῷ θιγγάνειν τούτῳ τῶν
10 αἰσθητῶν οὕτως αὐτῶν ἀντιλαμβάνεται, εἰ δ' ἂν τοῦ οἰκείου αἰσθη-
τηρίου ἀντίληψιν ἐποιεῖτο. θιγγάνουσα δήπου αὐτοῦ ἀντελαμβάνετο αὐτοῦ,
θιγγάνειν δ' ἄνευ αὐτοῦ οὐ δύναται, αὐτὸ ἄρα τὸ αἰσθητήριον ἑαυτοῦ
θιγγάνειν ἦν ἀνάγκη, καὶ αὐτὸ εἰς ἑαυτὸ ἐπιστρέφειν. ἀλλ' οὐχ οἷόν τέ 25
ἐστι σῶμα ὂν αὐτὸ ἑαυτοῦ θιγγάνειν· οὐδ' ἄρα τὸ αἰσθητήριον σῶμα ὂν
15 αὐτὸ ἑαυτοῦ ἅψεται. εἰ δὲ μὴ ἅψεται, οὐδὲ ἡ ἐν αὐτῷ αἰσθητικὴ δύναμις
ἀντιλήψεται αὐτοῦ· οὕτω γὰρ ἡ τῶν αἰσθητῶν ἀντίληψις ἐγίνετο, κατὰ
θίξιν μὲν τοῦ αἰσθητηρίου πρὸς τὸ αἰσθητόν, κρίσιν δὲ καὶ ἀντίληψιν τῆς
ἐν αὐτῷ αἰσθητικῆς δυνάμεως. μία μὲν οὖν αἰτία αὕτη, δευτέρα δὲ ὅτι
δεῖται τοῦ μεταξὺ ἀέρος· διὸ τῆς λήμης ἐν τῷ ὀφθαλμῷ οὔσης οὐκ ἀντι-
20 λαμβανόμεθα· καὶ οὐδὲ τοῦ μεταξὺ ὡς ἔτυχεν ἀέρος ἔχοντος, ἀλλὰ πεφω- 30
τισμένου. ὥστε εἰ ἡ αἴσθησις δυνάμει ὅπερ τὸ αἰσθητόν, τὸ δὲ αἰσθη-
τὸν τῷ ποιεῖν τι εἰς τὴν αἴσθησιν ἄγει αὐτὴν εἰς τὴν οἰκείαν ἐνέργειαν,
τὸ δὲ ποιοῦν εἰς πάσχον ποιεῖ, πᾶν δὲ τὸ πάσχον κινεῖται, ἡ ἄρα
αἴσθησις ὑπὸ τῶν αἰσθητῶν πάσχει τε καὶ κινεῖται. εἰ δὲ ἡ μὲν
25 αἴσθησις δυνάμει ἐστίν, ἐνεργείᾳ δὲ τὸ αἰσθητόν, τούτων δὲ τὸ μὲν ποιεῖ
τὸ δὲ πάσχει, τὸ ἄρα πάσχον δυνάμει μὲν ὅμοιόν ἐστι τῷ ποιοῦντι, ἐνερ-
γείᾳ δὲ ἀνόμοιον. ἐπιλέλυται ἄρα καὶ ἡ προτέρα ἀπορία διὰ τῆς δευτέ-
ρας. εἰ δὲ τὸ αἰσθητικὸν δυνάμει ὂν πάσχει ὑπὸ τοῦ αἰσθητοῦ καὶ 35
γίνεται ἐνεργείᾳ αἰσθητικόν, πάσχει δὲ τὸ πάσχον ὑπὸ τοῦ ἀνομοίου, οὐδὲν δὲ
30 αὐτὸ ἑαυτῷ ἀνόμοιον, οὐδὲν ἄρα αὐτὸ ὑφ' ἑαυτοῦ πάσχει. εἰκότως ἄρα τὸ
αἰσθητικὸν ἑαυτοῦ οὐκ ἀντιλαμβάνεται, ἐπειδὴ μηδὲ πάσχει αὐτὸ ὑφ' ἑαυτοῦ.
λέγω δὴ τὸ συναμφότερον, τὴν αἰσθητικὴν δύναμιν σὺν τῷ αἰσθητηρίῳ. καὶ
ἔστιν αὕτη τρίτη καὶ μάλιστα κυριωτάτη αἰτία τοῦ μὴ τὰς αἰσθήσεις τῶν
ἰδίων αἰσθητηρίων ἀντιλαμβάνεσθαι· τοῦ συναμφοτέρου γὰρ ἡ ἀντίληψις, καὶ 40
35 τοῦτό ἐστι τὸ πάσχον ὑπὸ τῶν αἰσθητῶν· ἕτερον οὖν τὸ ποιοῦν ἐξ ἀνάγ-
κης ὀφείλει. τί οὖν; οὐ συναισθανόμεθα ἑαυτῶν θερμότερον διακειμένων

---

1 βούλεται t 2 ἔχων] ἔχον D¹, corr. D² εἰς t: om. DA 5 αὕτη t
9 θιγγάνει A: θιγγάνοι Dt τούτῳ A: om. Dt 10 δ' ἂν Dt: om. A
11 ἀντελαμβάνετο] addendum ἂν 15 αὐτὸ ἑαυτοῦ scripsi: ἑαυτὸ ἑαυτὸ D: ἑαυτοῦ t
18 ἐν αὐτῷ] ἑαυτοῦ t 19 λήμης in ras. A²: μλης Dt 20 post ἀντιλαμβανόμεθα
add. τῶν αἰσθητῶν Suid. ἀέρος A Suid.: om. Dt 21 εἰ ἡ] εἴη t 24 τε
om. t 30 ἄρα τὸ A: ἄρα ἔτι τὸ t: ἔτι τὸ D 31 ὑφ' ἑαυτὸ D 32 δὴ A:
δὲ Dt 34 post καὶ add. εἰ t

ἢ ψυχρότερον ἤ τι τοιοῦτον ἀπὸ δυσκρασίας τῶν ἐν ἡμῖν στοιχείων; καὶ i 4r
ὀπηνίκα δὲ τὸ κρυσταλλοειδὲς ἀπό τινος πάθους χρωματισθῇ, δοκοῦμεν
τῷ αὐτῷ χρώματι καὶ τὸν ἀέρα καὶ τὰ ἄλλα ὁρατὰ κεχρῶσθαι. λέγουσι
πρὸς τοῦτο κάλλιστα καὶ οἱ ἰατροί, ὅτι πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς
5 νόσοις ἑαυτῶν αἰσθανόμεθα, οὐκ αὐτῶν τῶν αἰσθητικῶν νεύρων ἢ τῶν 45
σαρκῶν τεθερμασμένων, ἀλλὰ τῶν ὑγρῶν αἵματός τε καὶ πνεύματος.
ἐπεὶ οὖν ἡ αἰσθητικὴ δύναμις πρώτως ἐν σαρξίν ἐστι καὶ νεύροις, εἰκότως
τῶν ὑγρῶν δυσκράτως ἐχόντων, πνεύματος λέγω καὶ αἵματος, παρακει-
μένων τε τοῖς αἰσθητικοῖς μορίοις τῇ θίξει ἀντιλαμβανόμεθα αὐτῶν, ὥσπερ
10 καὶ τοῦ ἀέρος τεθερμασμένου ἢ κατεψυγμένου τῇ θίξει διὰ τὴν παράθεσιν
ἀντιλαμβανόμεθα. κἂν αὐτῶν δὲ τῶν στερεῶν ἅψηται ὁ πυρετός, ἐπειδὴ
μὴ ὁμαλῶς θερμαίνεται ἀλλ' ἀνωμάλως, πάντως εἰσί τινα μὲν μόρια κατὰ 50
φύσιν ἔχοντα, τινὰ δὲ παρὰ φύσιν. συμβαίνει οὖν τὰ ἔτι κατὰ φύσιν
ἔχοντα ἀντιλαμβάνεσθαι τῶν παρὰ φύσιν διακειμένων· ἀδύνατον γὰρ ὁμα-
15 λὴν γενέσθαι τὴν δυσκρασίαν· τότε γὰρ ἐπὶ φθορὰν λοιπὸν τὸ ζῷον
ὁδεύει. αὕτη οὖν αἰτία τῆς συναισθήσεως. καὶ ὅτι τοῦτο ἀληθές ἐστιν,
οἱ ἑκτικῷ κατεχόμενοι λοιπὸν πυρετῷ, τοῦτο δέ ἐστιν οἱ τὰ στερεὰ
αὐτὰ πυρέττοντες, ὁμαλῆς γενομένης ἐν αὐτοῖς τῆς δυσκρασίας δι' ὅλων
τῶν στερεῶν συναίσθησιν οὐδεμίαν τῆς ἐν αὐτοῖς θερμασίας | λαμβάνουσι, i 4v
20 διὰ τὸ ὁμαλὴν εἶναι δι' ὅλων τῶν μορίων τὴν θερμασίαν καὶ μὴ εἶναι τὸ
μὲν ποιοῦν, τὸ δὲ πάσχον, ὥσπερ οὖν οὐδὲ οἱ ἐκ φύσεως ἐπὶ τὸ θερμό-
τερον κεκραμένοι συναίσθονται αὐτοῦ τούτου, διὰ τὸ ὁμαλὴν εἶναι δι'
ὅλου τὴν θερμότητα, ἄλλως τε καὶ διὰ τὸ σύνηθες, ἐπεὶ καὶ τῶν ἐν τῇ
γαστρὶ καὶ τοῖς ἄλλοις κοιλώμασιν ὑγρῶν τὴν κατὰ φύσιν μὲν συμμετρίαν
25 ἐχόντων οὐκ αἰσθανόμεθα, ὅταν δὲ παρὰ φύσιν ἐπὶ τὸ πλεῖον ἢ ἔλαττον 5

---

2 δὲ om. t 12 ὁμαλῶς] ὁ καλῶς t 13. 14 τινὰ δὲ — ἔχοντα A, cf. Suid. s. v. Νόσος: om. Dt 17 κατεσχέμενοι D

---

23 Post σύνηθες haec habet A, ex quibus perpauca modo infra in vulgata leguntur: ὅτι ἡ τῶν αἰσθητῶν ἀντίληψις οὐδὲν ἕτερόν ἐστιν ἢ κρίσις τοῦ πάθους τοῦ ἐγγενομένου τῷ αἰσθητηρίῳ ὑπὸ τῶν αἰσθητῶν. τοῦ γὰρ αἰσθητηρίου τοίως ἢ τοίως διατεθέντος ὑπὸ τοῦ αἰσθητοῦ ἡ ἐν αὐτῷ δύναμις τοῦ πάθους τοῦ ἐγγινομένου τῷ ἰδίῳ ὑποκειμένῳ ἀντιλαμβάνεται. καὶ τοῦτό ἐστι τὸ αἰσθάνεσθαι, ἡ ὑπὸ τῆς αἰσθητικῆς δυνάμεως κρίσις τοῦ πάθους τοῦ ἐγγινομένου τῷ αἰσθητικῷ (l. αἰσθητηρίῳ) ὑπὸ τῶν αἰσθητῶν. ἐπεὶ οὖν οὐκ ἄνευ τοῦ αἰσθητηρίου ἀντιλαμβάνεται τῶν αἰσθητῶν ἡ αἴσθησις, ἡ δὲ ἀντίληψις οὐδὲν ἄλλο ἐστὶν ἢ κρίσις τοῦ πάθους τοῦ ἐγγινομένου τῷ αἰσθητηρίῳ, πάσχει δὲ οὐδὲν ὑφ' ἑαυτοῦ ἀλλ' ὑφ' ἑτέρου καὶ ἀνομοίου, εἰκότως κατὰ φύσιν μὲν ἐχόντων τῶν αἰσθητηρίων οὐκ αἰσθανόμεθα, ἅτε μηδενὸς ἐγγενομένου πάθους ἐν αὐτοῖς. ὅταν δὲ ὑπό τινος παρὰ φύσιν ὄντος χυμοῦ πάθῃ τι τὸ αἰσθητήριον, εἰκότως ἡ αἴσθησις ἀντιλαμβάνεται τοῦ ἐγγινομένου ἐν αὐτῷ πάθους. ὥσπερ γὰρ τὸ ἔξω αἰσθητὸν τοιῶσδε διέθηκε τὸ αἰσθητήριον καὶ τῆς τοιᾶσδε διαθέσεως ἡ αἴσθησις ἀντελάβετο, οὕτω δὴ καὶ ὁ ἐγγενόμενος ἐντὸς παρὰ φύσιν χυμὸς διατίθησιν αὐτό. καὶ εἰ ἐντὸς γέγονεν, φησίν, τὸ πάθος καὶ μὴ ὑπὸ τῶν ἔξωθεν, διὰ τί μὴ καὶ μόνοντες αἰσθανόμεθα τοῦ ἐν τῷ αἰσθητηρίῳ ἐγγενομένου πάθους; φημὶ οὖν ὅτι πρὸς τὴν ἀντίληψιν τῶν αἰσθητῶν οὐ μόνον τῆς αἰσθήσεως δεῖ καὶ τῶν αἰσθητῶν, ἀλλὰ καὶ τοῦ μεταξύ, καὶ τούτου διαφανοῦς, καὶ

χωρήσῃ, τότε συναίσθησιν αὐτῶν λαμβάνομεν. κατὰ φύσιν μὲν γὰρ ἔχον i 4v
τὸ ζῷον ἡδονῆς καὶ λύπης ἐξῄρηται, ἀγόμενον δὲ ἐπὶ τὸ κατὰ φύσιν μὲν
αὐτοῦ τούτου τὸ συναισθόμενον ἥδεται, ἐπὶ δὲ τὸ παρὰ φύσιν λυπεῖται.
περὶ δὲ τοῦ συνισταμένου χυμοῦ ἐν τῷ ὄμματι, πῶς αὐτὸν ὁρῶμεν, καὶ
5 πῶς κατὰ φύσιν μὲν ἔχοντος τοῦ αἰσθητηρίου οὐκ ἀντιλαμβανόμεθα αὐτοῦ,
παρὰ φύσιν δὲ ἔχοντος ἀντιλαμβανόμεθα, οὔπω διὰ τῶν εἰρημένων ἐπι-
λέλυται· ὁ γὰρ εἰρημένος λόγος μόνῃ τῇ ἁπτικῇ αἰσθήσει ἁρμόζει. 10
ἀλλὰ μὴν καὶ ἡ γεῦσις κατὰ φύσιν μὲν ἔχοντος τοῦ γευστικοῦ αἰσθητηρίου
οὐκ ἀντιλαμβάνεται τοῦ χυμοῦ τοῦ ἐνυπάρχοντος τῇ ἐν τῷ αἰσθητηρίῳ
10 ὑγρότητι, παρὰ φύσιν δὲ ἔχοντος ἀντιλαμβάνεται, ὥσπερ ἐν ταῖς νόσοις
πικρότητος, εἰ τύχοι, καὶ ἁλμυρότητος καὶ τῶν τοιούτων.

---

5 μὲν ἔχοντος scripsi: μετέχοντος Dt 7 ἁπτικῇ] ἁμπτικῇ D

πρὸς τούτοις τοῦ φωτός. ἀμέλει οὔτε τὴν λήμην ἐπικειμένην τῷ ὀφθαλμῷ ὁρῶμεν, κἂν φῶς ᾖ, διὰ τὸ μὴ εἶναι τὸ μεταξὺ τοῦ τε ὄμματος καὶ τῆς λήμης ἢ βραχὺ πάνυ εἶναι, οὔτε ἐν νυκτὶ τὰ παρακείμενα χρώματα, ἔξωθεν λέγω, ὁρῶμεν, καίτοι τοῦ μεταξὺ ὄντος, διὰ τὸ μὴ εἶναι φῶς. διὰ τοῦτο οὖν μόνοντες οὐχ ὁρῶμεν. ὅταν δὲ προέλθῃ εἰς τὸ ἔξωθεν τὸ ὀπτικὸν πνεῦμα εἰς τὸν πεφωτισμένον ἀέρα, ἐπειδὴ ἔξεισι δηλονότι πεπονθός τι ἢ [εἴη A] παρὰ φύσιν ἔχον, τότε ἡ ἐν αὐτῷ αἰσθητικὴ δύναμις ὀργάνῳ χρησαμένη τῷ πεφωτισμένῳ ἀέρι αἰσθάνεται τοῦ γενομένου πάθους ἐν τῷ ἰδίῳ ὑποκειμένῳ, καὶ ἐπειδὴ ἔξω ἐξελθόντος τοῦ ὀπτικοῦ πνεύματος ἡ ἐν αὐτῷ δύναμις ἔξω τοῦ ὄμματος ἀντελάβετο αὐτοῦ, διὰ τοῦτο τὸ ἐν τῷ ἰδίῳ αἰσθητηρίῳ πάθος τοῖς ἔξωθεν περιάπτει, ὥσπερ καὶ ἡ γεῦσις τὴν ἰδίαν τοῦ χυμοῦ ποιότητα τοῖς σιτίοις περιτίθησιν.) ἀλλὰ καὶ οἱ σκοτοδινιῶντες τοῖς ἔξωθεν τὸ οἰκεῖον προσνέμουσι πάθος. τοῖς μὲν οὖν τὸ ὀπτικὸν ὑποτιθεμένοις πνεῦμα οὕτω τὰ τῆς ἀπορίας ἐπιλυθήσεται πιθανῶς, οἶμαι, καὶ οὐ βιαίως. τί δ' ἂν εἴποιεν οἱ τὰς ἐνεργείας ὑποτιθέμενοι; τί δ' ἄλλο γε ἢ ὅπερ καὶ ἐπὶ τῶν ἀνακλάσεων λέγουσιν, ὅτι πεφύκασι κλᾶσθαι αἱ ἐνέργειαι; κἀνταῦθα οὖν τοῦ γενομένου ἐν τῷ ὄμματι χρώματος ἐξιοῦσαν τὴν ἐνέργειαν ἀνακλᾶσθαι ἐκ τοῦ ἀέρος διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως τὴν ἐκ τῆς παρὰ φύσιν διαθέσεως τοῦ αἰσθητηρίου, καὶ οὕτω φοιτῶσαν πρὸς τὸ ὄμμα τὴν ἀντίληψιν ἡμῖν ἑαυτῆς παρέχειν. οὐχ ὁμοίως δὲ τούτοις εὐοδώσει ὁ λόγος· διὰ τί γὰρ μὴ καὶ τοῦ χρώματος τοῦ κερατοειδοῦς αἰσθανόμεθα καὶ τῶν λοιπῶν τῶν ἐν τῷ ὄμματι; τί γὰρ κωλύει καὶ τούτου τὴν ἐνέργειαν ἐξελθοῦσαν ἀνακλασθῆναι πάλιν; τὰ γὰρ χρώματα εἴτε παρὰ φύσιν ἔχουσιν τὰ ὑποκείμενα εἴτε μή, αὐτὰ ὡς χρώματα ὁρᾷ, καὶ ὅσον εἰσὶν εἰλικρινέστερα, μᾶλλον ὁρᾷ, κἂν μυριάκις παρὰ φύσιν ὦσιν ἐν τῷ ὑποκειμένῳ. ἡ οὖν ἐν τῷ σώματι λεύκη καὶ ἡ ἐν τοῖς ἱκτεριῶσιν ὠχρίασις οὐδὲν ἧττον ὁρῶσιν εἰς τὴν αἴσθησιν ἢ ἐν ἄλλοις ὑποκειμένοις κατὰ φύσιν οὖσαι. τὸ χρῶμα γάρ ἐστιν τὸ ὁρῶν, οὐ τὸ ὑποκείμενον. καὶ τὰ δοκοῦντα δὲ κωνώπια ὁρᾶσθαι ἔξωθεν τοῖς ἐπιχύεσθαι (sic) μέλλουσιν ἐκ τῆς αὐτῆς αἰτίας συμβαίνει· τῆς ἐμφράξεως γὰρ γενομένης ὑπὸ παχέος χυμοῦ, ἢ [ἢ A] ἐν τῷ ὀπτικῷ νεύρῳ περὶ τὴν κόρην κατ' ἐκεῖνο τὸ μόριον καθ' ὃ ὁ χυμὸς ἐνέσκηψεν ἐπιπροσθήσεως γινομένης καὶ μὴ δι' ὅλου τῶν ὄψεων ἀντίληψιν ποιουμένων δοκεῖ διὰ τὴν ἀορασίαν εἶναί τι, διὰ τὸ πανταχόθεν μὲν τὴν αἴσθησιν ἀντιλαμβάνεσθαι, κατ' ἐκεῖνο δὲ τὸ μέρος μόνον ἐπιπροσθεῖσθαι. πρὸς δὲ τὸ τοῦ χυμοῦ σχῆμα, ὅπερ ἔσχεν ἐκ τῆς τοιᾶσδε διαθέσεως, ἔτι δὲ καὶ πρὸς τὸ μέγεθος καὶ τὰ ἔξωθεν φανταζόμενα ὑποφαίνεται.

p. 417a4 Ἐνόντος πυρὸς καὶ γῆς καὶ τῶν ἄλλων στοιχείων, ὧν i 4v
ἐστιν ἡ αἴσθησις καθ' αὑτὰ ἢ τὰ συμβεβηκότα τούτοις.

Τὰ γὰρ στοιχεῖα ἔχει ποιότητας τὰς μὲν οὐσιώδεις αὐτῶν καὶ συμ- 15
πληρωτικάς, τὰς δὲ κατὰ συμβεβηκός. τῶν μὲν οὖν οὐσιωδῶν ποιοτήτων
5 τῶν στοιχείων ἡ ἁφή ἐστιν ἀντιληπτική, οἷον θερμότητος, ψυχρότητος,
ὑγρότητος, ξηρότητος· αὗται μὲν γὰρ αἱ ποιότητες εἰδοποιοὶ αὐτῶν εἰσι·
τῶν δὲ κατὰ συμβεβηκὸς αὐτοῖς ὑπαρχόντων, οἷον χρωμάτων, ψόφων,
ὀσμῶν καὶ τῶν ἄλλων αἱ ἄλλαι αἰσθήσεις εἰσὶν ἀντιληπτικαί. τὸ δὲ καθ'
αὑτὰ ἢ τὰ συμβεβηκότα τούτοις ἀντὶ τοῦ καθ' αὑτῶν ἢ τῶν συμ-
10 βεβηκότων τούτοις· εὐθείαις γὰρ ἐχρήσατο ἀντὶ γενικῶν. πολλὴ δὲ ἡ 20
τοιαύτη χρῆσις· "οἱ δὲ δύο σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει" ἀντὶ
τοῦ τῶν δὲ τῶν δύο σκοπέλων.

p. 417a6 Δῆλον οὖν ὅτι τὸ αἰσθητικὸν οὐκ ἔστιν ἐνεργείᾳ, ἀλλὰ
δυνάμει μόνον.

15 Ἐντεῦθεν ἡ λύσις τῆς ἀπορίας. ἐπειδὴ γάρ, φησί, δυνάμει ἐστὶν ἡ 25
αἴσθησις καὶ οὐκ ἐνεργείᾳ, οὐκ ἀντιλήψεται μὴ παρόντος τοῦ ποιητικοῦ
αὐτῆς καὶ προακτικοῦ εἰς τὴν ἐνέργειαν, ὥσπερ οὐδὲ τὸ καυστὸν μὴ
παρόντος πυρὸς οὐ καίει αὐτὸ ἑαυτό, οἷον τὸ ξύλον ἢ τὸ ἔλαιον. ἀναλογεῖ
οὖν τῷ μὲν πυρὶ τὸ αἰσθητόν, τῷ δὲ καυστῷ ἡ αἰσθητικὴ δύναμις.

20 p. 417a9 Ἐπειδὴ δὲ τὸ αἰσθάνεσθαι λέγομεν διχῶς· τό τε γὰρ
δυνάμει ἀκοῦον καὶ ὁρῶν ἀκούειν καὶ ὁρᾶν λέγομεν. 30

Ἐπειδὴ εἶπεν δυνάμει εἶναι τὴν αἴσθησιν μὴ παρόντων τῶν αἰσθητῶν,
γίνεσθαι δ' ἐνεργείᾳ παρόντων, αὐτὸ τοῦτο πιστώσασθαι βούλεται. ὥσπερ
γάρ, φησί, τὸ αἰσθανόμενον διττόν ἐστι, τὸ μὲν κατὰ τὴν ἕξιν, καθάπερ
25 λέγομεν αἰσθητικὸν εἶναι τὸν καθεύδοντα ἄνθρωπον, τὸ δὲ κατὰ τὴν ἐνέρ-
γειαν, ὡς τὸν ἐγρηγορότα καὶ ἤδη ἐνεργοῦντα κατὰ τὰς αἰσθήσεις, οὕτω, 35
φησί, καὶ ἡ δύναμις ἡ αἰσθητικὴ καὶ ἡ ἐνέργεια αὐτῆς, αὐτὸ λέγω τὸ
αἰσθάνεσθαι, διχῶς λέγεται, τὸ μὲν δυνάμει, λέγω δὴ τὸ τὴν ἕξιν ἔχον μὴ
μέντοι ἐνεργοῦν, καὶ τὸ ἤδη ἐνεργοῦν. τὸ μὲν οὖν πρῶτον αἰσθάνεσθαι
30 ἀντὶ τοῦ αἰσθανομένου ἔλαβε, τουτέστιν αὐτὸ τὸ σύνθετον· τὸ δὲ διχῶς
ἂν λέγοιτο καὶ ἡ αἴσθησις, τουτέστιν ἡ αἰσθητικὴ δύναμις· τὸ δὲ
ὁμοίως δὲ καὶ τὸ αἰσθάνεσθαι αὐτὴν τὴν ἐνέργειαν. ὅθεν δῆλον
ὅτι τὸ ἐπειδὴ τὸ αἰσθάνεσθαι ἀντὶ τοῦ αἰσθανόμενον ἔλεγε. 40

---

5. 6 θερμότης ψυχρότης ὑγρότης ξηρότης (corr. ex ξηρότητος) D 11 οἱ δὲ — ἱκάνει] Od. M 73 12 τοῦ τῶν scripsi: τούτων Dt 17 πρακτικοῦ D[1], sed o supra add. D[2] 23 δ' om. t 25. 26 τὸν δὲ κατ' ἐνέργειαν t 28 δὴ scripsi: δὲ Dt 28. 29 exspectas ἔχειν et ἐνεργεῖν

p. 417a14 Πρῶτον μὲν οὖν ὡς τοῦ αὐτοῦ ὄντος τοῦ πάσχειν καὶ i 4r
τοῦ κινεῖσθαι καὶ ἐνεργεῖν λέγομεν.

Εἰπὼν καὶ ἀπορήσας διὰ μέσου, διὰ τί οὐχὶ καὶ ἑαυτῶν αἱ αἰσθήσεις 45
αἰσθάνονται, καὶ ἀποδοὺς τὴν αἰτίαν τούτου ὅτι μὴ πάρεστι τὸ ποιητικόν,
5 μεταβαίνει ἐπὶ τὸ δεῖξαι, πῶς πάσχον πῇ μὲν ὡς ὑπὸ ὁμοουσίου πάσχει,
πῇ δὲ ὡς ὑπὸ ἀνομοίου. δυνάμει μὲν οὖν ἡ λύσις τῆς δευτέρας ἀπορίας
ἐπελύσατο καὶ τοῦτο, ὥσπερ ἐδείξαμεν· ἐταῦθα μέντοι καὶ ἰδίᾳ αὐτὸ τοῦτο
δείκνυσιν. ἐπειδὴ οὖν τὸ ἐνταῦθα λεγόμενον ἀκόλουθον τῇ λέξει τῇ "φασὶ
δὲ καὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν· τοῦτο δὲ πῶς δυνατὸν ἢ
10 ἀδύνατον. εἴρηται μὲν καὶ ἐν τοῖς καθόλου λόγοις περὶ τοῦ ποιεῖν καὶ τοῦ 50
πάσχειν"· οἷς εἰ προσθείημεν 'λεκτέον δὲ καὶ νῦν', ἐφεξῆς ἂν εἴη τὸ νῦν
λεγόμενον πρῶτον μὲν οὖν ὡς τοῦ αὐτοῦ ὄντος τοῦ πάσχειν καὶ
τοῦ κινεῖσθαι καὶ ἐνεργεῖν λέγομεν. ἐπειδὴ δὲ εἶπεν ὅτι ἡ αἴσθησις
ἐν τῷ κινεῖσθαι ἢ πάσχειν συμβαίνει, καὶ διὰ τοῦτο ὅλως ἠπόρησεν περὶ
15 τοῦ πάσχειν. ὑπὸ τίνος γίνεται καὶ πῶς, πότερον ὑπὸ ὁμοίου. ὡς τισι
δοκεῖ, ἢ ὑπὸ ἀνομοίου, ὡς ἑτέροις, οὐ δοκεῖ δὲ αὐτὸ τοῦτο ὑγιὲς εἶναι τὸ
τὴν αἴσθησιν πάσχειν καὶ ἀλλοιοῦσθαι | ἁπλῶς (οὐ γὰρ τὸ ἐνεργεῖν i 5r
παρ' ἄλλου κινεῖσθαί τε καὶ πάσχειν, τὸ αἰσθάνεσθαι, ὡς δείξει ἐφεξῆς)
νῦν φησιν ὅτι λέγομεν ὡς τοῦ αὐτοῦ ὄντος τοῦ πάσχειν εἰπεῖν τὰς αἰσθή-
20 σεις καὶ κινεῖσθαι ἢ ἐνεργεῖν, μέχρις ἂν διαστελλώμεθα, ὅτι οὐκ ἔστι τὸ
ἐνεργεῖν τὰς αἰσθήσεις ταὐτὸν τῷ κινεῖσθαί τε καὶ πάσχειν. κἂν γάρ
ἐστιν ἡ κίνησις ἐνέργειά τις, ἡ μὲν ἐνέργεια καθολικωτέρα ἐστὶ τῆς
κινήσεως, ἡ δὲ κίνησις τοῦ πάσχειν. πᾶν μὲν γὰρ τὸ πάσχον καὶ κινεῖ- 5
ται, τὸ δὲ κινούμενον πᾶν ἐνεργεῖ, οὐκέτι μέντοι τὸ ἐνεργοῦν καὶ κινεῖται.
25 ἐνέργεια μὲν γάρ ἐστιν, ὡς αὐτὸς διωρίσατο ἐν τῇ Φυσικῇ ἡ ἀθρόα προ-
βολὴ ἀπὸ τῆς ἕξεως, κίνησις δὲ ἀτελής ἐστιν ἐνέργεια· ἡ γὰρ ἀπὸ τοῦ πρώτου
δυνάμει ἐπὶ τὴν ἕξιν ὁδὸς κίνησίς ἐστι. ᾗ μὲν οὖν ἡ κίνησις ἐνέργειά τις
ἀτελής, ταύτῃ ταὐτὸν δόξει εἶναι ἡ ἐνέργεια καὶ ἡ κίνησις· ᾗ δὲ ἡ ἐνέρ-
γεια οὐκ ἔστιν ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόοδος, ταύτῃ οὐ ταὐτὸν
30 ἡ κίνησις τῇ ἐνεργείᾳ. καὶ γὰρ ὥσπερ ἡ διάθεσις λέγεται μὲν καὶ κοινό-
τερον καὶ ἐπὶ τῆς ἕξεως, λέγεται δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῆς ἕξεως ἰδικώ- 10
τερον, οὕτω δὴ καὶ ἡ ἐνέργεια λέγεται καὶ κοινότερον καὶ κατὰ πάσης κινή-
σεως, λέγεται δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῆς κινήσεως, διότι κίνησις μέν
ἐστιν ἡ ἐκ τοῦ πρώτου δυνάμει ἐπὶ τὸ δεύτερον πρόοδός τινος τῶν περὶ

---

2 ἐνεργεῖν D Arist. EVWy: τοῦ ἐνεργεῖν t Arist. vulg. λέγομεν D Arist. plerique: λέγωμεν Arist. EV: λέγω μέν t 5 fort. πῶς τὸ πάσχον 8 ἐπειδὴ οὖν] fort. εἴη δ' ἂν τῇ (post λέξει) om. t 9 δὲ (post φασὶ) om. t δέ τινες καὶ Arist. 15 ὑπὸ τοῦ ὁμοίου t 17 οὐ γὰρ τὸ om. D post ἐνεργεῖν add. τὸ t 19 τοῦ πάσχειν scripsi: πάσχειν τὸ Dt 21 κἂν Diels: καὶ Dt 25 ἐν τῇ Φυσικῇ] cf. Phys. Γ 2 p. 201b31 sqq. 27 ἡ om. t 28 ἡ (post ᾗ δὲ) om. t 31 καὶ (post δὲ) om. t 32 δὴ] δὲ t 33 πρὸς] κατὰ t

τὴν οὐσίαν σωζομένης αὐτῆς τῆς οὐσίας, ἐνέργεια δέ ἐστιν ἡ τελεία προ- i 5r
βολὴ τῆς ἕξεως μηδὲν τῆς ἕξεως ἀλλοιοτέρας γινομένης. καὶ ἔστι τῷ
ὄντι τελεία ἐνέργεια ἡ ἀθρόα προβολὴ τῆς ἕξεως ἡ μὴ συμπροϊοῦσα τῇ
κινήσει τοῦ χρόνου, ἀλλὰ κατὰ πᾶν μέρος αὐτοῦ ὁμοίως ἔχουσα, οἷα ἐστὶν 15
ἡ τοῦ φωτὸς προβολή· ἅμα γὰρ τῷ φανῆναι τὸ φωτιστικὸν ἀθρόον πᾶν
τὸ ἐπιτήδειον καταλάμπεται, οὐ συμπροϊούσης τῆς τοῦ φωτὸς ἐνεργείας τῇ
τοῦ χρόνου κινήσει, ἀλλ' ἐν παντὶ μέρει αὐτοῦ ὁμοίως ἐχούσης. τοιαύτη
ἐστὶ καὶ ἡ τῆς αἰσθήσεως ἐνέργεια· ἅμα γὰρ τῷ ἀναβλέψαι ἀχρόνως τῶν
αἰσθητῶν ἀντιλαμβανόμεθα· ὅθεν οὐδέ φησι κινεῖσθαι τὰς αἰσθήσεις, ἀλλ'
ἐνεργεῖν. τοῦτο μὲν οὖν ἐνέργεια κυρίως· διὸ καὶ περὶ τῶν θείων εἶπεν 20
ὅτι ἄνευ δυνάμεως ἐνέργειαί εἰσι. κίνησις δ' οἷον ἡ μάθησις ἡ τῆς ἕξεώς
ἐστι μεταβολὴ κατὰ μέρος ἐπὶ τὸ τέλειον ἀπὸ τοῦ ἀτελοῦς. μεταξὺ δὲ
τούτων εἰσὶν αἱ διανοητικαὶ κινήσεις ἤτοι ἐνέργειαι, καὶ εἴ τι ταύταις
ὅμοιον, αἵτινες οὔτε κυρίως κινήσεις εἰσίν (οὐ γάρ ἐστι μεταβολὴ τῆς
ἕξεως) οὔτε καθάπαξ ἐνέργειαι· οὐδὲ γὰρ ὁμοίως ἔχουσιν ἐν παντὶ μέρει
χρόνου, οὐδὲ ἀθρόα αὐτῶν ἀπὸ τῆς ἕξεως ἡ προβολὴ γίνεται, ἀλλὰ ἄλλη
πρὸ ἄλλης πρότασις, ἔσχατον δὲ τὸ συμπέρασμα. οὔτε οὖν ἁπλῶς κίνη-
σις τὸ τοιοῦτον οὔτε ἁπλῶς ἐνέργεια, εἰ μὴ τὴν κυρίως ἐνέργειαν διέλοι 25
τις εἴς τε τὴν ἀθρόαν καὶ ἀμερῆ καὶ εἰς τὴν μεριστήν. ὅθεν καὶ ἐν τοῖς
ἔμπροσθε καὶ τὴν διάνοιαν κίνησιν ἔλεγεν εἶναι τοῦ συναμφοτέρου. ἀλλὰ
καὶ ἡ διάνοια καθ' ἕκαστον τῶν ὅρων ἀθρόαν ἴσχει τὴν προσβολήν, καὶ
ἔστιν ἕκαστον ὡς γνωστόν τι λαβεῖν, ὅπερ ἐπὶ τῆς κινήσεως, τῆς φυσικῆς
λέγω, οὐ συμβαίνει. εἰ γὰρ καὶ ἀθρόον ἑκάστην τῶν προσαποδεδομένων
κινεῖται, ἀλλ' οὐ πάντως καὶ τέλος φυσικὸν τὸ τοιοῦτον ἐνδέχεται γενέσθαι,
οἷον ὡς ἐπὶ τῶν κατὰ τόπον κινουμένων τὸ μεταξύ· οὔτε γὰρ τῶν βαρέων 30
οὔτε τῶν κούφων φυσικὸν τοῦτο πέρας. ταύτῃ οὖν ἐνέργειά πως καὶ ἡ
διάνοια. ὥσπερ οὖν ἐπὶ πλέον ἡ ἐνέργεια τῆς κινήσεως, οὕτω καὶ ἡ κίνη-
σις τοῦ πάθους. τὸ μὲν γὰρ πάσχον καὶ κινεῖταί πως· οὐκ ἄνευ γὰρ
κινήσεως τὸ πάθος· τὸ κινούμενον δὲ οὐ πάντως καὶ πάσχει· οὐ γὰρ δὴ
πάθος καὶ ἡ κατὰ τόπον κίνησις. τὸ γὰρ πάσχειν πρὸς τὸ ποιεῖν λέγεται,
ποιεῖν δέ ἐστι τὸ κατὰ ποιότητα μεταβάλλειν· ἐκ γὰρ τῆς ποιότητος τὸ
ποιεῖν· καὶ πάσχειν ἄρα ἐστὶ τὸ κατὰ ποιότητα κινεῖσθαι καὶ μεταβάλλε- 35
σθαι. ὥστε εἰ κίνησις μὲν ἐν ταῖς τρισὶ κατηγορίαις, ποσῷ, ποιῷ, ποῦ, τὸ δὲ
πάσχειν μόνως ἐν τῷ ποιῷ, ἐπὶ πλέον ἄρα ἡ κίνησις τοῦ πάθους· ἡ δ'
ἐνέργεια τῆς κινήσεως. πῇ δὲ τὰ αὐτά, διότι τὶς μὲν ἐνέργεια κίνησις,
τὶς δὲ κίνησις πάθος. οὐχ ὡς γένος δὲ ἡ ἐνέργεια τῆς κινήσεως κατη-
γορεῖται, οὐδὲ ἡ κίνησις τοῦ πάθους, ἀλλ' ὡς ὁμώνυμος φωνή. δείξει
μὲν αὐτῶν μετ' ὀλίγον τὴν διαφοράν, ὡς εἶπον· νῦν δὲ ὡς τῶν αὐτῶν

---

2 ἀλλοιωτέρας t 10 εἶπεν] cf. de interpr. 13 p. 23a23 17 ἔσχατον A: ἐσχάτου Dt 19 τὴν (ante ἀθρόαν)] τὸ D 21 fort. προβολήν 23 προαποδεδομένων t 24 κινεῖται scripsi: γίνεται Dt 26 ταύτῃ scripsi: ἡ ταύτης Dt πως scripsi: πῶς Dt 33 ταῖς om. t 34 ἄρα At: ἔτι D 35 μὲν ἐνέργεια A: post μὲν add. ἡ Dt ἡ κίνησις t 36 τὸ πάθος t

ὄντων λέγει, πῶς καὶ ὑπὸ τίνος κινεῖταί τε καὶ πάσχει τὸ πάσχον. ὅλως i 5ʳ
δὲ κέχρηται τούτοις ὡς τοῖς αὐτοῖς, ὅτι τε πῇ ταὐτά εἰσιν, ὡς εἴπομεν, 10
καὶ αὐτὸς τῇ συνηθείᾳ ἑπόμενος ἐχρήσατο τούτοις ὡς τοῖς αὐτοῖς· καὶ
ἀνωτέρω γοῦν, ἔνθα ἔλεγε τὴν ψυχὴν αἰτίαν εἶναι ὡς ὅθεν ἡ ἀρχὴ τῆς
5 κινήσεως, ἔλεγεν αὐτὴν καὶ ἀλλοιώσεως αἰτίαν εἶναι· εἶναι γὰρ τῆς αἰσθή-
σεως αἰτίαν, ταύτην δὲ ἀλλοίωσιν εἶναι· ἡ δὲ ἀλλοίωσις πάθος. ὡς τῶν
αὐτῶν οὖν ὄντων ἐπὶ τῆς αἰσθήσεως τοῦ τε ἐνεργεῖν καὶ κινεῖσθαι καὶ
πάσχειν, περὶ τοῦ πάσχειν πῶς γίνεται λέγει. τὸ γὰρ πάσχον, φησίν, ὑπὸ
ποιοῦντος πάσχει· πρὸς ἄλληλα γὰρ τὸ ποιεῖν καὶ τὸ πάσχειν. ἐδείχθη 15
10 δὲ ἐν τῇ Φυσικῇ ὅτι τὸ ποιητικόν τινος ἐνεργείᾳ ὂν ποιεῖ εἰς τὸ πάσχον,
δυνάμει ὂν ὅπερ τὸ ποιοῦν. εἰ δὴ τὸ πάσχον μηδέπω ὂν ἐνεργείᾳ ἀλλὰ
δυνάμει τοῦτο γίνεται ὑπὸ τοῦ ποιητικοῦ αὐτοῦ ὄντος ἐνεργείᾳ τοιούτου,
κατὰ μέν τι ὑπὸ τοῦ ὁμοίου πείσεται (δυνάμει γὰρ ὅμοιον τῷ ποιοῦντι τὸ
πάσχον), κατὰ δέ τι ὑπὸ τοῦ ἀνομοίου (ἐνεργείᾳ γὰρ ἀνόμοιόν ἐστι· τὸ
15 γὰρ δυνάμει τι εἶναι καὶ τὸ ἐνεργείᾳ ἀνόμοιον)· ὅταν μέντοι πάθῃ, ὅμοιόν
ἐστι· τέλος γὰρ τοῦ τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν τὸ ὁμοιωθῆναι τὸ 50
πάσχον τῷ ποιοῦντι. μέχρι γὰρ τοσούτου τὸ θερμαῖνον θερμαίνει τὸ
δυνάμει μὲν θερμόν, ἐνεργείᾳ δὲ ψυχρόν, ἕως ἂν ἑαυτῷ ὁμοίως θερμὸν
ποιήσῃ· γενόμενον δὲ ὅμοιον οὐκέτι πάσχει ὑπ' αὐτοῦ· οὐδὲν γὰρ ὑπὸ
20 τοῦ ὁμοίου πάσχει. εἰ γὰρ καὶ πάσχει τὸ λυχνιαῖον φῶς ὑπὸ τῆς λαμπά-
δος (σβέννυται γὰρ ὑπ' αὐτῆς), ἀλλ' ὡς ὑπὸ ἀνομοίου πάσχει· ὡς γὰρ
ἔνδεια ὑπὸ ὑπερβολῆς πάσχει· δύο γὰρ λαμπάδες ἰσοσθενεῖς οὐδὲν ὑπ'—
ἀλλήλων πείσονται. | i 5ᵛ

p. 417ᵃ21 Διαιρετέον δὲ καὶ περὶ δυνάμεως καὶ ἐντελεχείας.

25 Μέλλων διαίρεσιν ποιεῖσθαι τοῦ πάσχειν καὶ τοῦ ἐνεργεῖν καὶ δείξειν
αὐτῶν τὴν διαφοράν (εἶπεν γὰρ ὅτι νῦν τέως ὡς τοῦ αὐτοῦ ὄντος τοῦ
πάσχειν καὶ τοῦ κινεῖσθαι καὶ ἐνεργεῖν λέγομεν) φησὶ δεῖν διαίρεσιν ποιήσα-
σθαι καὶ δυνάμεως καὶ ἐντελεχείας. ἐχρήσατο γὰρ τῷ τῆς δυνάμεως
ὀνόματι ἐπὶ τῆς αἰσθήσεως καὶ ἔλυσε τούτῳ τὴν ἀπορίαν ἣν ἠπόρησε, 5
30 διὰ τί ἡ αἴσθησις οὐκ αἰσθάνεται αὑτῆς. ἀλλὰ καὶ διεῖλε τὴν αἴσθησιν εἰς
τὴν δυνάμει καὶ εἰς τὴν ἐνέργειαν κατὰ τὰ αὐτὰ τῷ αἰσθάνεσθαι· καὶ γὰρ
τοῦτο ἔδειξε διχῶς λεγόμενον. ἐπεὶ οὖν μὴ ἁπλοῦν ἐστι τὸ ὄνομα τῆς
δυνάμεως, καθόλου περὶ δυνάμεως καὶ ἐντελεχείας διαστείλασθαι προαιρεῖ-
ται, τίνι τε ἀλλήλων διαφέρει, καὶ τί ἐστιν ἕκαστον αὐτῶν, καὶ ποσαχῶς
35 τὸ δυνάμει. δι' ὧν δείξει ἅμα ὅτι οὐκ ἔστιν ἡ αἴσθησις ἡ κατ' ἐνέργειαν
ἀλλοίωσις οὐδὲ κίνησις· οὐ γὰρ τὸ ὁπωσοῦν δυνάμει ὂν εἰς τὴν ἐνέργειαν 10

---

5. 6 εἶναι γὰρ — αἰτίαν t: αἰσθήσεως γὰρ αἰτία D 8 πάσχον scripsi: πάσχειν Dt
10 ἐν τῇ Φυσικῇ] Θ 4 p. 255ᵃ23 sqq. 13 μέν τι] μέν τοι t 15 μέντοι] μέν τι D 16 τοῦ τὸ Diels: τοῦτο ADt τὸ (ante ὁμοιωθῆναι) A: τῷ Dt 16. 17 τὸ πάσχον At: τῶ πάσχον D 20 καὶ om. t 27 δεῖν scripsi: δεῖ Dt
29 τούτων t 30. 31 εἰς τὴν] ὥστῃ D

μεταβάλλον ἀλλοιοῦται, ᾧ μέχρι νῦν ὡς οὕτως ἔχοντι, διὰ τὸ μὴ διῃρῆ- 1 5ᵛ
σθαι ποσαχῶς τὸ δυνάμει, ἐκέχρητο.

p. 417ᵃ22 Νῦν γὰρ ἁπλῶς λέγομεν περὶ αὐτῶν.

Ἁπλῶς, τουτέστιν ἀδιορίστως περί τε τῆς δυνάμεως καὶ ἐντελεχείας
5 λέγομεν μὴ εἰδότες τὴν διαφορὰν αὐτῶν, καὶ τί ἕκαστον σημαίνει. καὶ
ποσαχῶς λέγεται. νῦν δὲ εἶπεν, ἐπειδὴ τῷ μὲν δυνάμει ἐπὶ τῆς αἰσθή-
σεως πρὸ ὀλίγου ἐχρήσατο, τῷ δὲ ἐνεργείᾳ ὄντι καὶ τῇ ἐνεργείᾳ ἐπὶ τοῦ 15
ποιεῖν καὶ πάσχειν· πάντα γὰρ πάσχειν ἔφη ὑπὸ τοῦ ποιητικοῦ καὶ ἐνερ-
γείᾳ ὄντος· ἢ νῦν εἶπε μέχρι τῆς ὑπ' αὐτοῦ γενομένης διαιρέσεως τοῦ
10 δυνάμει καὶ τοῦ ἐνεργείᾳ.

p. 417ᵃ22 Ἔστι μὲν γὰρ οὕτως ἐπιστῆμόν τι ὡς ἂν εἴποιμεν
ἄνθρωπον ἐπιστήμονα, ὅτι ὁ ἄνθρωπος τῶν ἐπιστημόνων καὶ
ἐχόντων ἐπιστήμην.

Διαστέλλεται τὸ δυνάμει καὶ δείκνυσι διττόν. καὶ γὰρ τὸ πεφυκὸς 20
15 καὶ δυνάμενον τὴν ἕξιν δέξασθαι δυνάμει τοιοῦτον λέγομεν, ὡς τὸν ἄνθρω-
πον ἐπιστήμονα δυνάμει λέγομεν, ὅτι ἡ φύσις αὐτοῦ ἐπιστήμης ἐστὶ δεκτική,
καθ' ὃ σημαινόμενον καὶ τὴν ὕλην λέγομεν δυνάμει, καὶ ἔτι δυνάμει
λέγομεν τὸ ἤδη τὴν ἕξιν ἔχον καὶ μὴ ἐνεργοῦν κατ' αὐτήν· καὶ γὰρ ὁ
μουσικὸς ὅταν μὴ ἐνεργῇ, δυνάμει λέγεται μουσικός. αὕτη δέ ἐστιν ἡ
20 δύναμις, ἣν ἐν τοῖς ἔμπροσθεν εἶπεν τὴν πρώτην ἐντελέχειαν, ἐν ᾗ καὶ 25
τὴν ψυχὴν ἔδειξεν οὖσαν· ἐν μεθορίῳ μὲν γάρ ἐστι τῆς τε πρώτης δυνά-
μεως καὶ τῆς δευτέρας ἐνεργείας· διὸ καὶ ἀμφοτέρως ὀνομάζεται. καὶ
τίς ἡ τοῦ δυνάμει ἑκατέρου διαφορά, διαστέλλεται σαφῶς λέγων.

p. 417ᵃ26 Ἑκάτερος δὲ τούτων οὐ τὸν αὐτὸν τρόπον δυνατός
25 ἐστιν, ἀλλ' ὁ μὲν ὅτι τὸ γένος τοιοῦτον καὶ ἡ ὕλη, ὁ δὲ ὅτι
βουληθεὶς δυνατὸς θεωρεῖν, ἂν μή τι κωλύσῃ τῶν ἔξωθεν.

Ὁ γὰρ ἄνθρωπος κοινῶς ἐπιστήμων λέγεται, ὅτι ἡ φύσις ἡ τοῦ 31
ἀνθρώπου ἐπιστήμης δεκτική ἐστι· τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ γένος καὶ
ἡ ὕλη, ἀντὶ τοῦ ἡ φύσις αὐτὴ τοῦ ἀνθρώπου καὶ αὐτὸ τὸ ὑποκείμενον·
30 γένος γὰρ λέγει καὶ τὸ ὑποκείμενον. κατὰ τοῦτο τὸ σημαινόμενον καὶ τὴν
ὕλην ἔφαμεν δυνάμει· πᾶσα γὰρ ὕλη δυνάμει ἐστὶν ἐκεῖνο οὗ ἔστιν ὕλη,
τῷ δύνασθαι δέξασθαι αὐτό. ἄλλο δὲ σημαινόμενον τοῦ δυνάμει λέγεται 35
ἐπὶ τοῦ τὴν ἕξιν ἔχοντος ἤδη καὶ μὴ ἐνεργοῦντος, ὅτι θελήσας ἐνεργῆσαι

---

1. 2 διηρεῖσθαι t 10 τῇ ἐνεργείᾳ D 11 εἴποιμεν D Arist. SX: εἴπωμεν t Arist. plerique 12 ἐπιστήμονα om. D ὁ om. D 13 ἐχόντων D Arist. vulg.: τῶν ἐχόντων t Arist. SUX 19 ἐνεργῇ] ἐνεργεῖ D 29 αὐτὴ scripsi: αὕτη Dt 32 τῷ scripsi: τὸ Dt

ἐνεργήσειεν ἄν, εἰ μή τι κωλύσῃ· ὥστε ἐν δυνάμει καὶ οὗτος. ὁ δὲ πρὸς i 5v
τῷ ἕξιν ἔχειν καὶ ἐνεργῶν κατ' αὐτὴν οὗτος ἤδη ἐντελεχείᾳ λέγεται
εἶναι. τὴν δὲ κατ' ἐνέργειαν ἐπιστήμην ἔδειξε διὰ τοῦ προσθεῖναι τόδε
τὸ ἄλφα· οὗτος γὰρ ὁ κατὰ τὴν γραμματικὴν ἐνεργῶν, ὁ λέγων ἢ
5 γράφων τὸ ἄλφα.

p. 417a31 Ἀλλ' ὁ μὲν διὰ μαθήσεως ἀλλοιωθεὶς καὶ πολλάκις
ἐξ ἐναντίας μεταβάλλων ἕξεως.

Ἐπὶ παραδειγμάτων δείκνυσι τίνι διαφέρουσιν οἱ εἰρημένοι τρόποι τοῦ 40
δυνάμει. ὅτι ὁ μὲν κατὰ τὸ πρῶτον σημαινόμενον τῆς δυνάμεως δυνάμει
10 ὢν ἐπιστήμων εἰς τὸ ἔχειν τοῦτο ὃ δύναται διὰ μαθήσεως ἀλλοιωθεὶς
καὶ πολλάκις οὗτος ἐξ ἐναντίας ἕξεως μεταβάλλων ἐπιστήμων γίνεται. ἢ
γὰρ ἐξ ἀγνοίας εἰς γνῶσιν μεταβάλλει ἤγουν ἀπὸ ψευδοῦς δόξης ἐπὶ τὴν
ἀληθῆ, ὧν τὸ μὲν πρῶτον ἀπὸ στερήσεως εἰς εἶδός ἐστι μεταβολή, καὶ 45
ἔστι γένεσις καὶ οὐκ ἀλλοίωσις, τὸ δὲ δεύτερον ἐξ ἐναντίας ἕξεως μετα-
15 βολὴ εἰς τὴν ἐναντίαν, καὶ ἔστι κυρίως ἀλλοίωσις· ἡ γὰρ ἀλλοίωσις μετα-
βολή ἐστιν ἐξ εἰδοποιηθέντος εἰς εἰδοποιηθέντα, τοῦ αὐτοῦ ὑποκειμένου
μένοντος. ἀλλοίωσις μὲν οὖν αὕτη· αὐτὸς δὲ ὁλοσχερέστερον νῦν τὴν ἐκ τοῦ
δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβολὴν ἀλλοίωσιν εἰπὼν μετ' ὀλίγον καὶ τοῦτο
διορθώσει καὶ διοριεῖται ἐπὶ τίνος κυρίως ἡ ἀλλοίωσις λέγεται. τὸν δὲ ἐκ 50
20 τοῦ ἔχειν τὴν αἴσθησιν ἢ τὴν ἐπιστήμην, μὴ ἐνεργεῖν δὲ εἰς τὸ ἐνεργεῖν
προχωροῦντα, ἐφ' οὗ ἦν τὸ ὕστερον σημαινόμενον τοῦ δυνάμει, οὐ δι'
ἀλλοιώσεώς φησιν οὐδὲ διὰ μεταβολῆς γίνεσθαι, ἀλλὰ τρόπον ἄλλον ἐκ
τοῦ τοιούτου δυνάμει γίνεσθαι τὸ ἐνεργείᾳ, ὁμοίως καὶ ἐπὶ τοῦ τὴν ἐπι-
στήμην ἔχοντος, μὴ ἐνεργοῦντος δέ, καὶ ἐπὶ τοῦ τὴν αἴσθησιν· ἄλλον δὲ
25 τρόπον λέγων ὅτι οὐκ ἀλλοιότερος γίνεται ὁ τοιοῦτος, ἀλλὰ μόνον τὴν
ἐνέργειαν προχειρίζεται. ὄντος οὖν διττοῦ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ
τὸ μὲν δυνάμει πᾶν πρὸς ἀπουσίαν τινὸς λέγεται εἶναι δυνάμει, τὸ δ' ἐνερ-
γείᾳ πρὸς παρουσίαν τῆς ἐνεργείας· τὸ μὲν γὰρ πρῶτον δυνάμει πρὸς
ἀπουσίαν καὶ τῆς ἕξεως | καὶ τῆς ἐνεργείας λέγεται, τὸ δὲ δεύτερον πρὸς i 6r
30 τὴν ἀπουσίαν τῆς ἐνεργείας.

---

2 τῷ scripsi: τὸ Dt 5 τὸ ἄλφα] τὸ δὲ τὸ ἀ t 7 μεταβάλλων D Arist. SX: μεταβαλὼν t Arist. vulg. 8 παραδείγματος t 11 μεταβάλλων] μεταβαλλὼν (sic) D: μεταβαλὼν t 12 ἤγουν] ἢ γ' οὖν D 14 γένεσις At: γέννησις D τὸ δὲ δεύτερον — κυρίως ἀλλοίωσις (15) A: om. Dt 25 λέγων] fort. λέγει 29 ἀπουσίαν A: παρουσίαν Dt 30 post ἐνεργείας add. μόνον· ὁμοίως καὶ τὸ ἐνεργείᾳ τὸ μὲν πρότερον, ὃ καὶ συντρέχει τῷ δευτέρῳ δυνάμει, πρὸς τὴν παρουσίαν τῆς ἕξεως λέγεται ἐνεργείᾳ εἶναι, τὸ δὲ δεύτερον πρὸς τὴν παρουσίαν τῆς προχειρίσεως ἤτοι τῆς ἐνεργείας A, omissis vv. τῆς ἐνεργείας (v. 28); quae vulgatae praeferenda sunt

p. 417b2 Οὐκ ἔστι δ' ἁπλοῦν οὐδὲ τὸ πάσχειν, ἀλλὰ τὸ μὲν i 6r
φθορά τις ὑπὸ τοῦ ἐναντίου, τὸ δὲ σωτηρία μᾶλλον.

Διελόμενος τὰ διάφορα σημαινόμενα τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ νῦν βούλεται δεῖξαι ὅτι οὐδὲ τὸ πάσχειν ἁπλοῦν ἐστι, ταὐτὸν λαμβάνων τὸ πάσχειν καὶ τὸ ἀλλοιοῦσθαι, ὡς δῆλον αὐτὸς ποιεῖ μετ' ὀλίγον. εἰπὼν γὰρ ὅτι "τὸ δὲ ἐκ δυνάμει ὄντος μανθάνον καὶ λαμβάνον ἐπιστήμην ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ διδασκαλικοῦ ἤτοι οὐδὲ πάσχειν φατέον", τοῦτο εἰπὼν ἐπήνεγκε τὸ "ἢ δύο τρόπους εἶναι ἀλλοιώσεως", ταὐτὸν λέγων τὸ πάσχειν καὶ ἀλλοιοῦσθαι. διττὸν οὖν φησι τὸ πάσχειν, τὸ μὲν εἰς φθορὰν ἄγον, ὅπερ ἐστὶ καὶ κυρίως πάθος τε καὶ ἀλλοίωσις, τὸ δὲ εἰς τελειότητα, ὅπερ οὐ κυρίως λέγεται πάθος οὐδὲ ἀλλοίωσις, ἀλλὰ γένεσις μᾶλλον. καὶ ἵνα συντόμως εἴπω, διττοῦ ὄντος τοῦ δυνάμει, εἰ μὲν ἐκ τοῦ δευτέρου δυνάμει, ὅπερ ἦν τὸ κατὰ τὰς ἕξεις, εἰς τὴν ἐνέργειαν μεταβάλλει, οὐδὲ ὅλως ἀλλοίωσις οὐδὲ πάθος ἐστίν, εἴ γε ἀλλοιοῦσθαι λέγεται, οἷον τὸ λευκαινόμενον ἢ μελαινόμενον, ὅπερ μένον κατὰ τὴν οὐσίαν καὶ τὸ ὑποκείμενον τὸ αὐτὸ κατὰ παθητικὴν ποιότητα μεταβολὴν ἴσχει, ἐξ ἐναντίας ποιότητος εἰς ἐναντίαν μεταβάλλον φθειρομένης τῆς ἕξεως μετέβαλλεν. τὸ δὲ ἐκ τοῦ τὴν ἕξιν ἔχειν, μὴ ἐνεργεῖν δὲ εἰς τὸ ἐνεργεῖν μεταβάλλον οὐ κατά τινα ποιότητα τὴν μεταβολὴν ἴσχει· οὐδὲ γὰρ φθαρείσης ἄλλης ποιότητος εἰς ἄλλην μετέβαλλεν, ἀλλὰ τῆς αὐτῆς ἕξεως μενούσης τὴν ἐνέργειαν μόνην προεχειρίσατο. οὐ γὰρ δὴ ἀλλοιοῦσθαι φήσαιμεν ἂν τὸν οἰκοδόμον ἐκ τοῦ μὴ οἰκοδομεῖν εἰς τὸ οἰκοδομεῖν μεταβάλλοντα, ἢ τὸν γεωμέτρην, ἡνίκα προχειρίζεται τὰ θεωρήματα. ἡ μὲν οὖν ἐκ τοῦ δευτέρου δυνάμει εἰς τὸ δεύτερον ἐνεργείᾳ μεταβολὴ προφανὲς ὅτι οὐδ' ἂν ὑπονοηθείη ἀλλοίωσις, ἢ εἴ τινι φίλον καὶ ταύτην ἀλλοίωσιν καλεῖν, ἕτερον ἂν εἴη, φησί, τοῦτο γένος ἀλλοιώσεως, καὶ οὐχ ὥσπερ ἐν τῇ συνηθείᾳ λέγεται· τοῦτο δέ ἐστιν ἡ μεταβολὴ ἡ κατὰ τὰς παθητικὰς ποιότητας, ὅταν ἐξ ἐναντίας ποιότητος εἰς ἐναντίαν μεταβάλλῃ τὸ μεταβάλλον, τοῦ ὑποκειμένου τοῦ αὐτοῦ μένοντος. ἡ δὲ ἐκ τοῦ προτέρου δυνάμει ἐπὶ τὸ δεύτερον δυνάμει, πρῶτον δ' ἐνεργείᾳ μεταβολή, εἰ μὲν ἐξ ἐναντίου εἰς ἐναντίον μεταβάλλοι, ἀλλοίωσίς ἐστιν, ὡς ὅταν τι ἐκ θερμοῦ ψυχρὸν γίνηται καὶ ἐκ λευκοῦ μέλαν· δυνάμει γὰρ τὸ ἐναντίον ὅπερ τὸ ἐναντίον· ὅταν δὲ ἐκ στερήσεως εἰς εἶδος μεταβάλλῃ, γένεσίς ἐστι τοῦτο καὶ οὐκ ἀλλοίωσις, ὡς ὅταν ἐξ οὐκ ἀνθρώπου ἄνθρωπος γίνηται καὶ ἐξ οὐ πυρὸς πῦρ, καὶ ἐπὶ τῶν ὁμοίων. ἢ οὖν οὐδὲ τοῦτο κυρίως ἀλλοίωσις, ἀλλὰ γένεσις ἁπλῶς, ἢ δύο τρόποι εἶεν ἂν ἀλλοιώσεως, ἥ τ' ἐκ στερήσεως εἰς εἶδος μεταβολὴ καὶ ἡ ἐξ ἐναντίου εἰς

---

4. 5 τὸ πάσχον t 7 ἤτοι οὐδὲ Arist.: ἢ τοιοῦδε Dt φαστέον D 8. 9 λέγων πάσχον t 13 μεταβάλλει scripsi: μεταβάλλον Dt 20 μετέβαλεν t 22 τὸ et τὸν om. t 29 πρῶτον scripsi: πρώτη Dt 30 μεταβολή] μεταβάλλον t ἐναντίου εἰς ἐναντίον scripsi: ἐναντίου εἰς ἐναντίου D: ἐναντίας εἰς ἐναντίαν t μεταβάλλει t 31 ψυχροῦ D 34 γίνεται D

ἐναντίον. ἔστι δ' ἡ μὲν ἐξ ἐναντίου εἰς ἐναντίον μεταβολὴ τὶς γένεσις i 6r
καὶ τὶς φθορά, καὶ ⟨οὐχ⟩ ἁπλῶς γένεσις, ὡς ἐν τῷ Περὶ γενέσεως εἴρηται,
φθορὰ μὲν τοῦ ἐξ οὗ μετέβαλλεν, γένεσις δὲ τοῦ εἰς ὃ μετέβαλλεν. οὐκ
ἔστι δ' ἁπλοῦν οὐδὲ τὸ πάσχειν, ἀλλὰ τὸ μὲν φθορά τις ὑπὸ
5 τοῦ ἐναντίου. τὸ δὲ σωτηρία μᾶλλον τοῦ δυνάμει ὄντος ὑπὸ
τοῦ ἐντελεχείᾳ ὄντος καὶ ὁμοίου. δοκεῖ μὲν πᾶν τὸ ἐκ δυνάμει
ὄντος εἰς ἐντελέχειαν μεταβάλλον πάσχειν τε καὶ ἀλλοιοῦσθαι, οὐ μὴν
οὕτως ἔχει. ὅθεν καὶ αὐτὸς χρησάμενος ἐπὶ παντὸς τοῦ ἐκ δυνάμει εἰς 35
ἐνέργειαν μεταβάλλοντος τῷ τοῦ πάθους ὀνόματι, ταὐτὸν δ' εἰπεῖν τῷ τῆς
10 ἀλλοιώσεως (εἶπε γὰρ ὅτι 'τὸ μέν ἐστι φθορὰ ὑπὸ τοῦ ἐναντίου'· φθείρε-
ται γὰρ τὸ μέλαν ἐπιγινομένου τοῦ λευκοῦ· ἔστι δὲ τοῦτο τὸ πρότερον
δυνάμει· δυνάμει γὰρ τὸ ἐναντίον ὅπερ τὸ ἐναντίον, ἐπειδὴ πέφυκεν εἰς
αὐτὸ μεταβάλλειν· 'τὸ δὲ τελειότης'· τελειότης γὰρ τοῦ οἰκοδόμου καὶ τῶν
λοιπῶν ἐπιστημόνων τὸ ἐνεργεῖν κατὰ τὴν ἕξιν) ἐνταῦθα κοινῶς κατὰ
15 παντὸς τοῦ δυνάμει τὸ πάσχειν κατηγορήσας. τοῦτο δέ ἐστι τὸ ἀλλοιοῦσθαι.
διὰ τὸ μὴ πεφροντικέναι τὴν συνήθειαν ἐπὶ τούτων διαφορᾶς ὀνομάτων, 40
διαρθρώσει τὸν λόγον ἐφεξῆς καὶ ἐρεῖ, τί μέν ἐστι κυρίως ἀλλοίωσις, τί
δὲ ἢ οὐδὲ ὅλως ἀλλοίωσις ἢ τὸ ὅλον τοῦτο ὁμώνυμος ἀλλοίωσις. ἐρεῖ
δὲ τὰ ὑφ' ἡμῶν προτεθεωρημένα. εἰπὼν δὲ τὴν μὲν τῶν μεταβολῶν
20 ὑπὸ τοῦ ἐναντίου γίνεσθαι φθείροντος τὸ ἐναντίον, τὴν δὲ ὑπὸ τοῦ ὁμοίου,
τὸν τρόπον τῆς ὁμοιότητος τοῦ ποιοῦντος καὶ πάσχοντος ἐδήλωσεν, ἐπε-
νεγκὼν ὅτι οὕτως ὁμοίου ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν, ὅπερ
ἴσον ἐστὶ τῷ ὡς ἕξις πρὸς τὴν οἰκείαν ἐνέργειαν. ἡ γὰρ ἀπὸ τῆς ἕξεως 45
ἐνέργεια οὕτως ἐστὶν ὁμοία αὐτῇ, ὡς τὸ οἰκεῖον ἔργον καὶ ἡ οἰκεία ἐνέρ-
25 γεια ἑκάστῳ οὗ ἐστιν ἔργον. ὥσπερ οὖν ἐστιν ὁμοία τῇ οἰκοδομικῇ ἢ
γεωμετρικῇ ἕξει ἥ τε οἰκοδομικὴ καὶ ἡ γεωμετρικὴ ἐνέργεια. οὕτως ὅμοιον
τὸ τὴν ἕξιν ἔχον τῷ τὴν ἐνέργειαν ἔχοντι, ὑφ' οὗ προάγεται εἰς ἐνέρ-
γειαν, τοῦ μὲν ποιοῦντος, τοῦ δὲ πάσχοντος. ἐπεὶ γὰρ τὸ νοεῖν τε καὶ
αἰσθάνεσθαι κατὰ τὴν τῶν εἰδῶν λῆψιν τῶν τε νοητῶν καὶ τῶν αἰσθητῶν
30 γίνεται, ταὐτόν πως τὸ κατ' ἐνέργειαν νοοῦν καὶ αἰσθανόμενον τοῖς νοητοῖς 50
τε καὶ αἰσθητοῖς. οὕτως οὖν ἡ αἴσθησις δυνάμει ὅπερ τὸ αἰσθητόν, καὶ
ὁ νοῦς ὅπερ τὸ νοητόν, ὡς ἡ ἕξις ὁμοία τῇ οἰκείᾳ ἐνεργείᾳ. ὥσπερ οὖν
ἡ ἕξις παρούσης τῆς ἐνεργείας τὴν οἰκείαν τελειότητα ἀπολαμβάνει οὐ
φθειρομένη οὐδὲ ἀλλοιουμένη, οὕτω καὶ ἡ αἴσθησις δυνάμει οὖσα ὅπερ
35 τὸ αἰσθητόν (δυνάμει δὲ τὸ κατὰ τὴν ἕξιν) ὑπὸ τοῦ αἰσθητοῦ ἐνεργείᾳ
ὄντος προάγεται εἰς ἐνέργειαν ὁμοιουμένη αὐτῷ οὕτως ὡς πέφυκεν ὁμοιοῦ-
σθαι. ὥσπερ γὰρ | τὸν κηρὸν λέγομεν δυνάμει ὅπερ τὸν δακτύλιον. i 6v

2 οὐχ addidi ἐν τῷ Περὶ γενέσεως] A 3 p. 317b1 sqq. 4 τις] τῆς t
11 ἐπιγενομένου D 18 ἢ (ante οὐδὲ) scripsi: ἡ Dt 22 πρὸς ἐντελέχειαν] πρὸς τὸ ἐντελὲ D 26 ἥ τε scripsi: εἴτε Dt 27 τῷ τὴν ἕξιν D 29 εἰδῶν] εἰδόλων t 31 τε om. t 33 τελειότητα A: τελειότητα εἶναι Dt 36 προάγεται A: πράττεται Dt 37 τὸ δακτύλιον t

γίνεσθαι δὲ ἐκτυπούμενον ὑπ' αὐτοῦ ἐνεργείᾳ. ὅπερ ἐκεῖνος. οὐχ ὅτι γέγο- i 6v
νεν ὁ κηρὸς ὅπερ ὁ δακτύλιος κατὰ τὴν ὕλην. ἀλλ' ὅτι τὸ ἐκτύπωμα κατὰ
τὴν ἐπιφάνειαν ἑαυτοῦ ἐδέξατο, οὕτω δεῖ νοεῖν καὶ ἐπὶ τῶν αἰσθήσεων,
ὅταν λέγωμεν γίνεσθαι αὐτὰς ὅπερ τὸ αἰσθητόν, οὐχ ὅτι λευκὴ γίνεται
5 ἡ ὄψις ἢ μέλαινα. ἀλλ' ὅτι τὰ εἴδη τῶν αἰσθητῶν ἄνευ τῆς ὕλης γνωστι-
κῶς ἐν ἑαυταῖς αἱ αἰσθήσεις ἐπιδέχονται. εἰπὼν δὲ σωτηρίαν εἶναι τὴν 5
τοιαύτην πεῖσίν τε καὶ μεταβολὴν τὴν τοῦ οὕτω λεγομένου δυνάμει,
ἐδήλωσε πῶς σωτηρία ἐπενεγκὼν θεωροῦν γὰρ γίνεται τὸ ἔχον τὴν
ἐπιστήμην. σωτηρία γὰρ τῆς ἕξεως ἡ οἰκεία ἐνέργεια· οἱ γοῦν ἐνεργοῦν-
10 τες κατὰ τὰς ἕξεις μᾶλλον σώζουσιν αὐτάς. ἅμα δὲ διὰ τούτου ἐξηγή-
σατο, πῶς εἶπεν τὸ ὡς δύναμις ἔχει πρὸς ἐντελέχειαν, καὶ ἐδήλωσε
περὶ ποίας δυνάμεως καὶ ἐντελεχείας ὁ λόγος αὐτῷ, ὅτι περὶ τῆς δευτέ-
ρας δυνάμεως τῆς κατὰ τὴν ἕξιν καὶ τῆς δευτέρας ἐνεργείας. αὕτη γὰρ 10
τελείωσίς ἐστι καὶ σωτηρία τῆς οἰκείας δυνάμεως, ὥσπερ τῆς θεωρητικῆς
15 ἕξεώς τε καὶ ἐπιστήμης τελειότης ἐστὶ καὶ σωτηρία αὐτὴ ἡ θεωρία. ὅπερ
ἢ οὐκ ἔστιν ἀλλοιοῦσθαι (εἰς αὐτὸ γὰρ ἡ ἐπίδοσις καὶ εἰς ἐντε-
λέχειαν) ἢ ἕτερον γένος ἀλλοιώσεως. ὁ γὰρ ἔχων τὴν ἐπιστήμην,
εἶτα προχειριζόμενος ταύτης τὰς ἐνεργείας, οὐκ ἂν λέγοιτο κυρίως κατὰ
αὐτὴν τὴν τῶν ἐνεργειῶν προχείρισιν πάσχειν τε καὶ ἀλλοιοῦσθαι· οὐδὲ
20 γὰρ μεταβολή τις ἐπὶ τούτου γέγονεν, ἀλλὰ μόνον τελείωσις καὶ φανέ- 15
ρωσις τῆς ἕξεως. ἤτοι οὖν οὐδὲ ἀλλοίωσις αὕτη κυρίως, ἢ εἴ τινι φίλον
καὶ ταύτην ἀλλοίωσιν καλεῖν, ἕτερον ἂν εἴη γένος ἀλλοιώσεως καὶ ὁμώ-
νυμον, καὶ οὐ τὸ καθωμιλημένον καὶ λεγόμενον ἐπὶ τῆς κατὰ τὸ ποιὸν
μεταβολῆς, ἥντινα καὶ κίνησίν φαμεν. τὸ δὲ εἰς αὐτὸ γὰρ ἡ ἐπίδοσις
25 δεικτικὸν μάλιστά ἐστιν τοῦ μὴ ἀλλοίωσιν εἶναι τὸ τοιοῦτο, εἴ γε ἀλλοί-
ωσις μὲν μένοντος τοῦ ὑποκειμένου κατὰ τὴν οὐσίαν τοῦ αὐτοῦ κατὰ
πάθος ἐστὶ μεταβολὴ ἐξ ἄλλου εἰς ἄλλο, φθειρομένου τοῦ προϋπάρχοντος,
τὸ δὲ εἰς τὴν ἑαυτοῦ τελειότητα προϊὸν εἰς ἑαυτὸ τὴν ἐπίδοσιν ποιεῖται, 20
τὸ αὐτὸ μένον καὶ οὐκ ἐξ ἄλλου εἴδους φθαρέντος εἰς ἄλλο μεταβάλλον.

30 p. 417b8 Διὸ οὐ καλῶς ἔχει λέγειν τὸ φρονοῦν, ὅταν φρονῇ, ἀλλοιοῦσθαι, ὥσπερ οὐδὲ τὸν οἰκοδόμον ὅταν οἰκοδομῇ.

Ὡς γὰρ ὁ οἰκοδόμος, ὅταν ἤδη ἐνεργῇ, οὐδεμίαν ὑπομένει ἀλλοίωσιν
κατὰ τὴν τέχνην, οὕτως οὐδὲ τὸ ἐπιστῆμον, ὅταν ἐνεργῇ κατὰ τὴν ἐπιστή- 25
μην, οὐδὲ τὸ αἰσθανόμενον, ὅταν αἰσθάνηται· ἐξ ἀργίας γὰρ εἰς ἐργασίαν
35 ἡ μεταβολή, οὐκ ἐξ εἴδους εἰς εἶδος, ὅπερ ποιεῖ ἡ ἀλλοίωσις.

---

7 πεῖσιν Diels: πῆσιν Dt 15 καὶ post τε om. t αὐτὴ scripsi: αὕτη Dt
22 ἂν] ὂν D 23 τὸ ποιὸν scripsi: τόπον ADt 25 δεικτικὸν corr. D²: δεκτικὸν D¹t 31 τὸν οἰκοδόμον t Arist.: τὸ οἰκοδομοῦν D, sed cf. v. 32
32 ἐνεργεῖ D

p. 417b9 Τὸ μὲν οὖν εἰς ἐντελέχειαν ἄγον ἐκ δυνάμει ὄντος i 6v
κατὰ τὸ νοοῦν καὶ τὸ φρονοῦν οὐ διδασκαλίαν ἀλλ' ἑτέραν ἐπω-
νυμίαν ἔχειν δίκαιον.

Τουτέστι τὸ κατὰ τὴν δευτέραν δύναμιν θεωρούμενον, ὥσπερ ἔχει
5 τὸ φρονοῦν, ὅταν ἄγηται εἰς τὴν δευτέραν ἐνέργειαν. οὐ διδάσκεσθαι 30
λέγοιτ' ἂν ὑπὸ τοῦ εἰς τὴν ἐνέργειαν ἄγοντος· οὐ γὰρ μανθάνει ὑπὸ τοῦ
μεταβάλλοντος αὐτό, τοῦτο δέ ἐστι τὸ ἐπιστητὸν ἢ τὸ αἰσθητόν· οὐ γὰρ
πάσχει τι ὑπ' αὐτοῦ, ὥστε οὐδὲ ἐκεῖνο ποιεῖ.

p. 417b12 Τὸ δ' ἐκ δυνάμει ὄντος μανθάνον καὶ λαμβάνον ἐπιστή-
10 μην ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος καὶ διδασκαλικοῦ, καὶ τὰ ἑξῆς.

Τουτέστι τὸ κατὰ τὴν προτέραν δύναμιν, οἷόν ἐστι τὸ ἐπιστήμης 36
δεκτικὸν οἷον τὸ παιδίον, ὑπὸ τοῦ ἐνεργείᾳ ἐπιστήμονος εἰς τὴν ἕξιν προα-
γόμενον. εἰπὼν δ' ὅπως ἔχει ἡ ἐκ τοῦ δευτέρου δυνάμει εἰς τὴν ἐνέρ-
γειαν μεταβολή, λέγει νῦν καὶ περὶ τῆς ἐκ τοῦ προτέρου δυνάμει εἰς τὸ
15 πρότερον ἐνεργείᾳ μεταβολῆς, οἷόν ἐστι τὸ εἰς ἐπιστήμην ἀγόμενον παι- 40
δίον. τὸ οὖν οὕτω μεταβάλλον, φησίν, οὐδ' ὅλως πάσχειν φήσομεν·
κυρίως γὰρ τὸ πάσχειν ἐπὶ τῶν φθειρομένων λέγεται κατὰ τὴν συνήθη
χρῆσιν· ἢ εἰ καὶ τοῦτο λέγοιτο πάσχειν, φησί, δύο τρόπους εἶναι φατέον
τοῦ τε πάσχειν καὶ τοῦ ἀλλοιοῦσθαι, τὸ μὲν ὅταν εἰς στέρησιν μεταβάλλῃ
20 ἐκ τοῦ εἰδέναι εἰς τὸ μὴ εἰδέναι μεθιστάμενον, ὅπερ ἐστὶ καὶ κυρίως
πάθος. ἐπειδὴ τὸ πάθος φθορά τις καὶ εἰς τὸ χεῖρον μεταβολή (κυρίως
γὰρ πάσχει τὰ χείρω γινόμενα), καὶ ἔτι ὅταν ἐξ ἐναντίου εἴδους εἰς ἐναντίον
μεταβάλλῃ (κἀνταῦθα γὰρ φθορά τις γίνεται τοῦ ἐξ οὗ ἡ μεταβολή, καὶ
διὰ τοῦτο πάθος τὸ τοιοῦτο), τὸ δὲ ὅταν εἰς τελειότητα καὶ τὴν φύσιν, 45
25 τουτέστιν ἐφ' ὃ πέφυκεν καὶ οὗ ἡ φύσις στοχάζεται. ὡς τὸ ἐπιστήμης
δεκτικὸν ὅταν ἤδη δέξηται τὴν ἐπιστήμην. ὅταν γὰρ εἰς ὃ πέφυκε μετα-
βάλλῃ, εἰς τελειότητά πως καὶ τούτων ἡ μεταβολή, καὶ ἡ ἐπίδοσις εἰς
αὐτό, οὐχ ὁμοίως δὲ τῷ τὴν ἕξιν ἔχοντι· ἀπὸ γὰρ στερήσεως εἰς ἕξιν
ἐπὶ τούτων ἡ μεταβολή, οὐκ ἀπὸ ἕξεως εἰς ἐνέργειαν. πρότερον μὲν οὖν
30 τὸ πάθος διαιρῶν τὸ μὲν εἶπεν ἐπὶ τῶν ἐξ ἐναντίας ἕξεως εἰς ἐναντίαν
μεταβαλλόντων καὶ οὕτω λεγομένων δυνάμει, τὸ δὲ ἐπὶ τῶν ἀπὸ τῆς 50
ἕξεως εἰς τὴν ἐνέργειαν προχωρούντων· νῦν δ' οὐχ οὕτως, ἀλλὰ τὸ μὲν
δεύτερον οὐδ' ὅλως ἐστὶ πάθος οὐδ' ἀλλοίωσις (διὸ οὐδὲ κίνησις ἂν
εἴη οὐδὲ διδασκαλία ἡ κατὰ τοῦτο μεταβολή), τὸ δὲ ἐπὶ τοῦ προτέρου
35 δυνάμει διχῶς διεῖλεν, εἴς τε τὸ εἰς στέρησιν μεταβάλλειν, ὅπερ εἶπεν

---

1 ἐντελέχειαν] τελέχειαν D 2 νοῦν D καὶ φρονοῦν t Arist. 10 καὶ τὰ ἑξῆς D: lemma, ut solet, longius profert t 13 δυνάμει scripsi: δύναμις Dt 18 λέγοιτο scripsi: λέγοι (corr. ex λέγει D¹) τὸ Dt 26. 27 μεταβάλλῃ t: μεταβάλῃ D 33 δὰν] δ' ἂν Dt

κυρίως πάσχειν καὶ ἀλλοιοῦσθαι, ἢ τὸ εἰς τὴν ἕξιν ἀπὸ στερήσεως, ὅπερ i 6ᵛ
οὔτε πάθος ἐστὶν οὔτε ἀλλοίωσις, ἢ ὁμωνύμως. |

p. 417ᵇ16 Τοῦ δὲ αἰσθητικοῦ ἡ μὲν πρώτη μεταβολὴ γίνεται i 7ʳ
ὑπὸ τοῦ γεννῶντος.

Ἀρξάμενος τοῦ περὶ τῶν αἰσθήσεων λόγου καὶ κοινῇ περὶ πάσης αἰσθήσεως προθέμενος διαλαβεῖν, εἶτα εἰπὼν ὅτι ἡ αἴσθησις ἐν τῷ κινεῖσθαί τι καὶ πάσχειν συμβαίνει (δοκεῖ γὰρ ἀλλοίωσίς τις εἶναι), ταῦτα εἰπὼν καθόλου περὶ τοῦ ποιοῦντος καὶ πάσχοντος, πότερον τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχει, ἢ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου· ταύτῃ δὲ τῇ ἀπορίᾳ ἐπισυνῆψεν ἑτέραν ἀπορίαν, διὰ τί οὐκ ἀντιλαμβάνεται τῶν οἰκείων αἰσθητηρίων ἡ αἴσθησις αἰσθητῶν γε ὄντων. ἐπιλυόμενος δὲ τὴν ἀπορίαν ταύτην εἶπεν ὅτι ἡ αἴσθησις δύναμίς ἐστιν, οὐκ ἐνέργεια· διὸ καθάπερ τὸ καυστὸν οὐ καίεται ὑφ' ἑαυτοῦ ἄνευ τοῦ καυστικοῦ, οὕτω καὶ ἡ αἴσθησις οὐκ ἀντιλαμβάνεται τοῦ οἰκείου αἰσθητηρίου, ἅτε δὴ ἐκτὸς αὐτοῦ ἐνεργῆσαι μὴ δυναμένη· ἐπεὶ οὖν οὐδὲν αὐτὸ εἰς ἑαυτὸ ποιεῖ οὐδὲ ὑφ' ἑαυτοῦ πάσχει, ἡ δὲ αἴσθησις τῷ πάσχειν αἰσθάνεται, δῆλον ὡς οὐκ ἂν ἀντιλάβοιτο αὐτὴ ἑαυτῆς, τουτέστι τοῦ οἰκείου αἰσθητηρίου, μεθ' οὗ τὰς ἐνεργείας ποιεῖται, ἐπεὶ μηδὲ εἰς ἑαυτὸ ποιῆσαι δύναται. διχῶς οὖν ἡ αἴσθησις, φησίν, ἡ μὲν δυνάμει ἡ δὲ ἐνεργείᾳ, ὁμοίως δὲ καὶ τὸ αἰσθάνεσθαι. πάσχει δὲ τὸ πάσχον, φησίν, ὑπὸ τοῦ ποιητικοῦ καὶ ἐνεργείᾳ ὄντος· τὸ γὰρ ξύλον δυνάμει ὂν ὅπερ τὸ πῦρ, πάσχει ὑπὸ τοῦ πυρὸς ἐνεργείᾳ ὄντος, καὶ ὁ μαθητὴς δυνάμει ὢν ὅπερ ὁ διδάσκαλος, πάσχει ὑπὸ τοῦ διδασκάλου ἐνεργείᾳ ὄντος. πρὶν οὖν παθεῖν τὸ πάσχον ἀνόμοιόν ἐστι τῷ ποιοῦντι, πεπονθὸς δέ ἐστιν ὅμοιον. ὥστε ἔστιν ὡς τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχει, ἔστι δὲ ὡς ὑπ' ἀνομοίου· εἰ μὲν γὰρ τὸ δυνάμει παθητικὸν θεωροῦμεν, ἀνόμοιόν ἐστι τῷ ποιοῦντι, πολλάκις δέ, φησί, καὶ ἐναντίον· εἰ δὲ τὸ ἤδη πεπονθός, ὅμοιόν ἐστιν. ἐντεῦθεν οὖν ἐπειδὴ ὅλως εἰς μνήμην ἦλθε τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ καὶ τοῦ ποιεῖν καὶ πάσχειν, διαίρεσιν ἀμφοτέρων ἐποιήσατο καὶ εἶπεν ὅτι διχῶς τὸ δυνάμει καὶ διχῶς τὸ ἐνεργείᾳ, καὶ ὅτι καὶ τὸ πάσχειν διχῶς, τὸ μὲν φθορὰ ὑπὸ τοῦ ἐναντίου, τὸ δὲ σωτηρία μᾶλλον. εἶτα εἶπεν ὅπως ἔχει κατὰ τὸ πάσχειν ἡ αἴσθησις, ὅτι πάσχει ὑπὸ τοῦ αἰσθητοῦ οὐκ εἰς φθορὰν ἀγομένη, ἀλλ' εἰς τελειότητα. ταῦτα οὖν εἰπὼν νῦν φησιν, ὅπως ἔχει καὶ κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ἐπειδὴ γὰρ διττὸν τὸ δυνάμει, τὸ μὲν πρῶτον τὸ δὲ δεύτερον, τὸ μὲν κατὰ τὴν ἐπιτηδειότητα μόνην ἄνευ τῆς ἕξεως, τὸ δὲ κατὰ τὴν ἕξιν ἄνευ τῆς ἐνεργείας, φησὶν ὅτι δυνάμει ἐστὶν αἰσθητικὸν τὸ κατὰ τὴν ἐπιτηδειότητα τὸ σπέρμα καὶ ὅλως ἡ ὕλη τοῦ ζῴου. ὥσπερ

6 εἶτα Diels: εἴτε Dt 7 post γὰρ add. ἡ t 8 post πάσχοντος fort. addendum ἠπόρησεν 11 δὲ om. D 19 δὲ (post ὁμοίως) om. t 24 post δέ add. γὰρ D 25 θεωροῦμεν scripsi: θεώρημα Dt 28 καὶ τοῦ πάσχειν t

γὰρ τὸ ἄρτι τεχθὲν παιδίον ἔχει εἰς τὸ εἶναι γραμματικόν, οὕτως ἔχει i 7r
καὶ ἡ τοῦ ζῴου ὕλη εἰς τὸ αἰσθητικὴ εἶναι. τί οὖν ἐστι τὸ ἄγον τὸ
δυνάμει τὸ πρῶτον εἰς τὴν ἕξιν, τουτέστι τὸ δεύτερον μὲν δυνάμει πρῶτον
δ' ἐνεργείᾳ; τὸ γεννῶν. φησίν· ἐν γὰρ τῇ κυήσει ἄγεται ἡ ἐπιτηδειότης
5 εἰς τὴν ἕξιν. ὥσπερ οὖν τὸ παιδίον ἄγει εἰς τὴν ἕξιν ὁ ἐνεργείᾳ γραμμα-
τικός, οὕτως καὶ τὸ σπέρμα καὶ ὅλως τὴν τοῦ ζῴου ὕλην ἄγει ἡ ἐν τῇ
μητρὶ φύσις ἐπὶ τὴν καθ' ἕξιν αἴσθησιν. ἔστιν οὖν ἡ κύησις ἀλλοίωσις καὶ 30
μεταβολὴ τοῦ πεφυκότος αἰσθάνεσθαι ἐπὶ τὴν καθ' ἕξιν αἴσθησιν. ὅταν δὲ
ἀποκυηθῇ, ἤδη τὴν ἕξιν ἔχει· ἐπὰν γὰρ τελεία ἐγγένηται ἡ τοῦ αἰσθάνεσθαι
10 κατὰ πᾶσαν αἴσθησιν ἕξις, εὐθὺς ἀποκυΐσκεται· οὕτω γὰρ γεννᾶται τὸ ζῷον
μετὰ τῆς ἕξεως τῆς αἰσθητικῆς. ἡ μὲν οὖν ἐκ τοῦ πρώτου δυνάμει εἰς τὴν
ἕξιν μεταβολὴ ἐν τῇ κυήσει ὑπὸ τῆς ἐν τῷ γεννῶντι φύσεως γίνεται· ἡ δ' ἐκ
τῆς ἕξεως εἰς τὴν ἐνέργειαν ὑπὸ τῶν αἰσθητῶν. διὸ ἅμα τῷ γεννηθῆναι,
ἐὰν παρῇ τὸ αἰσθητόν, ἀντιλαμβάνεται τὸ γεννηθέν· ὅθεν εὐθὺς κλαυθμυρί-
15 ζεται εἰς ἀσυνήθη καὶ ψυχρὸν ἀέρα ἐμπῖπτον, καὶ ἀμιλλώμενον οὐ μόνον 35
τῇ ἁφῇ τοῦ περιέχοντος ἀέρος, ἀλλὰ καὶ τῇ ὄψει τοῦ φωτός. δῆλον δ'
ὅτι ὥσπερ τούτων αἰσθάνεται, οὕτω κἂν τὰ τῶν λοιπῶν αἰσθήσεων αἰσθητὰ
παρῇ, πείσεται πάντως, ψόφων φημὶ καὶ γευστῶν καὶ ὀσμῶν. οὕτω μὲν
οὖν ἐπὶ τῆς αἰσθητικῆς ψυχῆς τό τε δυνάμει καὶ τὸ ἐνεργείᾳ καὶ ἡ κατὰ
20 ταῦτα μεταβολή· ἔκ τε τῆς ἐπιτηδειότητος εἰς τὴν ἕξιν ὁ γεννήσας, ἀπὸ
δὲ τῆς ἕξεως εἰς τὴν ἐνέργειαν τὰ αἰσθητά, ὅταν αὐτά τε παρῇ καὶ ὅσων 40
ἄλλων χρεία εἰς τὴν τούτων ἀντίληψιν, οἷον φωτὸς μὲν ἐπὶ τῶν ὁρατῶν
καὶ τοῦ διαφανοῦς καὶ καθαροῦ καὶ ἀνεπιθολώτου, τοῦ διηχοῦς δ' ἐπὶ
τῶν ψόφων, καὶ τοῦ διόσμου ἐπὶ τῶν ὀσφραντῶν. // ἐπειδὴ δὲ καὶ ἐν
25 τῇ λογικῇ ψυχῇ ἔστι τὸ διττὸν δυνάμει καὶ ἐνεργείᾳ, τί ἂν εἴη καὶ ἐπὶ
ταύτης τῆς μεταβολῆς αἴτιον; ἔξω μὲν οὖν σωμάτων οὖσα κεχώρισται
πάντῃ τοῦ πρώτου δυνάμει, νοῦς οὖσα καθαρὸς καὶ πάντα τὰ νοητὰ καθ'
ἕξιν ἔχουσα, πεσοῦσα δ' εἰς τὴν γένεσιν, ὥσπερ ὁ ἐπιστήμων ὑπὸ νόσου 45
ἢ χρόνου ἢ λουτροῦ, μεταβάλλει ἐξ ἐπιστήμης εἰς ἀνεπιστημοσύνην, καὶ
30 γίνεται κατὰ τὸ πρῶτον δυνάμει ἐπιστήμων τὴν ἐπιτηδειότητα μόνην ἔχουσα.
οὐ μὴν τὴν ἕξιν. ἄγεται δ' εἰς τὴν ἕξιν ὑπὸ τοῦ διδασκάλου ἢ καὶ ὑπὸ
τῶν αἰσθητῶν, αὐτὴ ζητοῦσα καὶ εὑρίσκουσα καὶ διὰ τῶν μερικῶν ἐπὶ
τὰ καθόλου ἀνιοῦσα· ἐπὰν δὲ τὴν ἕξιν κτήσηται, τὸ τηνικαῦτα τὴν βούλη-
σιν ἔχει ποιητικὸν αἴτιον τοῦ μεταβάλλειν ἐπὶ τὴν ἐνέργειαν ἀπὸ τῆς
35 ἕξεως· ὅταν γὰρ προαιρῆται, προχειρίζεται τοὺς ἐν αὐτῇ λόγους εἰς ἐνέρ-
γειαν * * * λέγω δὲ τοῦ αἰσθητοῦ, ὁ δὲ νοῦς οὐδὲν ἔξωθεν δεῖται, ἀλλ' 50

---

3 τουτέστι τὸ D¹t: τουτέστιν εἰς τὸ D² 4 γεννῶν] γεννὸν D 9 τελείως t
11 αἰσθικῆς D τὴν om. t 16 τῇ ἁφῇ ἀλλὰ περιέχοντος ἀέρα D 18 παρῇ
πείσεται D: παραπείσεται t πάντως] fort. ⟨ὑπὸ⟩ πάντων γευστῶν scripsi: γευστι-
κῶν Dt 23 post ἀνεπιθολώτου add. ἀέρος t διηχοῦς] διήχους D: διέχους t
32 αὐτὴ scripsi: αὕτη Dt 35 προαιρεῖται D 36 lacunam indicavi, quae ex A
sic explenda est διὰ τοῦτο ἡ μὲν αἴσθησις δεῖταί τινος ἔξωθεν τοῦ προάγοντος αὐτὴν εἰς
ἐνέργειαν ὁ δὲ] οὐ δὲ D

αὐτὸς ἑαυτὸν προάγει. ἀποδίδωσιν οὖν τούτου τὴν αἰτίαν, ὅτι ἡ μὲν i 7r
αἴσθησις μερικοῦ τινος τὴν ἀντίληψιν ἔχει, τὸ δὲ μερικὸν σῶμά τί ἐστιν·
εἰκότως οὖν ἔξωθεν· ὁ δὲ νοῦς τῶν καθόλου ἀντιλαμβάνεται, τὰ δὲ καθό-
λου λόγοι, οὗτοι δὲ οὐκ ἔξωθεν, ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ· διὸ οὐ δέεται
5 ὁ νοῦς ἔξωθέν τινος τοῦ τελειοῦντος. εἶπεν δ' εὐθὺς ἔχειν ἤδη ὥσπερ
ἐπιστήμην καὶ τὸ αἰσθάνεσθαι, οὐχ ὡς εὐθὺς τῷ γεννηθῆναι τῶν ζῴων
ἐπιστήμην ἐχόντων. ἀλλὰ τὸ διττὸν τῆς αἰσθήσεως δηλῶσαι βουληθείς, τό i 7v
τε κατὰ τὴν ἕξιν καὶ τὸ κατὰ τὴν ἐνέργειαν, τὴν κατὰ τὴν ἕξιν αἴσθησιν
ὁμοίαν εἶπεν εἶναι τῇ τῆς ἐπιστήμης παρουσίᾳ· ὥστε παραδείγματος ἕνεκεν
10 τὴν ἐπιστήμην παρέθετο. ἔχει γὰρ ἡ αἴσθησις τὴν αἰσθητικὴν δύναμιν
ὥσπερ τινὰ ἐπιστήμην· ὡς γὰρ τὸ μανθάνον διὰ μαθήσεως μεταβάλλον
ἔχει τὴν ἐπιστήμην, οὕτω καὶ τὸ γεννηθὲν εὐθὺς τὴν καθ' ἕξιν αἴσθησιν 5
ἔχει· ὃ γὰρ ἐπ' ἐκείνου ἡ μάθησις, τοῦτο ἐπὶ τούτου ἡ γέννησις. εἰ δὲ
ἔχει εὐθὺς τῷ γεννηθῆναι τὴν καθ' ἕξιν αἴσθησιν, οὐ δι' ἀλλοιώσεως
15 ἄρα γίνεται τὸ αἰσθάνεσθαι κατ' ἐνέργειαν, ὥσπερ οὐδὲ τὸ ἐνεργεῖν κατὰ
τὴν ἐπιστήμην δι' ἀλλοιώσεως γίνεται. καὶ τὸ κατ' ἐνέργειαν δὲ ὁμοίως
λέγεται τῷ θεωρεῖν· ὥσπερ ⟨γὰρ⟩ τὸ κατὰ δύναμιν αἰσθάνεσθαι ὅμοιόν
ἐστι τῷ ἐπίστασθαι, οὕτως τὸ κατ' ἐνέργειαν αἰσθάνεσθαι τῇ κατ' ἐπι-
στήμην θεωρίᾳ ὅμοιον.

20 p. 417b19 Διαφέρει δέ, ὅτι τοῦ μὲν τὰ ποιητικὰ τῆς ἐνεργείας 10
ἔξωθεν.

Εἰπὼν ὅμοιον εἶναι τὸ κατ' ἐνέργειαν αἰσθάνεσθαι τῷ θεωρεῖν, λέγει
καὶ πῇ διαφέρει, ὅτι τῆς μὲν κατ' ἐνέργειαν αἰσθήσεως ἔξω τὰ ποιητικά 15
(ἔξωθεν γὰρ προσπιπτόντων τῶν αἰσθητῶν αἰσθανόμεθα). τὰ δὲ θεωρητὰ
25 οὐκ ἔξωθεν. εἶτα καὶ τὴν αἰτίαν προστίθησι τοῦ τὰ μὲν ἔξωθεν προσ-
πίπτειν τὰ δὲ μή, ὅτι ἡ μὲν αἴσθησις τῶν καθ' ἕκαστά ἐστι, ταῦτα δὲ ἐν
ἰδίᾳ ὑποστάσει, ὧν καὶ χρῄζει εἰς τὸ εἶναι τὸ ζῷον (πρὸς γὰρ τὴν τού-
των χρείαν ἡ αἴσθησις τῷ ζῴῳ δέδοται), ἡ δὲ ἐπιστήμη τῶν καθόλου
ἀντιλαμβάνεται, τὰ δὲ καθόλου, φησίν, ἐν αὐτῇ πώς εἰσι τῇ ψυχῇ.
30 ἀκριβῶς δὲ τὸ πῶς προσέθηκεν, ἤτοι ἐπειδὴ τὸ ἐν αὐτῇ ὡς ἔν τινι
τόπῳ, ὥσπερ καὶ αὐτὸς ἐν τοῖς ἑξῆς φησι "καὶ εὖ δὴ οἱ λέγοντες τὴν 20
ψυχὴν τόπον εἰδῶν", οὐ κυρίως δὲ δῆλον ὅτι ἐν τόπῳ, ἀλλὰ κατὰ ἀνα-
λογίαν, ἢ ὅτι καὶ τῶν καθόλου ἡ μὲν ὑπόστασις ἐν τοῖς καθ' ἕκαστά
ἐστιν, ὅταν δὲ ὡς καθόλου καὶ κοινὰ λαμβάνηται, ἐν τῇ ψυχῇ γίνεται·
35 τὸ γὰρ κοινῶς αὐτοῖς εἶναι ἐν τῷ νοεῖσθαί ἐστι τὴν κοινότητα αὐτῶν, τὰ

---

4 οὐ δέεται] οὐδὲ ἔσται A, qui post τινὸς (5) add. δεόμενος 9 εἶναι εἶπεν t
12 τὴν (post εὐθὺς) eras. D 14 οὐ δι' ἀλλοιώσεως] οὐ δι' ἀλλ in lit. D¹
17 γὰρ addidi 25 τοῦ τὰ Diels: ταῦτα Dt 25. 26 προσπίπτειν
Diels: προσπίπτει Dt 26 τῶν D: τοῦ t 31 καὶ εὖ — εἰδῶν (32)] Γ 4
p. 429a27

δὲ νοήματα ἐν τῇ ψυχῇ. τὸ δὲ διὸ νοῆσαι μὲν ἐπ' αὐτῷ εἶπεν, ἀλλ' i 7ᵛ οὐκ ἐπ' αὐτῇ, τουτέστιν ἐν τῷ ἔχοντι τὴν ψυχήν.

p. 417ᵇ26 Ὁμοίως δὲ τοῦτ' ἔχει κἂν ταῖς ἐπιστήμαις τῶν αἰσθη- 25
τῶν, καὶ διὰ τὴν αὐτὴν αἰτίαν.

Οὐ μόνον, φησίν, ἡ αἴσθησις περὶ τὰ κατὰ μέρος καὶ αἰσθητὰ ἔχουσα δεῖται τῶν ἔξωθεν παρόντων, ἵνα ἐνεργήσῃ, ἀλλὰ καὶ αὐταὶ αἱ περὶ τὰ αἰσθητὰ ἔχουσαι ἐπιστῆμαι οὐκ ἐφ' ἑαυταῖς ἔχουσι τὸ ἐνεργῆσαι. ὅταν βούλωνται, ἀλλὰ δεῖ καὶ ἐπὶ τούτων ὥσπερ καὶ ἐπὶ τῆς αἰσθήσεως παρεῖναι ἔξωθεν περὶ ὃ ἡ ἀπ' αὐτῶν ἐνέργεια γίνεται. καὶ γὰρ καὶ 30
αὗται περὶ τὰ καθ' ἕκαστα καὶ ἔξω καὶ ἐν ἰδίᾳ ὑποστάσει καταγίνονται, οἷον ὁ πολιτικός, ὁ μηχανικὸς καὶ ἁπλῶς οἱ κατὰ μέρος τεχνῖται· τούτων γὰρ ἡ ἐπιστήμη περὶ τὰ καθ' ἕκαστα. οἷον ὁ πολιτικὸς σκέψεται, εἰ δεῖ τόνδε τὸν στρατηγὸν παραλαβεῖν, καὶ ὁ οἰκοδόμος, εἰ χρηστέον τῷδε τῷ λίθῳ· τούτων δὲ ἡ σκέψις μερικῶν ὄντων ἐπιστήμης ἐστὶ δηλονότι, καὶ οὐκ αἰσθήσεως. ἡ μὲν οὖν καθόλου κατὰ τὰς τέχνας θεωρία ἐν αὐτοῖς, ἡ δὲ ἀπὸ τῶν τεχνῶν περὶ τὰ καθ' ἕκαστα θεωρία γινομένη οὐκέτι ἐπ' 35
αὐτοῖς· δεῖ γὰρ τῆς ὕλης καὶ τῶν ὀργάνων.

p. 417ᵇ28 Ἀλλὰ περὶ μὲν τούτων διασαφῆσαι καιρὸς γένοιτ' ἂν
καὶ εἰσαῦθις.

Πῶς τὸ θεωρεῖν τὰ καθόλου ἐφ' ἡμῖν, καὶ πῶς ὁ πρακτικὸς νοῦς ἀντιλαμβάνεται τῶν κατὰ μέρος. ὑπερτίθεται οὖν νῦν τὴν περὶ τούτων 40
σκέψιν· ἐρεῖ γὰρ περὶ τούτων ἐν τῷ τρίτῳ λόγῳ. οὗ δὲ χάριν τὴν διαίρεσιν ἐποιήσατο τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ, ὑπομιμνήσκει ἡμᾶς· ὑπὲρ γὰρ τοῦ δεῖξαι, πῶς λέγεται τὰ ζῷα, ὅτε μὴ αἰσθάνεται, δυνάμει αἴσθη-
25 σιν ἔχειν· κατὰ γὰρ τὴν δευτέραν δύναμιν, ἥτις ἤδη ἐπὶ τῶν τὰς ἕξεις ἐχόντων κατηγορεῖται. ἐφ' ὧν οὔτε τὸ πάσχειν οὔτε τὸ ἀλλοιοῦσθαι λεχθείη ἂν κυρίως· εἰς αὐτὸ γὰρ ἡ ἐπίδοσις καὶ οὐκ εἰς τὸ ἐναντίον ἡ μεταβολή, ὡς εἶπεν.

p. 417ᵇ32 Ἐπεὶ δὲ ἀνώνυμος αὐτῶν ἡ διαφορά, διώρισται δὲ 45
30 περὶ αὐτῶν ὅτι ἕτερα καὶ πῶς ἕτερα, χρῆσθαι ἀναγκαῖον τῷ
πάσχειν καὶ ἀλλοιοῦσθαι ὡς κυρίοις ὀνόμασιν.

Ἐπειδὴ χρῆται τῷ πάσχειν καὶ τῷ ἀλλοιοῦσθαι ἐπὶ τῆς κατ' ἐνέρ-

---

1 διὸ νοῆσαι Arist.: διανοῆσαι Dt 3 τῶν D Arist. X: ταῖς τῶν t Arist. vulg. 6 αὐταὶ A: αὗται Dt 7 ἔχουσι A: ἔχουσαι Dt 12 ὁ om. t 14 ἡ κατ' ἐνέργειαν σκέψις A 20 καὶ ὅπως t 30 ἀναγκαῖον Arist. vulg.: δ' ἀναγκαῖον t Arist. Sy: ἀναγκαίως D τῷ Arist. vulg.: τὸ Dt Arist. ET 32 post ἀλλοιοῦσθαι add. ὡς κυρίοις ὀνόμασιν t

γειαν αἰσθήσεως, εἶπεν δ' ὅτι οὔτε πάσχειν οὔτε ἀλλοιοῦσθαί ἐστι τὸ i 7v
αἰσθάνεσθαι, τὴν αἰτίαν τοῦ χρῆσθαι τοῖς ὀνόμασι τούτοις ἐπὶ τοῦ αἰσθά-
νεσθαι λέγων, ἐπειδὴ γάρ, φησίν, ἀνώνυμός ἐστιν ἡ διαφορὰ τῶν
δυνάμεων τούτων (οὐ γὰρ ἔχομεν ἰδίοις ὀνόμασι διακεκριμένην ἑκατέραν 50
5 τῶν δυνάμεων) ἐμάθομεν δὲ λόγῳ, τίς ἡ διαφορὰ τῶν δυνάμεων τούτων,
ἀνάγκη ἡμᾶς χρῆσθαι ἐπ' αὐτοῖς τῷ πάσχειν καὶ τῷ ἀλλοιοῦσθαι
ὡς κυρίοις ὀνόμασιν, ἐπειδή, ὡς εἶπον, ὀνόματα αὐταῖς ἐν τῇ συνηθείᾳ
οὐ κεῖται.

p. 418a3 Τὸ δ' αἰσθητικὸν δυνάμει ἐστὶν οἷον τὸ αἰσθητὸν ἤδη
10 ἐντελεχείᾳ, καθάπερ εἴρηται.

Ἐπειδὴ μέλλει λέγειν ὅτι πάσχει τὸ αἰσθητικὸν ὑπὸ τοῦ αἰσθητοῦ,
εὐλόγως τοῦτο προείληφε τὸ δυνάμει | εἶναι τὸ αἰσθητικὸν οἷον τὸ αἰσθητόν i 8r
ἐστιν ἐντελεχείᾳ. ἤδη δὲ τοῦτο προείρηκε καὶ ὅτε ἐζήτει, εἰ τὸ ὅμοιον
ὑπὸ τοῦ ὁμοίου πάσχει ἢ τοῦ ἀνομοίου. δυνάμει δέ ἐστι τὸ αἰσθητικὸν
15 οἷον τὸ αἰσθητὸν κατὰ τὴν δευτέραν δύναμιν. οὐ γὰρ παθόν τι οὐδὲ ἀπ'
ἐναντίας ἕξεως μεταβάλλον ὁμοιοῦται αὐτῷ, ἀλλὰ τὸ εἶδος αὐτοῦ δεξάμενον,
οὐχ ὡς ὕλη αὐτοῦ γινόμενον· οὐδὲ γὰρ λευκὴ γίνεται ἡ αἴσθησις δεξαμένη
τὸ εἶδος τοῦ αἰσθητοῦ (διὸ οὐδὲ πάσχειν οὐδὲ ἀλλοιοῦσθαι κυρίως λέγεται), 5
ἀλλὰ τὸν λόγον τοῦ εἴδους γνωστικῶς ἐν ἑαυτῇ δεχομένη. ὥσπερ γὰρ
20 τὸν κηρόν φαμεν δυνάμει εἶναι ὅπερ τὸν δακτύλιον, διότι παθὼν ὑπ' αὐτοῦ
γίνεται ὅπερ ἐστὶν ἐκεῖνος ἐνεργείᾳ, οὐ τὴν ὕλην αὐτοῦ δεξάμενος, ἀλλὰ
μόνον τὸ εἶδος, οὕτω καὶ ἡ αἴσθησις παθοῦσα ὑπὸ τῶν αἰσθητῶν τὰ εἴδη
αὐτῶν ἀσωμάτως ἀναμάττεται. διαφέρει δέ, ὅτι ὁ μὲν κηρὸς αὐτὸς ὕλη
γίνεται τοῦ εἴδους τοῦ ἐν τῷ δακτυλίῳ, ἡ δ' αἴσθησις οὐχ ὕλη γίνεται
25 τοῦ αἰσθητοῦ, ἀλλὰ γνωστικῶς τὴν ἰδέαν αὐτοῦ ἐκμάττεται· ἔχει δέ τι 10
πλέον ἡ αἴσθησις παρὰ τὸν κηρόν· ὁ μὲν κηρὸς γὰρ εἰ καὶ ὕλη γίνεται
τοῦ εἴδους τοῦ ἐν τῷ δακτυλίῳ, ἀλλὰ οὐ δι' ὅλου αὐτοῦ δέχεται τὸ εἶδος,
ἀλλ' ἐπιπολῆς, ἡ μέντοι αἰσθητικὴ δύναμις ὅλη δι' ὅλης ζωτικῶς τὰς τῶν
αἰσθητῶν ἀπομάττεται ἰδέας.

30 p. 418a4 Πάσχει μὲν οὖν οὐχ ὅμοιον ὄν, πεπονθὸς δὲ ὡμοίωται
καὶ ἔστιν οἷον ἐκεῖνο.

Εἰπὼν ἐν τοῖς ἄνω, πῶς λέγεται πάσχειν τὸ πάσχον ὑπό τε τοῦ
ὁμοίου καὶ ὑπὸ τοῦ ἐναντίου, τοῦτο καὶ ἐπὶ τῆς αἰσθήσεως ἁρμόζει, ὅτι 15
πρὸ μὲν τοῦ παθεῖν ὑπὸ τοῦ αἰσθητοῦ οὐκ ἔστιν ὁμοία αὐτῷ κατ'
35 ἐνέργειαν, * * ὁμοία αὐτῷ γίνεται τὸν εἰρημένον πολλάκις τρόπον. προθέ-

---

9 post ἤδη add. ὡς t (ut Arist. S) 14 δυνάμει scripsi: δύναμις Dt
15 παθόντα t 15. 16 ὑπ' ἐναντίας t 28 ζωτικῆς t 30 πεπον-
θὼς D 35 lacunam indicavi: addendum παθοῦσα δὲ

μενος δὲ εἰπεῖν κοινῶς περὶ πάσης τῆς αἰσθήσεως ἀποδέδωκε λόγον τῆς i 8r
αἰσθητικῆς ψυχῆς τὸ εἶναι αὐτὴν δυνάμει τοιαύτην, ὁποῖά ἐστι τὰ αἰσθητὰ
ἐντελεχείᾳ. τῆς κατ' ἐνέργειαν αἰσθητικῆς ψυχῆς δηλονότι τοιαύτης οὔσης
ἐνεργείᾳ, οἷα τὰ αἰσθητά. εἰ δὲ τοιοῦτον, ἡ αἰσθητικὴ ψυχὴ ἐξ ἀνάγκης
5 ἀχώριστος ἂν εἴη, εἴ γέ ἐστι δύναμις καθ' ἣν τὸ ἔχον αὐτὴν ὁμοιούμενον 20
τοῖς αἰσθητοῖς διὰ τοῦ πάσχειν πως ὑπ' αὐτῶν καὶ ἀλλοιοῦσθαι ἀντιλαμβάνεται αὐτῶν.

p. 418ᵃ7 Λεκτέον δὲ καθ' ἑκάστην αἴσθησιν περὶ τῶν αἰσθητῶν πρῶτον.

10 Τὸν κοινὸν περὶ αἰσθήσεως λόγον ἀποδοὺς καὶ ὁρισάμενος τὴν αἰσθητικὴν 25
δύναμιν ὅτι ἔστι δυνάμει ὅπερ τὸ αἰσθητόν, καὶ εἰπὼν ⟨ὅτι⟩ μὴ πάσχουσα
μὲν ὑπὸ τοῦ αἰσθητοῦ ἀνομοία ἐστί, παθοῦσα δὲ ὑπ' αὐτῶν ὁμοία αὐτοῖς
γίνεται, μετέρχεται εἰς τὸν περὶ ἑκάστης ἰδίᾳ αἰσθήσεως λόγον, διότι, καθὼς
ἤδη εἶπεν, ἐν οἷς τὸ κοινῶς κατηγορούμενον μὴ ἔστι γένος ἀλλ' ὁμώνυμος
15 φωνή, οὐκ αὐτάρκης ὁ κοινὸς λόγος τὴν φύσιν τοῦ πράγματος ἡμῖν γνωρίσαι,
ἀλλὰ δεῖ τὸν περὶ ἑκάστου σημαινομένου ὑπὸ τῆς ὁμωνύμου φωνῆς ἰδίᾳ
λόγον ποιήσασθαι, ὁπότε οὐδὲ ὁ περὶ τῶν γενῶν λόγος αὐτάρκης εἰς τὸ 30
γνωρίσαι τὰ εἴδη τὰ καθ' ἕκαστον. μέλλων δὲ τὸν περὶ ἑκάστης αἰσθήσεως
ἀποδοῦναι λόγον πρότερον περὶ τῶν ἑκάστῃ αἰσθήσει αἰσθητῶν διαλαμβάνει
20 διὰ τὸν πολλάκις εἰρημένον λόγον, εἶτα περὶ τῶν ἐνεργειῶν αὐτῶν καὶ
οὕτως περὶ τῶν δυνάμεων. ζητήσειε δ' ἄν τις, διὰ τί μὴ πρὸ τοῦ κοινοῦ
λόγου τῆς αἰσθήσεως διέλαβε περὶ τοῦ ἁπλῶς αἰσθητοῦ. λέγω οὖν
ὅτι συμπεριέλαβε καὶ τὸν περὶ τούτου λόγον ἐν τῷ περὶ τῆς αἰσθήσεως
κοινῷ λόγῳ, ἔνθα ἔλεγε τῶν στοιχείων εἶναι τὴν αἴσθησιν καθ' αὑτὰ ἢ 35
25 τὰ συμβεβηκότα τούτοις, καὶ πάλιν εἰπὼν ὅτι ὅπερ τὸ αἰσθητὸν ἐνεργείᾳ,
τοῦτο δυνάμει ἡ αἴσθησις, καὶ ὅτι τοῦ μὲν αἰσθητικοῦ τὰ ποιητικὰ ἔξωθεν
⟨καὶ⟩ καθ' ἕκαστα, τοῦ δὲ νοητικοῦ ἐν αὐτῷ καὶ καθόλου. διὰ τούτων οὖν
πάντων τί ποτέ ἐστι τὸ ἁπλῶς αἰσθητὸν ἐσήμανεν, ὅτι τὰ συμβεβηκότα
τοῖς στοιχείοις, ὅτι τὰ μερικά, ὅτι ταῦτα οἷς ἡ αἴσθησις κατ' ἐνέργειαν
30 ὑπ' αὐτῶν πάσχουσα ὁμοιοῦται πρότερον δυνάμει οὖσα ὁμοία αὐτοῖς. καὶ
ἐνταῦθα δὲ μέλλων περὶ τῶν ἰδίως ἑκάστῃ αἰσθήσει αἰσθητῶν διαλεχθῆναι, 40
πρότερον διαίρεσίν τινα παραδίδωσι καθόλου τῶν αἰσθητῶν πάντων, ποσαχῶς
λέγεται, ἵνα τὰ κυρίως αἰσθητὰ ἀπὸ τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν,
ἅπερ οὐδὲ αἰσθητά ἐστι, τῷ οἰκείῳ λόγῳ χωρίσας περὶ τούτων τὸν λόγον
35 ποιήσηται, καὶ μὴ παραπίπτοντα κἀκεῖνα ταράσσῃ τὴν διδασκαλίαν. τριχῶς
οὖν, φησί, λέγεται τὰ αἰσθητά. τῶν γὰρ αἰσθητῶν τὰ μὲν καθ' αὑτά
ἐστιν αἰσθητά, τὰ δὲ κατὰ συμβεβηκός· καὶ τῶν καθ' αὑτὰ αἰσθητῶν τὰ

---

10 Τὸν—αἰσθήσεως om. t 11 ὅτι addidi 16 δεῖ om. t 17 τὸν λόγον t τ
22 post διέλαβε add. καὶ t 23 τῆς om. t 27 καὶ addidi 35 παραπίπτον D: παραπίπτωνται t ταράσσῃ scripsi: ταράσσει Dt

μὲν κοινά ἐστι τῶν αἰσθήσεων, τὰ δὲ ἴδια ἑκάστης. ἴδια μὲν οὖν ἑκάστης i 8r
αἰσθήσεώς εἰσιν αἰσθητὰ τὰ αὐτῇ μόνῃ ὑποπίπτοντα, οἷον ὄψει μὲν χρώ- 46
ματα, ἀκοῇ δὲ ψόφοι, ὀσφρήσει δὲ ἀτμοί, γεύσει δὲ χυμοί, τῇ ἁφῇ δὲ
θερμότης, ὑγρότης, ψυχρότης, ξηρότης, ἀντιτυπία, βάρος καὶ τὰ ὅμοια.
5 ἴδια δὲ ταῦτα λέγονται αἰσθητά, διότι οὐχ ὑποπίπτουσιν ἄλλῃ αἰσθή-
σει· οὔτε γὰρ ἡ ὄψις ἀτμῶν ἢ χυμῶν ἢ ἁπτῶν ἀντιλαμβάνεται οὔτε
τῶν ἄλλων οὐδεμία αἰσθήσεων τῶν ἄλλῃ αἰσθήσει ἀντιληπτῶν ἀντι-
λαμβάνεται. ταῦτα μὲν οὖν ἴδια αἰσθητά· κοινὰ δὲ αἰσθητά φησιν εἶναι 50
πέντε τινά, κίνησιν, ἠρεμίαν, ἀριθμόν, σχῆμα, μέγεθος. κοινὰ δέ φησιν
10 εἶναι ταῦτα πασῶν, οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν
ὑποπίπτει, ἀλλ' ὅτι ἕκαστον πλείοσι καὶ οὐ μιᾷ, τινὰ δὲ καὶ πάσαις ἅμα.
τὸ μὲν γὰρ μέγεθος κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς· ὁρῶμεν γὰρ
ὅτι μέγας ἐστὶν ὁ ἄνθρωπος ἢ μέγα τὸ ὄρος, καὶ ἁπτόμενοι δὲ αἰσθανόμεθα
ὅτι μέγας ἢ μικρὸς ὁ προσπεσὼν ὄγκος καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφου
15 λέγομεν ᾠσθῆσθαι μεγάλου ἢ μι|κροῦ, ἀλλ' ἐνταῦθα κατὰ ἀναλογίαν τὸ i 8v
μέγεθος εἴληπται, οὐ κυρίως. μέγεθος γὰρ νῦν λέγομεν τὸ συνεχὲς τῶν
κοινῶν εἶναι αἰσθητῶν· ὁ μέντοι μέγας ψόφος ποιότητός ἐστιν ἐπιτεταμένης
καὶ ἀνειμένης δηλωτικός, διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυριώτερον ἐπὶ τῶν
ψόφων ἁρμόζει λέγειν. τὸ δὲ σχῆμα κοινόν ἐστι καὶ αὐτὸ αἰσθητὸν ἁφῆς
20 καὶ ὄψεως. σχῆμα δὲ λέγω, οὐχ ὅτι τόδε τρίγωνον ἢ κύκλος (τοῦτο γὰρ
λόγου ἐστὶ τὸ εἰπεῖν ὅτι σχῆμά ἐστιν ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον ἢ 5
ὑπὸ τριῶν ἢ ὁσωνδήποτε) ἀλλ' ὅτι ἁπλῶς περιγέγραπται, πᾶσα δὲ περι-
γραφὴ κατά τι τῶν σχημάτων γίνεται. /καὶ τὰ ἄλογα γοῦν ὅταν ἐπὶ μικρὸν
ὕψος καὶ ἐπανάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι διελθεῖν, ἅτε δὴ ἐπιστά-
25 μενα ὡς περιγέγραπται τὸ μέγεθος, καὶ οἷά τέ ἐστιν διελθεῖν· εἰς δὲ
ὑψηλὸν πάνυ καὶ ἀπόκρημνον χωρίον ἐμπεσόντα οὐδὲ ἐπιχειρεῖ παρελθεῖν
συναισθανόμενα καὶ τοῦ μεγέθους καὶ τοῦ σχήματος· ὥστε καὶ αὐτοῦ τοῦ
εἴδους τοῦ σχήματος ἀμυδρά τις αὐτοῖς γίνεται συναίσθησις· φεύγει γοῦν 10
τὰς τοιάσδε τῶν ὁδῶν τὰς εἰς ὀξὺ ἢ κοῖλον ἐσχηματισμένας, αἱρεῖται δὲ
30 τὴν λείαν καὶ ἐπ' εὐθείας. ὁ δὲ ἀριθμὸς κοινόν ἐστιν αἰσθητὸν πασῶν·
ὁρῶμεν γὰρ ὅτι πέντε τυχὸν οἱ ἄνθρωποι, ἀλλὰ καὶ ψηλαφῶντες τὸ αὐτὸ
τοῦτο ἴσμεν, καὶ ἀκούοντες δὲ ἴσμεν ὅτι πλειόνων ἢ ἐλαττόνων ἢ ἑνός
ἐστιν ἡ προσπεσοῦσα φωνή. ἀπορήσειε δ' ἄν τις ἐν τούτοις, πῶς οὐχὶ ὁ
Ἀριστοτέλης λέγων τὸν ἀριθμὸν κοινὸν αἰσθητὸν εἶναι οὐ μόνον τοῖς ἄλλοις
35 ἐναντιοῦται φιλοσόφοις καὶ αὐτῇ τῇ ἐναργείᾳ τῶν πραγμάτων, ἀλλὰ καὶ 15
ἑαυτῷ· ἐν γὰρ τῇ Φυσικῇ εἰπὼν ἀριθμὸν κινήσεως εἶναι τὸν χρόνον τὸ
ἀριθμεῖν ἔφησε μόνου εἶναι τοῦ νοῦ· οὐδὲν γάρ, φησίν, ἀριθμεῖν δύναται

---

3. 4 ἁφῇ δὲ θερμότης A: post δὲ add. ταύτῃ σύστοιχα Dt 11 καὶ (ante πάσαις) om. t
14 ἤδη A Suid. s. v. Αἰσθήσεις: εἰ Dt 15 ᾠσθῆσθαι AD: αἰσθέσθαι t 17 ποσότητος A Suid. 20 τόδε τρίγωνον A: post τόδε add. τὸ Dt 21 ὅτι A Suid.: ὃ Dt 22 περιγέγραπται At: γέγραπται D 25 ὥσπερ γέγραπται D 26 ἀπόκρημνον] ἀπόκρυμον t 27 καὶ τοῦ αὐτοῦ τοῦ t 29 ὀξὺ A: ὀξὺν Dt ἢ] εἰς D
30 λίαν D αἰσθητὸν A: αἰσθητῶν Dt 36 ἐν τῇ Φυσικῇ] Δ 14 p. 223a25

ἀλλ' ἢ ἡ ψυχὴ καὶ ψυχῆς ὁ νοῦς. πῶς οὖν ἐκεῖ μὲν τὸν νοῦν μόνον i 8v
εἶπεν ἀντιλαμβάνεσθαι τοῦ ἀριθμοῦ, ἐνταῦθα δὲ τὴν αἴσθησιν; λέγομεν
οὖν ὅτι αὐτοῦ μὲν τοῦ εἴδους τοῦ ἀριθμοῦ ὁ νοῦς ἐστιν ἀντιληπτικός, ἡ
μέντοι αἴσθησις οὐχ ὡς τοσοῦδε ἀριθμοῦ ἀντιλαμβάνεται. ἀλλ' ἁπλῶς ὡς
5 πεπληθυσμένου ἢ μονάδος, καὶ ὡς ἐλάττονος πλήθους ἢ πλείονος· ὁ δὲ 20
νοῦς ἐστιν ὁ διὰ τῆς αἰσθήσεως καὶ τὸ τοῦ ἀριθμοῦ εἶδος ἐπιγινώσκων.
ὅτι δὲ καὶ ἡ ἀκοὴ τοῦ ἀριθμοῦ τούτου ἀντιλαμβάνεται, πρόδηλον. Ἵππων
μέν', φησίν, ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει· οἷδε γὰρ ὅτι πλειόνων
αἱ προσπεσοῦσαι φωναὶ φθόγγων εἰσὶν ἢ ἑνός. ὅτι δὲ καὶ γεύσει καὶ
10 ὀσφρήσει αἰσθητός ἐστιν ἀριθμός, δῆλον· αἰσθάνεται γὰρ καὶ ἡ ὄσφρησις
διαφόρων ὀσμῶν, ὡς ὅταν δυσώδης καὶ εὐώδης ἀτμὸς ὁμοῦ προσπέσῃ
ἤγουν καὶ διάφοροι κατ' εἶδος, ἢ εὐώδεις ἢ δυσώδεις. ὁμοίως καὶ ἡ γεῦσις· 25
εἰ κεραννύει γοῦν ἀψίνθιον μέλιτι, συναισθάνεται ἀμφοτέρων. καὶ ἡ κίνησις
δὲ καὶ ἡ στάσις κοινά εἰσιν αἰσθητὰ πασῶν τῶν αἰσθήσεων πλὴν τῆς
15 γεύσεως. ὅτι μὲν γὰρ ἡ ὄψις αἰσθάνεται τοῦ τρέχοντος καὶ ἱσταμένου,
πρόδηλον. ἀλλὰ καὶ ἀκοή· εἰ μὲν γὰρ ἀπὸ τοῦ αὐτοῦ τόπου προσβάλλοι
ἡμῖν ὁ ψόφος, αἰσθάνεται ὅτι ἕστηκε τὸ ψοφοῦν, εἰ δὲ μὴ ἀπὸ τοῦ αὐτοῦ,
ἀλλὰ ἄλλοτε ἐξ ἄλλου, ὅτι κινεῖται· καὶ ἐπὶ τῶν ἀτμῶν ὡσαύτως. καὶ ἡ
ἁφὴ δὲ πρόδηλον ὡς αἰσθάνεται τοῦ κινουμένου τε καὶ ἱσταμένου· αἰσθά- 30
20 νεται γοῦν τὸ σῶμα ἐν ὕδατι ὂν ἢ ἱσταμένου αὐτοῦ ἢ παραρρέοντος.
μήποτε δὲ καὶ ἡ γεῦσις, εἰ τὸ γευστὸν παρατρέχοι τὸ αἰσθητήριον,
αἰσθάνεται τῆς κινήσεως ἢ τῆς στάσεως. εἰ γοῦν τις ῥάβδον χρίσοι μέλιτι,
εἶτα διὰ τοῦ στόματος παραφέροι, ἀντιλήψεται τοῦ χυμοῦ μὴ ἑστῶτος·
πλὴν εἰ τὴν ἁφὴν τῆς τοιαύτης αἰτιάσαιτό τις, οὐ τὴν γεῦσιν. οὐ διαφε-
25 ρόμεθα. ἔστιν οὖν ἀριθμὸς μὲν πάσαις αἰσθητός. στάσις δὲ καὶ κίνησις
ἄνευ γεύσεως ταῖς λοιπαῖς. σχῆμα δὲ καὶ μέγεθος ταῖς † τρισίν. ὄψει, ἀκοῇ,
ὀσφρήσει. κατὰ συμβεβηκὸς δέ εἰσιν αἰσθηταὶ αἱ οὐσίαι· καθ' αὑτὸ μὲν 35
γὰρ ἀντιλαμβάνεται ἡ ὄψις τοῦ χρώματος ἢ τοῦ σχήματος, κατὰ συμβεβηκὸς
δ' ὅτι τοῦτο Σωκράτης· ὁ γὰρ νοῦς ἐστιν τῶν οὐσιῶν ἀντιληπτικός. καὶ
30 τὰ ἑκάστης δ' ἴδια αἰσθητὰ ταῖς λοιπαῖς κατὰ συμβεβηκὸς εἰσιν αἰσθητά.
ἑωρακότες γάρ τι ξανθὸν οἷον στόρακά φαμεν ὅτι εὐῶδές τι εἶδον· κατὰ
συμβεβηκὸς γὰρ τὸ εὐῶδες ἰδεῖν λέγω. καὶ ὀσφρανθεὶς στόρακός φημι
ὅτι ξανθοῦ ὠσφράνθην, καὶ ἠχήσαντος ἀργύρου φημὶ ἀργύρου ἀκηκοέναι
ἢ λευκοῦ ἀκηκοέναι, ὁμοίως εἰ ξύλον εἴη τὸ ψοφοῦν, καὶ ἐπὶ πάντων 40
35 ὡσαύτως· καὶ γὰρ μέλιτός τις γευσάμενος ἐρεῖ τοῦ ξανθοῦ γεγεῦσθαι.
ταῦτα οὖν πάντα κατὰ συμβεβηκός εἰσιν αἰσθητά, αἵ τε οὐσίαι καὶ τὰ
ἑκάστης αἰσθητὰ ταῖς ἄλλαις. ποῖα μὲν οὖν τὰ ἴδια αἰσθητὰ καὶ ποῖα
τὰ κοινὰ καὶ ποῖα τὰ κατὰ συμβεβηκός, εἴρηται· τίς δὲ ἡ διάκρισις αὐτῶν
ἀπ' ἀλλήλων καὶ ποῖα τὰ χαρακτηριστικὰ ἑκάστου, εἰσόμεθα τὸ ῥητὸν

1 ἀλλ' ἢ A: om. Dt 8 μέν] fort. με, cf. Il. K 535 οἷδε t 10 αἰσθητὸν D 16 προσβάλλοι D: προσβάλοι A: προσβάλλει t 18 ἄλλοτε A: ἄλλος τε Dt 21 εἰ τὸ D: ἢ τὸ At παρατρέχοι At 22 χρίσοι D 24 αἰτιάσαιτό τις A: αἰτίας αὐτό τις Dt 26. 27 τρισὶν — ὀσφρήσει, [illegible] ὄψει καὶ ἁφῇ 27 αἱ οὐσίαι A: om. Dt 31 εἶδον A: ἰδὼν Dt

ἐπιόντες. ἰστέον δὲ ὅτι τὰ μὲν τῇ ὄψει καὶ τῇ ἀκοῇ καὶ τῇ γεύσει ὑπο- i 8v
κείμενα αἰσθητὰ ὠνόμασται κοινοῖς ὑπὸ τῆς συνηθείας ὀνόμασι, τὰ μὲν 45
τῆς ὄψεως χρώματα, τὰ δὲ τῆς ἀκοῆς ψόφοι, τὰ δὲ τῆς γεύσεως χυμοί· τὰ μέντοι τῇ ἁφῇ καὶ τῇ ὀσφρήσει ὑποκείμενα οὐκέτι κοινοῖς ὠνόμασται
5 ὀνόμασιν· τὸ γὰρ ἁπτὰ ἢ ὀσφραντὰ λέγειν οὐκ αὐτῶν ἐστιν ὀνομασία, ἀλλὰ τῆς σχέσεως αὐτῶν τῆς πρὸς τὴν αἴσθησιν, ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν τὸ ὁρατὰ λέγειν ἢ ἀκουστὰ ἢ γευστά. ἀλλ' οὐδὲ τῷ τῶν ἀτμῶν ὀνόματι κυρίως ἐχρησάμεθα ἐπὶ τῆς ὀσφρήσεως· ἀτμοὶ γὰρ καὶ οἱ ἐξ ὕδατος ἀνιόντες, ἀλλ' οὐκ ὀσφραντοί. τῇ μὲν ὀσφρήσει μία τις ἀντίθεσις 50
10 ἀντίκειται ἡ κατὰ τὸ εὐῶδες καὶ δυσῶδες, ἥτις, ὡς εἶπον, κοινὸν ὄνομα κείμενον οὐκ ἔχει· ὁμοίως οὐδὲ αἱ τῇ ἁφῇ ὑποκείμεναι πλείους οὖσαι ἀντιθέσεις, θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, σκληρὸν μαλακόν, καὶ αἱ λοιπαί.

p. 418a 11 Λέγω δ' ἴδιον μὲν ὃ μὴ ἐνδέχεται ἑτέρᾳ αἰσθήσει αἰσθάνεσθαι, καὶ περὶ ὃ μὴ ἐνδέχεται ἀπατηθῆναι. |

15 Διακρίνει τὰ ἴδια αἰσθητὰ ἀπὸ τῶν ἄλλων τῷ τε μὴ ἄλλῃ αἰσθήσει k 1r
αἰσθητὰ εἶναι, ὅπερ οὔτε τὰ κοινὰ οὔτε τὰ κατὰ συμβεβηκὸς αἰσθητὰ ἔχουσι· πλείοσι γὰρ μιᾶς ἀντιλαμβανόμεθα ἐκείνων. καὶ περὶ μὲν τῶν κοινῶν αἰσθητῶν δῆλον, περὶ δὲ τῶν κατὰ συμβεβηκὸς ὅτι οὐ μόνον ἑωρακότες τόδε τὸ λευκὸν αἰσθανόμεθα κατὰ συμβεβηκὸς ὅτι Σωκράτης
20 ἐστίν, ἀλλὰ καὶ φωνῆς ἀκούσαντες γνωρίζομεν πάλιν κατὰ συμβεβηκὸς τὴν 5
οὐσίαν, καὶ οὐ μόνον τῇ ὄψει γνωρίζομεν τόδε τὸ ξύλον ἤ τι τῶν δυσωδῶν ἢ εὐωδῶν, ἀλλὰ καὶ τῇ ὀσφρήσει· αἰσθηθέντες γὰρ τοιᾶσδε ὀσμῆς, κἂν μὴ θεασώμεθα, ἴσμεν τὴν οὐσίαν ἐξ ἧς ἡ ὀσμὴ καὶ τὸ χρῶμα. ὁμοίως καὶ τῇ γεύσει κατὰ συμβεβηκὸς γνωρίζομεν τὰς οὐσίας ἢ τῇ ἁφῇ, γεύσει
25 μὲν ὡς τὸ μέλι ἤ τι τοιοῦτον, ἁφῇ δὲ ἄρτον, λίθον, κρέας καὶ τὰ ὅμοια. μία μὲν οὖν διάκρισις τῶν ἰδίᾳ αἰσθητῶν καὶ τῶν κοινῶν καὶ τῶν κατὰ συμβεβηκὸς αὕτη· ἑτέρα δὲ ὅτι περὶ μὲν τὰ ἴδια αἰσθητὰ κατὰ φύσιν 10
ἐχουσῶν τῶν αἰσθήσεων καὶ ἐξ ὧν πεφύκασι τόπων ἀντιλαμβάνεσθαι προσβαλλουσῶν τοῖς αἰσθητοῖς, οὐκ ἀπατῶνται περὶ αὐτά, περὶ μέντοι τὰ
30 κοινῶς αἰσθητὰ καὶ κατὰ συμβεβηκὸς ἀπάτη γίνεται. οὔτε γὰρ νοσοῦσαι οὔτε παρὰ φύσιν ἔχουσαι αἱ αἰσθήσεις, οὔτε ὁποσουοῦν διαστήματος ὄντων τῶν αἰσθητῶν ἀντιλαμβάνονται οὔτε ὁπουδήποτε κειμένων· οὐ γὰρ καὶ τὰ ὄπισθεν ὁρᾷ ἡ ὄψις χρώματα, ἀλλὰ τὰ ἔμπροσθεν (οὕτω γὰρ πέφυκεν) 15
οὐδὲ τὰ ἔμπροσθεν μέν, ἀπὸ τοῦ τυχόντος δὲ διαστήματος· ἀλλὰ ἀληθεύοι
35 ἄν, ὅταν ταῦτά τε αὐτῇ παρῇ καὶ πρὸς τούτοις τὸ φῶς. περὶ δὲ τὰ κοινὰ αἰσθητὰ πλάνη γίνεται, ἔτι τε καὶ περὶ τὰ κατὰ συμβεβηκός. πόρρωθεν

---

8 οἱ om. t 10 ἡ scripsi: τῇ ADt 12 post λοιπαί add. κατ' ἐναντίωσιν συστοιχίαι A 14 αἴσθεσθαι D 15 διακρίσει D τῷ scripsi: τῶν Dt μὴ ἄλλῃ—ἡ δὲ τοῦ (p. 315,15) uno folio exsecto desiderantur in codice D 31 ὁποσουοῦν Diels: ἀπὸ σοῦ οὖν t: fort. ἀπὸ ὁσουοῦν 32 ὁπουδήποτε Diels: σπουδῆ ποτὲ t 36 περὶ τὰ A: τὸ t

γὰρ ἑωρακότες τόδε τὸ λευκὸν ὅτι μὲν λευκόν ἐστιν ἴσμεν, πότερον δὲ k 1r
λίθος ἐστὶν ἢ ξύλον ἤ τι τοιοῦτον, ἀγνοοῦμεν καὶ πολλάκις πλανώμεθα ἄλλο
ἀντ' ἄλλου νομίζοντες. καὶ φωνῆς μὲν ἀκούσαντες, μὴ ὁρῶντες δὲ τὸ
φωνοῦν πλανώμεθα περὶ τὸν τόπον, ὅθεν ἡ φωνή. καὶ ὁ τόπος δὲ τῶν 20
5 κατὰ συμβεβηκός ἐστιν αἰσθητῶν, ὡς δείξομεν ἐφεξῆς. ἔτι τε καὶ περὶ
τὰ σχήματα πλάνη γίνεται· τὰ γοῦν εὐθύγραμμα πόρρωθεν ὁρώμενα περι-
φερῆ φαίνονται καὶ τὰ γεγωνιωμένα ἀγώνια. ἀλλὰ καὶ τὰ περιφερῆ
εὐθύγραμμα δοκεῖ πόρρωθεν προσβάλλοντα κατὰ αὐτὴν τὴν γραμμήν. ὅπερ
ἐπὶ τῆς διχοτόμου γίνεται σελήνης· τὴν γοῦν διορίζουσαν γραμμὴν τὸ
10 πεφωτισμένον ἀπὸ τοῦ ἀφωτίστου κυκλοτερῆ οὖσαν εὐθεῖαν νομίζομεν.
ἀλλὰ καὶ κινούμενόν τι ὁρῶντες ἑστάναι νομίζομεν, ὅταν πόρρωθεν ᾖ, καὶ 25
τὸ ἑστὸς κινεῖσθαι, ὡς ὅταν οἱ πλέοντες τὴν γῆν κινεῖσθαι νομίζουσιν,
ἑαυτοὺς δ' ἑστάναι. ὁμοίως δὲ καὶ τὰ μεγέθη πόρρωθεν φαινόμενα καὶ
ἐγγύθεν οὐχ ὁμοίως ἡμῖν προσβάλλουσιν, οὔτε τὰ δι' ὕδατος καὶ ἀέρος·
15 μείζονα γὰρ τὰ δι' ὕδατος φαίνονται. ἀλλὰ καὶ περὶ τὸν ἀριθμὸν γίνεται
πλάνη· πολλάκις γοῦν πλειόνων ᾀδόντων ἀκούσαντες δι' ὁμοιότητα μίαν
εἶναι τὴν φωνὴν νομίζομεν, καὶ τὰ πόρρωθεν διακεκριμένα ὡς ἡνωμένα
πολλάκις ὁρῶμεν.

p. 418a 13 Ἡ δ' ἁφὴ πλείους μὲν ἔχει διαφοράς. ἀλλ' ἑκάστη 30
20 γε κρίνει περὶ τούτων, καὶ οὐκ ἀπατᾶται ὅτι χρῶμα οὐδ' ὅτι
ψόφος, ἀλλὰ τί τὸ κεχρωσμένον ἢ ποῦ, ἢ τί τὸ ψοφοῦν ἢ ποῦ.
τὰ μὲν οὖν τοιαῦτα λέγεται ἴδια ἑκάστου.

Οὐχ ὥσπερ ἡ γεῦσις χυμῶν ἀντιληπτική ἐστι μόνων καὶ ἡ ὄψις
χρωμάτων καὶ ἡ ὄσφρησις ὀσμῶν καὶ ἡ ἀκοὴ ψόφων, οὕτω καὶ τὰ τῆς
25 ἁφῆς αἰσθητὰ ἑνὶ ἔστιν ὀνόματι περιλαβεῖν. ἑκάστη μὲν γὰρ τῶν ἄλλων 35
αἰσθήσεων περὶ μίαν ἔχει ἀντίθεσιν· ὄψις μὲν γὰρ περὶ λευκὸν καὶ μέλαν
καὶ τὰ μεταξύ, γεῦσις δὲ περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ τὸ μεταξύ,
ὄσφρησις δὲ περὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες, ἀκοὴ δὲ περὶ τὸν ὀξὺν καὶ
βαρὺν ψόφον· ἡ μέντοι γε ἁφὴ περὶ πλείους ἔχει ἀντιθέσεις μὴ δυνα-
30 μένας ὑπὸ μίαν κοινὴν ἀντίθεσιν ἀναχθῆναι. καὶ γὰρ λείων καὶ τραχέων
ἀντιλαμβάνεται, καὶ σκληρῶν καὶ μαλακῶν, καὶ βαρέων καὶ κούφων, καὶ
θερμῶν καὶ ψυχρῶν, καὶ ξηρῶν καὶ ὑγρῶν, ἅτινα οὐκ εἰσὶν ὑπ' ἄλληλα. 40
ὅθεν καὶ ἀπορήσει ἐν τοῖς ἑξῆς, μήποτε οὐδὲ ἔστιν αἴσθησις ἡ ἁφή, ἢ εἰ
καὶ αἴσθησις, οὐ μία ἐστὶν ἀλλὰ πλείους, εἴ γε αἱ μὲν ἄλλαι μιᾶς ἀντι-
35 θέσεως ἀντιλαμβάνονται. αὕτη δὲ πλειόνων. ἀλλ' εἰ καὶ πλείους ἔχει
διαφορὰς ἡ ἁφή, ὧν ἐστιν αἰτία ἀντιληπτική, οὐ διὰ τοῦτο ἀλλοιοτέρα· ἡ
ταύτης κρίσις τῶν ἄλλων ἐστίν· ἀλλ' ἑκάστη τῶν αἰσθήσεων κρίνει ὁμοίως
περὶ τῶν ἰδίων, καὶ οὐκ ἀπατᾶται ἐν αὐτοῖς (τὸ γὰρ ἀλλ' ἑκάστη γε

8 προσβάλλοντα scripsi: προσβάλλομεν t 9 τὸ scripsi: τὸν t 11 καὶ (post ᾖ) A: om. t 14 προβάλλουσιν t 35 ἀλλ' εἰ A: ἀλλὰ t

κρίνει περὶ τούτων περὶ πασῶν εἴρηκε τῶν αἰσθήσεων, οὐ τῆς ἁφῆς k 1r
μόνης), ἀλλ' ἔστιν ἀπάτη αὐταῖς περὶ ταῦτα, οἷς τὰ οἰκεῖα αὐτῶν αἰσθητὰ 45
συμβέβηκεν· οὐ γὰρ περὶ τὸ χρῶμα ἡ ἀπάτη, ἀλλὰ περὶ ὃ τὸ χρῶμα,
οὐδὲ περὶ τὸν ψόφον, ἀλλὰ περὶ τὸ ψοφοῦν, ἅπερ ἐστὶ κατὰ συμβεβηκὸς
5 αἰσθητά.

p. 418a17 Κοινὰ δὲ κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα, μέγεθος· τὰ γὰρ τοιαῦτα οὐδεμιᾶς ἐστιν ἴδια, ἀλλὰ κοινὰ πάσαις· καὶ γὰρ καὶ ἁφῇ κίνησίς ἐστί τις αἰσθητὴ καὶ ὄψει. 50

Εἰπὼν περὶ τῶν ἰδίων αἰσθητῶν νῦν λέγει περὶ τῶν κοινῶν· κοινὰ δὲ
10 ταῦτά φησιν, ὅτι οὐδεμιᾶς ἰδίως, ἀλλὰ πασῶν κοινά. πασῶν δὲ εἶπεν,
οὐχ ὅτι τὰ πέντε ταῖς πέντε εἰσὶν αἰσθητά (οὐ γὰρ ἕκαστον αὐ|τῶν k 1v
πάσαις αἰσθητὸν εἶναι δοκεῖ), ἀλλ' ὅτι τὰ μὲν πάσαις, τὰ δὲ πλείοσιν, ὡς
ἤδη εἴπομεν. δύναται γὰρ τὸ μέγεθος κατ' ἀναλογίαν καὶ ἐπὶ ὀσφρήσεως
λαμβάνεσθαι καὶ γεύσεως· εἰσὶ γὰρ καὶ αὗται τοῦ οἰκείου μεγέθους ἀντι-
15 ληπτικαί, ἡ μὲν τοῦ ἐν ὀσμαῖς, ἡ δὲ τοῦ ἐν χυμοῖς, εἰ καὶ μὴ οἶδεν
ἐπὶ τούτων ἡ συνήθεια τὸ τοῦ μεγέθους ὄνομα.

p. 418a20 Κατὰ συμβεβηκὸς δὲ λέγεται αἰσθητόν, οἷον εἰ τὸ 5
λευκὸν εἴη Διάρης.

Εἰπὼν περὶ τῶν ἰδίᾳ αἰσθητῶν, εἰπὼν καὶ περὶ τῶν κοινῶν, νῦν
20 λέγει καὶ περὶ τῶν κατὰ συμβεβηκός· εἰς γὰρ τὰ τρία ταῦτα τῶν αἰσθητῶν
τὴν διαίρεσιν ἐποιήσατο. λέγεται δὲ ὁ Διάρης οὗτος φίλος εἶναι τῷ
Ἀριστοτέλει· φέρονται γοῦν αὐτοῦ πρὸς αὐτὸν ἐπιστολαί. τὸ οὖν λευκὸν
τὸ ἐν τούτῳ καθ' αὑτὸ μὲν ὁρᾷ ἡ ὄψις, κατὰ συμβεβηκὸς δὲ ὅτι ἔστι 10
Διάρης οἶδεν. τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσι 'Διάρους υἱός'.

25 p. 418a23 Διὸ καὶ οὐδὲν πάσχει ᾗ τοιοῦτον ὑπὸ τοῦ αἰσθητοῦ.

Τὰ μὲν ἴδια αἰσθητὰ τῶν κοινῶν αἰσθητῶν καὶ τῶν κατὰ συμβεβηκὸς
διέκρινε τῷ περὶ ἐκεῖνα μὲν πλάνην μὴ συμβαίνειν, περὶ ταῦτα δ' ἐνίοτε
συμβαίνειν. ἐν γὰρ τῷ τῆς περιστερᾶς τραχήλῳ καὶ ἐν τοῖς τοιούτοις, 15
ὅσα ποικίλων χρωμάτων ἔχει μῖξιν, ἡ ποικιλία αἰτία καὶ ἡ μῖξις καὶ ἡ
30 πρὸς τὴν ἀκτῖνα τούτων σχέσις τῆς ἄλλοτε ἄλλως ἀντιλήψεως καὶ ἀπάτης.
νῦν δὲ τῶν καθ' αὑτὰ αἰσθητῶν τὰ κατὰ συμβεβηκὸς διακρίνει. ὑπὸ μὲν

---

2 αὐταῖς scripsi: αὐτῆς t 8 post ὄψει add. ex Ald. καθ' αὑτὰ μὲν οὖν ἐστιν αἰσθητὰ ταῦτα t 18 διάρης D: διάρους υἱός t Arist. vulg. 19 εἰπὼν δὲ καὶ t 25 ᾗ t Arist. vulg.: om. D Arist. SUX 28 τοῖς τούτοις D 30 τῆς scripsi: τις Dt

γὰρ τῶν καθ' αὑτό, φησίν, αἰσθητῶν πάσχουσιν αἱ αἰσθήσεις, οὐκέτι δὲ k 1ᵛ
καὶ ὑπὸ τῶν κατὰ συμβεβηκός. καὶ ὅτι μὲν τὰ ἴδια αἰσθητὰ ὁρῶσι περὶ
τὰς αἰσθήσεις, πρόδηλον· ὅτι δὲ καὶ τὰ κοινά, φανερὸν ἐντεῦθεν. τό τε
γὰρ ὀξυγώνιον ἄλλως ὁρᾷ περὶ τὴν ὄψιν· ἀνιᾷ γὰρ αὐτήν· ἤδη δὲ τὸ 20
5 ἀμβλυγώνιον, καὶ μᾶλλον τὸ λεῖον καὶ ἀγώνιον. καὶ περὶ τὴν ἁφὴν δὲ
πρόδηλον ὅτι οὐχ ὁμοίως ὁρᾷ τὰ διάφορα σχήματα, ἀλλὰ ἄλλως μὲν τὸ
ὀξυγώνιον, ἄλλως δὲ τὸ ἀμβλυγώνιον ἢ τὸ ἀγώνιον. ὁμοίως καὶ ἐπὶ κινή-
σεως καὶ στάσεως· οὔτε γὰρ τὸ αὐτὸ πάθος ὑπομένει ἡ ἀκοὴ ψόφου
κινουμένου ἢ ἑστῶτος ἀκούουσα. ὁμοίως καὶ τῇ ὄψει γίνεταί τι πάθος
10 ὑπὸ τούτων διάφορον, εἰ καὶ λόγῳ μὴ ἑρμηνεύειν τὰς ἰδιότητας αὐτῶν
δυνάμεθα. ἀλλὰ καὶ ἡ ἁφὴ ἄλλο τι πάθος ὑπομένει κινουμένου τοῦ 25
ἁπτοῦ, καὶ ἄλλο ἑστῶτος. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν ἐν ποταμῷ ῥέοντι
ἑστῶτες μιᾶς οὔσης τοῦ ὕδατος συνεχείας καὶ ὁμοίως, ᾗ ὕδωρ ἐστί, ὁρῶντος
εἰς τὴν ἁφὴν συνῃσθόμεθα ὅτι κινεῖται. καὶ ἐὰν στῇ, ὅτι ἕστη. πρόδηλον
15 οὖν καὶ ἐκ τούτου ὅτι γίνεται μέν τι διάφορον πάθος τῇ αἰσθήσει παρὰ
ταῦτα, οὐ ῥητὸν δὲ τοῦτο, ὡς ἔχει καὶ ἐπὶ ἀριθμοῦ. πάσχομεν γάρ τι
πάθος διάφορον πλήθους ἀκούοντες ἢ ἑνός· ὅθεν καὶ ἐκκρουόμεθα ὑπὸ
τοῦ πλήθους τῶν φωνῶν, ὅπερ οὐκ ἂν συνέβη, εἰ μὴ ἔπασχέν τι ὑπὸ 30
τοῦ πλήθους ἡ ἀκοή. ἀλλὰ καὶ δύο χρώματα ὁρῶντες, κἂν ὅμοια ᾖ,
20 ἄλλως διατιθέμεθα τὴν ὄψιν. καὶ σαφὲς τοῦτο γίνεται, εἰ δύο λύχνοις
ἅμα προσβάλλοι ἡ ὄψις· ἐκκρούεται γοῦν κἀνταῦθα ἡ ὄψις ἐν τῇ ἀντιλήψει
τῶν ὁρατῶν. καίτοι τοῦτο οὐκέτι πάσχει, εἰ ἑνωθείη τὸ τῶν λύχνων πῦρ,
οὐ μόνον τῶν δύο, ἀλλὰ καὶ πλειόνων. πόθεν δὲ καὶ πλήθους τῇ ἁφῇ
ἀντιλαμβανόμεθα ἢ τῇ γεύσει, εἰ μή τι διάφορον ὑπ' αὐτοῦ ἐπάσχομεν
25 πάθος; εἰ μὴ πρὸς τοῦτό τις ἀντείποι ὅτι ἡ ἁφὴ ὅταν αἰσθάνηται τοῦ 35
πλήθους, οὐκ ἄλλο τι πάθος πάσχει, ἀλλ' ἐπεὶ δι' ὅλου τὸ σῶμα ἁπτικόν ἐστι,
πλείονά ἐστι μόρια τὰ ἀντιλαμβανόμενα τῶν προσπελασάντων, καὶ οὕτως
ἡ φαντασία, μᾶλλον δὲ ὁ λόγος συλλογίζεται ὅτι πλείους οἱ ἁψάμενοι.
μήποτε δὲ καὶ ἐπὶ τῶν ὄψεων τὸ αὐτὸ συμβαίνει· ἄλλων γὰρ ὄψεων ἄλλως
30 ὁρατῷ προσβαλλουσῶν συμβαίνει τῆς κρινούσης δυνάμεως μεριστῆς οὔσης
περὶ τὸ σῶμα καὶ διεσπασμένως ἀντιλαμβανομένης τῶν ὁρατῶν συγχεῖσθαι
τὸ φανταστικὸν ἅμα πλείονας τύπους δέξασθαι μὴ δυνάμενον. ὥστε οὐχ 40
ἕτερον ἡ αἴσθησις ὑπομένει πάθος· δεῖ γάρ, εἰ μὴ μέλλοι συγχεῖσθαι ἡ
φαντασία, ἓν καὶ συνεχὲς τῆς αἰσθήσεως τὸ πάθος εἰς αὐτὴν παραπέμ-
35 πεσθαι. ἔτι δὲ καὶ τὸ μέγεθος δόξει ὁρᾶν τι καὶ εἰς τὴν ὄψιν καὶ εἰς τὴν
ἁφήν· ὑπὸ γὰρ τοῦ μείζονος χρώματος ἢ μείζονος θερμοῦ μᾶλλον συγκρί-

---

4 ἤδη] fort. ἥδει 15 μέν τοι t 17 πλῆθος ἀκούοντες t 18 post ὅπερ add. καὶ t 20 εἰ] ἢ D 21 προσβάλλοι D: προσβάλοι A: προσβάλλει t ἐκκρούεται A: ἐκκρούε D: ἐκρούετο t 22. 23 πῦρ οὐ μόνον A: πυρούμενον Dt 24 αὐτοῦ ἐπάσχομεν A: αὐτοὺς πάσχωμεν Dt 26 τὸ σῶμα A: τοῦ σώματος Dt 27 προπελασάντων D 29 ἄλλων] πολλῶν A 30 προβαλλουσῶν t 31 διεσπαμένας (sic) D 33 μέλλει t

νεται ἢ διακρίνεται τὰ αἰσθητήρια, ἡ ἁφὴ καὶ ἡ ὄψις, ἧ μέγεθος τοσόνδε k 1v
ἔχει ἤγουν ἐν τοσῷδε μεγέθει ἐστίν, ἥπερ ὑπὸ τοῦ ἐν ἐλάττονι μεγέθει
ὁμοίως ὄντος λευκοῦ. καίτοι καθὸ λευκὸν ἢ καθὸ θερμὸν γίνεται, ⟨τί⟩ 45
μᾶλλον δράσει τὸ μέγα τοῦ μικροῦ καὶ τὸ πολὺ τοῦ ὀλίγου;// ἀλλὰ καὶ
5 πρὸς τοῦτο εἴποι τις ἂν ὅτι ἀθρόαι οὖσαι αἱ δυνάμεις ῥώννυνται μᾶλλον
καὶ ἑαυτῶν δυναμικώτεραι γίνονται, ὡς ἐπὶ τῶν βαρῶν ἐστι προφανές·
συνιόντα γοῦν τὰ βάρη βαρύτερα γίνεται ἅμα ὄντα ἢ ὅτε ἦν διακεκριμένα.
ὅταν οὖν ἐν μείζονι ᾖ ὑποκειμένῳ τὸ χρῶμα, κἂν τὸ αὐτὸ ᾖ τῷ ποιῷ,
μᾶλλον δράσοι ῥωννύμενον ὑπὸ τῆς τῶν ὁμοίων συνεχείας. ὅπερ καὶ ἐπὶ
10 τοῦ πυρὸς γίνεται· μᾶλλον γὰρ καίει τὸ πλεῖον.// ἰστέον δὲ ὅτι τὰ κοινὰ 50
αἰσθητὰ κεχωρισμένα μὲν τῶν ἰδίων αἰσθητῶν οὐδὲ δρᾷ τι περὶ τὰς
αἰσθήσεις οὐδ' ὅλως ἐστὶν ἀντιληπτά, οἷον τοῦ σχήματος οὐκ ἂν ἀντιλάβοιτο
ὄψις, εἰ ἄχρουν εἴη τὸ ἐσχηματισμένον· ἀλλ' οὐδὲ ἁφή, εἰ μή τινα ἔχοι
τῶν ἁπτῶν ποιοτήτων, καὶ ἐπὶ τῶν | λοιπῶν ὡσαύτως. διὸ καὶ δόξαιεν k 2r
15 ἂν καὶ αὐτὰ τῶν κατὰ συμβεβηκὸς εἶναι αἰσθητῶν, ἐπεὶ δι' ἄλλων τὴν
ἑαυτῶν ἀντίληψιν παρέχονται. ἀλλά φημι ὅτι εἰ τὰ κατὰ συμβεβηκὸς
αἰσθητὰ δι' αὐτὸ τοῦτο μηδὲν δρᾷ εἰς τὰς αἰσθήσεις, πάσχουσι δὲ ὑπὸ
τούτων αἱ αἰσθήσεις, δῆλον ὅτι οὐκ ἂν εἶεν κατὰ συμβεβηκὸς αἰσθητά,
ἀλλὰ δευτέρως μὲν εἰ τύχοι αἰσθητά, καθ' αὑτὸ μέντοι. καὶ ὥσπερ οὐκ
20 ἐπειδὴ ἄνευ φωτὸς ἢ τοῦ διαφανοῦς ἢ τοῦ μεταξὺ οὐ δρῶσι τὰ ἴδια 5
αἰσθητὰ περὶ τὰς αἰσθήσεις, [καὶ] οὐ διὰ τοῦτό φαμεν κατὰ συμβεβηκὸς
αὐτὰ αἰσθητὰ εἶναι, οὕτω δὴ κἂν τὰ κοινὰ μὴ δρῶσιν ἄνευ τῶν ἰδίων,
ἐπειδὴ ὅλως μετ' ἐκείνων ὄντα δρῶσι, καθ' αὑτὸ ἂν εἴη αἰσθητὰ ταύταις,
περὶ ἃς καὶ δρῶσιν. ὥστε εἴ τις αἴσθησις μὴ πάσχει ὑπὸ τούτων, οὐκ
25 ἂν εἶεν ταύτῃ τῇ αἰσθήσει αἰσθητά, εἰ μὴ κατὰ συμβεβηκός.// ζητήσειε
δ' ἄν τις ὅτι εἰ τὰ κατὰ συμβεβηκὸς αἰσθητὰ αἱ οὐσίαι εἰσίν, ταύτας δὲ
μόνος ὁ λόγος γινώσκει ὀργάνῳ τῇ αἰσθήσει χρώμενος, διόπερ ὅλως καὶ 10
κατὰ συμβεβηκὸς αἰσθητὰ λέγεται, πόθεν γινώσκει ὁ κύων τὸν δεσπότην
καὶ ὁ ὄνος τὴν φάτνην καὶ εἴ τι τοιοῦτον ἄλλο ἐπὶ τῶν ἀλόγων ὁρᾶται.
30 φημὶ ὅτι οὐχ ὡς οὐσιῶν αἰσθάνεται, ἀλλ' ὡς τοιῶνδε σχημάτων φίλων ἢ
ἀνιαρῶν γινομένων τῇ αἰσθήσει αὐτῶν ἔχοντα τοὺς τύπους ἐν τῇ φαντασίᾳ
γνωρίζει. εἰ δὲ καὶ ἐν τοῖς ἀλόγοις ἡ τούτων αἴσθησις γίνεται, σχημάτων
φημὶ καὶ ἀριθμῶν καὶ τῶν λοιπῶν (διακρίνει γὰρ τὸ οἰκεῖον ἀπὸ τοῦ 15
ἀλλοτρίου, καὶ κινούμενον τὸ ὀρεκτὸν διώκει, ὡς δὴ καὶ πλήθους αἰσθανό-
35 μενα καὶ κινήσεως), καὶ ἐντεῦθεν δέ τις τὸ καθ' αὑτὸ εἶναι αὐτὰ αἰσθητὰ
κατασκευάσει· δρᾷ γὰρ καὶ περὶ τὰ ἄλογα ζῷα, ἐπεὶ οὐδὲ ἂν ἐμινώσκετο
ὑπ' αὐτῶν· οὐδενὸς γὰρ ἐκεῖνα κατὰ συμβεβηκὸς αἰσθάνεται, ἐπεὶ μηδὲ

---

1 ᾖ A: ἡ Dt 2 τῶσῶδε (sic) D ἥπερ scripsi: εἴπερ ADt 3 τί addidi
4 καὶ τὸ A: καὶ om. Dt 5 αἱ δυνάμεις A: δυνάμει Dt 6 ante καὶ add. δὲ t
βαρέων t 21 καὶ delevi 23 εἴη AD: εἶεν t 24 περὶ ἃ A 30 post
αἰσθάνεται add. τούτων t 31 ἔχοντα A: ἔχον D: ἔχονται t τόπους t
34 ὡς δὲ t 34. 35 αἰσθανόμεθα t

συλλογίσασθαι δύναται. τὰ γὰρ κατὰ συμβεβηκὸς αἰσθητὰ οὐδὲν δρᾷ εἰς k 2r
τὰς αἰσθήσεις καὶ δεῖται λόγου τοῦ ἐξ ἄλλων συλλογιζομένου. ἀλλὰ καὶ
ὁ τόπος κατὰ συμβεβηκός ἐστιν αἰσθητός· οὐδὲν γὰρ πάσχουσιν ὑπ' αὐτοῦ 20
αἱ αἰσθήσεις· οὐ γὰρ ἀντιλαμβάνεται τοῦ εἴδους τοῦ τόπου ἡ αἴσθησις, εἰ
5 μὴ ὡς σχήματος, καὶ τοῦτο οὐ δι' αὐτό, ἀλλὰ διὰ τὸ ἐν τόπῳ· ὥστε τῶν
κατὰ συμβεβηκὸς αἰσθητῶν καὶ οὗτος. ὅτι δὲ τὰ κοινὰ αἰσθητὰ οὐκ ἔστι
κατὰ συμβεβηκὸς αἰσθητά, ἀλλὰ καθ' αὑτό, ἔστι καὶ λογικῶς δεῖξαι τὸν
τρόπον τοῦτον· εἰ γὰρ τὸ σχῆμα καὶ τὸ μέγεθος ἀριθμός τε καὶ κίνησις
καὶ στάσις αἰσθητά εἰσιν (οὐ γὰρ δὴ νοητά· πάντα γὰρ τὰ ὄντα ἢ νοητά
10 ἐστιν ἢ αἰσθητά· εἰ οὖν μὴ νοητὰ τὰ εἰρημένα, αἰσθητὰ ἄρα καθ' αὑτό), 25
εἰ οὖν αἰσθητά, δεῖ εἶναι τὴν αἴσθησιν τὴν τούτων ἀντιληψομένην· τὸ γὰρ
αἰσθητὸν αἰσθήσει ἐστὶν αἰσθητόν. εἰ οὖν μήτε ἄλλη τις αἴσθησις τούτων
ἀντιλαμβάνεται καθ' αὑτό, μήτε μιᾷ τῶν ἕ ἴδιά ἐστιν αἰσθητά, τί λείπεται
ἢ τὸ πασῶν ἢ πλειόνων εἶναι κοινά; εἰ γὰρ μήτε ταύταις καθ' αὑτὰ μήτε
15 ἄλλαις ἀντιληπτὰ εἴη καθ' αὑτά, οὐδ' ἂν εἴη ὅλως αἰσθητά. ἀλλὰ μὴν
οὐδὲ νοητά ἐστιν· οὔτ' ἄρα αἰσθητὰ οὔτε νοητὰ ἂν εἴη, ὅπερ ἐστὶν ἀδύ-
νατον. [ἔτι δὲ καὶ τὸ μέγεθος δόξει δρᾶν τι καὶ εἰς τὴν ὄψιν καὶ εἰς τὴν 30
ἁφήν· ὑπὸ γὰρ τοῦ μείζονος χρώματος ἢ μείζονος θερμοῦ μᾶλλον συγκρί-
νεται ἢ διακρίνεται τὰ αἰσθητήρια, ἡ ἁφὴ καὶ ἡ ὄψις, ᾗ μέγεθος τοσόνδε
20 ἔχει ἤγουν ἐν τοσῷδε μεγέθει ὁμοίως ὄντος λευκοῦ. καίτοι καθὸ λευκὸν
ἢ καθὸ θερμὸν γάρ ἐστι μᾶλλον δράσει.]

p. 418a24 Τῶν δὲ καθ' αὑτὰ αἰσθητῶν τὰ ἴδια κυρίως ἐστὶν αἰσθητά, καὶ πρὸς ἃ ἡ οὐσία πέφυκεν ἑκάστης αἰσθήσεως. 35

Τίνα μέν ἐστι τὰ κατὰ συμβεβηκὸς αἰσθητά, σαφῶς ἐδήλωσεν· τὰ
25 γοῦν οὐκ ὄντα μὲν τῇ αὐτῶν φύσει αἰσθητά. ὑπάρχοντα δὲ τοῖς καθ' αὑτὰ
αἰσθητοῖς. συμβεβηκέναι δ' εἶπεν τῷ λευκῷ τὸν Διάρους υἱόν, οὐχ ὅτι
τῷ λευκῷ ὁ Διάρους υἱὸς συμβέβηκεν (οὐ γὰρ ἡ οὐσία ἐπισυμβαίνει τοῖς
συμβεβηκόσιν, ἀλλ' ἐκεῖνα ταύτῃ) ἀλλ' ὅτι συμβέβηκε τόδε τὸ ὁρατόν. τὸ
λευκὸν εἰ τύχοι. Διάρους (υἱὸν) εἶναι. τὸ δὲ μηδὲν πάσχειν τὴν ὄψιν 40
30 ὑπὸ τοῦ Διάρους υἱοῦ, καθὸ Διάρους υἱός, σημεῖον τοῦ κατὰ συμβεβηκὸς
αὐτοῦ αἰσθάνεσθαι τὴν ὄψιν. διττῶν δ' ὄντων τῶν καθ' αὑτὰ αἰσθητῶν,
τῶν μὲν κοινῶν, τῶν δ' ἰδίων ἑκάστης αἰσθήσεως, τὰ ἴδια ἑκάστης ταῦτά
φησιν εἶναι κυρίως αἰσθητά. οὗ τὴν αἰτίαν ἐδήλωσεν εἰπὼν καὶ πρὸς ἃ
ἡ οὐσία πέφυκεν ἑκάστης αἰσθήσεως. εἰ γὰρ ἑκάστης αἰσθήσεως τὸ
35 εἶναί ἐστι πρὸς τὰ ἴδια αἰσθητά, ταῦτα ἂν εἴη μάλιστα αἰσθητά. πρός τι

9 inter δὴ et νοητά spatium XIV fere litt. vacuum rel. D ὄντα ἢ νοητά A: ante ἢ add. καὶ Dt 13 μιᾷ A: μία Dt τί A: τι Dt
16 οὔτ' et οὔτε νοητὰ scripsi: οὐδ' et οὐδὲ κινητὰ Dt 17 ἔτι δὲ — δράσει (21) delevi coll. p. 316,35—317,4 20 τῷσῷδε D 24 συμβεβηκότα t
29 υἱὸν addidi

μὲν γὰρ ἡ αἴσθησις, πρός τι δέ ἐστιν οἷς τὸ εἶναι † ἑκάστῃ αἰσθήσει, k 2r
ταῦτα μάλιστα κυρίως αἰσθητά, τῇ μὲν ὄψει πρὸς ὁρατά, τῇ δὲ ἀκοῇ 45
πρὸς ἀκουστά, καὶ ταῖς λοιπαῖς ὁμοίως.

p. 418a26 Οὗ μὲν οὖν ἐστιν ἡ ὄψις, τοῦτό ἐστιν ὃ ὁρᾶται.

5 Εἰπὼν κοινῶς περὶ αἰσθήσεως καὶ αἰσθητῶν καὶ μέλλων ἰδίᾳ τὸν ἑκάστης αἰσθήσεως προχειρίσασθαι λόγον, πρότερον διαλέγεται περὶ τῶν ἰδίᾳ ἑκάστῃ αἰσθήσει [καὶ] αἰσθητῶν, καὶ πρό γε πάντων περὶ τῶν τῇ 50 ὄψει αἰσθητῶν, ἐπειδὴ καὶ πρὸ τῶν ἄλλων περὶ ὄψεως διαλέξεται. εἶτά φησιν ὅτι τὸ τῇ ὄψει ἀντιληπτὸν χρῶμά τέ ἐστι καὶ ὃ λόγῳ μὲν ἑρμη-
10 νεύεται, ὄνομα δ' οὐκ ἔχει ἐν τῇ συνηθείᾳ, οἷά [τε] ἐστιν αἵ τε πυγολαμπίδες καὶ αἱ λεπίδες καὶ ἄλλα τινά. εἶτα ὁρίζεται τί ποτέ ἐστι τὸ χρῶμα, ὅτι τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς. ἐπειδὴ οὖν ἐν τῷ ὁρισμῷ τοῦ χρώματος ἐμνήσθη τοῦ διαφα|νοῦς, διδάσκει ἡμᾶς, τί ποτέ ἐστι τὸ k 2v
διαφανές, ὅτι φύσις τίς ἐστιν ἐν πλείοσιν ὑπάρχουσα, ἐν ὕδατι, ἐν ἀέρι,
15 ἐν ὑέλῳ καὶ ἐν ἑτέροις, διαπορθμευτικὴ τῶν χρωμάτων, ἥτις φωτὸς μὲν μὴ παρόντος δυνάμει ἐστὶν αὐτὸ τοῦτο διαφανές, ἐνεργείᾳ δὲ γίνεται διαφανὲς φωτὸς παρόντος. ἐπεὶ οὖν ἐμνήσθη φωτός, πρότερον τὸν περὶ τούτου ποιεῖται λόγον. οὗ μὲν οὖν ἐστιν ἡ ὄψις (προσυπακουστέον ἀντιληπτική) τοῦτο ὁρᾶται. 5

20 p. 418a26 Ὁρατὸν δέ ἐστι χρῶμά τε καὶ ὃ λόγῳ μὲν ἔστιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν.

Εἰπὼν ὅτι οὗ ἐστιν ἡ ὄψις ἀντιληπτικὴ καὶ περὶ ὃ ἡ δύναμις αὕτη ἐνεργεῖ, τοῦτό ἐστιν ὁρατόν, ἑξῆς ἐπάγει, τίνα ἐστὶ τὰ ὁρατά, ὅτι τό τε χρῶμα καὶ ἄλλα τινά, ἅπερ ὄνομα μὲν κοινὸν οὐκ ἔχει, λόγῳ δ' ἑρμη- 10
25 νεύεται, περὶ ὧν προελθὼν ἐρεῖ, οἷον πυγολαμπίδες, κεφαλαὶ ἰχθύων, λεπίδες, ὀφθαλμοὶ ἐχίνων, τὰ ὄστρακα τῶν θαλαττίων, ἅπερ ἐν φωτὶ μὲν οὐχ ὁρᾶται, ἐν σκότῳ δέ. οὐ γὰρ δοκεῖ αὐτῷ χρῶμα εἶναι τὸ ἐν τούτοις φαινόμενον πυρῶδές τι ἐν τῷ σκότῳ· ἴδιον γὰρ χρώματος τὸ ἐν τῷ φωτὶ ὁρᾶσθαι, τὸ δὲ τούτων πυρῶδες οὐχ ὁρᾶται ἐν φωτί.

---

1 ἑκάστῃ—ὁμοίως (3) depravata sunt: exspectas tale quid οἷς τὸ εἶναι πρὸς ἕτερόν ἐστιν· εἰ τοίνυν πρὸς τὰ ἴδιά ἐστι τὸ εἶναι ἑκάστῃ αἰσθήσει, τῇ μὲν ὄψει πρὸς ὁρατά, τῇ δὲ ἀκοῇ πρὸς ἀκουστά, καὶ ταῖς λοιπαῖς ὁμοίως, ταῦτα μάλιστα κυρίως αἰσθητά 2 προσορατά t 3 προσακουστά t 4 ὃ ὁρᾶται] ὁρατόν Arist. 7 καὶ delevi 10 τε delevi post αἵ τε spatium XIV fere litt. vacuum rel. D 28 τὸ] τῷ D 29 ἐν τῷ φωτί t

p. 418a29 Τὸ γὰρ ὁρατόν ἐστι χρῶμα. τοῦτο δέ ἐστι τὸ ἐπὶ τοῦ k 2v
καθ' αὑτὸ ὁρατοῦ· καθ' αὑτὸ δὲ οὐ τῷ λόγῳ, ἀλλ' ὅτι ἐν ἑαυτῷ
ἔχει τὸ αἴτιον τοῦ εἶναι ὁρατόν.

Εἰπὼν ὅτι δῆλον ἡμῖν ἔσται προελθοῦσι, τίνα ἐστὶ τὰ ἀνώνυμα, ἃ εἶπεν ὁρατὰ εἶναι, μετέβη εἰς τὸν περὶ τοῦ χρώματος, ἀλλ' ὡς περὶ ὁρατοῦ. τοῦτο οὖν ἐστι, φησί, τὸ χρῶμα, λέγω δὴ τὸ ὁρατόν, τὸ ἐπὶ τοῦ καθ' αὑτὸ ὑπάρχον ὁρατοῦ· καθ' αὑτὸ δὲ ὁρατόν φησι τὴν ἐπιφάνειαν. πῶς δὲ καθ' αὑτὸ ὁρατὸν ἡ ἐπιφάνεια, αὐτὸς ἐξηγήσατο· οὐ γὰρ οὕτω, φησί, καθ' αὑτὸ εἴρηται, ὡς τῷ λόγῳ καθ' αὑτό, τοῦτό ἐστι τῷ ὁρισμῷ. ἐν γὰρ τῇ Ἀποδεικτικῇ φησι καθ' αὑτὸ εἶναι ἢ ὅπερ ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου παραλαμβάνεται, ὡς τὸ ζῷον καὶ λογικὸν ἐν τῷ ὅρῳ τοῦ ἀνθρώπου (ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ) ἢ οὗ ἐν τῷ ὅρῳ τὸ ὑποκείμενον παραλαμβάνεται, ὡς ἐν τῷ ὁρισμῷ τῆς σιμότητος ἡ ῥίς, καὶ ἐν τῷ ὁρισμῷ τοῦ ἀρτίου καὶ τοῦ περιττοῦ ὁ ἀριθμός· ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ ἀριθμῷ. λέγομεν γὰρ ἄρτιον εἶναι ἀριθμὸν δίχα τεμνόμενον, περιττὸν δὲ ἀριθμὸν μὴ δυνάμενον δίχα διαιρεθῆναι· ὁμοίως σιμότητα εἶναι κοιλότητα ἐν ῥινί. οὐχ οὕτως οὖν φησι καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν, ἀλλ' ὡς ἔχουσαν ἐν ἑαυτῇ τὸ αἴτιον τοῦ ὁρατὸν εἶναι. τοῦτο δέ ἐστι τὸ χρῶμα· τὸ γὰρ ἐν τῇ ἐπιφανείᾳ χρῶμα τοῦτό ἐστι τὸ ὁρατόν. καὶ τούτου αἱ ὄψεις ἀντιλαμβάνονται. οὐ γὰρ ἀντιλαμβάνονται τοῦ τε ἐν τῷ βάθει χρώματος. τοὺς γὰρ διαφανεῖς τῶν λίθων εἰ δοκοῦμεν ὁρᾶν δι' ὅλου τοῦ βάθους κεχρωσμένους, τὰς ὄψεις ἀπατώμεθα. τῷ μὲν γὰρ διαφανεῖς εἶναι τοὺς λίθους διαβαίνουσι διὰ τοῦ βάθους αἱ ὄψεις ἢ τῶν χρωμάτων αἱ ἐνέργειαι; διὰ τοῦ χρώματος δὲ μόνου τοῦ ἐν τῇ ἐπιφανείᾳ τῶν λίθων ἀντιλαμβανόμεθα· καὶ διὰ τοῦτο δοκοῦμεν καὶ τὸ ἐν τῷ βάθει χρῶμα ἑωρακέναι. σημεῖον δὲ τούτου, ὅτι εἰ θέλοι ἢ διαφανοῦς λίθου μία ἐπιφάνεια χρωσθείη, δόξειεν ἂν ἡμῖν τὸ ὅλον σῶμα διὰ βάθους κεχρῶσθαι, κἂν εἰς τὴν μὴ κεχρωσμένην ἐπιφάνειαν ἴδωμεν, καὶ αὕτη δόξειεν ἡμῖν ὁμόχρους εἶναι τῆς κεχρωσμένης, καίτοι μὴ κεχρωσμένη ἐκείνῳ τῷ χρώματι. καὶ τῶν θελίνων γοῦν κατόπτρων τὴν ἔξωθεν ἐπιφάνειαν καττιτέρου χρῶμα δοκοῦμεν ἔχειν, καὶ τὰ ἔσωθεν κεχρωσμένα ποτήρια τὸ ὅλον σῶμα δοκεῖ κεχρῶσθαι, τῶν ὄψεων διὰ τοῦ διαφανοῦς τὴν ἐσχάτην ὁρωσῶν ἐπιφάνειαν καὶ τοῦ ἐκείνης χρώματος ἀντιλαμβανομένων. τί οὖν; φαίη τις ἄν, ἐν τοῖς διαφανέσι τῶν λίθων οὐχ ὁρῶμεν,

---

2 καθ' αὑτῶ δὲ D ὅτι om. t ἑαυτῷ t Arist. vulg.: αὑτῶ D Arist. UV 4 ἐστὶ scripsi: ἔσται Dt 6 τὸ (post ὁρατόν) t corr. D²: τοῦ D¹
9. 10 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 4 p. 73a34 sqq. 13 σιμώτητος t
14 καὶ ἐν — ἀριθμός om. D 15. 16 δίχα τεμνόμενον iterat D 21 χρώμ D: χρώματι t εἰ D: εἰ καὶ A Suid. s. v. Χρῶμα: οὐ t 25 τὸ om. t
28 κεχρωσμένην] κεχωρισμένην ut vid. D¹, sed corr. D²

εἴ τι ἀλλότριον χρῶμα συμβαίη μεταξὺ εἶναι, οἷον τὰ ἐναπολαμβανόμενα ἐν k 2v
τῷ ἠλέκτρῳ κωνώπια; καὶ ἐν τοῖς ἄλλοις δὲ διαφανέσι λίθοις εἴ τι ἀλλότριον
χρῶμα ἐν τῷ βάθει κατά τι μόριον συμβῇ εἶναι, αἰσθητὸν ἡμῖν γίνεται· 40
ὥστε δῆλον ὅτι τῆς ὄψεως ἀντιλαμβανομένης τοῦ ἐν τῷ βάθει χρώματος
5 οὕτω συμβαίνει τοῦ μεταξὺ ἀλλοτρίου ὄντος χρώματος τὴν διάκρισιν ἀπὸ
τοῦ λοιποῦ ποιεῖσθαι. λέγω οὖν ὅτι, εἰ μὲν εἴη τὸ ἐν τῷ βάθει κατά τι
μόριον τοῦ διαφανοῦς λίθου ἀλλότριον χρῶμα βαθύτερον καὶ πληκτικώτερον
τοῦ ἐν τῷ ὅλῳ λίθῳ χρώματος, ἀντιλαμβάνονται αὐτοῦ αἱ ὄψεις διὰ τὸ
ἐν τῷ λίθῳ διαφανές· ἂν δὲ ἀσθενέστερον ᾖ, οὐ γίνεται αὐτοῦ ἀντίληψις.
10 ἐναργῶς γὰρ εἰσι λίθοι τινὲς διαφανεῖς οἷον σάρδιοι καί τινες ἄλλοι κεχρω- 45
σμένοι οὐ διὰ βάθους, ἀλλὰ λευκοὶ ὄντες κατὰ τὸ βάθος, οἵτινες δοκοῦσι
μέχρι βάθους τῷ αὐτῷ χρώματι κεχρῶσθαι, ἅτε δὴ μὴ ἀντιλαμβανομένης
τῆς ὄψεως τοῦ βάθους. ἐν οἷς δὲ μεταξὺ φαίνεται ἀλλότριον χρῶμα, διὰ
τὸ ἀμυδρότερον εἶναι τὸ ἐν τῇ ἐπιφανείᾳ χρῶμα οὐκ ἐμποδίζονται αἱ ὄψεις
15 τοῦ ἔν τινι μορίῳ τοῦ βάθους ἀντιλαβέσθαι βαθυτέρου χρώματος. ἐὰν οὖν
ὑέλου βαφείσης ἀμυδροτέρῳ καὶ μὴ κατακορεῖ χρώματι τὴν ἑτέραν ἐπιφά- 50
νειαν βαθεῖ μέλανι χρίσῃς, δόξει σοι πᾶσα μέλαινα εἶναι, καὶ οὐ δήπου
πᾶσα κέχρωσται τῷ μέλανι. ὥστε καὶ ἐν τοῖς διαφανέσι τῶν λίθων, εἰ
καὶ δοκοῦμεν τὸ βάθος ὁρᾶν κεχρωσμένον, οὐ τὸ βάθος ὁρῶμεν κατ'
20 ἀλήθειαν, κἂν κεχρωσμένον ᾖ, ἀλλὰ τῆς ἐπιφανείας μόνης ἀντιλαμβανόμεθα.
ὥσπερ γὰρ εἰ καὶ δι' ἀέρος χωροῦσαι αἱ ὄψεις ἢ δι' ὕδατος τὰ μεταξὺ
χρώματα ὁρῶσιν | (τὰ γὰρ ἐν παντὶ διαφανεῖ ὁρᾶται χρώματα) αὐτῶν k 3r
μέντοι τῶν ὁρωμένων οὐ διικνεῖται εἰς τὸ βάθος ἡ ὄψις, ἀλλὰ κατὰ μόνην
τὴν ἐπιφάνειαν αὐτῶν ἀντιλαμβάνονται, οὕτω συμβαίνει καὶ ἐπὶ τῶν
25 διαφανῶν λίθων διὰ τὴν ἐν αὐτοῖς διαφάνειαν· ὅταν μὴ ὁ πᾶς λίθος
κατείληπταί τινι δραστηρίῳ χρώματι, τὸ παρεμπεσὸν μεταξὺ χρῶμα ὁρᾶται
διὰ τὴν τοῦ λίθου διαφάνειαν. αὐτὸ μέντοι τὸ ὁρώμενον χρῶμα κατὰ μόνην 5
τὴν ἐπιφάνειαν τοῦ μορίου ἐν ᾧ ἐστιν ὁρᾶται, οὐ μὴν καθ' ὅλον τὸ βάθος.
ἐπειδὴ οὖν τὸ ἐν τῇ ἐπιφανείᾳ χρῶμα τοῦτό ἐστιν ὁρατόν, διὰ τοῦτο καθ'
30 αὐτὸ ὁρατὸν τὴν ἐπιφάνειαν λέγει ὡς οὖσαν ὑποκείμενον τοῦ καθ' αὐτὸ
ὁρατοῦ.

p. 418a31 Πᾶν δὲ χρῶμα κινητικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, καὶ τοῦτ' ἐστὶν αὐτοῦ ἡ φύσις.

Οὗτος ὁρισμὸς ἂν εἴη χρώματος ἀπὸ τοῦ συμβεβηκότος καὶ ἰδίου 11
35 δηλῶν αὐτό, οὐκ ἀπὸ τῆς οὐσίας· ἐν γὰρ τῷ Περὶ αἰσθήσεων καὶ αἰσθητῶν
τὸν ἀπὸ τῆς οὐσίας αὐτοῦ ἀποδέδωκεν ὁρισμόν. φησὶ δὴ τὸ χρῶμα κινη-
τικὸν εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, τουτέστι τοῦ πεφωτισμένου· τὸ

---

1 τὰ ἀπολαμβανόμενα t 12 ἀντιλαμβάνης D[1], sed corr. D[2] 15 τινι] τι D
19 ὁρῶμεν] μὲν t 22 ὁρᾶται] ὁρᾷς t 28 καθόλου t 35 ἐν τῷ Περὶ αἰσθήσεων καὶ αἰσθητῶν] c. 3 p. 439b11 36 φησὶ δὲ t

γὰρ μὴ πεφωτισμένον δυνάμει ἐστὶ διαφανές. κινητικὸν δὲ ἀντὶ τοῦ k 3r
τελειωτικόν. ἔστι μὲν γὰρ αὐτοῦ καὶ τὸ φῶς τελειωτικόν, καθὸ τελειοῖ 15
αὐτὸ καὶ ποιεῖ ἐνεργείᾳ διαφανές, τελειωτικὸν δ' αὐτοῦ καὶ τὸ χρῶμα,
καθὸ τὴν διαπορθμευτικὴν αὐτοῦ δύναμιν εἰς ἐνέργειαν ἄγει· διατίθεται
5 γάρ πως ὑπὸ τοῦ χρώματος ἀναματτόμενόν πως αὐτό. ὡς πέφυκεν ἀνα-
μάττεσθαι ἁπαθῶς, καὶ τῇ ὄψει διαδιδόν. ἀλλὰ τὸ μὲν φῶς τελειωτικόν
ἐστι τοῦ δυνάμει διαφανοῦς (τελειοῖ γὰρ αὐτὸ καὶ ποιεῖ ἐνεργείᾳ διαφανές).
τὰ δὲ χρώματα τελειωτικὰ τοῦ κατ' ἐνέργειαν διαφανοῦς. τελειοῖ δ'
αὐτὸ οὐχ ᾗ διαφανές ἐστιν, ἀλλ' ᾗ τὸ κατ' ἐνέργειαν διαφανὲς δυνάμει 20
10 ἐστὶ διαπορθμευτικόν τε καὶ ἀπαγγελτικὸν τῶν χρωμάτων. ἐπειδὰν οὖν παρῇ
τὰ χρώματα, γίνεται ἐνεργείᾳ τοιοῦτον. εἰ τοίνυν τὸ χρῶμα κινητικόν ἐστι
τοῦ κατ' ἐνέργειαν διαφανοῦς. τὸ δὲ κατ' ἐνέργειαν διαφανές ἐστι τὸ
πεφωτισμένον, καὶ διὰ τῆς τούτου κινήσεως τὸ ὁρᾶν γίνεται, διὰ τοῦτο
ἄρα ἄνευ φωτὸς οὐχ ὁρᾷ τὰ χρώματα. ἀναγκαῖος οὖν τῷ περὶ τῶν ὁρατῶν
15 ἐροῦντι ὁ περὶ φωτὸς λόγος, δι' ὅπερ τὰ χρώματά ἐστιν ὁρατά. εἰπὼν
δὲ τὸ χρῶμα κινητικὸν εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, ὅτι ἡ ἐνέργεια 25
τοῦ διαφανοῦς τὸ φῶς ἐστιν, ἐδήλωσεν ἐπενεγκὼν διόπερ οὐχ ὁρατὸν
ἄνευ φωτός. οὐχ ὁρατὸν δὲ δηλονότι τὸ χρῶμα· ἡ μὲν γὰρ ἐνέργεια
τοῦ διαφανοῦς τὸ φῶς ἐστι, τὸ δὲ χρῶμα τοῦ κατ' ἐνέργειαν διαφανοῦς
20 ἔστι κινητικόν. ἐπεὶ οὖν ἀναγκαῖος τῷ περὶ τῶν ὁρατῶν διαλεχθησομένῳ
ὁ περὶ φωτὸς λόγος. πρῶτον. φησίν. εἴπωμεν περὶ φωτός. ἀλλ' ἐπειδὴ
τὸ φῶς ἐνέργειά ἐστι τοῦ διαφανοῦς, πρὸ τοῦ περὶ φωτὸς λόγου περὶ τοῦ
διαφανοῦς ποιεῖται λόγον.

p. 418ᵇ4 Ἔστι δή τι διαφανές. διαφανὲς δὲ λέγω ὃ ἔστι μὲν 30
25 ὁρατόν, οὐ καθ' αὑτὸ δὲ ὁρατόν. ὡς ἁπλῶς εἰπεῖν. ἀλλὰ δι'
ἀλλότριον χρῶμα.

Εἶπον ἤδη, ὡς πρόκειται μὲν αὐτῷ περὶ ὁρατῶν εἰπεῖν. εἰς δὲ τὸν
περὶ ὁρατῶν λόγον ἀναγκαῖος ὁ περὶ φωτός, εἰς δὲ τὸν περὶ φωτὸς ὁ περὶ
τοῦ διαφανοῦς * * διαλέγεται. τὴν διαφορὰν οὖν τοῦ διαφανοῦς καὶ πρὸς
30 τὰ ἄλλα ὁρατά. λέγω δὴ τὰ χρώματα. παραδέδωκεν εἰπὼν ὁρατὸν εἶναι
τὸ διαφανὲς οὐ δι' οἰκεῖον ἀλλὰ δι' ἀλλότριον χρῶμα. χρῶμα δὲ λέγει 35
τὸ φῶς· οἷον γὰρ χρῶμά ἐστι τοῦ διαφανοῦς. καὶ νῦν μὲν χρῶμα αὐτὸ
λέγει, προϊὼν δ' ἀκριβέστερον ἐρεῖ οἷον χρῶμα· οὐ γάρ ἐστι χρῶμα τὸ
φῶς. τὸ οὖν διαφανές, φησί, καθ' αὑτὸ οὐκ ὂν ὁρατὸν δεχόμενον τὸ φῶς
35 ἀλλότριον ὂν χρῶμα οὕτω γίνεται ὁρατόν· φῶς δὲ ἢ τὸ πυρὸς ἢ τὸ ἐκ
τῶν οὐρανίων, ἡλίου, σελήνης καὶ τῶν ἄστρων. ἄπορος δέ μοι δοκεῖ ὁ

4 τὴν διαπορθμευτικὴν AD²: διὰ τὴν πορθμευτικὴν D¹t 5 ἀναματτόμενος t 10 διαπορθμευτικόν] πορθμευτικόν t 14 τῷ περὶ] τῶν περὶ D 21 εἴπομεν D 25 ἁπλῶς t Arist.: om. D 27 εἶπον D: εἰπὼν t 29 lacunam indicavi: fort. excidit περὶ οὖ νῦν 30 λέγω δὲ t 34 ὂν in rasura D¹ 36 ἡλίου fort. ex ἥλιος corr. D² σελήνη D¹, sed corr. D² ἀστέρων t

λόγος εἶναι· δόξειε γὰρ ἂν καὶ ὁρατὸν εἶναι τὸ διαφανὲς καὶ οὐχ ὁρατόν. k 3r
εἰ γὰρ ἐν χύτρᾳ ἤ τινι τοιούτῳ σκεύει ἀποθοῖο λύχνον, τοῦ φωτὸς διὰ 40
τῆς ὀπῆς ἀνιόντος ἐπὶ τὸ ἄνω, εἰ ἀποβλέψοις εἰς τὸν ἀέρα τὸν ὑπὲρ τὴν
ὀπὴν δι' οὗ τὸ φῶς ἄνεισιν, οὐκ ὄψει αὐτὸν πεφωτισμένον, εἰ μὴ τύχοι
5 ἐπάνω ὀροφὴν εἶναι ἢ ἄλλο τι στερεὸν σῶμα. τότε γὰρ τοῦ στερεοῦ σώ-
ματος ἀντιβαίνοντος τῷ φωτὶ φαίνεται ἡμῖν ὁ ἀὴρ πεφωτισμένος· εἰ δὲ
μὴ εἴη πεφωτισμένον σῶμα ἀντιβαῖνον τῷ φωτί, οὐκ ὄψει πεφωτισμένον
τὸν ἀέρα· ὥστε ταύτῃ δόξειεν ἂν δι' ἑαυτὸν μὴ εἶναι ὁρατὸς ὁ πεφωτισμένος
ἀήρ. ἀλλὰ διὰ τὸ ἀντιβαίνειν αὐτῷ στερεὸν σῶμα. ἐπεὶ ὅσον ἐφ' ἑαυτῷ
10 οὐχ ἑωράθη ἄν. μήποτε οὖν τῷ τὰ χρώματα ἐν αὐτῷ φαίνεσθαι κατὰ
συμβεβηκός ἐστιν ὁρατός. ὅπερ δ' ἐπὶ τοῦ μερικοῦ τούτου παραδείγματος
εἴπομεν. τοῦτο ἔστιν εἰπεῖν καὶ ἐπὶ τοῦ ἡλιακοῦ φωτός. μήποτε γὰρ διὰ
τὸ τῷ ἡλιακῷ φωτὶ πανταχόθεν ἀντιβαίνειν στερεὰ σώματα, διὰ τοῦτο 45
ὁρατὸς ἡμῖν γίνεται ὁ περὶ ἡμᾶς ἀήρ. δῆλον γὰρ ὅτι ὅπου ἂν ἀποβλέ-
15 ψωμεν, κἂν ἄνω κἂν κάτω κἂν εἰς τὰ πλάγια, ἢ γῆν ἢ οὐρανὸν ἢ ὕδωρ
ὁρῶμεν. ὡς εἴ γε ὥσπερ ἐπὶ τοῦ παραδείγματος τοῦ εἰρημένου ἠδυνάμεθα
ἀποβλέψαι εἰς τὸν ἄνω τόπον, ἐν ᾧ τῷ ἡλιακῷ φωτὶ οὐκ ἀντιβαίνει στερεὸν
σῶμα, ἴσως ἂν οὐκ εἴδομεν κατ' ἐκεῖνο τὸ μέρος τὸν ἀέρα πεφωτισμένον.
οὕτω μὲν οὖν δόξει ὁ πεφωτισμένος ἀὴρ ὅσον τὸ ἐπ' αὐτῷ μὴ ὁρατὸς 50
20 εἶναι. ἀλλ' ἐπειδὴ ἐναργῶς ἴσμεν, πότε μέν ἐστιν ἡμέρα, πότε δὲ νύξ,
οὐκ ἄλλῳ αἰσθητηρίῳ διακρίνοντες ἢ τῇ ὄψει, καὶ οὐ μόνον ἡμεῖς, ἀλλὰ
καὶ τὰ ἄλογα (ἐμφωλεύουσι γὰρ καὶ τῶν φωλεῶν ἐξέρχονται νύκτα διακρί-
νοντα καὶ ἡμέραν), δῆλον ὅτι ταύτῃ ὁρατὸς ἂν εἴη ὁ πεφωτισμένος ἀήρ.
καὶ ὥσπερ, ἐπεὶ ἄνευ φωτὸς οὐκ ἔστιν ὁρατός, διὰ τοῦτο οὐδὲ ὁρατὸν
25 αὐτὸν φήσομεν. ἐπειδὴ μηδὲ ἄλλο τι ἄνευ | φωτὸς ὀφθῆναι δύναται, καὶ k 3v
οὐ μόνον ἄνευ φωτός. ἀλλὰ καὶ τοῦ μεταξὺ καὶ τοῦ διαφανοῦς χρεία εἰς
τὸ ὁρατὰ γενέσθαι (διὸ καὶ πολυτελεστάτην τῶν αἰσθήσεων τὴν ὄψιν φησὶν
ὁ Τίμαιος εἶναι διὰ τὸ πολλῶν δεῖσθαι εἰς τὸ ἐνεργῆσαι τὰς οἰκείας
ἐνεργείας, ἥπερ αἱ ἄλλαι), οὕτω κἂν ὁ πεφωτισμένος ἀὴρ οὐδ' ἐν φωτὶ
30 ὁρᾶται μὴ προσπίπτοντος τοῦ φωτὸς στερεῷ σώματι, διὰ τοῦτο οὐδ' ὁρατὸς 5
ἂν εἴη. εἰ γὰρ τὸ φῶς οὐδὲν ἕτερόν ἐστιν ἢ ἐνέργεια καὶ τελειότης τοῦ
δυνάμει διαφανοῦς, τὸ δὲ φῶς οὐδενὶ ἄλλῳ κρίνεται ἢ τῇ ὄψει, δῆλον ὅτι
καὶ ὁ πεφωτισμένος ἀὴρ ὁρατός ἐστιν, ᾗ πεφώτισται, κἂν δεῖται ἑτέρων.
τὸ δὲ φῶς οὐκ ἔστι τοῦ ἀέρος οὐσιώδης ποιότης· ὥστε οὐ δι' οἰκείαν
35 ποιότητα ὁρατός ἐστιν, ἀλλὰ δι' ἀλλοτρίαν, λέγω δὴ τὸ φῶς, ὅπερ χρῶμα
καταχρώμενος ὠνόμασεν, διότι τὸ μάλιστα ὁρατὸν χρῶμά ἐστι.

---

3 ἀποβλέψεις t 5 τότε γὰρ — στερεὸν σῶμα (9 A: om. Dt 10 ἑωράθη A: ὁραθῆ Dt ἐν ἑαυτῷ D 12 εἴπωμεν D γὰρ] δὲ t 14 ὅπου ἂν A 19. 20 αὐτῷ μὲν ὁρατὸν εἶναι t 22 ἐμφολεύουσι et φολεῶν t 23 ἡμέραν A: ἡμέρα Dt 24 ὥσπερ] exspectas ὥσπερ οὐκ 28 ὁ Τίμαιος] respicit ad Reip. VI p. 507 C πολλῶν] fort. πλειόνων 29 κἂν] volebat οὐδ' ἂν ante ἀὴρ add. ὁ D 32 ἄλλο D

p. 418ᵇ6 Τοιοῦτον δέ ἐστιν ἀὴρ καὶ ὕδωρ καὶ πολλὰ τῶν στερεῶν. k 3ᵛ

Οὐ γὰρ διὰ μόνου ἀέρος καὶ ὕδατος ὁρῶμεν ὡς ἐχόντων τὸ διαφανές, 12
ἀλλὰ καὶ διὰ πολλῶν στερεῶν σωμάτων. πολλὰ δέ ἐστι τοιαῦτα. οἷον
φεγγῖται. λίθοι. κέρατα. ὄελος. γύψος διαφανής καὶ πολλὰ ἄλλα. ὥστε εἰ
5 ἐν πλείοσι σώμασι τὸ διαφανές, δῆλον ὅτι οὐ καθὸ ὕδωρ ἢ ἀὴρ ἤ τι τῶν
ἄλλων διαφανῶν τὸ διαφανὲς ἔχει. εἰ γὰρ κατά τι τούτων ἦν τὸ διαφανές, 15
οἷον εἰ ἀὴρ ἦν, οὐκ ἂν ὃ μὴ ἦν ἀὴρ διαφανὲς ἦν· νῦν δέ ἐστι διαφανῆ
καὶ μὴ ἀέρια ὄντα· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ὥστε ἔστι τις τοῦ δια-
φανοῦς φύσις, ἥτις ἐν πλείοσιν οὐσίαις καὶ ὑποκειμένοις ἔχει τὸ εἶναι.
10 ὥσπερ γάρ ἐστιν ὑγρότητος φύσις ἢ θερμότητος ἢ ἁπλῶς πάσης ποιότητος,
αὗται δὲ αἱ ποιότητες ἕτεραι οὖσαι παρὰ τὰ ὑποκείμενα πλείοσιν ἐγγίνονται
σώμασιν, οὕτως ἐστὶ καὶ ἡ τοῦ διαφανοῦς φύσις ἐν πλείοσι γινομένη ὑπο-
κειμένοις ἑτέρα αὐτῶν οὖσα. ἐν τούτοις δὲ ἀμφοτέροις εἶπεν, 20
τουτέστιν ἐν ἀέρι καὶ ὕδατι, ἐπειδὴ αὐτῶν προσεχῶς ἐμνήσθη ἄλλως τε
15 καὶ ὡς μάλιστα διαφανῶν. μετέχειν δέ φησι τῆς διαφανείας καὶ τὸ ἀίδιον
τὸ ἄνω σῶμα· λέγει δὲ αὐτὸ τὸ χῦμα τῶν σφαιρῶν· διαφανεῖς γὰρ πᾶσαι.
ὁρῶμεν γὰρ τὰ ἐν τῇ ἀπλανεῖ ἄστρα διὰ τῶν ἄλλων. αὐταὶ μὲν οὖν αἱ
σφαῖραι διαφανεῖς εἰσι, τὰ δ' ἄστρα οὐκέτι, ὅθεν καὶ ἐπιπροσθοῦσιν ἀλλήλοις.
ἐντεῦθεν γοῦν ἡ τοῦ ἡλίου ἔκλειψις ἐπιπροσθουμένου ὑπὸ τῆς σελήνης· εἰ
20 δὲ ἦν διαφανής, οὐκ ἂν ὑποτρέχουσα αὐτὸν ἐπιπροσθεῖ αὐτῷ. καὶ ἀστέρες 25
δὲ ὑποτρέχοντες ἄλλους ἀφανεῖς ποιοῦσι τῇ ἐπιπροσθήσει, ὅθεν δῆλον ὡς
οὐκ ἔστιν ἡ τοῦ διαφανοῦς φύσις ἐν τοῖς ἄστροις.

p. 418ᵇ9 Φῶς δέ ἐστιν ἡ τούτου ἐνέργεια τοῦ διαφανοῦς, ᾗ διαφανές.

25 Εἰπὼν τί ποτέ ἐστιν τὸ διαφανές, ὅτι τὸ ὁρατὸν μέν, οὐ δι' οἰκεῖον
δὲ χρῶμα ὁρατὸν ἀλλὰ δι' ἀλλότριον, μετῆλθεν εἰς τὸν περὶ φωτὸς λόγον, 30
καί φησι φῶς εἶναι τὴν τοῦ διαφανοῦς ἐνέργειαν, καθό ἐστι διαφανές,
ἀντὶ τοῦ τὸ εἶδος καὶ ἡ τελειότης αὐτοῦ. δυνάμει γὰρ ὄντος τοῦ διαφανοῦς
ἐπιγενόμενον τὸ φῶς καὶ εἰδοποιῆσάν τε καὶ τελειῶσαν αὐτὸ ἐποίησεν αὐτὸ
30 ἐνεργείᾳ διαφανές. ἔστι γὰρ ἐν ἀέρι καὶ ὕδατι καὶ τοῖς τοιούτοις ἡ τοῦ
διαφανοῦς φύσις, ἥτις φωτὸς μὴ ὄντος οὐκ ἔστιν ἐνεργείᾳ διαφανής (οὐ
γὰρ ἂν ὁρῶμεθά τι δι' αὐτοῦ τῶν χρωμάτων). τοῦ δὲ φωτὸς παρόντος
ἴσχει τὸ οἰκεῖον εἶδος καὶ τὴν τελειότητα. διὸ φωτὸς παρόντος δι' ἀέρος 35
μὲν ἢ δι' ὕδατος ὁρῶμεν, διὰ γῆς δὲ οὐκέτι, μὴ ἐχούσης ἐν ἑαυτῇ δηλονότι
35 δυνάμει τὴν τοῦ διαφανοῦς φύσιν. τῶν δὲ περὶ φωτὸς εἰπόντων οἱ μὲν

---

16 τῶν ἄνω σωμάτων t γὰρ] δὲ t 17 τὰ] τὰς t αὐταὶ scripsi: αὗται Dt 20 ἐπιπροσθεῖ] an ἐπιπρόσθει? 21 δὲ om. t 31 φύσις] φησιν t
32 δι' addidi

εἰρήκασι σῶμα αὐτὸ εἶναι, οἱ δὲ ἀσώματον. ὅτι δὲ οὐκ ἔστι σῶμα τὸ k 3v
φῶς, ἔτι δὲ οὐδὲ ἐκ τῶν ὄψεων κατὰ ἐκπομπήν τινων σωμάτων τὸ ὁρᾶν
γίνεται, δεῖ πρότερον ἐλέγξαντας αὐτὸ τοῦτο ὅτι ἀδύνατον ἢ τὸ φῶς ἢ τὰς
ὄψεις σῶμα εἶναι οὕτω τὴν Ἀριστοτέλει δοκοῦσαν περὶ τούτων ἐκθέσθαι
5 δόξαν, καὶ ἐπὶ τούτοις τὰς φερομένας εἰς αὐτὴν ἀπορίας ἐπισκέψασθαι. 40
εἰ τοίνυν κατὰ ἐκπομπὴν σωμάτων τινῶν τὸ ὁρᾶν ἐγγίνεται, πῶς οἷόν τε
ἦν ἅμα ἀναβλέψαντας ἡμᾶς ἀθρόον τοῦ οὐρανοῦ ἀντιλαμβάνεσθαι; πῶς γὰρ
οἷόν τέ ἐστιν ἀχρόνως σῶμά τι τοσαύτην κινηθῆναι διάστασιν; δέδεικται
γὰρ δύο ζῳδίων διάστημα εἶναι τὸ ἀπὸ τῆς γῆς μέχρι τοῦ οὐρανοῦ. ἡ
10 γὰρ ἀπὸ τοῦ κέντρου ἴση ἐστὶ τῇ τοῦ ἑξαγώνου πλευρᾷ ἡ τῶν δύο ζῳδίων
τὸ διάστημα εἶναι. καὶ τριπλασιεφέβδομός ἐστιν ἡ περίμετρος τῆς διαμέ-
τρου· ἔστι δὲ τὸ ἀπὸ τοῦ κέντρου τὸ ἥμισυ τῆς διαμέτρου. δῆλον οὖν ὡς 45
τῆς ὅλης διαμέτρου τέσσαρα ἐχούσης ζῴδια καὶ πρός. ἐπειδὴ ἡ περίμετρος
δώδεκα ἔχει, τὸ ἥμισυ τῆς διαμέτρου δύο ἂν ἔχοι ζῴδια καὶ πρός. πῶς οὖν
15 οἷόν τε σῶμα ἀχρόνως τοσοῦτον κινηθῆναι διάστημα: αὐτὴ γοῦν ἡ ὀξυτάτη
τῶν κινήσεων. λέγω δὴ ἡ τῆς ἀπλανοῦς. ἐν δύο ὥραις τὸ ἑκτημόριον τοῦ
παντός, λέγω δὴ τὰ δύο ζῴδια, κινεῖται. πῶς οὖν οὐκ ἄλογον τὰ ἐκπεμ-
πόμενα σώματα ἐκ τῶν ὄψεων καὶ τῆς ἀπλανοῦς ὀξυκινητότερα ὑποτίθεσθαι;
πάλιν εἰ δι' ἀκτίνων σωμάτων οὐσῶν ὁρῶμεν, ἐπειδὴ ἀναβλέψαντες τὸ 50
20 τεταρτημόριον ὁρῶμεν τοῦ οὐρανοῦ, ἀνάγκη πᾶσα τὰς ὄψεις διιούσας διὰ
τοῦ ἀέρος ἢ δι' αὐτοῦ χωρεῖν, καὶ οὕτως ἂν χωρήσοι σῶμα διὰ σώματος,
ὅπερ ἀδύνατον, ἢ τέμνειν αὐτόν. καὶ εἰ τέμνει, οὐκ ἔδει ἡμᾶς κατὰ
συνέχειαν ὁρᾶν τὸν οὐρανὸν οὔτε τὰ ἄλλα ὁρατά, εἴ γε μὴ δι' ὅλου
χωροῦσι τοῦ ἀέρος, ἀλλὰ τέμνουσιν αὐτόν. δῆλον οὖν ὅτι τὰ μόρια τῶν k 4r
25 ὁρατῶν τὰ ὑπὸ τὰ μόρια τοῦ ἀέρος τοῦ μὴ τμηθέντος ὄντα οὐκ ἂν ὤφθη· καὶ
οὕτως οὐδὲν τῶν ὁρωμένων συνεχὲς ὁρῶμεν, ἀλλὰ διῃρημένον κατὰ μόρια.
ἔπειτα ἐπειδὴ ἀναβλέποντες τὸ τέταρτον μόριον ὁρῶμεν τοῦ οὐρανοῦ, εἰ
κατὰ ἐκπομπὴν ἀκτίνων τινῶν σωματοειδῶν τὸ ὁρᾶν γίνεται, ἀνάγκη πᾶσα
τηλικαῦτα σώματα ὑποτιθέναι τὰς ὄψεις ὡς διήκειν ἀφ' ἡμῶν ἕως τοῦ
30 οὐρανοῦ καὶ περιλαμβάνειν αὐτοῦ τὸ τεταρτημόριον· ὅπερ ἄλογον ἐκ μικροῦ 5
μορίου, τοῦ ὀφθαλμοῦ, μᾶλλον δὲ οὐδὲ ὅλου, ἀλλὰ τῆς κόρης τηλικαῦτα
σώματα λέγειν ἐκπέμπεσθαι, ὡς τοῦ παντὸς τὸ τεταρτημόριον περιλαμβάνειν.
ἀλλὰ πρὸς ταῦτά φασιν ὅτι ἀπάντησίς τις γίνεται τῶν ὁρατῶν πρὸς τὰς
ὄψεις· φῶτα γάρ τινα ἐκπέμπονται ἐκ τῶν οὐρανίων, ἅτινα προαπαντῶντα
35 ταῖς ὄψεσι τὴν ἀντίληψιν ἑαυτῶν παρέχεται. πρὸς δὲ τοῦτό φαμεν. ὅτι
εἰ μὴ αὐτοῖς τοῖς οὐρανίοις προσβάλλει ἡ ὄψις, ἀλλὰ τοῖς φώτοις τοῖς
ἐξ αὐτῶν ἐξιοῦσι, πόθεν ἴσασιν οἱ ἀστρονόμοι τὰ μεγέθη τῶν ἄστρων; 10
πόθεν τὰς κινήσεις; πόθεν τὰ ἀποστήματα, τὰς συνόδους τε καὶ ἀποστάσεις,

---

1 δὲ (post ὅτι) om. t 8 σῶμά τι scripsi: σώματι Dt: σώματα A διάστασιν A Suid. s. v. Φῶς: στάσιν D: τάσιν t 10 τῶν Dt: τῷ A 10. 11 τῶν — εἶναι depravata sunt: ἑξαγώνου δὲ πλευρὰ τῶν δύο ζῳδίων ἐστὶ τὸ διάστημα Sophoniae in Arist. de an. paraphr. p. 76,30 14 καὶ πρός A Suid.: om. Dt 15 αὐτὴ A: αὕτη Dt 21 δι' αὐτοῦ A: διὰ τοῦ Dt οὕτως ἀναχωρήσοι t 25 μὴ A: om. Dt 32 περιλαμβάνει t 33 τις A: om. Dt

καὶ ὅσα ἄλλα περὶ τῶν οὐρανίων ἀποδεικνύουσιν: ὡς γὰρ αὐτῶν ἀντιλαμ- k 4r
βανόμενοι τῶν σφαιρῶν οὕτω τὰς περὶ αὐτῶν ἀποδείξεις ποιοῦνται. // ἔπειτα
τὰ φῶτα ταῦτα ἐξ αὐτῶν ἐξιόντα ἀνάγκη ἢ σώματα εἶναι ἢ ἀσώματα. εἰ
μὲν οὖν σώματα εἶεν, τοῖς αὐτοῖς λόγοις ἐλεγχθήσονται οἷσπερ ἐφεξῆς
5 τοὺς σῶμα εἶναι λέγοντας τὸ φῶς ἐλέγξομεν· εἰ δὲ ἀσώματον, τίς χρεία 15
τῆς ἐκπομπῆς τῶν ὄψεων καὶ τῆς προαπαντήσεως; εἰ γὰρ ὅλως ἀσώματοί
εἰσιν ἐνέργειαι, καὶ μὴ προαπαντήσεως γινομένης ἥξουσι μέχρι τῶν ὄψεων,
καὶ οὕτω τὰ αὐτὰ τῷ Ἀριστοτέλει λέξουσι περὶ τῶν ὄψεων καὶ τοῦ φωτός,
ὡς μικρὸν ὕστερον εἰσόμεθα. καθόλου δὲ εἰ τὸ ὁρᾶν κατὰ ἐκπομπὴν τὴν
10 ἀπὸ τῶν ὄψεων γίνεται, ἤτοι σώματα ἀνάγκη εἶναι τὰ ἐκπεμπόμενα ἢ
γραμμάς, ὡς δοκοῦσι λέγειν οἱ μαθηματικοί. ἀλλ' εἰ μὲν γραμμαὶ εἶεν αἱ
ἐξιοῦσαι ὄψεις, δῆλον ὅτι κατὰ σημεῖα ἐφάψονται τῶν ὁρατῶν. τὸ δὲ 20
ὁρᾶν φασι γίνεσθαι τῷ θιγγάνειν τὰς ὄψεις τῶν ὁρατῶν· κατὰ σημεῖα δὲ
θιγγάνουσι· κατὰ σημεῖα ἄρα καὶ ἀντιλήψονται τῶν ὁρατῶν. οὐκ ἄρα τῶν
15 μεγεθῶν ἀντιλήψονται, ὅπερ ἄτοπον. // εἰ δὲ σώματα, ἢ τετρῆσθαι τὸ περὶ
τὴν κόρην τοῦ κερατοειδοῦς μόριον ἀνάγκη, ὅπερ ἐστὶ ψεῦδος (συνεχὴς
γάρ ἐστι, καὶ ἐπὰν τρηθῇ, εὐθὺς καὶ τὰ ὑγρὰ ἐκχέονται), ἢ σῶμα διὰ σώ-
ματος χωρεῖν, ὅπερ καὶ αὐτὸ ἀδύνατον, ἢ διά τινων πόρων ἀνάγκη ἐξιέναι
τὰς ὄψεις. ἀλλ' ὅτι μὲν οὐκ ἔστι πεποροποιημένα τὰ σώματα, δέδεικται 25
20 ἐν τῷ Περὶ γενέσεως· ἄλλως τε ἀνάγκη πάντως ὄγκους τινὰς εἶναι καὶ
σώματα ἐν τοῖς χιτῶσιν, οἷς οἱ πόροι διαλαμβάνονται. δι' ἐκείνων οὖν
ἀδύνατον ὄψεις χωρεῖν, ὥστε οὐκ ἔδει τὸ ἔδαφος ἤ τι ἄλλο κατὰ συνέ-
χειαν ὁρᾶν, ἀλλὰ τινὰ μὲν ὁρᾶν μόρια, τινὰ δὲ μή· τὰ γὰρ τοῦ ὁρατοῦ
μόρια, ὧν κατ' εὐθεῖαν κεῖνται οἱ ὄγκοι οἱ διαλαμβάνοντες τοὺς πόρους,
25 ταῦτα ὁρᾶν ἀδύνατον. οὐδὲν ἄρα κατὰ συνέχειαν ὁρᾶται, ὅπερ ἐστὶ παρὰ
τὴν ἐνάργειαν. // ἀλλ' οὐδὲ ἀσώματον ἐνέργειαν ἐκ τῶν ὄψεων ἐξιέναι 30
δυνατόν· ἤτοι γὰρ μετὰ τοῦ οἰκείου ὀχήματος ἕξεισιν ἢ οὔ. // εἰ μὲν μετὰ
τοῦ οἰκείου ὀχήματος, πάλιν σώματα ἕξεισι, καὶ οἱ αὐτοὶ ἥξουσι λόγοι· εἰ
δὲ χωρισθεῖσα τοῦ οἰκείου ὀχήματος, ἀνάγκη δήπου πάντως ἐν ἑτέρῳ
30 γενέσθαι ὑποκειμένῳ. ἐπεὶ οὖν ἡ αἰσθητικὴ δύναμις ζωή τίς ἐστιν (οὐ
γὰρ οἷόν τε τὸ μὴ ζωῆς μετέχον αἰσθήσεως μετέχειν). ἡ δὲ ζωὴ ᾧ ἂν
ἐγγένηται, ζῆν ἐκεῖνο ποιεῖ, καὶ ἡ αἰσθητικὴ ἄρα δύναμις ἐξιοῦσα τοῦ
ὄμματος καὶ γινομένη ἐν ἀέρι ἢ ἐν ὕδατι ἢ ἁπλῶς ἔν τινι τῶν διαφανῶν
ζῆν ἐκεῖνο ποιήσει, ὥστε καὶ ἔμψυχον, ὅπερ ἐστὶ γελοῖον, ἢ εἰ μὴ τοῦτο, 35
35 ἔσται ζωὴ ἐν τῷ μὴ ζῶντι, ὅπερ ἐστὶν ἀδύνατον. ἄλλως τε εἰ ἡ ὀπτικὴ
δύναμις ἐνεργείᾳ ἐξιοῦσα τοῦ ὄμματος ἐν τῷ ἀέρι γίνεται ἢ τῷ ὕδατι ἤ
τινι τοιούτῳ, ἐκεῖνος ἔσται ὁ ὁρῶν καὶ αἰσθητικὸς γινόμενος.

// Ὅτι μὲν οὖν οὐδὲν ἐκ τῶν ὀμμάτων πρόεισιν, οὔτε σῶμα οὔτε ἀσώματον,
καὶ ἐξ ἄλλων μὲν πολλῶν δυνατὸν δεῖξαι, ὅμως ἱκανὰ καὶ τὰ εἰρημένα· ὅτι δὲ

---

1 αὐτῶν] αὐτῶ D 7 γινόμεναι D 8 τὸν ἀριστοτέλη t 11 αἱ A: ἂν Dt
20 ἐν τῷ Περὶ γενέσεως] A 8 23 δὲ om. D 25 ὁρᾶται A: ἑωρᾶται (sic) D:
ἑώραται t 27 et 28 ὀχήματος scripsi coll. 29: σχήματος ADt 28. 29 πάλιν—
ὀχήματος A: om. Dt

οὐδὲ τὸ φῶς σῶμά ἐστι, δῆλον ἐντεῦθεν. εἰ γὰρ σῶμα ἦν, πῶς πάλιν οἷόν τε ἦν σώματος οὕτως ἀθρόαν γενέσθαι τὴν κίνησιν; ἅμα γὰρ ὑπὲρ τὸν ὁρίζοντα γέγονεν ὁ ἥλιος, καὶ ἐξαίφνης ἀχρόνως ὅλον τὸ ὑπὲρ γῆν ἡμισφαίριον καταπεφώτισται./ καὶ εἰ λύχνον καλύψας εἰσαγάγω εἰς οἶκον, εἶτα ἐξαγάγω τοῦ καλύμματος, ἀθρόον ὅλος ὁ οἶκος φωτίζεται. πῶς οὖν οἷόν τε ἦν σῶμα οὕτως ἀχρόνως κινεῖσθαι; ἔπειτα εἰ σῶμα τὸ φῶς, ἁπλοῦν ὂν δῆλον ὅτι ἁπλῆν κίνησιν κινηθήσεται. ἁπλαῖ δὲ κινήσεις δύο, ἡ κατ' εὐθεῖαν καὶ ἡ κατὰ κύκλον. εἰ μὲν οὖν ἐπ' εὐθείας κινεῖται τὸ φῶς, ἢ ἄνω κινούμενον οὐ κινηθήσεται ἐπὶ τὸ κάτω, ἢ κάτω κινούμενον ἐπὶ τὸ ἄνω οὐ κινηθήσεται· νῦν δὲ καὶ ἄνω καὶ κάτω καὶ δεξιᾷ καὶ ἀριστερᾷ ὁρᾶται κινούμενον· πᾶν δὲ σῶμα εὐθυφορικὸν ἢ τὴν ἐπὶ τὸ ἄνω μόνον ἢ τὴν ἐπὶ τὸ κάτω κινεῖται κίνησιν. ὅτι δὲ οὐ κύκλῳ κινεῖται, προφανὲς ἐκ τῆς ἐναργείας. εἰ γὰρ εἰς στενὸν οἰκημάτιον ἑτερόμηκες εἰσαγάγω λύχνον, κατὰ τὴν ἀρχὴν τοῦ οἰκηματίου εὐθέως ἐπ' εὐθείας τὸ ὅλον κατεφώτισε, καὶ κάτω τεθεὶς καὶ τὰ ἄνω ἐφώτισε καὶ ἄνω ὁμοίως τὰ κάτω. // δεικνύουσι δὲ καὶ οἱ τὰ ὀπτικὰ μετιόντες ἐναργῶς ὅτι κατ' εὐθεῖαν τὸ φῶς πρόεισιν, καὶ οὐ κατὰ κύκλον. εἰ γὰρ σανίδα τρήσῃς ἢ ἐντομήν τινα ἐν αὐτῇ ποιήσῃς, καὶ εἰς μὲν τὸ ἕτερον μέρος τῆς σανίδος κατὰ τὴν ἐντομὴν ὑφάψῃς λύχνον, ἐν δὲ τῷ ἑτέρῳ μέρει ἄλλην σανίδα στήσῃς, γενήσεται τὸ διὰ τῆς ἐντομῆς εἰσιὸν φῶς τοῦ λύχνου εἰς τὴν ἑτέραν σανίδα. ἐὰν οὖν ἀπὸ τοῦ φωτὸς τοῦ γενομένου ἐν τῇ σανίδι ἀποτείνῃς εὐθεῖαν, διαβιβασθήσεται διὰ τῆς ἐντομῆς ἐπὶ τὸν λύχνον, ὥστε κατ' εὐθεῖαν δηλονότι ἡ τοῦ φωτὸς γίνεται κίνησις. ὥστε εἰ μὴ κατ' εὐθεῖαν κινεῖται, | ὡς τὰ σώματα, ἢ τὴν ἐπὶ τὸ ἄνω μόνον ἢ τὴν ἐπὶ τὸ κάτω μόνον, μήτε κατὰ κύκλον, πᾶν δὲ σῶμα μίαν τῶν εἰρημένων κινήσεων κινεῖται, ἔοικε μὴ εἶναι σῶμα τὸ φῶς. // πάλιν εἰ σῶμα τὸ φῶς, ἀνάγκη πᾶσα, εἰ μὲν δι' ὅλου τοῦ ἀέρος χωρεῖ, σῶμα ἐν σώματι εἶναι, εἰ δὲ μὴ δι' ὅλου, ἀλλ' ἢ τέμνει αὐτὸν ἢ διὰ τῶν πόρων αὐτοῦ χωρεῖ, ἀνάγκη μὴ ἐν παντὶ μέρει τοῦ ἀέρος φῶς εἶναι, ἀλλ' εἶναί τινα μὲν αὐτοῦ μόρια πεφωτισμένα, τινὰ δὲ ἐσκοτισμένα· ὥστε οὐ πᾶς ἔσται πεφωτισμένος. οὐδὲ πανταχοῦ ἀὴρ ἔσται, ἀλλ' ἔνθα ἂν ᾖ φῶς, μὴ εἶναι ἀέρα, καὶ ἔνθα ἀήρ, μὴ εἶναι φῶς. καὶ οὕτω συμβήσεται ἡμᾶς φῶς καὶ ἀέρα ἀναπνεῖν· ἔστι δ' ὅτε καὶ φῶς μόνον, οὐκέτι δὲ καὶ ἀέρα, ὅταν κατ' αὐτὸ τὸ πεφωτισμένον τύχωμεν ἀναπνέοντες. ταῦτα δὲ προφανῶς ἄτοπα καὶ παρ' αὐτὴν τὴν ἐνάργειαν. ἔδει δὲ καὶ ἐν τῷ τὸν ἄνεμον κινεῖσθαι ἀθρόον ὄντα καὶ συνεχῆ ἢ πάντῃ σκοτίζειν τὸν τόπον, ἔνθα ἂν προσπέσῃ, ἐξωθοῦντα τὸ τοῦ φωτὸς σῶμα, ἤγουν κἂν σκοτεινότερον τὸν τόπον ποιεῖν, ἅτε τὸ τοῦ φωτὸς σῶμα ἤγουν μόρια αὐτοῦ ἐξωθήσαντα καὶ ἐν τοῖς ἐκείνων τόποις γενόμενον. νῦν δὲ τοῦτο οὐ συμβαίνει. ὁρῶμεν

k 4r 40 5 10 15 20 25 30 35 45 50 5 10

k 4v

---

8 κινεῖται] κινοῦν D 11 τὸ (ante ἄνω) om. t 12 ἐναργείας A: ἐναργίας D: ἐνεργείας t 16 μετιόντες A: δεικνύντες Dt 17 σανίδια t 19 ἄλλην A et, ut vid., D (litt. post ἀλλ oblitter.): om. t στήσεις t 21 ἀποτείνῃς A: ἀποτείνεις Dt 25 κίνησιν t 28 ἀέρος τὸ φῶς t 35 ἢ A: om. Dt

δὲ ὅτι καὶ τοῦ ἀέρος φωτισθέντος αἱ αὐταὶ τοῦ ἀέρος ἐνέργειαι γίνονται· k 4v
ἀναπνέοντες γὰρ ὁμοίως καὶ ἐμψυχόμεθα· καίτοι θερμαίνειν πέφυκεν ἡ τοῦ
φωτὸς φύσις καὶ αὐτὸν τὸν ἀέρα, οὐκ ἐμψύχειν. πρὸς δὲ τούτοις ἐπειδὴ
οἱ λέγοντες τὸ φῶς σῶμα εἶναι λέγουσι σφαῖράν τινα φωτὸς προϊέναι ἐκ
5 τοῦ ἡλίου, ἐπειδὴ καὶ ὁ ἥλιος σφαιρικός, ἔστι δὲ σφαιρικὸς καὶ ὁ ἀήρ, 15
ἀνάγκη πᾶσα τὴν τοῦ φωτὸς σφαῖραν προϊοῦσαν πρὸς ἡμᾶς ἢ ὠθεῖν τὴν
σφαῖραν τοῦ ἀέρος καὶ οὕτω τὸν τόπον αὐτῆς καταλαβοῦσαν φωτίζειν τὸν
περὶ ἡμᾶς τόπον, ἢ μὴ ὠθεῖν ἀλλὰ δι' αὐτῆς χωρεῖν. εἰ μὲν οὖν ὠθεῖ
τὸν ἀέρα καὶ τὸν αὐτοῦ τόπον καταλαμβάνει, ἔσται κενὸν ἀέρος τὸ πεφω-
10 τισμένον ἡμισφαίριον, ὅπερ ἀδύνατον· ὡς γὰρ εἶπον, πάντα τὰ ἀέρος ἔργα
γίνεται καὶ πεφωτισμένου τοῦ περὶ ἡμᾶς παντός· εἰ δὲ μὴ ὠθήσει, οὐδὲ
φωτίσει ἅτε μὴ ἀφικνούμενον εἰς ἡμᾶς. εἰ δὲ χωρήσει δι' αὐτῆς, ἔσται 20
σῶμα διὰ σώματος κεχωρηκός, ὅπερ ἀδύνατον. // εἰ δὲ λέξουσιν ὅτι ὡς
ἄυλον σῶμα δύναται χωρῆσαι διὰ σώματος, μάλιστα μὲν ἀδύνατος ὁ λόγος·
15 οὕτω γὰρ ἤμελλεν ὁ οὐρανὸς ἐν κέγχρῳ δύνασθαι γενέσθαι. ἔπειτα εἰ διὰ
τὸ ἄυλον εἶναι δύναται χωρῆσαι διὰ σώματος, ἐχώρησεν ἂν οὐ μόνον διὰ
ἀέρος ἀλλὰ καὶ δι' ἄλλου ὁτουοῦν. τίς γὰρ ἡ ἀποκλήρωσις, εἰ ἦ ἄυλον
δύναται σῶμα διὰ σώματος χωρεῖν, μὴ καὶ διὰ παντὸς χωρεῖν; ὥστε ἔδει
καὶ διὰ τῶν στερεῶν σωμάτων χωρῆσαι τὸ φῶς, διὰ γῆς λέγω καὶ τῶν 25
20 ὁμοίων. διὰ τί οὖν μὴ καὶ ὑπὸ γῆν ὄντος τοῦ ἡλίου ὁρῶμεν ὑπὲρ γῆν,
τοῦ φωτὸς καὶ διὰ τῆς γῆς χωροῦντος; ἔπειτα εἰ σῶμα ὂν τὸ φῶς χωρεῖ
διὰ σώματος τοῦ ἀέρος, ἔδει τὸ ὅλον πυκνότερον καὶ παχύτερον γενέσθαι·
νῦν δὲ τὸ ἐναντίον λεπτομερέστερος ὁ ἀὴρ γίνεται δεξάμενος τὸ φῶς, ὅπερ οὐκ
ἂν συνέβη, εἴπερ ἦν σῶμα. ὥσπερ εἰ ἐν γῇ χωρήσῃ ὕδωρ καὶ μὴ μείζων
25 ὁ ἐξ ἀμφοῖν γένηται τόπος, ἀνάγκη πᾶσα τὸ ἐξ ἀμφοῖν σῶμα παχύτερον
γεγονέναι, οὕτω δὲ καὶ τὸν ἀέρα ἀνάγκη ἦν παχύτερον γενέσθαι ἐγγινομένου 30
τοῦ φωτός· νῦν δὲ τοὐναντίον λεπτότερος γίνεται φωτισθείς. εἰ δέ τις
λέγοι πρὸς τὸν περὶ τῆς κινήσεως τοῦ φωτὸς ἐνιστάμενος λόγον, ὅτι ἀκτῖνές
τινές εἰσιν ἠρτημέναι τοῦ ἡλίου καὶ τῇ μεταβάσει τῆς κινήσεως φωτίζουσιν
30 οὐ δεόμεναι τῆς ἄνωθεν κινήσεως (ἀεὶ γὰρ ἠρτημέναι εἰσὶ τοῦ ἡλίου) ἐπὶ
τὴν γῆν, μάλιστα μὲν παρὰ τὰ φαινόμενα λέγει· ὁμοίως γὰρ ὅ τε ἥλιος
φωτίζει καὶ ἡ σελήνη καὶ τὸ πῦρ καὶ τὰ ἄλλα πάντα, οὐχ ἕξει δὲ τοῦτο
λέγειν καὶ ἐπὶ τοῦ πυρὸς ἤ τινος τῶν ἄλλων. καὶ ὅταν ἐν σκότῳ ἀπὸ 35
παρατρύψεως τῶν πυρείων ἐξάψῳ πῦρ ἐν πάνυ μεγίστῳ οἴκῳ, ἀχρόνως
35 ὅλον τὸν οἶκον τὸ φῶς καταλαμβάνει. καὶ τοῦ ἀέρος δὲ πυκνωθέντος ὁ
μὲν ἥλιος ἀφανής ἐστιν, ἅπας δὲ ὁ περὶ ἡμᾶς καταλάμπεται τόπος. ἔπειτα
ἐρήσομαι περὶ τῶν ἀκτίνων τῶν ἡλιακῶν, πότερον σῶμά εἰσιν ἢ ἀσώματοι,

---

2 ἀναπνέομεν t ἐμψυχώμεθα libri 8 ἀλλὰ A: ἢ Dt 11 ὠθήσει et 12 φωτίσει A: ὠθήση et φωτίση Dt 15 ἔμελλεν t ἐν κέγχρω corr. A²: ἐγκέγχρω D: ἐγκέχρω t 17 ὅτωοῦν (sic) D 20 διὰ] τινός t 23 post ἐναντίον add. βλεπόμενον t ὁ ἀὴρ om. t 24 χωρήσῃ scripsi: χωρήσει libri 30 δεόμενα t 31 λέγει A: om. Dt 32 δὲ A: om. Dt 34 παρατρέψεως D πυρείων scripsi: πυρίων AD: πυρίνων t 36 καταλάμπεται A: καταλαμβάνεται Dt 37 ἐρήσομεν, ut. vid., D

καὶ πότερον δι' ὅλου τοῦ ἀέρος ἀκτῖνες φέρονται, ἢ οὐ δι' ὅλου, καὶ k 4v
πάλιν τὰ αὐτὰ ἄπορα ἐμπεσοῦνται.

Ἐκ τούτων οὖν καὶ τῶν τοιούτων κινούμενοι ἀναγκαζόμεθα μήτε τὸ φῶς μήτε τὰς ὄψεις σῶμα λέγειν. τί οὖν; πῶς τὸ ὁρᾶν γίνεται; τίς δὲ καὶ ἡ τοῦ φωτὸς φύσις; λέγομεν οὖν πρῶτον περὶ τοῦ ὁρᾶν ἑπόμενοι Ἀριστοτέλει, ὅτι ἔχει τὸ διαφανές, ὁ ἀήρ, διαπορθμευτικὴν τῶν χρωμάτων δύναμιν αὐτὸς ἀχρωμάτιστος ὤν. εἰ γὰρ εἶχεν οἰκεῖόν τι χρῶμα, ἐνεπόδισεν ἂν αὐτῷ πρὸς τὸ διαπορθμεῦσαι τὰ ἄλλα χρώματα. ἀμέλει ἐὰν ᾖ ὕελος ἄχρους, πάντα διαπορθμεύει τὰ χρώματα· ἐὰν δὲ χρωσθῇ τινι χρώματι, οὔτε πάντα διαπορθμεύει (οὐδὲ γὰρ τὰ ἀμυδρότερα διαπορθμεύσει) οὔτε ἀκριβῶς. ἔχει οὖν ὁ ἀὴρ κατὰ πᾶν μόριον ἑαυτοῦ τὴν διαπορθμευτικὴν τῶν χρωμάτων δύναμιν· καὶ γὰρ ὅλος καθ' ὅλον ἑαυτὸν διαφανής ἐστι· τὸ γὰρ ἐνθαδὶ κείμενον καὶ οἱ ἔμπροσθεν καὶ οἱ ὄπισθεν καὶ ἁπλῶς οἱ κατὰ πᾶν ὄντες μέρος ὁρῶσιν. ἐνέργειαι οὖν τινες ἐκ τῶν ὁρατῶν ἐγγίνονται ἀπαθῶς ἐν τῷ ἀέρι μὴ χρωννύουσαι αὐτόν, ἐπεὶ μηδὲ πέφυκε χρώννυσθαι. ὅθεν διὰ τοῦ αὐτοῦ μορίου τοῦ ἀέρος διάφοροι ὁρῶντες διάφορα χρώματα ὁρῶμεν, ὅπερ, εἰ αὐτὸς ἐχρώννυτο, οὐκ ἂν ἐγίνετο· οὐ γὰρ ἐδύνατο τοῖς ἐναντίοις ἅμα χρώννυσθαι. οἷον εἰ τὸ Ο ὁ ἀὴρ εἴη, τὸ Μ δὲ μέλαν, λευκὸν δὲ τὸ Λ, ὁρᾷ δὲ τὸ Α τὸ λευκόν, τὸ δὲ Β τὸ μέλαν, χωρήσουσιν αἱ ἐνέργειαι τοῦ λευκοῦ καὶ τοῦ μέλανος διὰ τοῦ Ο ἀέρος. εἰ δὲ χωροῦσι δι' αὐτοῦ ἐναντίαι οὖσαι, δῆλον ὅτι οὐ χρωννύουσιν αὐτόν· ἀδύνατον γὰρ τὸ αὐτὸ μόριον ἅμα τὰ ἐναντία δέξασθαι χρώματα. ὅπερ δ' ἐπὶ τῶν δύο, τοῦτο καὶ ἐπὶ πλειόνων χρωμάτων ἔστιν εἰπεῖν. πλειόνων γὰρ ὄντων τῶν ὁρώντων καὶ τῶν ὁρατῶν ἥξουσιν αἱ πλείους | ἐνέργειαι τῶν χρωμάτων διὰ τοῦ αὐτοῦ ἀέρος συμπίπτουσαι k 5r
ἀλλήλαις· εἰ δὲ ἐχρώννυτο ὁ ἀήρ, οὐκ ἄν ποτε τοῦτο ἐγένετο. διαβαίνουσιν οὖν διὰ τοῦ διαφανοῦς αἱ τῶν χρωμάτων ἐνέργειαι καὶ ἀπαγγέλλουσι τῇ ὄψει τὰ οἰκεῖα ὑποκείμενα, αὐτὰ λέγω τὰ χρώματα, εἰς μὲν τὴν αἴσθησιν αὐτὴν δρῶσαι ἢ τοιῶσδε ἢ τοιῶσδε, εἰς μέντοι τὸ διαφανὲς πάθος τι οὐκ ἐμποιοῦσαι. καὶ οὐ δεῖ ζητεῖν, πῶς ἡ ἐνέργεια τοῦ χρώματος χωρήσασα ἀπὸ τοῦ ἰδίου ὑποκειμένου ἀφικνεῖται πρὸς τὴν ὄψιν· ἐν ὑποκειμένῳ γὰρ γίνεται τῷ ἀέρι, καὶ οὕτω δι' αὐτοῦ ὁρᾷ εἰς τὴν ὄψιν, ὥσπερ καὶ ἡ τοῦ τέκτονος ἐνέργεια χωρεῖ διὰ τοῦ σκεπάρνου εἰς τὸ ξύλον, καὶ εἰς μὲν τὸ ξύλον δρᾷ σχηματίζουσα αὐτὸ τοιῶσδε ἢ τοιῶσδε, εἰς δὲ τὸ σκέπαρνον οὐδὲν τοιοῦτον δρᾷ οἷον ἐν τῷ ξύλῳ. ὥσπερ οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τοῦ φωτὸς λέγομεν ἐνέργειάν τινα ἀσώματον ἐκπέμπεσθαι ἐκ τοῦ φωτιστικοῦ σώματος εἰς τὰ διαφανῆ πεφυκότα ταύτην ὑποδέχεσθαι. καὶ ὥσπερ τὸ πῦρ καὶ πόρρω που κείμενον ἡμῶν θερμαίνει ἡμᾶς, οὐ τῷ αὐτὸ φοιτᾶν πρὸς ἡμᾶς, ἀλλὰ τῷ αὐτὸ μὲν τὸν προσεχῆ ἑαυτῷ ἀέρα

---

6 ὁ ἀὴρ t: om. AD 9 ᾖ A: ἡ Dt 10 ἐὰν — διαπορθμεύει A: om. Dt
11 οὔτε] οὕτως t 14 ἐνέργειαι A: ἐνεργείαι (sic) t: ἐνεργεία D 16 ὅθεν διὰ — χρώννυσθαι (18) iterat D 18 ἐγίνετο A: ἐγένετο Dt 21 δι' αὐτοῦ A: διὰ τοῦ D: διὰ τοῦ ō t 27 διὰ τοῦ ἀφανοῦς t 30 ἐμποιοῦσα t

θερμαίνειν πεφυκότα πάσχειν ὑπὸ πυρός, ἐκεῖνος δὲ θερμανθεὶς γίνεται k 5r
τοιοῦτος ὡς δύνασθαι καὶ αὐτὸς τὰ παρακείμενα ἑαυτῷ θερμαίνειν. καὶ
τοῦτο μέχρι παντὸς γίνεται, καὶ οὕτω καὶ τὰ πορρωτάτω τοῦ πυρὸς θερ-
μαίνεται, καὶ πρώτως μὲν ἐκ τοῦ πυρός, προσεχῶς δὲ καὶ κατὰ δεύτερον
5 λόγον ἐκ τῶν παρακειμένων, οὕτω δὴ καὶ τῶν διαφανῶν σωμάτων ἐφεξῆς
κειμένων (αἵ τε γὰρ σφαῖραι ἅπτονται ἀλλήλων, καὶ ἐφεξῆς τῆς ἐσχάτης 15
σφαίρας ἅπτεται ὁ περὶ ἡμᾶς ἅπας ἀήρ. καὶ ἐφεξῆς τούτου τὸ ὕδωρ)
προσεχῶς οὖν ὁ ἥλιος εἰς τὸ παρακείμενον αὐτῷ σῶμα καὶ ἁπτόμενον
αὐτοῦ δράσας ποιεῖ αὐτὸ ἐνεργείᾳ διαφανές, ἐκεῖνο δὲ τοιοῦτο γενόμενον
10 ἴσχει δύναμιν, ὥστε καὶ αὐτὸ δρᾶν εἰς τὰ πλησίον καὶ ποιεῖν αὐτὰ τοιαῦτα.
καὶ οὕτω μέχρι τῶν ἐσχάτων πρόεισιν ἡ φωτιστικὴ δύναμις, οὐ τῆς τοῦ
ἡλίου ἐνεργείας ἀμέσως εἰς τὰ ἔσχατα φοιτώσης, ἀλλὰ τῶν πλησίον καὶ
πρώτως πασχόντων δυναμένων καὶ αὐτῶν εἰς τὰ δεκτικὰ τὴν ὁμοίαν ἐνεργεῖν 20
ἐνέργειαν. εἰ δ' ἀθρόα γίνεται ἐν πᾶσιν ἡ ἐνέργεια, οὐ θαυμαστόν, ὁπότε
15 ἀσώματός ἐστιν ἡ ἐνέργεια. καὶ ὥσπερ εἰ σχοίνου τις μακρᾶς καὶ διατεται-
μένης τὸ ἄκρον κινήσειε, πᾶσα ἡ σχοῖνος ἀχρόνως συγκινεῖται διὰ τὴν
τῶν μορίων συνέχειαν, τοῦ προτέρου κινοῦντος τὸ ἐχόμενον, οὕτω δεῖ νοεῖν
καὶ ἐπὶ τῆς τοῦ φωτὸς ἐνεργείας γίνεσθαι, διὰ τὸ πάντα ἐφεξῆς τὰ τοῦ
κόσμου σώματα ἀλλήλων ἅπτεσθαι. ἔστιν οὖν τὸ φῶς οὐ σῶμα, ἀλλ' ἡ
20 τοῦ διαφανοῦς ἐνέργεια. ἡ διαφανές ἐστιν, ἥτις γίνεται ὑπὸ τοῦ ποιητικοῦ. 25
ποιητικὸν δὲ πρώτως μὲν καὶ κυριώτατα ὁ ἥλιος, δευτέρως δὲ ὅσα τῷ
μετασχεῖν ἀπορροίας τινὸς τῆς ἐξ ἐκείνου καὶ αὐτὰ φωτιστικὰ γέγονεν,
ὥσπερ ἥ τε σελήνη καὶ τὰ λοιπὰ ἄστρα καὶ τὸ πῦρ· τὴν γὰρ πρώτην
τοῦ φωτὸς πηγὴν ἐν ἡλίῳ ὁ θεὸς ἐναπέθετο. οὕτως οὖν πάσας τὰς
25 εἰρημένας ἀπορίας ἐκφευξόμεθα, καὶ οὔτε σῶμα διὰ σώματος χωρήσει
οὔτε ἀθρόαν γίνεσθαι καὶ ἄχρονον τὴν ἐνέργειαν οὐδὲν ἀδύνατον ἀσώ-
ματον οὖσαν.

Ἀλλ' ἀποροῦσιν ἡμῖν πρὸς τὰς ὑποθέσεις ταύτας τάς τε τοῦ φωτὸς
καὶ τὰς τῶν ὄψεων, ὅτι εἰ μὴ σῶμά ἐστι τό τε φῶς καὶ αἱ ὄψεις, πόθεν 30
30 οὖν αἱ ἐν τοῖς ἐνόπτροις ἀνακλάσεις; πόθεν καὶ ἐν τοῖς πυρείοις; πόθεν ἡ ἐκ
τῆς ἀκτίνων ἀνακλάσεως παράτριψις καὶ ἐκ τούτου θέρμανσις; πόθεν αἱ
ἀκρώρειαι ἧττόν εἰσι τῆς πεδιάδος τεθερμασμέναι; διὰ τί δὲ εἰ αἱ ἐνέργειαι
τῶν ὁρατῶν ἐν τῷ ἀέρι εἰσίν, μὴ καὶ τὰ ὄπισθεν ὁρῶμεν; εἰ γὰρ κατὰ
πᾶν μόριον ἑαυτοῦ ὁ ἀὴρ ἔχει τῶν χρωμάτων τὰς ἐνεργείας, ὡς δηλοῖ τὸ
35 τοὺς πανταχόθεν ὁρῶντας τὸ αὐτὸ χρῶμα ὁρᾶν (οἷον εἰ εἴη τὸ Α χρῶμα, 35
περὶ αὐτὸ δὲ ὦσι πλείους ὁρῶντες τὸ Β. τὸ Γ. τὸ Δ. τὸ Ε. τὸ Ζ. τὸ Η.
πάντες αὐτὸ ὁρῶσι· δῆλον οὖν ὅτι διὰ τὸ τὸν ἀέρα κατὰ πᾶν ἑαυτοῦ μόριον
ἔχειν τῶν χρωμάτων τὰς ἐνεργείας), εἰ δὲ τοῦτο, τί δή ποτε μὴ καὶ τὰ

---

2 ἑαυτοῦ t 3. 4 θερμαίνεται A: θερμαίνει Dt 8 περικείμενον, ut videtur, D
9 δὲ τοιοῦτο] δέ τοι οὕτω t 12 τὰ om. t 13 post ἐνεργεῖν add. δυνα-
μένων t 14. 15 οὐ θαυμαστόν — ἐνέργεια A: om. Dt 18 διὰ τὸ scripsi:
διό Dt 19 ἀλλ' ἡ] ἀλλὰ t 20 διαφανής t 21 ποιητικὸν μὲν πρώτως δὲ D
30 πυρίοις ADt 32 ἀκρώρειαι A: ἀκρώριαι Dt 38 καὶ τὰ A: κατὰ Dt

ὄπισθεν ὁρῶμεν; λύσιν οὖν τούτοις πᾶσι μίαν ἐπιθήσομεν ὑποθέσεσι χρη- k 5r
σάμενοι εἰς τὸν περὶ τῶν ἐνεργειῶν λόγον, αἷς ἐχρήσαντο καὶ οἱ σώματα
λέγοντες τὰς ὄψεις καὶ τὸ φῶς. ὥσπερ οὖν ἐκεῖνοι ὑποτίθενται τὰς ὄψεις
καὶ τὰς ἀκτῖνας κατ' εὐθείας τε γραμμὰς ἐκπέμπεσθαι καὶ ἀνακλᾶσθαι
5 ἀπὸ τῶν λείων σωμάτων κατ' ἴσας γωνίας, οὕτω καὶ ἡμεῖς ὑποτιθέμεθα 40
τὰς ἐνεργείας τε τῶν χρωμάτων, ἔτι δὲ καὶ τὸ φῶς καὶ κατ' εὐθεῖαν
ἐκπέμπεσθαι καὶ ἀπὸ τῶν λείων σωμάτων ἀνακλᾶσθαι κατ' ἴσας γωνίας.
διὰ τοῦτο οὖν καὶ τὰ ἐν τοῖς κατόπτροις εἴδωλα φαίνεται οὐ τῶν ὄψεων
τῶν ἡμετέρων ἀνακλωμένων πρὸς τὰ ὁρατά, ἀλλὰ τῶν ἐνεργειῶν τῶν
10 ἐκείνων πρὸς ἡμᾶς. διὰ τοῦτο οὐδὲ τὰ ὄπισθεν ὁρῶμεν, ἐπειδὴ κατ'
εὐθεῖαν φέρονται αἱ ἐνέργειαι πρὸς τὰς ὄψεις, οὐκ ἄλλως δὲ κατ' εὐθεῖαν ἐκ
τῶν ὁρατῶν αἱ ἐνέργειαι πρὸς τὰς ὄψεις ἐνεχθήσονται, εἰ μὴ ἀντιπρόσωποι 45
αὐτοῖς γενώμεθα. αἱ μὲν γὰρ ἐνέργειαι ἀεὶ ἐν τῷ ἀέρι εἰσὶν ἀπαθῶς,
οὐ ὁρῶσι δὲ εἰς ἡμᾶς. εἰ μὴ ὅταν ὦσι κατ' εὐθεῖαν τὰ αἰσθητὰ ταῖς
15 ὄψεσιν, ὡς οὐδὲ αἱ ὄψεις κατ' αὐτοὺς προσβάλλουσι τῷ ὁρατῷ, εἰ μὴ κατ'
εὐθεῖαν αὐτῷ γένωνται. διὰ τοῦτο οὖν τὰ ὄπισθεν χρώματα κἂν ἐκ
πλαγίων ἀποβλέψωμεν, οὐχ ὁρῶμεν, καίτοι τῆς ἐνεργείας τῶν χρωμάτων
οὔσης ἐν τῷ ἀέρι, διὰ τὸ μὴ κατ' εὐθεῖαν πρὸς τὰς ὄψεις φέρεσθαι τὴν
ἐνέργειαν. οὕτως οὖν καὶ τὰς ἀνακλάσεις τοῦ φωτὸς καὶ τῶν ἐνεργειῶν 50
20 τῶν ὁρατῶν λέγομεν γίνεσθαι ἀπὸ τῶν λείων σωμάτων κατ' ἴσας γωνίας
τῶν ἐνεργειῶν ἀνακλωμένων. καὶ διὰ τοῦτο τῷ αὐτῷ τῶν ὄψεων λόγῳ,
ὅταν τύχοι τὸ κάτοπτρον τοιαύτην θέσιν ἔχον πρὸς ἡμᾶς καὶ τὸ ὁρατόν,
ὥστε τὰς ἐνεργείας εἰς αὐτὸ πεσούσας καὶ πρὸς ἴσας γωνίας ἀνακλασθείσας
φοιτῆσαι πρὸς τὸ ὄμμα, καὶ τὰ μὴ κατ' εὐθεῖαν τοῦ ὄμματος κείμενα
25 ὁρῶμεν, οἷον τὰ ὄπισθεν ἢ ἄνω ἢ κάτω ἢ ἐκ πλαγίων. καὶ ἁπλῶς ἅπερ
ἐκεῖνοι ἐπὶ τῶν ὄψεων λέγουσι, ταῦτα ἡμεῖς ἀπαραλλάκτως ἐπὶ τῶν k 5v
ἐνεργειῶν λέγοντες τὰ φαινόμενα σώζομεν. τί γὰρ διαφέρει ἢ ἀπὸ τοῦ
ὄμματος εὐθείας προϊούσας φοιτᾶν πρὸς τὸ κάτοπτρον, καὶ ἀπὸ τοῦ κατό-
πτρου ἀνακλᾶσθαι πρὸς τὸ ὄμμα; εἰ οὖν ταῦτα μὲν κοινῶς καὶ ἐκεῖνοι
30 καὶ ὁ Ἀριστοτέλους ὑποτίθεται λόγος, ἀλλ' ὁ μὲν ἐπὶ τῶν ἐνεργειῶν, οἱ
δ' ἐπὶ τῶν ὄψεων, μυρία δὲ ἀδύνατα τῇ τῶν ὄψεων ὑποθέσει ἀκολουθεῖ,
αἱρετέον μᾶλλον τὴν Ἀριστοτέλους ὑπόθεσιν, ᾗ καὶ τὰ φαινόμενα σώζει 5
καὶ τὰ ἄτοπα ἐκκλίνει. πόθεν οὖν ἡ θέρμη ἐν τῷ ἀέρι γίνεται, εἴ γε ὁ
μὲν ἥλιος θερμὸς οὐκ ἔστιν, αἱ δὲ ἀκτῖνες οὐ σῶμα; εἰ γὰρ μή εἰσι
35 σῶμα, παράτριψις οὐκ ἔστι· παρατρίψεως δὲ μὴ οὔσης πῶς ὁ ἀὴρ θερμαν-
θήσεται; ὅτι γὰρ ἡ παράτριψις θερμαίνει οὕτως, ὥστε καὶ ἐκπυρῶσαι,
ἂν πυκνοτέρα γένηται, προφανὲς ἐκ τῆς ἐναργείας· καὶ ἐκ ξύλων γοῦν
καὶ ἐκ λίθων καὶ σιδήρου παρατριβομένων ἕξαψις γίνεται. καὶ ἐν τοῖς
πυρείοις δὲ ἐὰν μὴ οὕτως ἁρμόσωμεν τὴν ἀκτῖνα πρὸς τὸ ὑπέκκαυμα, ὥστε 10

---

8 τῷ κατόπτρῳ t 12 ἐναχθήσονται t 13 γενώμεθα Diels: γενόμεθα ADt
16 αὐτῷ D: αὐτῶν At 25 καὶ ἁπλῶς A: post καὶ add. τὰ Dt 36 ὥστε
om. D 37 πυκνοτέρα in πυκνωτέρα corr. D¹ 39 πυρίοις ADt

μὴ ἀμβλεῖαν γωνίαν τὴν κλάσιν τῶν ἀκτίνων ποιῆσαι, ἀλλ' ὀξεῖαν οὕτως, k 5v
ὥστε τὴν δίπλωσιν σχεδὸν εἰς μίαν εὐθεῖαν ἀποτελευτῆσαι καὶ τῇ πυκνότητι παρατρῖψαι τὸν ἀπειλημμένον μεταξὺ ἀέρα, οὐκ ἂν ἔξαψις γένοιτο· καὶ τοῦτο αἰσθητῶς ὁρῶμεν. ὥστε σῶμα μὲν ὑποτιθεμένοις τὰς ἀκτῖνας
5 συνάγεται τὰ φαινόμενα, ἐνεργείας δὲ οὐκέτι. πῶς γὰρ ἡ τοῦ μὴ θερμοῦ ἐνέργεια θερμανεῖ; πῶς δὲ ὑπὸ τοῦ ἀσωμάτου παράτριψις ἂν γένοιτο; λέγω οὖν πρὸς ταῦτα ὅτι, ὥσπερ ὑπὸ τῆς ψυχῆς θερμῆς οὐκ οὔσης ζωτική τις ἐνέργεια ἐγγίνεται ἐν τῷ σώματι, ἥτις τὸ ἔμφυτον θερμὸν ἀνακινοῦσα ζῳογονεῖ τὸ ζῷον, ἐπειδὰν δ' ἀποστῇ ἡ ψυχή, εὐθὺς καὶ τὸ ἔμφυτον
10 ἀποσβέννυται θερμόν, οὕτω καὶ ἐκ τοῦ ἡλίου ζωτικήν τινα ἐνέργειάν φημι ἐγγίνεσθαι διὰ τοῦ φωτὸς ἐν ἀέρι, καὶ ταύτην κινοῦσαν τὸ ἔμφυτον τοῦ ἀέρος θερμὸν ἐκθερμαίνειν αὐτόν. καὶ ὥσπερ ἡ θυμοειδὴς τῆς ψυχῆς δύναμις αὐτὴ θερμὴ μὴ οὖσα, ἐπειδὰν κινηθείη, ἐκθερμαίνει τὸ περικάρδιον αἷμα, ὁμοίως δὲ καὶ ἡ φρονεῖν θερμαίνει ἀσώματος οὖσα ψυχῆς ἐνέργεια,
15 οὕτω καὶ τὸν ἥλιον οὐδὲν ἀπεικὸς μὴ ὄντα θερμὸν τῇ ζωτικῇ αὐτοῦ ἐνεργείᾳ, ἥτις ἐστὶ τὸ φῶς, κινοῦντα τὴν ἐν τῷ ἀέρι θερμότητα ἐκθερμαίνειν αὐτόν. εἰ δὲ θερμαντικὴ ἡ ἐνέργεια. ἔνθα ἂν πλείων ᾖ ἡ ἐνέργεια. πλείων ἡ θερμασία ἐξ ἀνάγκης· ὥστε ἐν ταῖς ἀναλάσεσι διπλουμένης τῆς ἐνεργείας καὶ ὀλίγον τὸν ἐντὸς ἀέρα περιεχούσης, ἅτε ὑπὸ πλείονος ἐνεργείας ὀλίγου
20 ἀέρος θερμαινομένου οὐ διὰ παρατρίψεως, ἀλλὰ κατὰ τὸν εἰρημένον τρόπον τῷ κινεῖν τὴν ἔμφυτον θερμότητα αὐτοῦ. εἰκότως συμβαίνει τὰς ἐξάψεις γίνεσθαι. τοῦ δὲ τὴν μεσημβρίαν θερμαίνεσθαι μᾶλλον τῆς ἕω καὶ τῆς δείλης πάλιν μὲν τὰς αὐτὰς αἰτίας ἀποδώσομεν· διότι ἀνατέλλοντος καὶ δύνοντος τοῦ ἡλίου αἱ ἐνέργειαι κλώμεναι ἀμβλείας γωνίας ποιοῦσι καὶ
25 πολὺν ἀέρα ἐντὸς ἀπολαμβάνουσι, διὰ τοῦτο ἧττον θερμαίνουσιν. ἄλλως τε ἀνατέλλων τε καὶ δύνων ὁ ἥλιος διὰ πλείονος ἀχλύος ἡμῖν προσβάλλει· ἡ δὲ ἀχλὺς ὑδατώδης (ἀτμὶς γάρ), καὶ διὰ τοῦτο εἰκότως ἧττον θερμαίνουσιν αἱ ἐνέργειαι δι' ἀχλύος πολλῆς προσβάλλουσαι ἡμῖν. ὅτι δὲ πλείων ἡ ἀχλὺς εἰς τὸ ἀνατολικὸν καὶ τὸ δυτικὸν ἢ εἰς τὸ κατὰ κορυφήν, δῆλον
30 ἐντεῦθεν. ἔστω γὰρ ὁ μὲν ἐντὸς κύκλος ἡ γῆ, ὁ δὲ ἔξωθεν ὁ ἀπὸ τῆς ἀχλύος περιέχων τὴν γῆν. αἱ μὲν οὖν ἐκ τοῦ κέντρου ἐκβαλλόμεναι τῆς γῆς δῆλον ὅτι ἴσαι ἔσονται, ἐπειδὴ καὶ παντὸς κύκλου αἱ εἰς τὴν περιφέρειαν ἐκβαλλόμεναι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. εἰ δὲ ἀπὸ τῆς οἰκήσεως τῆς ἡμετέρας ἐκβάλῃς εὐθείας, εἰ μὲν ἐπὶ τὸν οὐρανόν, δῆλον ὅτι διὰ τὸ
35 τὴν πᾶσαν γῆν κέντρου λόγον ἐπέχειν πρὸς τὸ πᾶν, εἰ καὶ ἄνισοί εἰσιν, ὅμως διὰ τὸ ἀνεπαίσθητον εἶναι ὡς πρὸς τὸ τοῦ παντὸς μέγεθος τὴν διαφορὰν αὐτῶν ἴσαι ἔσονται· εἰ δὲ ἐπὶ τὴν ἀχλὺν τὰς ἀπὸ τῆς οἰκήσεως ἐκβάλῃς, ἐπειδή, ὡς δέδεικται ἐν τοῖς Μετεώροις, οὐκ ἐπὶ πολὺ ὕψος φέρεται

---

6 θερμανεῖ t: θερμαίνει AD 13 αὐτὴ A: αὕτη Dt 17 αὐτόν scripsi: αὐτὴν ADt πλείων (post ἂν) scripsi: πλείω ADt 21 τῷ scripsi: τὸ Dt τὴν] τὸν t 24 αἱ om. t 28 προσβάλλουσαι scripsi: προσβαλλούσης Dt πλείων A: πλεῖον Dt 29 εἰς ἀνατολικὸν t 30 ἐντὸς A: ἐστὼς Dt 34 ἐκβάλλῃς t 38 ἐν τοῖς Μετεώροις] Meteorol. A 3 p. 340a25 sqq.

ἀπὸ τῆς γῆς ἡ ἀτμίς (εἰσὶ γοῦν ὅρη ὑπερνεφῆ). οὔτε δὲ ἡμεῖς ἐν τῷ k 5r
κέντρῳ οἰκοῦμεν, ἐξ ἀνάγκης οὐκ ἔσονται ἴσαι ἀλλήλαις, ἀλλ' ἐλάχιστα
μὲν αἱ κατὰ κορυφήν, αἱ δὲ λοιπαὶ αἱ μὲν τὴν μεγίστην ἀφεστῶσαι τοῦ
κατὰ κορυφὴν μέγισται, αἱ δὲ πλησιαίτεραι τοῦ κατὰ κορυφὴν ἥττους. ἔστι
5 δὲ τῶν ἐκ τῆς ἐπιφανείας ἀγομένων εὐθειῶν, καθ' ἣν καὶ οἰκοῦμεν,
ἐλαχίστη μὲν ἡ ἐν τῷ κατὰ κορυφήν, μεγίστη δὲ ἡ διὰ τοῦ κέντρου, τῶν
δὲ λοιπῶν αἱ πλησιαίτεραι τοῦ κατὰ κορυφὴν ἐλάττους, αἱ δὲ λοιπαὶ
μείζους. ἐν δὲ τῷ θερμῷ καὶ πλείονα χρόνον ὑπὲρ γῆν διατρίβων μᾶλλον
θερμαίνει. πέφυκε γὰρ τὸ φῶς ὅταν προσπέσῃ εἰς λεῖόν τι καὶ στιλπνὸν
10 σῶμα, ὁρᾶν εἰς αὐτὸ οὕτως ὥστε καὶ αὐτὸ τὴν ὁμοίαν ἐνέργειαν ἀντιπέμπειν,
ὥσπερ ἐν ἀργυρίῳ καὶ ἐν τοῖς ἐσόπτροις καὶ ἐν ὕδατι καὶ ὑέλοις καὶ ἄλλοις
πλείστοις. πᾶν μὲν οὖν σῶμα τὴν τοῦ φωτὸς δεχόμενον ἐνέργειαν πέφυκε καὶ
αὐτὸ τὴν αὐτὴν ἀντιπέμπειν, ἐξαιρέτως δὲ τὰ λεῖα σώματα. ὥσπερ τὰ εἰρη-
μένα. διὰ τοῦτο γοῦν καὶ ἡ σελήνη δεχομένη τὸ τοῦ ἡλίου φῶς φωτίζει τὰ
15 τῇδε, καὶ τοῦτό φαμεν φωτὸς ἀντανάκλασιν. τὴν ἀπὸ τῶν δεξαμένων καὶ
δυναμένων ὁμοίαν ἐνεργεῖν ἐνέργειαν. ἐν οὖν τῷ θέρει καὶ ἐν τῇ μεσημ-
βρίᾳ πλειόνων ἐνεργειῶν ὁμοίων κατὰ ταὐτὸν γινομένων, συμβαίνει μᾶλλον
θερμαίνεσθαι τὸν ἀέρα. οὕτω μὲν οὖν τὰς φερομένας ἀπορίας εἰς τὸν
περὶ τῶν ἐνεργειῶν λόγον ἐπιλύονται. | καὶ εἰ ἐνέργεια τὸ φῶς καὶ μὴ k 6r
20 σῶμα, ἔτι δὲ καὶ οὐ κατ' ἐκπομπὴν ὄψεών τινων σωμάτων οὐσῶν τὸ ὁρᾶν
γίνεται, ἀλλὰ τῶν ὁρατῶν αἱ ἐνέργειαι πρὸς ἡμᾶς ἀφικνοῦνται, τί δήποτε
ἐν τοῖς Μετεώροις ταύταις ἐχρήσατο ταῖς ὑποθέσεσιν Ἀριστοτέλης; λέγω
οὖν ὅτι ὡς σαφεστέραις ὑποθέσεσιν ἐχρήσατο ταῖς τῶν ἀκτίνων καὶ τῶν
ὄψεων· οὐ γὰρ εὐχερὲς ἐννοῆσαι ἐνεργείας ἀνακλωμένας ἢ ὅλως χωρούσας
25 διὰ τοῦ ἀέρος τὰς τῶν χρωμάτων ἐνεργείας. ὅσα δὲ κατεσκευάσθη δι'
ἐκείνων τῶν ὑποθέσεων, τὰ αὐτὰ καὶ διὰ τούτων κατασκευασθήσεται. ὡς
γὰρ ἐκεῖ κώνους ἐλέγομεν ἐξιέναι ἐκ τῶν ὀμμάτων ἀπό τινος κέντρου,
εἶτα προϊόντας εὐρύνεσθαι, οὕτω καὶ ἐπὶ τῶν ἐνεργειῶν δηλονότι λεχθή-
σεται. ἐπειδὴ γὰρ εἰς στενόν τι κέντρον τοῦ κρυσταλλοειδοῦς αἱ ἐνέργειαι
30 τῶν ὁρατῶν κρίνονται, ἀνάγκη ἀπὸ πλατέος μὲν ἄρχεσθαι αὐτοῦ τοῦ ὁρατοῦ,
λήγειν δ' εἰς στενὸν τὸ ὄμμα· τοῦτο δὲ κῶνός ἐστιν ἔχων κορυφὴν μὲν
τὴν κόρην ἢ τὸ τοῦ κρυσταλλοειδοῦς κέντρον, βάσιν δὲ αὐτὸ τὸ ὁρατόν.
ὥστε οὐδὲν πρὸς τὰ δεδειγμένα λυμαίνεται τὸ διάφορον τῶν ὑποθέσεων.
καὶ τὰ περὶ τῶν ἀνακλάσεων δ' ὁμοίως ἕξει ἐπ' ἀμφοτέρων τῶν ὑποθέ-
35 σεων. ταῦτα μὲν οὖν ὅσον συνηγορῆσαι ταῖς Ἀριστοτελικαῖς ὑποθέσεσιν.

Δυσφάνταστον δὲ δοκεῖ τὸ περὶ τῆς ἀνακλάσεως τῶν ἐνεργειῶν, πῶς
οἷόν τέ ἐστι τὰς ἐνεργείας, ἀσώματόν τι πρᾶγμα, ἀνακλᾶσθαί τε καὶ γωνίας
ποιεῖν. ἀμβλεῖα γὰρ καὶ ὀξεῖα γωνία διαστάσεώς ἐστιν, ἡ δὲ διάστασις

---

3 ἀφεστᾶσαι libri 6 ἐλαχίστη A: ἐλαχίστω Dt 8 θερμῷ Dt: ἀέρι A: fort. θέρει; cf. v. 16 post διατρίβων fort. excidit ὁ ἥλιος 12 μὲν οὖν] οὖν μὲν D 16 ὁμοίαν A: ὁμοίως Dt 19 ἐπιλύον D: ἐπιλύοντα t καὶ εἰ — οὖσα ἐνέργεια (334,16) hic exhibet A: post καὶ τὸ σχῆμα (335,18) Dt 22 ἐν τοῖς Μετεώροις] Meteorol. Γ 3 sqq. λέγω A: λέγει Dt 27 κώνου D 31 λέγειν t 34. 35 τῶν ὑποθέσεων A: τῶν om. Dt

μεγέθους, τὸ δὲ μέγεθος σωμάτων καὶ ἐν σώμασιν· ἡ δὲ ἐνέργεια ἀσώ- k 6r
ματος, οὐκ ἔχουσα ἐν τῷ ἀέρι τὸ εἶναι, ἀλλ' ἐν τῷ ἐνεργοῦντι· πῶς οὖν
ἀνακλᾶται τοῦ ἰδίου ὑποκειμένου χωρίς; ἄλλως τε εἰ ἀνακλᾶται, ἢ μετὰ
τοῦ ἀέρος ἀνακλᾶται ἢ καθ' ἑαυτήν. εἰ μὲν οὖν καθ' ἑαυτήν, πῶς πάλιν
5 ἀσώματόν τι πρᾶγμα ἀνακλασθήσεται καὶ γωνίας ποιήσει; εἰ δὲ μετὰ τοῦ
ἀέρος, ἐπειδὴ ὑγρὸς ὢν ὁ ἀὴρ ἑαυτῷ ἀντιπεριίσταται, ἐξ ἀνάγκης ὁ ἀνα- 45
κλασθεὶς ὠθήσει ἄλλον ἀέρα, οὗ ἐν τῷ τόπῳ γίνεται, καὶ τὸν αὐτοῦ
τόπον ἄλλο μόριον τοῦ ἀέρος καταλήψεται. δῆλον οὖν ὅτι ὁ ἀντιπεριστὰς
τῷ ἀνακλασθέντι ἀὴρ μετὰ τῆς ἐν αὐτῷ τοῦ φωτὸς ἐνεργείας ὑποχωρήσει
10 τῷ ἀνακλασθέντι, ὥστε οὐ διπλασιασθήσεται ἡ ἐνέργεια τοῦ φωτὸς ἐν ἑνὶ
καὶ τῷ αὐτῷ ἀέρι· ἀντὶ γὰρ τῆς ἀνακλωμένης μεταξὺ τοῦ ἀέρος ἄλλη
μετὰ τοῦ ἀντιπεριστάντος ἀέρος ὑπεχώρησεν. εἰ δὲ μὴ ἐδιπλασιάσθη
ἡ ἐνέργεια, οὐ μᾶλλον ἐθέρμανε. μάταιος ἄρα ὁ τῶν ἀνακλάσεων τῶν
ἐνεργειῶν λόγος εἰς τὸ ποιῆσαι πλείω θερμασίαν, ὁπότε ἀντιπεριίσταται τῇ 50
15 ἀνακλασθείσῃ μετὰ καὶ τοῦ ἀέρος ἡ ἐν τῷ τόπῳ. οὐ ἡ ἀνάκλασις γέγονε
πρότερον οὖσα ἐνέργεια. | ἀλλὰ πρὸς τοῦτό φημι, ὅπερ ἤδη ἔφθην εἰπών, k 5v
ὅτι ὃν τρόπον ἡ σελήνη δεχομένη τὰς τοῦ ἡλίου ἐνεργείας καὶ φωτιζομένη
διὰ τὴν τοῦ σώματος αὐτῆς λαμπρότητα πέφυκε καὶ αὐτὴ ἀντενεργεῖν καὶ
φωτίζειν τὰ τῇδε, οὕτω δὲ καὶ ἄλλα πλεῖστά ἐστιν, ἅπερ δεχόμενα τὰς
20 τοῦ φωτὸς ἐνεργείας καὶ αὐτὰ ἀντενεργεῖν πέφυκεν, οἷον ὕδωρ, ὕελος,
ἄργυρος, χαλκὸς καὶ ἁπλῶς τὰ λεῖα πάντα καὶ στιλπνά. ὅταν οὖν λέγηται
ἀνακλᾶσθαι ἡ ἐνέργεια ἀπὸ τῶν λείων σωμάτων, οὐδὲν | ἄλλο λέγεται k 6r
ἢ ὅτι δεχόμενα τὰ τοιαῦτα σώματα τάς τε τοῦ φωτὸς τάς τε τῶν ὁρατῶν
ἐνεργείας οὐκ αὐτὰς κατ' ἀριθμὸν ἃς ἐδέξατο ποιεῖ κλᾶσθαι, ἀλλ' ὅτι
25 ἀντενεργεῖν τοιαύτας ἐνεργείας καὶ αὐτὰ πέφυκε. καὶ διὰ τοῦτο καὶ σπουδά-
ζομεν οὕτω πρὸς τὸ φωτισθῆναι τὰ πυρεῖα, ὡς τήν τε ἐκ τοῦ ἡλίου ἐνέρ-
γειαν εἰς τὸ πυρεῖον προσπίπτουσαν καὶ τὴν ἐξ αὐτοῦ πάλιν γινομένην μὴ
διεστηκέναι ἀλλήλων, ἀλλὰ πλησίον εἶναι καὶ ταύτῃ τῇ πυκνότητι θερ- 5
μαίνειν. τὰ αὐτὰ καὶ ἐπὶ τῶν ὄψεων.

30 Τούτῳ μὲν οὖν οὕτω διῃρήσθω· ἐκεῖνο δ' εὐλόγως ἄν τις ἀπορή-
σειεν, εἰ μὴ κατ' ἐκπομπὴν τῶν ὄψεων τὸ ὁρᾶν γίνεται, ἀλλ' αἱ
τῶν ὁρατῶν ἐνέργειαι εἰς τὸ ὄμμα φοιτῶσι, πόθεν τὰ διαστήματα τὰ
μεταξὺ ἡμῶν τε καὶ τῶν ὁρωμένων γινώσκομεν· εἰ γὰρ ἐφοίτων μέχρι
τοῦ ὄμματος αἱ ἐνέργειαι, καὶ τὰ ἐγγὺς καὶ τὰ πόρρω ὡσαύτως ὁρᾶσθαι
35 ἔδει· εἰ δὲ γινώσκομεν τὰ ἀποστήματα τῶν ὁρατῶν, δῆλον ὅτι οὐ πρὸς
ἡμᾶς τὰ εἴδωλα ἤτοι αἱ ἐνέργειαι τῶν ὁρατῶν φοιτῶσι. πῶς δ' ἄν τις 10
καὶ φανταστεία ἐνεργείας σχημάτων καὶ χρωμάτων διὰ τοῦ ἀέρος φοιτώσας;
ἀλλ' ἔφασκε πρὸς τοῦτο ὁ φιλόσοφος μὴ τὰς ἐνεργείας φοιτᾶν μέχρι τοῦ
ὄμματος, ἀλλ' ἁπλῶς τὸν ἀέρα πάντα πεπληρῶσθαι πάντων τῶν ὁρατῶν.
40 τοῦτο δὲ ἔτι ἀπορώτερόν τε καὶ ἀτοπώτερον. πρῶτον μὲν γὰρ καὶ τὸ
αὐτὸ ἔτι μένει ἄπορον. εἰ γὰρ κοινῶς ὁ ἀὴρ τῶν ἐμφάσεων τῶν ὁρατῶν

---

8 ἄλλο A: ἄλλον Dt 15 καὶ om. t 25 καὶ (post τοῦτο) om. t 26 πρὸς om. t πυρία et 27 πυρίον ADt ὡς τήν τε] ὥσπερ τὴν t 39 περιπληρῶσθαι D 41 κοινὸς A

πεπλήρωται, πόθεν τὰ ἀποστήματα γινώσκομεν; ἔδει γὰρ καὶ τὸ πάνυ k 6r
πόρρω καὶ τὸ ἐγγὺς ὡσαύτως φαίνεσθαι. οὐκ ὤφειλε δὲ οὐδὲ τὰ πορρω- 15
τάτω διαφεύγειν τὴν αἴσθησιν, εἴ γε πᾶς ὁ ἀὴρ πασῶν τῶν ἐμφάσεων
πεπλήρωται. ἀλλ' ἴσως πρὸς τοῦτο μὲν φήσειεν ὅτι, ὥσπερ οἱ τὰς ὄψεις
5 ὑποτιθέμενοι ἀσθενεῖν αὐτάς φασι πόρρω προϊούσας καὶ διὰ τοῦτο μὴ ὁρᾶν
τὰ πόρρωθεν, τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐνεργειῶν ἡμεῖς ὑποτιθέμεθα ἐπὶ πολὺ
προϊούσας ἀσθενεῖν. ἀλλὰ πρὸς ἐκεῖνο τί ἂν φήσειεν: εἰ γὰρ ὁ πᾶς ἀὴρ
τῶν ἐμφάσεων πεπλήρωται, τίς ἔτι χρεία τοῦ ὑποτίθεσθαι κατ' εὐθεῖαν
λέγειν ἰέναι τὰς ἐνεργείας: ἔδει γὰρ αὐτὰ τὰ μὴ πόρρω ἡμῶν καὶ ἁπλῶς 20
10 ἅπερ ὁρᾶν δυνάμεθα, ὅπου δὰν ἀποβλέψωμεν, ὁρᾶν, ἅπαξ τοῦ ἀέρος
πεπληρωμένου τῶν ἐμφάσεων. διὰ τί οὖν μὴ ὁρῶμεν τὸν οὐρανὸν καὶ
ἕκαστον τῶν ὁρατῶν μὴ ἀτενίζοντες πρὸς αὐτά; ἔστι δὲ ὑπὲρ τῆς δόξης
τῆς Ἀριστοτέλους συναγωνιζόμενον αὐτὴν τὴν ἐνάργειαν μαρτύρασθαι.
ὁρῶμεν γὰρ ὅτι, ὅταν διὰ σφέκλου κεχρωσμένου πυρρῷ ἢ ἄλλῳ τινὶ τοιούτῳ
15 χρώματι ἀκτὶς ἡλίου βάλλῃ, ἀπαθὴς ὁ ἀὴρ μένων τό τε χρῶμα τοῦ
σφέκλου καὶ τὸ σχῆμα διαπορθμεύει, μέχρις ἂν στερεοῦ τινος προσψαύσῃ 25
σώματος, καὶ λοιπὸν ἐν ἐκείνῳ ἐναπομάττεται τό τε χρῶμα τοῦ σφέκλου
καὶ τὸ σχῆμα. καὶ ἔστι τῷ ὄντι θαυμαστὸν ἰδεῖν. ἐν μὲν γὰρ τῷ ἀέρι 51
ἐνατενίζων τις, δι' οὗ δίεισιν ἡ τοῦ ἡλίου ἀκτίς, ἀπαθῆ τοῦτον ὁρᾷ ὑπὸ
20 τοῦ χρώματος καὶ τοῦ σχήματος τῆς σέλου· ἐν μέντοι τῷ στερεῷ σώματι,
ἐν ᾧ γίνεται ἡ ἀποτελεύτησις τῆς ἀκτῖνος, ἐν ἐκείνῳ καὶ τὸ χρῶμα ὁρᾶται
καὶ τὸ σχῆμα. καὶ οὐ δεῖ που ὄψεων ἐκεῖσε ἀνάκλασιν αἰτιάσασθαι.
οὐδὲ γὰρ ἁπλῶς ἐν λείοις τὸ τοιοῦτον γίνεται σώμασιν, ἀλλὰ | καὶ ἐν k 6v
ἐρίῳ, εἰ ἐκεῖ προσπέσοι ἡ ἀκτίς, καὶ ἐν ἱματίῳ καὶ ἐν ψάμμῳ καὶ ἐν
25 ὀτῷοῦν, καὶ τῆς ὄψεως ὡς ἂν ἔτυχεν οὔσης, ὥστε μηδὲ ἐκεῖθεν δύνασθαι
ἐπὶ τὸ σφέκλον ἀνάκλασιν γενέσθαι. σαφὲς οὖν ἐντεῦθεν ὡς τῷ ὄντι
ἐνέργειαι τῶν ὁρατῶν ἀπαθῶς διὰ τοῦ ἀέρος χωροῦσαι οὕτως ἐν τῷ
αἰσθητηρίῳ γινόμεναι ἅτε δὴ ἐν στερεῷ σώματι ἐκεῖσε καὶ τὰ χρώματα
καὶ τὰ σχήματα τῶν ὁρατῶν ἐντυποῦσι· καὶ οὕτως ὑπ' αὐτῶν τοῦ αἰσθη- 5
30 τηρίου παθόντος ἡ κρίσις ἐπὶ τὴν αἴσθησιν διαβαίνει. ἀλλ' ἔστι πρὸς τοῦτο
εἰπεῖν ὅτι οὐ τὸ αὐτὸ ὁρῶμεν γινόμενον ἐπὶ τῶν ὁρατῶν, ὅπερ συμβαίνει
ἐπὶ τοῦ ὑποδείγματος. οὐδὲ γὰρ ἄλλως τὸ εἰρημένον γίνεται, εἰ μὴ ἀκτὶς
διὰ τοῦ σφέκλου προσπέσοι, τὰ δὲ ὁρατὰ ὁρῶνται καὶ μὴ ἀκτῖνος αὐτοῖς
κατ' εὐθεῖαν ἀπὸ τοῦ ἡλίου προσβαλλούσης. ἄλλως τε ἐπὶ μὲν τοῦ
35 σφέκλου, οἷς ἂν προσπέσῃ ἡ ἀκτίς, ἐν τούτοις φαντασία γίνεται τοῦ χρώ-
ματος· οὐδὲν δὲ τοιοῦτον ἐπὶ τῶν ὁρατῶν φαίνεται· οὐδὲ γὰρ ὁρῶντα 10

---

1 δεῖ Λ 3 διαφεύγειν] διαφέρειν D 4 et 7 φήσειεν Λ: φήσαιεν Dt 12 ὑπὲρ Λ: ὑπὸ Dt 13 ἐνάργειαν scripsi: ἐνέργειαν libri 14 κεχρωμένου t τοιούτῳ Λ: τούτῳ Dt 15 χρῶμα] χρῶματι (sic) t 19 δι' οὗ] δ' οὗ t 22 οὐ δεῖ που Λ²: οὐ δήπου Λ¹D: οὐδέ που t post ὄψεων add. ἐστίν t 23 σῶμα t 27 ante ἐνέργειαι add. αἱ t χωροῦσαι Λ: χωρῆσαι Dt 28 στερεῷ Λ: ἑτέρῳ Dt 33 ὁρῶνται Λ: ὁρῶν D: τὰ ὁρῶντα t 34 τε Λ: τὸ Dt 36 δὲ om. D ὁρῶνται D

φαίνεται εἰς τὰ λοιπὰ σώματα, κἂν δι' αὐτῶν ἡ ἀκτὶς φέρηται· ἄλλο ἄρα k 6v
ἐστὶ τὸ γινόμενον ἐπὶ τοῦ ὑποδείγματος παρὰ τὴν τῶν ὁρατῶν ἐνέργειαν
ἢ ἁπλῶς λῆψιν. καὶ τοῦτο δὲ πρὸς τὸν περὶ τῶν ἐνεργειῶν ἀποροῦσι
λόγον· τί δήποτε, φασίν, ὅταν χυμός τις ἐπιρρεύσῃ ἐν τῷ ὄμματι, τοῦτον
5 μὴ ὁρῶμεν ἐντὸς ὄντα; εἰ γὰρ ὅλως αἱ τῶν αἰσθητῶν ἐνέργειαι ἐν αὐτῷ
τῷ ὄμματι γενόμεναι ὁρῶσι, καὶ μὴ αἱ ὄψεις αἱ ἡμέτεραι ἀφικνοῦνται πρὸς
αὐτά, ἔδει τὸν συστάντα χυμὸν ἐν τῷ ὄμματι ἔσω ἡμᾶς ὁρᾶν· νῦν δ' οὐ 15
τοῦτο γίνεται, ἀλλ' ἔξω αὐτοῦ ἀντιλαμβανόμεθα. καὶ γὰρ εἰ συμβῇ κεχρω-
σμένον εἶναι τὸν χυμὸν ἐκεῖνον, ἔξω ἐν τῷ ἀέρι τοῦ χρώματος ἀντιλαμβα-
10 νόμεθα. κἂν ἐσχηματισμένος εἴη. καὶ τοῦ σχήματος ἔξω πάλιν αἰσθανόμεθα.
καὶ οὐκ ἂν εἴποι τις ὅτι ἡ τούτου ἐνέργεια ἐξελθοῦσα ἔξω ἐν τῷ ἀέρι
πάλιν ἀπὸ τούτου ἀνεκλάσθη εἰς τὸ ὄμμα· οὐ γὰρ ἁπλῶς ἀπὸ τοῦ ἀέρος,
καὶ ταῦτα ἐνίοτε λεπτομερεστάτου ὄντος, ἀνακλᾶσθαι πεφύκασιν αἱ ὄψεις
καὶ ἐνέργειαι. ἄλλως τε, εἰ τοῦτο ἦν, διὰ τί μὴ καὶ τὸ τοῦ ῥαγοει-
15 δοῦς χρῶμα τὸ αὐτὸ τοῦτο ἐποίει; ἔδει γὰρ καὶ τούτου τὴν ἐνέργειαν
ἐξελθοῦσαν καὶ ἀνακλασθεῖσαν πρὸς ἡμᾶς ἀντιληπτὴν ἡμῖν εἶναι· νῦν δὲ 20
οὐκ ἔστιν. εὔδηλον οὖν, φασίν, ὅτι τὸ ὀπτικὸν πνεῦμα πεπονθὸς ἐκ τοῦ
ἔνδον χυμοῦ, εἶτα προελθὸν ἔξω καὶ ὥσπερ ὀχήματι τῷ πεφωτισμένῳ
ἀέρι χρησάμενον, οὕτω τοῦ ἐγγενομένου ἐν αὐτῷ πάθους ὑπὸ τοῦ ἐντὸς
20 χυμοῦ ἀντιλαμβάνεται. συνεχὲς γὰρ ὂν ἐν ἑαυτῷ τὸ πνεῦμα τοῦ μορίου
ἐκείνου τοῦ προσβάλλοντος τῷ χυμῷ πεπονθότος ἅπαξ καὶ ἀλλοιωθέντος
κατὰ συνέχειαν ἐφεξῆς τὴν ἀλλοίωσιν ἴσχει· καὶ ἐπειδὴ μὴ ἄλλως ἡ ἀντί-
ληψις τῶν ὁρατῶν γίνεται ἢ διὰ τοῦ πεφωτισμένου ἀέρος, εἰκότως ἔξω 25
γενόμενον τοῦ πάθους ἀντιλαμβάνεται. πρὸς ταῦτα οὖν ἐκεῖνό φαμεν,
25 ὅτι τὸ μὲν ἐξιέναι ἐκ τῶν ὀμμάτων ὄψεις οὐ πρότερον παραδεξόμεθα, πρὶν
δὴ τὰ πρὸς τὴν ὑπόθεσιν ταύτην ἀκολουθήσαντα ἄτοπα διαλύσωσιν. εἰ
γὰρ ὅλως τὸ ἐξιέναι ἐκ τῶν ὀμμάτων ὄψεις ἀνῄρηται, οὐ δήπου ὡς ἀληθοῦς
οὔσης τῆς ὑποθέσεως ἀνεξόμεθα αὐτῶν ταύτῃ χρωμένων τῶν προκειμένων
τοὺς λόγους ἀποδιδόναι. φαμὲν οὖν ἡμεῖς ταῖς εἰρημέναις ὑποθέσεσιν
30 ἑπόμενοι, ὅτι ὁ χυμὸς οὗτος συνιστάμενος ἐν τῷ ὄμματι οὐκ ἀλλαχοῦ 30
ἔχει τὴν σύστασιν ἢ περὶ αὐτὸ τοῦ ῥαγοειδοῦς τὸ τρῆμα ἔξω τῶν ὑγρῶν·
εἰ γὰρ ἐνδοτέρω συστῇ, ἢ ἐν τοῖς ὑγροῖς ἢ ἐν τῷ ὀπτικῷ νεύρῳ, παντά-
πασιν ἐμποδίσει τῇ ὄψει. φαμὲν οὖν τῷ ὄντι πνεῦμα ὀπτικὸν κατιέναι
ἀπὸ τοῦ ἐγκεφάλου διὰ τῶν ὀπτικῶν νεύρων, τοῦτο δὲ μέχρι τοῦ κρυσταλ-
35 λοειδοῦς ἀφικνεῖσθαι, καὶ ἐν αὐτῷ εἶναι αὐτοῦ τὰς ἀποτελευτήσεις. διὸ
καὶ αἱ τῶν ὁρατῶν κρίσεις ἐκεῖσε· διὸ καὶ αὐτὸ διαφανές, ἵνα διαπορ-
θμεύοιντο δι' αὐτοῦ αἱ ἐνέργειαι τῶν ὁρατῶν ἐπὶ τὸ ὀπτικὸν πνεῦμα· διόπερ 35

---

1 φέρεται t ἄλλο Diels: ἀλλ' ADt 5 γὰρ ὅλως A: post γὰρ add. μὴ Dt
5. 6 αὐτῷ τὸ D 7 αὐτάς t 8 καὶ γὰρ εἰ—ἀντιλαμβανόμεθα (9. 10) A: om. Dt
13 λεπτομερεστέρου t 14 καὶ ἐνέργειαι A: εἰ καὶ ἐνέργεια Dt 16 ἀντιληπτὴν
scripsi: ἀντιληπτικὴν ADt 17 εὔδηλον scripsi: οὐ δῆλον libri 20 ὂν A:
om. Dt 21 καὶ om. t 26 δὴ om. t 34 τοῦτο A: τούτου Dt
36 αἱ τῶν A: αἱ om. Dt 37 αἱ ἐνέργειαι At: τὸ δὲ αἱ ἐνέργεια (sic) D

καὶ τέτρηται τὸ μεταξὺ τοῦ ῥαγοειδοῦς. ἐπειδὴ γὰρ ὁ ῥαγοειδὴς κέχρω- k 6v
σται καὶ διὰ τοῦτο ἔμελλεν ἐμποδίζειν διαπορίμεσθαι τὰς τῶν χρωμάτων
ἐνεργείας, τέτρηται τὸ πρὸς τῷ κρυσταλλοειδεῖ μέρος, ἵν' ἀνεμπόδιστως
φοιτῶσιν αἱ τῶν ὁρατῶν διὰ τοῦ κερατοειδοῦς καὶ τῶν ὑγρῶν διαφανῶν ὄντων
5 καὶ ἀχρωματίστων. ἔξω οὖν τῶν ὑγρῶν τοῦ χυμοῦ συνισταμένου καὶ τῶν
ὑγρῶν διαφανῶν ὄντων ἀφικνεῖται δι' αὐτῶν ἐπὶ τὸ ὀπτικὸν πνεῦμα ἡ τοῦ
συστάντος χρώματος ἢ σχήματος ἐνέργεια. καὶ ἐπειδή, εἰ καὶ διαφανῆ ἐστι
τὰ ὑγρά, ἀλλ' οὖν τὸ διαφανὲς αὐτῶν φωτὸς παρουσίᾳ τελειοῦται καὶ 10
γίνεται ἐνεργείᾳ διαφανὲς πρότερον δυνάμει ὄν, διὰ τοῦτο μόνοντες οὐχ
10 ὁρῶμεν καὶ οὐκ ἀντικείσεται ἡμῖν. διὰ τί οὖν οὐχ ὁρῶμεν καὶ τὸ τοῦ
ῥαγοειδοῦς χρῶμα δεικνυμένης αὐτοῦ τῆς ἐνεργείας διὰ τῶν ὑγρῶν; εἴπομεν
γὰρ ἤδη ὅτι τὸ πρὸς τῷ κρυσταλλοειδεῖ μέρος αὐτοῦ τέτρηται· μὴ οὔσης
οὖν αὐτοῦ κατ' ἐκεῖνο τὸ μέρος τῆς οὐσίας, ἐν ᾧ αἱ τῶν ὁρατῶν κρίσεις
γίνονται διὰ τὸ ἐκεῖσε τὰς ἀποτελευτήσεις εἶναι τοῦ ὀπτικοῦ πνεύματος.
15 εἰκότως οὐδὲ ἀντίληψις αὐτοῦ γίνεται. τί οὖν; φησί· τὸ ὀπτικὸν πνεῦμα 45
τοσοῦτον μόνον ἐπέχει τόπον, ὅσον ἐστὶ τὸ τῆς κόρης διάστημα; ἔπειτα
εἰ καὶ τοσοῦτον ἐπεῖχε καὶ ἀκίνητον ἐν ἐκείνῳ ἕστηκε τῷ μέρει, οὐκ
εὔλογον αὐτὸ καὶ παρ' ἑκάτερα χεῖσθαι· οὐχὶ δὲ ἡ τούτου αὔξησις καὶ
μείωσις ὅλον τὸν ὀφθαλμὸν ἢ κοιλότερον ποιεῖ ἢ προέχοντα; φημὶ οὖν
20 πρὸς ταῦτα συντόμως ὅτι, εἰ καὶ παρ' ἑκάτερα συμβαίνει τοῦ πνεύματος
χύσιν γενέσθαι, ἀλλ' οὖν ἡ ἀντίληψις τῶν ὁρατῶν κατὰ μόνου τοῦ μορίου
ἐκείνου γίνεται ἐν ᾧ ἡ κόρη συνέστηκε. καὶ τοῦτο σαφὲς καὶ ἐξ αὐτῆς 50
τῆς ἐναργείας καὶ ἐκ τοῦ λόγου. ὁρῶμεν γὰρ ὅτι, εἰ μὲν ἐν αὐτῇ τῇ
κόρῃ πάθος τι γένηται, λέγω δὴ ἢ χυμοῦ σύστασις, ἢ ῥύπος τις καὶ
25 πάχυνσις τοῦ κερατοειδοῦς, εὐθὺς τοῦ ὁρᾶν ἐμποδιζόμεθα· εἰ μέντοι αὐτὴ
μὲν καὶ τὰ περὶ ταύτην μέρη κατὰ φύσιν ἔχοι, τὰ παρ' ἑκάτερα δὲ αὐτῆς
πάντα πάθοιέν τι, ἢ σκίρρον ἢ ἐπίρροιαν χυμοῦ ἤ τι τοιοῦτον, ἀνεμπόδιστος
ἡ ὄψις γίνεται, ὡς δηλονότι δι' αὐτῆς μόνης τῆς ἀντιλήψεως γινομένης.
καὶ ἡ αἰτία δήλη. εἰ γὰρ διὰ τοῦτο τέτρηται ἐκεῖσε ὁ ῥαγοειδής, ἵνα μὴ
30 τῷ οἰκείῳ χρώματι ἐμποδίσῃ τῇ ἀντιλήψει τῶν ὁρατῶν, ἔνθα ἂν μὴ k 7r
τοῦτο πεπονθὼς ᾖ, ἐμποδίσει δηλονότι. ὥστε κἂν ἐν ὅλῳ τῷ ὀφθαλμῷ
κεχυμένον ᾖ τὸ πνεῦμα, ἀδύνατον δι' ὅλου ἀντιλαβέσθαι. καὶ ὥσπερ εἴ τις
οἶκος εἴη μίαν μόνην ὀπὴν ἔχων, εἴη δ' ἐν ἐκείνῃ τῇ ὀπῇ ὅελος κατακόρως
μέλαινα, ἅτε δὴ μὴ δυναμένου τοῦ φωτὸς δι' αὐτῆς καταφωτίσαι τὸν
35 οἶκον, οὔτε αὐτῆς οὔτε ἄλλου τινὸς γινομένη τοῖς ἔνδον ἀντίληψις, οὕτω δὴ 5
καὶ ἐπὶ τοῦ ῥαγοειδοῦς συμβαίνει. εἰ γὰρ καὶ τὰ ἔνδον αὐτοῦ πάντα διαφανῆ

1 τῆς ῥαγοειδοῦς D 3 τῷ πρὸς τῷ D 4 post ὄντων add. ἐνεργείαι (sic) t 5. 6 καὶ ἀχρωματίστων — διαφανῶν ὄντων A: om. Dt 6 post ἀφικνεῖται add. οὖν t 10 καὶ (ante οὐκ) A: om. Dt 13 οὖν A: om. Dt 14 διὰ τὸ A: διὰ τοῦτο Dt 16 τῆς om. t 17 ἐπεῖχε καὶ A: ἀπεῖχεν Dt 19 ποιεῖ A: ποιεῖν Dt προέχοντα A: προσέχοντα Dt 21 μόνον t 25 μέντοι αὐτὴ A: μὲν τοιαύτη Dt 27 σκίρρον scripsi: σκῖρον A: σκιρρὸν (ιρ in ras. D) Dt 31 ᾖ A: ἢ Dt 35 ἄλλου τινὸς γινομένη scripsi: ἄλλης τινὸς γινομένης Dt ἀντιλήψεως t 36 ῥαγοειδοῦς scripsi: κερατοειδοῦς Dt

ἦν, ἅτε δὴ μὴ δυναμένου τοῦ φωτὸς διὰ τὸ τοῦ ῥαγοειδοῦς χρῶμα τὸ k 7r
ἐν αὐτοῖς διαφανὲς εἰς ἐνέργειαν ἀγαγεῖν, οὐκ ἀντιλήψεται ἡ ἐνδοτέρω
ἐκείνων δύναμις οὐδὲ αὐτοῦ τοῦ ῥαγοειδοῦς· ὃ καὶ ὅλως εἰ μὴ ὁρῶμεν δι'
ὅλου τοῦ ῥαγοειδοῦς, ἀλλὰ καὶ διὰ μόνης τῆς κόρης, μάταιον τὸ ζητεῖν
5 διὰ τί μὴ καὶ τοῦ ῥαγοειδοῦς ἀντιλαμβάνεται ἡ ὄψις. ναί, φησί. καὶ εἰ τὸν
ἐντὸς χυμὸν ὁρῶμεν τῶν ὄψεων μὴ προϊουσῶν εἰς τὸ ἔξω, διὰ τί μὴ ἔσω 10
ὄντος τοῦ πάθους αἰσθανόμεθα, ἀλλ' ἔξω εἶναι νομίζομεν τὸ ἔνδον πάθος;
φημὶ οὖν πρὸς τοῦτο ὅτι πᾶσαι σχεδὸν αἱ παρὰ φύσιν διαθέσεις τὸ τοιοῦτο
πεφύκασιν ὑπομένειν. καὶ γὰρ οἱ σκοτοδινιῶντες τὸ ἑαυτῶν πάθος τοῖς
10 ἔξω περιάπτουσι. καὶ οὐ δήπου διὰ τὸ πνεῦμά τι ἐξιέναι ἐκ τοῦ ἐγκεφάλου
εἰς τὸ ἔξω· ἀλλὰ καὶ οἱ ἐν τῷ στόματι παρὰ φύσιν τινὰ χυμὸν ἔχοντες,
τοῦτον τοῖς σιτίοις καὶ τοῖς ποτοῖς ὑπάρχειν νομίζουσιν. ὅθεν καὶ εἴρηται
καὶ πάλιν ῥηθήσεται ὅτι δεῖ τὸ ἀντιληπτικόν τινων ἐσόμενον μηδενὶ τούτων 15
πεποιῶσθαι ὧν μέλλει τὴν ἀντίληψιν ἴσχειν, ὁμοίως καὶ τὸ τούτων δια-
15 πορθμευτικὸν μηδεμιᾷ τούτων προκατέχεσθαι ποιότητι. καὶ διὰ τοῦτο
ἐπειδὴ διαπορθμευτικός ἐστιν ὁ ἀὴρ καὶ χρωμάτων καὶ ψόφων καὶ ὀσμῶν,
καὶ ἄχρους ἐστὶ καθ' αὑτὸν καὶ ἄψοφος καὶ ἄοσμος. εἰ γὰρ προκατέ-
σχοιτό τινι χρώματι, ἐνεπόδισεν ἂν τοῦτο τῇ διαπορθμεύσει τῶν λοιπῶν.
καὶ διὰ τοῦτο, ὡς ἤδη εἶπον, τὰ κεχρωσμένα τῶν σφέκλων διαπορθμεύειν
20 πάντα τὰ χρώματα οὐ δύναται. ὥσπερ οὖν τὰ κεχρωσμένα ἐρυθρῷ ἢ
κυανῷ βάμματι σφέκλα πάντα τὰ δι' αὐτῶν ὁρώμενα ὁμόχροα ἑαυτοῖς 20
δεικνύουσιν, οὕτω δὴ καὶ ὅταν φθάσῃ ἕκαστον τῶν αἰσθητηρίων, ὥνπερ
ἐστὶ κριτικὸν ποιοτήτων, μιᾷ τούτων ὑπό τινος νόσου προκατεσχῆσθαι.
πᾶσι τοῖς ἄλλοις αἰσθητοῖς ταύτην περιτίθησι τὴν ποιότητα. οὕτως οὖν
25 καὶ ἡ γλῶσσα ὅταν ποιωθῇ, πᾶσι τοῖς γευστοῖς ταύτην ὑπάρχειν νομίζει
τὴν ποιότητα, ἥνπερ αὐτὴ φθάσασα ἔσχε. τοῦ γὰρ γευστοῦ γευομένη,
ἐπειδὴ δραστικώτερον ἔχει τὸν ἐν ἑαυτῇ χυμόν, ἐκείνου πρότερον αἰσθανο-
μένη τῷ προσελθόντι νομίζει τοῦτο περικεῖσθαι. διὸ οἱ οὕτως ἔχοντες 25
προσφέρονται δραστικωτέρους χυμούς, ἢ ὄξος τυχὸν ἤ τι τοιοῦτον, ἵνα
30 ἐπικρατέστερος οὗτος γενόμενος τοῦ ἐνυπάρχοντος παρὰ φύσιν ἐν τῇ γλώττῃ
ἀντίληπτος γένηται τῇ αἰσθητικῇ δυνάμει. τὸ αὐτὸ οὖν καὶ ἐπὶ τῆς ὄψεως
συμβαίνει· τῷ γὰρ παρὰ φύσιν ἐγγενομένῳ χρώματι ἐν ἡμῖν κεχρῶσθαι
τὰ ἔξω νομίζομεν, ὡς ἐπὶ τῶν ἰκτεριώντων· ὠχρὰ γὰρ πάντα νομίζουσιν.
ἐπειδὴ ⟨γὰρ⟩ τὰ διαφανῆ τοῦ ὄμματος μόρια, δι' ὧν τῶν ὁρατῶν ἀντι-
35 λαμβανόμεθα, οἷον τὰ ὑγρὰ καὶ ὁ κερατοειδής, ὠχρὰ γέγονε, νομίζομεν τὰ 30
δι' αὐτῶν ὁρώμενα πάντα τοιαῦτα εἶναι, ὥσπερ καὶ τὰ διὰ σφέκλων ὁρώ-
μενα τὸ αὐτὸ χρῶμα τοῖς σφέκλοις ἔχειν δοκεῖ. οὕτω δὲ καὶ ἐν τῷ
συνισταμένῳ χυμῷ ἐν τῷ ὄμματι τὸ χρῶμα αὐτοῦ καὶ τὸ σχῆμα τῷ ἀέρι
περιάπτομεν. καὶ ὅπερ ἤδη εἶπον, εἰ ὥσπερ ἐπὶ τῶν λοιπῶν αἰσθητηρίων.

---

1 ῥαγοειδοῦς scripsi: κερατοειδοῦς Dt 12 ποτοῖς scripsi: πότοις D: τόποις t 14 ἴσχειν scripsi: ἴσχει Dt 23 προκατεσχῆσθαι] προκατϊχῆσθαι ex προκατηχῆσθαι corr. D: προκατισχεῖσθαι A: προκατισχῆσθαι t 26 ἥπερ D¹: corr. D² 28 τοῦτο] fort. τοῦτον 35 καὶ κερατοειδὲς t γέγονε[illegible] A: γέγονέ ante ras. III litt. D 38 αὐτοῦ A: αὐτῶ D: αὐτὸ t

ὅταν παρὰ φύσιν ἔχωσι. τὸ αὐτῶν πάθος τοῖς αἰσθητοῖς ὑπάρχειν δοκεῖ, 7 kr
καίτοι μὴ γενομένου ἐπὶ ἐκείνων κατὰ ἐκπομπὴν τοῦ αἰσθάνεσθαι, εὔλογον
καὶ ἐπὶ τῆς ὄψεως τὸ αὐτὸ συμβαίνειν, οὐκ ἄρα διὰ τὸ ἔξω τοῦ ἰδίου
πάθους ἀντιλαμβάνεσθαι τὸ αἰσθητήριον πνεύματα ἐξιέναι ἐκ τοῦ ὄμματος
5 παρεδεξάμεθα. συμβαίνει δὲ καὶ πρὸς τὸ σχῆμα τοῦ ἐναποσκήψαντος
χυμοῦ τοιαῦτα καὶ ἔξωθεν ὁρᾶσθαι διὰ ταύτην τὴν αἰτίαν. εἰ μὲν γὰρ ὁ
ἐνσκήψας χυμὸς πᾶσαν ἀπολάβῃ τὴν κόρην, πᾶσα ἡ ἐνέργεια βλάπτεται·
ὅταν δὲ κατά τι μόριον τῆς κόρης ἐπιπροσθῇ τῇ ὁρατικῇ δυνάμει, πανταχόθεν
εἰσιόντων τῶν ὁρατῶν καὶ τοῦ φωτός, κατ' ἐκεῖνο δὲ τὸ μέρος ἀορασίας
10 οὔσης, διὰ τὴν ἐπιπρόσθησιν τοῦ χυμοῦ πλάνη τις γίνεται, καὶ δοκεῖ τὸ μόριον
ἐκεῖνο καθ' ὃ οὐχ ὁρᾷ σῶμά τι εἶναι ἔξω δῆλον καὶ ὁμοίως ἐσχηματισμένον.
διὸ κἂν συμβῇ μὴ ἵστασθαι, ἀλλὰ κινεῖσθαι τὸν χυμόν, δοκεῖ καὶ ἔξω σῶμά
τι ὂν κινεῖσθαι ἀεί, κατ' ἄλλο μέρος τῆς ἀορασίας γινομένης. τί δὲ θαυ-
μαστόν, εἰ κάτοπτρά ἐστιν ἔξω τὴν ἔμφασιν τῶν εἰδώλων παρέχοντα; καί-
15 τοι τίς ἂν ὑπονοήσοι τὸ εἴδωλον τὸ φαινόμενον ἔξω περιφέρεσθαι τὸ αὐτὸ
τοῦτο καὶ ἐπὶ τῶν παρὰ φύσιν τοῦ ὀφθαλμοῦ διαθέσεων γίνεσθαι;

Διὰ τί οὖν, φασί, πλατυκοριάσεως γενομένης οὐκέτι ὁρῶμεν; οἱ
μὲν γὰρ τὰς ὄψεις αἰτιώμενοι εὔλογον αἰτίαν ἔχουσι διὰ τὸ σκεδάννυσθαι
εὐθὺς τὰς ὄψεις ἐξιούσας καὶ χεῖσθαι καὶ μὴ σώζειν ἐν τῇ ἐκπομπῇ
20 τὸ σχῆμα ὅπερ ἔσωζον καὶ τῆς κόρης κατὰ φύσιν ἐχούσης· τί δ'
ἂν εἴποις ἐπὶ τῶν ἐνεργειῶν; εὐρυτέρας γὰρ οὔσης τῆς κόρης ἔδει
ῥᾷον εἰσιουσῶν τῶν ἐνεργειῶν μᾶλλον ὁρᾶν. πάλιν οὖν ἔστι καὶ πρὸς
τοῦτο ἐκ τῶν αὐτῶν ὑποθέσεων ὑπαντῆσαι ὅτι, ὡς πολλάκις εἴρηται, δεῖ
τὰ αἰσθητὰ κατ' εὐθεῖαν κεῖσθαι τῷ αἰσθητηρίῳ. ἐρεῖ τις οὖν χεῖσθαι
25 τὰς ἐνεργείας πλατείας οὔσης τῆς κόρης καὶ μὴ φέρεσθαι κατ' αὐτοῦ τοῦ
κέντρου, ἔνθα ἡ κρίσις γίνεται· ἀλλὰ τοῦτο γελοῖον. εἰ μὲν γὰρ σώματα
ἦσαν, εἶχεν ἂν τὸ λεγόμενον πιθανότητα· νῦν δὲ πῶς οἷόν τέ ἐστι χεῖσθαι
ἐνεργείας ἀσωμάτους; πάντως γὰρ καθ' ὁποιανοῦν θέσιν τὰ κέντρα ἔσονταί
τινα ὁρατὰ κατ' εὐθεῖαν τῷ αἰσθητηρίῳ ἐν ᾧ γίνεται ἡ κρίσις· τί οὖν
30 κωλύει ἀκριβῆ ἐκείνων τὴν ἀντίληψιν ἔσεσθαι; τίς δὲ καὶ ἡ αἰτία ἐν τῷ
παρεστράφθαι τὰς κόρας καὶ μὴ ὑπὸ μίαν καὶ τὴν αὐτὴν εὐθεῖαν εἶναι
ἤτοι ἐκ φυσικῆς | ἁμαρτίας ἤτοι ἐξ ἐπιτηδεύσεως, ὡς ὅταν πηγνύντες τὸν k 7v
δάκτυλον εἰς τὸ κάτω βλέφαρον παρακινῶμεν ἀνωτέρω τὴν τοῦ ὀφθαλμοῦ
τοῦ ἑτέρου θέσιν διατιθέντες, τοιαύταις διαθέσεσι διπλᾶ τὰ πράγματα
35 ὁρῶμεν; ἐγὼ μὲν οὖν τὴν αἰτίαν τούτου ποτὲ ἐρωτηθεὶς καὶ τῇ τῶν ὄψεων
ὑποθέσει χρησάμενος, οὕτως ἀποδέδωκα τοῦ γινομένου τὸν λόγον, ὅτι εἴ
φαμεν δύο κώνους ἐκ τῶν ὀμμάτων ἐξιέναι ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς εὐθείας
ἀπαρεγκλίτου τῆς διὰ τῶν κέντρων φερομένης τῶν κρυσταλλοειδῶν ὑγρῶν,
προσβάλλουσι δὲ αἱ ὄψεις τοῖς ὁρατοῖς καὶ ποιοῦσι τρίγωνα βάσιν μὲν

1 δοκεῖ D¹: δοκῇ D²t 2 ἐκείνων scripsi: ἐκείνου Dt 13 ὄν] ὄντι D fort. κατ' ἄλλο καὶ ἄλλο μέρος ἀορασίας] ἀορίας D 17 φασί A: φησί Dt 18 διασκεδάννυσθαι t 20 ἔσωζον A: ἔσωζε Dt 22 πρὸς] πρὸ t 28 τὰ κέντρα] fort. τοῦ κέντρου 34 διατιθέντες τοιαύταις Dt: διατιθέναι ταῖς τοιαύταις A: fort. legendum διὰ τί ἐν ταῖς τοιαύταις 35 ἐρωθεὶς t 39 αἱ om. D

ἔχοντα τὸ αἰσθητόν, πλευρὰς δὲ τὰς τοῦ ἄξονος τοῦ κώνου ἐξ ἴσου παρ' k 7v
ἑκάτερα ἀφεστώσας ὄψεις, καθ' ἃς καὶ αἱ τῶν ὁρατῶν κρίσεις γίνονται,
ἄξονες δὲ δύο εἰσὶν ἑκάστου κώνου, περὶ ὃν αἱ λοιπαὶ ὄψεις εἰσίν, δῆλον
δήπου ὅτι, εἰ μὲν ἀπαρέγκλιτος εἴη ἡ διὰ τῶν κέντρων τῶν κρυσταλλοειδῶν
5 ἀγομένη εὐθεῖα, ἐκ τῶν δύο κώνων αἱ ἴσον τῶν ἀξόνων ἀφεστηκυῖαι ὄψεις 10
κατὰ τὰ αὐτὰ σημεῖα τῶν ὁρατῶν προσβάλλουσιν, ὡς ἐφαρμόζειν ἀλλήλοις
τὰ πέρατα τῶν ὄψεων καὶ ἴσας ποιεῖν τὰς γωνίας, ἐπεὶ ἐκκρίνονται μὲν
τὰ αἰσθητὰ κατὰ τὰς γωνίας τὰς γινομένας ἐκ τῶν ὄψεων τῶν ἴσον παρ'
ἑκάτερα τῶν ἀξόνων ἀφεστηκυιῶν, ἐπειδὰν δὲ ἀπαρέγκλιτοι ὦσιν οἱ κῶνοι,
10 αἱ ἴσον ἀφεστηκυῖαι τῶν ἀξόνων ἑκατέρου κώνου τοῖς αὐτοῖς σημείοις
προσβάλλουσιν, εἰκότως ὡς ἑνὸς τοῦ ἑνὸς ἀντιλαμβάνονται. ὥσπερ οὖν,
κἂν δύο ᾖ τὰ αἰσθητά, διὰ τὸ ἄλλας καὶ ἄλλας αὐτοῖς προσπίπτειν 15
ὄψεις κατὰ μηδὲν συμβαλλούσας ἀλλήλαις καὶ γωνίας διαφόρους ποι-
ούσας, διὰ τοῦτο καὶ δύο φαίνεται τὰ ὁρώμενα ἢ πλείονα, οὕτως εἰ
15 παραστραφείη ἡ τῶν ὄψεων θέσις, συμβαίνει εἰς τὸ αὐτὸ αἰσθητὸν ἐξ ἑκα-
τέρου κώνου ὄψεις προσβάλλειν μὴ ἴσον τῶν ἀξόνων ἀφεστηκυίας· καὶ
ἐπεὶ διάφοροι ἀπὸ τῶν αὐτῶν σημείων τοῦ αἰσθητοῦ αἱ γωνίαι γίνονται,
εἰκότως καὶ δύο αἱ κρίσεις, καὶ διὰ τοῦτο δύο εἶναι τὸ ἓν αἰσθητὸν δοκεῖ.
οὕτω μὲν οὖν ἐκ τῆς κατὰ τὰς ὄψεις ὑποθέσεως ἔστι πιθανῶς τοῦ γινο- 20
20 μένου τὴν αἰτίαν ἀποδιδόναι· τίνα δ' ἄν τις εἴποι τούτου αἰτίαν τῇ ὑπο-
θέσει τῇ τῶν ἐνεργειῶν χρώμενος; πρὸς δὲ τὴν πρὸς τὰ διαστήματα
ἀπορίαν, φημὶ δὴ τὴν λέγουσαν ὅτι 'εἰ πρὸς ἡμᾶς αἱ ἐνέργειαι φοιτῶσι
καὶ μὴ ἐκ τῶν ὄψεων πρὸς τὰ αἰσθητὰ ἐκπέμπεταί τι, πόθεν τῶν διαστη-
μάτων καὶ τῶν μεγεθῶν αἴσθησιν λαμβάνομεν; οὐδὲν γὰρ ἄλλο ἄλλου
25 ἔδοξεν ἂν ἡμῖν ἐγγυτέρω ἢ πορρωτέρω εἶναι, πάντων ὁμοίως τῶν αἰσθητῶν
πρὸς τὸ αἰσθητήριον φοιτώντων· πῶς δ' ἂν μείζονα ἢ ἐλάττονα ἐφαίνετο 25
εἰς ἓν σημεῖον πάντα ἀποτελευτῶντα;' τοῦτο οὖν ἐπιλυόμενοί φασιν ὅτι εἰ
ἐπὶ ἀκοῆς προφανῶς αἰσθανόμεθα, εἴτε πόρρω τὸ ψοφοῦν ἐστιν εἴτε μή,
καίτοι προφανῶς τοῦ αἰσθητοῦ παρὰ τὸ αἰσθητήριον φοιτῶντος, καὶ οὐκ
30 ἐκ τοῦ αἰσθητικοῦ τινος ἐξιόντος, τί θαυμαστόν, εἰ καὶ ἐπὶ τῆς ὄψεως
τοῦτο συμβαίνει, τῆς τῶν ὁρατῶν ἐνεργείας προσπιπτούσης ταῖς ὄψεσιν;
ὅτι γὰρ οὐκ αὐτὸς ὁ πεπληγμένος ἀὴρ καὶ ψοφῶν προσπελάζει τῇ ἀκοῇ,
ἀλλὰ κατὰ τὴν διηχῆ ἑαυτοῦ δύναμιν ὁ ἀὴρ διαβιβάζει τοὺς ψόφους, ὥσπερ 30
καὶ τὰς τῶν χρωμάτων ἐνεργείας, δῆλον ἐξ ὧν καὶ ἐν ὕδατι ὄντες αἰσθα-
35 νόμεθα τῶν ἐν τῷ ἀέρι γινομένων ψόφων, οὐ δήπου τοῦ ψοφοῦντος ἀέρος
διὰ τοῦ ὕδατος χωροῦντος, ἀλλὰ τῆς ἐν τῷ ὕδατι διηχοῦς δυνάμεως (καὶ
γὰρ καὶ ἐν ὕδατί ἐστι τὸ διηχές) ἀπαγγελτικῆς τῶν ψόφων οὔσης. καίτοι

2 ἀφεστώσας scripsi coll. 5. 9. 16: ἐφεστώσας ADt 3 ὃν A²: ὂν t: ὧν D 7 post γωνίας fort. addendum καὶ 7. 8 μὲν τὰ A: μετὰ D: μετὰ τὰ t 8 τῶν (ante ἴσον) A: τὸν Dt 13 post ἀλλήλαις add. ὁ καθ' ἑαυτὴν Dt: non exh. A 15 παραστραφείη A: παραστροφῇ Dt 25 ὁμοίως τῶν A: ante τῶν add. πρὸς Dt 26 πῶς δ' ἂν — 29 αἰσθητήριον φοιτῶντος iterat D 29 τοῦ αἰσθητοῦ AD: τῶν αἰσθητῶν t φοιτῶντος A: φοιτώντων Dt (sed in iteratis φοιτῶντος D) 30 ἐξιόντος] ἀξίοντος D 31 προπιπτούσης D 37 ἀπαγγελτικοῦς (vel -κοὺς) D

εἰ καὶ αὐτὸς ὁ ψοφῶν ἀὴρ παρὰ τὸ αἰσθητήριον παρεγένετο, ἔτι μᾶλλον k 7v
⟨ἂν⟩ συνηγωνίζετο τῷ προκειμένῳ. πόθεν γὰρ τοῦ ψοφοῦντος φοιτῶντος
παρὰ τὸ αἰσθητήριον αἰσθανόμεθα, εἴτε πόρρω ἐστὶ τὸ ψοφοῦν; ὥστε εἰ 35
καὶ τὴν αἰτίαν τοῦ τοιούτου ἀποδοῦναι μὴ δύναταί τις, ἀλλ' οὖν ὅτι οὐκ
5 ἐκ τούτου ἐλέγχεται ἡ Ἀριστοτέλους περὶ τῶν ὁρατῶν ὑπόθεσις, ἱκανῶς
τὸ κατὰ τοὺς ψόφους δείκνυσί γε· καὶ ἐπὶ τούτων ἡ διηχὴς τοῦ ἀέρος
δύναμις ἀπαγγέλλει τῷ αἰσθητηρίῳ τοὺς ψόφους, μηδενὸς ἐκ τοῦ αἰσθητη-
ρίου ἐξιόντος, καὶ ὅμως εἴτε πόρρω ἐστὶ τὸ ψοφοῦν εἴτε ἐγγὺς αἰσθανόμεθα,
εἴτε ἔμπροσθεν εἴτε ὄπισθεν.

10 Δυνάμει δὲ ἐν οἷς τοῦτό ἐστι, καὶ τὸ σκότος. ἐπειδὴ γὰρ
οὐκ ἀεὶ τὸ διαφανὲς ἐνεργείᾳ ἐστὶ διαφανές (διαφανὲς δὲ λέγω τὸ παρ' 40
ἡμῖν· τὸ γὰρ οὐράνιον ἀεί ἐστι διαφανές), ἐν οἷς ἐστι τὸ δυνάμει
διαφανές, ἐν τούτοις ἐξ ἀνάγκης [εἶναι] καὶ τὸ σκότος· πρὸ γὰρ τοῦ ἐνεργείᾳ
γενέσθαι διαφανὲς σκότος ἐστί. τὸ γὰρ δυνάμει ὂν ἔτι κατὰ τὴν τοιαύτην
15 δύναμιν, λέγω δὴ τὴν πρώτην, ἐν στερήσει ἐστὶ τοῦ οὗ δύναται· στέρησις
δὲ φωτὸς σκότος ἐστίν. ὧν οὖν ἡ παρουσία τὸ φῶς ποιεῖ ἐν τῷ δυνάμει
διαφανεῖ, τούτων ἡ ἀπουσία στέρησιν τοῦ φωτὸς ποιεῖ ἐν τῷ αὐτῷ τούτῳ·
στέρησις δὲ φωτὸς σκότος ἐστίν. ὥσπερ οὖν ἡ μὲν ὄψις εἶδός τί ἐστιν, 45
ἡ δὲ τούτου ἀπουσία οὐκ εἶδός τι ἄλλο ἐπιφέρει, ἀλλὰ στέρησιν μόνον τῆς
20 ὄψεως, καὶ τοῦτό ἐστιν ἡ τυφλότης, καὶ ὥσπερ ἡ ἀπουσία τοῦ κυβερνήτου
καταδύει τὴν ναῦν μηδενὸς ἄλλου εἴδους ἐπιγενομένου ἐν τῇ νηί, ἀλλὰ
στερήσεως μόνον τοῦ κυβερνήτου, οὕτω καὶ ἡ ἀπουσία τοῦ φωτὸς ἐξ
ἀνάγκης σκότος ἐστί. εἰ δὲ τὸ μὲν φῶς ἀντίκειται τῷ σκότῳ, ἔστι δὲ τὸ
σκότος στέρησις, τὸ φῶς ἐξ ἀνάγκης εἶδός ἐστι· τῇ γὰρ στερήσει τὸ εἶδος
25 ἀντίκειται κατὰ τὰ ἐν τῇ Φυσικῇ εἰρημένα. εἰ δὲ εἶδος τὸ φῶς, τὰ δὲ
εἴδη ἀσώματα (σῶμα γὰρ τὸ ἐξ εἴδους καὶ ὕλης), δῆλον ἄρα ὅτι οὐ σῶμα 50
τὸ φῶς. εἰ δέ τις καὶ μὴ βούληται τὸ φῶς ἀντικεῖσθαι τῷ σκότῳ ὡς
ἕξιν καὶ στέρησιν, ἀλλ' ὡς ἐναντία, διότι ἡ μὲν ἕξις μεταβάλλει εἰς τὴν
στέρησιν, οὐκέτι δὲ ἡ στέρησις μεταβάλλει εἰς τὴν ἕξιν, φῶς δὲ καὶ σκότος
30 εἰς ἄλληλα μεταβάλλει, καὶ εἶναι αὐτὰ διὰ τοῦτο βούλεται ἐναντία, ἐπειδὴ
τὰ ἐναντία μεταβάλλει εἰς ἄλληλα, καὶ οὕτως οὐδὲν ἧττον ἀσώματον
δειχθήσεται τὸ φῶς. εἰ γὰρ ἐναντίον μὲν τὸ φῶς τῷ σκότῳ, ἐν δὲ τοῖς
συνθέτοις οὐσίαις οὐδεμία | οὐσία οὐσίᾳ τινί ἐστιν ἐναντία, ὡς δέδεικται k 8r
ἐν Κατηγορίαις, τὰ δὲ σώματα σύνθετοι οὐσίαι, οὐκ ἄρα σῶμά ἐστι τὸ
35 φῶς· τῷ γὰρ σώματι οὐδέν ἐστιν ἐναντίον, ἐπειδὴ μηδὲ τῇ συνθέτῳ. εἰ
γὰρ ἀντίκειται τὸ πῦρ τῷ ὕδατι, οὐχ ᾗ σῶμά ἐστιν, ἀλλ' ᾗ πεποίωται
κατὰ τὰς ἐναντίας ποιότητας. ὥστε τὸ σκότος κατά τι μὲν ἐναντίον ἐστί,
κατά τι δὲ οὐκ ἐναντίον, ὁμοίως κατά τι μὲν στέρησις, κατά τι δὲ οὔ.
εἰ μὲν γάρ τις στέρησιν εἶναι λέγει τὴν μὴ ἀνακάμπτουσαν εἰς τὸ εἶδος, 5

---

2 ἂν addidi 3 fort. εἴτε ἐγγὺς εἴτε πόρρω 10 ἐν οἷς D²: ἐγγὺς περὶ φωτὸς D¹t 13 ἐν τούτοις — τοῦ ἐνερ- in ras. D¹ εἶναι delevi 17 τούτων] τούτω t 18 οὖν A: om. Dt 21 καταλύει D¹, sed corr. D² 25 ἐν τῇ Φυσικῇ] A 7 p. 191a14 32 τῷ D: τὸ At 34 ἐν Κατηγορίαις] 5 p. 3b24

οὐ στέρησις τὸ σκότος, ἀλλὰ ἐναντίον. εἰ δὲ στέρησιν λέγοι, ὡς ἐν ταῖς k 8r
Φυσικαῖς εἴρηται, μόνην τὴν τοῦ εἴδους ἀπουσίαν, ἥτις καὶ ἀνακάμπτει
εἰς τὸ εἶδος, στέρησις ἂν εἴη τὸ σκότος. πάλιν εἰ μὲν ἐναντία λέγοι τις
τὰ εἰδοπεποιημένα καὶ δύναμιν ἰδίαν ἔχοντα καὶ ἐνέργειαν, οὐκ ἐναντίον τὸ
5 σκότος τῷ φωτί· οὐδὲν γὰρ εἶδος ἔχει οὐδὲ δύναμιν ἰδίαν οὐδὲ ἐνέργειαν·
εἰ δ' ἐναντία λέγοι τις ἁπλῶς πάντα τὰ μεταβάλλοντα εἰς ἄλληλα, ἐναν-
τίον τῷ φωτὶ τὸ σκότος. ὅτι δὲ οὐκ ἔστι τὸ σκότος εἶδος, δῆλον κἂν 10
ἐντεῦθεν· τοῦ μὲν φωτός ἐστι τὸ αἴτιον ὁ ἥλιος ἢ τὸ πῦρ ἢ ἡ σελήνη
ἢ τοιοῦτόν τι ἕτερον, τοῦ δὲ σκότους οὐδὲν ὁρῶμεν αἴτιον, ἀλλ' ἀρκεῖ
10 μόνον εἰς τὸ εἶναι σκότος ἡ τοῦ φωτιστικοῦ ἀπουσία. ἀλλ' οὐδὲ ποιότης
τίς ἐστι τοῦ ἀέρος, ὡς ἄν τις ὑπολάβοι, τὸ σκότος· εἰ γὰρ ποιότης ἐστὶ
τοῦ ἀέρος, διὰ τί μὴ ἐν φωτὶ ὁρᾶται; πῶς δὲ καὶ ἀθρόον ἀφανίζεται
ἀχρόνως τῇ τοῦ φωτὸς παρουσίᾳ; οὐδεμία γὰρ ποιότης ἀχρόνως ἀφίσταται
τοῦ ὑποκειμένου. εἰ δὲ στέρησίς ἐστι τῆς τοῦ φωτιστικοῦ ἐνεργείας τὸ
15 σκότος, τὸ ἄρα φῶς ἐνέργειά ἐστιν. οὐδεμία δὲ ἐνέργεια σῶμά ἐστιν· οὐκ 15
ἄρα σῶμά ἐστι τὸ φῶς.

p. 418b11 Τὸ δὲ φῶς οἷον χρῶμά ἐστι τοῦ διαφανοῦς, ὅταν ᾖ
ἐντελεχείᾳ διαφανὲς ὑπὸ πυρὸς ἢ τοιούτου οἷον τὸ ἄνω σῶμα.

Ἀνωτέρω χρῶμα εἰπὼν τὸ φῶς (διαφανὲς γάρ, φησί, λέγω ὅ ἐστιν
20 ὁρατόν, οὐ καθ' αὑτὸ δὲ ἀλλὰ δι' ἀλλότριον χρῶμα τὸ φῶς) ἄνω οὖν
ἀπροσδιορίστως χρῶμα εἰπὼν τὸ φῶς, ἐνταῦθα προσδιαρθροῖ τὸν λόγον
εἰπὼν ὅτι οἷον χρῶμά ἐστι τοῦ διαφανοῦς τὸ φῶς· οὐ γὰρ χρῶμα, ἀλλ' 20
οἷον χρῶμα. ὅτι [οὐ] γὰρ μὴ ἁπλῶς χρῶμά ἐστι τοῦ διαφανοῦς τὸ
φῶς, ἐδήλωσεν ἔτι προσθεὶς ὅταν ᾖ ἐντελεχείᾳ· ἀεὶ μὲν γάρ ἐστι δια-
25 φανές, οὐκ ἀεὶ δὲ φῶς ἔχει· ὥστε οὐκ ἐν τῇ φύσει αὐτοῦ ὡς χρῶμα τοῦ
διαφανοῦς, ἀλλὰ κατ' ἀναλογίαν οἷον χρῶμα. ὡς γὰρ τὰ ὁρατὰ διὰ τὸ
ἔχειν χρῶμα ὁρατὰ γίνεται, οὕτω καὶ τὸ διαφανὲς ὅταν ἔχῃ φῶς, ὁρατὸν
γίνεται. ἐπεὶ οὖν μὴ ἔχει οἰκεῖον χρῶμα τὸ διαφανὲς ἀλλὰ ἀλλότριον,
εὐλόγως προστίθησι παρὰ τίνος τοῦτο ἔχει· τῇ γὰρ τοῦ πυρὸς παρουσίᾳ 25
30 ἢ τοῦ ἄνω σώματος ἡλίου καὶ σελήνης καὶ ἀστέρων. καὶ γὰρ τούτῳ
ὑπάρχει ἓν καὶ ταὐτόν. τῷ γὰρ πυρὶ καὶ τῷ ἄνω σώματι ἡλίου καὶ
σελήνης ἓν καὶ ταὐτὸν ὑπάρχει τὸ φωτιστικόν, καθὸ εἰς ἐνέργειαν ἄγει καὶ
τελειοῖ τὸ διαφανὲς ἑκάτερον αὐτῶν. ὥσπερ οὖν καὶ τὸ διαφανὲς ἓν καὶ
ταὐτὸν ὂν ὑπῆρχε πλείοσι διαφόροις κατ' οὐσίαν, οὕτω καὶ τὸ φῶς, εἰ καὶ
35 διάφορα τὰ μέτρα καὶ τῆς διαφανείας καὶ τοῦ φωτός. καὶ γὰρ τὰ μὲν
παρ' ἡμῖν διαφανῆ ποτὲ μὲν δυνάμει, ποτὲ δ' ἐνεργείᾳ εἰσὶ διαφανῆ, τὰ 30

---

1 ἐναντίον A: τὸ ἐναντίον Dt 1. 2 ἐν ταῖς Φυσικαῖς] A 7 2 καὶ οὐκ ἀνακάμπτει t 4 δύναμιν A: om. Dt καὶ (ante ἐνέργειαν)] τὴν t 5 οὐδὲν δύναμιν t 6 ἐναντία] αντία (sic) t 8 post μὲν add. γὰρ t 10 τὸ om. t 11 ὑπολάβῃ t 23 οὐ delevi 24 ἔτι scripsi: ὅτι Dt 25. 26 τὸ διαφανές D 30 τούτῳ scripsi c. Arist. vulg. coll. 31. 32: τοῦτο Dt Arist. S 34 εἰ A: om. Dt

μέντοι οὐράνια ἀεὶ ἔχουσιν ἐνεργείᾳ τὸ διαφανές· ἀεὶ γὰρ ὑπὸ τοῦ ἡλίου k 8r
φωτίζονται.// δέδεικται γὰρ ὅτι ἡ τῆς γῆς σκιὰ εἰ καὶ φθάνει μέχρι τῆς σεληνιακῆς σφαίρας ἢ καὶ τῆς τοῦ Ἑρμοῦ, ἀλλ' οὖν πάνυ μικρὸς τόπος ἐστὶν ὁ σκιαζόμενος· κατὰ γὰρ τὴν κορυφὴν ἑαυτοῦ ὁ κῶνος προσβάλλων
5 τῇ σεληνιακῇ σφαίρᾳ ἢ καὶ τῇ τοῦ Ἑρμοῦ ἐλάχιστον πάνυ μόριον σκιάζει.

p. 418ᵇ13 Τί μὲν οὖν τὸ διαφανὲς καὶ τί τὸ φῶς, εἴρηται, ὅτι οὔτε πῦρ, οὔτε ὅλως σῶμα.

Οὔτε γὰρ τὸ διαφανὲς σῶμα, διότι ἐν σώματι (ἐν ὕδατι γὰρ ἢ ἐν ἀέρι ἤ τινι τοιούτῳ, ἅπερ σώματά ἐστι), σῶμα δ' ἐν σώματι εἶναι ἀδύνα-
10 τον, ἀλλ' οὐδὲ τὸ φῶς σῶμα, εἴ γε ἐντελέχεια καὶ εἶδός ἐστι τοῦ διαφανοῦς· εἴη γὰρ ἂν καὶ οὕτω σῶμα ἐν σώματι, εἴ γε τὸ μὲν διαφανὲς ἐν σώματι, τοῦ δὲ τελειότης καὶ εἶδος τὸ φῶς. εἰ δὲ μὴ σῶμα, οὐδὲ πῦρ οὐδὲ πυρὸς ἀπορροή, ὡς ἐν τῷ Τιμαίῳ δοκεῖ λέγειν ὁ Πλάτων, ὃν καὶ αἰνίττεται ἐν τούτοις· εἴη γὰρ ἂν καὶ οὕτω σῶμα· ἡ γὰρ τοῦ σώματος 40
15 ἀπορροὴ σῶμά ἐστιν. ἄλλως τε εἰ μὴ μόνον φωτίζει τὸ πῦρ ἀλλὰ καὶ ἕτερα, οὐκ ἂν εἴη πυρὸς ἀπορροὴ τὸ φῶς. ἀπορροὴν δὲ ἐπὶ τῶν οὐρανίων φωστήρων ἐπινοεῖν εὔηθες· ἐν οἷς γὰρ ἡ ἀπορροή, ἐν τούτοις χρεία καὶ τῆς ἐπιρροῆς, αὔξησίς τε καὶ μείωσις ἐν τούτοις θεωρεῖται. εἰ δὲ μηδὲν τούτων ἐν τοῖς οὐρανίοις, ἀνάγκη μηδὲ κατὰ ἀπορροὴν σωμάτων
20 τὸν φωτισμὸν αὐτὰ ποιεῖσθαι. εἰ δὲ μὴ ἀπορροὴ σώματος τὸ φῶς, οὐ σωμάτων ἀπορροὴν λέγει, ἀλλ' ὅπερ ὁ Ἀριστοτέλης φησὶν ἐκπομπὰς καὶ 45 ἐνεργείας, τοῦτο ἐκεῖνος ἀπορροὴν εἶπεν. ἀλλὰ πυρὸς ἤ [τι] τοιούτου τινὸς παρουσία ἐν τῷ διαφανεῖ, οὐχ ὡς ἐγγινομένου τοῦ πυρὸς ἐν τῷ διαφανεῖ (οὐ γὰρ τὸ διαφανὲς ἐν ἑαυτῷ δεξάμενον τὸ πῦρ οὕτω γίνε-
25 ται ἐνεργείᾳ διαφανές) ἀλλὰ κατὰ κοινωνίαν δυνάμεως ἀσωμάτου. ὄντος γὰρ ἀπὸ διαστήματος τοῦ πυρὸς τὸ ἐπ' εὐθείας ὂν αὐτῷ διαφανὲς φωτίζεται. παρουσίαν τὴν ἐκ τῆς συνόδου σχέσιν γενομένην τοῦ πυρὸς πρὸς τὸ διαφανὲς εἴρηκεν, ὡσανεὶ ἔλεγε τὸν δεξιὸν γίνεσθαι δεξιὸν ἀριστεροῦ 50 παρουσίᾳ.

30 p. 418ᵇ17 Οὔτε γὰρ δύο σώματα δυνατὸν ἐν τῷ αὐτῷ ἅμα εἶναι.

Εἰπὼν γὰρ ὅτι ⟨οὐ⟩ σῶμα τὸ φῶς προστίθησι καὶ τὴν ἀπόδειξιν· οὐ γὰρ δυνατόν, φησί, δύο σώματα ἐν τῷ αὐτῷ εἶναι. ὅτι δὲ ἀδύνατον, διὰ πλειόνων δείκνυται. εἰ γὰρ δυνατὸν ἦν σῶμα διὰ σώματος χωρεῖν, ὡς αὐτὸς ἐν ἄλλοις λέγει, γένοιτο ἂν ἐν κυάθῳ ἡ θάλασσα, καὶ ἐν κέγχρῳ ὁ

---

2 φθάνει A: φθάνη Dt 8 διότι] διὰ τί t 9 ἤ om. t εἶναι om. t 11 εἴ γε scripsi: εἴτε Dt 13 ἐν τῷ Τιμαίῳ] p. 58 C 15 φωτίζει A: φωτίζεται Dt 21 ἐκπομπὰς scripsi: ἐκπομπῆς Dt 22 τι delevi 27 γενομένοις t 30 οὔτε D Arist. UX: οὐδὲ t Arist. vulg. δυνατὸν—ἅμα D Arist. V: ἅμα ante δυνατὸν t Arist. vulg. 31 οὐ addidi 34 ἐν ἄλλοις] cf. Phys. Δ 12 p. 221ᵃ22 λέγοι D

οὐρανός. εἰ γὰρ ὁ κύαθος τοῦ ὕδατος ἐδέξατο ἐν | τῷ αὐτῷ τόπῳ ἕτε- k 8v
ρον κύαθον, δέξεται καὶ τρίτον καὶ τέταρτον καὶ ἀπείρους. εἰ γὰρ ὅλως
δύο σώματα ὁ αὐτὸς τόπος τοῦ ἑνὸς ἐχώρησε, διὰ τί μὴ καὶ πλείω ἢ
ἄπειρα; καὶ οὕτως ἂν ἐν κυάθῳ ἡ θάλασσα γένοιτο ἄν. εἰ δὲ μὴ οἷόν τε
5 σῶμα διὰ σώματος χωρῆσαι, χωρεῖ δὲ τὸ φῶς διὰ τοῦ ἀέρος, οὐκ ἂν εἴη
σῶμα. εἰ δέ τις εἴποι ὅτι ἐν τοῖς πόροις χωρεῖ τοῦ ἀέρος, μάλιστα μὲν
ἄτοπον· τὸ γὰρ κενὸν εἰσάξει· χωρισθὲν γὰρ τοῦ ἀέρος κενὸν καταλείψει 5
τὸν τόπον ἐν ᾧ ἦν. ἔπειτα ἔδει παχύτερον γίνεσθαι τὸν ἀέρα καὶ πυκνό-
τερον τῇ πληρώσει τῶν πόρων· νῦν δὲ λεπτότερος γίνεται τῇ τοῦ φωτὸς
10 παρουσίᾳ.

p. 418b18 Δοκεῖ τε τὸ φῶς ἐναντίον εἶναι τῷ σκότῳ· ἔστι δὲ ὁ σκότος στέρησις τῆς τοιαύτης ἕξεως ἐκ διαφανοῦς.

Ἡ ἐπιχείρησις ἐκ τοῦ ἐναντίου ὅτι οὐκ ἔστι τὸ φῶς σῶμα. εἰ γὰρ
τὸ σκότος ἀντίκειται τῷ φωτί, τὸ δὲ σκότος οὐδὲν ἄλλο ἐστὶν ἢ στέρησις 10
15 φωτός (οὐ γὰρ γινομένου τινὸς ἐν τῷ ἀέρι γίνεται τὸ σκότος, ἀλλὰ
μόνον τῇ τοῦ φωτὸς ἀπουσίᾳ), τὸ δὲ ἀντικείμενον τῇ στερήσει ἕξις ἐστί,
τὸ φῶς ἄρα ἕξις ἐστὶ τῆς τοιαύτης δυνάμεως ἐν τῷ διαφανεῖ, καὶ οὐ σῶμα.
ὡς δὲ ἤδη εἴπομεν, κἂν ἐναντίον τις εἴποι τῷ φωτὶ τὸ σκότος, πᾶσα
ἀνάγκη μὴ εἶναι αὐτὸ σῶμα, ἐπειδὴ τῇ οὐσίᾳ οὐδὲν ἐναντίον. ἀλλὰ κἂν
20 στέρησίν τις εἴποι τὸ σκότος φωτός, ἀντικεῖσθαι δ' αὐτῷ τὸ φῶς ὡς
εἶδος κατὰ τὰ ἐν τῇ Φυσικῇ εἰρημένα, καὶ οὕτως οὐ σῶμα· πᾶν γὰρ
εἶδος ἀσώματον. καὶ γὰρ αὐτὸ τὸ τοῦ σώματος εἶδος τὸ τριχῇ διαστατὸν 15
εἴ γε πᾶσιν ἐφαρμόζει τοῖς κατὰ μέρος σώμασιν, οὐκ ἂν εἴη σῶμα. εἰ
γὰρ ἦν σῶμα, ὡρισμένον τι μέγεθος εἶχεν· οὕτω δὲ οὐκ ἂν ἐφήρμοσεν
25 ὁμοίως καὶ τῷ πηχυαίῳ καὶ τῷ δακτυλιαίῳ σώματι καὶ τοῖς λοιποῖς.
ὥστε ἀνάγκη αὐτὸ καθ' αὑτὸ τὸ τοῦ σώματος εἶδος ἀσώματον εἶναι· τόδε
γὰρ τὸ σῶμα τὸ ἐξ ὕλης ἐστὶ συγκείμενον καὶ τοῦ εἴδους. ὥστε εἰ καὶ
τὸ φῶς εἶδός ἐστιν ἐν τῷ διαφανεῖ (καὶ γὰρ τὸ σκότος στέρησις), ἀνάγκη
αὐτὸ μὴ εἶναι σῶμα.

30 p. 418b20 Καὶ οὐκ ὀρθῶς Ἐμπεδοκλῆς ἢ εἴ τις ἄλλος οὕτως 20
εἴρηκεν, ὡς φερομένου τοῦ φωτὸς καὶ γιγνομένου ποτὲ μεταξὺ τῆς γῆς καὶ τοῦ περιέχοντος, ἡμᾶς δὲ λανθάνοντος.

Δείξας ὅτι οὐκ ἔστι σῶμα τὸ φῶς ἐγκαλεῖ τοῖς οὕτως ὑπειληφόσιν,
ὧν ἐστι καὶ Ἐμπεδοκλῆς, ὃς ἔλεγεν ἀπορρέον τὸ φῶς σῶμα ὂν ἐκ τοῦ 25
35 φωτίζοντος σώματος γίνεσθαι πρῶτον ἐν τῷ μεταξὺ τόπῳ τῆς τε γῆς καὶ

---

15 τοῦ φωτός t 21 ἐν τῇ Φυσικῇ] A 7 p. 191a14 26 αὐτὰ καθ' αὑτὰ t
τὸ τοῦ A: τὸ om. Dt 27 τὸ ἐξ A: τὸ D: ἐξ t 30 ἢ D: οὐδ' t Arist.
οὕτως om. D

τοῦ οὐρανοῦ, εἶτα ἀφικνεῖσθαι πρὸς ἡμᾶς, λανθάνειν δὲ τὴν τοιαύτην k 8ᵛ
αὐτοῦ κίνησιν διὰ τὴν ταχυτῆτα. τοῦτο δέ, φησί, καὶ παρὰ τὸν λόγον
ἐστὶ καὶ παρὰ τὰ φαινόμενα. οὔτε γὰρ ὁρᾶται κινούμενον καὶ οὕτως
ἀφικνούμενον πρὸς ἡμᾶς, καὶ τὸ ἀνεπαίσθητον λέγειν τὴν κίνησιν ἐν μικρῷ
5 μὲν διαστήματι κἂν δοίη τις, τὸ δὲ ἀπ' ἀνατολῆς ἐπὶ δυσμὰς κινεῖσθαι
ἀνεπαισθήτως τῷ ὄντι μέγα λίαν αἴτημα. δι' ὧν δὲ ἀντιλέγει πρὸς Ἐμ- 30
πεδοκλέα δείκνυσι πάλιν ὅτι οὐκ ἔστι σῶμα τὸ φῶς. εἰ γὰρ ἦν σῶμα,
κινήσεως αὐτῷ ἔδει, ἵνα ἔλθῃ πρὸς ἡμᾶς· εἰ δὲ κινήσεως, καὶ χρόνου·
πᾶσα γὰρ κίνησις ἐν χρόνῳ. νῦν δ' ἅμα φωτίζεται καὶ τὰ ἐγγὺς καὶ τὰ
10 πόρρω τοῦ φωτίζοντος ὄντα. παράλογον γάρ, ὡς ἤδη εἶπον, τὸ λέγειν ὅτι
τοσαύτη κίνησις ἀνεπαίσθητος γίνεται. τὸ δὲ καὶ εἴ τις ἄλλος εἴρηκεν
οὕτως τείνοι ἂν πρὸς Πλάτωνα· δοκεῖ γὰρ καὶ αὐτὸς ἐν τῷ Τιμαίῳ καὶ
σῶμα αὐτὸ λέγειν καὶ κατὰ ἀπόρροιαν πρὸς ἡμᾶς ἰέναι.

p. 418ᵇ26 Ἔστι δὲ χρώματος μὲν δεκτικὸν τὸ ἄχρουν, ψόφου 35
15 δὲ τὸ ἄψοφον.

Δείξας ὅτι οὐκ ἔστι σῶμα τὸ φῶς, ἀλλ' οἷον χρῶμα τοῦ ἀέρος, καὶ
ὅτι ὁ ἀὴρ δέχεται τοῦτο ὡς ἀλλότριον χρῶμα, ἐπιφέρει νῦν οἰκεῖόν τι
τοῖς εἰρημένοις ὅτι τὸ ὀφεῖλον δέξασθαι τὸ χρῶμα οὐ δεῖ αὐτὸ ἔχειν οἰ-
κεῖον χρῶμα, ἐπεὶ τοῦτο ἐμμιγνύμενον οὐκ ἐᾷ εἰλικρινὲς εἶναι τὸ ἐγγινό-
20 μενον. δεῖ οὖν τὸν ἀέρα, εἰ μέλλοι διαπορθμευτικὸς εἶναι τῶν χρωμάτων
ἢ τοῦ φωτὸς ἢ ψόφων ἢ ὀσμῶν αὐτὸν ἀχρωμάτιστον εἶναι καὶ ἄψοφον 40
καὶ ἄοσμον, καὶ τοῦτο αἴτιον τοῦ διὰ τοῦ διαφανοῦς ὁρᾶσθαι τὰ χρώματα,
τὸ αὐτὸ ἄχρουν εἶναι καὶ κατὰ τὴν οἰκείαν φύσιν. ὅθεν καὶ ἐν τοῖς δια-
φανέσι τῶν λίθων, ἐν οἷς μὲν ἂν σφοδρότερον ὑπάρχει χρῶμα οἷον μέλαν
25 ἢ ἐρυθρόν, ἐμποδιζομένην ὁρῶμεν τὴν διαφάνειαν, ἐν οἷς δὲ οὐχ ὑπάρχει
τοιοῦτον, ἧττον ἐμποδιζομένην καὶ μᾶλλον ὁρώμενα τὰ δι' αὐτῶν ὁρώμενα.
διόπερ διὰ μὲν λευκῆς ὑέλου ἀκριβῶς ὁρῶμεν, διότι ἐγγὺς ἄχρους ἡ τοι-
αύτη, διὰ δὲ τῆς ἕτερον χρῶμα ἐχούσης κατὰ τὴν ἀναλογίαν τοῦ χρώ-
ματος· καὶ διαφάνεια γάρ ἐστι καὶ τὰ ἄλλα χρώματα διαπορθμεύεται ἢ 45
30 μᾶλλον ἢ ἧττον.

p. 418ᵇ28 Ἄχρουν δ' ἐστὶ τὸ διαφανὲς καὶ ἀόρατον ἢ τὸ μόγις
ὁρώμενον.

Εἰπὼν ὅτι ⟨τὸ⟩ δεκτικὸν καὶ διαπορθμευτικὸν τῶν χρωμάτων ἄχρουν
δεῖ εἶναι, τί ποτέ ἐστι τοῦτο τὸ ἄχρουν ἐπήγαγε· τὸ γὰρ δυνάμει, φησί,

---

1 τοῦ om. t 12 ἐν τῷ Τιμαίῳ] p. 58 C 22 τοῦ (ante διὰ) scripsi: τὸ Dt
25 ἐμποδιζομένην scripsi: ἐμποδιζομένοις Dt ἐν οἷς δὲ — ἐμποδιζομένην (26) om. D
29 post γάρ ἐστι add. δι' ἧς t 31 δ' ἐστὶ D Arist.: δὲ καὶ t ἀόρατον D: τὸ
ἀόρατον t Arist. μόγις D Arist. X: μόλις t Arist. vulg. 33 τὸ addidi

διαφανές, ὅπερ ἢ ἀόρατόν ἐστιν ἢ μόγις ὁρᾶται μὴ παραγενομένου τοῦ k 8v
χρώματος αὐτῷ· τοῦτο δέ ἐστι τὸ φῶς. οἷον ἀέρος διαφανοῦς ὄντος καθ' 50
αὑτὸν δυνάμει, καὶ ὄντος οἷον χρώματος αὐτοῦ τοῦ φωτός, ὅταν μὴ παρῇ
τὸ φῶς, ἢ οὐδὲ ὅλως ὁρᾶται, ὡς ἐν τῷ μεσονυκτίῳ, ἢ μόγις καὶ ἀμυδρῶς,
5 ὡς εἰς τὸ λυκόφως· τότε γὰρ ἀμυδρῶς καὶ φωτίζεται ὁ ἀὴρ καὶ ὁρᾶται,
οὔπω τελείως γενόμενος διαφανής. ἢ οὖν οὕτω τὸ μόγις ὁρώμενον
ἐκληπτέον, ἢ ὡς τῷ Ἀλεξάνδρῳ δοκεῖ, ἐπὶ τοῦ αὐτοῦ τὸ ἀόρατον ἢ τὸ
μόγις ὁρώμενον, λέγω δὴ τοῦ ἐσκοτισμένου πάντη ἀέρος. ἐπεὶ δοκεῖ
πως καὶ τὸ σκότος | ὑπὸ τῆς ὄψεως κρίνεσθαι, εἰ δὲ τοῦτο, καὶ ὁρᾶσθαι. 11r
10 γνωρίζεται δὲ ὑπὸ τῆς ὄψεως τὸ σκότος, ὡς πολλάκις εἴρηται, κατὰ ἀπό-
φασιν τῇ στερήσει τοῦ φωτὸς καὶ τῶν ὁρατῶν· ἑκάστη γὰρ αἴσθησις κατὰ
συμβεβηκὸς καὶ τῆς στερήσεως τῶν ἰδίων αἰσθητῶν ἀντιλαμβάνεται. διὰ
τοῦτο καὶ μόγις ὁρώμενον εἶπεν, διότι οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβε-
βηκὸς ὁρατόν. σκοτεινὸν δὲ λέγει τὸ ἐσκοτισμένον.

15 p. 418b31 Ἡ γὰρ αὐτὴ φύσις ὁτὲ μὲν σκότος ὁτὲ δὲ φῶς ἐστιν. 5

Ἡ αὐτὴ φύσις τοῦ διαφανοῦς, τουτέστιν αὐτὸ τὸ ὑποκείμενον, καὶ
φωτός ἐστι δεκτικὸν καὶ σκότους. φῶς δὲ εἶπεν τὸ ἐνεργείᾳ διαφανὲς καὶ
σκότος τὸ δυνάμει. ἔστι γὰρ ὥσπερ χρώματα αὐτοῦ ταῦτα· ὡς οὖν χιὼν
λευκὴ λέγεται ὡς λευκότητα ἔχουσα, οὕτω καὶ λέγεται * * ἐπεὶ καὶ ὁ ἀν-
20 δριὰς αὐτὸ τοῦτο ἀνδριὰς λέγεται καὶ οὐ χαλκός. οὕτω δὲ καὶ ἐν τῇ
συνηθείᾳ τὸν τόπον τὸν ἡλίου μετέχοντα ἥλιον λέγομεν· θὲς γάρ, φαμέν, 10
εἰς τὸν ἥλιον. καὶ αὐτὸς δὲ οὕτως εἶπεν.

p. 419a1 Οὐ πάντα δὲ ὁρατὰ ἐν φωτί ἐστιν, ἀλλὰ μόνον ἑκάστου
τὸ οἰκεῖον χρῶμα.

25 Εἰπὼν πρὸ ὀλίγου ὁρατὸν εἶναι χρῶμά τε καὶ ὃ λόγῳ μὲν ἔστιν εἰπεῖν, 15
ἀνώνυμον δὲ ἑνὶ ὀνόματι, εἶτα εἰπὼν πῶς ἐστιν ὁρατὸν τὸ χρῶμα, ὅτι
κινητικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, καὶ διὰ τοῦτο περὶ φωτὸς
εἰπών, ἐν ᾧ καὶ δι' οὗ τὸ χρῶμά ἐστιν ὁρατόν, μεταβαίνει νῦν ἐπὶ τὰ
ὁρώμενα παρὰ τὰ χρώματα, ἃ οὐκ ἔστιν ἐν φωτὶ ὁρατά· ἴδιον γάρ ἐστι
30 τοῦτο τῶν χρωμάτων. καὶ καταλέγει ταῦτα τίνα ἐστίν, οἷον μύκης, κέρας,
κεφαλαὶ ἰχθύων καὶ λεπίδες, καὶ αἱ πυγολαμπίδες καλούμεναι καὶ ἁπλῶς
τὰ πυρώδη πάντα καὶ λαμπρά. καὶ τούτων τὰ μὲν ἐν νυκτὶ μόνως ὁρᾶ- 20
ται. τὰ δὲ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. καὶ καθόλου τῶν ὁρατῶν τέσσαρές
εἰσι διαφοραί. τὰ μὲν γὰρ αὐτῶν ἐν ἡμέρᾳ μόνως ὁρᾶται, τὰ δὲ ἐν νυκτὶ

---

1 ἀόρατόν scripsi: ὁρατόν Dt 2 αὐτῷ scripsi: αὐτοῦ Dt 5 λυκόφως scripsi: λευκόφως D¹: λευκόφωτον D²t · καὶ (ante ὁρᾶται) om. D 16 αὐτὴ scripsi: αὐτῇ D: αὐτοῦ t 19 ὡς] οὐ D lacunam indicavi: fort. addendum φῶς τὸ πεφωτισμένον 21 ἡλίου scripsi: ἥλιον Dt 31 καὶ λεπίδες] καὶ τὰ λοιπά t 34 γὰρ A: om. Dt

μόνως, τὰ δὲ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, τὰ δὲ ὅλως οὐδὲ συνυπάρχειν 11r
πέφυκε τῷ σκότῳ. τί δὲ τούτων ἕκαστόν ἐστι, δῆλον ἐντεῦθεν. τῶν γὰρ
ὁρατῶν τὰ μέν ἐστι χρώματα, τὰ δὲ ἀνώνυμα, ὡς δὲ ἑνὶ ὀνόματι ὀνομάσαι
οἱονεὶ χρῶμά τι ἔχοντα τὸ λαμπρόν. τὰ μὲν οὖν χρώματα μόνως ἐν
5 ἡμέρᾳ ὁρᾶται, οὐδαμῶς δὲ ἐν νυκτί. τῶν δὲ λαμπρῶν τὰ μὲν ἐν νυκτὶ
μόνως ὁρᾶται, τὰ δὲ ἐν ἡμέρᾳ μόνως, τὰ δὲ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. 25
τὰ μὲν γάρ ἐστιν αὐτῶν ὑπέρλαμπρα, τὰ δὲ ἀμυδρῶς λαμπρά, τὰ δὲ μέσως.
τὰ μὲν οὖν ἀμυδρὸν ἔχοντα τὸ λαμπρὸν μόνως ἐν νυκτὶ ὁρᾶται, οἷον
πυγολαμπίδες καὶ λεπίδες καὶ τὰ ὅμοια· τούτων γὰρ ἐν ἡμέρᾳ τὸ λαμπρὸν
10 οὐ φαίνεται, νικώμενον ὑπὸ τοῦ μείζονος· ἔτι δὲ καὶ ἀστέρων οἱ πλείους.
τὰ δὲ μέσα καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, οἷον σελήνη καί τινα τῶν ἄστρων,
οἷον ὁ ἑωσφόρος, ὅταν πρὸς τῷ ὁρίζοντι γίνηται ὁ ἥλιος καὶ αὐτὸς ὁ
ἑωσφόρος περιγειότερος ᾖ. ἔτι δὲ καὶ πῦρ· τοῦτο γὰρ ὅσον δύναται ἀέρα
τελειοῖ καὶ εἰς ἐνέργειαν ἄγει τὸ διαφανὲς αὐτοῦ, ὡς καὶ τὰ ἐν αὐτῷ 30
15 χρώματα δεικνύναι, ἐν δὲ τῷ λοιπῷ ἑαυτὸ μὲν δείκνυσιν, ἐκείνου δὲ τὸ
διαφανὲς οὐκ ἄγει εἰς ἐνέργειαν. ὅθεν αὐτὸ μὲν ὁρῶμεν πόρρωθεν ἐν
σκότῳ ὄντες, οὐδὲν δὲ τῶν περὶ ἡμᾶς χρωμάτων. ἐν δὲ τῇ ἡμέρᾳ πάλιν
τὸ πῦρ φαίνεται ὡς μὲν λαμπρὸν μηδὲν ὁρῶν εἰς τὸν ἀέρα διὰ τὸ ἤδη
ὑπὸ τοῦ μείζονος λαμπροῦ παθεῖν, οὕτω δὲ φαινόμενον τρόπον τινὰ ὥσπερ
20 καὶ τὰ λοιπὰ τῶν χρωμάτων, μᾶλλον δὲ ὥσπερ καὶ τῆς σελήνης τὸ λαμ-
πρὸν διὰ τὸ μὴ ἄγαν ἀμυδρὸν εἶναι φαίνεται ἐν ἡμέρᾳ· οὕτω δὲ καὶ τὸ
τοῦ πυρός, ὅταν μὴ πόρρω δείκνυται φωτὸς ὄντος. τὰ δὲ ὑπέρλαμπρα 35
μόνως ἐν ἡμέρᾳ, οἷον ὁ ἥλιος, ἐπειδὴ καὶ αὐτὸς τῆς ἡμέρας καὶ τοῦ
φωτὸς αἴτιος. τῷ δὲ οὐ πάντα δὲ ὁρατὰ ἐν φωτὶ προσθετέον τὸ
25 μόνον· οὐ γὰρ πᾶν τὸ ὁρατὸν ἐν φωτὶ μόνον ὁρατόν, ἀλλ' ἑκάστου, φησί,
τὸ οἰκεῖον χρῶμα· τὰ γὰρ χρώματα ἐν μόνῳ φωτὶ ὁρατά. προσέθηκε δὲ
τὸ μόνῳ, ἐπεὶ καὶ ἡ λαμπρότης τοῦ πυρὸς χρῶμα οὐκ οὖσα ὁρᾶται ἐν
φωτί, ἀλλ' οὐ μόνῳ ἐν φωτί, ἀλλὰ καὶ ἐν σκότῳ· ἀλλ' οὐδενὸς ὁρᾶται
τούτων τὸ οἰκεῖον χρῶμα. ἐξ οὖν φησι καθόλου τὰ ὁρατὰ εἶναι, ὧν
30 τὰ μὲν πέντε λέγει, τὸ δὲ ἕκτον παραλιμπάνει ἴσως ὡς προφανές. τά τε 40
γὰρ χρώματα ὁρατά ἐστιν ἐν φωτὶ μόνον, ἄλλα δέ τινα μόνον ἐν σκότῳ,
ὡς πυγολαμπίδες καὶ τὰ ὅμοια, τὰ δὲ καὶ ἐν σκότῳ καὶ ἐν φωτί, ὡς
σελήνη, πῦρ καί τινα τῶν ἄστρων· τὰ γὰρ πλεῖστα μόνως ἐν σκότῳ ὁρᾶται,
διὰ τὸ νικᾶσθαι μόνῳ τῷ μείζονι φωτὶ τοῦ ἡλίου. ἔτι δὲ ὁρατόν φησι
35 καὶ τὸ ἐνεργείᾳ διαφανές, τουτέστι τὸν πεφωτισμένον ἀέρα· ὡς γὰρ ἐδείξα-
μεν ἔμπροσθεν, οὐδενὶ ἄλλῳ κρίνομεν ὅτι ἡμέρα ἐστὶν ἢ τῇ ὄψει. πρὸς
τούτοις καὶ τὸ δυνάμει διαφανές, τουτέστι τὸ σκότος, ὁρατὸν εἶναί φησι 45
τῇ ἀποφάσει. ἔστι δὲ ἐπὶ τούτοις ἕκτον γένος τῶν ὁρατῶν ὁ ἥλιος τὸ
μάλιστα πάντων φανότατον, ὃν οὔτε ἐν σκότῳ ἐρεῖς φαίνεσθαι (ἀφανιστικὸς

---

9 πολυγολαμπίδες D 11 σελήνης t 12. 13 ὅταν—ἑωσφόρος A Suid. s. v. Ὁρατόν: om. Dt 16 αὐτὸ A Suid.: αὐτῷ Dt 21 μὴ A Suid.: om. Dt 26 ante ὁρατά add. μόνον ὁρατόν, sed punctis del. D¹ fort. προσέθηκα 29 τοῦτο D 30 ἕκτον scripsi: καὶ (ex ς depravatum) Dt 33 μόνως] μόνον t 39 φανότατον] φανώτατα D¹: φανώτατον D²t ὃν scripsi: ὂν Dt

γὰρ τοῦ σκότους ἐστίν) οὔτε ἐν ἡμέρᾳ· αὐτὸς γὰρ τῆς ἡμέρας ἐστὶ ποιη- 11r
τικός. καὶ πάντα δὲ τὰ παρὰ τὸ χρῶμα καὶ τὸ σκότος αὐτὰ ἑαυτοῖς τοῦ
ὁρᾶσθαι αἴτιά ἐστιν ὡς φωτοειδῆ. ἐν γὰρ νυκτὶ τὸ χρῶμα τῶν πυγο-
λαμπίδων ἢ τῶν λεπίδων ἢ τῶν ἄλλων οὐχ ὁρᾶται, ἀλλ' ἐν ἡμέρᾳ. οὐ
5 γὰρ οὕτω τὸ λαμπρὸν αὐτῶν δύναται ποιῆσαι διαφανῆ τὸν ἀέρα, ὡς καὶ
τὸ χρῶμα τὸ κατὰ τὸ ἄλλο σῶμα αὐτῶν διαπορθμεῦσαι, ἀλλὰ τοσοῦτον 50
ἐξισχύει, ὅσον ἑαυτὸ μόνον ἐμφανὲς ποιῆσαι, οὐκέτι μέντοι καὶ τὰ
χρώματα.

p. 419a6 Δι' ἣν μὲν οὖν αἰτίαν ταῦτα ὁρατά, ἄλλος λόγος.

10 Δι' ἥν, φησίν, αἰτίαν τὰ ἐν νυκτὶ ὁρώμενα ὁρᾶται, οὐ τοῦ παρόντος
ἐστὶ λόγου λέγειν. ἐν γὰρ τῷ Περὶ αἰσθήσεων καὶ αἰσθητῶν λέγει ὅτι
πέφυκεν ὁ ἀὴρ ὑπὸ τοῦ λαμπροῦ φωτίζεσθαι, οἷά ἐστι τὰ οὐράνια· τούτου
οὖν ταῦτα μετέχοντα ἀμυδρῶς φωτίζει νύκτωρ τὸν περὶ αὐτὰ ἀέρα, ὁπηνίκα
μὴ ὑπὸ τοῦ μᾶλλον λαμπροῦ καταλαμπόμενος ἀφανὲς τὸ τούτων φῶς 55
15 ποιήσῃ. τοσοῦτον δὲ φωτίζει, ὡς ἑαυτὰ μόνα διαδεικνύναι, ἐπεὶ καὶ τὸ
πῦρ πολὺ | μὲν ὂν φωτίζει τὸ διαφανὲς ἐπὶ τοσοῦτον ὡς καὶ χρώματα 11v
ὁρᾶσθαι δύνασθαι, ὀλίγον δὲ ὂν μέχρι τοῦ αὐτὸ μόνον ὁραθῆναι τὸ δια-
φανὲς φωτίζει, κἂν πολὺ μὲν ᾖ πόρρω δέ, οὐκ ἐξισχύει τὸν μέχρις ἡμῶν
ἀέρα διαφανῆ ποιῆσαι, ἀλλ' αὐτὸ μόνον δείκνυσι. τοιαῦτα δέ ἐστι καὶ τὰ
20 ἄστρα ἐν τῇ νυκτί· ἐν γὰρ τῇ ἡμέρᾳ τὸ τοῦ ἡλίου φῶς οὐκ ἐᾷ αὐτὰ
φαίνεσθαι. καίτοι ἀεὶ τὸ τοῦ ἡλίου φῶς καταλάμπει τὰ οὐράνια· ὡς γὰρ
καὶ ἔναγχος εἶπον, βραχύ τι μόριον τοῦ ἀέρος ἐστὶ τὸ σκιαζόμενον. ἀλλ' 5
εἰ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ τὸ φῶς τὸ ἡλιακὸν τὰ οὐράνια πάντα δέ-
χονται, διὰ τί μὴ ὁρῶμεν νύκτωρ τὰ οὐράνια πεφωτισμένα; διὰ τί δ' ἐν
25 νυκτὶ τοὺς ἀστέρας ὁρῶμεν; τί γὰρ μᾶλλον μεθ' ἡμέραν τὸ φῶς αὐτῶν
ἀποκρύπτει ὁ ἥλιος ἢ ἐν νυκτί, εἴ γε ἀεὶ καταλάμπονται ὑπὸ τοῦ ἡλίου;
φημὶ οὖν τοῦ κώνου τῆς σκιᾶς περὶ ἡμᾶς κεχυμένου οὐχ οἷοί τέ ἐσμεν
τὸν ὑπὲρ τὴν σκιὰν παρ' ἑκάτερα πεφωτισμένον ἰδεῖν ἀέρα, τὰ μέντοι
ἄστρα καὶ τούτων τὰ λαμπρότερα ἑαυτὰ ἡμῖν ἀπαγγέλλει, ὡς εἴρηται. 10
30 ὅτι δὲ οὐδὲν ἀδύνατον τοῦτο συμβαίνειν, δῆλον ἐντεῦθεν. πολλοῦ γὰρ
πυρὸς ἀέρα τινὰ λαμπρῶς φωτίζοντος, ὅπερ ἤδη εἶπον, οἱ πόρρωθεν ὄντες
τὸν μὲν πεφωτισμένον οὐχ ὁρῶσιν ἀέρα, αὐτὸ δὲ τὸ πῦρ ἔσθ' ὅτε ὁρῶσιν.
τοῦ δὲ τοὺς ἀστέρας ἐν νυκτὶ ὁρᾶσθαι, καίτοι καταλαμπομένους ὑπὸ τοῦ
ἡλίου, αἴτιον τὸ μὴ διακρίνεσθαι ἄγαν ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων τὸ ὀπτι-
35 κὸν αἰσθητήριον. καὶ ὅτι τοῦτο ἔστιν αἴτιον, μάθοις ἂν ἐντεῦθεν· ὁπηνίκα
μὲν γὰρ ἐν τῇ μεσημβρίᾳ ἐστὶν ὁ ἥλιος, οὐχ οἷοί τέ ἐσμεν ἀτενὲς εἰς
τὸν δίσκον αὐτοῦ ἀποβλέψαι, ἄγαν, ὡς εἶπον, τοῦ ὀπτικοῦ πνεύματος δια- 15

---

2. 3 τὸ ὁρᾶσθαι D 5 διαφανῆς t καὶ om. t 9 ὁρατά D Arist. E: ὁρᾶται t Arist. vulg. 11 ἐν τῷ Περὶ αἰσθήσεων] nescio, quem locum respiciat, sed cf. c. 2 14 μὴ om. D 17 αὐτὸ scripsi: αὐτοῦ Dt 18 μὲν ᾖ D²: μένη D¹t 27 κεχυμένου scripsi: κεχυμένης Dt 36 post οἷοί τε add. δὲ t

κρινομένου· ὁπόταν δὲ πρὸς τῷ ὁρίζοντι ᾖ, καὶ μάλιστα ὅταν ᾖ ἀχλυωδέ- 11v
στερος ὁ ἀήρ, τὸ τηνικαῦτα ἀτενὲς εἰς τὸν δίσκον ἀποβλέπειν δυνάμεθα,
καὶ ἀκριβῶς αὐτὸν ὁρῶμεν, διὰ τὸ ⟨δι'⟩ ἀχλύος αὐτὸν ὁρᾶν, καὶ μὴ δια-
κρίνεσθαι τὰς ὄψεις· τὸ αὐτὸ δὲ καὶ ἐν νυκτὶ γίνεται τῶν ἀκτίνων μὴ
5 φοιτωσῶν εἰς τὸν περὶ ἡμᾶς ἀέρα διὰ τὴν ἐκ τῆς γῆς ἀντίφραξιν. ἀμέ-
λει γοῦν καὶ ἐν καθαρᾷ αἰθρίᾳ ⟨εἴ⟩ τις ἐν βαθεῖ κατέλθοι φρέατι, ὄψεται
ἄστρα, καίτοι ὑπὲρ τὸ φρέαρ οὐχ ὁρῶν. ἡ γὰρ ἐν τῷ βάθει τοῦ
φρέατος σκιὰ δίκην νυκτὸς συγκρίνουσα τὰς ὄψεις καὶ μὴ ἐῶσα ὑπὸ τοῦ 20
φωτὸς διακρίνεσθαι, ἀντιλαμβάνεσθαι ποιεῖ τῶν ὁρατῶν. καὶ ἐκ τούτου δ'
10 ἄν τις συλλογίσαιτο ὅτι μὴ ἕξεισί τι ἐκ τῶν ὀμμάτων, ὅπερ τῶν αἰσθητῶν
ἀντιλαμβάνεται, ἀλλ' ὡς ἐπὶ τῶν ἄλλων αἰσθήσεων εἰς αὐτὸ φοιτᾷ τὸ
αἰσθητήριον τὸ ὁρατόν. εἰ γὰρ ἐξῄεσαν ὄψεις, ὅσῳ δηλονότι εἰς μῆκος
προῄεσαν, ἀσθενέστεραι γινόμεναι καὶ οὕτω τῷ φωτὶ προσβάλλουσαι μᾶλλον
ἂν διεκρίθησαν· νῦν δὲ οὐδὲ ἐν νυκτὶ μέχρι τῆς ἀπλανοῦς φθάνουσαι ὑπὸ
15 τοῦ ἐκεῖσε φωτὸς διακρίνονται. καὶ ὅταν ἐκ τοῦ φρεάτος τις ἀποβλέπῃ, 25
ἔδει γενομένας τὰς ὄψεις ὑπὲρ τὸ φρέαρ, ἔνθα τῷ φωτὶ ὄντι προσέβαλλον,
ὁμοίως διακρίνεσθαι, καὶ οὕτω δ' ἂν οὐκέτι [δ' ἂν οὐκ] ἔδει τὰ ἄστρα
ὁρᾶν. νῦν δὲ ὁρῶσιν· οὐκ ἄρα διακρίνονται. δῆλον οὖν ὅτι διακρίνονται
τότε αἱ ὄψεις, ὅταν τὸ φῶς αὐτῷ τῷ ὀφθαλμῷ προσβάλλῃ. διὸ καὶ ὁ
20 ἐν τῷ φρέατι, ὅτε δὴ σκιᾶς περὶ αὐτὸν οὔσης καὶ τοῦ φωτὸς τῷ ὄμματι
μὴ προσβάλλοντος μηδὲ διακρίνοντος αὐτὸ οἷός τέ ἐστι τὰς τῶν ὁρατῶν
ἐνεργείας δέχεσθαι, ὅπερ καὶ ἐν τῇ νυκτὶ συμβαίνει.

p. 419a7 Νῦν δ' ἐπὶ τοσοῦτον φανερόν ἐστιν, ὅτι τὸ μὲν ἐν φωτὶ 30
ὁρώμενον χρῶμα· διὸ καὶ οὐχ ὁρᾶται ἄνευ φωτός.

25 Ὅτι τὸ ἐν φωτὶ ὁρώμενον χρῶμα, πρόδηλον, διότι ἐν νυκτὶ οὐχ
ὁρᾶται τὸ χρῶμα, ἀλλὰ φωτὸς παρουσίᾳ. τὸ μὲν γὰρ φῶς ἕξις ἐστὶ τοῦ
διαφανοῦς, τὸ δὲ χρῶμα τῆς ἐνεργείας ἐστὶ τῆς κατὰ τὴν ἕξιν τελειωτι-
κόν. παρόντος γὰρ τοῦ χρώματος γίνεται καὶ τὸ διαφανὲς ἐνεργείᾳ δια- 35
πορθμευτικὸν τῶν χρωμάτων. διόπερ καὶ ὁ αὐτὸς ὁρισμός ἐστι χρώματος,
30 τὸ κινητικὸν εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, ἐνέργειαν δηλονότι κατὰ τὴν
ἕξιν, κινητικὸν δὲ ἀντὶ τοῦ τελειωτικὸν καὶ προχειριστικὸν τῆς ἐνεργείας.

p. 419a11 Σημεῖον δὲ τούτου φανερόν· ἐὰν γάρ τις θῇ τὸ ἔχον
χρῶμα ἐπ' αὐτὴν τὴν ὄψιν, οὐκ ὄψεται.

Σημεῖον λέγει οὐ τοῦ εἶναι τὸ φῶς ἐντελέχειαν τοῦ διαφανοῦς, ἀλλὰ

---

1 ᾖ (post ὁρίζοντι) scripsi: ἢ Dt 2 ὁ om. D 3 δι' addidi 6 εἴ addidi 10 συλλογίσοιτο D 14 οὐδὲ scripsi: οὔτε Dt φθάνουσαι scripsi: φθανούσης Dt 16 ἔνθα τῷ φωτὶ om. D 17 δ' ἂν οὐκ delevi 21 μὴ om. D αὐτῷ t οἷός scripsi: οἷόν Dt 25 post ὅτι τὸ add. μὲν t

τοῦ τὰ χρώματα ἐν φωτὶ ὁρᾶσθαι καὶ κινητικὰ αὐτὰ εἶναι τοῦ κατ' ἐνέρ- 11v
γειαν διαφανοῦς, ὅτι ἐὰν ἐπ' αὐτὸ τὸ αἰσθητήριον, τὸν ὀφθαλμὸν λέγω, 45
τεθῇ τὸ κεχρωσμένον, οὐχ ὁρῶμεν αὐτό. // οὐ γὰρ ὁρῶμεν ἐγχριόμενοι
τὴν λήμην, τοῦτο δὲ οὐχ ὡς οὐκ ὄντος τοῦ ὀπτικοῦ αἰσθητηρίου (ἔστι γάρ)
5 ἀλλ' ὡς τοῦ μεταξὺ μὴ ὄντος, λέγω δὴ τοῦ διαφανοῦς, ὅπερ πεφυκὸς ὑπὸ
τοῦ χρώματος κινεῖσθαι, καὶ συνεχὲς ὂν τῷ τε ὁρατῷ * * * Δημοκρίτῳ
εἰπόντι ⟨ὅτι⟩ εἰ ἦν κενὸν τὸ μεταξὺ τῶν ὁρώντων καὶ τῶν ὁρατῶν, πολὺ
ἂν ἀκριβέστερον ἑωρᾶτο τὰ ὁρώμενα. ὥστε κἂν εἰ μύρμηξ ἦν ἐν τῷ οὐ-
ρανῷ, ἑωράθη ἂν μηδενὸς ἐμποδίζοντος μεταξὺ σώματος. οὐ γὰρ μόνον, 50
10 φησίν, οὐκ ἂν ἀκριβέστερον εἴδομεν, εἰ ἦν τὸ μεταξὺ κενόν, ἀλλ' οὐδ' ἂν ὅλως
εἴδομεν μὴ ὄντος τοῦ διαπορθμεύοντος τὴν ἐνέργειαν τοῦ ὁρατοῦ εἰς τὸ ὄμμα.
εἶτα καὶ κατασκευάζει τοῦτο διὰ τῶν ἑξῆς. πάσχοντος γάρ τι, φησί,
τοῦ αἰσθητηρίου γίνεται τὸ ὁρᾶν. εἰ πάσχει τι τὸ αἰσθητήριον ἀντι-
λαμβανόμενον τοῦ ὁρατοῦ (πάθος δὲ δῆλον ὅτι τὸ τελειωτικόν), ἀνάγκη
15 πᾶσα ἢ ὑπ' αὐτοῦ τοῦ χρώματος πάσχειν αὐτὸ ἢ ὑπὸ τοῦ μεταξὺ πάσχειν,
τοῦτο δέ ἐστι τοῦ πεφωτισμένου ἀέρος παρακειμένου τε καὶ ἁπτομένου τοῦ
αἰσθητηρίου· ὥστε τοῦ μεταξὺ δεῖται καὶ κινεῖσθαι καὶ κινεῖν δυναμένου.
τὸ δὲ κενὸν οὐ τοιοῦτον· ὥστε εἰ κενὸν ἦν, οὐδὲν ἂν ὤφθη. // ἀποροῦσι 12r
δὲ ἐνταῦθα εἰκότως, ὅτι εἰ οὐκ ἂν εἴδομεν τινὸς μὴ ὄντος μεταξύ, πῶς τὰ
20 ὑποχύματα συνιστάμενα περὶ τὸν κερατοειδῆ ἔξω τῶν ὑγρῶν ὁρῶμεν μηδενὸς
ὄντος μεταξὺ ἀέρος; οἷον γὰρ ἂν ἔχῃ χρῶμα ὁ συνεστὼς χυμός, τοιαῦτα
δοκοῦσιν ὁρᾶν πάντα τὰ ἔξωθεν τὸ ἐν αὐτοῖς χρῶμα τοῖς ἔξω προσάπτον-
τες. ὁρᾶν δὲ δοκοῦσι καὶ κωνώπια ἔξω πολλάκις παχέος ὄντος τοῦ ἐν
τῷ ὄμματι χυμοῦ, ὃν ἡ αἴσθησις ὁρῶσα τούτου ἔξω νομίζει εἶναι. ῥητέον 5
25 οὖν πρὸς τοῦτο ὅτι τὸ ὀπτικὸν πνεῦμα ἐν τῷ κρυσταλλοειδεῖ ὑγρῷ τὴν
κρίσιν τῶν ὁρατῶν ποιεῖται. // δεικνύουσι γὰρ οἱ ἰατροὶ ὅτι ἐκεῖ ἡ κρίσις
γίνεται ἐκ τῶν ἀνατομῶν. τὸ δὲ κρυσταλλοειδὲς ὑγρὸν ἐσωτέρω ἐστὶ
δῆλον ὅτι οὐ μόνον τῶν χιτώνων τοῦ τε κερατοειδοῦς καὶ τοῦ ῥαγοειδοῦς
καλουμένου, ἀλλὰ καὶ τοῦ ᾠοειδοῦς ὑγροῦ, ὅπερ καὶ αὐτὸ διαφανὲς ὑπάρ-
30 χει. τοῦτο οὖν τὸ ᾠοειδὲς ὑγρὸν διαφανὲς ὂν ὥσπερ καὶ τὸ κρυσταλλο-
ειδὲς μεταξὺ γίνεται τοῦ τε ὀπτικοῦ πνεύματος, ὅπερ ἐν τῷ κρυσταλλοειδεῖ
ποιεῖται τὴν κρίσιν, καὶ τοῦ ἐπιχύματος, ὃ περὶ τὸν κερατοειδῆ συνίσταται· 10
ὥστε ἔστι καὶ ἐνταῦθα τὸ μεταξύ. διὰ τοῦτο δὲ τὸ ἐντὸς χρῶμα ἔξω
ὑπολαμβάνει, ἐπεὶ καὶ ὅταν δι' ὑέλου κεχρωσμένης ὁρῶμέν τινα, τοιοῦτο
35 χρῶμα ἔχειν κἀκεῖνα νομίζομεν οἷόνπερ καὶ ἡ ὕελος. τοῦτο δὲ διότι,
ὡς δέδεικται, τὸ ἐπὶ τῆς ἐπιφανείας χρῶμα τοῦτό ἐστι τὸ ὁρατόν· τὸ δὲ

---

4 λήμην scripsi: μήλην Dt 5 ἀλλ' ὡς scripsi: ἄλλως Dt 6 lacunam indicavi: addendum tale aliquid καὶ τῷ ὄμματι κινεῖ τὸ αἰσθητήριον. διὸ καὶ ἀντιλέγει 7 ὅτι addidi 13 αἰσθητηρίου Dt Arist. VW: αἰσθητικοῦ Arist. vulg. 19 ἴδομεν D 21 ἔχῃ scripsi: ἔχει Dt 23 τοῦ om. t 24 τούτου ἔξω νομίζει scripsi: τοῦτον ἐξωνομίζει D: τοῦτον ἐξωνομάζει t 26 γὰρ ὅτι οἱ ἰατροὶ ὅτι D 31 τοῦ τε] τοῦτο t ἐν μὲν τῷ t 32 ὃ περὶ τὸν κερατοειδῆ scripsi coll. 20 et p. 351,10: ὅπερ τὸν ῥαγοειδῆ Dt 34 κεχρωμένα t

ἐν τῷ βάθει οὐχ ὁρῶμεν, ἀλλ' ἐὰν ᾖ τὸ ὁρώμενον διαφανές, δοκοῦμεν I 2r
τῷ αὐτῷ χρώματι κεχρῶσθαι τὸ βάθος, οἷῳπερ καὶ ἡ ἐπιφάνεια. καὶ ἐὰν
ἄλλο τι παραθῶμεν ἀμυδροτέρῳ χρώματι κεχρωσμένον, κἀκεῖνο τοιοῦτο 15
φανήσεται. ἐπεὶ οὖν διὰ τοῦ χυμοῦ τοῦ συστάντος κεχρωσμένου ὄντος
5 ὁρῶμεν, δοκοῦμεν καὶ τὰ ἔξω τῷ αὐτῷ κεχρῶσθαι χρώματι. καὶ διὰ
τοῦτο ἔλεγε τὸ δεκτικὸν χρώματος ἄχρουν δεῖν εἶναι, ἵνα μὴ τῷ αὐτοῦ
χρώματι ἐμποδίζῃ τοῖς ὁρατοῖς ὁρᾶσθαι τοιαῦτα οἷά εἰσιν. ἀλλὰ καὶ
πρὸς τὰ εἰρημένα πάλιν ἐπαποροῦσι καί φασιν ὅτι, εἰ ἀρκεῖ τὸ ᾠοειδὲς
ὑγρὸν ἀναπληρῶσαι τὴν τοῦ μεταξὺ χρείαν, καὶ διὰ τοῦτο ὁρῶμεν τὸν
10 συνεστῶτα χυμὸν περὶ τὸν κερατοειδῆ, ἔδει καὶ τὴν λήμην ἁπτομένην τοῦ 20
ὀφθαλμοῦ καὶ ἁπλῶς πᾶν ὁρατὸν μὴ ἐμποδίζειν τῇ ὄψει διὰ τὸ μὴ εἶναι
μεταξὺ ἀέρα, ἀλλ' ὁρᾶσθαι· ἀναπληροῦν γὰρ ἔδει κἀν τούτοις τὴν τοῦ
μέσου χρείαν τὸ ᾠοειδὲς ὑγρόν. φαμὲν οὖν ὅτι ὥσπερ ὁ ἀὴρ δεχόμενος
τὸ φῶς γίνεται ἐνεργείᾳ διαφανής, οὕτω καὶ πάντα τὰ διαφανῆ. ὅταν
15 οὖν τὴν λήμην προσοίσωμεν τῷ ὀφθαλμῷ, ἐπισκοτεῖ καὶ οὐκ ἐᾷ τὰ ἐν τῷ
ὀφθαλμῷ διαφανῆ ὑγρὰ δυνάμει δεξάμενα τὸ φῶς γίνεσθαι [δυνάμει]
διαφανῆ ἐνεργείᾳ. ὁ δὲ χυμὸς ὁ συνιστάμενος διαφανὴς ὢν διαβιβάζει τὸ
φῶς ἐπὶ τὰ ὑγρά· ὅθεν ἐὰν μύσωμεν, οὐκέτι ὁρῶμεν τὸν χυμὸν διὰ τὸ 25
ἀντιφράξαι τῷ φωτὶ τὰ βλέφαρα. καὶ αὐτὸς δὲ ὁ χυμὸς ὅταν παχυνθῇ,
20 οὐκέτι ὁρᾶται, καὶ οὐδὲ ἄλλο τι ὁραθῆναι ἐᾷ ἀντιφράττων τῷ φωτί.
ὅταν δὲ παχυνθεὶς ὁ χυμὸς ὀλίγος ᾖ, ὡς μὴ ὅλην ἀπολαμβάνειν τὴν
κόρην, τοῦ μὲν κατ' αὐτὸν μέρους τῶν ὑγρῶν μὴ γινομένου διαφανοῦς
οὐκέτι ὁρῶσιν αἱ κατ' ἐκεῖνο τὸ μέρος προσπίπτουσαι ὄψεις, ὥστε σκότος
ἐστὶ κατ' ἐκεῖνα τὰ μέρη, τῶν δὲ πέριξ ὄψεων συμβαίνει ὁρωσῶν τὸ
25 μικρὸν ὂν τὴν φαντασίαν τῶν κωνωπίων παρέχειν. ἀλλ' εἰ ἡ λήμη ἐπι- 30
τιθεμένη διὰ τὸ μὴ εἶναι διαφανὴς ἀντιφράττει τῷ φωτί, ἔδει, εἴπερ ἐπι-
νοηθείη ὑελίνη λήμη ἢ ἐξ ἄλλης διαφανοῦς ὕλης, μὴ ἐμποδίζειν ἐπιτιθε-
μένην ἐν τῷ ὀφθαλμῷ, ὥστε ὁρᾶσθαι αὐτήν· ἀλλ' ἔδει, κἂν εἰς αὐτὸ τὸ
ὄμμα ἐπιτεθείη, ὁραθῆναι, ὅπερ καὶ συμβαίνει. ἐὰν γὰρ ἐν αὐτῷ τῷ
30 σφέκλῳ προσκολλήσωμεν τὸ ὄμμα, ὁρῶμεν δι' αὐτοῦ, ἀλλὰ δεδιότες μὴ
πληγῶμεν τὸ ὄμμα τῇ ἁφῇ, αὐτομάτως οὐκ ἀνεχόμεθα τῆς ἁφῆς, ἀλλὰ
συγκλείομεν τὰ βλέφαρα· ὡς εἴ γε καρτερήσομεν ἀτενὲς τὸ ὄμμα ἔχοντες 35
προσπελάσαι αὐτὸ διαφανεῖ τινι, ὀψόμεθα πάντως. ὥσπερ οὖν καὶ τοῦ
ἀέρος ἁπτόμενον τὸ ὄμμα ὁρᾷ, ἀλλὰ καὶ οἱ ἐν ὕδατι καταδεδυκότες ὁρῶσι
35 τὰ ἐν βάθει, τοῦ ὄμματος αὐτῶν προσεχῶς τοῦ ὕδατος ἁπτομένου· ἀλλ'
ὅταν σκληρὸν ᾖ τι οὗ μέλλει θιγγάνειν τὸ ὄμμα, αὐτομάτως δεδιότες μὴ
βλαβῶμεν ἐκ τῆς ἁφῆς καὶ τὰ βλέφαρα συγκλείομεν. καὶ διὰ τοῦτο συμ-
βαίνει, κἂν διαφανὴς ᾖ ἡ λήμη, μὴ ὁρᾶν δι' αὐτῆς, οὐ μέντοι διὰ τὸ ἐπι-

---

6 αὐτοῦ scripsi: αὐτοῦ D: αὐτῷ t 10 et 15 λήμην scripsi: μήλην D: μήλων et μίλην t 15 προσοίσωμεν] sic Dt 16 δυνάμει delevi 17 ὁ (post χυμὸς) D²: οὐ D¹t 22 γενομένου t 25 et 27 λήμη scripsi: μέλλη et μίλη D: μίλη utrobique t 26 διαφανὴς scripsi: διαφανὲς Dt 27 ἢ] ἢν t 27. 28 ἐπιτιθεμένην scripsi: ἐπιτιθεμένοις Dt 36 σκληρῶν t 38 λήμη] μήλη D: μίλη t

κεῖσθαι τῷ αἰσθητηρίῳ, ὥσπερ ἐπὶ τῆς μὴ διαφανοῦς· ἐπὶ ταύτης γάρ, l 2ʳ
κἂν ἀτενὲς ᾖ τὸ ὄμμα, μὴ οὔσης διαφανοῦς οὐκ ὀψόμεθα δι' αὐτῆς.

p. 419ᵃ21 Δι' ἣν μὲν οὖν αἰτίαν τὸ χρῶμα ἀναγκαῖον ἐν φωτὶ ὁρᾶσθαι, εἴρηται.

Διότι κινητικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, τὸ δὲ κατ' ἐνέργειαν διαφανὲς φωτὸς γίνεται παρουσίᾳ. πῦρ δ' ἐν ἀμφοῖν ὁρᾶται, καὶ ἐν σκότει καὶ ἐν φωτί. διὰ τοῦτο τὸ πῦρ οὐ μόνον ἐν φωτὶ ὁρᾶται, ἀλλὰ καὶ ἐν σκότῳ, διότι ἔχει φωτιστικὴν ἐνέργειαν οἵαν τε οὖσαν ἀπαγγέλλειν αὐτοῦ τὸ χρῶμα. καὶ τοῦτο ἐξ ἀνάγκης· τὸ γὰρ διαφανὲς ὑπὸ τούτου γίνεται διαφανές. πέφυκε γὰρ καὶ ἡ τοῦ πυρὸς οὐσία τὸ δυνάμει διαφανὲς ποιεῖν ἐνεργείᾳ διαφανές· διὸ καὶ ὁρῶμεν ἐν νυκτὶ πυρὸς ὄντος τὰ χρώματα. ἀλλ' οὐ τοῦτό φησιν ὅτι διὰ τοῦτο ὁρᾶται, ἐπειδὴ γενόμενος ὁ ἀὴρ ἐνεργείᾳ διαφανὴς διαπορθμεύει αὐτοῦ τὴν ἐνέργειαν ταῖς ὄψεσι (καὶ γὰρ καὶ πόρρωθεν ὄντος τοῦ πυρὸς καὶ μὴ ὁρῶντος εἰς τὸν περὶ ἡμᾶς ἀέρα ὅμως ὁρᾶται, καὶ αἱ πυγολαμπίδες καὶ οἱ πολλοὶ τῶν ἀστέρων), ἀλλ' ὅτι, εἰ φύσιν ἔχει τὸ πῦρ εἰς ἐνέργειαν ἄγειν τὸ διαφανές, ὡς δι' αὐτοῦ τὰ ὁρατὰ φαίνεσθαι, πόσῳ μᾶλλον αὐτὸ ὀφθήσεται καὶ ἐν νυκτί. τὸ αὐτὸ δέ φαμεν καὶ ἐπὶ τῶν ἐν νυκτὶ πάντων ὁρωμένων· καὶ γὰρ καὶ αἱ πυγολαμπίδες εἰ πλησίον πάνυ γένωνται καὶ ἀποτεθῶσιν ἐν τῇ χειρί, δεικνύουσι τοῦ μορίου τῆς χειρὸς χρῶμα ἐν ᾧ ἀπετέθησαν· ἀλλ' ἐπειδὴ πάνυ ἀμυδρὸν αὐτῶν ἐστι τὸ φῶς, δοκεῖ ὅλως μηδὲν εἰς τὸν ἀέρα ὁρᾶν.

p. 419ᵃ25 | Ὁ δ' αὐτὸς λόγος καὶ περὶ ψόφου καὶ ὀσμῆς ἐστιν. l 2ᵛ

Μετὰ τὸν περὶ τῶν ὁρατῶν λόγον μέτεισιν εἰς τὸν περὶ τῶν ἀκουστῶν, καὶ οὕτως εἰς τὸν περὶ τῶν ὀσφραντῶν, τάξει προϊὼν ἀπὸ τῶν τελειοτέρων ἐπὶ τὰ ἀτελέστερα. ζητήσειε δ' ἄν τις πῶς ἄνω εἰπὼν ὡς ἐκ τῶν ἀτελεστέρων καὶ κοινοτέρων ἄρξασθαι δεῖν, μὴ ἀπὸ τῆς ἁφῆς ἤρξατο τῆς διδασκαλίας (αὕτη γὰρ κοινοτάτη τῶν αἰσθήσεων καὶ τῇ τάξει ἐσχάτη καὶ ἀτιμοτέρα), ἀλλ' ἀπὸ τῆς ὄψεως, ἥτις τῶν ἄλλων καὶ μερικωτέρα ἐστὶ καὶ τελειοτέρα. φαμὲν οὖν ὅτι ἄνω ἔλεγεν ἐκ τῶν κοινοτέρων καὶ ἀτελεστέρων δεῖν ἄρξασθαι, ὡς σαφεστέρων οὐσῶν τῶν κοινοτέρων· δεῖ δὲ ἀπὸ τῶν σαφεστέρων ἄρχεσθαι, σαφεστέρα δὲ ἡ φυτικὴ τῆς λογικῆς, μᾶλλον δὲ καὶ τῆς αἰσθητικῆς· νῦν μέντοι ἐπὶ τῶν αἰσθήσεων παραδόξως συνδεδράμηκε τὸ τὰς τελειοτέρας αἰσθήσεις καὶ μερικωτέρας ταύτας καὶ σαφεστέρας εἶναι. σαφεστέρα γοῦν πασῶν ἡ ὄψις, ἐπεὶ καὶ τὸ ὁρατόν,

---

5 δὲ A: οὖν Dt 6. 7 καὶ ἐν σκότει A Arist.: om. Dt 8 τε οὖσαν in ras. D¹ 10 γὰρ om. D 12 οὐ τοῦτό] οὐ τοῦ in ras. D² 18 ὁρωμένων A: ὁρῶμεν Dt 19 πλησίων t 24 τὸν τῶν περὶ τῶν D 30 post κοινοτέρων add. ἀτελεστέρων t

λέγω δὴ τὰ χρώματα, καὶ τοῦ ἁπτοῦ καὶ τῶν ἄλλων αἰσθητῶν σαφέστερα. 12v
διὰ τοῦτο οὖν ταύτῃ ἐχρήσατο τῇ τάξει τῆς διδασκαλίας. καὶ εἰπὼν περὶ
ὁρατῶν μέτεισιν ἐπὶ τὰ ἀκουστά· ταῦτα γὰρ ἦν τὰ τῇ ἀκοῇ ἀντικείμενα·
καὶ οὕτως ἐρεῖ τὰ ὀσφραντά. περὶ οὖν ψόφου, φησί, καὶ ὀσμῆς ὁ αὐτὸς
5 λόγος, ὥσπερ καὶ ἐπὶ τῶν ὁρατῶν. τίς δὲ ὁ αὐτὸς λόγος, σαφῶς ἐπήγα- 15
γεν, ὅτι καὶ ταῦτα κινητικά ἐστί τινος μεταξὺ αὐτῶν τε καὶ τῶν οἰκείων
αἰσθητηρίων, οὗ κινουμένου, τοῦ μεταξὺ λέγω, καὶ τὰ αἰσθητήρια αὐτῶν
κινοῦνται. ὥσπερ γὰρ ἡ τοῦ ὁρατοῦ ἐνέργεια διαπορθμεύεται διὰ τοῦ
μεταξὺ ἐπὶ τὸ αἰσθητήριον καὶ οὐκ αὐτὸ ἅπτεται αὐτοῦ, οὕτω καὶ τὸ
10 ὀσφραντὸν καὶ τὸ ἀκουστὸν διαπορθμεύεται ἐπὶ τὰ αἰσθητήρια αὐτῶν δι'
ὕδατος ἢ δι' ἀέρος· ἄμφω γὰρ ὥσπερ ἔχουσι τὴν διαφανῆ δύναμιν, οὕτω
καὶ τὴν διηχῆ καὶ δίοσμον. ὅτι γὰρ καὶ ἐν ὕδατί εἰσιν αἱ δυνάμεις αὗται,
ἡ διηχής τε καὶ ἡ δίοσμος, δηλοῦσιν οἱ ἰχθύες τούς τε ψόφους φεύγοντες 20
καὶ τῇ ὀσμῇ τοῖς δελέασιν ἐφεπόμενοι. οἱ γοῦν παρ' ἡμῖν ἐν τῇ λίμνῃ
15 τοὺς ἰχθύας ἀγρεύοντες ψοφεῖν εἰώθασιν ἐν ταῖς σανίσι τῶν ἀκατίων, ἵνα
τοὺς ἰχθύας ἐπὶ τὰ δίκτυα εἰσελάσωσιν. ὅτι δὲ καὶ ὀσφραίνονται, δῆλον
μὲν ἐξ ὧν καὶ νύκτωρ ἀγρεύονται. ἔπειτα εἰ ὄψεως καὶ ἀκοῆς ἐναργῶς
μετέχουσιν, ἀδύνατον δὲ τῶν τελειοτέρων μετασχεῖν τὸν μὴ μετασχόντα
τῶν ἀτελεστέρων, ἀτελεστέρα δ' ἡ ὄσφρησις, καὶ ταύτης ἄρα μετέχουσιν.
20 ἔστιν ἄρα καὶ ἐν τῷ ὕδατι οὐ μόνον ἡ διηχὴς ἀλλὰ καὶ ἡ δίοσμος δύνα- 25
μις. καὶ ἡμεῖς δὲ καταδύντες ἐν ὕδατι αἰσθανόμεθα τοῦ ἄνωθεν βοῶντος·
τῶν μέντοι ὀσμῶν οὐκ αἰσθανόμεθα ἐν ὕδατι, ὥσπερ οἱ ἰχθύες. ἐπειδὴ
πάντα μὲν τὰ ἀναπνέοντα τῷ ἀναπνεῖν ὀσφραίνεται, ἐν δὲ ὕδατι ἀναπνεῖν
οὐ δυνατὸν ἀέρος οὐκ ὄντος· οἱ δὲ ἰχθύες οὐκ ἀναπνέουσιν, ἐπειδὴ μηδὲ
25 πνεύμονα ἔχουσι. δι' ἣν δὲ αἰτίαν πάντα τὰ ἀναπνέοντα οὐκ ἄνευ τοῦ ἀνα-
πνεῖν ὀσφραίνεται, ἐρεῖ ἐν τῷ περὶ ὀσφρήσεως λόγῳ. ὅτι δὲ καὶ αἱ ὀσμαὶ
καὶ οἱ ψόφοι τοῦ διαπορθμεύοντος δέονται, δῆλον· ἐὰν γάρ τις, φησί, τὸ
ὀσφραντὸν αὐτῷ τῷ αἰσθητηρίῳ προσαγάγῃ, ὥστε ἐφάπτεσθαι, οὐκ ὀσφραν- 30
θήσεται· οὐδὲ γὰρ ἡ ῥὶς ἐστι τὸ αἰσθητήριον, ἀλλ' ἐντὸς ἡ μαστοειδὴς
30 τοῦ ἐγκεφάλου ἀπόφυσις· ἐὰν οὖν τις διὰ τῆς ῥινὸς λεπτὸν ποιήσας τὸ
ὀσφραντὸν ἐπὶ ταύτην διαγάγοι, ὡς ἅπτεσθαι αὐτῆς, οὐκ αἰσθήσεται.
ὁμοίως οὐδὲ τὸ οὖς ἐστι τὸ ἀκουστικὸν αἰσθητήριον, ἀλλ' ἡ ἐντὸς μῆνιγξ
ἢ τὸ ἐν ταύτῃ πνεῦμα· πρὸς ἣν τὸ ἀκουστὸν εἰ προσαγάγῃς, οὐκ αἰσθή-
σεται. δῆλον δὲ τοῦτο καὶ ἐπὶ τῆς ὄψεως. εἰ οὖν αἱ τρεῖς αὗται αἰσθή-
35 σεις δέονται τοῦ μεταξὺ καὶ ἄνευ τούτου οὐκ αἰσθήσονται, δῆλον ὅτι καὶ 35
αἱ λοιπαί, ὡς δείξει, εἰ καὶ δοκοῦσιν αὗται ἀμέσως τοῦ αἰσθητοῦ θιγγάνουσαι πάσχειν ὑπ' αὐτοῦ.

3 ἐπὶ] ἐπεὶ D 4 φησί om. t 18 δὲ A: om. Dt 25 ἄνευ τῷ t
29 ἡ μαστοειδὴς A: ὑμενοειδὴς (μεν ex corr.) D: ὑμενοειδὲς t 35 αἰσθήσονται A: αἰσθήσεται Dt

p. 419a30 Περὶ δὲ ἁφῆς καὶ γεύσεως ἔχει μὲν ὁμοίως, οὐ φαίνεται δέ· δι' ἣν δ' αἰτίαν, ὕστερον ἔσται δῆλον. 12r

Ὁμοίως, φησί, καὶ ἁφὴ καὶ γεῦσις διά τινος μεταξὺ τῶν γευστῶν. καὶ ἁπτῶν ἀντιλαμβάνονται· δοκοῦσι δὲ αὗται μὴ δεῖσθαι τοῦ μεταξύ. διὰ τί δὲ δοκοῦσι μὴ κεχρῆσθαι τῷ μεταξὺ ἀέρι, ἐν τῷ περὶ ἁφῆς λόγῳ ῥηθήσεται. καὶ γὰρ τούτων τὸ μεταξὺ οὐκ ἔξωθεν ὥσπερ τῶν ἄλλων, διὸ καὶ ἄδηλον. τὸ δὲ μεταξὺ ψόφων μὲν ἀήρ, ὀσμῆς δ' ἀνώνυμον. νῦν μὲν τὸν ἀέρα λέγει μόνον διαπορθμευτικὸν εἶναι τῶν ψόφων· καὶ γὰρ καὶ οἱ ἰχθύες ψόφων ἐπαΐουσιν, ὡς εἴπομεν. ὅτι δὲ ἡ γῆ οὔτε τὴν δίοσμον, οὔτε τὴν διηχῆ δύναμιν ἔχει, δῆλον ἐντεῦθεν· εἰ γάρ τις κηρῷ ἢ πηλῷ ἢ γεώδει τινὶ ἀποφράξοι τὰ ὦτα ἢ τὰς ῥῖνας, οὔτε ἀκούσεται οὔτε ὀσφρήσεται. ἀνώνυμον δὲ λέγει τὴν κοινὴν ἀέρος καὶ ὕδατος δύναμιν, καθ' ἣν αἱ ὀσμαὶ διαπορθμεύονται· οἱ μέντοι μεταγενέστεροι, ὧν ἐστι Θεόφραστος, τεθείκασιν αὐτῇ ὄνομα τὸ δίοσμον. ὥσπερ καὶ τῇ τῶν ἤχων διαπορθμευτικῇ τὸ διηχές, καθάπερ καὶ Ἀριστοτέλης τὸ διαφανὲς τῇ τῶν χρωμάτων διαπορθμευτικῇ δυνάμει.

p. 419b4 Ἔστι δὲ διττὸς ὁ ψόφος· ὁ μὲν γὰρ ἐνέργειά τις, ὁ δὲ δυνάμει.

| Ὥσπερ ἐπὶ τῆς ὄψεως διττὸν ἔλεγεν εἶναι τὸ ὁρατόν, τὸ μὲν ἐνεργείᾳ τὸ δὲ δυνάμει (τὸ γὰρ χρῶμα φωτὸς μὴ παρόντος δυνάμει ἦν ὁρατόν), οὕτως καὶ ἐπὶ τοῦ ἀκουστοῦ, τοῦτο δέ ἐστιν ὁ ψόφος, ὁ μὲν ἐνεργείᾳ ἐστὶν ὁ δὲ δυνάμει· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων αἰσθητῶν. τίς δέ ἐστιν ὁ δυνάμει ψόφος, δείκνυσι χωρίσας τῶν ψοφούντων τὰ μηδὲ ὅλως δυνάμενα ψοφεῖν. ἐν οὖν τοῖς δυναμένοις ψοφεῖν, ταῦτα δέ ἐστι τὰ στερεὰ καὶ λεῖα, ἐν τούτοις ἐστὶν ὁ δυνάμει ψόφος, ὅταν μὴ ἐνεργῇ, καθό ἐστι ψοφητικά· ἡ γὰρ ἐπιτηδειότης αὐτὴ τοῦ δύνασθαι ψοφεῖν, οὗτός ἐστιν ὁ δυνάμει ψόφος· ὅταν δὲ δυνάμενα ποιῇ, οὗτός ἐστιν ὁ ἐνεργείᾳ. ἔστι δὲ διττὸς ὁ ψόφος. περὶ ψόφου πρόκειται εἰπεῖν, ἐπεὶ καὶ περὶ ἀκοῆς, δεῖ δὲ πρῶτον περὶ τῶν ἀντικειμένων εἰπεῖν, ἀντίκειται δὲ τῇ ἀκοῇ ὁ ψόφος. λέγει οὖν ὃ καὶ ἐν τῇ Περὶ οὐρανοῦ εἶπεν, ὅτι ἔστιν ὁ ψόφος, ἵνα συντόμως εἴπω, πληγὴ ἀέρος τοιῶσδε γινομένη. δεῖ γὰρ πρὸς τὸ γενέσθαι ψόφον δύο σκληρῶν καὶ λείων σωμάτων αὐθρόαν συνέμπτωσιν πρὸς ἄλληλα 13r 5 10

2 ἔσται om. D 6 ῥηθήσεται om. D post μεταξὺ iterat ἀέρι ἐν τῷ περὶ ἁφῆς λόγῳ καὶ γὰρ τούτων, sed rursus del. D 7 ψόφω D ὀσμῆς] ο et ς m. alt. D 10 διχῇ D 11 ἀποφράξῃ t 15 διχές D 17 ἐνεργείαι A: ἐνεργεία D: ἐνέργειά t Arist. 18 δυνάμει AD Arist. E: δυναμις t Arist. vulg. 19 ἔλεγον t τὸ μὲν in ras. D¹ 20 τὸ δὲ ἐν δυνάμει D 23 χωρίσας A: χωρὶς δὲ Dt 24 ἐν οὖν—ψοφεῖν A: om. Dt 25 ἐνεργεῖ D 27 ποιεῖ D 30 ἐν τῇ Περὶ οὐρανοῦ] B 9 p. 291a10 sqq.

γενέσθαι. ἐν γὰρ τούτοις ὁ ἐναπολαμβανόμενος ἀὴρ ἀθρόος ἐκθλιβόμενος I 3r
βιαίως ποιεῖ τὸν ἦχον. οὔτε γὰρ τὰ μαλακὰ τῶν σωμάτων ψοφεῖ, οἷον σπόγγοι, ἔρια, οὔτε τὰ σκληρὰ μέν, μὴ ἀθρόως δὲ προσκρουόμενα ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν· φθάνει γὰρ κατὰ μέρος οἷον θρυφθῆναι ὁ ἀήρ. διὸ δεῖ τῆς σφοδρᾶς τῶν σκληρῶν σωμάτων συνεμπτώσεως, ἵνα πολὺς ἀὴρ ἐναπολημφθῇ μεταξύ, ὃς ἐναπολαμβανόμενος καὶ ἀθρόως ἐξωθούμενος ποιεῖ τὸν ψόφον· φθάνουσα γὰρ ἡ πληγὴ τὴν ἔξοδον αὐτοῦ ἀποκλείει καὶ ἀθρόον ἐκπυρηνίζει. τὰ δὲ μαλακὰ οὐ ψοφεῖ, διότι οὐχ οἷά τέ ἐστιν ἀθρόον ἐξωθῆσαι τὸν ἐναπολαμβανόμενον ἀέρα· διὰ γὰρ τῶν πόρων (μανὰ γὰρ εἰσι τὰ μαλακά) κατακερματισθεὶς ἕξεισι. δεῖ δὲ καὶ λειότητος τοῖς πλήττουσιν, καὶ μάλιστα πρὸς τὸ πλείονα γενέσθαι τὸν ψόφον, διότι πᾶς ὁ ἐναπολαμβανόμενος ἀὴρ ἀθρόως ἐκθλίβεται, ἐν δὲ τοῖς μὴ λείοις κατακερματίζεται ἐν τοῖς κοιλώμασι πλείοσιν οὖσι καὶ οὐκ ἀθρόος ἕξεισι. τὰ δὲ ἠχεῖα καὶ τὰ κύμβαλα πληττόμενα ἐπίμονον ποιεῖ τὸν ψόφον, τοῦτο δὲ διὰ τὴν κοιλότητα. ἀπολαμβάνεται γὰρ ὁ ἀὴρ ἐν τῇ κοιλότητι, ὃς εἰλούμενος ἐπὶ πολὺ περὶ τὸ κοίλωμα ἐξελθεῖν μὴ δυνάμενος παρατείνει τὸν ψόφον. καὶ ἐν τοῖς κυρτοῖς δὲ ἑαυτοῦ μέρεσι πληττόμενος ὁ κώδων ἐπὶ πλείονα χρόνον ἠχεῖ, ὅταν ἀπό τινος λεπτοῦ ἱμάντος ἀπηρτημένος ᾖ. ἡ δὲ αἰτία ἡ αὐτή· πληττόμενος ⟨γὰρ⟩ κινεῖται, κινούμενος δὲ κινεῖ τὸν ἐν τοῖς κοιλώμασιν ἐναπειλημμένον ἀέρα, ὃς πάλιν ἐπὶ πολὺ εἰλούμενος καὶ τῷ χαλκῷ προσκρούων παρατείνει τὸν ψόφον. καὶ ὅτι τοῦτό ἐστιν· ἐὰν μὴ ᾖ ἠρτημένος ἀπὸ λεπτοῦ ἱμάντος, ἀλλ' ὑπὸ τῆς χειρὸς κατεχόμενος, ὥστε μὴ κραδαίνεσθαι ὑπὸ τῆς πληγῆς, οὐ παρατείνει τὸν ἦχον· τοῦτο δὲ διότι μὴ κινούμενον τὸ ἠχεῖον οὐ κινήσει τὸν ἐντὸς ἀέρα. τί οὖν; εἰ κινήσω τῇ χειρὶ τὸ ἠχεῖον, οὐ κινεῖ τὸν ἐντὸς ἀέρα, ἢ ἐὰν ξύλῳ πατάξω; πῶς οὖν οὐ γίνεται ψόφος ὁμοίως τοῦ ὅταν χαλκῷ προσκρούῃ τις ἢ ἄλλῃ τοιαύτῃ τινὶ ὕλῃ; ὁμολογουμένως οὖν δεῖ καὶ ὕλης ἐπιτηδειότητος τῶν πληττομένων σωμάτων. ἴσως οὖν διὰ τὸ ἐν τῇ οὐσίᾳ τοῦ χαλκοῦ ἢ τοῦ ἀργύρου ἢ τῶν τοιούτων μετάλλων πολὺν ἐγκατεσπάρθαι ἀέρα, ὅσπερ ἐστὶ τῶν ψόφων αἴτιος, διὰ τοῦτο ἠχητικά ἐστι τὰ τοιαῦτα τῶν μετάλλων. ἔστι μὲν γὰρ καὶ ἐν τῇ οὐσίᾳ τοῦ ξύλου ἀήρ, ἀλλὰ γῇ σύμμικτος, διὸ καὶ ἄψοφος ἢ ἐπ' ὀλίγον ψοφεῖ· ὁ δὲ ἐν τῇ τοῦ χαλκοῦ οὐσίᾳ ἢ τοῖς τοιούτοις ὕδατί ἐστι συμμιγής, ὅπερ καὶ αὐτὸ ἔχει τὴν διηχῆ δύναμιν. σημεῖον δὲ τῶν εἰρημένων καὶ τὸ ἐπὶ τῶν ποτηρίων συμβαῖνον· ἐὰν γὰρ ὑγρὸν τὸν δάκτυλον περὶ τὸ χεῖλος περιαγάγωμεν, γίνεται ἦχός τις τοῦ ἐκθλιβομένου ὑπὸ τοῦ δακτύλου ἀέρος προσπίπτοντος εἰς τὸ κοίλωμα τοῦ ποτηρίου καὶ τῇ πληγῇ ἀποτελοῦντος τὸν ἦχον. καὶ ὅτι τοῦτό ἐστιν,

5 τῆς] ἢ in ras. D^2 συνεμπτώσεως A et (corr. ex συνεμπτόσεως) D: συμπτώσεως t
10 κατακερματισθὲν t 11 γίνεσθαι t πᾶς Dt: πλέον A Suid. s. v. Ψόφος
12 ἀθρόως At: ἀθρόος D 14 ἐπίμονον A: ἐπιμόνον Dt 19 γὰρ addidi 21 post ἐστιν fort. addendum δῆλον ἐντεῦθεν ᾖ A: om. Dt 24 μὴ om. D^1, sed supra add. D^2 24. 25 τί οὖν — ἀέρα A: om. Dt 26 τοῦ] sic ADt προσκρούσῃ t
27 ὁμολογουμένως D^1, sed corr. D^2 ἐπιτηδειότητος A: ἐπιτηδειοτάτης Dt
29 ὅσπερ D^2t: ὅπερ D^1A

αἰσθητῶς φανερὸν γίνεται ἐντεῦθεν· εἰ γὰρ ἐμβάλῃς ὕδωρ ἐν τῷ ποτηρίῳ, 13r
ὄψει ἐν τῇ περιαγωγῇ τοῦ δακτύλου ῥῖκα κάτω ἐν τῷ ὕδατι ἐγγινομένην,
τοῦ εἰσπίπτοντος δηλονότι ἀέρος τῇ θλίψει τοῦ δακτύλου τὴν κίνησιν τοῦ
ὕδατος ποιοῦντος. ἐὰν δὲ ὀλίγου πλῆρες ᾖ τὸ ποτήριον ὕδατος, καὶ ῥανί-
5 δες πλεῖσται ἀναρριπτοῦνται καὶ συνεχεῖς. καὶ ἐὰν μὲν ἐκ τοῦ πυθμένος
κατέχῃ τις τὸ ποτήριον, συμβαίνει τὰ εἰρημένα· ἐὰν μέντοι μὴ ἐκ τοῦ
πυθμένος, ἀλλ' αὐτὸ κατέχῃ τις τὸ ποτήριον, οὐδ' ὅλως ἦχος γίνεται περι- 40
αγομένου τοῦ δακτύλου. τοῦτο δὲ διότι δεῖ κραδαίνεσθαι ῥέμα τὸ πληττό-
μενον, ἵνα μὴ ἐξωθῆται ὁ ἀήρ, ἀλλὰ ἀνακλώμενος εἰς τὸ ἔνδον συνεχῶς
10 καὶ πλήττων τοῦ ποτηρίου τοὺς τοίχους καὶ ἀντωθούμενος εἰς ἕτερον
μόριον διὰ τὸ περιφερὲς καὶ κοῖλον ἐπὶ πολὺ μένει καὶ μὴ σκεδάννυται,
καὶ οὕτω μένων μακρὸν ἀποτελεῖ ψόφον. οὕτως καὶ σιδήριον ἢ ἄλλο τι
τοιοῦτον ἐὰν λεπτῷ ἰναρίῳ ἀπαρτήσωμεν καὶ πλήξωμεν ῥέμα χαλκῷ ἤ
τινι τοιούτῳ, μένει ἐπὶ πολὺ ὁ ἦχος, διὰ τὸ ὡς εἶπον τῷ κραδαίνεσθαι
15 τὸν σίδηρον ἀντώθησιν γίνεσθαι αὐτοῦ τε καὶ τοῦ ἀέρος ἐπὶ πολύ. ὅθεν 45
ἐὰν μεταξὺ ἠχοῦντος κατάσχωμεν τὸν σίδηρον, παύεται καὶ ὁ ἦχος τοῦ
ἀέρος λοιπὸν σκεδασθέντος καὶ μηκέτι ἀνανακλωμένου ἐπὶ τὸ ἠχητικόν,
ὅπερ καὶ ἐπὶ τῶν ἠχείων καὶ κωδώνων γίνεται. διόπερ καὶ ἐὰν μὴ
ἀρτήσωμεν ἰναρίῳ τὸν σίδηρον, ὥστε κραδαίνεσθαι, ὁμοίως δὲ καὶ τὸ
20 κωδώνιον, ἀλλὰ καὶ τῇ χειρὶ κατέχοντες πλήξωμεν, ἅπαξ ψοφήσας εὐθὺς
ἀπεπαύσατο διὰ τὸ μὴ γίνεσθαι τοῦ ἀέρος ἀνανάκλασιν. ἀλλὰ καὶ ἐὰν
ἰναρίῳ μὲν λεπτῷ τὸν σίδηρον ἀρτήσωμεν, μὴ ῥέμα δὲ ἀλλὰ μεγίστην 50
δῶμεν πληγήν, οὐ διαμένει ὁ ἦχος διὰ τὸ μὴ γίνεσθαι πλεονάκις τὴν
ἀντώθησιν τοῦ σιδήρου καὶ τοῦ ἀέρος, ἀλλ' ἅπαξ ὠσθέντα τὸν ἀέρα ὑπὸ
25 τῆς βιαίας πληγῆς μὴ παλινδρομῆσαι. καὶ ἴσως ἔνθεν καὶ κωδώνιον ὠνό-
μασται παρὰ τὸ ἐν τῷ κινεῖν ᾄδειν· ἐπειδὰν οὖν τις κατασχὼν στήσῃ,
παύσεται τὸ ψοφοῦν διὰ τὴν εἰρημένην αἰτίαν· στάντος γὰρ καὶ ὁ ἐντὸς
ἢ ἐκτὸς κραδαινόμενος ἀὴρ ἵσταται.

p. 419b8 Τοῦτο δέ ἐστιν αὐτοῦ μεταξὺ καὶ τῆς ἀκοῆς ἐμποιῆ-
30 σαι ψόφον ἐνεργείᾳ.

Ὁ ψόφος εἰ ὡς ἀκουστὸν λαμβάνηται, οὐ δύναται γίνεσθαι ἐνεργείᾳ
αὐτὸ τοῦτο ἀκοῆς μὴ οὔσης τῆς αἰσθανομένης, ὥσπερ οὐδὲ τὸ χρῶμα
ὁρατόν ἐστι μὴ ὄντος τοῦ ὁρῶντος. | εἰπὼν ⟨οὖν⟩ ὅτι ἔστι τὸ ἔχον τὸν 13v
δυνάμει ψόφον (λέγει τὸν αἰσθητὸν ἀκοῇ), ἐπήγαγε τοῦτο δέ ἐστι καὶ
35 τὰ ἑξῆς. δύναται γὰρ ψόφος εἶναι καὶ ἐν τῷ μεταξὺ τοῦ ψοφοῦντος καὶ
ἄλλου τινός, οὐχὶ τῆς ἀκοῆς, ἀλλ' οὗτος δυνάμει ἀκουστὸς καὶ οὐκ ἐνεργείᾳ.
ἵνα οὖν τὸν κατ' ἐνέργειαν ἀκουστὸν σημάνῃ, προσέθηκε τὸ μεταξὺ αὐτοῦ,
τουτέστι τοῦ ψοφοῦντος, καὶ τῆς ἀκοῆς.

2 ἐγγινομένου t 4 ὀλίγου scripsi: ὀλίγῳ Dt 7. 8 περαγομένου t 9 εἰς] εἰ t
11. 12 exspectas μένῃ — σκεδαννύηται — ἀποτελῇ 12 μένων scripsi: μένον Dt
26 ἐπειδὰν οὖν A: ἐπεὶ γάρ Dt στήσῃ A: στήσει Dt 31 Ὁ ψόφος — ὁρῶντος (33)
om. t 33 οὖν addidi 34 τὸν om. t

p. 419b9 Γίνεται δὲ ὁ κατ' ἐνέργειαν ψόφος ἀεί τινος πρός τι καὶ ἔν τινι. 5

Εἰπὼν ἐν τίσιν ἐστὶν ὁ ψόφος ὁ κατὰ δύναμιν, ὅτι ἐν τοῖς δυναμένοις κατ' ἐνέργειαν ψοφῆσαι, πῶς γίνεται ὁ κατ' ἐνέργειαν ψόφος, διὰ τούτων προστίθησιν. ἐπεὶ γάρ, φησί, πληγή ἐστιν ἡ ποιοῦσα τὸν ψόφον, ἡ δὲ πληγή τινός ἐστι πρός τι καὶ ἔν τινι, τινὸς μὲν τοῦ πλήσσοντος, πρός τι δὲ τὸ πλησσόμενον, ἔν τινι δὲ τῷ μεταξύ (ἡ γὰρ πληγὴ κινήσει γίνεται τῇ κατὰ τόπον· αὕτη δέ τινός ἐστιν ἔν τινι, τινὸς μὲν τοῦ κινουμένου, ἔν τινι δὲ οὐ τῷ τυχόντι· οὔτε γὰρ διὰ κενοῦ οὔτε διὰ στερεοῦ οἷόν τε γενέσθαι τὴν κίνησιν, ἀλλ' ἐν ἀέρι ἢ ἐν ὕδατι), ἀνάγκη οὖν πᾶσα καὶ τὸν ψόφον τινὸς εἶναι πρός τι καὶ ἔν τινι, τινὸς μὲν τοῦ πλήττοντος, πρός τι δὲ τὸ πληττόμενον, ἔν τινι δὲ τῷ ἀέρι. ἀδύνατον γὰρ ἐν ὕδατι γενέσθαι ψόφον· εἰ γὰρ βαπτισθεὶς εἰς βάθος ἐν ὕδατι τὰς χεῖρας συμπλήξειας, οὐ ποιήσεις ψόφον, διότι, ὡς ἤδη εἶπον, ὁ μεταξὺ τῶν πληττομένων ἀὴρ ἐκθλιβόμενος βίᾳ ποιεῖ τὸν ψόφον. ἔχει μὲν γὰρ τὸ ὕδωρ τὴν διηχῆ δύναμιν, λέγω δὴ τὴν διαπορθμευτικὴν τῶν ψόφων, δίχα μέντοι ἀέρος ψόφον ἐμποιῆσαι οὐ δύναται. ὅπερ ἐστὶ καὶ ἀπορίας ἄξιον· εἰ γὰρ διὰ τοῦτο ὁ ἐναπολαμβανόμενος ἐν τοῖς πληττομένοις στερεοῖς σώμασιν ἀὴρ ψοφεῖ, διὰ τὸ ἔχειν αὐτὸς τὴν διηχῆ δύναμιν, καὶ διὰ τοῦτο δεῖ πάντως ἀέρος, ἵνα γένηται ψόφος, τί δήποτε καὶ ἐν ὕδατι πληττομένων τῶν στερεῶν σωμάτων τὸ ἐναπολαμβανόμενον ὕδωρ οὐ ψοφεῖ, ἔχον γε καὶ αὐτὸ τὴν διηχῆ δύναμιν; φαμὲν οὖν πρὸς τοῦτο πρῶτον μὲν ὅτι, ὡς ἤδη εἴπομεν, δεῖ ἀθρόαν γενέσθαι τὴν συνδρομὴν τῶν πληττομένων, ἵνα ἀθρόως ἐκθλιβῆται καὶ μὴ κατὰ μικρὸν ὁ ἐναπολαμβανόμενος ἀήρ· τοῦτο δὲ γενέσθαι ἐν τῷ ὕδατι οὐ δυνατὸν διὰ τὴν παχυμέρειαν αὐτοῦ· φθάνει οὖν συνιόντων τῶν πληττομένων πρὸ τῆς πλήξεως κατὰ μικρὸν ἐκθλιβῆναι τὸ ὕδωρ. ἔπειτα ὁ μὲν ἀὴρ εὐκίνητος ὢν φύσει διὰ τὸ ἀνώφορον, ἀρχῆς ἐὰν τύχῃ ὑπὸ τοῦ ὠθοῦντος, φέρεται τῇ ῥύμῃ τοῦ ἐφεξῆς αὐτῷ διισταμένου· ἐπὶ μέντοι τοῦ ὕδατος οὐκέτι τοῦτο συμβαίνει· βαρὺ γὰρ ὂν φύσει τὸ ὕδωρ πολλῆς δεῖται βίας, ἵνα ὠθηθῇ· τοῦτο δέ, ὡς εἶπον, ἐν τῷ ὕδατι γενέσθαι οὐ δύναται. καὶ ἄλλως μήτε εὐκινήτου ὄντος τοῦ ὕδατος τοῦ ὠθουμένου μήτε τοῦ ἐφεξῆς εὐχερῶς αὐτῷ διισταμένου καὶ διδόντος πάροδον συμβαίνει μὴ γίνεσθαι τοῦ ὕδατος ὤθησιν ἢ μὴ ἱκανήν. διόπερ οὐδὲ ψόφον συμβαίνει γενέσθαι· καὶ γὰρ ἐπὶ τοῦ ἀέρος οὐχ ἡ τυχοῦσα κίνησις τοῦ ἀέρος ἐποίει τὸν ψόφον. καὶ ἄλλως δεῖ νομίζειν, εἰ καὶ ἔστιν ἡ διηχὴς δύναμις καὶ ἐν τῷ ὕδατι καὶ ἐν τῷ ἀέρι, ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ μᾶλλον ὁ ἀὴρ διηχής. ἐπεὶ οὖν καὶ μᾶλλον διηχὴς καὶ μᾶλλον εὐκίνητος, εἰκότως

---

10 γένεσθαι t 14 ποιήσει D 15 βίᾳ ποιεῖ A: ποιεῖ βίᾳ Dt 16 δὴ A: δὲ Dt 19 αὐτὸς scripsi: αὐτὸν ADt 23 συνδρομὴν] υν in ras. D[1] ἀθρόως At: ἀθρόος D 32 αὐτῷ scripsi coll. v. 28: αὐτοῦ ADt 33 μὴ (post συμβαίνει)] μὲν t ἢ μὴ A: εἰ μὴ Dt 36 ἀλλὰ μᾶλλον AD: καὶ μᾶλλον t

ἐν τούτῳ μὲν γίνεται ὁ ψόφος, ἐν δὲ τῷ ὕδατι οὐκέτι. ἀλλ' εἰ καὶ μὴ 13v
ψοφεῖ τὸ ὕδωρ, ψοφοῦντος μέντοι τοῦ ἀέρος διαπορθμεύειν τοὺς ψόφους τὸ
ὕδωρ δύναται διὰ τὸ ὅλως ἔχειν τὴν διηχῆ δύναμιν· οὐ δεῖ γὰρ ἐνταῦθα
κινηθῆναι τὸ ὕδωρ, ἀλλὰ μόνον τελειωθῆναι αὐτοῦ τὴν δύναμιν. διόπερ,
5 ὡς εἶπον, καὶ τῶν ἐν τῷ ἀέρι γινομένων ψόφων ἐπαισθάνονται οἱ ὑπο-
ῥύχιοι καὶ οἱ ἰχθύες, εἰ καὶ μὴ ὁμοίως. ὥσπερ γὰρ οὐδὲ διαφανὲς
ὁμοίως ἐστὶ τῷ ἀέρι τὸ ὕδωρ, οὕτως οὐδὲ διηχὲς οὐδὲ δίοσμον. ὥστε 35
ποιητικὸν μὲν αἴτιον τῶν ψόφων τὰ στερεὰ καὶ λεῖα σώματα καὶ τούτων
τὰ κοῖλα, ὁλικὸν δὲ ὁ ἀήρ· ἐν αὐτῷ γὰρ τὴν ὑπόστασιν ἴσχει, καὶ οἷον
10 εἶδος αὐτοῦ γίνεται ὁ ψόφος. οὐ μόνον δὲ ἐπὶ τῶν ποιητικῶν μεγέθους
τε δεῖ καὶ στερεότητος καὶ λειότητος, ἀλλὰ καὶ ποιᾶς οὐσίας· ἄλλως γὰρ
χαλκὸς ἠχεῖ καὶ ἄλλως σίδηρος καὶ ὁ μόλιβδος καὶ ἄργυρος καὶ ξύλον.
διὸ καὶ τὰ ὀξύβαφα εἰώθασιν ἐκ διαφόρου κατασκευάζειν ὕλης, ἵνα τῇ
διαφορᾷ τῶν ἀπηχήσεων τὴν ἁρμονίαν ἀποτελέσωσιν· ἡ γὰρ ἁρμονία 40
15 πολυμιγέων ἐστὶ καὶ διχᾷ φρονεόντων ἕνωσις.

p. 419b11 Διὸ καὶ ἀδύνατον ἑνὸς ὄντος γενέσθαι ψόφον.

Ἐπειδὴ πληγὴ μέν τις ὁ ψόφος, τὸ δὲ πλῆσσον πλησσόμενον πλήσσει,
τί οὖν; τῇ μάστιγι πλήξαντες τὸν ἀέρα οὐ ποιοῦμεν ψόφον, ὁμοίως καὶ
ταῖς ῥιπίσιν; ἀλλὰ τότε ὁ ἀὴρ τὰς δύο χρείας ἀναπληροῖ καὶ τὴν τοῦ 45
20 πληττομένου καὶ τὴν τοῦ μεταξύ. ὁ γὰρ ὑπὸ τῆς μάστιγος τῇ πληγῇ
ὠθούμενος ἀὴρ ἐκθλίβεται προσκρούων τῷ μετ' αὐτόν, ἐκεῖνος δὲ τὴν τοῦ
πληττομένου ἀναδέχεται τάξιν, καὶ ὁ μέσος ἐκθλιβόμενος ὑπό τε τῆς
μάστιγος καὶ τοῦ μετ' αὐτὸν ἀέρος ἠχεῖ. πολλάκις δὲ καὶ τῶν τριῶν τὴν
τάξιν ἀναδέχεται ὁ ἀήρ, καὶ τοῦ πλήττοντος καὶ τοῦ πληττομένου καὶ τοῦ
25 μεταξύ, ὡς ὅταν σφοδρῶς ἐμφυσήσωμεν. ὁ μὲν γὰρ εὐθὺς ἐξιὼν πλήττει,
ὁ δὲ ἐφεξῆς ὠθούμενος ὑπ' αὐτοῦ ἑτέρῳ προσκρούει καὶ ὑπ' ἀμφοῖν 50
διαζόμενος καὶ ἐκθλιβόμενος ὠθεῖ. μᾶλλον δὲ καὶ ἐνταῦθά ἐστι τὸ
πλῆττον· καὶ γὰρ τὰ χείλη καὶ ἡ ὑπερῴα, καὶ τούτοις προσκρούων ὁ ἀὴρ
ἐξωθεῖται εἰς τὸ ἔξω. διὸ καὶ τὰ χείλη δεῖ συναγαγεῖν φυσῶντας, ἵνα
30 στενοτέροις γενομένοις προσκρούῃ ἐκθλιβόμενος. καὶ ἐν ταῖς χάσμαις δ'
ὠθεῖται μὲν ὑπὸ τοῦ πνεύμονος, προσκρούει δὲ καὶ τῇ τραχείᾳ ἀρτηρίᾳ
καὶ παντὶ τῷ στόματι. ἀλλὰ καὶ ἐπὶ τῆς μάστιγος οὐχ ὑπὸ ἑνὸς ὁ ἀὴρ
ὠθεῖται, ἀλλὰ τρόπον τινὰ ὑπὸ δύο· καμπτομένη γὰρ ἡ μάστιξ τῶν | δύο 14r
ἀποτελεῖ τὴν χρείαν· ἑκάτερον γοῦν μόριον αὐτῆς πλῆξαν τὸν ἐντὸς ἀπει-
35 λημμένον ἀέρα οὕτως ὠθεῖ. ἀμέλει γοῦν εἰ ξύλον εἴη παχὺ ἢ ἕτερόν τι,
ὅπερ ἐν τῇ κινήσει μὴ κάμπτηται, οὐ ποιεῖ ψόφον ὁμοίως, ἤγουν ἀμυδρόν,

2 διαπορθμεύειν A: διαπορθμεύειν δὲ Dt 3 τὸ A: τοῦτο Dt 9 ὁ ἀὴρ (sic) t
13 ὀξύβαφα Diels ad Sophon. paraphr. p. 85,21, cf. Suid. s. v. Διοκλῆς et Bellermanni Anon. de mus. p. 28: ὀψόβαφα ADt Suid. s. v. Ἁρμονία: ὀξύβαρα Soph. l. l. 18 τί] τι D 30 στενοτέροις Dt: v. not. ad p. 364,24 35 παχὺν (vel παχὺς?) D¹, sed corr. D² 36. p. 359,1 ἀμυδρόν, ὡς A: ἀμυδρῶς Dt

ὡς σχεδὸν μηδ' ἀκουστὸν εἶναι. ὥστε δῆλον ὅτι καὶ ἐπὶ τῆς μάστιγος I 4r
καὶ ἐπὶ τῆς ῥάβδου πληττούσης τὸν ἀέρα διὰ τὸν εἰρημένον λόγον γίνεται
ὁ ψόφος τῶν δύο τῶν πληττόντων ποιούσης τῆς μάστιγος τὴν χρείαν. 5
ὅθεν καὶ διὰ τὸ πολλάκις πλείους αὐτὴν κάμπτεσθαι κάμψεις πλειόνων ἐν
5 τῇ μιᾷ πληγῇ τῶν ψόφων αἰσθανόμεθα.

p. 419ᵇ13 Πληγὴ δὲ οὐ γίνεται ἄνευ φορᾶς.

Δείξας ὅτι τινὸς πρός τι ὁ ψόφος, εἰπὼν ὅτι πληγή τίς ἐστι, τὸ δὲ πλῆσσον πλησσόμενον πλήσσει, διὰ τούτου κατασκευάζει ὅτι καὶ ἔν τινι. εἰ γὰρ πληγὴ ὁ ψόφος, ἡ δὲ πληγὴ οὐκ ἄνευ φορᾶς, τοῦτο δέ ἐστι τῆς
10 κατὰ τόπον κινήσεως, ἡ δὲ κίνησις οὐ διὰ κενοῦ, ἀλλ' ἔν τινι ἢ τῷ ἀέρι ἢ τῷ ὕδατι, καὶ ὁ ψόφος ἄρα ἔν τινι, τουτέστι τῷ ἀέρι, ὡς ἤδη ἐδείξα- 10
μεν· οὗτος γὰρ ἀθρόος ἐναπολαμβανόμενος ὑπὸ τοῦ πλήττοντος πρὸς τῷ λείῳ ἢ κοίλῳ τῷ πληττομένῳ σώματι ψοφεῖ. τὸ μὲν οὖν λεῖον διὰ τοῦτο τυπτόμενον ψόφον ποιεῖ, διὰ τὸ ἀθρόον ὑπὸ τοῦ τύπτοντος πρὸς τοῦτο
15 ἀπολαμβάνεσθαι τὸν ἀέρα, τὸ δὲ κοῖλον, ὅτι ὁ ἀὴρ ἐν τούτοις ἀδύνατος ὢν ἐξελθεῖν ὁ πρῶτος πληγεὶς διὰ τὴν κοιλότητα τοῦ περιέχοντος αὐτὸν ἄλλοτε πρὸς ἄλλα μέρη τοῦ κοίλου φερόμενος καὶ ἀνακλώμενος καὶ ἀνει- 15
λούμενος βιαίως ἐπὶ πλέον ἠχεῖ πλείους πληγὰς ποιῶν.

p. 419ᵇ13 Ὥσπερ δ' εἴπομεν, οὐ τῶν τυχόντων πληγὴ ὁ ψόφος.

20 Ἐπειδὴ εἶπεν ὅτι πληγή τίς ἐστιν ὁ ψόφος, οὐ πᾶσα δὲ πληγὴ 20
ψόφος οὐδὲ ὑπὸ τῶν τυχόντων γινομένη, αὐτὸ τοῦτο διὰ τούτων διορίζεται, τίνων τε πληγὴ ὁ ψόφος καὶ πῶς ἐχόντων, ὅτι τῶν στερεῶν· οὐ γὰρ ἔρια πληττόμενα ψοφεῖ * * ψοφεῖ γὰρ καὶ τὰ τραχέα τὰ τυπτόμενα, ἀλλ' ὅτι μᾶλλον ἐκεῖνα.

25 p. 419ᵇ18 Ἔτι ἀκούεται ἐν ἀέρι καὶ ὕδατι, ἀλλ' ἧσσον.

Ἐνταῦθα τὸ ἄνω ἐλλιπῶς εἰρημένον διαρθροῖ. ἄνω μὲν γὰρ ἔλεγε τὸν ἀέρα μόνον διαπορθμευτικὸν εἶναι τῶν ἤχων· νῦν δέ φησι καὶ τὸ 25
ὕδωρ τοιοῦτον εἶναι, ἀλλ' ἧσσον τοῦ ἀέρος· παχύτερον γὰρ τὸ ὕδωρ καὶ ἐπιφράσσον τοὺς ἀκουστικοὺς πόρους. ἄλλο δέ ἐστι τὸ ἐν ὕδατι ἀκούεσθαι
30 τοῦ δι' ὕδατος, ὡς δείξει προελθών· ψόφος γὰρ δι' ἀέρος ἀκούεται μόνου, γίνεται μέντοι καὶ ἐν ὕδατι καὶ ἀκούεται, ὥσπερ καὶ ἐν ἀέρι.

p. 419ᵇ19 Οὐκ ἔστι δὲ ψόφου κύριος ὁ ἀὴρ οὐδὲ τὸ ὕδωρ.

Οὐκ ἐπειδὴ λέγομεν, φησί, διαπορθμευτικὰ τῶν ψόφων εἶναι τὸν

---

9 τῆς] καὶ D 15 ἀδύνατον omisso ὢν D 23 lacunam indicavi: fort. excidit ἀλλὰ χαλκὸς καὶ ὅσα λεῖα καὶ κοῖλα γὰρ] δὲ t 25 post ὕδατι add. δὲ D
29 τὸ] τῷ D¹, sed corr. D² 30. 31 ὡς δείξει — καὶ ἀκούεται iterant Dt

ἀέρα καὶ τὸ ὕδωρ. ἤδη ταῦτα κύριά ἐστι τοῦ ψόφου· ταῦτα γὰρ τῇ αὐτῶν I 4r
φύσει ἄψοφα, διὸ καὶ δεκτικὰ ψόφου, ὡς καὶ τὸ ἄχρουν χρώματος· ἀλλ' 35
ἔστι κύρια καὶ ποιητικὰ τοῦ ψόφου τὸ τύπτον καὶ τὸ τυπτόμενον, στερεὰ
ὄντα· τὰ γὰρ κυριώτατα τῶν αἰτίων τὰ ποιητικά ἐστιν. ἢ τοῦτο οὖν
5 φησιν, ἢ ὅπερ καὶ μᾶλλον, ὅτι οὐκ αὐτάρκης ἀὴρ καὶ τὸ ὕδωρ ψόφον
ποιῆσαι, ἀλλὰ δεῖ καὶ τῶν τυπτόντων στερεῶν σωμάτων. καὶ τοῦτο δηλῶν
ἐπήγαγεν ἀλλὰ δεῖ στερεῶν γενέσθαι πληγὴν πρὸς ἄλληλα καὶ
πρὸς τὸν ἀέρα. καὶ γὰρ οὗτος ὑπὸ τῶν ἐναπολαμβανόντων αὐτὸν
στερεῶν σωμάτων πλήσσεται, καὶ τότε γε ποιεῖ ψόφον, ὅταν ταχέως ὑπὸ
10 τῶν πλησσόντων ἀπωσθῇ, ὥστε φθάσαι τὴν πληγὴν γενέσθαι, πρὶν ὁ ἀὴρ 40
θρυφθῇ· τότε γὰρ ἀθρόος ἐξωθούμενος ψοφεῖ. ὥσπερ οὖν κἂν εἰ ἀπό
τινος χώνης ῥέοι οἷον ὁρμαθὸς ψάμμου, εἰ μὲν οὖν ἀθρόον τύπτοι τις
ὑποκάτω, ὥστε φθάσαι τὴν πληγήν, πρὶν τὴν ψάμμον κατακερματισθῆναι,
ποιήσει κἀκεῖ ψόφον, εἰ δὲ ἠρέμα, οὐκέτι (διαθρύπτεται γὰρ ἡ ψάμμος)
15 τὸ αὐτὸ συμβαίνει καὶ ἐπὶ τοῦ ἀέρος· εὐδιάθρυπτος γὰρ καὶ οὗτος.

p. 419b25 Ἠχὼ δὲ γίνεται, ὅταν ἀπὸ τοῦ ἀέρος ἑνὸς γενομένου διὰ τὸ ἀγγεῖον τὸ διορίσαν καὶ κωλῦσαν θρυφθῆναι πάλιν ὁ ἀὴρ ἀπωσθῇ, ὥσπερ σφαῖρα. 45

Διαλεχθεὶς κοινῶς περὶ ψόφου † κοινῶς λέγοντι ὁ περὶ τῆς ἠχοῦς
20 λόγος. γίνεσθαι οὖν φησι τὴν ἠχὼ κατὰ ἀνάκλασιν τὴν ἀπὸ τῶν ἀντι-
τύπων καὶ λείων σωμάτων, μάλιστα δὲ κοίλων, τοῦ πληγέντος ὑπὸ τῆς
φωνῆς ἀέρος. ὁ γὰρ διαλεγόμενος ὠθεῖ σχεδὸν μὲν πάντα τὸν περιξ
ἀέρα, μάλιστα δὲ τὸν ἔμπροσθεν· διὸ μᾶλλον ἀκούομεν πρὸς ἡμᾶς ὁρῶν-
τος τοῦ διαλεγομένου ἢ ἀπεστραμμένου. οὗτος δὴ ὁ ἔμπροσθεν ἀὴρ
25 ὠθούμενος ὅταν ἐνεχθῇ ἐπί τι ἀντίτυπον ἔχον κοιλότητα, οἷά ἐστι τὰ 50
ἄντρα, συνεχὴς ὢν καὶ ἀδιασκέδαστος μείνας διὰ τὸ περιέχεσθαι ὑπὸ τοῦ
κοιλώματος τούτου, ὃ ἀγγεῖον ὠνόμασε, προσπεσὼν αὐτῷ ἀντιτύπῳ ὄντι
σώματι ὠθεῖται εἰς τὸ ἔμπαλιν, ὥσπερ ἡ ῥιπτουμένη κατὰ τοίχου σφαῖρα,
καὶ οὕτω χωρεῖ ἐπὶ τὸν πλήξαντα, ἐνεργοῦντος δηλονότι τοῦ ἀέρος δι
30 ἀμφοτέρων κατὰ τὴν διηχῆ αὐτοῦ δύναμιν. οὐ μόνον γὰρ διὰ τὸ μὴ
συγχωρεῖσθαι ὑπὸ τοῦ κοίλου τόπου διασκεδασθῆναι | οἷος ἠνέχθη ὑπὸ I 4v
τῆς ἀντιτυπίας τοῦ σκληροῦ σώματος εἰς τοὐναντίον ἀπωθεῖται, ἀλλ' ὅτι
καὶ τῷ κοίλῳ τούτῳ ᾧ προσπίπτει, οὐ κενῷ ὄντι προσπίπτει, ἀλλ' ἀέρος
πλήρει, ὅσπερ ἀὴρ συνεχής ἐστι καὶ ἡνωμένος διὰ τὸ περιέχον. τοῦτον

7 ante γενέσθαι add. ὡς t 11 ἀθρόως t 14 ποιεῖ t 16 γενομένου D Arist. vulg.: γινομένου t Arist. UVWX 17 διὰ om. D 18 ἀπωθῇ t 19 κοινῶς λέγοντι] sic Dt: de A v. infra 25 ἐπί τινα D 26 ἀδιασκέδαστος A Suid. v. Ἠχώ: διασκεδαστὸς Dt 28 ῥιπτομένη t 33 τούτῳ ᾧ A: ᾧ om. Dt

19 Ὅτι ἀκόλουθός ἐστιν ὁ περὶ τῆς ἠχοῦς λόγος τῇ περὶ τῶν ψόφων φυσιολογίᾳ. διὸ μετ' ἐκεῖνον οἰκεῖόν ἐστιν καὶ περὶ ταύτης διαλαβεῖν. γίνεται τοίνυν ἡ ἠχὼ κατὰ ἀνάκλασιν (20) A

οὖν ὁ ὑπὸ τοῦ φωνήσαντος πληγεὶς ἀὴρ καὶ ψοφῶν διελὼν τῇ φορᾷ καὶ 1 4v
κωλυθεὶς ὑπ' αὐτοῦ συνεχοῦς ὄντος καὶ ἡνωμένου διασκεδασθῆναι προσπταίει
τῷ σκληρῷ σώματι καὶ μὴ δυνάμενος πρόσω χωρῆσαι ἀντανακλᾶται
εἰς τοὐπίσω μετὰ τῆς οἰκείας ἐνεργείας, λέγω δὴ τοῦ ψόφου, καὶ οὕτω 6
5 συμβαίνει παλινδρομεῖν τὸν ψόφον. δεῖ δὲ νομίζειν, ὡς Ἀλεξάνδρῳ δοκεῖ,
οὕτω γίνεσθαι τὴν ἠχώ, οὐχ ὡς πάντως αὐτοῦ τοῦ πληγέντος πρῶτον
ἀέρος φερομένου μέχρι τοῦ ἀγγείου, καὶ πάλιν αὐτοῦ τούτου ἀνακλωμένου
μέχρι τοῦ πλήξαντος, ἀλλ' ὅτι ὁ μὲν πρῶτος ἀὴρ πληγεὶς διὰ τὸ τάχος
τῆς πληγῆς συνεχὴς καὶ ἀδιαίρετος μείνας τὸν μετ' αὐτὸν σχηματίζει τῇ
10 ὁμοίᾳ πληγῇ, ὡς αὐτὸς ὑπὸ τῆς πληγῆς ἐσχηματίσθη, οὗτος δὲ πάλιν τὸν 10
μετ' αὐτόν, καὶ οὕτω κατὰ συνέχειαν ἡ πρόοδος μέχρι τοῦ ἀγγείου γίνεται.
μέχρι γὰρ ἂν ἰσχυροτέρα ἡ διαδιδομένη πληγὴ ὑπάρχῃ τῆς θρύψεως τοῦ
ἀέρος, μέχρι τότε μένει ἄλλος παρ' ἄλλου σχηματιζόμενος. ὁ δὴ τελευ-
ταῖος πρὸς τὸ ἀγγεῖον πληγείς τε καὶ σχηματισθεὶς καὶ κωλυθεὶς εἰς τὸ
15 πρόσω διαδοῦναι τὴν πληγὴν ὑπὸ τοῦ ἀγγείου ἀνάπαλιν ὑπὸ τῆς τοῦ
στερεοῦ ἀντιτυπίας ἀπωσθεὶς ὥσπερ σφαῖρα ἀπὸ στερεοῦ τινος τὸν ἐπὶ
τάδε αὐτοῦ πάλιν ἔπληξε καὶ ἐσχημάτισε, καὶ οὕτως ἡ διάδοσις πάλιν 15
ἐπὶ ταῦτα τῆς τε πληγῆς καὶ τοῦ ψόφου γίνεται. ἔναρθρος δὲ ἡ ἠχὼ
γίνεται. ἐπειδὴ ὁ πρῶτος ὑφ' ἡμῶν διαλεγομένων πληττόμενος ἀὴρ πρῶ-
20 τος καὶ ἀνακλᾶται φέρων εἰς ἡμᾶς πάλιν τῆς πρώτης λέξεως τὴν ἠχώ,
καὶ ὁ δεύτερος τῆς δευτέρας, καὶ οὕτως ἡ τάξις τῆς διαλέκτου φυλάττε-
ται. ἐντεῦθεν πιθανῶς ἔστι συλλογίσασθαι καὶ τὸ ἐπὶ τοῦ κατὰ τὰς ἐνερ-
γείας τῶν ὁρατῶν. ἠπορεῖτο γὰρ πῶς οἷόν τέ ἐστιν ἀσωμάτων οὐσῶν
τῶν ἐνεργειῶν τῶν ὁρατῶν ἀνακλάσεις ὑποτίθεσθαι· τίς γὰρ ἂν εἴη ἀσω- 20
25 μάτου ἀνάκλασις; εἰ τοίνυν ὁ ψόφος ἐνέργειά τίς ἐστι τοῦ ἀέρος καὶ
τελείωσις τοῦ ἐν αὐτῷ διηχοῦς, αὕτη δ' ἡ ἐνέργεια σαφῶς ἀνακλᾶται,
ὅταν λείῳ τε καὶ κοίλῳ προσπέσῃ, ὡς ἐπὶ τῆς ἠχοῦς (οὐδεμία γὰρ ἐν-
ταῦθα ἀμφιβολία ὡς ἀνάκλασις γίνεται). τί ἀδύνατον τὸ αὐτὸ τοῦτο καὶ
ἐπὶ τῶν ἐνεργειῶν τῶν ὁρατῶν συμβαίνειν; φημὶ δὲ πρὸς τοῦτο ὅτι, εἰ
30 καὶ ὁ ψόφος ἀνακλᾶται, ἀλλ' οὐκ αὐτὸς καθ' αὑτόν, ἀλλὰ μετὰ τοῦ 25
οἰκείου ὑποκειμένου, λέγω δὴ τοῦ ἀέρος· τοῦτο γὰρ ἐλέγετο ὅτι διὰ τοῦτο
μάλιστα ἀπὸ τῶν κοίλων ἡ ἠχὼ γίνεται, ὅτι μὴ σκεδαννύμενος ἀλλὰ
συνέχειαν φυλάττων διὰ τὸ περιέχον ὁ ἀὴρ ἀνακλᾶται· τὰς μέντοι τῶν
ὁρατῶν ἐνεργείας αὐτὰς καθ' αὑτὰς ἄνευ ὑποκειμένου ἀνακλᾶσθαί φασι.
35 μήποτε δὲ οὐδὲ ἐπὶ τῶν ψόφων ἀληθὲς τὸ αὐτὸν ἀνακλᾶσθαι τὸν ψοφοῦντα
ἀέρα. ὁρῶμεν γὰρ ὅτι οὐ μόνον οἱ κατ' εὐθεῖαν ὄντες τῶν ἀφ' ὧν ἡ
ἀνάκλασις ἀκούουσι τῆς ἠχοῦς, ἀλλὰ καὶ οἱ ἐκ πλαγίων. εἰ οὖν μὴ οἷόν
τε πανταχοῦ τὸν ἀέρα ἀθρόως ἀπιέναι, θρυφθεὶς δὲ οὐκέτ' ἂν ἐψόφει, 30

1 φορᾷ A: φθορᾷ Dt 2 προσπταίει A: προσπταίς Dt 12 ὑπάρχῃ A-Dt: ὑπάρχει A¹t
14 καὶ (ante κωλυθεὶς) om. D 16. 17 ἐπὶ τάδε A: ἔπειτα δὲ Dt 17 οὕτως ἡ AD:
οὕτω μὲν t 18 ταῦτα Dt: ταῦτὰ A 22 τὸ om. t κατὰ τὰς A: post κατὰ
add. ταύτας Dt 24 εἴη om. t 29 συμβαίνει t 31 ἐλέγετο A: ἔλεγε τὸ Dt
32 γίνεται A: γάρ ἐστι Dt 34 φασι A: φησι Dt 35 αὐτὸν A: αὐτὸ Dt

μήποτε κἀνταῦθα μόνης τῆς ἐνεργείας, λέγω δὴ αὐτοῦ τοῦ ψόφου, ἡ ἀνά- 14ᵛ
κλασις γίνεται. εἰ γὰρ ὅλως μὴ φοιτῶντος πρὸς τὸ αἰσθητήριον τοῦ πληγέντος ἀέρος κατὰ τοῦ ὕδατος δύντων διαβιβάζονται οἱ ψόφοι ἐπὶ τὰ αἰσθητήρια, δῆλον δήπου ὅτι καὶ ἐπὶ τὸ λεῖον ἢ κοῖλον ᾧ προσέπεσεν οὐ
5 μετὰ τοῦ πληγέντος ἀέρος ἥκει, ἀλλ' ὥσπερ ἐπὶ τοῦ φωτὸς ποιά τις ὕλη δεξαμένη τὸ φῶς οἵα τέ ἐστι καὶ αὐτὴ ὁμοίως φωτίζειν τὰ παρακείμενα, καὶ τὴν τοιαύτην ἐνέργειαν ἀντανάκλασιν καλοῦμεν, τί κωλύει τὸ αὐτὸ καὶ 35
ἐπὶ τῶν ψόφων συμβαίνειν; ὅτι δὲ οὐκ ἔστι σῶμα τὸ φῶς, σαφῶς δέδεικται.

p. 419ᵇ27 Ἔοικε δὲ ἀεὶ γίνεσθαι ἠχώ, ἀλλ' οὐ σαφής, ἐπεὶ
10 συμβαίνει γε ἐπὶ τοῦ ψόφου, καθάπερ καὶ ἐπὶ τοῦ φωτός· καὶ γὰρ τὸ φῶς ἀεὶ ἀνακλᾶται.

Ὅτι τοῦ φωτὸς ἡ ἀνάκλασις οὐ μόνον ἀπὸ τῶν λείων, ἀλλὰ καὶ 41
ἀπὸ παντὸς γίνεται σώματος, συντόμως κατασκευάζει ἀπὸ τῆς ἐναργείας τῷ πάντα τόπον πεφωτίσθαι, μὴ μόνον τὸν κατάντικρυς τοῦ ἡλίου τόπον,
15 ἀλλὰ καὶ τὸν ὑπεσταλμένον καὶ σκεπόμενον ὑπό τινος στερεοῦ σώματος, οἷον τὰ ὑπὸ στέγης ἢ τοίχου. εἰ γὰρ μὴ ἐγίνετο ἐν τούτοις μηδεμία φωτὸς ἀνάκλασις ἢ ἀπὸ γῆς ἢ ἀπὸ τοίχου τινός, ἐσκοτισμένα ἔμελλον εἶναι καὶ οὐ πεφωτισμένα. ἀλλ' οὐχ ὁμοία ἡ ἀνάκλασις ἡ ἀπὸ τοῦ τυ- 45
20 χόντος σώματος γινομένη ἢ ἀπὸ ὕδατος ἢ χαλκοῦ ἢ καί τινος τῶν λείων· ἐναργεστέρα γὰρ ἡ ἀπὸ τῶν τοιούτων σωμάτων ἀνάκλασις καὶ ἰσοδυναμοῦσα σχεδὸν τῷ κατὰ πρώτην προσβολὴν τοῦ ἡλίου φωτισμῷ. σκιᾷ γοῦν περιορίζεται τὰ ὑπὸ τοῦ ἡλίου καταλαμπόμενα τῶν λοιπῶν, ὁμοίως δὲ καὶ τὰ ἀπὸ τῶν τοιούτων ἀνακλάσεων· ἐπιπροσθοῦντος γὰρ σώματος τῇ ἀπὸ τῶν τοιούτων σωμάτων ἀνακλάσει τοῦ φωτὸς σκιὰ γίνεται ἐν τῷ
25 ἐπιπροσθουμένῳ μέρει. ἐναργῶς δὲ πρόδηλον τὸ διάφορον τῶν ἀνακλά- 50
σεων καὶ ἐντεῦθεν· εἰ γὰρ ὦσι δύο τόποι, ὁ μὲν ἡλιωμένος ὁ δὲ ἐσκιασμένος κατά τινα ἐπιπρόσθησιν τοίχου, ὅτι μὲν γέγονεν ἀνάκλασίς τις φωτὸς εἰς τὸν ἐσκιασμένον τόπον ἢ ἀπὸ γῆς ἢ ἀπό τινος τοιούτου πρόδηλον ἐκ τοῦ μὴ σκότος εἶναι ἐν αὐτῷ ἀλλὰ φῶς· βραχεῖα μέντοι ἡ ἀνάκλασις,
30 ὡς μὴ σκιὰν ποιεῖν τὰ ἐν τούτῳ ὄντα στερεὰ σώματα· ἐν γὰρ τοῖς ἐσκιασμένοις ἱστάμενοι τόποις σκιὰν οὐ ποιοῦμεν· ἐὰν μέντοι ἐν τῷ ἡλιωμένῳ τόπῳ θῇς ἢ χαλκὸν ἢ ὕδωρ ἢ ὕελον ἤ τι τῶν λείων ἀντιπρόσωπον τῷ ἐσκιασμένῳ | τόπῳ, ὄψει ἑτέραν γινομένην ἐπὶ τὸν ἐσκιασμένον τόπον 15ʳ
ἀνάκλασιν, ὡς καὶ τὸν ἐσκιασμένον λοιπὸν ἡλιοῦσθαι, ὥσπερ καὶ τὸν
35 λοιπόν, καὶ οὕτως ὡς καὶ ὅπερ ἤδη εἶπον σκιὰν ἄλλην δύνασθαι γενέσθαι ἐν αὐτῷ, εἴ τι ἐπιπροσθήσοι. ὥσπερ οὖν, φησίν, ἐπὶ τοῦ φωτὸς ἀπὸ

3 κατὰ τοῦ ὕδατος δύντων scripsi: καὶ τοῦ ὕδατος δύναμιν Dt: ὃς καὶ ψοφεῖ A διαβιβάζονται A: διαβιβάζον D: διαβιβάζοντες t 5 ἥκει A: ἔπη D: ἔπτη t corr. D² 9 ἐπὶ D 10 γε Arist.: εἴ γε Dt 12 Ὅτι—σώματος (13) om. t 13 ἐνεργείας t 14 τῷ] τὸ t 16 τοίχου scripsi: τοίχους ADt 26 ἡλιούμενος t 32 θῇς ἢ scripsi: θῆς A: θήσῃ Dt 34 ἡλιοῦσθαι D

παντὸς μὲν σώματος ἀνάκλασις γίνεται. οὐκ ἀπὸ παντὸς δὲ ὁμοία. ἀλλὰ 1 5ᵉ
τρανὴς μὲν ἡ ἀπὸ τῶν λείων, ἀμυδρὰ δὲ ἡ ἀπὸ τῶν μὴ τοιούτων, οὕτω,
φησί, καὶ ἐπὶ τοῦ ψόφου ἔοικε μὲν ἀπὸ παντὸς τοῦ ἀντιτυπήσαντος ἀνά- 5
κλασις γίνεσθαι, οὐ μὴν ὁμοία οὐδ' οὕτω σαφὴς ὁποία ἐπὶ τῆς ἠχοῦς ἀπὸ
5 τῶν κοίλων ὁμοῦ καὶ λείων γινομένη τόπων διὰ τὰς εἰρημένας αἰτίας. εἰ γὰρ
μὴ εἴη κοῖλον ἀλλ' ἐπίπεδον, σκεδάννυται ὁ ἀὴρ καὶ οὐ πρὸς ἡμᾶς ῥεῖ,
ἀλλὰ διαχεῖται ἢ ὀλίγος φέρεται πρὸς ἡμᾶς. εἰ δὲ μὴ εἴη λεῖον τὸ ἐπί-
πεδον, ἐπὶ πλέον ἀμυδροτέρα ἡ ἀνάκλασις διὰ τὰς εἰρημένας αἰτίας γίνεται.
ἀλλ' οὐχ οὕτως ἀνακλᾶται ὥσπερ ἀφ' ὕδατος ἢ χαλκοῦ ἢ καί
10 τινος ἄλλου τῶν λείων, ὥστε σκιὰν ποιεῖν, ᾧ τὸ φῶς ὁρίζομεν. 10
ἔνθα γὰρ ᾗ πολὺ τὸ φῶς, ἐκεῖ ἐπιπροσθοῦντός τινος σκιὰ γίνεται. ἐν οὖν
τῷ ἄλλῳ μέρει, ἔνθα μήτε ἡ ἀνάκλασις ἀπὸ λείων μήτε αὐτόθεν ἥλιος
ἐλλάμπει, γίνεται μέν τις ἀνάκλασις, οὐ τοσαύτη δὲ ὥστε σκιὰν ποιῆσαι
ἐπιπροσθοῦντός τινος, ὅπερ γίνεται ἐπὶ τῆς ἀπὸ τῶν λείων ἀνακλάσεως.

15 p. 419ᵇ33 Τὸ δὲ κενὸν ὀρθῶς λέγεται κύριον τοῦ ἀκούειν.

Εἰπὼν τὸν ἀέρα τοῦ ψόφου καὶ τοῦ ἀκούειν αἴτιον, καὶ μὴ μόνον,
ἀλλὰ συναίτιον ὡς ὕλην (εἶπε γὰρ τὸν ψόφον πληγὴν εἶναί τινος πρός τι
καὶ ἕν τινι, τοῦ τε πλήττοντος καὶ τοῦ πληττομένου καὶ τοῦ μεταξύ, τὸ
δὲ μεταξὺ τοῦτο τὸν ἀέρα εἶναι) ἔτι δὲ καὶ μέλλων πάλιν τοῦτο δεικνύναι,
20 βούλεται αὐτοῦ τούτου μάρτυρας πάντας τοὺς πρὸ αὐτοῦ φυσικοὺς ἐπαγα- 20
γέσθαι. πάντες γάρ, φησίν, ἔλεγον τὸ κενὸν κύριον εἶναι τοῦ ψόφου·
τοῦτο δέ, φησίν, ὀρθῶς ἔλεγον· τὸν γὰρ ἀέρα κενὸν ἐνόμιζον. ᾗ μὲν οὖν
τὸν ἀέρα κενὸν νομίζοντες κύριον εἶναι λέγουσι τὸ κενὸν τοῦ ψόφου, ὀρ-
θῶς λέγουσιν· ᾗ δὲ τὸν ἀέρα [μὴ] κενὸν ἐνόμιζον, οὐκέτι ὀρθῶς. οὗτος
25 οὖν ὁ ἀὴρ κύριός ἐστι τοῦ ἀκούειν ὡς συναίτιος, ὅταν συνεχὴς ὢν καὶ
εἷς κινηθῇ ὑπὸ τοῦ τύπτοντος καὶ τυπτομένου. συνεχὴς δὲ καὶ εἷς γίνε-
ται, ὅταν λεῖον ᾖ τὸ πλῆττον· ὅλος γὰρ ἅμα κινεῖται. τὸ γὰρ λεῖον ἕν 25
ἐστιν· ὡς ἀπὸ ἑνὸς οὖν καὶ τοῦ αὐτοῦ κινούμενος εἷς ἐστι. τὸ δὲ τραχὺ
οὐχ ἕν· καθ' ἑκάστην γὰρ ἐξοχὴν καὶ ἀνωμαλίαν ἄλλο ἐπίπεδον ἐκβάλλει·
30 εὔθρυπτος οὖν ὢν ὁ ἀὴρ ὅταν ἀπὸ τραχέος ὠθεῖται, οὐχ εἷς μένων
κινεῖται, ἀλλὰ θρυπτόμενος.

p. 420ᵃ3 Ψοφητικὸν μὲν οὖν τὸ κινητικὸν ἑνὸς ἀέρος συνεχείᾳ μέχρις ἀκοῆς.

Ἐπειδὴ μὴ πᾶν ἁπλῶς τὸ τύπτον καὶ τὸ τυπτόμενον ποιεῖ ψόφον, 30
35 ὁρίζεται τί ποτέ ἐστι τὸ ψοφητικόν, ὅτι τὸ δυνάμενον, φησίν, ἕνα καὶ

---

4 ὁποία A: ὁποίαν Dt 7 φέρεται A: om. Dt λεῖον] τέλειον D 8 ἐπὶ πλέον A: ἔτι πλέον Dt 9 οὕτος D 10 ᾧ Dt: ᾗ Arist. 12 ἡ A: om. Dt 17 post ἀλλὰ add. καὶ t 24 μὴ delevi 26 εἷς κινηθῇ scripsi ex Aristotele: εἰ ἐκινήθη Dt 27 ὅλος] ὁ λόγος D 27. 28 ἕν ἐστιν D: ἔνεστιν t

συνεχῆ τὸν ἀέρα τηρῆσαν κινῆσαι μέχρι τῆς ἀκοῆς. τοιοῦτον δέ ἐστι τὸ 15r
τερεὸν καὶ λεῖον διὰ τὰς εἰρημένας αἰτίας. εἰπὼν δὲ κινητικὸν ἑνὸς ἀέρος
προσέθηκε συνεχείᾳ μόνον, οὐχὶ λέγων τῷ ἀριθμῷ. ὥστε συνεχὴ καὶ
ἄθρυπτον διὰ τὴν πληγὴν μεῖναι καὶ τὸ τοιοῦτον ἀποδοῦναι σχῆμα τῷ
5 μετ' αὐτόν, καὶ τοῦτο κατὰ συνέχειαν μέχρι τῆς ἀκοῆς. εἴη δ' ἂν τοῦτο 35
λεγόμενον οὐχ ἁπλῶς περὶ ψόφου, ἀλλὰ τοῦ ἀκουομένου ψόφου, διόπερ
καὶ προσέθηκε μέχρι τῆς ἀκοῆς· δύναται γὰρ καὶ περαιτέρω τῆς ἀκοῆς
κινηθῆναι ὁ ψόφος, ἀλλ' οὐκέτι ὡς ἀκουστός. ταῦτα εἰπών, ἵνα μήτις
νομίσῃ τοῦτο λέγειν αὐτὸν ὅτι μέχρις αὐτῆς τῆς μήνιγγος ἔξωθεν κινούμενος ἀὴρ ἀφικνεῖται, καὶ αὐτός ἐστιν ὁ προσεχῶς κινῶν τὸ αἰσθητήριον,
ἐπήγαγε τὸ ἐφεξῆς ὅτι ἀκοῇ δὲ συμφυὴς ἀήρ. ἔστι γὰρ ἀήρ τις
συμφυὴς ἐγκατῳκοδομημένος ἐν τοῖς κοιλώμασι τῶν ὤτων πρὸς αὐτῇ
τῇ μήνιγγι, ὃς πρῶτος πάσχων ὑπὸ τοῦ ἔξωθεν κινουμένου ἀέρος καὶ 40
δεχόμενος τὰς τῶν ψόφων ἐνεργείας διαπορθμεύει ἐπὶ τὸ πρῶτον αἰσθητικόν. τοῦτο δ' ἔστι τὸ ἀκουστικὸν πνεῦμα τὸ ἐν αὐτῇ τῇ μήνιγγι ἱδρυμένον. αἱ γὰρ αἰσθήσεις ἀπὸ τοῦ ἐγκεφάλου ἀρχόμεναι διὰ τῶν νεύρων
ἄχρι τῶν αἰσθητηρίων προΐασιν. πρόεισιν οὖν καὶ ἡ ἀκουστικὴ δύναμις
μέχρι τῆς ῥίζης τῶν ὤτων, ἃς καλοῦσι μήνιγγας. ἔστι δὲ νεῦρον ἀπὸ
τοῦ ἐγκεφάλου προϊὸν πεπορωποιημένον, ἐν ᾧ πόρῳ ἐστὶ τὸ ἀκουστικὸν
πνεῦμα. ἔστιν οὖν ἀπειλημμένος τις ἀὴρ ἐν τῷ κοιλώματι τῆς ἀκοῆς
συμφυὴς ὢν τῇ μήνιγγι καὶ τῷ ὑμένι. οὗτος οὖν ὁ ἀὴρ δεχόμενος ἐκ 45
τοῦ ἔξωθεν ἀέρος τοὺς ψόφους, ἔχων καὶ αὐτὸς τὴν διηχῆ δύναμιν δι' ἑαυτοῦ ἐπὶ τὴν μήνιγγα διαπορθμεύει τοὺς ψόφους. πρόεισι δ' ἀπὸ πλατυτέρου πόρου ἐπὶ στενότερον, λέγω δὴ τοῦ κοιλώματος τοῦ ὠτὸς μέχρι
τοῦ πόρου τῆς μήνιγγος. οὐ δεῖ δὲ νομίζειν τοῦτον τὸν ἀέρα, εἰ καὶ συμφυής ἐστιν, ἤδη καὶ ἄφθαρτον εἶναι ὡς ἀεὶ ἕνα καὶ τὸν αὐτὸν ἀριθμῷ ὄντα· ἀλλὰ ἔστι κατὰ μέρη φθαρτὸς καὶ γεννητὸς ὥσπερ καὶ τὸ ἄλλο τοῦ ἀνθρώπου σῶμα. εἰ δὲ καθ' ὅλον ἑαυτὸν πάθοι οὗτος ὁ ἀὴρ καὶ φθα- 50
ρείη, ἀπόλλυται καὶ ἡ ἀκουστικὴ τοῦ ζῴου ἐνέργεια· διὰ γὰρ τοῦτο καὶ
ὑπὸ τῆς φύσεως τῆς μήνιγγος προβέβληται, ἵνα δέχηται τὰς τοῦ ἔξωθεν
ἀέρος προσβολάς. καὶ μὴ τῇ μήνιγγι προσβάλλων ὁ ἔξωθεν ἀὴρ φθείρῃ
αὐτήν, ὥσπερ καὶ ἐπὶ τῆς ὄψεως. καὶ γὰρ καὶ ἐπὶ ταύτης κατεσκεύασεν
ἡ φύσις συμφυές τι τῷ ὀφθαλμῷ διαφανές, λέγω δὴ τό τε κρυσταλλοειδὲς ὑγρὸν καὶ ἁπλῶς τὰ ὑγρὰ καὶ τὸν κερατοειδῆ χιτῶνα, ἅπερ διαφανῆ
ὄντα καὶ πρῶτα δεχόμενα τὴν τοῦ ἔξωθεν διαφανοῦς ἐνέργειαν δι' ἑαυ- 15v
τῶν διαπορθμεύουσι ταύτην ἐπὶ τὸ ὀπτικὸν νεῦρον, ἐν ᾧ τὸ ὀπτικὸν πνεῦμα,

3 μόνον, οὐχὶ scripsi coll. A: μονονουχὶ Dt 4 μεῖναι A: ////εἶναι D: εἶναι t
6 post ἀλλὰ add. καὶ t 8 ἀκουστόν t 9 ὅτι scripsi: τὸ Dt 17 τῶν αἰσθητηρίων — μέχρι (18) A Suid. s. v. Μήνιγξ: om. Dt 19 πόρρω t ἀκουστικὸν t: ὀπτικὸν AD 24 στενότερον ADt (v. Choerob. in B. An. III p. 1286) 26 αὐτόν] ὸν ex corr. D 30 δέχεται t 31 μὴ om. D

2 αἰτίας. ἕνα δὲ ἀέρα φησὶν οὐ τῷ ἀριθμῷ ἀλλὰ τῇ συνεχείᾳ μόνον, ὥστε (3) A

ὅπερ νεῦρον κατιὸν ἀπὸ τοῦ ἐγκεφάλου τελευτᾷ μέχρι τῆς ἀρχῆς τοῦ 15v
κρυσταλλοειδοῦς. ὥσπερ οὖν ἐπὶ τῆς ὄψεως εἰ πάθοι τὰ προβλήματα
ταῦτα ἢ ἕν τι αὐτῶν, φθείρεται ἡ τῆς ὄψεως ἐνέργεια, οὕτω καὶ ἐπὶ
τῆς ἀκοῆς εἰ τὸ ἀερῶδες τοῦτο πρόβλημα φθαρῇ, φθείρεται ἡ ἀκουστικὴ
5 ἐνέργεια παθούσης τῆς μήνιγγος τῷ ἀμέσως δέχεσθαι τὰς τοῦ ἔξωθεν 5
ἀέρος προσβολάς. διὸ καὶ ὑπὸ μεγάλων ψόφων πάσχει ἡ ἀκοή, τοῦ ἔξω-
θεν ἀέρος σφοδρῶς ὠθουμένου καὶ τῇ βίᾳ ὠθοῦντος τὸν ἐν τοῖς ὠσὶ
συμφυὰ ἀέρα καὶ πολλάκις διασκεδαννύντος αὐτόν. διά τε οὖν τοῦτο ἡ
φύσις ἐγκατῳκοδόμησε τοῖς ὠσὶ τοῦτον τὸν ἀέρα καὶ διὰ τὰς περισταται-
10 κὰς τοῦ ζῴου ἐνεργείας, οἷον τὰς ἐν τοῖς ὕδασι καταδύσεις· εἰ γὰρ μὴ ἦν
οὗτος, ἐν ταῖς καταδύσεσιν ἤμελλε τὸ ὕδωρ αὐτῷ προσπελάζειν τῷ
αἰσθητηρίῳ καὶ βλάπτειν, ἢ εἴ τι καὶ ἐπινενόηται πρόβλημα ὑπὸ τῆς
φύσεως διὰ τὸ μὴ εἰσιέναι τὸ ὕδωρ, οὐκ ἂν ἤκουσε τὸ ζῷον ὑποβρύχιον 10
ὂν μὴ ὄντος τοῦ διηχοῦς τοῦ μέχρι τοῦ αἰσθητηρίου διαβιβάζοντος τοὺς
15 ψόφους. εἰς φυλακὴν οὖν τοῦ αἰσθητηρίου ἐγκατῳκοδόμηται· διὰ τοῦτο
δὲ καὶ ἑλικοειδεῖς ἐποίησεν ἡ φύσις τοὺς πόρους τῶν ὤτων, ἵνα μὴ
ῥᾳδίως εἰσιόντα ἢ τὸ ὕδωρ ἢ ὁ ἀὴρ ἢ ἄλλο τι πλήξῃ τὴν μήνιγγα.

p. 420a4 Διὰ δὲ τὸ ἐν ἀέρι εἶναι κινουμένου τοῦ ἔξω τὸ εἴσω κινεῖται.

20 Τουτέστι διὰ τὸ τὸν ἐγκατῳκοδομημένον συμφυᾶ τῇ ἀκοῇ ἀέρα
συνεχῆ εἶναι τῷ ἔξω ἀέρι (τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ ἐν ἀέρι εἶναι)
κινουμένου τοῦ ἔξω ἀέρος κατὰ συνέχειαν καὶ ὁ ἐντὸς κινεῖται ἀκίνητος
ὢν καθ' αὑτὸν ὡς συμφυής. ἴσως δὲ οὐ λέγει κινεῖσθαι αὐτὸν κατὰ
τόπον (καὶ γὰρ ἀκίνητον αὐτόν φησιν ἐφεξῆς) ἀλλὰ κατὰ τὸ διακομίζειν 20
25 τοὺς ψόφους· κατὰ τοῦτο * * κινουμένου διακομίζει καὶ ὁ ἐντὸς ὡς συνεχὴς
ὢν τῷ ἔξω. καὶ τοῦτο αἴτιόν φησι τοῦ μόνον κατὰ τὰ ὦτα ἡμᾶς ἀκού-
ειν, καὶ μὴ διὰ παντὸς μορίου τοῦ σώματος, διότι ἐν μόνοις τοῖς ὠσίν
ἐστιν συμφυὴς ἀὴρ ἐναπειλημμένος καὶ συνεχὴς πρός τε τὸν ἔξω ἀέρα
καὶ πρὸς τὸ ἀκουστικὸν αἰσθητήριον, ὡς δύνασθαι δι' ἑαυτοῦ διαδιδόναι
30 τὸ ἐν τῷ ἔξω ἀέρι γενόμενον πάθος. ὥσπερ οὖν τὸ ὀπτικὸν πνεῦμα οὐ
πανταχόθεν ἔχει ὑγρὸν διακομίζον αὐτῷ τὰς ἐν τῷ ἀέρι τῶν χρωμά- 25
των ἐνεργείας (οὐδὲ γάρ ἐστιν ἐπὶ τὸν τένοντα κρυσταλλοειδὲς ἢ ἄλλο τι
τῶν τοιούτων συνεχὲς τῷ ἀέρι καὶ τῷ ὀπτικῷ νεύρῳ, ἀλλὰ σῶμα ἕτερον
παχὺ καὶ ἀντιφρακτικόν. διὸ οὐχ ὁρῶμεν ὄπισθεν), οὕτως ἐπεὶ οὐ παντα-
35 χόθεν ἔστι τις ἀὴρ συμφυὴς ἐναπειλημμένος καὶ συνεχὴς τῷ τε ἔξω ἀέρι
καὶ τῷ ἀκουστικῷ μορίῳ, ἀλλ' ἐν μόνοις τοῖς ὠσί, διὰ τοῦτο οὐκ ἀκούο-
μεν δι' ἄλλου μορίου. ὅτι δέ ἐστιν ὁ συμφυὴς ἐν τοῖς κοιλώμασι τῶν

2 πάθοι] πάθος t 10. 11 εἰ γὰρ — καταδύσεσιν A Suid.: om. Dt 11 αὐτῶν t
14 τὸ διηχοῦς D 19 κινεῖται D Arist. EUXy: κινεῖ t Arist. vulg. 25 lacunam indicavi: fort. excidit γὰρ τοῦ ἔξω κινούμενον t 31 ἔχει τὸ ὑγρὸν t 34 ἀντιφρακτικόν scripsi: ἀντιφρατικόν Dt

ὤτων ἀήρ, δῆλον ἐντεῦθεν. ἐὰν γάρ τις τῷ δακτύλῳ ἐμφράξῃ τὰ ὦτα, 15v
αἰσθήσεται ἤχου τινὸς καὶ κινήσεως τοῦ ἐντὸς ἀέρος. γίνεται δὲ τοῦτο 30
τὸ πάθος τοῦ ἔξωθεν περὶ τὰ ὦτα ἀέρος τῷ δακτύλῳ ὠθουμένου καὶ
πιλουμένου εἰς βραχύτερον τόπον καὶ πιλοῦντος τὸν συμφυῆ ἀέρα. καὶ τῇ
5 βίᾳ τῆς πιλήσεως κινούμενος προσκρούει τοῖς ἐντὸς σώμασι χονδρώδεσιν
οὖσι καὶ σκληροῖς, καὶ οὕτω ποιεῖ τὸν ψόφον. καὶ μέγα φησὶ σημεῖον
εἶναι τοῦ ὑγιαίνειν τὸ οὖς τὸ ἠχεῖν τὸν ἐντὸς ἀέρα· εἰ γὰρ μὴ ὑγίαινεν,
οὐκ ἂν ἠσθάνετο τοῦ γινομένου ὑπὸ τοῦ ἐντὸς ἀέρος ψόφου. οὐ γὰρ
πάντῃ ἔχει ἀέρα τὸ κινησόμενον μέρος καὶ ἔμψυχον, ὥσπερ ἡ 35
10 κόρη τὸ ὑγρόν. ὥσπερ τῆς κόρης τὸ ὑγρὸν προβέβληται, ὥστε δι' αὐτοῦ
ἀντιλαμβάνεσθαι τῶν ὁρατῶν (κόρην δὲ λέγοι ἂν οὐ τὸ τρῆμα τὸ ἐν τῷ
ῥαγοειδεῖ χιτῶνι· ἐσωτέρω γὰρ τούτου ἔστι τὰ ὑγρά· ἀλλὰ τὸν πόρον τοῦ
ὀπτικοῦ νεύρου, δι' οὗ τὸ ὀπτικὸν πνεῦμα ἕξεισιν), οὕτως καὶ τοῦ ἀκουστι-
κοῦ αἰσθητηρίου προβέβληται ὁ συμφυὴς ἀήρ. ἐπεὶ οὖν τὸ ἔμψυχον καὶ
15 ἀκουστικὸν μόριον, λέγω δὴ ἡ μῆνιγξ, μὴ πανταχόθεν ἔχει συμφυῆ ἀέρα
συνεχῆ ὄντα ἑαυτῇ τε καὶ τῷ ἔξω ἀέρι, ἀλλὰ μόνον κατὰ τὰ ὦτα, διὰ 40
τοῦτο οὐ πανταχόθεν ἀκουστικὸν τὸ ζῷον, ἀλλὰ μόνον διὰ τῶν ὤτων.

p. 420a7 Αὐτὸ μὲν δὴ ἄψοφον ὁ ἀὴρ διὰ τὸ εὔθρυπτον· ὅταν δὲ κωλυθῇ θρύπτεσθαι, ἡ τούτου κίνησις ψόφος.

20 Καὶ ἀρχόμενος εἶπεν ὅτι ὥσπερ τὸ χρώματος δεκτικὸν ἄχρουν ἐστίν, οὕτω καὶ ἄψοφον τὸ ψόφου δεκτικόν. ἀλλ' οὐ πᾶν ἄψοφον ψόφου δεκτικόν, ἀλλὰ τὸ τοιοῦτον οἷον ὁ ἀήρ. καὶ τὴν αἰτίαν, διὰ τί ἄψοφος, προσέ- 45
θηκε· διὰ γὰρ τὸ εὔθρυπτος εἶναι, φησί, ἄψοφός ἐστιν. ὅταν δὲ κω-
λυθῇ κατὰ τὴν οἰκείαν φύσιν θρύπτεσθαι ὑπό τινος λείου καὶ στερεοῦ
25 πληγῆς ἀθρόας, τότε ἡ τούτου κίνησις ψόφος γίνεται. σαφῶς δὲ ἐν τού-
τοις τὸν ψόφον εἶπε κίνησιν ἀέρος εἶναι συνεχοῦς καὶ ἑνὸς μεμενηκότος,
κεκωλυμένου θρυφθῆναι διὰ ποιὰν πληγήν.

p. 420a9 Ὁ δ' ἐν τοῖς ὠσὶν ἐγκατῳκοδόμηται πρὸς τὸ ἀκίνητος εἶναι.

30 Ὥσπερ ὁ ἔξω ἀὴρ καθ' αὑτὸν ἄψοφος διὰ τὸ εὔθρυπτον, οὕτω καὶ
ὁ ἐντὸς διὰ τὸ ἀκίνητος εἶναι. εἶπε γὰρ τὴν τοιάνδε κίνησιν τοῦ ἀέρος
ψόφον εἶναι· διὰ τοῦτο οὖν ὁ ἐν τοῖς ὠσὶν ἀκίνητος κατεσκεύασται, ἵνα
ἄψοφος ὢν καὶ πάντων εἴη τῶν ψόφων διαπορθμευτικός· εἰ γὰρ εἶχεν
οἰκεῖον ψόφον, ἐξέκρουεν ἂν τὸν ἔξωθεν. ὥστε καὶ αὕτη ἂν εἴη ἡ αἰτία
35 τοῦ τὸν ἐν τοῖς ὠσὶν ἀέρα ἐγκατῳκοδομῆσθαι ἀκίνητον ὄντα. ἵνα πάν- 16
τας δύνηται διαβιβάζειν τοὺς ψόφους. εἰ γὰρ ἐκινεῖτο, εἶτα ὑπὸ πληγῆς

3 τὸ om. t 9. 10 ὥσπερ — ὑγρόν Dt Arist. W et mg. U: om. Arist. vulg. 15 λέγω δὲ t 17 ἀκουστὸν t 32 post ὠσὶν add. διὰ τί ἀκίνητος ὁ ἐν τοῖς ὠσὶν t κατεσκεύασθαι t 34 αὕτη scripsi: αὐτὴ Dt

κινηθεὶς ἐψόφησε, πρὸς τῷ ὅπερ πρόσθεν εἶπον λυμαίνεσθαι τὸ αἰσθητή- 1 6r
ριον, οὐδὲ πάντων οἷός τε ἦν τότε τῶν ψόφων διαβιβαστικὸς εἶναι· καὶ γὰρ
ὁ ἔξω ἀὴρ ἐπειδὰν ψοφήσῃ, οὐκέθ' ὁμοίως τοὺς ἐν ἄλλῳ ἀέρι γενομένους
διαβιβάζει ψόφους. ἀλλὰ συγχεῖ.

5 p. 420a 11 Διὰ ταῦτα δὲ καὶ ἐν ὕδατι ἀκούομεν, ὅτι οὐκ εἰσέρ- 5
χεται πρὸς αὐτὸν τὸν συμφυῆ ἀέρα.

Ὅτι τὸ ἀκούειν γίνεται οὐ κατ' εἴσοδον τοῦ ἐκτὸς ἀέρος εἰς τὸ οὖς,
ἀλλὰ κατὰ ἁφὴν τὴν πρὸς τὸν ἐγκατῳκοδομημένον ἀέρα ἐν τοῖς ὠσί,
τεκμήριον τὸ καὶ ἐν ὕδατι ἀκούειν ἡμᾶς οὐκ εἰσιόντος τοῦ ὕδατος εἰς
10 τὸ οὖς. εἰ γὰρ εἰσέλθοι, φθείρει μὲν καὶ ἐξωθεῖ τὸν ἐγκατῳκοδομημένον
ἀέρα, ὃς ὑπηρετεῖ τῇ ἀκοῇ, ἀμέσως δὲ τῆς μήνιγγος ἁπτόμενον βλάπτει
αὐτὴν τῇ πληγῇ (καὶ προσέτι ἐναπομένον ἐν ταῖς κοιλότησι φθείρεται 10
καὶ ταύτῃ βλάπτει τὸ αἰσθητήριον· πολλοὶ γοῦν ἐντεῦθεν ἐβλάβησαν), καὶ
ταύτης βλαπτομένης συμφθείρεται καὶ ἡ αἴσθησις. ὥσπερ οὖν ἐν τῷ
15 ὕδατι ὄντες ἀκούομεν οὐκ εἰσιόντος τοῦ ὕδατος, ἀλλὰ κατὰ τὴν διηχῆ
αὐτοῦ δύναμιν διαπορθμεύοντος τοὺς ψόφους μέχρι τοῦ συμφυοῦς ἀέρος.
κἀκείνου λοιπὸν μέχρις αὐτῆς τῆς μήνιγγος, οὕτω καὶ ἐν ἀέρι ὄντων ἡμῶν
τὸ ἀκούειν γίνεται τοῦ ἔξωθεν ἀέρος ἐφαπτομένου τοῦ συμφυοῦς καὶ δια-
διδόντος τοὺς ψόφους ἐπὶ τὴν μήνιγγα. καὶ αὐτὸ δὲ τοῦτο τεκμήριον
20 μέγιστον τοῦ εἶναί τινα ἀέρα οἱονεὶ συμπεφυκότα τῇ μήνιγγι, τὸ καὶ ἐν 15
ὕδατι ὄντων μὴ εἰσιέναι ὕδωρ εἰς τὸ οὖς ἄνευ πολλῆς πάνυ βίας, διὰ τὸ
ἐξωθεῖσθαι αὐτοῦ τὴν εἴσοδον ὑπὸ τοῦ ἐντὸς ἀέρος (καὶ δεῖ πολλῆς βίας,
ἵνα ἐξακοντισθῇ τὸ ἐντὸς ὕδωρ ἤ τι τοιοῦτον ὑγρόν), ἅμα συμβαλλομένης
πρὸς τὸ μὴ ἐξωθεῖσθαι ὑπὸ τῶν ἔξωθεν εἰσιόντων τὸν ἐντὸς ἀέρα καὶ
25 τῆς σκολιᾶς κατασκευῆς τοῦ ὠτός. καὶ αὐτὸς γοῦν τὴν αἰτίαν τοῦ μὴ
εἰσιέναι τὸ ὕδωρ εἰς τὸ οὖς ἐπήγαγεν εἰπών·

p. 420a 12 Ἀλλ' οὐδ' εἰς τὸ οὖς διὰ τὰς ἕλικας.

Οὐ γὰρ μόνον, φησίν, οὐκ ἐξωθεῖ τὸν ἐγκατῳκοδομημένον ἀέρα εἰσιὸν τὸ
ὕδωρ, ἀλλ' οὐδὲ εἰς τὸ οὖς αὐτὸ εἴσεισι διὰ τὰς ἐν αὐτῷ καμπάς, ἅμα
30 τὴν αἰτίαν ἡμᾶς διὰ τούτων διδάσκων τοῦ τοιοῦτον ὑπὸ τῆς φύσεως γενέ-
σθαι τὸ οὖς, ἵνα μηδὲν ῥᾳδίως ἐπεισιὸν λυμαίνηται τὸν ἐγκατῳκοδομη-
μένον ἐν αὐτῷ ἀέρα. οὐδ' ἂν ἡ μῆνιγξ, ὥσπερ τὸ ἐπὶ τῇ κόρῃ 25
δέρμα ὅταν κάμῃ. κόρην καλεῖ ἤτοι τὰ ὑποκείμενα αὐτῇ μόρια ἢ τὰ
προβεβλημένα, ταῦτα δέ ἐστιν οἵ τε χιτῶνες καὶ τὰ ὑγρά. ὥσπερ οὖν,
35 ὅταν τι τούτων κάμῃ, οὐχ ὁρῶμεν, οὕτω καὶ ὅταν ἡ μῆνιγξ ἀπό τινος νόσου

1 τῷ scripsi: τὸ Dt 3 post ἔξω add. εἴδη (volebat ἤδη) t 5. 6 ἐπέρχεται D
10 εἰσέλθοι AD: εἰσέλθη t 11 ἀμέσως δὲ] ἄμεσον t 16 τοὺς ψόφους scripsi: τοῦ
ψόφου ADt 20 τὸ] τοῦ A 23 ἐξακοντισθῇ A: ἐξακοντίσῃ Dt 32 post
μῆνιγξ add. κάμῃ Arist.

κάμῃ, οὐκ ἀκούομεν. ἢ καὶ ἁπλούστερον κόρην ἀκουστέον κατὰ τὸ σύνη- I 6r
θες αὐτὸ τὸ τρῆμα τοῦ ῥαγοειδοῦς, τὸ δὲ ἐπὶ ταύτῃ δέρμα τὸν κερατο-
ειδῆ καλούμενον χιτῶνα. ὥσπερ οὖν, ὅταν ὁ χιτὼν οὗτος κάμῃ ἢ παχυν- 30
θεὶς ἢ ἄλλως οὐλῶν τινων ἐκ τραυμάτων ἐνσκιρωθεισῶν ἐν αὐτῷ, συμ-
5 βαίνει μὴ ὁρᾶν, μηκέτι τῶν ἐνεργειῶν τῶν ὁρατῶν διαβῆναι δι' αὐτοῦ
δυναμένων διὰ τὸ ἀπολέσαι αὐτὸν τὴν διαφάνειαν, οὕτω καὶ ὅταν ἡ μήνιγξ
κάμῃ πεπονθυῖά τι ὑπὸ χρόνου ἢ ὑπὸ νόσου, οὐκέτι δέξασθαι τὰς τῶν
ψόφων ἐνεργείας δύναται.

p. 420a15 Ἀλλὰ καὶ σημεῖον τοῦ ἀκούειν ἢ μὴ τὸ ἠχεῖν ἀεὶ
10 τὸ οὖς ὥσπερ τὸ κέρας.

Ἐπειδὴ εἶπεν ὅτι ἐὰν ὁ συμφυὴς ἀὴρ ἢ ἡ μήνιγξ πάθῃ τι, οὐκ 35
ἀκούομεν, συμβαίνει δὲ πολλάκις καὶ μηδενὸς τούτων ὄντος δυσκωφεῖν
τινας, οἷον ὅταν ῥύπος τις προβεβλημένος τοῦ συμφυοῦς ἀέρος κωλύσι
ἀνεμποδίστως διαδοθῆναι ὑπὸ τοῦ ἔξωθεν ἀέρος τὸν ψόφον διὰ τὸ μὴ
15 ἔχειν τὴν γῆν τὸ διηχές, ἤ τι ἄλλο τῶν τοιούτων συμβῇ, λέγει οὖν ὅτι
κριτέον εἰ ὑγιαίνει τὸ ἀκουστικὸν ἢ μὴ ἐπιφραξάντας τῷ δακτύλῳ τὸ οὖς
ἢ τῇ χειρὶ τὸ οὖς ἐπιπωμάσαντας. εἰ μὲν γὰρ ὑγιαίνει, αἰσθανόμεθά
τινος βόμβου· ἡ γὰρ πίλησις τοῦ δακτύλου ⟨ἢ⟩ τῆς χειρὸς ὠθεῖ ἔξωθέν 40
τινα ἀέρα, ὃς στενούμενος καὶ προσκρούων τῷ συμφυεῖ ποιεῖ τὸν βόμβον·
20 εἶτα ὁ συμφυὴς κατὰ τὸ εἰωθὸς διαπορθμεύει τοῦτον τὸν βόμβον ἐπὶ τὴν
αἴσθησιν. ὥσπερ, φησί, καὶ ὁ ἐν τοῖς κέρασι τοῖς κοίλοις ἐναπειλημμένος
ἀὴρ ἀεὶ καὶ αὐτὸς ἠχόν τινα κινούμενος ποιεῖ, ὅταν κινῆται ὑπὸ τοῦ
ἔξωθεν ἀέρος φυσῶντος καὶ κινούμενος πλήττῃ τὸ κέρας, οὕτως οὖν καὶ
ὁ ἐν τοῖς ὠσίν, ὅταν κινηθῇ ὑπὸ τοῦ ἔξωθεν ψόφου. τοῦτο δ' εἴρηται
25 ὡς δεικτικὸν τοῦ εἶναί τινα ἐν τοῖς ὠσὶν ἀέρα ἴδιον (οὗτος γάρ ἐστιν ὁ
τοῦ ἔξωθεν ψόφου δεκτικός), ὃς ὅταν πάθῃ τι, ἅτε δὴ μὴ κινούμενος τὴν 45
οἰκείαν κίνησιν οὐ διαπορθμεύει εἰς τὴν αἴσθησιν τοὺς ἤχους, κἀντεῦθεν
τὸ μὴ ἀκούειν. ζητοῦσι δὲ εἰκότως ὅτι πῶς εἰπὼν ἀκίνητον εἶναι τὸν ἐν
τοῖς ὠσὶν ἐγκατῳκοδομημένον ἀέρα νῦν λέγει ὅτι ἀεὶ οἰκείαν τινὰ κίνησιν
30 κινεῖται ὁ ἀὴρ ἐν τοῖς ὠσίν. ἀκίνητον οὖν ἄνω ληπτέον τὴν ὑπ' ἄλλου
κίνησιν ἀντὶ τοῦ τὸν αὐτὸν ἀεὶ μένοντα ἐν τοῖς ὠσὶν καὶ μὴ μεθιστά-

14 ἔξωθεν] ἔξω t 17 ὑγιαίνει A: ὑγιαίνοι Dt 18 ἢ addidi 21 ὁ ἐν A: ὁ om. Dt ἐναπειλημμένος A: ἀπειλημμένος Dt 22 κινεῖται D 23 φυσῶντος scripsi: φυσῶν ὃς A: φυσῶν ὁ D: φυσῶν γὰρ t 25 δεικτικὸν scripsi: δεκτικὸν ADt 26 ὃς om. D 29 ἀεὶ om. t 31 post ἀεὶ add. ἀέρα t

29 κίνησιν κινεῖται. ἀλλ' ἔστιν εἰπεῖν ὅτι νῦν ἀπὸ μέρους λέγει κινεῖσθαι, ὅπερ οὐκ ἔστιν κυρίως κίνησις. τῇ γὰρ ἀληθείᾳ οὐ κινεῖται τὸ πνεῦμα· οὔτε γὰρ κατ' εὐθὺ κινεῖται (τοῦτο γὰρ οὐχ ὑποπίπτει αἰσθήσει) οὔτε κύκλῳ· ἦν γὰρ ἄφθαρτον· τὰ γὰρ κύκλῳ κινούμενα ἄφθαρτα· ὥστε οὐδ' ὅλως κινεῖται. πῶς οὖν ἔφησεν αὐτὸν νῦν μὲν κινεῖσθαι, ἐκεῖ δὲ ἀκίνητον εἶναι; ἢ ἀκίνητον ἄνω ληπτέον (30) A

μενον μηδὲ ἄλλοτε ἄλλον γινόμενον, ὥσπερ τὸν ἐν τοῖς κέρασι τοῖς κοίλοις, 16r
ἀλλ' ἀεὶ μένοντα συμφυῆ. ὅτι δὲ ὁ ἀὴρ κινεῖταί τινα οἰκείαν κίνησιν,
δῆλον ἐκ τοῦ καὶ ἐν ταῖς νηνεμίαις τὰ ξύσματα φαίνεσθαι κινούμενα ἐν
τῷ διὰ τῶν θυρίδων ἡλίῳ. δυνατὸν δὲ καὶ κινεῖσθαι λέγειν τὸν συμφυῆ
5 ἀέρα μὴ κατὰ τόπον ἀλλὰ ζωτικῶς, κίνησιν αὐτοῦ λέγοντος τὴν διαπόρθ-
μευσιν τῶν ψόφων ἐπὶ τὴν αἴσθησιν. καὶ αὕτη ἐστὶν ἡ οἰκεία κίνησις
αὐτοῦ, οὐ τὸ διαπορθμεύειν ἁπλῶς (τοῦτο γὰρ καὶ ὁ ἔξω ἀὴρ ἔχει), ἀλλὰ
τὸ ἐπὶ τὴν αἴσθησιν διαπορθμεύειν. ὅταν οὖν ὁ μὲν συμφυὴς ἀὴρ συνή-
θως ἀπαγγέλλῃ τῇ αἰσθήσει | τοὺς ψόφους, ἡ δ' αἴσθησις ἀντιλαμβάνη- 16v
10 ται, πρόδηλον ὡς τὸ ἀκουστικὸν ὑγιαίνει.

p. 420a17 Ἀλλ' ὁ ψόφος ἀλλότριος καὶ οὐκ ἴδιος. καὶ διὰ τοῦτό φασιν ἀκούειν τῷ κενῷ καὶ ἠχοῦντι, ὅτι ἀκούομεν τῷ ἔχοντι ὡρισμένον ἀέρα.

Ὁ γὰρ ψόφος ὁ γενόμενος ἐν τοῖς ὠσὶν οὐ τοῦ συμφυοῦς ἐστιν ἀέρος, οὐδ'
15 ὅταν φραξάντων ἡμῶν τὸ οὖς βόμβος γένηται, ἀλλὰ τοῦ ἔξωθεν ἀέρος ἢ ἔξω- 5r
θεν μετὰ ψόφου εἰσιόντος ἢ ἔσω τῇ πληγῇ ψοφήσαντος· τοῦ δὲ συμφυοῦς
ἐστι τὸ ἀπαγγεῖλαι τὸν γινόμενον ἐν ἄλλῳ ψόφον. οὐ γὰρ ἐπειδὴ κινεῖ-
ται, καὶ ψοφεῖ· οὐδὲ γὰρ πᾶν τὸ κινούμενον ψοφεῖ, ἀλλὰ δεῖ τὸ ψοφοῦν
βιαίῳ πληγῇ κινεῖσθαι. καὶ διὰ τοῦτο, φησί, λέγουσιν ἀκούειν τῷ κενῷ
20 καὶ ἠχοῦντι. κενῷ μὲν γὰρ ἔλεγον ἀκούειν, ἐπειδὴ τὸν ἀέρα κενὸν
ὑπελάμβανον, ἀκούομεν δὲ τῷ ἐναπειλημμένῳ ἐν τοῖς ὠσὶν ἀέρι, ἠχοῦντι
δέ, ὅτι οὗτος ὁ ἀὴρ ὡρισμένος ἐστὶ καὶ ἀεὶ ὁ αὐτός, καὶ παραπέμπει τοὺς
ψόφους οὐκ αὐτὸς ψοφῶν, ἀλλὰ μόνον κατὰ τὴν διηχῆ ἑαυτοῦ δύναμιν
ἐνεργῶν.

25 p. 420a19 Πότερον δὲ ψοφεῖ τὸ τυπτόμενον ἢ τὸ τύπτον; ἢ καὶ ἄμφω, τρόπον δ' ἕτερον.

Εἰπὼν τὸν ψόφον τινὸς εἶναι πρός τι καὶ ἔν τινι, λέγω δὴ τοῦ τύπτοντος
καὶ τοῦ τυπτομένου καὶ τοῦ μεταξὺ ἀέρος, ζητεῖ ἐνταῦθα εἰκότως, ποῖόν
ἐστι τὸ ποιητικὸν τοῦ ψόφου, πότερον τὸ τύπτον ἢ τὸ τυπτόμενον, καὶ λέγει
30 ὅτι ἄμφω. τὸ γὰρ ἢ καὶ ἄμφω, ἄμφω καὶ τελείαν εἶναι τὴν διαίρεσιν

1 ἄλλο t 4 ἡλίῳ] φωτί t 7 οὐ om. D 12 τοῦτό] τοῦ D 13 ἀέρα D Arist. SUVX: τὸν ἀέρα t Arist vulg. 17 τὸν] τὸ t 30 tertium ἄμφω fort. delendum εἶναι] fort. ἐστὶ

8 ὅταν οὖν — ὑγιαίνει (10)] ἀεὶ γάρ, φησίν, τοῦτο τὸ πνεῦμα ζῇ καὶ ζωὴν παρέχει τῷ μορίῳ καὶ ἐνέργειαν· δίχα γὰρ αὐτοῦ οὐκ ἔστιν ἀκοῦσαι. καὶ διὰ τί μὴ καὶ αὐτὸ ἀκούει (l. ἀρκεῖ) πρὸς ἀκοήν; ἐπειδὴ οὐκ ἐπεκτείνεται μέχρι τῶν αἰσθητῶν· χρεία οὖν καὶ τοῦ ἔξω, ἵνα αὐτὸς παρενέγκῃ τὸν ψόφον. τοῦ γὰρ ἀλλοτρίου ψόφου ἡ ἀκοὴ ἀντιλαμβάνεται, οὐ τοῦ ἰδίου· διὸ χρῄζει τοῦ ἀέρος ὡς διηχοῦς, τοῦ παρ' ἄλλοις κενοῦ λεγομένου A

ἐκτιθεμένου (ἢ γὰρ τὸ τύπτον ἀνάγκη εἶναι τό [τε] ψοφοῦν ἢ τὸ τυπτό- 16v
μενον ἢ ἀμφότερα) καὶ ἔτι ἐπικρίνοντος ὅτι οὐ τὸ ἕτερον, ἀλλ' ἀμφότερα
ποιοῦσι τὸν ψόφον. ἀλλ' εἰ καὶ ἀμφότερα, οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ
μὲν τύπτον ὡς κινούμενον καὶ ὠθοῦν τὸν ἀέρα, τὸ δὲ ὡς μένον καὶ μὴ
5 ἐῶν αὐτὸν διελθεῖν, ἵνα ἐκ τῆς ἀμφοτέρων ἐκθλίψεως ἀποπαλλόμενος
ἠχήσῃ· καὶ τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει. δυνατὸν δὲ ἀμφότερα ἐπινοῆ-
σαι καὶ τύπτοντα καὶ τυπτόμενα, ὅταν μὴ τὸ μὲν ἀκίνητον μένῃ τὸ δὲ 20
κινούμενον, ἀλλ' ἄμφω κινηθέντα πλήττηται.

p. 420a21 Ἔστι γὰρ ὁ ψόφος κίνησις τοῦ δυναμένου κινεῖσθαι
10 τὸν τρόπον τοῦτον, ὥσπερ τὰ ἀφαλλόμενα ἀπὸ τῶν λείων, ὅταν
τις κρούσῃ.

Ὅτι οὐ τὸ ἕτερόν ἐστι τὸ ψοφοῦν, ἀλλ' ἀμφότερα, δείκνυσι διὰ τού-
των. ἐπεὶ γὰρ ὁ ψόφος ἐστὶ κίνησις ἀθρόου τοῦ ἀέρος ὥσπερ ἀφαλλο- 25
μένου, καθάπερ τὰ ἐκπυρηνιζόμενα ἀπό τινων λείων σωμάτων, τοῦτο δὲ
15 οὐχ οἷός τε ἀφ' ἑαυτοῦ ποιεῖν ὁ ἀήρ, δεῖ ἄρα λεῖόν τι εἶναι ἀφ' οὗ δεῖ
αὐτὸν ἀφάλλεσθαι. ἀλλ' ἐπειδὴ πάλιν ἀφάλλεσθαι αὐτὸν ἀπό τινος λείου
σώματος μηδενὸς ὄντος τοῦ πλήσσοντος καὶ ἀθρόον τὸν ἀέρα ἀπολαμβά-
νοντος πρὸς τῷ λείῳ τούτῳ καὶ στερεῷ ἀδύνατον, οὐκ ἀφ' ἑνὸς μόνου
δῆλον ὅτι ἄλλοιτο ἄν, ἀλλὰ δεῖ ἀμφοτέρων καὶ τοῦ πλήσσοντος καὶ τοῦ
20 πλησσομένου. ὅτι γὰρ ἀμφοτέρων δεῖ, δῆλον καὶ ἐντεῦθεν· εἰ γὰρ μὴ 30
εἴη ἄμφω λεῖα καὶ στερεά, οὐ ποιεῖ ψόφον, οἷον εἰ ἐρίῳ ἢ σπόγγῳ χαλ-
κὸν πλήξῃς, οὐκ ἂν γένοιτο ψόφος. οὐ πᾶσα οὖν κίνησις ἀέρος ψόφος,
ἀλλ' ἡ τοιαύτη οἵα ἡ ἀπὸ τῶν λείων. εἰ γὰρ μὴ εἴη λεῖα τὰ πληττό-
μενα, οὐκ ἀφάλλεται ὁ ἀὴρ ἀθρόος, ἀλλ' ἐνίσχεται ἐν τοῖς κοιλώμασιν,
25 ὥσπερ ἡ ῥιπτομένη κατὰ τοίχου σφαῖρα, ἐὰν μὲν ᾖ λεῖος ὁ τοῖχος, τῇ
ἀντιτυπίᾳ ἀποπάλλεται ἐξ αὐτοῦ ἡ σφαῖρα, ἐὰν δὲ μή, μένει πολλάκις ἐν
τοῖς κοιλώμασιν. ὥσπερ οὖν τὰ τοιαῦτα ἀπὸ τῶν λείων ἀφάλλεται, οὕτω
καὶ ὁ ἀήρ. κατὰ μόνον δὲ τὸ ἀποπάλλεσθαι τὸν ἀέρα ἐκ τῶν λείων 35
ἔλαβε τὴν ὁμοιότητα τῶν ἐκ τῶν λείων ἀποπαλλομένων, οἷον τῆς σφαίρας,
30 οὐχὶ καὶ κατὰ τὴν αἰτίαν τῆς ἀποπάλσεως ἐξομοιῶν, εἰ μὴ τοῦτό τις
εἴποι, ὅτι ὥσπερ ὁ τὴν σφαῖραν βιαίως ἐκπέμπων συνωθεῖ αὐτῇ ἀέρα,
ὃς βιαίως ὠθούμενος καὶ ἐκθλιβόμενος ὑπὸ τῆς σφαίρας καὶ τοῦ τοίχου
ἐκπυρηνίζεται καὶ ἀποπαλλόμενος συνωθεῖ ἑαυτῷ καὶ τὴν σφαῖραν, οὕτω
καὶ ἐπὶ τῶν αὐτόθεν πληττόντων ἄλληλα ἀποπάλλεται ὁ ἀὴρ καὶ τῇ
35 κινήσει ψοφεῖ. ἔστι γὰρ ὁ ψόφος κίνησις. δύναται κίνησιν μὴ τοπι- 40
κὴν λέγειν, ἀλλὰ τὴν ἐνέργειαν· τὸ δὲ τοῦ δυναμένου κινεῖσθαι τὴν

---

1 ἢ γὰρ scripsi: εἰ γὰρ καὶ Dt τε delevi ἢ τὸ] καὶ τὸ t
5 ἐῶν] ἐὸν D ἀποπαλλόμενος scripsi: ἀποβαλλόμενος D: ἀφαλλόμενος t
8 πλήττηται scripsi: πλήττεται Dt 10 ὥσπερ D: ὅνπερ t Arist. 19 ἄλοιτο] fort. ἀφάλοιτο 21 ἐρίῳ] ἀερίω D 24 ἀθρόως t 30 ἐξομοιῶν scripsi: καὶ ἐξ ὁμοίων Dt 34 ἀποπάλλεται scripsi: ἀπάλλεται Dt

τοπικὴν κίνησιν ἐκληπτέον, ὡς εἶναι τὸ ὅλον, ὅτι ἔστι ψόφος ἐνέργεια τοῦ 1 6v
δυναμένου κατὰ τόπον κινεῖσθαι τοῦτον τὸν τρόπον οἷον τὰ ἀφαλλόμενα
ἀπό τινων λείων, ὥσπερ ἡ σφαῖρα ἀπὸ τοῦ τοίχου. κἂν δὲ ἐπὶ τῆς κατὰ
τόπον κινήσεως ἀκούσωμεν, ὡς ἤδη ἐξειλήφαμεν, οὐδὲν ἄτοπον· οὐ γὰρ
5 ἁπλῶς πᾶσαν κίνησιν ἀέρος ψόφον λέγων, ἀλλά τινα, τὴν ἀπὸ τῶν λείων.

p. 420ª23 Οὐ δὴ πᾶν, ὥσπερ εἴρηται, ψοφεῖ τυπτόμενον καὶ τύπτον. 45

Ἐπειδὴ εἶπεν ὅτι δύο στερεῶν πληττόντων ἄλληλα χρεία πρὸς τὸ
γενέσθαι ψόφον, ἵνα μή τις νομίσῃ ὅτι οἷα δήποτε στερεὰ καὶ λεῖα σώ-
10 ματα αὐτάρκη ἐστὶν εἰς τὸ ποιῆσαι ψόφον, ταῦτα προσέθηκεν, ὅτι οὐ μό-
νον δύο δεῖ εἶναι καὶ στερεὰ καὶ λεῖα τὰ ποιοῦντα τὸν ψόφον, ἀλλὰ καὶ
μέγεθος σύμμετρον ἔχειν αὐτὰ δεῖ καὶ σχῆμα τοιόνδε. ἂν γὰρ μικρὰ
πάνυ ὦσι τὰ μεγέθη, οἷον βελόναι, ἐλάχιστον ἀπολαμβάνουσιν ἀέρα, ὥστε 50
μηδὲ αἰσθητὸν γενέσθαι τὸν ψόφον. ἀλλ' ὥσπερ ἐν τῇ Φυσικῇ ἔλεγεν
15 ὅτι τὸ εἶδος ἀπὸ ὡρισμένου μεγέθους ἄρχεται, ἐν οἷς πρὸς Δημόκριτον
ἀπετείνετο ἀνασκευάζων τὸ εἶναι ἄτομα σώματα (τὰ γὰρ μεγέθη, φησί,
δυνάμει μὲν [φησίν] ἐπ' ἄπειρόν εἰσιν ὡς μεγέθη διαιρετά· δυνατὸν γὰρ
ἀεὶ ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει τὸ δοθὲν τεμεῖν τῇ ἐπινοίᾳ, κἀκεῖνο εἰς ἄλλο,
καὶ τοῦτο ἐπ' ἄπειρον· ὡς ⟨δ'⟩ εἶδός τι ἔχοντα, οἷον σαρκὸς ἢ νεύρου ἤ
20 τινος τοιούτου, οὐδὲ δυνάμει τὴν ἐπ' ἄπειρον ἐπιδέχεται διαίρεσιν, ἀλλ'
ἀνάγκη | λαβεῖν ἔσχατά τινα μόρια ἀδιαίρετα, ὥστε τὸ ἀπ' ἐκείνου μηκέτι 1 7r
διαιρεῖσθαι εἰς ἄλλο τοιοῦτο οἷον αὐτό. οἷον τὴν σάρκα δυνατὸν τεμεῖν
εἰς μόρια φυλάττοντα τὸ εἶδος τῆς σαρκός, κἀκεῖνα εἰς ἄλλα φυλάττοντα
πάλιν τὸ αὐτὸ εἶδος· τοῦτο δ' ⟨οὐκ⟩ ἐπ' ἄπειρον δυνατὸν ποιῆσαι, ἀλλὰ
25 καταλήγεις πάντως εἴς τι μέγεθος, ὅπερ ἐὰν τέμῃς, οὐκέτι φυλάττεις τὸ
τῆς σαρκὸς εἶδος διὰ σμικρότητα πολλήν. ὡς γὰρ εἶπον, τὰ εἴδη ὥσπερ 5
δεῖται τοιᾶσδε κράσεως, ἵνα ὑποστῇ, οὕτω καὶ τοσοῦδε μεγέθους, καὶ
ὥσπερ οὐκ ἐνδέχεται δακτυλιαῖον ἄνθρωπον ἢ ἵππον γενέσθαι, ἀλλὰ δεῖ
σύμμετρον τούτοις μέγεθος εἶναι, οὕτω δὴ καὶ τὰ μόρια τοῦ ζῴου τά τε
30 ὀργανικὰ καὶ τὰ ὁμοιομερῆ καὶ ἁπλῶς πᾶν εἶδος ἐν ὡρισμένῳ τινὶ μεγέθει
πέφυκε γίνεσθαι)· ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ τῶν ψόφων
οὐ πᾶν μέγεθος τύπτον καὶ τυπτόμενον ποιεῖ ψόφον, οἷον αἱ βελόναι, ἀλλὰ
δεῖ σύμμετρον ταῦτα μέγεθος ἔχειν. δεῖ δὲ καὶ σχήματος ἐπιτηδείου· 10
ἐὰν γὰρ σφαῖρα σφαίρας ἅψηται, οὐ ποιήσει ψόφον· δέδεικται γὰρ ὅτι
35 σφαῖρα σφαίρας κατὰ σημεῖον ἅπτεται· διὰ τὸ οὖν μὴ ἐναπολαμβάνειν
αὐτάρκη ἀέρα οὐ ποιήσει ψόφον. τῶν δὲ παρ' ἡμῖν τεχνητῶν σφαιρῶν

5 ψόφων D 6 Οὐ δὴ] οὐδ' εἰ D τυπτόμενον t Arist.: τὸ τυπτόμενον D
10 ψόφον ποιῆσαι t 14 ἐν τῇ Φυσικῇ] videtur ad Phys. A 4 p. 187ᵇ13 sqq. respicere, quamquam illic de Anaxagora dicitur 16 φησί] φύσει t 17 φησίν (vel φησὶς) D: φησὶς t: delevi ego 19 δ' addidi 20 ἐπιδέχεσθαι t 24 οὐκ add. Diels
29 δὴ scripsi: δεῖ Dt 30 τὰ om. D 33 ἐπιτηδείου A: om. Dt

ἐπεὶ μὴ δυνατὸν ἀκριβῶς ἀποτορνευθῆναι τὴν ἐπιφάνειαν, οὐδὲν θαυμαστὸν 17r
εἰ σφαῖρα πλήττουσα σφαῖραν ποιήσει βραχὺν ψόφον, διότι μὴ οὔσης
ἀκριβῶς σφαίρας παρ' ἡμῖν, οὐδὲ ἀκριβῶς κατὰ σημεῖον ἀλλήλων ἅπτονται.

p. 420a25 Ἀλλὰ δεῖ τὸ τυπτόμενον ὁμαλὸν εἶναι, ὥστε τὸν ἀέρα
ἀθροῦν ἀφάλλεσθαι καὶ σείεσθαι.

Ὁμαλὸν εἶπεν ἀντὶ τοῦ πλατύ. καλῶς δὲ εἶπεν τὸ τυπτόμενον δεῖν εἶναι πλατύ, οὐχὶ δὲ πάντως καὶ τὸ τύπτον· κἂν γὰρ τὸ τύπτον μὴ ᾖ πλατύ, ἀλλὰ κυλινδρικόν, γίνεται ψόφος. ἡ δὲ αἰτία, διότι οὐ μόνος ὁ ἀὴρ ὑπὸ τοῦ τύπτοντος μορίου ἐναπολαμβάνεται, ὅσπερ σχεδὸν ἀδιάστατός ἐστι, ἀλλὰ καὶ ὁ ὑπὸ τῶν λοιπῶν μερῶν τοῦ κυλίνδρου ἀὴρ ὠθούμενος, ὅσπερ εἰ μὲν λεπτῷ τινι καὶ ὀξεῖ ἀντιπέσοι σώματι, ἅτε μὴ κωλυόμενος διελθεῖν, διαχεῖται καὶ οὐκ ἠχεῖ, εἰ δὲ πλατεῖ προσπέσοι, οὐ χεόμενος ἀλλ' ἐναπολαμβανόμενος ἀκοντίζεται ὑπὸ τῆς λειότητος καὶ ἀντιτυπίας. καὶ οὕτως ἠχεῖ ἀφαλλόμενος. σείεσθαι δέ φησι τοῦτον, οὐχ ἁπλῶς τὸν ἀπὸ παντὸς ἀφαλλόμενον, ἀλλὰ τὸν ἐναπολαμβανόμενον ἐπὶ τῶν κοίλων καὶ ἠχητικῶν, ὥσπερ ἐπὶ τοῦ ἠχείου συμβαίνει πληττομένου ὑπὸ τῆς ψηφῖδος· σειομένου γὰρ τούτου σείεται καὶ ὁ ἐν τῷ κοιλώματι αὐτοῦ ἐναπειλημμένος ἀήρ, καὶ ἄλλοτε ἄλλοις μέρεσι προσπίπτων τῆς κοίλης τοῦ ἠχείου ἐπιφανείας ποιεῖ ἦχον. ἀμέλει ἐὰν κατάσχωμεν τὸ ἠχεῖον, παύεται καὶ ὁ ἦχος, διότι παυσαμένου τοῦ ἠχείου κινεῖσθαι συμπαύεται καὶ ὁ ἀὴρ κινούμενος. δυνατὸν μὲν οὖν, ὅπερ εἶπον, τὸ ὁμαλὸν καὶ ἀντὶ τοῦ πλατέος ἀκούειν. εἰπὼν γὰρ ὅτι οὐ πᾶν τὸ τύπτον καὶ τυπτόμενον ψοφεῖ (οὐδὲ γὰρ ψοφεῖ βελόνη βελόνην τύπτουσα) ὡς πρὸς ἀντιδιαστολὴν τῶν βελονῶν ἐπήγαγεν τὸ ἀλλὰ δεῖ τὸ τυπτόμενον ὁμαλὸν εἶναι, οὐ δήπου ὡς ἀνωμάλων οὐσῶν τῶν βελονῶν κατὰ τὰ μόρια, ἀλλὰ δῆλον ὅτι παρὰ τὸ σχῆμα αὐτῶν καὶ τὸ μέγεθος ἀντιδιέστειλε τὸ ὁμαλόν. δυνατὸν δὲ τὸ ὁμαλὸν καὶ ἐπὶ τοῦ μὴ τραχέος ἀκούειν, καὶ τοῦτο δῆλον ἐκ τοῦ ἐπαγαγεῖν τὸ ὥστε τὸν ἀέρα ἀθροῦν ἀφάλλεσθαι. ἀπὸ μὲν γὰρ τῶν τραχέων καὶ ἀνωμάλων κατακερματίζεται καὶ οὐκ ἀθροῦς ἀφάλλεται, ἀπὸ δὲ τῶν ὁμαλῶν διὰ τὸ συνεχὴς εἶναι καὶ εἷς.

p. 420a26 Αἱ δὲ διαφοραὶ τῶν ψοφούντων ἐν τῷ κατ' ἐνέργειαν
ψόφῳ δηλοῦνται· ὥσπερ γὰρ ἄνευ φωτὸς οὐχ ὁρᾶται τὰ χρώματα, οὕτως οὐδὲ ἄνευ ψόφου τὸ ὀξὺ καὶ τὸ βαρύ.

Τῶν ψοφούντων εἶπεν ἀντὶ τοῦ τῶν ψόφων, ἐπειδὴ κατὰ τὰς διαφορὰς τῶν ψοφούντων διάφοροι καὶ οἱ ψόφοι γίνονται. διαφορὰς οὖν τῶν

5 ἀθροῦν Arist. E, cf. v. 28. 29: ἀθρόον t Arist. STUVWX: om. D 6 Ὁμαλὸν] ὅμαλλον D 11 ὅσπερ scripsi. ὥσπερ Dt 14 τὸν scripsi: τὸ Dt 18 ἐπιφανείας scripsi: ἐπιφανεία Dt 21 πλατέως t 24 ἀνομάλων t 25 τὰ om. t 29 ἀθροῦς scripsi: ἀθροῦν Dt συνεχὲς t 33 οὐδὲ οὕτως D

ψόφων εἶναί φησι τὸ ὀξὺ καὶ τὸ βαρύ. ταύτας δέ φησι γνωρίζεσθαι οὐκ 17r
ἐν τοῖς κατὰ δύναμιν ψόφοις ἀλλ' ἐν τοῖς κατ' ἐνέργειαν. τὰ γὰρ δυνάμει σχεδὸν οὐδ' εἰσίν· πῶς δὲ τῶν μὴ ὄντων διάκρισις ἂν γένοιτο; ἕκαστον γὰρ κρίνεται κατὰ τὴν οἰκείαν ἐντελέχειαν. ὥσπερ γὰρ τῶν διαφόρων, φησί, χρωμάτων ἀντιλαμβανόμεθα οὐχ ὅταν ᾖ δυνάμει διαφανὴς ὁ ἀήρ, ἀλλ' ὅταν ἐνεργείᾳ, τουτέστιν ὅταν φωτισθῇ, οὕτως οὐδὲ ὅταν δυνάμει διηχής, αἰσθανόμεθα τῆς τῶν ψόφων διαφορᾶς, ἀλλ' ὅταν ἐνεργείᾳ γένηται, τουτέστιν ὅταν ἤδη δέξηται τὸν ψόφον. τοσοῦτον γὰρ διαφέρουσιν οἱ ψόφοι τῶν χρωμάτων, ὅτι τὰ μὲν χρώματα ἕτερά ἐστι τοῦ διαφανοῦς καὶ ἕτερα ὄντα κινοῦσιν αὐτό (μόνας γὰρ τὰς ἐνεργείας αὐτῶν διακομίζει τὸ διαφανές), οἱ δὲ ψόφοι οὐχ ἕτεροί εἰσι τοῦ κατ' ἐνέργειαν διηχοῦς ἀέρος, ἀλλ' ἐν τούτῳ τὴν σύστασιν ἔχουσι.

p. 420ᵃ29 Ταῦτα δὲ λέγεται κατὰ μεταφορὰν ἀπὸ τῶν ἁπτῶν.

Τὸ ὀξὺ καὶ βαρύ, αἵτινές εἰσι ψόφων διαφοραί, κατὰ μεταφοράν, φησί, τὴν ἀπὸ τῶν ἁπτῶν ἐκλήθησαν· ἐν ὄγκοις γάρ, οἵ εἰσιν ἁπτοὶ κυρίως, τό τε ὀξὺ καὶ τὸ βαρύ, ὧν κατὰ μεταφορὰν λέγεται καὶ τὰ ἐπὶ τῶν ψόφων. ὀξὺ γὰρ λέγεται ἐπὶ τῆς ἁφῆς τὸ ταχέως ἐνεργοῦν, οἷον τὸ μαχαίριον ὀξύ, ὅτι ταχέως κεντεῖ, ἀμβλὺ δὲ τὸ βραδέως ἐνεργοῦν καὶ οἷον οὐ κεντοῦν ἀλλ' ὠθοῦν, ὡς τὸ ὅπερον. ὅσα μὲν γὰρ ἐπιτήδεια εἰς τὸ κεντεῖν ποιῆσαι βουλόμεθα, ὀξυγώνια αὐτὰ ποιοῦμεν, ὅσα δὲ εἰς τὸ ὠθεῖν, ἀμβλυγώνια. οὕτως οὖν καὶ ἐπὶ τῶν ψόφων ὀξὺν μὲν λέγομεν τὸν ταχέως παραγινόμενον ἐπὶ τὴν αἴσθησιν καὶ ἐπιμένοντα, βαρὺν δὲ τὸν ἀνάλογον τῷ ἀμβλεῖ τὸν βραδέως παραγινόμενον ἐπὶ τὴν αἴσθησιν καὶ ταχέως | ἀποπαυόμενον, οἷον 17v
ἐπὶ μιᾶς τῶν νευρῶν τῆς νεάτης· αὕτη γὰρ οὖσα καὶ τεταμένη τῶν ἄλλων μᾶλλον ἐν τῷ κρούεσθαι διὰ τὴν τάσιν ταχέως πλήττουσα τὸν ἀέρα ὀξύτατον ποιεῖ τὸν φθόγγον. καὶ ἐν ὀλίγῳ μὲν χρόνῳ ἐποίησε τοῦτο, ἐπὶ πολὺ δὲ ἐφύλαξεν, ὥσπερ καὶ τῶν τόξων τὰ σκληρὰ καὶ μᾶλλον τεταμένα· τούτων γὰρ ἡ νευρὰ ταθεῖσα ὑπὸ τοῦ τοξότου, εἶτα ἀφεθεῖσα ἐν ὀλίγῳ χρόνῳ διὰ τὴν τάσιν ἐπὶ τὸν οἰκεῖον ἀποκαθίσταται τόπον. διὸ τὸ βέλος ἐν ὀλίγῳ χρόνῳ ὠθήσασα δι' αὐτὸ τοῦτο ἐπὶ πολὺ διάστημα πέμπει· μείζονος γάρ ἐστι δυνάμεως τὸ ἐν ὀλίγῳ χρόνῳ τὸ αὐτὸ κινῆσαι ἤπερ ἐν πλείονι· ὅπερ καὶ ἐπὶ τῶν μᾶλλον τεταμένων χορδῶν συμβαίνει. αἱ δὲ ἧττον τεταμέναι ἀνάπαλιν, οἷον ἡ ὑπάτη ἐν πολλῷ μὲν ἐκίνησεν τὸ διηχὲς τοῦ ἀέρος, ἐπ' ὀλίγον δ' ἐφύλαξεν. αἴτιον δ' ὅτι αἱ μὲν λεπταί εἰσι καὶ μὴ πολὺν ἔχουσαι ἀέρα ἀντιπίπτοντα τάχιον αὐτὸν κινοῦσιν, ἔτι δὲ τεταμέναι οὖσαι καὶ μὴ ὑπὸ πολλοῦ ἀέρος ἐμποδιζόμεναι θᾶττον ἐπείγονται

---

1 τὸ ὀξὺ A: τὸν ὀξὺν Dt τὸ βαρύ A: τὸν βαρύ D: τὸν βαρύν t 3 διάκρισις ἂν γένοιτο A: om. Dt 7 αἰσθανώμεθα t 14 αἵτινές scripsi: καὶ τίνες Dt

19 ὅπερον D 24 νευρῶν scripsi: νεύρων Dt 28 ἐν A: ἐπ' Dt 31 τὸ ἐν A: τῷ ἐν Dt 31. 32 τὸ αὐτὸ — ἐν πλ in lit. D¹ 36. p. 374,1 ἐπείγονται τὸν] ἐπείγον ταὐτὸν t

τὸν οἰκεῖον τόπον καὶ τὴν εὐθύτητα καταλαβεῖν. ἐξ ἧς ἐκινήθησαν πληγεῖσαι l 7v
διὰ τὸ συντείνεσθαι ἀπὸ τῶν περάτων. διὰ ταῦτα μὲν οὖν ἐν ὀλίγῳ χρόνῳ
κινοῦσι τὸ διηχὲς τοῦ ἀέρος, σώζουσι δὲ ἐπὶ πολὺ τὸν ἦχον, διότι πάνυ
τεταμέναι σφοδρῶς πλήττουσι τὸν ἀέρα. σφοδρότερον δὲ πληγεὶς καὶ αὐτὸς
5 ἀντιπλήττει τὴν νευρὰν καὶ πάλιν ὑπ' αὐτῆς ἀντιπλήττεται, καὶ τοῦτο ἐπὶ
πλείονα χρόνον γίνεται· κραδαινομένης οὖν τῆς νευρᾶς ἐπὶ πολὺ παρατείνει
καὶ ὁ ἦχος ἐξ ἀνάγκης. αἱ δὲ παχεῖαι νευραὶ καὶ ἧττόν τι τεταμέναι οἷον 15
ἡ ὑπάτη πᾶν τοὐναντίον ὑπομένει· πολὺν γὰρ ἔχουσα ἀέρα ἀντιπίπτοντα
καὶ μηδὲ οὕτω τεταμένη βραδύτερόν τε κινεῖ τὸν ἀέρα καὶ σχολαίτερον
10 ἀποκαθίσταται. διὸ καὶ βαρύτερον ἠχοῦσι καὶ οὐδὲ ἐπὶ πολὺ παρατείνουσι
τὸν ἦχον. διότι οὐ σφοδρῶς κινοῦσαι τὸν ἀέρα οὐδὲ σφοδρῶς ἀντιπλήττονται,
καὶ διὰ τοῦτο οὐκ ἐπὶ πολὺ κραδαίνονται· τούτου δὲ μὴ γενομένου θᾶττον
ἀπόλλυται ὁ ψόφος.

p. 420a31 Οὐ δὴ ταχὺ τὸ ὀξύ, τὸ δὲ βαρὺ βραδύ. 20

15 Εἰπὼν ὅτι ὁ ὀξὺς ψόφος ταχέως κινεῖ τὴν αἴσθησιν καὶ αἰσθητὸς
γενόμενος μένει ἐπὶ πλείονα χρόνον, ὁ δὲ βαρὺς ἀνάπαλιν, ἵνα μή τις νομίσῃ 25
ὅτι αὐτὸς ὁ ὀξὺς ψόφος ταχέως ἢ βραδέως κινεῖται (ἐνέργεια γάρ ἐστιν
ἀέρος ἀσώματος, τὸ δὲ ἀσώματον οὐ κινεῖται κατὰ τόπον), ἀλλ' ὀξὺς
λέγεται ψόφος τῷ ὀξέως κινεῖσθαι τὸν ἀέρα οὗ ἐστιν ἐνέργεια, ὁμοίως δὲ
20 καὶ βραδύς, ἢ οὖν τοῦτο σημαίνει διὰ τοῦ εἰπεῖν ἀλλὰ γίνεται τοῦ μὲν
διὰ τάχος ἡ κίνησις τοιαύτη, τοῦ δὲ ⟨διὰ⟩ βραδυτῆτα, ἀντὶ τοῦ
διὰ τάχος τοῦ κινουμένου σώματος ἐν ᾧ ἐστι τοιαύτη γίνεται καὶ ἡ κίνησις
τῆς αἰσθήσεως ὑπὸ τοῦ ψόφου· ἢ ὅτι ὥσπερ ἐπὶ τῶν ἁπτῶν διὰ τὴν 30
ὀξύτητα τὴν ἐν τοῖς ὄγκοις ταχεῖα γίνεται ἡ διαίρεσις ὑπ' αὐτῶν, καὶ ἔστιν
25 ἄλλο μὲν τὸ ὀξύ, ἄλλο δὲ τὸ ταχέως ὑπ' αὐτῶν διαιρεῖσθαι τὸ σῶμα
(ἐπακολουθεῖ γὰρ τοῦτο ἐκείνῳ καὶ συμβέβηκε τῷ ὀξεῖ τὸ ταχέως διαιρεῖν·
ὀξὺ γὰρ ἦν καὶ μὴ ἐνεργοῦν· ὁμοίως καὶ ἐπὶ ἀμβλέος), οὕτω καὶ ἐν φωνῇ
ὀξείᾳ ἄλλο μέν ἐστι τὸ ὀξύ, ἄλλο δὲ ὃ τούτῳ συμβέβηκε τὸ ταχέως κινεῖν
τὴν ἀκοήν· ὁμοίως δὲ καὶ τὸ βραδὺ ἐπὶ τῆς βαρείας. τὸ δὲ ὥστε συμ-
30 βαίνει τὸ μὲν ταχύ, τὸ δὲ βραδὺ εἶναι ἴσον ἐστὶ τῷ ὥστε ταῦτα
κατὰ συμβεβηκὸς ἔχουσι τὸ ταχὺ καὶ τὸ βραδύ. καὶ οὐκ οὐσία αὐτῶν ἐστι· 35
συμβέβηκε δὲ τῷ μὲν ὀξεῖ τὸ ταχὺ κινεῖν, οἷον τῷ μαχαιρίῳ, διὰ τὸ ὑπ'
ὀλίγου σώματος ἀντιβαίνεσθαι, τῷ δὲ ἀμβλεῖ τὸ βραδέως, οἷον τῷ ὑπέρῳ,
διὰ τὸ ὑπὸ πολλοῦ σώματος ἀντιβαίνεσθαι.

---

1 καταλαβεῖν] λαβεῖν t 2 συντείνεσθαι] μὴ τείνεσθαι A ἀπὸ scripsi: ὑπὸ ADt
9 βραχύτερόν t 10 βαρύτερον scripsi: βραδύτερον ADt 11 κινοῦται t
13 ἀπόλλυται t: ἀπολύεται D: ἀποπαύεται A 14 οὐ δὴ Arist. vulg.: οὐ δ' ἡ
D¹: οὕτω δὴ D²: καὶ οὕτω δὴ t βαρὺ βραδύ Arist.: βραδὺ βαρύ D: βραδὺ om.
cum Arist. Ald.) t 16 νομίζῃ t 19 τῷ scripsi: τὸ ADt 21 τάχος scripsi
coll. v. 22: τάχους Dt διὰ alterum addidi 24 ὀξύτητα τὴν A: ὀξυτάτην Dt
26 τῷ ταχέως D 28 ἄλλο δὲ ὃ τούτῳ scripsi: ἄλλο δὲ ὅτ A: τοῦτο δὲ Dt
ταχέων t 30 τῷ ὥστε scripsi: τὸ ὡς τὰ Dt

p. 420b4 Περὶ μὲν οὖν ψόφου ταύτῃ διωρίσθω. 17v

Εἴρηκε τί ἐστιν ὁ ψόφος, ὅτι κίνησις τοῦ δυναμένου κινεῖσθαι τὸν τρόπον τοῦτον, ὅνπερ τὰ ἀφαλλόμενα ἀπὸ τῶν λείων, ὅταν ἀντικρούσῃ, καὶ πῶς γίνεται, ὅτι τύπτοντός τινος καὶ τυπτομένου, διὰ τίνος, ὅτι πληγή ἐστι στερεῶν τινων πρὸς ἄλληλα ἐν ἀέρι σφοδροτέρα καθ' αὑτῶν τῆς τοῦ ἀέρος διαιρέσεώς τε καὶ θρύψεως· ἀλλὰ καὶ ποταπὰ δεῖ εἶναι τὰ πληττόμενα, καὶ διὰ τίνος ἀκούεται καὶ πῶς ὁ ψόφος.

p. 420b5 Ἡ δὲ φωνὴ ψόφος τίς ἐστιν ἐμψύχου.

Εἰπὼν περὶ ψόφου ἀκολούθως καὶ περὶ φωνῆς διαλέγεται· εἶδος γὰρ ἡ φωνὴ τοῦ ψόφου. λέγει οὖν τὴν φωνήν τινα ψόφον εἶναι· οὐ γὰρ πᾶς ψόφος φωνή, οἷον ὁ τῶν ἀψύχων. οὐ γὰρ ὁ ἐκ τῶν κυμάτων ἢ τῶν ἀνέμων γινόμενος ψόφος ἢ τῶν προσαρασσομένων ἀλλήλοις λίθων φωνή ἐστιν, ἀλλ' ἐμψύχου τις ψόφος ἐστὶν ἡ φωνή. ἀλλ' οὐδὲ πᾶς ἐμψύχου ψόφος φωνή· οὐδὲ γὰρ ὁ διὰ χειρῶν κρότος οὐδὲ τὸ χρέμψασθαι ἢ βῆξαι φωνή ἐστι· ψόφοι γάρ εἰσι ταῦτα καὶ οὐ φωναί· ἀλλὰ φωνή ἐστιν ἐμψύχου ψόφος διὰ τῶν φωνητικῶν γινόμενος μορίων. φωνητικὰ δὲ μόρια πνεύμων καὶ τὰ ἀναπνευστικὰ πάντα μόρια, καὶ ἡ τραχεῖα ἀρτηρία καὶ ὁ φάρυγξ. ἀλλ' οὐδὲ ὁ ὁπωσοῦν ὑπὸ τούτων γινόμενος ψόφος φωνή ἐστιν· ἡ γὰρ βῆξ ὑπὸ τούτων γίνεται, καὶ οὐ λέγεται φωνεῖν ὁ βήττων· ἀλλ' ὅταν μετὰ φαντασίας σημαντικῆς ταῦτα κινηθῇ, τότε οὖν ὁ τούτων γινόμενος ψόφος φωνὴ καλεῖται. τίνι δὲ τρόπῳ διὰ τῶν τοιούτων ὀργάνων ἡ φωνὴ γίνεται, καὶ τίνι διαφέρει φωνὴ βηχὸς αὐτοῦ λέγοντος προϊόντες εἰσόμεθα. ἐμψύχου οὖν | ψόφος τις ἡ φωνή. κἂν γάρ τινα τῶν ἀψύχων λέγηται φωνεῖν, 18r κατὰ μεταφορὰν καὶ ὁμοιότητά τινα λέγεται ὡς ἔχοντά τι ἐμφερὲς τῇ τοῦ ἀνθρώπου φωνῇ. τρία γὰρ ταῦτα θεωρεῖται περὶ τὴν τοῦ ἀνθρώπου φωνήν, ῥυθμός, ἁρμονία καὶ λέξις. ἔχει δὲ ὁ μὲν ῥυθμὸς περὶ τὸν χρόνον τῆς ἐκφωνήσεως τὸν μακρὸν καὶ τὸν βραχύν· διόπερ οἱ παλαιοὶ τῶν φωνηέντων τὰ μὲν ἐν πλείονι χρόνῳ ἐκφωνούμενα μακρὰ ὠνόμασαν. τὰ δὲ ἐν ἐλάττονι βραχέα. ἐὰν γὰρ αὐτοφυῶς ἐκφωνήσωμεν. ὀψόμεθα ὅτι τὰ μὲν μακρὰ λεγόμενα οἷον τὸ Η καὶ τὸ Ω ἐν πλείονι προφερόμεθα χρόνῳ, τὰ δὲ βραχέα ἐν ἐλάττονι. ἐκ δὲ τῆς τούτων πρὸς ἄλληλα συνθέσεως τὸ εὔρυθμον τῶν ἐπῶν γίνεται. / ἡ δὲ ἁρμονία περὶ τὴν τοῦ ὀξέος καὶ βαρέος συμμετρίαν ἔχει· ἡ δὲ λέξις περὶ τὴν διατύπωσιν ἔχει τῶν συλλαβῶν, ἐξ ἧς ἡ τῶν λεγομένων σημαίνεται ἔννοια. ἐπεὶ οὖν ταῦτα ἔχει μὲν κυρίως ἡ τοῦ ἀνθρώπου φωνή, μιμοῦνται δέ πως ταύτην καὶ τὰ μουσικὰ ὄργανα, διὰ

1 διαιρείσθω D 3 τὰ σφαλλόμενα D 5 σφοδροτέρας t 7 καὶ ante διὰ om. t 16 γενόμενος D 30 τὸ ante Ω om. D 32 γίνεται A Suid. s. v. Φωνήν: γάρ ἐστιν Dt ὀξέος καὶ βαρέος D: ὀξέως καὶ βαρέως At 34 ἔχει A Suid.: ἔχοι εἰ D: ἔχοι t 35 πως A: ὅπως Dt

τοῦτο λέγονται καὶ αὐτὰ φωνεῖν κατὰ ἀναλογίαν. οὐ γὰρ μόνον τὸν ῥυθμὸν I 8r
καὶ τὴν ἁρμονίαν μιμοῦνται, ἀλλὰ καὶ τὰς λέξεις. ἀμέλει γοῦν καὶ ἴσασι
ποῖόν ποτέ ἐστι τὸ ᾆσμα τὸ λεγόμενον, καὶ συνᾴδουσι τοῖς ὀργάνοις.
μιμοῦνται δὲ οὐ τὴν ἁπλῶς φωνὴν τοῦ ἀνθρώπου, ἀλλὰ τὴν διάλεκτον·
5 ὡς γὰρ εἶπον, καὶ τὴν συνθήκην ἔχει τῆς λέξεως διὰ τῆς γλώττης γινομένην.
ζητήσειε δ' ἄν τις τίνι διαφέρει ῥυθμὸς μέτρου. φαμὲν οὖν ὅτι ὁ ῥυθμὸς
γενικώτερόν τί ἐστιν, εἶδος δὲ τοῦ ῥυθμοῦ τὸ μέτρον. εἴ τι μὲν γὰρ 15
μέτρον, τοῦτο καὶ ῥυθμός, οὐκέτι δὲ καὶ ἔμπαλιν. θεωρεῖται γὰρ ὁ
ῥυθμὸς ἐπὶ τῶν κροτούντων τοῖς ποσί τε καὶ ταῖς χερσίν. ὅταν γὰρ ἡ
10 ταχεῖα καὶ ἡ βραδεῖα τῶν ποδῶν ἄρσις καὶ θέσις λόγον ἔχωσι πρὸς
ἄλληλα, ῥυθμὸς γίνεται· καὶ ἐντεῦθεν ἀπὸ μεταφορᾶς τούτων ἡ τοιάδε τῶν
συλλαβῶν συμπλοκὴ ἡ παραλαμβανομένη πρὸς τὴν τῶν μέτρων γένεσιν
πόδες ἐκλήθησαν. κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ ἐπὶ τοῦ κρότου τῶν χειρῶν
καὶ ἐπὶ αὐλῶν καὶ τῶν ἄλλων τοιούτων ὁ ῥυθμὸς ἐκλήθη, συμμετρία ὢν 20
15 τοῦ χρόνου ἐν ᾧ ἡ κίνησις γίνεται. καὶ γὰρ ἐν τοῖς αὐλοῖς καὶ ῥυθμὸς
θεωρεῖται· καὶ γὰρ τῶν τρημάτων τῶν αὐλῶν τὰ μὲν ἐπὶ πλέονα χρόνον
τοῖς δακτύλοις ἐπιπωμάζουσι, τὰ δ' ἐπ' ἐλάττονα, καὶ οὕτως τῶν ἀπηχή-
σεων τὴν μὲν μακροτέραν ποιοῦσι, τὴν δὲ βραχυτέραν. καὶ τῶν τρημάτων
τὰ μὲν μείζονά ἐστι, τὰ δὲ ἐλάττονα, καὶ τὰ μὲν ἐγγυτέρω τῆς ἐπιγλωτ-
20 τίδος, τὰ δὲ πορρωτέρω· καὶ τὰ μὲν στενότερα ὀξύτερά ἐστι τῶν εὐρυτέρων
(διὸ καὶ αἱ τῶν παίδων φωναὶ καὶ τῶν γυναικῶν ὀξύτεραι), τὰ δὲ εὐρύτερα 25
βαρύτερα, ὁμοίως καὶ τὰ ἐγγυτέρω τῶν πορρωτέρω ὀξύτερα· ὧν τῇ συμμε-
τρίᾳ ἡ ἁρμονία καὶ τὸ μέλος γίνεται, ῥυθμὸς δὲ τῇ τοῦ ταχέος καὶ
βραδέος. ὅτι δὲ καὶ ἐν τοῖς λοιποῖς ὀργάνοις θεωρεῖται ὁ ῥυθμός, δῆλον
25 πᾶσι· τῇ συμμέτρῳ γὰρ τῶν δακτύλων ἄρσει καὶ θέσει ἀποτελεῖται. ὁ
μὲν οὖν ἐπὶ τῶν ἄλλων ῥυθμὸς κατὰ τὸ βραδὺ καὶ τὸ ταχὺ χαρακτηρί-
ζεται, ὁ δὲ ἐπὶ τοῦ προφορικοῦ λόγου κατὰ τὸ μακρὸν καὶ βραχύ, ὅσπερ
καὶ μέτρον μόνος λέγεται. ἀναλογεῖ δὲ τῷ μὲν βραδεῖ τὸ μακρόν, τῷ δὲ
ταχεῖ τὸ βραχύ. οὐ μόνον δὲ ἐν τοῖς ποιητικοῖς λόγοις θεωρεῖται τὸ 30
30 μέτρον, ἀλλὰ καὶ ἐν τοῖς ῥητορικοῖς· λέγομεν οὖν μακρὸν τὸ κῶλον εἶναι
ἢ κολοβόν, καὶ ἐκ τοῦ μὴ σύμμετρα εἶναι τὰ κῶλα οὐκ εὔρυθμος ὁ λόγος
γίνεται. οἱ γοῦν περὶ ἰδέας λόγου γεγραφότες παραδεδώκασι. ποῖοι καὶ
πόσοι πόδες παραλαμβανόμενοι πρὸς τὸ ῥητορικὸν κῶλον εὖ τοῦτο ἀπεργά-
ζονται. ταῦτα μὲν ἐν παρεκβάσει· ἀναδράμωμεν δὲ ἐπὶ τὴν λέξιν.

35 p. 420ᵇ7 Καὶ ὅσα ἄλλα τῶν ἀψύχων ἀπότασιν ἔχει καὶ μέλος 35
καὶ διάλεκτον.

Ἀπότασιν εἶπεν ἀντὶ τοῦ ῥυθμόν· ὡς γὰρ εἶπον, περὶ τὴν ἔκτασιν

---

5 καὶ τὴν] κατὰ t 7 εἴ τι] ἔστι D 8 οὐκέτι] οὐκ ἔστι D 16 πλείονα t
18 μακροτέραν] πραοτέραν t ποιοῦσι om. t βραχυτέραν A: τραχυτέραν Dt
21 αἱ A: ἐπὶ Dt 22 βαρύτερα scripsi: βραδύτερα ADt 23. 24 καὶ βραδέος A: καὶ om. Dt 24 δὲ om. t 28. 29 τὸ δὲ ταχὺ D

τοῦ χρόνου τὴν ἐπὶ πλεῖον ἢ ἔλαττον καὶ τὴν τούτων συμμετρίαν ὁ ῥυθμὸς I 8r
θεωρεῖται· μέλος δὲ εἶπεν ἀντὶ τοῦ ἁρμονίαν, ἥτις ἔχει περὶ τὴν συμμετρίαν τοῦ ὀξέος καὶ τοῦ βαρέος, διάλεκτον δὲ τὴν τῶν λέξεων συνθήκην.

p. 420b8 Ἔοικε δὲ ὅτι καὶ ἡ φωνὴ ταῦτα ἔχει.

Ἔοικε, φησίν, ὁ τῶν μουσικῶν ὀργάνων ψόφος τῇ φωνῇ, καθὸ ἔχει 40
αὐτῆς μίμημα τὰ εἰρημένα. δῆλον δὲ ὅτι φωνὴν μάλιστα νῦν λέγει τὴν διάλεκτον· περὶ ταύτην γὰρ μόνην ἡ λέξις θεωρεῖται. ἐν γὰρ ταῖς ἐνάρθροις φωναῖς μέλος μέν ἐστιν ἢ ῥυθμός, λέξις δ' οὐκέτι. κἂν γὰρ ἐπὶ κίττης εἴπῃς ἢ ψιττακοῦ ἢ τῶν τοιούτων, οὐ κυρίως ἡ λέξις, κατὰ μίμησιν δὲ καὶ ἀναλογίαν, ὥσπερ καὶ ἐπὶ τῶν ἀψύχων.

p. 420b9 Πολλὰ δὲ τῶν ζῴων οὐκ ἔχουσι φωνήν, οἷον τὰ ἄναιμα καὶ τῶν ἐναίμων ἰχθύες.

Ἐπειδὴ εἶπεν τὴν φωνὴν ψόφον εἶναι ἐμψύχου, οὐ πᾶν δὲ ἔμψυχον 45
φωνεῖ, ἀλλ' ἔστι τινὰ ἄφωνα, αὐτὸ τοῦτο προσδιορίζεται. οὐ γὰρ ἁπλῶς τὰ ἔμψυχά ἐστι τὰ φωνοῦντα, ἀλλὰ τὰ ζῷα, καὶ οὐδὲ πάντα ζῷα ἀλλὰ μόνα τὰ ἔχοντα πνεύμονα, τοῦτο δέ ἐστιν ὅσα ἀναπνεῖ (ὕλη γάρ ἐστι τῆς φωνῆς ὁ ἀναπνεόμενος ἀήρ, ὡς δείξει προϊών), οὔτε δὲ τὰ ἔντομα, οἷον μυῖαι, μέλιτται καὶ τὰ ὅμοια, ὡς οὐδὲ τὰ ἄναιμα φωνεῖ, οἷον σκώληκες· ἀλλ' οὐδὲ πάντα τὰ ἔναιμα, οἷον ὅσα τῶν ἐνύδρων μὴ ἀμφίβια εἰσιν, οἷον ἰχθύες· οὔτε γὰρ ἔχουσι πνεύμονα, καὶ διὰ τοῦτο οὐ φωνοῦσι. καὶ διὰ 50
τοῦτο ἔλλοπες ἐκλήθησαν ὡς ἐλλείποντες τῇ ὀπί. ἀλλ' οὐδὲ πάντα τὰ ἀμφίβια φωνοῦσιν· οὔτε γὰρ τὰ ὀστρακόδερμα, οἷον κοχλίαι, οὐδὲ τὰ μαλακόστρακα, οἷον καρκίνοι, σκυτάλαι. φωνοῦσι δὲ τῶν ἀμφιβίων ὅ τε ποτάμιος ἵππος καὶ ὁ κροκόδειλος· λέγεται γὰρ καὶ οὗτος φωνεῖν κατὰ βραχύ. ἀπορήσειε δ' ἄν τις, πῶς λέγονται τὰ ἔντομα μὴ φωνεῖν· τί γὰρ τῶν τεττίγων πολυφωνότερον; καὶ αἱ μυῖαι δὲ βόμβον ἱκανὸν ἐν τῷ ἵπτασθαι ποιοῦσι. λέγω | οὖν ὅτι οὐκ ἔστι φωνὴ ἡ τούτων διαφώνησις· οὐδὲ γὰρ I 8v
διὰ φωνητικῶν ὀργάνων γίνονται. ὑμὴν γάρ τίς ἐστι περὶ τὴν ἐπιφάνειαν ὑπὸ τὸ στῆθος τῶν τεττίγων, ὃν τύπτοντες ταῖς πτέρυξι καὶ ἐκθλίβοντες τὸν ἐναπειλημμένον ἀέρα ψοφοῦσιν. ὁμοίως δὲ καὶ μυῖαι τοῖς πτεροῖς πλήττουσαι τραχέσιν οὖσιν ἠχοῦσιν· ἀμέλει σταθεῖσαι οὐκέτι βομβοῦσι.

p. 420a10 Καὶ τοῦτο εὐλόγως, εἴπερ κίνησίς τις ἀέρος ὁ ψόφος. 5

Εἰπὼν ὅτι οὐκ ἔχουσιν οἱ ἰχθύες φωνὴν τὴν αἰτίαν αὐτοῦ τούτου

---

3 ὀξέως et βαρέως t 4 δὲ D Arist. SUV: γὰρ t Arist. vulg. 5 ὁ scripsi: ὅτι Dt 6 fort. μιμήματα 11 τὰ D: τά τε t Arist. 17 οὔτε δὲ A: δὲ om. Dt 19 ἔναιμα D: ἄναιμα t 21 ὀπί scripsi: ὀπῇ Dt 32 κίνησίς τις — ψόφος D: ἀέρος κίνησίς τίς ἐστιν ὁ ψόφος Arist. vulg.: eadem omisso τίς t Arist. SUVX

ἐπήγαγεν. εἰ γάρ, φησίν, ὡς δέδεικται, κίνησις ἀέρος ἐστὶν ὁ ψόφος, ἡ δὲ l 8v
φωνὴ ψόφος τις, οὐκ ἐν ἀέρι δὲ διατρίβουσιν οἱ ἰχθύες ἀλλ' ἐν ὕδατι,
εἰκότως φωνὴν οὐκ ἔχουσιν, οὐ τὸν ἀέρα κινοῦντες ἀλλὰ τὸ ὕδωρ. καὶ
τῶν ἀμφιβίων δὲ ὅσα φωνὴν ἔχει, οὐ δύναται ἐν ὕδατι φωνεῖν· οὐδὲ γὰρ 10
ἡμεῖς καταδύσαντες εἰς τὸ ὕδωρ φωνῆσαι δυνάμεθα. ἀλλ' οἱ λεγόμενοι
φωνεῖν ἐν τῷ Ἀχελῴῳ * * * μεγάλους εἶναι, οὓς δοκοῦσί τινες
φωνεῖν, ὅταν περὶ τὴν ἐπιφάνειαν τοῦ ὕδατος γένωνται. φησὶν οὖν ὅτι οὐ
δεῖ οἴεσθαι φωνεῖν αὐτούς· οὐδὲ γὰρ διὰ φωνητικῶν μορίων τὸν ψόφον
ποιοῦσιν, ἀλλὰ κατά τινα τῶν βραγχίων κίνησιν. ὅταν γὰρ οὗτοι νήχωνται
περὶ τὴν τοῦ ὕδατος ἐπιφάνειαν, μεγάλοι ὄντες καὶ ἐναπολαμβάνοντες πολὺ 15
ὕδωρ ἐν τοῖς βραγχίοις, εἶτα συστέλλοντες τὰ βράγχια, ἐκπέμπουσι τὸ
ὕδωρ καὶ ταράττουσι τῇ ἐκπομπῇ, κἀκεῖνο ταραττόμενον ἐναπολαμβάνει
τινὰ ἀέρα, ὃς ἐκθλιβόμενος τῇ πληγῇ τοῦ ὕδατος ἠχεῖ. καὶ ταύτῃ δοκοῦσιν
ἐκεῖνοι φωνεῖν, ὥσπερ καὶ ἐπὶ μυιῶν καὶ τεττίγων ἐλέγομεν. ὥστε ἔξω
τοῦ ζῴου γίνεται ὁ ψόφος, καὶ οὐ διὰ φωνητικῶν ὀργάνων. καὶ παρα-
πλήσιον συμβαίνει ἐπὶ τῶν τοιούτων, οἷον καὶ ἐπὶ τῶν περιστερῶν, αἵ-
τινες ἱπτάμεναι ψοφοῦσι ταῖς πτέρυξιν. ὅμοιος οὖν ὁ τοιοῦτος ψόφος τῷ
διὰ χειρῶν κρότῳ. ὥστε εἰ καὶ οἱ σκάροι λέγονται φωνεῖν, τὸ αὐτὸ 20
τοῦτο καὶ ἐπ' αὐτῶν γίνεσθαι ὑποληπτέον. τὸ δ' ἤ τινι ἑτέρῳ τοιούτῳ
προσέθηκεν, ὅτι ἐνδέχεται μὴ μόνον τῇ συστολῇ τῶν βραγχίων τὸν εἰρη-
μένον τρόπον ψοφεῖν αὐτούς, ἀλλὰ καὶ τῷ στόματι εἰσδεχομένους ὕδωρ
καὶ ἐξωθοῦντας μετὰ ῥοίζου. ἀμέλει ἐν τῷ βάθει ὄντες οὐ ψοφοῦσιν· ἀδύ-
νατον γὰρ ἐν τῷ ὕδατι γίνεσθαι ψόφον. διό, ὡς ἤδη εἶπον, ἐὰν ⟨ἐν⟩
ὕδατι συμπλήξωμεν τὰς χεῖρας, οὐ ψοφοῦσι· διηχὲς μὲν γάρ ἐστι τὸ ὕδωρ,
ψοφητικὸν δὲ οὔ.

p. 420b 13 Φωνὴ δ' ἐστὶ ζῴου ψόφος, καὶ οὐ τῷ τυχόντι μορίῳ.

Διακρίνας τὰ φωνοῦντα ἀπὸ τῶν μὴ φωνούντων καὶ ἐκ τούτων ἐφο-
διασθεὶς εἰς τὸν περὶ φωνῆς λόγον, βούλεται λοιπὸν τὸν τῆς κυρίως φωνῆς
ἀποδοῦναι λόγον. διακρίνει δὲ αὐτὴν ἐκ τῶν ἄλλων ψόφων διχῶς, ἔκ τε
τοῦ τρόπου τῆς γενέσεως, καὶ ἐκ τοῦ τέλους. ἐκ μὲν οὖν τοῦ τρόπου τῆς
γενέσεως, ὅτι ἡ φωνὴ γίνεται τοῦ εἰσπνευσθέντος ἀέρος ἐκθλιβομένου τῇ
συστολῇ τοῦ θώρακος κατὰ τὴν ἐνυπάρχουσαν αὐτῷ ψοφητικὴν δύναμιν
καὶ προσπίπτοντος τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ τῷ ἐναπειλημμένῳ ἐν αὐτῷ
ἀέρι, ὃς τῇ ἀθρόᾳ πληγῇ ἄθρυπτος ἀποπαλλόμενος ἀεὶ τύπτει τὸν προσεχῆ
ἀέρα ἕως τῆς ἀκοῆς. ἔστι γὰρ τὸ μὲν ἀχανὲς τοῦ στόματος τὸ μέχρι
τῆς ῥίζης τῆς γλώττης φάρυγξ· ἐκεῖθεν δὲ δύο ἀγγεῖα φέρονται, τὸ μὲν

6 lacunam indicavi: addendum ἰχθύας γὰρ λέγουσιν ἐν τῷ Ἀχελῴῳ 9 βραγχίων et 11 βραγχίοις — βράγχια A Suid. s. v. Πνεύμων: βραγχείων — βραγχείοις — βραγχεῖα Dt 16 καὶ om. t 19 γίνεσθαι om. t 20 ante ὅτι add. τὸ t 21 τρόπον scripsi: τόπον Dt 22 διωθοῦντας t 23 διό] διὰ τοῦτο t alterum ἐν addidi 31 τοῦ εἰσπνευσθέντος A: τοῦ ἐκπνευσθέντος D: ἐκ τοῦ πνευσθέντος t 32 θώρακος κατὰ τὴν in ras. D (m. pr., ut. vid.)

ἐπὶ τὸν θώρακα, ὃ καλεῖται τραχεῖα ἀρτηρία, τὸ δὲ ἕτερον τὸ πρὸς τῷ I 8v
τένοντι ἐπὶ τὴν γαστέρα, ὃ καλεῖται οἰσοφάγος. διὰ μὲν οὖν τοῦ οἰσοφάγου 35
ἡ πάροδος τῶν σιτίων γίνεται, διὰ δὲ τῆς τραχείας ἡ πάροδος τοῦ πνεύ-
ματος ἥ τε κατὰ τὴν εἰσπνοὴν καὶ τὴν ἐκπνοήν, ὅπερ τῷ εἰρημένῳ
5 τρόπῳ ἐκπνεόμενον ποιεῖ ψόφον, ὃς καλεῖται φωνή, ὅταν μετά τινος σημαν-
τικῆς φαντασίας γένηται. ἐκ μὲν οὖν τοῦ τρόπου τῆς γενέσεως ταύτῃ δια-
φέρει ἡ φωνὴ τῶν ἄλλων ψόφων. ὅσοι γὰρ ψόφοι μήτε ἐμψύχων, μᾶλλον
δὲ ζῴων, εἰσὶ μήτε διὰ τῶν εἰρημένων φωνητικῶν ὀργάνων γίνονται, οὔκ
εἰσι φωναί. ἐκ δὲ τοῦ τέλους, ὅτι ἡ φωνὴ κατὰ ὁρμήν τινα τοῦ ζῴου 40
10 γίνεται πρὸς τὸ σημᾶναί τι· διὸ καὶ μετὰ φαντασίας. διὸ καὶ οἱ τῶν
ἀλόγων ψόφοι φωναί· "σύννομον ἣν μεθέπων", φησίν, "ὠρύεται". καὶ γὰρ
ὁ κύων ὁπηνίκα φαντασίαν ἔχει τοῦ ἀλλοτρίου, ὑλακτεῖ, ὅταν δὲ τοῦ οἰκείου,
σαίνει· καὶ ἁπλῶς τοίως ἢ τοίως τυπούμενα κατὰ τὴν φαντασίαν διαφόρως
φωνεῖ· διὸ καὶ σημαντικαί εἰσιν αἱ φωναὶ αὐτῶν τῶν ψυχικῶν διαθέσεων.
15 καὶ γὰρ τροφῆς ὀρεγόμενα ποιᾷ φωνῇ χρῆται, καὶ ἄλλως ἀηδῶς διακείμενα
καὶ ἐν ἡδονῇ ὄντα. ἡ δὲ βῆξ κἂν κατὰ ἔξοδον τοῦ πνεύματος διὰ τῆς 45
τραχείας ἀρτηρίας γίνηται, οὐκ ἔστι φωνή· διαφέρει γὰρ καὶ τῷ τρόπῳ
τῆς γενέσεως καὶ τῷ τέλει, τῷ μὲν τρόπῳ τῆς γενέσεως, ὅτι ἐπὶ μὲν τῆς
φωνῆς τὸ ὠθούμενον πνεῦμα ἠρέμα καὶ κατὰ φύσιν ἐξιὸν πλήττει τὸ ἐν
20 τῇ τραχείᾳ ἀρτηρίᾳ εὐτάκτως καὶ αὐτὴν τὴν ἀρτηρίαν, κἀκεῖνο ὠθούμενον
κατὰ βραχὺ ὑπό τε τοῦ πλήττοντος καὶ τῆς τραχείας ἀρτηρίας ἠχεῖ
εὐρύθμως (ἑκόντος γὰρ τοῦ ζῴου γίνεται), ἐπὶ δὲ τῶν βησσόντων ἅτε
παρὰ φύσιν κινούμενον τὸ πνεῦμα ἀθρόως καὶ ἀτάκτως ἔξεισι τοῦ θώρακος 50
καὶ ἑαυτό τε πλήττει καὶ τὸ ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ. ὑγροῦ γὰρ παρὰ
25 φύσιν συστάντος ἐν τῷ θώρακι, τοῦτο ἡ φύσις ἐξωθῆσαι βούλεται διὰ τοῦ
πνεύματος, εἶτα μὴ ἐξισχύοντος τοῦ πνεύματος ἐξωθῆσαι αὐτὸ ἀντιπλήτ-
τεται ὑπ' αὐτοῦ καὶ πολλάκις ὁρμῆσαν διακόπτεται· ὅθεν καὶ ὁ κλόνος
γίνεται τοῦ σώματος. αὐτὸ δὲ τὸ διακόπτεσθαι καὶ κλονεῖσθαι σημεῖόν
ἐστι τοῦ μὴ ἐξισχύειν τὸ πνεῦμα ἐξωθῆσαι τὰ παρακείμενα. καὶ φλεγμαί-
30 νοντος δέ τινος τῶν περὶ τὸν θώρακα στενοχω|ρούμενον τὸ πνεῦμα m 1r
δυσπνοίας τε καὶ τῆς κατὰ βῆχα ἀτάκτου κινήσεως αἴτιον γίνεται. καὶ
ταύτῃ οὖν διαφέρει ἡ βῆξ τῆς φωνῆς καὶ τῷ τέλει, ὅτι οὐ μετὰ φαντα-
σίας γίνεται (οὐ γὰρ τοῦ σημᾶναί τι ἕνεκα) ἀλλ' ἀκουσίως, εἰ μή τι κατά
τινα συνθήκην γένηται, οἷον ὅτι ἐὰν χρέμψωμαι ἢ βήξω, τόδε τι σημαίνω·
35 τότε γὰρ καὶ ταῦτα φωναί τινές εἰσιν. ἔστιν οὖν συνελόντα εἰπεῖν ὅτι ἔστιν ἡ
φωνὴ ζῴου ψόφος διὰ τῶν φωνητικῶν μορίων μετὰ φαντασίας γινόμενος. φαν- 5
τασίας δηλονότι ἕνεκα τοῦ σημᾶναί τι. διὸ καὶ κατὰ βραχὺ κινοῦμεν τὸν εἰσ-
πνευσθέντα ἐν τῷ θώρακι ἀέρα, ὡς ἂν προαιρέσεως ἔχομεν μετὰ τάχους

---

1 τὸ πρὸς A: τὸ om. Dt Suid. s. v. Φωνήν 4 καὶ κατὰ τὴν t
11 σύννομον — ὠρύεται] cf. Apoll. Rh. Arg. IV, 1337 12 ἔχη t
16 κἂν] ἂν t 18 ἐπὶ t: om. D 19 τῷ ὠθούμενον D τὸ (ante ἐν) scripsi: τὸν Dt 24 ἑαυτό scripsi: ἑαυτῷ Dt 30 τῶν scripsi: τὸν Dt τὸν om. t

ἢ βραδυτῆτος φθέγξασθαι. τῆς μὲν οὖν φωνῆς ὄργανα ταῦτα· διαλέκτου m 1r
δὲ γλῶττα, ὑπερῴα, ὀδόντες. τοίως γὰρ καὶ τοίως τὸ φωνοῦν πνεῦμα
σχηματίζουσα ἡ γλῶττα διὰ τῆς ποιᾶς περιαγωγῆς, οὕτω τὰς λέξεις ποιεῖ.
διόπερ ὅσοις ἡ γλῶττα πέρα τοῦ μετρίου ἢ κεχάλασται ἢ δέδεται, οὗτοι
5 ⟨οὐδὲ⟩ διαλέγεσθαι ἢ οὐκ ἐνάρθρως διαλέγεσθαι δύνανται, μηκέτι τῆς
γλώττης οἵας τε οὔσης κατὰ λόγον ποιεῖσθαι τὰς κινήσεις, δι' ὧν ἡ φωνὴ 10
σχηματίζεται. ὥσπερ γὰρ καὶ ἐν αὐλοῖς καὶ ἐν τοῖς ὀργάνοις οἱ δάκτυλοι
τὸ διὰ τῶν ἀσκῶν ἢ τοῦ σώματος ἐκφυσώμενον εἰς τοὺς αὐλοὺς πνεῦμα
καὶ ψοφοῦν τοίως καὶ τοίως σχηματίζοντες εἰς λέξεις ῥυθμίζουσιν, οὕτω
10 καὶ ἡ γλῶττα τὸ ἐκ τοῦ θώρακος ἐκπνεόμενον καὶ πρὸς τῇ ἀρτηρίᾳ ψοφοῦν
σχηματίζει εἰς τὰς λέξεις. ὅθεν τὰ ἄλογα ἐπεὶ μὴ λογικὴν ἔχει ψυχήν,
τὴν γλῶτταν ἀνειμένην ἔχει καὶ σεσηρότα τὰ χείλη· οὐδὲ γὰρ ἐδεῖτο αὐτῆς
εἰς διαλέκτου ὑπηρεσίαν. διὸ καὶ τῶν πτηνῶν ὅσα παραπλησίαν ἔχει τήν 15
τε τῆς γλώττης καὶ τὴν τῶν γενύων διάθεσιν τοῖς τῶν ἀνθρώπων, μὴ
15 πάνυ σεσηρυῖαν, μιμεῖσθαι διάλεκτον δύνανται, οἷαί εἰσι κίτται καὶ ψιττακοὶ
καὶ τὰ ὅμοια. ἀλλ' ἐπεὶ πᾶν ψοφεῖ τύπτοντός τινος καί τι καὶ
ἔν τινι, τινὸς μὲν τοῦ πλήττοντος, τὶ δὲ τὸ πληττόμενον, ἔν τινι δὲ τῷ
ἀέρι, ὅπερ αὐτὸς ἐδήλωσεν εἰπὼν τοῦτο δέ ἐστιν ἀήρ· εἰ δὲ οὕτως ὁ
ψόφος γίνεται, εἰκότως πάντα ὅσα μήτε πνεύμονα ἔχει καὶ ὅσα ἐν ὕδατι
20 διαιτᾶται, οὐκ ἔχει φωνήν.

p. 420b16 Ἤδη γὰρ τῷ ἀναπνεομένῳ καταχρῆται ἡ φύσις ἐπὶ δύο ἔργα, καθάπερ τῇ γλώττῃ ἐπί τε τὴν γεῦσιν καὶ τὴν διάλεκτον.

Ἐπειδὴ εἶπεν ὅτι ταῦτα τῶν ζῴων φωνῇ κέχρηται, ὅσα ἀναπνεῖ,
25 ἔστι δὲ τοῦ ἀναπνεῖν προηγουμένη τις ἄλλη χρεία ἐν τοῖς ἀναπνέουσι, 25
πῶς καὶ πρὸς τὴν φωνὴν ἡ ἀναπνοὴ συντελεῖ, διὰ τούτων προσέθηκεν.
ὥσπερ γάρ, φησί, τὴν γλῶτταν ἐποίησεν ἡ φύσις πρὸς δύο ἔργα, ὧν τὸ
μὲν εἰς τὸ εἶναι συμβάλλεται τοῖς ἔχουσιν, ἡ γεῦσις, τὸ δὲ εἰς τὸ εὖ
εἶναι, ἡ διάλεκτος, οὕτω καὶ τῆς ἀναπνοῆς δύο ἐποίησε τὰ ἔργα, τὸ μὲν
30 ἓν πρὸς τὸ εἶναι, τὸ δὲ ἕτερον πρὸς τὸ εὖ εἶναι. συντομίας γὰρ ἀντι-
ποιεῖται ἡ φύσις· διὸ τοῖς αὐτοῖς ἐν πλείοσι κέχρηται. χρῆται οὖν τῇ
γλώττῃ ἡ φύσις καὶ πρὸς τὴν χρῆσιν τῶν χυμῶν καὶ πρὸς τὴν διάλεκτον,
ὧν τὸ μὲν πρὸς τὸ εἶναι συμβάλλεται (δίχα γὰρ τροφῆς ζῆσαι ἀδύνατον) 30
ἡ δὲ διάλεκτος πρὸς τὸ εὖ εἶναι· ἔνθεν γὰρ κοινωνικὸν ζῷον ὁ ἄνθρωπος,
35 καὶ δι' αὐτῆς ἐπιστήμονες ὑπὸ τῶν διδασκάλων γινόμεθα. διὰ τοῦτο ἡ
μὲν γεῦσις ἐν πᾶσι τοῖς ζῴοις, ἡ διάλεκτος δὲ οὐκ ἐν πᾶσιν, ἀλλ' οὐδ'

2 et 9 τοιῶς ubique ADt 5 οὐδὲ addidi 12 ἀνειμένην A: ἀνημένην Dt 14 τε D: om. At τοῖς τῶν ἀνθρώπων A: τοῖς ἀνθρώπων D: τοῖς ἀνθρώποις t 15 οἷα t 17 τὸ πληττόμενον scripsi: τοῦ πληττομένου D: τὸ τοῦ πληττομένου t 22 τε D Arist. vulg.: om. t Arist. SUVWX 24 φωνῆς D 25 προσηγουμένη D 28 ἔχουσιν, ὅπερ ἐστὶν ἡ γεῦσις καὶ κρίσις ἡ περὶ τοὺς χυμούς, τὸ δὲ A 29 post ἔργα add. ὧν t 34 ἡ δὲ] εἰ δὲ D

ὅλως ἡ φωνή, ἀλλ' ἐν τοῖς τελειοτέροις. ὥσπερ οὖν ἐπὶ τῆς γλώττης m 1r
ἔχει, οὕτω καὶ ἐπὶ τῆς ἀναπνοῆς. πρός τε γὰρ τὴν τοῦ ἐντὸς θερμοῦ
κατάψυξιν συμβάλλεται, ὅπερ ἐστὶν ἀναγκαῖον ἔργον τῆς φύσεως· εἰς γὰρ
τὸ εἶναι συντελεῖ τοῖς ἀναπνέουσιν, ὡς εἴρηκεν ἐν τοῖς Περὶ ζῴων μορίων 35
5 καὶ ἐν τῷ Περὶ ἀναπνοῆς καὶ ἐκπνοῆς, εἰς ἃ καὶ ὑπερτίθεται ὡς ἐν ἐκεί-
νοις ἐρῶν. δεῖται γάρ, φησί, καὶ ὁ πνεύμων ἀναπνοῆς, θερμότερος ὢν
κατὰ φύσιν ἐπὶ τῶν πεζῶν ζῴων διὰ τὸ ἐπικεῖσθαι τῇ καρδίᾳ, καὶ πολὺ
πρότερον ἡ καρδία· ἀπὸ γὰρ ταύτης καὶ ἐν τῷ πνεύμονι τὸ θερμὸν πε-
ριττεύει. διὰ τοῦτο γὰρ εἶπεν πρῶτον δεῖσθαι ἐμψύξεως τὸν περὶ τὴν
10 καρδίαν τόπον. ἐμψύχεται δὲ διὰ τοῦ πνεύμονος αὐτὴ δεχομένου τὸν
ἀναπνεόμενον ἀέρα καὶ τῇ ἰδίᾳ ἐμψύξει ἐπιψύχοντος κἀκείνην. αὕτη μὲν
οὖν ἡ ἀναγκαία τῆς ἀναπνοῆς χρεία πρὸς τὸ εἶναι συμβαλλομένη τοῖς 40
ζῴοις. συμβάλλεται δὲ καὶ εἰς διάλεκτον, ἥτις ἡμῖν ὑπάρχει πρὸς τὸ εὖ
εἶναι, εἴ γε καὶ πρὸς τὴν φωνήν· ἡ γὰρ φωνὴ ὕλη τῆς διαλέκτου. τῆς δὲ
15 φωνῆς ὕλη ὁ ἐκπνεόμενος ἀήρ, ποιητικὸν δὲ αἴτιον ἡ φύσις, ὀργανικὸν
δὲ ἡ τραχεῖα ἀρτηρία· οἷον γὰρ αὐλός ἐστιν. ἀμέλει καὶ οἱ μὲν νέοι
εὐφωνότεροί εἰσιν ὡς λείαν ἔχοντες αὐτήν, οἱ δὲ γέροντες κακοφωνότεροι
ὡς τραχυτέραν αὐτὴν ἔχοντες. τελικὸν δὲ ἡ σημασία· τέλος γὰρ τῷ ζῴῳ
τῆς φωνῆς τὸ σημαίνειν δι' αὐτῆς τὰς τῆς ψυχῆς διαθέσεις. τῆς δὲ 45
20 διαλέκτου ὕλη μέν, ὡς εἴρηται, ἡ φωνή, ποιητικὸν δὲ αἴτιον ἡ λογικὴ
ψυχή, ὀργανικὸν δὲ γλῶττα καὶ ὑπερῴα καὶ ὀδόντες, τελικὸν δὲ ἡ σημασία
τῶν νοημάτων. ὄργανον δὲ τῆς φωνῆς ὁ φάρυγξ. φάρυγξ ὅτε μὲν θηλυ-
κῶς λέγεται, σημαίνει τὴν κυρίως φάρυγγα· αὕτη δέ ἐστιν ἡ ἀχανία ἡ
μετὰ τὴν τῆς γλώττης ῥίζαν· ὅτε δὲ ἀρσενικῶς, σημαίνει πολλάκις τὸν
25 λάρυγγα, ὥσπερ καὶ ἐνταῦθα. ἔστι δὲ ὁ λάρυγξ τὸ ἔσχατον τῆς τραχείας
ἀρτηρίας, ὅπερ ὑπὸ τῶν τριῶν χόνδρων περιέχεται, τοῦ τε ἀρυταινοειδοῦς 50
καλουμένου καὶ τοῦ θυροειδοῦς καὶ τοῦ ἀνωνύμου, οἵτινες συστελλόμενοι
καὶ διαστελλόμενοι ὑπὸ τῶν ἐκεῖ μυῶν τὴν φωνὴν ῥυθμίζουσιν. ὑπὸ γὰρ
τῆς τοιᾶσδε τούτων συστολῆς καὶ διαστολῆς ἢ μᾶλλον ἢ ἧττον εἰδοποιεῖ-
30 ται ἡ φωνὴ κατά τε τὸ ὀξὺ καὶ τὸ βαρύ, καὶ εἴ τι ἄλλο εἶδος περὶ ταύ-
την θεωρεῖται, ὥσπερ ὑπὸ τῆς γλώττης καὶ τῆς ὑπερῴας καὶ τῶν ὀδόντ-
των εἰδοποιεῖται ἡ διάλεκτος. ὄργανον οὖν φησιν εἶναι τῆς φωνῆς εἰς τὸ
σύμπαν εἰπεῖν τὴν τραχεῖαν ἀρτηρίαν· ταύτης γὰρ ἀρχὴ ὁ λάρυγξ ἤτοι ὁ
φάρυγξ, ὡς αὐτὸς εἶπεν. οὗ δὲ ἕνεκα τὸ μόριον τοῦτο, πνεύμων· ἕνεκα 55
35 γὰρ τοῦ πνεύμονός φησι γεγενῆσθαι τὴν τραχεῖαν ἀρτηρίαν. ἣν φάρυγγα m 1v
ἐκάλεσεν, ἵνα δι' αὐτῆς εἰσιὸν τὸ πνεῦμα καταψύχῃ αὐτόν· ὅσα γὰρ

---

1 τελειωτέροις t 4 ἐν τοῖς Περὶ ζῴων μορίων] A 1 p. 642ᵃ31 sqq. 5 ἐν τῷ Περὶ ἀναπνοῆς καὶ ἐκπνοῆς] c. 16 p. 478ᵃ28 sqq. 9 ψύξεως t 14 φωνήν scripsi: διάλεκτον Dt 17 λείαν A Suid. s. v. Γλῶττα: λίαν Dt 18 ὡς A Suid.: εἰς τὸ D: om. t 22 νοξημάτων (ex νοσημάτων) D τῆς φωνῆς At: τῇ φωνῇ D 23 ἀχανία A Suid. s. v. Φάρυγξ: ἐχάνια Dt 25 λάρυγγα et λάρυγξ A: φάρυγγα et φάρυγξ Dt 27 post συστελλόμενοι add. καὶ διασυστελλόμενοι D 28 μυῶν A: μυιῶν Dt 29 συστολῆς] ἀναστολῆς Suid. 35 γὰρ om. D 36 καταψύχει D 36 p. 382,1 ψύχει (om. κατα) αὐτὸν — οὖν πνεύμονα ἔχει iterat D

πνεύμονα ἔχει, ταῦτα καὶ τραχεῖαν ἀρτηρίαν. ὅσα μὲν οὖν πνεύμονα ἔχει, m 1v
τῇ τραχείᾳ ἀρτηρίᾳ καταψύχεται τὸ ἐντὸς θερμόν, δι' αὐτῆς εἰσιόντος τοῦ ἀέρος. οἱ δὲ ἰχθύες διὰ τῶν βραγχίων καταψύχουσι τὸ ἐντὸς θερμὸν συστέλλοντες αὐτὰ καὶ εἰσδεχόμενοι τὸ ὕδωρ, ὥστε οὐ δέονται
5 πνεύμονος. καὶ ἄλλως οὐδὲ πάνυ δέονται τὰ ἔνυδρα τοῦ εἰσιέναι ἔξωθεν 5
τὸ ψυχρόν, ἵνα ἐμψύξῃ· τὸ γὰρ ὕδωρ αὐτοῖς περικείμενον αὐτῇ τῇ ἁφῇ τὴν ἔμψυξιν ἐργάζεται· εἰ δέ τι καὶ δέοιντο καὶ τῆς ἐν τῷ βάθει τοῦ ψυχροῦ παρόδου, διὰ τῶν βραγχίων τοῦτο ποιοῦσι συστελλομένων καὶ διαστελλομένων.

10 p. 420b24 Τούτῳ γὰρ τῷ μορίῳ πλεῖον ἔχει τὸ θερμὸν τὰ πεζὰ τῶν ἄλλων.

Τὰ πεζὰ τῶν ζῴων, φησίν, ὅσα πνεύμονας ἔχει, πλεονεκτεῖ τὰ ἔνυ- 10
δρα κατὰ τὴν ἐν τῷ πνεύμονι θερμότητα· μὴ ἔχοντα γὰρ ἐκεῖνα πνεύμονα οὐδὲ τὴν ἐν τούτῳ θερμότητα ἕξει. πνεύμονα δὲ οὐκ ἔχει, ἐπεὶ
15 μηδὲ καρδίαν· τὰ γὰρ καρδίαν ἔχοντα καὶ πνεύμονα ἔχει. οὐ δεῖ δὲ νομίζειν τοῦτο λέγεσθαι ὅτι καθάπαξ θερμότερά ἐστι τὰ πεζὰ τῶν ἐνύδρων, ἀλλὰ τῷ μορίῳ τούτῳ θερμότερα, ἐπειδὴ ὡς εἶπον οὐδ' ἔχει ἐκεῖνα πνεύμονα, ἐπεί τοί γέ τινά εἰσι τῶν ἐνύδρων θερμότερα κατὰ φύσιν τῶν πεζῶν· πέττουσι γοῦν τῶν ἰχθύων τινὲς ψάμμον καὶ τὰ ἰλυώδη 15
20 πάντα, ἅπερ τὰ πεζὰ οὐ πέττουσιν.

p. 420b26 Διὸ καὶ ἀναγκαῖον εἴσω ἀναπνεομένου εἰσιέναι τὸν ἀέρα.

Τῆς εἰσπνοῆς καὶ τῆς ἐκπνοῆς κοινὸν γένος ἡ ἀναπνοή. ἐνταῦθα οὖν ἀναπνεομένου εἶπεν ἀντὶ τοῦ εἰσπνέοντος τοῦ ζῴου ἀναγκαῖον εἴσω εἰσιέναι τὸν ἀέρα εἰς τὸν περὶ τὴν καρδίαν τόπον πρῶτον. οὗτος γὰρ
25 πρῶτός ἐστιν ὁ τῆς ἐμψύξεως δεόμενος· πηγὴ γὰρ τοῦ ἐμφύτου θερμοῦ ἡ καρδία· διὰ δὲ τὸ ἐπικεῖσθαι ταύτῃ τὸν πνεύμονα καὶ πολὺ τὸ θερμὸν 20
ἐξ αὐτῆς δέχεσθαι καὶ αὐτὸς ἐμψύξεως δεῖται. πρώτως οὖν ἡ καρδία δεῖται τῆς ἐμψύξεως, διὰ δὲ αὐτὴν καὶ ὁ πνεύμων. διὰ μὲν οὖν τῆς εἰσπνοῆς ἐμψύχεται, διὰ δὲ τῆς ἐκπνοῆς τὰ λιγνυώδη περιττώματα ἀπο-
30 κρίνεται.

p. 420b27 Ὥστε ἡ πληγὴ τοῦ ἀναπνεομένου ἀέρος καὶ τὰ ἑξῆς.

Ἐντεῦθεν ὁρίζεται τὴν φωνὴν ἀπὸ τοῦ τρόπου τῆς γενέσεως πρῶτον. 25
ἔστι γὰρ ἡ φωνή, φησί, πληγὴ τοῦ ἐκπνεομένου ἀέρος πρὸς τὴν τραχεῖαν ἀρτηρίαν ὑπὸ τῆς ἐν τῷ πνεύμονι καὶ τῷ θώρακι ψυχικῆς δυνάμεως.

2 δι' αὐτῆς om. t 3 et 8 βραγχίων A: βραγχείων Dt 10 πλεῖον D Arist. SUVWy: πλέον Arist. T: πλεῖστον t Arist. vulg. 14 δὲ] γὰρ t 21 καὶ D: om. t Arist. 29 λιγνώδη t 32 γενήσεως Dt

προσθήσει δὲ τῷ ὁρισμῷ ἐφεξῆς καὶ τὸ οὗ ἕνεκα, λέγων ὅτι τὸ τύπτον m 1v
καὶ ἔμψυχον ἕνεκά του μετὰ φαντασίας τινὸς τοῦτο ποιεῖ. διὸ ὁ τοιοῦτος
ψόφος σημαντικός ἐστι, λέγω δὴ ἡ φωνή.

p. 420b32 Σημαντικὸς γάρ τις ψόφος ἐστὶν ἡ φωνή, καὶ οὐ τοῦ
5 ἀναπνεομένου ἀέρος, ὥσπερ ἡ βήξ.

Διχόθεν, ὥσπερ εἶπον ἤδη, χωρίζει τὴν βῆχα ἀπὸ τῆς φωνῆς, καὶ 31
ἀπὸ τοῦ τέλους, ὅτι οὐ σημαντική, ἀλλ' ἀκούσιος κατά τι πάθος γίνεται,
καὶ ὅτι οὐδὲ κατὰ πάντα ὁμοίαν ἔχει τῇ φωνῇ τὴν γένεσιν. ἐπὶ μὲν
γὰρ τῆς φωνῆς τὸ ἐκ τοῦ θώρακος ἐκθλιβόμενον πνεῦμα κατὰ βραχὺ
10 προσπεσὸν τῷ ἐναπειλημμένῳ πνεύματι ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ πλήττει
αὐτὸ πρὸς αὐτῇ τῇ ἀρτηρίᾳ θλῖβον, καὶ οὕτω πληττομένης ταύτης ὑπὸ 35
τοῦ ἐν αὐτῇ πνεύματος γίνεται ὁ ψόφος ὁ κατὰ τὴν φωνήν· γίνεται δὲ
ἔναρθρος, ὅταν λαβοῦσα τὸν ἐκ τῆς κοιλότητος τῆς ἀρτηρίας ὠσθέντα ἀέρα
περὶ τὴν ἀχάνειαν ἡ γλῶττα τοίως ἢ τοίως σχηματίσῃ· ἐπὶ δὲ τῆς βηχὸς
15 ἐξωθεῖται μὲν ἐκ τοῦ θώρακος, ἀλλ' ἀθρόον, καὶ οὐ πλήττει μόνον τὸν
ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ ἀέρα, ἀλλὰ καὶ πλήττεται ὑπ' αὐτοῦ, καὶ τὰ ἄλλα
γίνεται, ὡς ἤδη προεῖπον.

p. 421a1 Σημεῖον δὲ τὸ μὴ δύνασθαι φωνεῖν ἀναπνέοντα μηδ'
ἐκπνέοντα.

20 Ἀναπνέοντά φησιν ἀντὶ τοῦ εἰσπνέοντα· τῷ γὰρ γενικῷ ὀνόματι 41
ἀντὶ τοῦ εἰδικοῦ ἐχρήσατο. τί οὖν φησιν; ὅτι, φησίν, ὁ ἐκπνεόμενος ἀὴρ
ποιεῖ τὴν φωνήν, σημεῖον τὸ μὴ δύνασθαι φωνοῦντα εἰσπνεῖν, διότι ἕξεισι
τὸ πνεῦμα, καὶ ἐὰν ὑπαντήσῃ ἄλλῳ εἰσιόντι, διακόπτεται. οὐ μόνον δέ,
φησίν, εἰσπνεῖν οὐ δυνατὸν φωνοῦντα, ἀλλ' οὐδὲ ἐκπνεῖν. καίτοι αὐτὸ
25 τοῦτο ἐκπνεόντων ἡ φωνὴ γίνεται, καὶ ταύτην εἶπεν γένεσιν φωνῆς, τὸν
ἐκπνεόμενον ἀέρα. ἴσως οὖν ἐκεῖνό φησιν ὅτι ἀθρόως ἐκπνέοντες οὐ δυνά- 45
μεθα φωνεῖν· ἀναλίσκεται γὰρ τῇ ἀθρόᾳ ἐκπνοῇ τὸ πνεῦμα, καὶ οὐ πρό-
τερον φωνῆσαι δυνάμεθα, πρὶν ἂν ἄλλο εἰσπνεύσωμεν, ὅπερ ὑπουργήσει
ἐκπνεόμενον εἰς τὴν τῆς φωνῆς γένεσιν. διὸ καὶ θαυμάζομεν τοὺς τραγῳ-
30 δοὺς ἐκτείνοντας τὰ μέλη ἀδιακόπως μετὰ σφοδρότητος, ὅτι ἐπὶ πολὺ αὐ-
τοῖς ἐξαρκεῖ τὸ πνεῦμα. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δηλοῦσιν αὐτοὶ οὗτοι,
ὅτε μέλλουσιν ᾄδειν, πολὺ πρότερον εἰσπνέοντες πνεῦμα καὶ οὕτως ἀρχό-
μενοι φωνεῖν, ἵνα ἐξαρκῇ αὐτοῖς περὶ τὴν ἐκπνοήν. διὰ τοῦτο οὐδὲ ἐπὶ 50
πολὺ ἀπνευστὶ διαλέγεσθαι δυνάμεθα, διὰ τὸ δαπανᾶσθαι τὸ πνεῦμα τὸ ἐν
35 τῷ θώρακι· δεόμεθα οὖν πρότερον εἰσπνεῦσαι ἄλλο εἰς χορηγίαν τῆς φω-

---

1 τὸ τύπον t 2 ἕνεκά του scripsi: ἕνεκα τοῦ t: ἕνεκα D ποιεῖ scripsi: ποιεῖν Dt 4 γάρ τις Dt Arist. SUVWX: γὰρ δή τις Arist. ET 10 προσπεσὸν scripsi: προσπεσὼν Dt 14 τοιῶς ἢ τοιῶς Dt 22 post σημεῖον add. δὲ t 23 διακόπτεται scripsi: διασκόπτεται Dt 30 ἀδιακόπτως t 34 τὸ ἐν] τῷ ἐν D

νῆς. ἅμα δ' εἰσπνεῖν τε καὶ διαλέγεσθαι ἀδύνατον, ἐπεὶ μηδὲ εἰσπνεῖν m 1v
τε ἅμα καὶ ἐκπνεῖν· ἐναντία γάρ. κινεῖ τούτῳ κατέχων. ὁ γὰρ
μέλλων φωνεῖν κατέχων τὸ ἐν τῷ θώρακι πνεῦμα κινεῖ τούτῳ τὸ ἐν τῇ
ἀρτηρίᾳ. ἀναλογεῖ δὲ τὸ ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ ἐναπειλημμένον πνεῦμα
5 τῷ ἐγκατῳκοδομημένῳ ἀέρι ἐν τοῖς ὠσί, πλὴν ὅτι τὸ μὲν ἐν τοῖς ὠσὶν
ἀκίνητόν ἐστιν καὶ ἀεὶ τὸ αὐτό, τὸ δὲ ἐν τῇ ἀρτηρίᾳ ἄλλοτε ἄλλο. | 55

p. 421a3 Φανερὸν δὲ καὶ διότι οἱ ἰχθύες ἄφωνοι. m 2r

Ἐκ τῶν εἰρημένων δήλη ἡ αἰτία, δι' ἣν οἱ ἰχθύες ἄφωνοι· διότι ἡ
φωνὴ ὑπὸ τοῦ ἐκπνεομένου πνεύματος γίνεται προσπίπτοντος τῇ τραχείᾳ 5
10 ἀρτηρίᾳ, ἐπειδὴ μηδὲ πνεύμονα ἔχουσιν, οὗ ἕνεκα τὸ μόριον τοῦτο, εἰκό-
τως ἄφωνοί εἰσι. καὶ ὅσοι, φησί, φωνεῖν αὐτοὺς νομίζουσιν διὰ τὸ ψο-
φεῖν τοὺς ἐν τῷ Ἀχελῴῳ ἰχθύας, οὗτοι διαμαρτάνουσι τὸν ψόφον φωνεῖν
νομίζοντες. εἰσὶ δέ τινες οἱ λέγοντες καὶ τοὺς ἰχθύας ἀναπνεῖν, καὶ διὰ
τούτου γέ τινες πειρῶνται δεικνύναι ὅτι ἐστὶ καὶ ἐν τῇ θαλάττῃ ἀήρ. τὸ
15 δέ ἐστι ψεῦδος· εἰ γὰρ ἀέρα ἀνέπνεον οἱ ἰχθύες ἐν ὕδατι ὄντες, διὰ τί
οὐ ζῶσιν οἱ ἰχθύες ἐν ἀέρι, ὥσπερ οὐδ' ἡμεῖς ἐν ὕδατι; οὐδὲ γὰρ αὐτάρκη
τὰ βράγχια εἰς τὸ ἑλκύσαι ἐντὸς ἀέρα, ὅθεν ἐπὶ βραχὺν χρόνον διαρκοῦντα 10
ἀπόλλυνται. διὰ τοῦτο οὖν, ἐπεὶ μὴ εἰσπνεῖν καὶ ἐκπνεῖν ἄρα δύναται,
εἰκότως οὐδὲ φωνεῖ. ἄλλως τε πῶς οἷόν τε ἦν ἐν ὕδατι ἀέρα εἶναι;
20 οὐδὲ γὰρ πέφυκεν ὑφίστασθαι ὁ ἀὴρ τῷ ὕδατι. δηλοῦσι δὲ οἱ πεφυση-
μένοι ἀσκοὶ καὶ οἱ κενοὶ ἀμφορεῖς ἐπιπολάζοντες αἵ τε πομφόλυγες αἱ
γινόμεναι, ἐπειδὰν ὀλίγη μοῖρα τοῦ ἀέρος ἐναποληφθῇ. δι' ἣν δὲ αἰτίαν,
ἕτερος ἔστω λόγος. ἤτοι λέγει δι' ἣν αἰτίαν ἀπατῶνται καὶ παράγον-
ται φωνεῖν αὐτούς, ἢ μᾶλλον δι' ἣν αἰτίαν οὐκ ἀναπνέουσιν. εἴρηκε δὲ 15
25 καὶ τούτου τὴν αἰτίαν ἐν τοῖς Περὶ ζῴων μορίων· οὐ γὰρ αὐτάρκης αὐτοῖς
ψύξις ἡ ἐκ [τῆς] τοῦ ἀέρος· διὸ οὐκ ἔχουσι τὰ ἀναπνευστικὰ τοῦ ἀέρος
μόρια· οὐδὲ γὰρ ἔχουσιν ἀέρα περικείμενον· ἀλλὰ τὸ ὕδωρ αὐτοῖς τήνδε
τὴν χρείαν παρέχει ἀνάλογον τῷ ἀναπνεομένῳ ἀέρι ἑλκόμενον ὑπ' αὐτῶν
διὰ τῶν βραγχίων καὶ αὖθις ἀποπτυόμενον. οὐδὲ τὰ ἄναιμα δὲ ἐμψύξεως
30 δεῖται τῷ μὴ τοσοῦτον εἶναι ἐν αὐτοῖς τὸ θερμόν. τὰ δὲ ἔντομα, ὡς ἤδη
εἴπομεν, διὰ τῶν ἐντομῶν, εἴ τι καὶ δέοι, ἐμψύχονται· καὶ ταῦτα δὲ ἢ
πάντα ἢ τὰ πλείω ἄναιμά εἰσιν. 20

---

2 κινεῖ] κινεῖ γὰρ Arist. τούτῳ Dt Arist. STUX: τοῦτο Arist. vulg. 3 ὁ κατέχων Arist. 3 et 4 τῷ ἐν ubique D 4 ἐναπολαμβανόμενον t 7 δὲ D Arist. vulg.: γὰρ t Arist. STUVW 12 ἀχέλῳ t φωνεῖν] fort. φωνὴν 18 εἰσπνεῖν D: ἀναπνεῖν t δύνανται t 22 δὲ Dt Arist. VX: μὲν οὖν Arist. vulg. 23 ἔστω Dt: ἐστὶ Arist. vulg.: ἔσται Arist. SUVX 25 ἐν τοῖς Περὶ ζῴων μορίων] Γ 6 p. 669a3sqq. (cf. de resp. 9. 10 p. 474b25 sqq. 476a6 sqq.) 26 τῆς delevi 31 ἐντομῶν scripsi: ἐντόμων Dt

p. 421ᵃ7 Περὶ δὲ ὀσμῆς καὶ ὀσφραντοῦ ἧττον εὐδιόριστόν ἐστι m 2r
τῶν εἰρημένων· οὐ γὰρ δῆλον οἷόν τί ἐστιν ὀσμή, οὕτως ὡς
ὁ ψόφος ἢ τὸ φῶς ἢ τὸ χρῶμα.

Τὴν περὶ τῆς ὀσφρήσεως καὶ τὴν τῶν ὀσφραντῶν διδασκαλίαν μέσην
5 ἔταξε, τρίτην μὲν τῆς ὄψεως καὶ τῆς ἀκοῆς, προτέραν δὲ τῆς γεύσεως
καὶ τῆς ἁφῆς· τοῦτο δὲ ἐπειδὴ καὶ μέσην εἴληχε φύσιν τῶν ἄλλων κατά
τε τὰς ἐνεργείας καὶ κατὰ τὰ ὑποκείμενα. κατὰ μὲν τὰς ἐνεργείας, ὅτι ἡ
μὲν ὄψις τῶν πορρωτάτω ἀντιλαμβάνεται, ἡ δὲ ἀκοὴ καὶ αὐτὴ μὲν τῶν 30
πόρρω, ἧττον δὲ τῆν ὄψεως (οὐδὲ γὰρ ἐκ τοῦ αὐτοῦ διαστήματος, ἀφ'
10 οὗπερ ὁρῶμεν, ἀπὸ τοῦ αὐτοῦ καὶ ψόφων ἀκούομεν. οὕτω γοῦν ἐν τοῖς
Μετεώροις ἐλέγετο ὅτι διὰ τοῦτο τῆς βροντῆς ὕστερον ἀκούομεν, τὴν δὲ
ἀστραπὴν πρῶτον ὁρῶμεν, ὅτι θᾶττον ὁρᾶν ἢ καὶ ἀκούειν δυνάμεθα. τοῦ
γὰρ πνεύματος προσρηγνυμένου τοῖς νέφεσιν ἡ βροντὴ γίνεται, ἐκ δὲ τῆς
προσρήξεως ἡ ἔξαψις τοῦ πνεύματος γίνεται, ὥσπερ ἐπὶ τῶν λίθων τῶν
15 τῇ παρατρίψει τε καὶ προσρήξει ἐξαπτόντων τὸ πῦρ. πρώτην οὖν ἐχούσης
τῆς βροντῆς τὴν γένεσιν, πρώτην τὴν ἀστραπὴν ὁρῶμεν διὰ τὸ αὐτὴν 35
μᾶλλον ὀξυτέραν εἶναι καὶ τῶν πορρωτάτω ἀντιλαμβάνεσθαι ἤπερ τὴν
ἀκοήν. καὶ διὰ τοῦτο ἀστραπῆς γενομένης εὐθὺς καὶ βροντὴ ἐπακολουθεῖ·
δεῖται γὰρ ἡ ἀκοὴ παθεῖν μᾶλλον τὸν πλησίον ἀέρα ὑπὸ τοῦ ψόφου, ἵν'
20 οὕτως αὐτοῦ ἀντιλάβηται. καὶ ἐπὶ τῆς εἱρεσίας, εἰ πόρρωθεν εἴη τις,
πρότερον ὄψεταί τις τὴν κώπην ἀνενεχθεῖσαν, εἶτα τοῦ ψόφου αἰσθήσεται)·
γεῦσις δὲ καὶ ἁφὴ ἁπτόμεναι τῶν αἰσθητῶν ἀντιλαμβάνονται· ἡ μέντοι
ὀσμὴ οὔτε οὕτω πόρρωθεν ἀντιλαμβάνεται ὡς ἡ ὄψις καὶ ἡ ἀκοή, οὔτε
οὕτως δεῖται ἐγγύθεν ἔχειν τὸ αἰσθητὸν ὡς ἡ ἁφὴ καὶ ἡ γεῦσις, μέσως 40
25 δὲ πρὸς ἑκατέρας ἔχει. οὕτω μὲν οὖν κατὰ τὰς ἐνεργείας μέση ἡ ὄσφρη-
σις· κατὰ δὲ τὰ ὑποκείμενα, διότι ἡ μὲν ὄψις περὶ χρώματα ἔχει καὶ τὸ
φῶς, ἅπερ ἐστὶ πύρια, λεπτομερέστατον δὲ τὸ πῦρ καὶ ὡς ἐν σώμασιν
ἀσώματον, ἡ δὲ ἀκοὴ περὶ ψόφους, οἵτινες ἀέρος εἰσίν, ὅσπερ τοῦ πυρὸς
μὲν παχύτερός ἐστιν, τῶν δὲ λοιπῶν λεπτότερος (κενὸν γοῦν τινες οἴονται
30 εἶναι τὸν ἀέρα), ἡ δὲ γεῦσις περὶ χυμούς, οἵτινές εἰσιν ὕδατος· ὄχημα
γὰρ τοῖς χυμοῖς τὸ ὑγρόν· ἁφὴ δὲ περὶ τὰ στερεὰ καὶ γεώδη. τούτων 45
πάλιν τῶν τεσσάρων μέση ἐστὶν ἡ ὄσφρησις περὶ ἀτμοὺς ἔχουσα καὶ τὸ
ἡμιγενὲς σῶμα, οἵτινες μεταξύ εἰσιν ἢ γῆς καὶ πυρός, ὡς ἡ ξηρὰ ἀναθυ-
μίασις, ἢ ἀέρος καὶ ὕδατος, ὡς ἡ ὑγρά. οὕτω δὲ καὶ ὁ Πλάτων κατὰ
35 τὴν εἰρημένην τῶν στοιχείων τάξιν τὰς αἰσθήσεις ἑκάστῳ ἀφορίζει. εἰκότως

---

2 οἷον D, cf. p. 388,4: ποῖον t Arist. ὀσμή Dt Arist. SUX: ἡ ὀσμὴ Arist. vulg. 3 ἢ τὸ φῶς Dt Arist. TWXy: om. Arist. vulg. 8 αὐτὴ A: αὕτη Dt 10 οὕτω γοῦν — ἀκούομεν (11) iterat D 10. 11 ἐν τοῖς Μετεώροις] Meteorol. B 9 p. 369ᵇ7 sqq. 12 ὅτι θᾶττον ὁρᾶν ἢ om. D 21 κόπην Dt ἀνεχθεῖσαν t 23 οὕτω scripsi: οὖν Dt 27 καὶ A: om. Dt 28 ὅσπερ A: ὥσπερ Dt 31 τὸν ὑγρόν t 33 ἡμιγενὲς] cf. Plat. Tim. p. 66 D 34 ὁ Πλάτων] Tim. p. 65 B sqq. 35 ἑκάστου t

οὖν μέσην ἐχούσης τάξιν τῆς ὀσφρήσεως μέσην καὶ τὴν περὶ αὐτῆς ἐποιή- m 2r
σατο διδασκαλίαν. λέγει οὖν ὅτι ὁ περὶ ὀσμῆς λόγος ἧττον τῶν ἄλλων
αἰσθήσεών ἐστιν εὐδιόριστος, διότι καὶ ὁ περὶ ὀσφραντοῦ λόγος οὐκ εὔδηλος.
αἴτιον δέ φησιν εἶναι τῆς ἐν τούτοις ἀσαφείας τὸ μὴ ἔχειν ἡμᾶς ἀκριβῆ 50
5 τὴν αἴσθησιν ταύτην. ἀλλὰ χείρονα πολλῶν ζῴων. ὥσπερ γὰρ τῇ ἁφῇ
πλεονεκτοῦμεν τὰ ἄλλα πάντα, οὕτω ταύτῃ ἐλλείπομεν. δηλοῦσι δὲ οἵ τε
κύνες ἰχνεύοντες καὶ τὰ πτηνὰ ἀπὸ διαστήματος πολλοῦ ὀσμώμενα· "κυνός,"
φησί. "Λακαίνης ὥς τις εὔρινος βάσις". καὶ πάλιν "ὅν τε καὶ ὑψόθ' ἑόντα
πόδας ταχὺς οὐκ ἔλαθε πτώξ". διά τοι τοῦτο, λέγω δὴ τὸ ἀμυδρὰν ἔχειν
10 παρὰ τὰς ἄλλας αἰσθήσεις τὴν ὄσφρησιν, ἐπὶ μὲν τῶν ἄλλων αἰσθήσεων
οὐ μόνον τί τὸ γένος τῶν αἰσθητῶν τὸ ὑποκείμενον ἑκάστῃ αἰσθήσει m 2v
γινώσκομεν, ἀλλὰ καὶ τὰ ὑπὸ τὸ γένος εἴδη. ἴσμεν γὰρ ὅτι τὸ χρῶμά
ἐστι τὸ γένος τῶν ὁρατῶν, καὶ τὰ εἴδη τοῦ γένους τούτου ἀκριβῶς δια-
γινώσκομεν, οἷον τὸ λευκόν, τὸ μέλαν, τὸ ἐρυθρόν, τὸ φαιὸν καὶ τὰ ἄλλα.
15 ὁμοίως καὶ ἐπὶ ἀκοῆς γένος μὲν οἱ ψόφοι, εἶδος δ' ὁ ὀξύς, ὁ βαρύς.
ὁμοίως τῶν γευστῶν γένος μὲν οἱ χυμοί, εἶδος δὲ τὸ γλυκὺ καὶ τὸ πικρὸν
καὶ τὰ λοιπά. καὶ ἐπὶ τῶν ἁπτῶν τὸ μὲν γένος οὐκ εὔδηλον (οὐ γὰρ 5
ἔχομεν ἑνὶ ὀνόματι τοῦτο κεκλημένον· διὸ καὶ ἀπορεῖ περὶ αὐτῆς, εἰ μία
ἐστὶν αἴσθησις ἢ πολλαί, διότι οὐ δυνατὸν ἑνὶ γένει πάντα περιλαβεῖν τὰ ἁπτά.
20 πλειόνων οὐσῶν ἀντιθέσεων κατὰ τὰ εἴδη), τὰ μέντοι εἴδη αὐτῶν καὶ πάνυ
ἐναργῆ. τὸ θερμὸν τὸ ψυχρόν. τὸ ξηρὸν τὸ ὑγρόν, βαρὺ κοῦφον. μαλακὸν
σκληρόν. καὶ τὰ λοιπά. ἐπὶ μέντοι τῆς ὀσφρήσεως οὐ μόνον τί τὸ γένος τῶν
ὀσφραντῶν ἀγνοοῦμεν, ἀλλ' οὐδὲ τὴν κατ' εἶδος αὐτῶν διαφορὰν ἐπιγινώ-
σκομεν· διόπερ οὐδὲ ὀνομάσαι αὐτὰ ἠδυνήθημεν. ὅταν γὰρ εἴπωμεν 10
25 ὀσφραντά, παρωνύμως ἐκ τῆς αἰσθήσεως αὐτὰ ὀνομάζομεν, ὥσπερ καὶ τὰ
χρώματα ὁρατὰ καὶ τοὺς χυμοὺς γευστὰ καὶ τοὺς ψόφους ἀκουστά· ταῦτα
γὰρ τὰ ὀνόματα οὐ τῆς φύσεώς ἐστι τῶν αἰσθητῶν, ἀλλὰ τῆς σχέσεως
αὐτῶν τῆς πρὸς τὰς αἰσθήσεις. τοῖς γὰρ χρώμασι καθ' αὑτὰ μὲν ὑπάρχει
τὸ χρώμασιν εἶναι· κἂν γὰρ μὴ ᾖ ὄψις ἡ ἀντιλαμβανομένη αὐτῶν, οὐδὲν
30 ἧττόν εἰσι χρώματα· ὁρατοῖς δ' αὐτοῖς εἶναι ἐν τῇ σχέσει ἐστὶ τῇ πρὸς
τὰς ὄψεις. οὕτως οὖν καὶ ὅταν λέγωμεν ὀσφραντὰ καὶ ἁπτά, ὀνόματά 15
φαμεν τῆς σχέσεως αὐτῶν, ἧς ἔχουσι πρὸς τὰς αἰσθήσεις, τῆς μέντοι
φύσεως αὐτῶν σημαντικὸν ὄνομα οὐδὲν ἔχομεν. ὥσπερ ἐπὶ τῶν ὁρατῶν τὸ
χρῶμα καὶ τῶν γευστῶν χυμοὺς καὶ τῶν ἀκουστῶν ψόφους. ἀλλ' ἐπὶ
35 μὲν τῶν ἁπτῶν εἰ καὶ μὴ τὸ κοινὸν ὠνόμασται, τῶν γοῦν εἰδῶν ἕκαστον
διακέκριται, οἷον θερμὸν ψυχρόν, μαλακὸν σκληρόν, καὶ τὰ λοιπά. ἐπὶ
μέντοι τῶν ὀσφραντῶν οὔτε ἡ κοινὴ αὐτῶν φύσις τίς ποτέ ἐστι δήλη ἡμῖν,

---

2 ἧττον A: ἥττων Dt 5 χείρονα A: χεῖρον Dt 8 φησί] Soph. Aiac. v. 8 τις Soph.: τινος Dt εὔρινος Soph. t: εὑρίειν D βάσις Soph.: βάσιν Dt 8. 9 ὅν τε — πτώξ] Il. P 676 8 ὅν τε Il.: ἔν τε Dt ὑψόθ' ἑόντα Il.: ὑψόθεν ὄντα Dt 15 ὁ ante ὀξύς om. t 32 τῆς μέντοι — ὄνομα (33) in ras. D¹ 33 ὥσπερ — γευστῶν (34) in ras. D¹ 35 τῶν (ante γοῦν)] τῷ t 37. p. 387,1 οὔτε — οὔτε scripsi: οὐδὲ — οὐδὲ Dt

οὔτε τῶν εἰδῶν ἕκαστον· διακρῖναι γὰρ τὰ ὀσφραντὰ κατ' εἶδος οὐ δυνά- m 2v
μεθα, μόνῳ δὲ τῷ ἡδεῖ καὶ τῷ λυπηρῷ αὐτὰ διακρίνομεν, μὴ εἰδότες 20
ποία τις ἰδιότης τοῦ ὀσφραντοῦ ἥσεν ἢ ποία ἐλύπησεν, ὥσπερ ἴσμεν ἐπὶ
τῶν χρωμάτων ὅτι τόδε χρῶμα, φέρ' εἰπεῖν τὸ ἄγαν λευκόν, λυπηρόν
5 ἐστι, τὸ δὲ μέλαν οὐ λυπεῖ τὴν αἴσθησιν, καὶ ὅτι ὁ γλυκὺς μὲν χυμὸς
ἥδει, ὁ δὲ πικρὸς ἀνιᾷ· ὁμοίως καὶ ἐπὶ ψόφων καὶ τῶν ἄλλων. τὸ γὰρ
εὐῶδες καὶ δυσῶδες οὐκ εἰσιν ὀνόματα τῆς φύσεως τῶν ὀσφραντῶν δηλω-
τικά, ἀλλὰ τῆς διαθέσεως τῆς ἐξ αὐτῶν ἐγγινομένης τῇ αἰσθήσει, ὥσπερ
καὶ ἐπὶ τῶν ὁρατῶν φαμεν εὐειδὲς καὶ δυσειδές, καὶ ἐπὶ τῶν ἀκουστῶν 25
10 εὔηχον καὶ δύσηχον. τοῦ δὲ μὴ δύνασθαι διακρίνειν τῶν ὀσφραντῶν τὰ
εἴδη αἴτιον τὸ ἀμυδρὰν ταύτην ⟨τὴν⟩ αἴσθησιν ἔχειν τὸν ἄνθρωπον. ἐπεὶ
οὖν ἀσθενῆ τὴν αἴσθησιν ταύτην ἔχομεν παρὰ τὰ ἄλλα ζῷα, διὰ τοῦτο,
φησί, καὶ ὁ περὶ αὐτῆς λόγος δυσδιόριστός ἐστιν. οὕτως οὖν, φησίν,
ἔχομεν ἡμεῖς τὴν ὄσφρησιν, ὥσπερ καὶ τὰ σκληρόφθαλμα τῶν ζῴων τὴν
15 ὄψιν, οἷον καρκίνοι, ἰχθύες. διὰ τοῦτο γοῦν ἡ φύσις οὐδὲ προκαλύμματα
ἐποίησε τούτοις, ὥσπερ ἐν τοῖς ἄλλοις ζῴοις τὰ βλέφαρα, διὰ τὸ μὴ ῥᾳδίως
δύνασθαι βλαβῆναι διὰ τὴν σκληρότητα. ὥσπερ οὖν ἡμεῖς οὐκ ἀκριβῶς 30
ἀντιλαμβανόμεθα τῶν ὀσφραντῶν διὰ τὸ μὴ ἀκριβῆ ἔχειν τὴν αἴσθησιν
ταύτην, ἀλλὰ τῷ ἡδεῖ καὶ τῷ λυπηρῷ μόνῳ διακρίνομεν αὐτά, οὕτως
20 εὔλογον καὶ τὰ σκληρόφθαλμα τῶν χρωμάτων ἀντιλαμβάνεσθαι, τῷ ἡδεῖ
μόνον καὶ τῷ λυπηρῷ ἀντιλαμβανόμενα αὐτῶν, οὐ μέντοι ὡς λευκοῦ ἢ
μέλανος, τῶν ἄλλων ζῴων εἰδότων τήν τε τοῦ λευκοῦ χρόαν, καὶ ὅτι ἥδει
ἢ λυπεῖ. ὅτι γὰρ ἐφιστάνει τὰ ἄλογα τῇ τῶν χρωμάτων καὶ τῇ τῶν
ἄλλων αἰσθητῶν διαφορᾷ, δῆλον ἐκ τῆς ἐναργείας. ὥσπερ γὰρ τὸν δεσπότην 35
25 γνωρίζει τῷ τοιῷδε ἐπιστήσαντα σχήματι, ὅτι γρυπός, εἰ τύχοι, ἢ σιμὸς
ἤ τι τῶν ἄλλων τῶν τοιούτων, οὕτως οἶδε καὶ ὅτι λευκός, εἰ τύχοι, ἢ
αἰθίοψ. καὶ τὸν ἄρτον διακρίνει ἢ τὸν χόρτον οὐ τῇ ὀσμῇ μόνον, ἀλλὰ
καὶ τῷ τοιῷδε χρώματι· ὅθεν καὶ πλανηθεῖεν ἂν πρὸς τὸ ὁμόχρουν. τὰ
μὲν οὖν ἄλλα τῶν ζῴων οὕτως· τὰ μέντοι σκληρόφθαλμα εὔλογόν φησι
30 μὴ αὐτῆς τῆς διαφορᾶς τῶν χρωμάτων ἀντιλαμβάνεσθαι διὰ τὴν ἀσθένειαν
τῆς ὄψεως, μόνον δὲ τῷ ἡδεῖ καὶ ἀνιαρῷ διακρίνειν αὐτά. ὡς γοῦν τὰ 40
σκληρόφθαλμα τὴν ὄψιν ἔχει, οὕτως ἡμεῖς τὴν ὄσφρησιν, διότι τῇ οὐσίᾳ
τῶν ὀσφραντῶν μὴ ἐπιστήσαντες οὐδὲ ὀνομάσαι αὐτὰ ἠδυνήθημεν, ἀλλ'
ἢ ἐκ περιφράσεως καλοῦμεν τὰς ὀσμάς, κρόκου ὀσμὴν λέγοντες, ἢ δριμεῖαν
35 ἢ πικρὰν ἤ τινα τῶν ἄλλων γευστῶν. τίς δὲ ἡ ἀναλογία καὶ διὰ τί οὕτω
καλοῦμεν, ἐν τῷ ῥητῷ ἐπισκεψόμεθα. περὶ δὲ ὀσμῆς καὶ ὀσφραντοῦ.
ἤτοι ταὐτόν φησιν ὀσμὴν καὶ ὀσφραντὸν τὸ οἷον γένος τῶν ὀσφραντῶν,
ὥσπερ τῶν ἀκουστῶν τὸ ψοφοῦν, γένος δ' οὐ κυρίως, ἀλλ' ἁπλῶς τὸ 45
κοινὸν ὄνομα παρωνύμως ἐκ τῆς ὀσφρήσεως παρηγμένον, ὥσπερ ἐκ τῆς

---

7. 8 τῶν ὀσφραντῶν — διαθέσεως A: om. Dt 8 ἐγγινομένην D 15 καλύμματα t
19 et 20 τὸ ἡδὺ D 21 ἀντιλαμβανόμεθα t 24 ἐνεργείας t 25 γρυπτὸς D
32 τῇ om. D 33 οὐδὲ scripsi: οὔτε ADt 34 ἢ (ante ἐκ) scripsi: ἡ D: εἰ in ras. A: ὁ t

ὄψεως τὸ ὁρατὸν καὶ τῆς ἀκοῆς τὸ ἀκουστόν, ἢ ὀσμὴν μὲν αὐτὴν τὴν m 2ᵛ
τῆς ὀσφρήσεως ἐνέργειαν, ὀσφραντὸν δὲ αὐτὸ τὸ ἀντιληπτὸν τῇ αἰσθήσει,
οἷον τὸν ἀτμὸν ἢ ἁπλῶς τὸ τοιόνδε πάθος τὸ τῇ ὀσφρήσει ἀντιληπτόν.
οὐ γὰρ δῆλον οἷόν τί ἐστιν ὀσμή, οὕτως ὡς ὁ ψόφος ἢ τὸ φῶς
5 ἢ τὸ χρῶμα. ἰδοὺ τὴν ὀσμὴν ψόφῳ καὶ φωτὶ καὶ χρώματι ἀπείκασε
τοῖς γενικωτέροις. εὔλογον δ' οὕτω. ἐπειδὴ ἄδηλον ἦν, εἰ οὕτως ὁρῶσι 50
τὰ σκληρόφθαλμα, καλῶς εἶπεν εὔλογον. τὸ γὰρ εἰκὸς ἔχει, σκληροῦ
ὄντος τοῦ δέρματος, μὴ ἀκριβῶς τὰς ἐνεργείας τῶν χρωμάτων ἐπὶ τὴν
αἴσθησιν διαπορθμεύεσθαι. τὸ δὲ πλὴν τῷ φοβερῷ καὶ ἀφόβῳ, ἀντὶ
10 τοῦ τῷ ἡδεῖ καὶ τῷ λυπηρῷ.

p. 421ᵃ16 Ἔοικε μὲν γὰρ ἀνάλογον ἔχειν πρὸς τὴν γεῦσιν. |

Ἀναλογίαν τινὰ ἔχει, φησίν, ἡ ὄσφρησις πρὸς γεῦσιν, διότι ἐκ μετα- m 3ʳ
φορᾶς κατά τινα ἀναλογίαν τοῖς τῶν χυμῶν ὀνόμασι καλοῦμεν καὶ τὰ 6
ὀσφραντά, γλυκεῖαν ὀσμὴν λέγοντες καὶ δριμεῖαν καὶ τὰς ἄλλας. ἀλλ' εἰ
15 καὶ ἀναλογία τίς ἐστιν ἐπί τε τῆς ὀσφρήσεως καὶ τῆς γεύσεως, ἀλλ' οὖν
τὴν μὲν ὄσφρησιν ἀμυδρὰν ἔχομεν, ἀκριβεστάτην δὲ τὴν γεῦσιν. εἶτα καὶ
τὴν αἰτίαν ἐπήγαγεν τοῦ ἔχειν ἡμᾶς ἀκριβῆ τὴν γεῦσιν· διότι, φησίν, ἁφή
τίς ἐστιν ἡ γεῦσις, τὴν δὲ ἁφὴν ἀκριβεστάτην ἔχομεν οἱ ἄνθρωποι. κατὰ
γὰρ τὰς ἄλλας αἰσθήσεις πολλῶν ζῴων λειπόμενοι, ταύτῃ πάντων ἐσμὲν 10
20 ἀκριβέστεροι, διότι, φησίν, πάντων φρονιμώτερον ζῷον ὁ ἄνθρωπος· ὡς
γὰρ μαλακόσαρκος, ἐξ οὗ καὶ κατὰ τὴν ἁφὴν αἰσθητικώτερός ἐστι, θᾶττον
διαφορεῖται τὰ περιττώματα καὶ οὐκ ἐπιθολοῦται αὐτοῦ τὸ φανταστικὸν
καὶ λογιστικόν. ἐπιστῆσαι δὲ χρὴ ὅτι ὡς ὑλικὸν αἴτιον αἰτιᾶται τὴν
σάρκα· οὐ γὰρ ποιητική ἐστι φρονήσεως, εἰ μὴ ὡς συναίτιον· διὰ γὰρ τὸν
25 σύνδεσμον συνδιατίθεται τὰ ψυχικὰ κινήματα ταῖς τοῦ σώματος κράσεσιν,
οὐ γεννώμενα ὑπὸ τῆς κράσεως, ἀλλ' οὐκ ἄνευ τῆς τοιαύτης κράσεως 15
τοιῶσδε ἢ τοιῶσδε ἐνεργοῦντα. εἰ δέ τινα εἴη ἄλλα τοῦ ἀνθρώπου μαλα-
κωτέραν ἔχοντα τὴν σάρκα, οἷον σκώληκες, τοῖς ἄλλοις δῆλον ὅτι ἐλλεί-
πουσιν· οὐ γὰρ ἔχουσι τέλειον τὸ φανταστικόν· νῦν δὲ περὶ τῶν τελείων
30 ζῴων ὁ λόγος. τάχα δὲ οὐδὲ σὰρξ ἡ τῶν σκωλήκων ὡς οὐδὲ ἡ τῶν
μυιῶν. ὅτι δὲ τῷ μαλακωτέραν ἔχειν τὴν σάρκα ὁ ἄνθρωπος φρονιμώ-
τερος, κατασκευάζει ἐκ τοῦ καὶ ἐπ' αὐτῶν τῶν ἀνθρώπων τοὺς μαλακο-
σάρκους μᾶλλον φρονιμωτέρους καὶ εὐφυεστέρους εἶναι· διὸ καὶ τοὺς 20
ἀνοήτους παχυδέρμους καλοῦμεν. δῆλον δὲ ὅτι τῶν ἄλλων τῶν αὐτῶν
35 φυλαττομένων, οἷον ἀγωγῆς τῆς αὐτῆς, φύσεως τῆς αὐτῆς, ἵνα μὴ παρα-

---

10 τῷ (ante ἡδεῖ) om. t ἡδύ D 11 μὲν D Arist. codd.: om. t (cum Ald.)
12 ἔχειν φασὶν t 21 αἰσθητικότερός t 25 συνδιατίθεται A: διατίθεται Dt
27 τοιῶσδε ἢ τοιῶσδε A: τοιῶς ἢ τοιῶς Dt 29 περΞτῶν D 30 ἢ utrumque
om. t 31 τῷ] τῶν t 33 φρονιμοτέρους t post εὐφυεστέρους εἶναι
add. τῶν ἄλλων πάντων διαθέσεων καὶ φυσικῶν ἰδιωμάτων ὁμοίως ἐχόντων et 34 δῆλον
δὲ — ἀλήθειαν (p. 389,8) om. A Suid. s. v. Μαλακός

βάλλῃς ἄνδρα πρὸς γυναῖκα, ὁμοίως ἐν τῷ κατὰ φύσιν ἀμφοτέρων ὄντων m 3r
οἱ μαλακόσαρκοι εὐφυέστεροι, διὰ τὸ ὡς εἶπον θᾶττον τῶν περιττωμάτων
διαφορουμένων καθαρώτερον γίνεσθαι τὸ πνεῦμα, ἔνθα τὸ φανταστικὸν
ἵδρυται. εἴπομεν δὲ τῶν ἄλλων τῶν αὐτῶν ὄντων, διότι ἐνδέχεταί τινα
5 ἀπὸ γυμνασίων πλειόνων καὶ τῶν περὶ τὰς βαναύσους τέχνας ἐνεργειῶν 25
σκληροτέραν ἴσχειν τὴν σάρκα τῶν σκιατραφουμένων καὶ ἐν ἀργίᾳ διατρι-
βόντων. ὁ δὲ λόγος τὴν ἐκ φύσεως ζητεῖ σύστασιν· δεῖ οὖν τὰ ἄλλα
πάντα τὰ αὐτὰ εἶναι, καὶ τότε τὴν τοῦ λόγου ζητεῖν ἀλήθειαν. παρ'
ἄλλο δὲ μηδὲν εἶπεν ἀντὶ τοῦ παρ' ἄλλο μηδὲν αἰσθητήριον χεῖρον
10 ἔχον ἢ βέλτιον εὐφυεῖς ἢ ἀφυεῖς εἶναι, ἀλλὰ παρὰ μόνην τὴν ἁφήν. εἰ
δέ τις εἰπόντος αὐτοῦ τὴν ἁφὴν ἀκριβεστέραν εἶναι τῶν ἄλλων ἀποροίη,
πῶς ἐκ τῆς ὄψεως ἤρξατο (δέον γὰρ ἐκ τῶν σαφεστέρων ἄρξασθαι), λέγο-
μεν ὅτι, εἰ καὶ ἀκριβεστέραν ἔχομεν τὴν ἁφήν, ἀλλ' οὖν δυσχερεστέρα 30
ἐστὶ τῶν ἄλλων κατὰ τὴν διδασκαλίαν. ἀπορήσει γὰρ περὶ αὐτῆς, μήποτε
15 οὐδὲ μία τις αἴσθησίς ἐστιν ἡ ἁφή, ἀλλὰ πλείους. πάσης γὰρ αἰσθήσεως
περὶ μίαν ἀντίθεσιν ἐχούσης, ὄψεως μὲν περὶ τὸ λευκὸν καὶ μέλαν καὶ τὰ
μεταξύ, ἀκοῆς περὶ τοὺς ὀξεῖς καὶ βαρεῖς φθόγγους, γεύσεως περὶ τὸ γλυκὺ
καὶ πικρὸν καὶ μεταξύ, ἡ ἁφὴ περὶ πλείους ἔχει ἀντιθέσεις, τὸ θερμὸν καὶ
τὸ ψυχρόν, τὸ ξηρὸν καὶ τὸ ὑγρόν, τὸ βαρὺ καὶ τὸ κοῦφον, καὶ ἄλλας
20 πλείους.

p. 421a26 Ἔστι δ' ὥσπερ χυμὸς ὁ μὲν γλυκὺς ὁ δὲ πικρός, οὕτω 35
καὶ αἱ ὀσμαί.

Εἰπὼν ὅτι ἀναλογίαν τινὰ ἔχει τὰ ὀσφραντὰ πρὸς τὰ γευστά, καὶ ὅτι 41
οὐχ ὁμοίως ἡ ὄσφρησις τῶν ὀσφραντῶν ἀντιλαμβάνεται ὡς ἡ γεῦσις τῶν
25 γευστῶν, καὶ δείξας, διὰ τί ἡ γεῦσις τῆς ὀσφρήσεως ἀκριβεστέρα, βούλεται
δεῖξαι ὅτι καὶ τίς ἡ ἀναλογία τῶν ὀσφραντῶν πρὸς τὰ γευστά, ὅτι ὥσπερ
τῶν χυμῶν οἱ μὲν γλυκεῖς χυμοὶ λέγονται οἱ δὲ δριμεῖς οἱ δὲ λιπαροί,
οὕτω καὶ ἐπὶ τῶν ὀσφραντῶν κατὰ μεταφορὰν λέγομεν τὰ ὀνόματα ταῦτα, 45
κοινωνίας τινὸς ἀμυδρᾶς ἐπ' ἀμφοτέρων θεωρουμένης. τῶν δὲ γευστῶν
30 φησιν ἅμα καὶ ὀσφραντῶν τὰ μὲν σύμφωνον ἔχειν τὸν χυμὸν τῇ ὀσμῇ,
οἷον κρόκος τε καὶ μέλι (γλυκεῖα γὰρ ἐπ' ἀμφοτέρων λέγεται ἡ ὀσμή,
ὥσπερ καὶ ὁ χυμός· ὁμοίως τὸ θύμον, σκόροδον, πράσον δριμὺ καὶ τῇ
ὀσφρήσει καὶ τῇ γεύσει), τὰ δὲ ἀσύμφωνον, οἷον ὁ ἀλόας τὴν μὲν γεῦσιν
πικρὰν ἔχει, γλυκεῖαν δὲ τὴν ὀσμήν, ὁμοίως δὲ καὶ ὁ στύραξ. δῆλον δὲ
35 ὅτι ἐπὶ μὲν τῶν γευστῶν κυρίως λέγονται τὰ ὀνόματα ταῦτα, ἐπειδὴ καὶ 50
ἡ οὐσία αὐτῶν κατείληπται, ἐπὶ δὲ τῶν ὀσφραντῶν κατὰ ἀναλογίαν,
ἐπειδὴ δακνώδης ἐστὶν ὁ δριμὺς χυμός, ἔστι δὲ καί τι ὀσφραντὸν τοιοῦτον

6 σκιατραφουμένων Diels: σκιογραφουμένων Dt ἐν ἀργίᾳ scripsi: ἐναργεία D: ἐνεργεία t 15 οὐδὲ μία scripsi: οὐδεμία Dt 19 τὸ ante κοῦφον om. D 21 ὁ μὲν om. D 22 αἱ ὀσμαί D: αἱ om. t Arist. 27 post μὲν add. γὰρ D 32 θυμὸν t δριμὺ καὶ] δρομυκὰ t 34 στύρας t

τρόπον, διὰ τοῦτο καὶ τοῦτο δριμὺ ἐκαλέσαμεν. καὶ ἐπὶ τῶν ἄλλων ἡ m 3r
αὐτὴ ἀναλογία.

p. 421ᵇ3 Ἔστι δ' ὥσπερ ἡ ἀκοὴ καὶ ἑκάστη τῶν αἰσθήσεων, ἡ μὲν τοῦ ἀκουστοῦ καὶ ἀνηκούστου, ἡ δὲ τοῦ ὁρατοῦ καὶ ἀνοράτου, καὶ ὄσφρησις τοῦ ὀσφραντοῦ καὶ ἀνοσφράντου. |

Ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἔλεγεν, ὄψεώς τε καὶ ἀκοῆς, m 3v
ὅτι ἀντιλαμβάνονται οὐ μόνον τῶν οἰκείων αἰσθητῶν, ἀλλὰ καὶ τῶν στερήσεων καὶ τῶν ὑπερβολῶν (τὸ γὰρ σκότος μὴ ὁρατὸν ὂν * * * οὐδενὶ ἄλλῳ ἢ τῇ ἀκοῇ), οὕτω καὶ ἐπὶ τῆς ὀσφρήσεως λέγει ὅτι ἀντιλαμβάνεται
10 οὐ μόνον τοῦ ὀσφραντοῦ, ἀλλὰ καὶ τοῦ ἀνοσφράντου. τὸ γὰρ ἄοσμον τίνι 5
ἄλλῳ κρίνομεν ἢ τῇ ὀσφρήσει; οὐ πᾶν δ' ἁπλῶς τὸ ἄοσμον κρίνει, ὥσπερ οὐδ' ἡ ὄψις τὸ ἀνόρατον. οὐ γὰρ ἐπειδὴ οἱ ψόφοι καὶ οἱ χυμοὶ καὶ ἄοσμοι καὶ ἀνόρατοι, διὰ τοῦτο φήσομεν ἢ τὴν ὄψιν τούτων εἶναι ἀντιληπτικὴν ἢ τὴν ὄσφρησιν· λόγος γάρ ἐστιν ὁ κρίνων ὅτι ὁ ψόφος ἀνόρατος
15 καὶ ἄοσμος, οὐκ αἴσθησις· ἀλλὰ ταύτης ἀντιλαμβάνεται τῆς στερήσεως τῆς ἀντικειμένης τῇ ἰδίᾳ τῶν αἰσθητῶν ἕξει, οἷον ὅταν τὸ πεφυκὸς ὁρατὸν εἶναι μὴ ὁρᾶται, ὡς τὸ διαφανές, ἢ τὸ πεφυκὸς ὀσφραντὸν εἶναι μὴ ἔχῃ 10
ὀσμήν, ὡς τὸ σεσηπὸς μῆλον. τούτων δὲ δῆλον ὅτι κατὰ συμβεβηκὸς καὶ κατὰ ἀπόφασιν ἀντιλαμβάνεται. τὸ δὲ ἀνόσφραντον πάλιν διττόν φησιν,
20 ἢ τὸ μηδ' ὅλως ὀσφραντὸν τὸ κατὰ στέρησιν, ὡς τὸ ἄοσμον, ἢ τὸ ὀσφραντὸν μέν, ἀμυδρῶς δὲ ὀσφραντόν, ὡς τὸ λυκόφωτον ἀνόρατον ἐλέγετο, οἷον αἱ Χαρώνιοι ὀσμαὶ πνιγώδεις οὖσαι καὶ ἕτερα τοιαῦτα. οὕτω δέ, φησί, καὶ τὸ ἄγευστον λέγεται διχῶς, ὥσπερ καὶ τὸ ἀνόσφραντον. ἐρεῖ δ' ἐν τῷ περὶ γεύσεως.

25 p. 421ᵇ8 Ἔστι δὲ καὶ ἡ ὄσφρησις διὰ τοῦ μεταξύ, οἷον ἀέρος ἢ 15
ὕδατος.

Ὅτι ὥσπερ ἐπὶ ὄψεως καὶ ἀκοῆς τοῦ μεταξὺ ἦν χρεία πρὸς τὴν ἀντίληψιν τῶν αἰσθητῶν, οὕτω καὶ ἐπὶ τῆς ὀσφρήσεως διὰ τοῦ μεταξὺ ἡ ἀντίληψις γίνεται. ἔστι δὲ μεταξὺ τῇ ὀσφρήσει ὕδωρ καὶ ἀήρ, ὥσπερ καὶ
30 ὄψει καὶ ἀκοῇ· ἡ γὰρ δίοσμος αὕτη δύναμις κοινή ἐστιν ἀέρος καὶ ὕδατος. ὅτι γὰρ καὶ τὸ ὕδωρ δίοσμόν ἐστι, κατασκευάζει ἐναργῶς ἐκ τῶν ἰχθύων· 20
πολλὰ γὰρ τῶν ἐνύδρων ὀσφραίνεται καὶ πόρρωθεν τῇ ὀσμῇ ἐπὶ τὸ δέλεαρ ἁπαντᾷ, ὥσπερ καὶ τῶν πτηνῶν πολλά, οἷον γῦπες· ἐκ πολλῶν γὰρ οὗτοι

---

3 ἔστι D Arist. vulg.: ἔτι t Arist. VX ἡ (ante ἀκοὴ) D Arist. W: om. t Arist. SUVX: καὶ ἡ Arist. ET καὶ om. D 4. 5 ἀνοράτου D: ἀοράτου t Arist. 5 ὄσφρησις D Arist. SVX: ἡ ὄσφρησις t Arist. vulg. 8 lacunam indicavi: addendum tale aliquid οὐδενὶ ἄλλῳ ἢ τῇ ὄψει κρίνεται καὶ τὸ ἄψοφον ἀνήκουστον ὂν 9 et 11 ἄλλῳ t: ἄλλο D 9 ὅτι D: ὡς t 14 γάρ om. t 18 ὀσμή t τούτων] τούτω t 20 τὸ (ante κατὰ) scripsi: τε Dt 21 τὸ≡ λυκόφωτον (τον in ras. m. alt.) D: fort. τὸ λυκόφως 29 γίνεται A: γάρ ἐστι Dt

διαστημάτων τῆς ὀσμῆς τῶν νεκρῶν σωμάτων ἀντιλαμβάνονται. ἔτι δὲ καὶ m 3ᵛ
ἐπὶ τῶν πεζῶν, οἷον αἱ θηρῶσαι κύνες, καθὼς καὶ Σοφοκλῆς φησι "κυνὸς
Λακαίνης ὥς τις εὔρινος βάσις". ὥσπερ οὖν τῶν πτηνῶν τε καὶ πεζῶν
πολλὰ πόρρωθεν τῶν ὀσμῶν ἀντιλαμβάνονται διὰ τὴν δίοσμον τοῦ ἀέρος
5 δύναμιν, οὕτω καὶ τῶν ἐνύδρων διὰ τὸ ἐνεῖναι καὶ ἐν ὕδατι τὴν δύναμιν 25
ταύτην. αἱ κογχύλαι γοῦν ὄψιν οὐκ ἔχουσαι φαίνονται δελέατι ἐφεπόμεναι,
ὁμοίως καὶ οἱ κροκόδειλοι τῶν κρεῶν ὑπὲρ τὴν ἐπιφάνειαν τοῦ ὕδατος
κρεμαμένων ἐφέπονται αὐτοῖς. ὅτι δὲ οὐχ ἁπλῶς ὁρῶντες οἱ ἰχθύες τὰ
δελέατα ἐφέπονται, δῆλον μέν, ὡς ἤδη εἶπον, καὶ ἐκ τῶν κογχυλίων, ἅτινα
10 ὄψιν οὐκ ἔχοντα ἐφέπονται τῷ δελέατι, δηλοῦσι δὲ καὶ οἱ ἄλλοι ἰχθύες
νύκτωρ θηρώμενοι. ἀπορήσειε δ' ἄν τις, εἰ διὰ τοῦ μεταξὺ ἡ ὄσφρησις
ἀντιλαμβάνεται ἀέρος ὄντος καὶ ὕδατος, διὰ τί ἐπικρατεστέρα γίνεται ὀσμὴ 30
ὀσμῆς· πολλάκις γὰρ δυσώδους ὀσμῆς οὔσης εὐώδης ἐπιγινομένη ἐπεκρά-
τησεν ἐκείνης, ἢ καὶ ἀνάπαλιν, ὅπερ οὐκ ἔδει γενέσθαι, εἰ διαπορθμευτικὸς
15 ἦν τῶν ὀσμῶν ὁ ἀήρ, ἀλλὰ μὴ αὐτοὶ οἱ ἀτμοὶ οἱ ὀσφραντοὶ ἐπὶ τὸ αἰσθη-
τήριον παρεγίνοντο, ὥσπερ πάντα τὰ χρώματα διαπορθμεύει καὶ οὐδέποτε
ἐπικρατεστέρα γίνεται ἡ ἐνέργεια φέρ' εἰπεῖν τοῦ λευκοῦ ἢ ἄλλου τινὸς
χρώματος, οἷον τοῦ μέλανος, διὰ τὸ μὴ αὐτὰ τὰ χρώματα ἐν τῷ ἀέρι 35
γίνεσθαι, ἀλλὰ τὰς ἐνεργείας αὐτῶν. οὕτως ἔδει καὶ ἐπὶ τῶν ὀσμῶν
20 γενέσθαι, εἴ γε μόνον τὰς ἐνεργείας αὐτῶν διεπόρθμευε καὶ μὴ αὐτοὺς
τοὺς ἀτμοὺς σώματα ὄντας. ἔτι δὲ τὴν αὐτὴν ἀπορίαν ἐπιτείνει καὶ τόδε,
λέγω τὸ μὴ διὰ τοῦ μεταξὺ τῶν ὀσφραντῶν ἀντιλαμβάνεσθαι τὴν αἴσθησιν,
ἀλλ' αὐτὸ τὸ ὀσφραντὸν ἐπὶ τὸ αἰσθητήριον παραγίνεσθαι· τῶν γὰρ θυμια-
μάτων τηνικαῦτα ἀντιλαμβανόμεθα, ὅταν ἐπιτεθέντα ἐπὶ τὸ πῦρ εἰς ἀτμοὺς
25 ἀναλύηται. ὁρᾶται γὰρ ἡ λιγνὺς ἐναργῶς ἀνιοῦσα καὶ πρὸς ἡμᾶς ἀφικνου- 40
μένη· ἀμέλει καὶ ὁπηνίκα θᾶττον τῆς ὀσμῆς ἀντιλαβέσθαι βουληθῶμεν,
ὠθοῦμεν τὴν λιγνὺν ταῖς χερσὶν ἐπὶ τὴν ῥῖνα· ὥστε ἄντικρυς ἀπόρροιά
τις γίνεται σωματικὴ ἐξ αὐτῶν τῶν εὐωδῶν σωμάτων, καὶ οὐχ ὁ ἀὴρ
διαπορθμεύει τὰς ἐνεργείας αὐτῶν, ὡς ἐπὶ τῶν χρωμάτων καὶ τῶν ψόφων.
30 καὶ τὴν ἀπορίαν δὲ ἐκείνην οὕτως ἐπελυόμεθα, λέγω δὴ τὴν δοκοῦσαν
δεικνύναι ἐκ τῆς τοῦ μήλου γινομένης εὐωδίας, ὡς αἱ ποιότητες χωρίζονται
τῶν ὑποκειμένων, καὶ ἐλέγομεν ὡς οὐκ αὐτὴ καθ' αὑτὴν ἐκ τοῦ μήλου 45
ἡ εὐωδία χωρεῖ καὶ ἐκ τῶν παραπλησίων, ἀλλὰ μετά τινος οὐσίας, καὶ
ἐπιστούμεθα τὸν λόγον ἔκ τε τοῦ χρόνῳ ῥυτιδοῦσθαι τὸ μῆλον, καὶ ἐκ
35 τοῦ ῥάκους τοῖς μυκτῆρσιν ἐπιτεθέντος ἀναπνεῖν μὲν τὸν ἀέρα (οὐ γὰρ
ἂν ἐζῶμεν μὴ ἀναπνέοντες), τῆς ὀσμῆς δὲ μὴ ἀντιλαμβάνεσθαι ὡς παχυ-
μερεστέρας οὔσης τῆς οὐσίας, ἐν ᾗ ἵδρυται τὸ ὀσφραντόν, καὶ μὴ δυναμένης
διὰ τοῦ ῥάκους διηθεῖσθαι, τοῦ δὲ ἀέρος διηθουμένου. πῶς οὖν συνά-

---

2 Σοφοκλῆς] εὐριπίδης (sic) D 2. 3 κυνὸς — βάσις Soph. Aiac. v. 8 2 κυνὸς] θηρὸς D 15 αὐτοὶ οἱ A: οἱ αὐτοὶ Dt 17 ἢ om. D 23 ἐπὶ — παραγίνεσθαι in ras. D¹ παραγενέσθαι t 24 ἀτμοὺς A: αὐτοὺς Dt 25 ἀναλύεται t 30 ἐπιλυόμεθα t 32 ὑπερκειμένων t 35 ἐπιτεθέντος scripsi: ἐπιτεθέντας Dt μὲν scripsi: μετὰ Dt 36 τῆς ὀσμῆς scripsi: ταῖς ὀσμαῖς Dt post ὡς add. μὴ D

γονται ἀμφότεροι οἱ λόγοι ὅ τε νῦν εἰρημένος καὶ ὁ λέγων ἀσωμάτως διὰ m 3v
τῆς διόσμου τοῦ ἀέρος δυνάμεως διαπορθμεύεσθαι τὰς ὀσμὰς ἐπὶ τὸ αἰσθη- 30
τήριον; λέγομεν οὖν πρὸς ταῦτα ὅτι κατὰ ἀλήθειαν μὲν γίνονται ἀπόρροιαί
τινες λεπτομερεῖς σωμάτων ἀπὸ τῶν εὐωδῶν καὶ μάλιστα ἀπὸ τῶν θυμιω-
5 μένων, καὶ διὰ τοῦτο ἐγγινομένων ἐν τῷ ἀέρι ἡ πλείων καὶ δραστικωτέραν
ἔχουσα τὴν ὀσμὴν ἐπικρατεῖ τῆς ἥττονος, ἐπεὶ καὶ ἐπὶ τῶν ψόφων, ἔνθα
μὴ σωμάτων ἐστὶν ἀπόρροια, ὁ μείζων ψόφος ἐπικρατεῖ τοῦ ἐλάττονος,
καὶ τὸ ἄγαν | λαμπρὸν τοῦ ἥττονος λαμποῦ. ἀλλ' εἰ καὶ γίνεταί τις m 4r
ἀπόρροια, οὐκ αὐτὴ ἐν τῷ αἰσθητηρίῳ γινομένη τὴν ἀντίληψιν παρέχει,
10 ἀλλὰ δεῖται τοῦ μεταξὺ ἢ ὕδατος ἢ ἀέρος διαπορθμεύοντος τὰς τῶν
ὀσφραντῶν ἐνεργείας. ἐπεὶ πῶς τὰ ἔνυδρα ὀσφραίνονται τῶν ὑπὲρ τὴν
ἐπιφάνειαν τοῦ ὕδατος; οὐ γὰρ εἰκός ἐστι τὴν ἀπόρροιαν ταύτην διὰ τοῦ
ὕδατος κάτω χωρεῖν, ἀλλὰ μᾶλλον ἄνω, εἴτε ἀτμιδώδης ἦν εἴτε καπνώ- 5
δης, ὡς ἐφεξῆς ἐρεῖ. νῦν δὲ καὶ οἱ κροκόδειλοι ὀσφραίνονται τῶν ἐπι-
15 κρεμαμένων ὑπὲρ τὴν ἐπιφάνειαν τοῦ ὕδατος κρεῶν. καὶ ὅτι οὐχ ὁρῶντες
ἐπιτρέχουσιν αὐτοῖς, ἀλλ' ὀσφραινόμενοι, δῆλον ἐξ ὧν καὶ ἐν νυκτὶ
θηρῶνται. καὶ γῦπες δ' ἐκ μυρίων ὅσων διαστημάτων αἰσθάνονται τῶν
νεκρῶν σωμάτων, καὶ οὐ δήπου ἐπὶ τοσοῦτον ἀπόρροιαι ἐκ τῶν σωμάτων
διαφοιτῶσιν. ἀλλ' ἔοικεν ἡ ἡμετέρα ὄσφρησις ἀμυδρὰ οὖσα καὶ ἀσθενὴς
20 δεῖσθαι ἰσχυροτέρας τῆς ἐνεργείας. ἐπεὶ οὖν ἡ ἐν πολλῷ ἀέρι διαπορθ- 10
μευομένη ἐνέργεια ἐλάττων γίνεται, ὥσπερ καὶ ἐπὶ ὁρατῶν ἔχει καὶ ἀκου-
στῶν, διὰ τοῦτο δεόμεθα πλησιαίτερον τῆς ῥινὸς τὴν ἀπόρροιαν γενέσθαι τοῦ
ὀσφραντοῦ, ἵνα ἰσχυρᾶς ἔτι οὔσης τῆς ἐνεργείας εὐχερῶς πάθῃ ὑπ' αὐτῆς
ἡ ὄσφρησις ἀλλοιουμένου τοῦ ἐν τῇ ῥινὶ ἀέρος, ὥσπερ καὶ οἱ τὰς ὄψεις
25 ἀσθενεῖς ἔχοντες ἢ οἱ τὰ ὦτα, εἰ μὴ πλησίον ποιήσωσι τὰ ὁρατὰ καὶ τὰ
ἀκουστά, οὐκ ἀντιλαμβάνονται. καὶ διὰ τοῦτο ῥάκους ἐπικειμένου ἐπὶ τὸ
αἰσθητήριον συμβαίνει μὴ ἀντιλαμβάνεσθαι τῆς ὀσμῆς, καὶ μάλιστα εἰ τὸ
ῥάκος παχυμερὲς εἴη ἢ μὴ δραστήριος ἡ ὀσμή, ὡς εἰ δραστήριος εἴη ἡ 15
ὀσμή, καὶ ῥάκους ἐπικειμένου ἐξαρκεῖ ἡ δίοσμος τοῦ ἀέρος δύναμις καὶ
30 ἄνευ τοῦ πλησιάσαι τῷ αἰσθητηρίῳ τὸν εὐώδη ἀτμὸν δρᾶσαι εἰς τὸ αἰσθη-
τήριον. ἔστι δὲ τὸ ὀσφραντικὸν αἰσθητήριον ἡ κατὰ τὰ ἐμπρόσθια τοῦ
ἐγκεφάλου μαστοειδὴς αὐτοῦ ἀπόφυσις μετὰ τὰ ἰσθμοειδῆ ὀστέα ὡς ἐπὶ
τὸ ἔνδον.

p. 421b 10 Ὁμοίως δὲ καὶ τὰ ἔναιμα καὶ τὰ ἄναιμα.

35 Τοῦτο μεταξυλογία ἐστίν. ἔστι δὲ τὸ ἀκόλουθον τῆς συντάξεως τοῦ 21
ῥητοῦ οὕτως. καὶ γὰρ τὰ ἔνυδρα δοκοῦσιν ὀσμῆς αἰσθάνεσθαι, ὥσπερ καὶ
τὰ ἐν τῷ ἀέρι. εἶτα τὸ ἑξῆς κατασκευαστικὸν τοῦ ὀσφραίνεσθαι τὰ ἔνυδρα,
⟨καὶ⟩ γὰρ τούτων ἔνια πόρρωθεν ἀπαντᾷ πρὸς τὴν τροφήν· τούτων

5 ἡ A: ἢ Dt 15 κρεῶν A: τῶν κρεῶν Dt 18 καὶ A: om. Dt 32 ἀπόφυσις A Suid. s. v. Ὀσφραντικὸν αἰσθητήριον: ἀπόφασις Dt 38 καὶ ex Aristotele addidi

δηλονότι τῶν ἐνύδρων. τὸ δὲ ὁμοίως δὲ καὶ τὰ ἔναιμα καὶ τὰ m 4r
ἄναιμα ἐπί τε τῶν ἐνύδρων καὶ τῶν ἐν τῷ ἀέρι· ἐν ἀμφοτέροις γάρ
ἐστιν αὕτη ἡ διαφορά· ὀσφραίνονται δὲ καὶ τὰ ἄναιμα, οἷον τὰ ἔντομα.
ἐὰν δὲ περιττεύῃ ὁ δέ τοῦ ὁμοίως δέ, καθαρὰ γίνεται ἡ σύνταξις.

5 p. 421b 13 Διὸ καὶ ἄπορον φαίνεται, εἰ πάντα μὲν ὁμοίως ὀσμᾶται, ὁ δὲ ἄνθρωπος ἀναπνέων.

Εἰπὼν ὅτι οὐ μόνον τὰ χερσαῖα, ἀλλὰ καὶ τὰ ἔνυδρα ὀσφραίνεται
καὶ ἐν ἑκατέροις καὶ τὰ ἔναιμα καὶ τὰ ἄναιμα, καὶ ὅτι πάντα διὰ τοῦ
μεταξύ, ἐπειδὴ τούτων τὰ μὲν ἀναπνέοντα ὀσφραίνεται, οἷον ἄνθρωπος καὶ
10 πάντα τὰ ἔχοντα πνεύμονα (τὸν γὰρ ἄνθρωπον ἔλαβε παράδειγμα ἀντὶ
πάντων τῶν ἀναπνεόντων), οὐκ ἀναπνέουσι δὲ οἵ τε ἰχθύες καὶ τῶν χερ- 35
σαίων τὰ ἄναιμα, καὶ τῶν ἐναίμων γίνεται ἡ ἀντίληψις τῶν ὀσμῶν διὰ
τῆς διόσμου τοῦ ἀέρος δυνάμεως, ἀπορεῖ ἐπὶ τούτοις ὅτι εἰ πάντα τὰ
ὀσμώμενα ὁμοίως ἀντιληπτικά ἐστι τῶν ὀσμῶν, ὁ δὲ ἄνθρωπος, ταὐτὸν
15 δὲ εἰπεῖν πάντα τὰ ἀναπνέοντα, εἰσπνέων ὀσμᾶται, οὔτε δὲ ἐκπνέων οὔτε
κατέχων τὸ πνεῦμα, ὡς ἡ ἐνάργεια δηλοῖ, ἀλλ' οὔτ' ἂν πόρρω ᾖ τὸ
ὀσφραντόν, οὔτ' ἂν πάνυ ἐγγύς, ὡς ἐπ' αὐτὸν κεῖσθαι τὸν μυκτῆρα ἐντός,
ἀκόλουθον ἂν εἴη καὶ τὰ ἄλλα τὰ ὀσμώμενα ἀναπνέοντα ὀσμᾶσθαι. καὶ 40
γὰρ καὶ τὰ ἄλλα ὁμοίως ὀσφραίνεται τοῖς ἀναπνέουσιν· οὔτε γὰρ πόρρω
20 ὄντος τοῦ ὀσφραντοῦ ἀντιλαμβάνονται οὔτ' ἂν ἐντὸς τοῦ μυκτῆρος τεθῇ.
τὸ δὲ διὰ τοῦ εἰσπνεῖν ὀσμᾶσθαι ἴδιόν ἐστι, φησί, τοῦ ἀνθρώπου, ταὐτὸν
δὲ εἰπεῖν πάντων τῶν ἀναπνεόντων. εἰ δὲ τοῦτο οὕτως ἔχει, καὶ κοινω-
νοῦσι μὲν πάντα τὰ ὀσμώμενα ζῷα κατὰ τὰ ἄλλα πάντα, τὰ δὲ ἀναπνέοντα
οὐκ ἄλλως ὀσμᾶται ἢ διὰ τοῦ εἰσπνεῖν, ἔοικεν ἄρα τὰ μὴ ἀναπνέοντα τῶν
25 ζῴων, οἷον τὰ ἄναιμα, οὐκ ὄσφρησιν ἀλλ' ἄλλην τινὰ αἴσθησιν ἔχειν. εἰ 45
γὰρ ἡ δίοσμος τοῦ ἀέρος δύναμις καὶ μὴ ἀναπνέουσιν αὐτοῖς διαβιβάζει
ἐπὶ τὸ αἰσθητήριον αὐτῶν τὰς ὀσμάς, διὰ τί μὴ καὶ ἐπὶ τῶν ἀναπνεόντων
τοῦτο συμβαίνει, ἀλλὰ δέονται τοῦ εἰσπνεῖν; ἡ μὲν οὖν ἀπορία αὕτη. ἑξῆς
δὲ ἐπισυνάπτει καὶ τὴν λύσιν, καὶ πρῶτον μὲν δείκνυσιν ὅτι καὶ τὰ μὴ
30 ἀναπνέοντα οὐκ ἄλλην τινὰ αἴσθησιν ἔχει, ἔπειτα καὶ τὴν αἰτίαν ἐπάγει,
διὰ τί τὰ ἀναπνέοντα ἄνευ τοῦ εἰσπνεῖν οὐ δύναται ὀσφραίνεσθαι, τῶν
ἄλλων πρὸς τὴν ἀντίληψιν τῶν ὀσφραντῶν ὅλως ἀναπνοῆς μὴ δεομένων. 50
παρὰ δὲ τὴν ἀναπνοὴν ἀντὶ τῆς εἰσπνοῆς φησι τὸ γενικὸν ἀντὶ τοῦ εἰδικοῦ.
τοῦ δὲ τὸ ὀσφραντὸν ἐπιτιθέμενον ἐπὶ τὸ ὀσφραντικὸν αἰσθητήριον μὴ
35 παρέχειν αὐτοῦ τὴν ἀντίληψιν οὐκ ἔχομεν ἐκ τῆς ἐναργείας τὴν πίστιν·

---

3 αὕτη scripsi: αὐτὴ Dt 8 καὶ ἐν A: post καὶ add. τὰ Dt 9 ἐπεὶ δὲ t 12 ἐναίμων] fort. ἀναίμων (cf. v. 25), nisi maius vitium subest καί τινα τῶν ἐναίμων, καὶ γίνεται A 15 τὰ ἀναπνέοντα πάντα t 16 ἐνέργεια t 16. 17 οὔτ' ἂν—οὔτ' ἂν scripsi: οὐδ' ἂν — οὐδ' ἂν A: οὐδὲν — οὐδ' ἂν Dt 21 φησί post ἀνθρώπου transp. t 24 οὐκ ἄλλως A: οὐκαλῶς D: οὐ καλῶς t 31 δύνανται t 33 δὲ om. t 34 τοῦ δὲ] τὸ δὲ t 35 ἐνεργείας t

οὐδὲ γὰρ ὑποπίπτει ἡμῖν εἰς τὸ ἐμφανὲς τοῦτο τὸ αἰσθητήριον· συλλογί- m 4r
σασθαι δὲ ἔστι τοῦτο ἔκ τε τῶν ἄλλων αἰσθήσεων τῶν τοῦ μεταξὺ δεο-
μένων καὶ ἐκ τοῦ μήτε ἐκπνέοντας μήτε κατέχοντας τὸν ἀέρα ὀσφραίνεσθαι,
ὡς δέον πάντως παθεῖν τι τὸν ἀέρα ὑπὸ τῶν ὀσφραντῶν | καὶ τοῦτο εἰς m 4v
5 ἡμᾶς ποιῆσαι. ἐπὶ γοῦν τῶν μὴ δεομένων τοῦ μεταξύ, γεύσεως λέγω καὶ
ἁφῆς, εἰ μὴ αὐτοῦ ἅψηται τοῦ αἰσθητηρίου τὸ ἁπτὸν καὶ τὸ γευστόν, οὐ
παρέχει ἡμῖν ἑαυτοῦ τὴν ἀντίληψιν διὰ τὸ μὴ πάσχειν τι τὸν ἀέρα ὑπὸ
τῶν χυμῶν. καὶ τοῦτο εἰκότως· τῶν μὲν γὰρ χυμῶν τὸ ὕδωρ ἐστὶν ὄχημα,
τῶν δὲ ὀσμῶν οἱ ἀτμοί· οὗτοι δὲ μᾶλλον ἀέρος. οὐ δεῖ δὲ νομίζειν, ὅπερ
10 ἤδη εἶπον, ὅτι αὐτοὺς δεῖ τοὺς ἀτμούς, ἐν οἷς αἱ ὀσμαί, παραγενέσθαι εἰς 5
τὸ αἰσθητήριον (καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ οἱ ἰχθύες ὀσφραίνονται), ἀλλ'
ὅτι ποιοῦσιν οὗτοι τὴν δίοσμον δύναμιν τοῦ τε ἀέρος καὶ τοῦ ὕδατος,
οὐκέτι τῆς οὐσίας τοῦ ὕδατος δεχομένης τὴν ὀσμήν, ἀλλὰ τῆς διόσμου
δυνάμεως αὐτοῦ τελειουμένης, ὥσπερ καὶ ὑπὸ τῶν χρωμάτων οὐκ αὐτὴ
15 ἡ τοῦ ἀέρος οὐσία ποιοῦται, ἀλλ' ἡ διαπορθμευτικὴ τῶν χρωμάτων αὐτοῦ
δύναμις τελειοῦται.

p. 421ᵇ21 Ἀλλ' ἀδύνατον, εἴπερ τῆς ὀσμῆς αἰσθάνεται· ἡ γὰρ
τοῦ ὀσφραντοῦ αἴσθησις καὶ δυσώδους καὶ εὐώδους ὄσφρησίς 10
ἐστιν.

20 Ὅτι τὰ μὴ ἀναπνέοντα οὐκ ἄλλῃ κέχρηται αἰσθήσει παρὰ τὴν
ὄσφρησιν, διὰ τούτων δείκνυσιν. εἰ γὰρ ὀσμῆς, φησίν, αἴσθησιν ἔχουσιν,
ἡ δὲ ὀσμὴ οὐδεμιᾷ ἄλλῃ αἰσθήσει ἐστὶν αἰσθητή. ἀλλὰ μόνῃ τῇ ὀσφραν-
τικῇ, τὴν ὄσφρησιν ἄρα καὶ οὐκ ἄλλην ἔχουσιν αἴσθησιν. ὅτι δὲ ὀσμῆς
αἰσθάνονται, κατασκευάζει ἐκ τοῦ τῆς κατ' αὐτὴν ἀντιθέσεως ἀντιλαμβά- 15
25 νεσθαι, εὐωδίας λέγω καὶ δυσωδίας, ὅπερ ἀνωτέρω ἔλεγεν ἤδὺ καὶ λυπηρόν.
ἑνὶ μὲν οὖν τούτῳ ἐπιχειρήματι κατεσκεύασεν ὅτι τὴν ὄσφρησιν καὶ οὐκ
ἄλλην αἴσθησιν ἔχουσι, λέγω δὴ ἐκ τοῦ τὰς αὐτὰς ἐνεργείας ἐνεργεῖν ἅσπερ
καὶ τὰ ὁμολογουμένως ὀσφραινόμενα (ὧν δὲ ἐνέργειαι αἱ αὐταί, τούτων
πάντως καὶ αἱ δυνάμεις), ἑτέρῳ δέ, ὅτι ὥσπερ τὰ ἀναπνέοντα φθείρεται
30 ὑπὸ τῶν φθαρτικῶν ὀσμῶν, οἷον ἀσφάλτου, θείου, οὕτω καὶ τὰ μὴ ἀνα-
πνέοντα· εἰ δὲ τοῦτο, ὀσφραίνοιντο ἂν δηλονότι καὶ ταῦτα. 20

p. 421ᵇ26 Ἔοικε δὲ τοῖς ἀνθρώποις διαφέρειν τὸ αἰσθητήριον
τοῦτο πρὸς τὸ τῶν ἄλλων ζῴων.

Τὴν αἰτίαν ἐντεῦθεν ἀποδίδωσι, τίνος ἕνεκεν τὰ μὲν μὴ ἀναπνέοντα
35 ὀσφραίνεται, τὰ δὲ χωρὶς ἀναπνοῆς ἀδύνατά ἐστιν ὀσφρανθῆναι. φησὶν οὖν

11. 12 ἀλλ' ὅτι scripsi: ἄλλό τι Dt 15 διαπορθμευκτικὴ t 17 ἀλλὰ δυνατὸν D¹, sed corr. D² 20 τὰ μὴ A: μὴ τὰ Dt 22. 23 ὀσφραντικῇ scripsi: ὀσφραντῇ Dt: ὀσφρήσει A 27 λέγω δὲ t ὥσπερ t 28 ὁμολογουμένω, ut vid., D δὲ αἱ ἐνέργειαι t 29 ἑτέρῳ A: ἕτεροι Dt 33 πρὸς τὰ (ex Ald.) t

ὅτι τοιοῦτό τι συμβέβηκεν ἐπὶ τῆς ὀσφρήσεως, οἷον καὶ ἐπὶ τῶν ὄψεων. m 4v
ὥσπερ γὰρ ἐπὶ τούτων τὰ μὲν σκληρόφθαλμα τῶν ζῴων οὐκ ἔχουσι βλέφαρα προκαλύμματα τῶν ὀμμάτων καὶ φυλακτήρια, διὰ τὸ αὐτόθεν ἔχειν τὴν ἀσφάλειαν ἐκ τῆς δυσπαθείας τῆς κατὰ τὴν σκληρότητα, τὰ δὲ μαλακόφθαλμα βλεφάροις ἐπικεκαλυμμένους ἔχει τοὺς ὀφθαλμοὺς πρὸς φυλακὴν τῶν αἰσθητηρίων ὡς εὐπαθεστέρων, καὶ διὰ τοῦτο τὰ μὲν ἔχοντα βλέφαρα, εἰ μέλλοι ὁρᾶν, δεῖ πρότερον ἀνασπάσαι τὰ βλέφαρα, τὰ δὲ μὴ ἔχοντα οὐ δεῖται τούτου, οὕτω καὶ ἐπὶ τῆς ὀσφρήσεως τὰ μὲν ἀναπνέοντα τῶν ζῴων ἐοίκασι προκάλυμμά τι καὶ ἔλυτρον τοῦ ὀσφραντικοῦ μορίου ἔχειν ἀσθενεστέρου κατὰ τὸ εἰκὸς τυγχάνοντος, τοῖς δὲ μὴ ἀναπνέουσιν ἀκάλυφές τε εἶναι τὸ αἰσθητήριον τοῦτο, καὶ μηδενὸς δεῖσθαι προκαλύμματος. ὅσα οὖν οἷον ἐπικάλυμμα ἔχει πρὸς τὸ αἰσθητήριον, δέονται τῆς εἰσπνοῆς, ὥστε εὐρῦναι τὸ φλέβιον (φλέβιον δέ φησι τὸ ὀσφραντικὸν νεῦρον), ἵνα καθαρῶς δέξηται τὰς ἐνεργείας τῶν ὀσφραντῶν. αὐτὸς μὲν οὖν τοσοῦτον εἶπεν. ἴσως δ' ἐπειδὴ ἐντὸς τῶν ἰσθμοειδῶν ὀστέων ἐστὶ τὸ ὀσφραντικὸν αἰσθητήριον, ἐν δὲ ταῖς τρήσεσι τοῦ ὀστοῦ τούτου συνάγεται περιττώματά τε ἄλλα καὶ μύξαι, γλίσχρα ὄντα, διὰ τοῦτο δεόμεθα τῆς εἰσπνοῆς καὶ σφοδροτέρας ἴσως, ἵνα καθάραντες τὰς τρήσεις ταύτας εὐρυτέραν τὴν ὁδὸν τῷ διόσμῳ ἀέρι ποιήσωμεν. ἴσως δὲ καὶ σαρκίον τί ἐστιν ἢ ὑμὴν ἐπικείμενος, ὅσπερ καὶ αὐτὸς τῇ εἰσπνοῇ κουφίζεται. ἀπορήσειε δ' ἄν τις περὶ τῶν ἀμφιβίων, πότερον εἰ, ὥσπερ οὐ δέονται τοῦ εἰσπνεῖν ἐν ὕδατι ὄντα, ἵνα ὀσφρανθῶσιν, οὕτως οὐδὲ ἐν ἀέρι ὄντα δεῖται τῆς εἰσπνοῆς, ἵνα ὀσφρανθῇ. καὶ οὐδέν γε θαυμαστὸν ἐν μὲν ὕδατι ἀρκεῖσθαι αὐτὰ τῆς ἐκ τοῦ ὕδατος ἐμψύξεως, ὅταν δ' ἐν ἀέρι γένηται, χρῆσθαι τοῖς ἀναπνευστικοῖς μορίοις· ἐπειδὴ γὰρ ἀμφίβιά ἐστι, πρὸς ἀμφότερα αὐτοῖς ὄργανα παρεσκεύασεν ἡ φύσις.

p. 422a3 Καὶ διὰ τοῦτο τὰ ἀναπνέοντα οὐκ ὀσμᾶται ἐν τῷ ὑγρῷ.

Ἀποδοὺς τὴν αἰτίαν δι' ἣν τὰ ἀναπνέοντα δίχα τοῦ εἰσπνεῖν οὐκ ὀσφραίνεται, εἰκότως φησὶ τὰ τοιαῦτα οὐδὲ ἐν ὕδατι ὀσφρήσασθαι διὰ τὴν εἰρημένην αἰτίαν· ἐν ὕδατι δ' ἀναπνεῖν οὐ δυνατόν. ἐπειδὴ μηδὲ ἔστιν ἐκεῖ ἀήρ, εἰκότως ὀσφρήσασθαι ⟨οὐ⟩ δύναται ἐν ὕδατι.

p. 422a6 Ἔστι δ' ἡ ὀσμὴ τοῦ ξηροῦ, ὥσπερ ὁ χυμὸς τοῦ ὑγροῦ.

Ὕλην τοῦ γευστοῦ φησιν εἶναι τὸ ὑγρόν, διὸ τὰ πάνυ κατεξηρασμένα καὶ ἄχυμά ἐστι παντελῶς· ἐρεῖ δὲ περὶ τούτων μετ' ὀλίγον. ὥσπερ οὖν,

---

1 ὅτι om. t 4 τὰς κατὰ t 7 εἰ μέλλοι — βλέφαρα A: om. D: δεῖται t 11 μηδενὸς δεῖσθαι AD: μὴ δ' ἐνδεῖσθαι t 15 ἰσθμοειδῶν t: ἰθμοειδῶν D: μαστοειδῶν A 19 ποιήσομεν D 21 πότερον εἰ] sic ADt 23 post ὀσφρανθῇ add. εἰ γὰρ μὴ δεῖται ἐν τοῖς ὕδασι, οὐδὲ ἐν τῷ ἀέρι· εἰ δὲ ἐν τῷ ἀέρι δεῖται, κἂν τοῖς ὕδασι A 27 τὰ om. D 30 δ'] fort. γὰρ 31 οὐ add. Diels 33 post διὸ add. καὶ t κατεξηραμένα t

φησίν, ὁ χυμὸς τοῦ ὑγροῦ ἐστιν, οὕτως ἡ ὀσμὴ τοῦ ξηροῦ. ξηρὸν δὲ m 4ᵛ λέγει οὐ τὸ γεῶδες, ἀλλὰ τὸ πυρῶδες, οἷαν ἐλέγομεν εἶναι τὴν καπνώδη ἀναθυμία|σιν· δεικνύουσι δὲ τὰ θυμιάματα τὴν τοιαύτην ἀνάδοσιν ἐν τῷ m 5ʳ θυμιᾶσθαι ποιοῦντα. ὅτι δὲ ἡ ὀσμὴ τοῦ ξηροῦ ἐστιν, ἐπὶ πλέον ἐν τῷ Περὶ αἰσθήσεως λέγει. οὐκ ἀκουστέον δὲ ξηρὸν τὸ μηδεμίαν πάντῃ ἔχον ὑγρότητα (τοῦτο γὰρ καὶ ἄοσμόν ἐστιν, ὡς δηλοῦσι καὶ τὰ πάνυ κατεξηρασμένα τῶν θυμιαμάτων), ἀλλὰ τὸ μετέχον μέν τινος ὑγρότητος, μᾶλλον δὲ ὂν ξηρὸν ἢ ὑγρόν. ἔδειξε δὲ καὶ ἐν τοῖς Μετεώροις ὅτι οὐκ ἄλλως ἡ καπνώδης ἀναθυμίασις ἐκ τῆς γῆς ἀναδίδοται, μὴ βραχείσης αὐτῆς.

p. 422ᵃ7 Τὸ δὲ ὀσφραντικὸν αἰσθητήριον τὸ δυνάμει τοιοῦτον.

Εἰπὼν περὶ τοῦ ὀσφραντοῦ λέγει καὶ περὶ τοῦ ὀσφραντικοῦ. καθόλου δὲ περὶ πάσης αἰσθήσεως εἶπεν ὅτι ἔστι δυνάμει τοῦτο ὅπερ τὸ αἰσθητὸν ἐνεργείᾳ. τὸ αὐτὸ οὖν φησι καὶ περὶ τοῦ ὀσφραντικοῦ. ὅτι δυνάμει ἐστὶν ὅπερ τὸ ὀσφραντόν. γίνεται δὲ ὅμοιον, ὅταν δέξηται τῶν ὀσφραντῶν τὰς ἐνεργείας καὶ γένηται ἐνεργείᾳ ὀσφραινόμενον. οὐ γὰρ δυσῶδες ἢ εὐῶδες γίνεται, ἀλλὰ διακρίνεται ἢ συγκρίνεται ὑπὸ τοῦ αἰσθητοῦ. εἶπε δὲ ἤδη ἐντελέστερον, πῶς γίνεται τὸ αἰσθητήριον ὅπερ τὸ αἰσθητόν. ὅπερ δὲ νῦν εἶπεν περὶ αἰσθήσεως, τοῦτο ἐρεῖ ἐφεξῆς καὶ περὶ ὄψεως καὶ περὶ τῶν λοιπῶν· δοκεῖ γὰρ ἐν τοῖς προλαβοῦσιν εἰπὼν περὶ τῶν ὁρατῶν καὶ ἀκουστῶν μηδὲν εἰπεῖν περὶ ὄψεως καὶ ἀκοῆς. ἀπορήσειε δ' ἄν τις εἰκότως, πῶς φησι τῶν μὲν ὀσμῶν ὅλην τὸ ξηρόν, τῶν δὲ χυμῶν τὸ ὑγρόν· καὶ γὰρ οὐδὲν μᾶλλον ξηρὰ τὰ ὀσφραντὰ ἢ ὑγρά, οἷον τὸ ὀποβάλσαμον καὶ ὅσοι ἄλλοι τῶν ὀπῶν εὐώδεις ἢ δυσώδεις. ἀλλὰ καὶ ὁ χυμὸς οὐ μᾶλλον ἐν ὑγρῷ ἢ ἐν ξηρῷ· τὰ γὰρ βρωτὰ πάντα ξηρά, καί τινα τῶν ἐδωδίμων ἢ τῶν φαρμακωδῶν χυμῶν μετέχοντα οὕτως ἐστὶ ξηρὰ πολλάκις καὶ ἁφῇ καὶ δυνάμει, ὡς καὶ ξηραίνειν τοὺς προσφερομένους. ἄλλως τε τὸ ὕδωρ, ὃ μάλιστα τῶν ὑγρῶν τοῖς χυμοῖς ὑπόκειται, ἢ πάντῃ ἢ ἐγγὺς ἄχυμόν ἐστι, ποιοῦται δὲ ἐκ τῶν ἐν τῷ ξηρῷ ᾧ ἐμμίγνυται· οὕτω γοῦν καὶ αὐτὸς ἐν τοῖς Μετεώροις τὴν θάλατταν ἐκ τῆς ὑποκειμένης γῆς τὸν πικρὸν καὶ ἁλμυρὸν χυμὸν ἔχειν ἔλεγεν. ἀλλὰ καὶ ἐν γῇ τὸ ὕδωρ γινόμενον τοὺς διαφόρους χυμοὺς τῶν τε βοτανῶν καὶ δένδρων ἴσχει. οὕτως ἄρα ἐκ τοῦ ξηροῦ μᾶλλον τοὺς χυμοὺς δέχεται. ὥστε καὶ εἴ τις συνηγορῶν τῷ τὰς ὀσμὰς ἐν ξηρῷ εἶναι λέγοντι τὰς ἐν τοῖς ὁποῖς εὐωδίας ἢ δυσωδίας ἐκ τῆς ξηρᾶς οὐσίας τῆς τε γῆς ἢ τῶν

---

4. 5 ἐν τῷ Περὶ αἰσθήσεως] c. 5 p. 442ᵇ27 sqq. 8 ἐν τοῖς Μετεώροις] cf. Meteorol. B 4 p. 360ᵇ26 sqq. 361ᵃ17 sqq. 10 τὸ (ante δυνάμει) D Arist. SUX: om. t Arist. vulg. 18 ante αἰσθήσεως add. τῆς t αἰσθήσεως] fort. ὀσφρήσεως 20 ἀπορήσε D 22. 23 ὀποβάλσαμον A: ἀπὸ βάλσαμον D: ἀπὸ βάσαλμον t 25 ἐδοδίμων t 26 προφερομένους t 28. 29 ἐμμίγνυται A: ἐμμίγνυτο Dt 29 ἐν τοῖς Μετεώροις] B 3 p. 357ᵇ6 sqq. 33 ὀσμὰς] σ prius m. alt. in ras. D λέγοντι] λέγοι D

δένδρων οἷς ἐνεμίχθη τὸ ὕδωρ γεγενῆσθαι δώσει, οὕτως ἐξ ἀνάγκης τῷ m 5r
αὐτῷ λόγῳ καὶ τοὺς χυμοὺς τοῦ ξηροῦ μᾶλλον εἶναι, εἴ γε καὶ τούτους
ἐκ τῆς ἐμμιχθείσης ξηρᾶς οὐσίας τὸ ὑγρὸν δέχεσθαι. ἀλλὰ πρὸς ταῦτά 25
φησι τὸ μὲν ὑγρὸν ὥσπερ ὕλην ὑποκεῖσθαι τοῖς χυμοῖς, ἐγγίνεσθαι μέντοι
5 ἐμμιγνυμένου τοῦ ὕδατος τῷ ξηρῷ τοὺς χυμούς, οὐκ ἐνυπάρχοντας ἐνεργείᾳ ἐν τῷ ξηρῷ, ἀλλ' οἷον ποιοῦντος ἐν τῷ ὑγρῷ τότε τοῦ ξηροῦ τοὺς χυμούς, ἵνα ποιητικὸν αἴτιον λάβωμεν τῶν χυμῶν τὸ ξηρόν, ὕλην δὲ τὸ ὑγρόν. ἀλλὰ πρῶτον μὲν τούτῳ τῷ λόγῳ καὶ ἐπὶ τῶν ὀσμῶν χρήσασθαι δυνατόν· τὸ γὰρ ὕδωρ ἄοσμον ὂν ἐγγινόμενον ἐν τῷ ξηρῷ μυρίας ὀσμῶν
10 ἰδέας δέχεται, αἃ μὴ προϋπῆρχον ἐνεργείᾳ ἐν τῇ γῇ. δυνατὸν οὖν πάλιν 30
εἰπεῖν ὅτι ὡς ὕλη μὲν τὸ ὑγρὸν ἐδέξατο τὰς ὀσμάς, τὸ δὲ ξηρὸν ποιητικὴν ἔσχεν αἰτίαν. ἔπειτα δυνατὸν καὶ τὸν λόγον ἀντιστρέψαι, ἐφ' ὧν ξηρά τινά ἐστιν ἢ ὀσφραντὰ ἢ γευστά, ἃ ἀκράτως μένοντα ξηρὰ οἷον γῆ οὔτε ὀσμὴν εἶχεν οὔτε χυμόν, ἐμμιχθέντα δὲ τῷ ὑγρῷ ἔσχεν ἀμφότερα,
15 καὶ δυνατὸν λέγειν τὸ ὕδωρ ποιητικὴν ἐσχηκέναι τούτων αἰτίαν, τὸ δὲ ξηρὸν ὡς ὕλην ὑποκεῖσθαι.// οὔκουν ὑγιὴς οὗτος ὁ λόγος ὁ ἀφορίζων τῷ ξηρῷ μὲν τὰς ὀσμάς, τῷ ὑγρῷ δὲ τοὺς χυμούς· ἀλλ' ὥσπερ τοῖς χρώμασιν οὐχ ἁπλῶς ἕν τι τῶν ἁπλῶν ὑπόκειται, ἀλλ' ἡ τοιάδε κρᾶσις τοῖς τοιοῖσδε 35
ὑπόκειται χρώμασι, καὶ τῷδε μέν, εἰ τύχοι, τῷ χρώματι ὑγρότερον τὸ
20 ὑποκείμενον, ἄλλῳ δὲ ξηρότερον, οὕτω δὴ καὶ ταῖς ὀσμαῖς καὶ τοῖς χυμοῖς σύνθετόν ἐστι τὸ ὑποκείμενον. πρὸς δὲ τὴν ἰδιότητα τῶν χυμῶν ἢ τῶν ὀσμῶν καὶ τὸ ὑποκείμενον ἢ ξηρότερόν ἐστιν ἢ ὑγρότερον. εἰ δὲ δέοι τῷ ὄντι τὰ δύο μερίζειν, τὸ ὑγρόν φημι καὶ ξηρόν, ἀφοριστέον τοῖς μὲν χυμοῖς τὸ ὑγρόν (καὶ γὰρ τοῖς ἐδέσμασιν ὁ χυμὸς μάλιστα ὑπὸ τοῦ ὑγροῦ καὶ
25 τῆς ἐν τούτῳ ποιότητος ἐγγίνεται, καὶ ὡς ἤδη εἶπον, ὅταν ἀποξηρανθῇ, 40
οὐδὲ χυμοῦ μετέχει, τὸ δ' ὑγρόν, οἷον τὸ ὕδωρ, ὅπως ἂν ᾖ ἁπλούστατον καὶ ἀμιγές, χυμοῦ τινος μετέχει), τοῖς δὲ ξηροῖς ὡσαύτως τὰς ὀσμάς· τὸ μὲν γὰρ ὕδωρ ὅταν μάλιστα ἁπλούστατον ᾖ, πάντῃ ἐστὶν ἄοσμον· τὸ μέντοι ξηρὸν οὐδὲν κωλύει μετέχειν τῶν ὀσμῶν, δέεται δὲ τοῦ ὑγροῦ, οὐχ
30 ἵνα ὀσμῆς μεταδῷ, ἀλλ' ἵνα ἀτμίσῃ ῥᾷον καὶ συνανενέγκῃ τὴν ξηρὰν ἀναθυμίασιν, καὶ οὕτω παθὼν ὁ ἀὴρ ποιήσῃ εἰς ἡμᾶς. οὕτω γοῦν πολλάκις τῆς γῆς βραχείσης ὑπὸ ὑετοῦ ἄνεισί τις εὐωδία ἐξατμιζούσης. 45

p. 422a 8 Τὸ δὲ γευστόν ἐστιν ἁπτόν τι, καὶ τοῦτο αἴτιον τοῦ μὴ εἶναι αἰσθητὸν διὰ τοῦ μεταξὺ ἀλλοτρίου ὄντος σώματος· οὐδὲ
35 γὰρ ἡ ἁφή.

Ἀκολούθως περὶ γεύσεως καὶ γευστῶν διαλαμβάνει. διαφέρειν δέ φησι

---

4 φησὶ A: φασι Dt 5. 6 τοὺς χυμούς—ξηρῷ A: om. Dt 7 λάβομεν D
9 ὂν A: om. Dt 11. 12 ποιητικὸν t 12 αἰτίαν A: om. Dt 13 ἀκράτως A: ἀκρατῶς Dt 16 ὁ (post λόγος) A: om. Dt 19 τῷδε A: τόδε Dt τὸ χρώματι D 20 ἄλλῳ A: ἄλλο Dt 21 ἢ A: om. Dt 22 ξηρότερον A: ξηρόν Dt 28 ἁπλούστατα D 29 δέεται] sic ADt 36 διαφέρει t

ταύτην τὴν αἴσθησιν τῶν προειλημμένων τριῶν, διότι ἐκεῖναι μὲν διά τινος m 5r
μεταξὺ τὴν ἀντίληψιν τῶν ἰδίων αἰσθητῶν ἐποιοῦντο, αὕτη δὲ οὐ διά τινος 50
μεταξὺ ἀντιλαμβάνεται τῶν γευστῶν, ἀλλὰ δεῖ τὸ αἰσθητὸν αὐτοῦ θιγεῖν
τοῦ αἰσθητηρίου. καὶ τὴν αἰτίαν ἀποδίδωσι τοῦ μὴ δεῖσθαι τὴν γεῦσιν
5 εἰς ἀντίληψιν τῶν γευστῶν μεταξύ τινος· ἁφὴ γάρ τις, φησίν, ἡ γεῦσις
καὶ τὸ γευστὸν ἁπτόν τί ἐστιν, ἡ δὲ ἁφὴ οὐ διά τινος μεταξὺ γίνεται·
αὐτοῦ γὰρ θιγγάνει τοῦ αἰσθητηρίου τὸ αἰσθητόν, ὅθεν καὶ ἁφὴ κέκληται.
ἐπεὶ οὖν καὶ ἡ γεῦσις ἁφή τίς ἐστιν, εἰκότως οὐ δεῖται τοῦ μεταξύ.
ἁφὴν δέ τινα λέγει τὴν γεῦσιν, οὐχ ὅτι ὑπὸ τὴν ἁπτικὴν αἴσθησιν ἀνά-
10 γεται, ἀλλ' | ὅτι κατὰ θίξιν γίνεται. ἐπεὶ οὖν κοινὸν ἐπ' ἀμφοτέρων τὸ m 5v
τῆς θίξεως, ὥσπερ ἐπὶ τῆς ἁφῆς οὐκ ἔστι τὸ μεταξύ, οὕτως οὐδὲ ἐπὶ τῆς
γεύσεως. τὴν δὲ αἰτίαν ἐροῦμεν ἐν τῷ περὶ ἁφῆς λόγῳ. προσέθηκε δὲ
ἀλλοτρίου ὄντος σώματος, διότι, ὡς ἐρεῖ ἐν τῷ περὶ ἁφῆς λόγῳ, ἔστιν
οὖν καὶ ἐν τούτοις μεταξύ τι, ἀλλ' οὐκ ἀλλότριον, ὥσπερ ἐπὶ τῶν τριῶν
15 αἰσθήσεων. ἐπὶ μὲν γὰρ ἐκείνων διττὸν ἦν τὸ μεταξύ, τὸ μὲν ἀλλότριον
τὸ δὲ ἴδιον, ἀλλότριον μὲν ἀὴρ καὶ ὕδωρ, ἴδιον δὲ καὶ συμφυὲς ἐπὶ μὲν 5
[γὰρ] τῶν ὀφθαλμῶν τὰ ὑγρὰ καὶ οἱ χιτῶνες, ἐπὶ δὲ ἀκοῆς ὁ ἐγκατῳ-
κοδομημένος ἀήρ, ἐπὶ δὲ ὀσφρήσεως ἤτοι τοῖς μυκτῆρσιν ἢ ⟨ὁ⟩ περὶ τὰ
ἰσθμοειδῆ ὀστᾶ συμπεφυκὼς ἀὴρ ἢ τοιοῦτό τι ἕτερον· ἀνάλογον γὰρ ἔχει
20 ταῖς ἄλλαις· ἐπὶ μέντοι ἁφῆς καὶ γεύσεως ἀλλότριον μὲν οὐδέν ἐστι μεταξύ
δι' οὗ αἰσθάνονται, μόνον δὲ ἴδιον· τὴν γὰρ σάρκα βούλεται εἶναι τὸ μεταξύ,
ἄλλο δέ τι τὸ αἰσθανόμενον, ὡς ἐκεῖ ἀκριβέστερον εἰσόμεθα. ὥσπερ δὲ
ταῖς τρισὶ τὸ διαφανές τε καὶ διηχὲς καὶ δίοσμον ὑπόκειται, δι' ὧν τὰ 10
χρώματα οἱ ψόφοι τε καὶ αἱ ὀσμαὶ εἰς τὰς αἰσθήσεις διαβιβάζονται, οὕτω
25 καὶ τοῖς χυμοῖς τὸ ὑγρὸν ὑπόκειται. ἀλλ' ἐκείνοις μὲν οὐχ ὕλη γίνεται
τὸ διαφανὲς ἢ διηχὲς ἢ δίοσμον, ἀλλὰ μόνον ἀπαθῶς τὰς ἐνεργείας αὐτῶν
ἀπαγγέλλει· τοῖς δὲ χυμοῖς τὸ ὑγρὸν ὡς ὕλη ὑπόκειται, καὶ πάσχον ὑπ'
αὐτῶν καὶ ποιούμενον οὕτω τῇ θίξει τῇ πρὸς τὸ αἰσθητήριον τὴν ἀντί-
ληψιν αὐτῶν παρέχει.

30 p. 422ᵃ10 Καὶ τὸ σῶμα ἐν ᾧ ὁ χυμός, τὸ γευστόν, ἐν ὑγρῷ 15
ὡς ὕλῃ.

Ὅτι ἁφή τις ἡ γεῦσις καὶ διὰ τοῦτο οὐ δεῖται τοῦ μεταξύ, διὰ
τούτων κατασκευάζει. τὸ γὰρ σῶμα, φησίν, ἐν ᾧ ὡς ἐν ὕλῃ τὸ εἶναι ἔχει
ὁ χυμός, ὅσπερ ἐστὶ γευστόν, ὑγρόν ἐστιν· ἐρεῖ γὰρ ἐν τοῖς ἐφεξῆς ὑπο-
35 κείμενον εἶναι τοῖς χυμοῖς τὸ ὑγρόν. ὥστε εἰ τὸ μὲν γευστόν, ὁ χυμός,
ἐν ὑγρῷ τὸ εἶναι ἔχει, τὸ δὲ ὑγρὸν ἁπτόν (ἁφὴ γὰρ ὑγροῦ ἀντιληπτική).

---

2. 3 τὴν ἀντίληψιν—μεταξὺ iterat D 3 θίγειν D: φίγειν t 7 θιγγάνει scripsi: θίγειν Dt 8 οὐ in ras. D² 17 γὰρ delevi 17. 18 ἐγκατωκοδομόμενος D 18 ὁ addidi 19 ἰθμοειδῆ D 25 ἐκείνοις A: ἐκείνης Dt 26 ἀπαθῶς A: om. Dt 28 αἰσθητικὸν t 29 παρέχει A: πάσχειν Dt 30 σῶμα ἐν ᾧ D, cf. p. 399,21 Arist. SUX: post σῶμα add. δὲ D²t Arist. vulg. 32 τοῦ] γὰρ t

τὸ γευστὸν ἄρα ἁπτόν. ὁ μὲν γὰρ χυμὸς αὐτὸς καθ' αὑτὸν ἀσώματος, m 5v
ὥσπερ καὶ τὸ χρῶμα καὶ αἱ ἄλλαι ποιότητες, ἐν σώματι μέντοι ὑγρῷ τὸ 20
εἶναι ἔχει. ὥστε εἰ τὸ ὑγρὸν ὑποκείμενον τῷ χυμῷ, τοῦτο δὲ ἁπτόν,
εἰκότως ἄρα οὐ δεῖται τοῦ μεταξὺ ἡ γεῦσις· δεῖ γὰρ τὸν ἀντιληψόμενον
5 τοῦ χυμοῦ ἅψασθαι τοῦ σώματος, ἐν ᾧ τὸ εἶναι ἔχει, λέγω δὴ τοῦ ὑγροῦ.

p. 422a11 Διὸ κἂν εἰ ἐν ὕδατι ἦμεν, ἠσθανόμεθα ἂν ἐμβληθέντος τοῦ γλυκέος.

Ὅτι τὸ ὑγρὸν ὕλη χυμῶν καὶ ὅτι οὐ δεόμεθα τοῦ μεταξὺ εἰς ἀντίληψιν 25
τῶν χυμῶν, διὰ τοιούτων κατασκευάζει. εἰ γὰρ ἦμεν ἐν ὕδατι, ἐμβλη-
10 θέντος ἐν αὐτῷ γλυκέος τινὸς ἠσθανόμεθα ἂν αὐτοῦ, οὐχ οὕτω δὲ ὥσπερ
καὶ τὰ χρώματα ὁρῶμεν δι' ὕδατος, οὐδ' ὥσπερ τὰ δι' ὕδατος ὀσφραινό-
μενα· ἐπ' ἐκείνων μὲν γὰρ καὶ μὴ ὄντων ἐν τῷ ὕδατι τῶν χρωμάτων,
μηδὲ ὧν ἡ ὄσφρησις ἡ ἀντίληψις αὐτῶν γίνεται, ἐνταῦθα δὲ ἐν αὐτῷ τῷ
ὕδατι δεῖ ἐμβληθῆναι τὸ γλυκὺ καὶ ὡς ὕλην τὸ ὕδωρ δέξασθαι τὴν γλυκύ-
15 τητα καὶ εἰδοποιηθῆναι ὑπ' αὐτῆς καὶ αὐτὸ γλυκὺ γενέσθαι. διόπερ ἐν 30
τῷ μελικράτῳ κινήσεως δεῖ, ἵνα κατακερματισθῇ τὸ μέλι ἐν τῷ ὕδατι,
ὥστε αὐτὴν τὴν οὐσίαν τοῦ μέλιτος ἐμμιχθῆναι τῷ ὕδατι. ἐκεῖ δὲ οὐχ
οὕτως· οὐ γὰρ ἐμμίγνυνται τὰ χρώματα τῷ ὕδατι οὐδὲ τὰ ὀσφραντὰ οὐδὲ
τὰ ψοφητικά. διὸ ἐνταῦθα μὲν γευόμενοι τοῦ ὕδατος τοῦ γλυκέος ἀντι-
20 λαμβανόμεθα, ἐκεῖ δὲ δι' αὐτοῦ καὶ οὐκ αὐτοῦ ἁπτόμενοι. λέγει δὲ
φέρεσθαι καὶ ἄλλην γραφὴν ὁ Ἀλέξανδρος, καὶ τὸ σῶμα ἐν ᾧ ὁ χυμός,
τὸ γευστόν, ἐν ὑγρῷ ὡς ὕδατι· σημαίνειν δέ φησι τὴν γραφὴν ταύτην
ὅτι ὁ χυμὸς ἐν τοιούτῳ ἐστὶν ὑγρῷ, ὁποῖόν ἐστι τὸ ὕδωρ· οὐ γὰρ δοκεῖ 35
ὁ ἀὴρ χυμῶν εἶναι δεκτικός, καίτοι ὑγρὸς ὤν, εἰ μὴ πάνυ δραστήριος ᾖ ὁ
25 χυμός. παρόντος γὰρ πολλάκις ἀψινθίου συναισθανόμεθα ἐν τῇ γεύσει
τῆς πικρότητος, δηλονότι τοῦ ἀέρος τοῦ παρακειμένου πεποιωμένου καὶ
πεπονθότος τῇ παραθέσει, ἢ οὐσίας τινὸς ἀπορρεούσης καὶ ἐγκαταμιχθείσης
αὐτῷ, ὡς ἐπὶ τοῦ μέλιτος καὶ τοῦ ὕδατος (διὰ τοῦτο γίνεται μάλιστα ἔτι
νεοδρέπτου ὄντος καὶ μὴ κατεξηρασμένου)· πλὴν ἐπὶ τῶν γευστῶν πλείστων
30 ποιοτήτων οὐ γίνεται αὐτῶν δεκτικὸς ὁ ἀήρ. ἔστι δὲ τὸ ὕδωρ ἢ καὶ 40
παντελῶς ἄχυμον τῇ αὐτοῦ φύσει, ὡς τοῖς ἰατροῖς δοκεῖ, ἢ ἐγγὺς ἄχυμον·
αἰσθανόμεθα γὰρ γλυκέος καὶ ἁλμυροῦ ὕδατος, εἰ καὶ προσγεγενῆσθαι
αὐτῷ φασι τὰς τοιαύτας ποιότητας. διόπερ τὰ λεπτομερέστερα τῶν ὑδάτων
ἀποιότερά ἐστι. σημεῖον δὲ ὅτι τὸ διηθούμενον ὕδωρ καὶ ἐξατμιζόμενον
35 καὶ πολλάκις τούτων τι ὑπομένον ἐγγὺς ἄποιον γίνεται. εἰ δὲ τὸ διηθεῖν
καὶ ἐξατμίζειν χωρίζειν ἐστὶ τοῦ παχυμερεστέρου τε καὶ γεώδους, δῆλον

---

3 τούτω D 4 οὐ om. t 6 κἂν εἰ Arist. ET: κἂν D: καὶ εἰ t Arist. plerique ἦμεν, ἠσθανόμεθα Dt Arist. plerique: εἶμεν, αἰσθανοίμεθα Arist. E ἐκβληθέντος t 8 ὕλη χυμὸν t 11 τὰ (post καὶ) iterat D τὰ δ' ὕδατος t 12 ἐν A: om. Dt 17. 18 ἐκεῖ—ὕδατι A: om. Dt 25 post πολλάκις add. τοῦ t 30 ἡ ἀήρ t καὶ om. t 32 ἁλμυροῦ A: ἁμυδροῦ Dt εἰ om. t 33 φασι A: φησι Dt

ὅτι αὐτὸ κατὰ τὴν ἑαυτοῦ φύσιν ἄποιόν ἐστιν, εἴ γε τῇ μίξει τοῦ γεώδους m 5r
ἔγχυμον γίνεται· πλὴν ἢ παντελῶς ἐστιν ἄχυμον καθ' αὑτὸ ἢ ἐγγύς. ἔχει 45
μέντοι δύναμιν πάντων τῶν χυμῶν δεκτικήν, διὸ καὶ ἀπολαύει παντὸς
χυμοῦ. ἂν πλησιάσῃ αὐτῷ, καὶ ὅλη αὐτοῦ γίνεται. ἐν ὑγρῷ οὖν ὁ χυμὸς
5 ὡς ἐν ὕδατι· οὐ γὰρ τῷ ὡς ἐν ἀέρι ὑγρῷ· οὐ γὰρ γευστὸν ὁ ἀὴρ οὐδὲ
ὅλη χυμῶν. τὸ δὲ καθάπερ ἐπὶ τοῦ ποτοῦ, παράδειγμά ἐστι, πῶς ἂν
ἐν ὕδατι ὄντες ᾐσθανόμεθα τοῦ γλυκέος, ὅτι τῷ γεύεσθαι, καθάπερ ἐπὶ
τοῦ ποτοῦ, καὶ οὐχ ὡς διά τινος μεταξύ.

p. 422ᵃ14 Τὸ δὲ χρῶμα οὐχ οὕτως ὁρᾶται τῷ μίγνυσθαι, οὐδὲ 50
10 ταῖς ἀπορροίαις.

Τοῦ μὲν γὰρ χυμοῦ αἰσθανόμεθα ἐν τῷ ὕδατι ὄντες τῷ ἐμμίγνυσθαι
ἐν αὐτῷ τὸ γλυκὺ σῶμα· διό, ὡς εἶπον, καὶ κινήσεως δεῖ. οὐχ οὕτως δὲ
τὰ χρώματα ὁρῶμεν δι' ἀέρος ἢ δι' ὕδατος· οὐ γὰρ ἐμμίγνυνται τὰ χρώ-
ματα τῷ διαφανεῖ. οὐδὲ γὰρ ὅλη αὐτῶν γίνεται τὸ διαφανές, ὡς τῶν
15 χυμῶν τὸ ὑγρόν, οὐδὲ | κεχρωσμένον τὸ διαφανὲς τῇ ὄψει ὑποπίπτει, m 6r
ἀλλὰ δι' αὐτοῦ τὰ χρώματα ὁρᾶται. ἀλλ' οὐδ' οὕτως ὁρατὰ τὰ χρώματα
ὡς ἀπορροίας πέμποντα ἐπὶ τὴν ὄψιν· δείξει γὰρ τοῦτο ἐν τῷ Περὶ αἰσθή-
σεων καὶ αἰσθητῶν. εἰ γὰρ ἦν τὸ ὁρᾶν κατὰ ἀπόρροιαν τὴν ἀπὸ τῶν
χρωμάτων, σῶμα ἂν ἦν ἡ ἀπόρροια· σῶμα δ' οὖσαν αὐτὴν εὔλογον ἦν
20 ὑπομένειν καὶ ὀλίγον παρενεχθέντων τῶν ἀφ' ὧν ἀπορρεῖ. ἔτι εἰ ἀπόρ- 5
ροια ἦν. διὰ τί οὐ σκίδναται ὑπὸ τῶν ἀνέμων; οὔτε οὖν ὡς μιγνυμένου
τοῦ χρώματος τῷ διαφανεῖ τὸ ὁρᾶν γίνεται οὔτε κατὰ ἀπόρροιαν, ἀλλ' ὡς
διὰ μέσου τοῦ διαφανοῦς· οὐ γὰρ ὅλη γίνεται τῷ χρώματι οὐδὲ χρώννυται
ὑπ' αὐτοῦ. ὥστε οὐχ ὁμοίως τῆς τε γεύσεως ἐν ὕδατι ὄντες καὶ τῶν
25 χρωμάτων αἰσθανόμεθα. ὡς μὲν οὖν τὸ μεταξὺ οὐδέν ἐστιν· ὡς δὲ
χρῶμα τὸ ὁρατόν, οὕτως τὸ γευστὸν ὁ χυμός. εἰπὼν τὴν διαφορὰν
τῆς γεύσεως πρὸς τὰς ἄλλας αἰσθήσεις, νῦν λέγει τὴν κοινωνίαν τῆς γεύ- 10
σεως πρὸς πάσας ἁπλῶς τὰς ἄλλας αἰσθήσεις. ἡ τοίνυν γεῦσις, φησί,
κατὰ μὲν τὸ μὴ διά τινος μεταξὺ ἀλλοτρίου ποιεῖσθαι τὴν ἀντίληψιν τῶν
30 ὑποκειμένων αὐτῇ αἰσθητῶν οὐδὲν ἔχει κοινὸν πρὸς τὰς προειλημμένας
τρεῖς· τῇ γὰρ ἁφῇ κοινωνεῖ κατὰ τοῦτο· ἔχει δέ τι κοινὸν πρός τε ὄψιν
καὶ ἀκοήν. ὥσπερ γὰρ ἑκατέρα τούτων τὰ ὑποκείμενα αὐτῇ ἔχει ἑνὶ
ὀνόματι προσαγορευόμενα, ἡ μὲν ὄψις τὰ χρώματα, ἡ δὲ ἀκοὴ τοὺς
ψόφους, οὕτω καὶ ἡ γεῦσις ὑποκείμενα ἑαυτῇ τοὺς χυμοὺς ἔχει. ἡ μέντοι
35 ὄσφρησις οὐκ ἔχει κοινῷ ὀνόματι τὰ ὑποκείμενα αὐτῇ προσαγορευόμενα. 15

---

2 ἔγχυμα t ἢ (post πλὴν) A: εἰ Dt ἡ ἐγγύς t 17 πέμποντα A: πέμπονται Dt 17. 18 ἐν τῷ Περὶ αἰσθήσεων καὶ αἰσθητῶν] c. 3 p. 440ᵃ15 20 ἀφ' ὧν scripsi: ἀφῶν A: ἀφῶν Dt ἀπορρεῖ om. A εἰ At: om. D 23 χρήματι t 26 τῶν γευστῶν t 27 post λέγει add. τὴν καὶ t τὴν κοινωνίαν καὶ νῦν μὲν τὴν κοινωνίαν τῆς γεύσεως λέγει πρὸς πάσας (28) D 28 ἄλλας om. D 29 ποιεῖσθαι scripsi: ποιοῦσθαι Dt

εἰ γάρ τις εἴποι ὀσφραντά, παρωνύμως ἐκ τῆς αἰσθήσεως αὐτὰ ὀνομάζει, m 6r
ὥσπερ καὶ ὁρατὰ καὶ ἀκουστὰ καὶ γευστά. τούτου δ' αἴτιον, ἐπειδὴ οὐδὲ
ἀκριβῆ τὴν ὄσφρησιν ἔχομεν οἱ ἄνθρωποι. ἡττώμεθα γὰρ τοῖς ἄλλοις
ζῴοις κατὰ ταύτην· ἀκριβεστέραν γὰρ ἡμῶν αὐτὴν ἔχουσιν, ὥσπερ ἡμεῖς
5 τὴν ἁφὴν ἔχομεν τῶν ἄλλων ἀκριβεστέραν. διόπερ οὐδὲ † κατ' εἶδος
καὶ τὰ μεταξὺ ὁμοίως ὀξύν τε φθόγγον καὶ βαρύν, καὶ τὸ μαλακὸν καὶ τὸ
σκληρόν, τὸ βαρὺ καὶ τὸ κοῦφον, ὑγρὸν καὶ ξηρόν, θερμὸν καὶ ψυχρόν, 20
καὶ λέγομεν [ὅτι] εἰ τύχοι, ὅτι ψιμύθιον καὶ γάλα καὶ κύκνος ἓν ἔχει [καὶ]
χρῶμα τὸ λευκόν, ὕδωρ δὲ καὶ ἀὴρ καὶ γάλα καὶ οἶνος ὑγρᾶς μετέχει
10 ποιότητος, οὕτω καὶ ἐπὶ τῆς ὀσφρήσεως κατ' εἶδος τὰ ὀσφραντὰ δυνάμεθα
διακρῖναι, ἀλλὰ τῷ ἡδεῖ καὶ τῷ λυπηρῷ μόνον αὐτὰ διακρίνομεν. οὐ γὰρ
ἴσμεν τήνδε τὴν ὀσμήν, ποίου ἐστὶν εἴδους τῶν ὀσφραντῶν. τί μὲν γάρ
ἐστι τὸ ἐξ οὗ ἡ ὀσμή, πολλάκις γινώσκομεν, αὐτὴν μέντοι τὴν ὀσμὴν
ποίου ἐστὶν εἴδους τῶν ὀσφραντῶν, διακρῖναι οὐ δυνάμεθα. 25

15 p. 422a17 Οὐδὲν δὲ ποιεῖ χυμοῦ αἴσθησιν ἄνευ ὑγρότητος, ἀλλ' ἔχει ἐνεργείᾳ ἢ δυνάμει ὑγρότητα.

Εἰπὼν ὅτι πᾶς χυμὸς ἐν ὑγρῷ ὡς ὕλῃ ἐστίν, νῦν δείκνυσι καὶ τὰ
δοκοῦντα ξηρὰ εἶναι χυμοῦ μετέχοντα τῷ ἔχειν δυνάμει ὑγρότητα. οὕτω
τὸν χυμὸν ἔχει, οἷοί εἰσιν οἱ ἅλες· καὶ γὰρ οὗτοι, ὅταν ἡ γεῦσις αὐτῶν
20 ἀντιλαμβάνηται, αὐτοί τε τήκονται ὡς ὄντες δυνάμει ὑγροί, καὶ προσέτι 30
τῆς γλώττης συντηκτικοί εἰσιν ἐξικμάζοντες τὴν ὑγρότητα ἐξ αὐτῆς καὶ
ταύτῃ ὑγραίνοντες αὐτήν. καὶ εἴ τι δὲ τῶν ἄλλων ξηρῶν γευστὸν ᾖ, οἷον
ἄρτος καὶ τὰ ὅμοια, οὐχ ᾗ ξηρός ἐστιν, ταύτῃ γευστός, ἀλλ' ᾗ μετέχει
ὑγρότητος. ἀμέλει τὰ ὑπερκαιόμενα ἢ ἐγγὺς ἢ καὶ παντελῶς ἄγευστα
25 γίνεται, κατὰ μόνην λοιπὸν τὴν ἁπτικὴν αἴσθησιν ἐνεργοῦντα. εἰ δὲ μετὰ
ὑγρότητος ἡ τῶν χυμῶν γίνεται αἴσθησις, εἰκότως ἁφήν τινα εἶπεν τὴν
γεῦσιν. εἰ γὰρ ἐν ὑγρῷ μὲν ἦν, μὴ μέντοι σὺν αὐτῷ ἡ ἀντίληψις αὐτοῦ 35
ἐγίνετο, οὐκ ἂν ἦν ἁπτός· οὐδὲ γὰρ τὸ χρῶμα ἁπτόν, ἐπεὶ ἐν ἁπτῷ τὸ
εἶναι ἔχει, διότι οὐ μετ' αὐτοῦ τοῦ χρώματος ἡ ἀντίληψις. οὐ δοκεῖ δ'
30 ἀληθὲς εἶναι τὸ ἰδίως τοῖς χυμοῖς ἀφωρίσθαι τὸ ὑγρόν. τί γὰρ μᾶλλον
τὸ ὑγρὸν ἢ τὸ ξηρόν; πέπερι γὰρ καὶ βῶλος ἡ Ἀρμενία, καὶ ἔτι λίθος
καὶ μυρία ἄλλα ξηρὰ ὄντα φύσει, καὶ μήτε ἐνεργείᾳ μήτε δυνάμει ὑγρότητος μετέχοντα χυμοῦ μετέχει. ἄλλως τε οἱ μὲν ἐν ὑγρῷ χυμοὶ ὀλίγοι τέ εἰσι καὶ εὐπεριόριστοι, οἱ δὲ ἐν ξηροῖς πλείονες· πλείονα γὰρ τὰ βρώ- 40
35 ματα τῶν ποτῶν. ἄλλως τε καὶ αὐτὸς ἐν τοῖς Μετεώροις ἔδειξεν ὅτι αἱ

---

5. 6 κατ' εἶδος—ὁμοίως locus depravatus: exspectas tale aliquid ὡς τὰ χρώματα κατ' εἶδος διακρίνομεν, οἷον λευκὸν καὶ μέλαν καὶ τὰ μεταξύ, ὁμοίως δὲ ὀξύν τε φθόγγον καὶ βαρύν κτλ. 8 ὅτι prius et καὶ post ἔχει delevi 15 χυμοῦ αἴσθησιν D Arist. vulg: αἴσθησιν χυμοῦ t Arist. SUV 30 ἰδίως scripsi: ἰδίοις Dt 31 Ἀρμενία scripsi; cf. Galen. de simpl. med. temp. et fac. l. IX (vol. XII p. 189 Kühn): ἁρμονία Dt λίθος] fort. λίθοι; cf. Galen. ibid. p. 192 sqq. Dioscor. de mat. med. V 149 sqq. (vol. XXV p. 814 sqq. Kühn) 32. 33 ὑγρότητος scripsi: ὑγρότητα D: ὑγρότητας t 35 ἐν τοῖς Μετεώροις] cf. Meteorol. B 3

διάφοροι ἐν τοῖς ὕδασι ποιότητες, οἷον τὰ νιτρώδη καὶ ἀσφαλτώδη καὶ m 6r
πικρὰ καὶ ἁλμυρά, ἐκ τῆς ὑποκειμένης αὐτοῖς γῆς ἐγγίνεται. καὶ ὅλως
ἐδείξαμεν ὅτι τὸ ὕδωρ ὅσον ἐπὶ τῇ ἑαυτοῦ φύσει ἐγγὺς ἄποιον ⟨ἦ⟩ καὶ
καθάπαξ ἄποιόν ἐστιν. ὥστε δόξει μᾶλλον ἐν τῷ ξηρῷ τὴν σύστασιν
5 ἔχειν ὁ χυμὸς τῇ γῇ, ἐπεὶ καὶ τὸ ὕδωρ ἁπλοῦν ὂν καὶ ἐγγινόμενον
ἐν τῇ γῇ τὰς ἀπείρους ἐξ αὐτῆς ποιότητας ἀναδέχεται. ἔστιν οὖν 45
εἰπεῖν πρὸς ταῦτα, ὅτι κατὰ ἀλήθειαν μὲν οὐδὲν τῶν ἁπλῶν ἔστιν ἰδεῖν
ἔγχυμον. οὔτε γὰρ πῦρ οὔτε ἀὴρ οὔτε ὕδωρ, ἀλλ' οὐδὲ γῆ· καὶ γάρ,
ὅπερ εἶπον, τὰ πάνυ ὑπερκεκαυμένα σχεδὸν ἄχυμα γίνεται. ὥσπερ γὰρ
10 καὶ τὰ διάφορα γίνεται χρώματα παρὰ τὴν ποιὰν τῶν ἁπλῶν σύγκρασιν,
οὕτως ὑπονοητέον καὶ τοὺς χυμοὺς γίνεσθαι. ὅτι γὰρ οὐδ' ἐν τῇ γῇ εἰσιν
ἐνεργείᾳ, δῆλον ἐξ ὧν οὐδὲ συναίσθησιν αὐτῶν λαμβάνομεν. ἔπειτα δὲ
ὁρῶμεν ὅτι ἐν αὐτοῖς τοῖς φυτοῖς ὄντες οἱ χυμοὶ πεττόμενοι εἰς ἑτέραν
μεταβάλλονται ἰδέαν· πολλάκις γὰρ πικρὸς πρῶτόν ἐστιν, εἶτα ὀξώδης, εἶτα 50
15 γλυκύς, καὶ ἀνάπαλιν γλυκύς, εἶτα ὀξώδης, δῆλον ὅτι οὐκ εἰσιν ἐν τοῖς
ἁπλοῖς, ἀλλὰ ἐν τοῖς συνθέτοις γίνεται. διὰ τί οὖν τὸ ὑγρὸν μᾶλλον ἀφώ-
ρισεν αὐτοῖς ὁ Ἀριστοτέλης ἤπερ τὸ ξηρόν; λέγω οὖν ὅτι συνεῖδεν ὡς τὸ
μὲν ὑγρὸν πάντα χυμὸν δέξασθαι οἷόν τέ ἐστιν· ὅτι γὰρ οὖν τῶν ξηρῶν
ἐμμιχθὲν τῷ ὕδατι ποιῶσαι αὐτὸ δύναται, εἰ καὶ μόνον ἀποβρέξει τις
20 εἰς ὕδωρ, καὶ μὴ λεπτύνας ἐγκαταμίξῃ· τοῦτο δὲ ἐν τῷ ξηρῷ γίνεσθαι οὐ
δυνατόν. οὔτε γὰρ παντὶ ξηρῷ δυνατὸν πάντα | χυμὸν δέξασθαι οὔτε m 6v
ὅλως τινὶ πάντα. καὶ χυμὸν οὐ μόνον τὸν ἐν ὑγροῖς. ἀλλὰ πολλῷ μᾶλλον
τὸν ἐν ξηροῖς. ἐν μέντοι τῷ ὑγρῷ καὶ τῷ τυχόντι καὶ τὸν ἐν ξηροῖς καὶ
τὸν ἐν ὑγροῖς ἐγκαταμῖξαι χυμὸν ἐνδέχεται. διὰ τοῦτο οὖν, ὡς ἔοικεν,
25 μᾶλλον ὑποκεῖσθαί φησι τοῖς χυμοῖς τὸ ὑγρόν.

p. 422a20 Ὥσπερ δὲ καὶ ἡ ὄψις ἐστὶ τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου.

Εἶπον ἤδη ὅτι εἰπὼν τί διαφέρει ἡ γεῦσις τῶν ἄλλων αἰσθήσεων, βούλεται εἰπεῖν καὶ τί κοινὸν ἔχει πρὸς αὐτάς. εἰπὼν οὖν, τί κοινὸν ἔχει
30 ἰδίᾳ πρός τε τὴν ὄψιν καὶ τὴν ἀκοήν, νῦν λέγει τί κοινὸν ἔχει πρὸς πάσας 10
τὰς αἰσθήσεις. ὥσπερ γὰρ αἱ ἄλλαι ἀντιλαμβάνονται τῶν τε οἰκείων αἰσθητῶν καὶ τῶν στερήσεων τούτων, καὶ ἔτι τῶν ὑπερβολῶν τῶν αἰσθητῶν καὶ ἐνδειῶν, οὕτω καὶ ἡ γεῦσις. οἷον ἡ ὄψις ἀντιλαμβάνεται, φησί, τοῦ τε ὁρατοῦ καὶ τοῦ ἀοράτου, ὁρατοῦ μὲν τῶν χρωμάτων, ἀοράτου δὲ
35 ἤ τοῦ κατὰ στέρησιν ἀοράτου, ὡς τοῦ σκότους (ἑκάστη γὰρ αἴσθησις καθ' αὑτὸ μὲν ἀντιλαμβάνεται τῶν οἰκείων αἰσθητῶν, κατὰ συμβεβηκὸς δὲ καὶ

3 ἦ addidi 11 καὶ om. D 12 ἐνεργείᾳ scripsi: ἐνέργειαι Dt δὲ] δεῖ D
17 ἤπερ scripsi: εἴπερ Dt 18 τὸν ξηρὸν t 25 μᾶλλον] ἄλλο t 32 ἔτι scripsi:
ἐκ Dt: om. A 35. 36 καθ' αὑτὴν t

τῶν στερήσεων. ὥσπερ καὶ ἡ ὄψις τοῦ σκότους· τῷ γὰρ μὴ πάσχειν ὑπὸ m 6
τῶν ὁρατῶν κατὰ συμβεβηκὸς ἀντιλαμβάνεσθαι λέγεται τοῦ σκότους)· ἀντι- 15
λαμβάνεται οὖν καὶ τοῦ κατὰ στέρησιν ἀοράτου, καὶ τοῦ καθ' αὑτὸ μὲν
ὁρατοῦ, δι' ὑπερβολὴν δὲ φθείροντος τὴν αἴσθησιν καὶ ταύτῃ ἀοράτου
5 λεγομένου (τὸ γὰρ λαμπρὸν ὁρατὸν ὂν ὅταν ᾖ μεθ' ὑπερβολῆς, φθείρει
τὴν αἴσθησιν) καὶ τοῦ λίαν ἀμυδροῦ καὶ ἐγγίζοντος τῇ στερήσει, οἷον
λέγομεν εἶναι τὸ λυκόφως· ἐγγὺς γὰρ καὶ τοῦτο ἐλέγετο εἶναι ἀόρατον τῷ
μὴ δύνασθαι κινεῖν ἀκριβῶς τὴν αἴσθησιν. ὥσπερ οὖν ἐπὶ τῆς ὄψεως
ἔχει, οὕτω καὶ ἐπὶ τῆς ἀκοῆς· ἔστι γὰρ ἀκούστὸν μὲν αὐτοὶ οἱ ψόφοι, 20
10 ἀνήκουστον δὲ τὸ κατὰ στέρησιν, ὡς ἡ σιγὴ κατὰ συμβεβηκὸς λεγομένη
αἰσθητή. ἢ ὁ ὑπερβάλλων ψόφος (φθείρει γὰρ καὶ οὗτος τὴν αἴσθησιν.
ὡς ἐπὶ τῶν ἐμβροντήτων), ἢ ὁ ἀμυδρός. ὡς ὁ ψιθυρισμός. ὥσπερ οὖν
ἐπὶ τούτων ἔχει καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, ὁμοίως δὲ καὶ ἐπὶ γεύ-
σεως· ἡ γὰρ αὐτὴ ἐπὶ πασῶν ἀναλογία φυλάττεται.

15 p. 422ᵃ26 Ἀνόρατον δὲ τὸ μὲν ὅλως λέγεται, ὥσπερ καὶ ἐπ'
ἄλλων τὸ ἀδύνατον, τὸ δὲ ἐὰν πεφυκὸς μὴ ἔχῃ ἢ φαύλως, 25
ὥσπερ τὸ ἄπουν καὶ ἀπύρηνον.

Ἐπειδὴ εἶπεν τὴν ὄψιν ἀντιληπτικὴν εἶναι τοῦ ὁρατοῦ καὶ ἀοράτου,
πολλαχῶς δὲ τὸ ἀόρατον, διαιρεῖ τὰ τοῦ ἀοράτου σημαινόμενα. λέγεται
20 γάρ, φησίν, ἀόρατον ἢ τὸ καθάπαξ ἀδύνατον ὁραθῆναι, ὡς λέγονται εἶναι
καὶ τὰ ἀσώματα τὰ μετὰ τὸ χρῶμα ἀόρατα (οὕτω γοῦν καὶ ἡ φωνὴ
ἀόρατος καὶ ἡ ὀσμή, καὶ ἁπλῶς τὰ ταῖς ἄλλαις αἰσθήσεσιν ὑποπίπτοντα) 30
ἢ τὸ πεφυκὸς μὲν ὁρατὸν εἶναι, μὴ ὁρώμενον δέ, ὅπερ ἐστὶ τὸ ἐν στερήσει,
ὡς τὸ δυνάμει διαφανὲς φωτὸς μὴ παρόντος, ἢ τὸ οὕτω λεγόμενον ἀόρατον
25 ὡς φαύλως ὁρατόν (τοιοῦτον δέ ἐστιν ἢ τὸ δι' ὑπερβολὴν λαμπρότητος
φθαρτικὸν τῆς ὄψεως ἢ τὸ δι' ἀμυδρότητα μὴ ποιοῦν εἰς τὴν αἴσθησιν.
ἀντιλαμβάνεται οὖν τοῦ ἀοράτου ἡ ὄψις ὅτι ἀόρατον, οὐ τοῦ μὴ πεφυκότος
ὁρᾶσθαι, οἷον τῶν ψόφων καὶ τῶν αἰσθητῶν ταῖς ἄλλαις αἰσθήσεσι (ταῦτα
γὰρ ὅτι μὴ ὁρατά, ὁ λόγος ἐστὶν ὁ κρίνων δι' ὀργάνου τῆς αἰσθήσεως, οὐ 35
30 μέντοι ἡ αἴσθησις). τοῦ μέντοι κατὰ στέρησιν ἀοράτου ἡ αἴσθησίς ἐστιν
ἀντιληπτικὴ καὶ τῶν λοιπῶν· κρίνει γὰρ καὶ τὰ ἄλογα ταῖς ὄψεσιν ὅτι
σκότος κατὰ συμβεβηκὸς τῷ μὴ πάσχειν ὑπὸ τῶν ὁρατῶν, διὸ καὶ εἰς τοὺς
φωλεοὺς ἠρεμεῖ. μήποτε δὲ καὶ τὸ κατὰ στέρησιν ἀόρατον ἡ φαντασία
ἐστὶν ἡ κρίνουσα, καὶ οὐχ ἡ ὄψις, εἴ γε αἱ μὲν αἰσθήσεις ἐν τῷ πάσχειν
35 τι τὴν κρίσιν ἔχουσι, μὴ πάσχουσαι δὲ ἐν τῷ σκότῳ ἀνενέργητοί εἰσιν (διὸ
κατὰ τὴν ἕξιν μόνην θεωροῦνται), μὴ ἐνεργοῦσαι δὲ πῶς ἂν κρίνοιεν; 40

---

3 et 30 ἀοράτου scripsi: ὁρατοῦ ADt 7 λυκόφως A: γλυκόφως D: γλυκὺ φῶς t τῷ A: τὸ Dt 12 ὡς—ἐμβροντήτων] ὡς οἱ ἐμβρόντητοι ψόφοι A 15 Ἀνόρατον D: ἀόρατον t. Arist. 17 καὶ D Arist. ETU: καὶ τὸ t Arist. vulg. 19 διαιρεῖ τὰ scripsi: διαιρεῖται Dt 32 τὸ μὴ D 33 ἠρεμεῖ A Suid. s. v. Ἀόρατον: ἠρεμεῖν Dt δὲ A Suid.: om. Dt 36 κατὰ A Suid.: καὶ Dt

ἄπουν δὲ καὶ ἀπύρηνον, οὐ τὸ πάντῃ μὴ ἔχον πόδας, ἀλλὰ τὸ μικροὺς m 6v
καὶ φαύλους· καὶ γὰρ ἀπυρήνους ἐλαίας λέγομεν οὐ τὰς μὴ ἐχούσας
πυρῆνας, ἀλλὰ μικρὰς ἐχούσας· οὕτω καὶ ἄποδά φαμεν ζῷα οὐ τὰ μὴ
ἔχοντα πόδας, ἀλλὰ τὰ μικροὺς ἔχοντα. ἔστι δὲ πτηνόν τι τοιοῦτον
5 ἐοικὸς χελιδόνι καθ' ἑσπέραν ἱπτάμενον, ὃ καλεῖται νυκτερίς. ταῦτα εἰπὼν
λέγει ⟨ὅτι⟩ καὶ ἡ γεῦσις ἀντιλαμβάνεται τοῦ γευστοῦ καὶ ἀγεύστου, οὐ τοῦ
ἀδυνάτου χυμὸν δέξασθαι (οὕτω γὰρ ἂν ἦν καὶ χρώματος καὶ ψόφου 45
κριτική) ἀλλὰ τῶν [τε] δυνατῶν δέξασθαι, μὴ δεδεγμένων δέ, ἢ τῶν
φαύλως δεδεγμένων ἢ δι' ὑπερβολὴν ἢ δι' ἔνδειαν.

10 p. 422a31 Δοκεῖ δὲ εἶναι ἀρχὴ τὸ ποτὸν καὶ τὸ ἄποτον· γεῦσις γάρ τις ἀμφότερα.

Ἐπειδὴ γὰρ εἶπεν ὅτι πᾶς χυμὸς ἐν ὑγρῷ (καὶ γὰρ τὰ ξηρὰ ἕψη.
ᾗ μετέχει ὑγροῦ, ταύτῃ γευστὰ εἶναι) τὸ δὲ ὑγρὸν μάλιστα καὶ πρώτως 50
ποτόν, εἰκότως ἀρχὴ τοῦ γευστοῦ τὸ ποτόν, ἀρχὴ δὲ δῆλον ⟨ὅτι⟩ ὑλική.
15 ἀλλὰ καὶ τοῦ ἀγεύστου τὸ ἄποτον ὑγρὸν ἀρχή, ἄποτον γενόμενον διὰ τὴν
ἐπιμιξίαν τοῦ ἀπότου χυμοῦ, ὥσπερ καὶ τὸ ποτὸν πότιμον γέγονε διὰ τὴν
ἐπιμιξίαν τοῦ χρηστοῦ χυμοῦ. τὸ δὲ γεῦσις γάρ τις ἀμφότερα ἀντὶ
τοῦ γευστά. πῶς δὲ τὸ ἄποτον γευστόν, αὐτὸς ἐπήγαγεν, ὅτι οὐχ ὡς
τελειωτικὸν ἀλλ' ὡς φθαρτικὸν τῆς γεύσεως διὰ μοχθηρίαν χυμοῦ. ἢ οὖν
20 οὕτως ἀκουσόμεθα ἀρχὴν εἶναι τῶν γευστῶν τὸ ποτὸν καὶ τὸ ἄποτον, ἢ
ἀρχαὶ | τῶν γευστῶν τὸ ποτὸν καὶ τὸ ἄποτον ὡς εἰς ταῦτα πρώτως m 7r
διαιρουμένων τῶν γευστῶν, τούτων δὲ πάλιν ὑποδιαιρουμένων εἰς τὰ κατ'
εἴδη γευστά. πάλιν δὲ τὸ μὲν ποτὸν γευστὸν ὡς σωστικὸν καὶ τελειωτικὸν
τοῦ κατὰ φύσιν γευστικοῦ, τὸ δ' ἄποτον ὡς παρὰ φύσιν καὶ φθαρτικόν.

25 p. 422a33 Ἔστι δὲ κοινὸν ἁφῆς καὶ γεύσεως τὸ ποτόν.

Ἐπεὶ τὸ ποτὸν ὑγρόν, τὸ δὲ ὑγρὸν τῇ ἁφῇ ἀντιληπτόν, ὡς μὲν 5
οὖν ὑγρὸν ἁπτόν, ὡς δὲ τοιόνδε χυμὸν ἔχον γευστόν. διὰ τοῦτο οὖν κοινὸν
ἁφῆς καὶ γεύσεως, τῆς μὲν ἁφῆς ὡς ἴδιον αὐτῆς αἰσθητόν, τῆς δὲ γεύσεως
⟨ὡς⟩ ὕλη καὶ ὄχημα τῶν γευστῶν.

---

6 ὅτι addidi 8 κριτικὴν t τε delevi 10 καὶ ἄποτον t Arist. 23 ὡς] καὶ t 26 ἀντιληπτικόν t 27 οὖν post τοῦτο om. t 29 ὡς addidi

---

6. 7 οὐ τοῦ ἀδυνάτου — ἔνδειαν (9)] τετραχῶς δὲ καὶ τὸ ἄγευστον· ἢ γὰρ τὸ ἀχύμωτον μὲν τέως, δυνάμενον δὲ χυμωθῆναι, ἢ τὸ ταῖς ἄλλαις αἰσθήσεσιν ὑποκείμενον, ὡς ὁ ψόφος, ἢ τὸ μικρὰν ἔχον γεῦσιν, ὡς τὰ ὑδαρὰ τῶν βοσημάτων, ἢ τὸ κακὴν ἔχον γεῦσιν, ὡς τὰ δηλητήρια. καὶ δῆλον τίνων τούτων ἀντιλαμβάνεται ἡ γεῦσις, καὶ τίνος μή. καὶ ἐπὶ τῶν ἄλλων δὲ αἰσθήσεων τὰ τέσσαρα ταῦτα διαγινώσκεται σημαινόμενα A

p. 422ᵃ34 Ἐπεὶ δὲ ὑγρὸν τὸ γευστόν, ἀνάγκη τὸ αἰσθητήριον 10 7r
αὐτοῦ μήτε ὑγρὸν εἶναι ἐντελεχείᾳ μήτε ἀδύνατον ὑγραίνεσθαι.

Ἐπεὶ δυνάμει ἐστὶ τὸ αἰσθητήριον οἷον τὸ αἰσθητὸν κατ' ἐνέργειαν, 11
ἔστι δὲ τὸ γευστὸν ὑγρόν, δεήσει τὴν γευστικὴν αἴσθησιν δυνάμει ὑγρὰν
5 εἶναι, οὐκ ἐνεργείᾳ, ἵνα τῆς ὑγρότητος ἐν ᾧ ὁ χυμὸς ἀντιλαμβανομένη
κἀκείνῳ ὁμοιουμένη γίνηται ἐνεργείᾳ ὑγρά. εἰ γὰρ ἦν ἐνεργείᾳ ὑγρά, οὐκέτ'
ἂν ὑπὸ τῆς ἐν τοῖς χυμοῖς ὑγρότητος ἔπασχε φθάσασα εἶναι τοιαύτη· οὕτω
δ' ἂν οὐδὲ ἀντελαμβάνετο τῶν χυμῶν παραμιγνῦσα τὴν οἰκείαν ὑγρότητα καὶ 15
ἐξίτηλον ποιοῦσα τοῦ χυμοῦ τὴν δύναμιν. ἔτι δὲ καὶ τῷ ἐν αὐτῇ χυμῷ
10 τῷ ἐν τῷ οἰκείῳ ὑγρῷ ἐπιθολοῦσα τὸν προσφερόμενον οὐκ ⟨ἂν⟩ ἀντελαμ-
βάνετο αὐτοῦ· τοῦ γὰρ ἐγγυτέρου καὶ πρώτου τὸ ἁπτόμενον ἅπτεται, ὥστε
τῆς οἰκείας ὑγρότητος ᾐσθάνετο ἄν, ἐπειδὴ καὶ πρώτης ἥπτετο. ὡς οὖν
ἐπὶ τῶν ἄλλων αἰσθητῶν τε καὶ αἰσθήσεων ἔχει (δυνάμει γὰρ ἦν ἕκαστον
αἰσθητήριον τοιοῦτον, οἷον ἦν ἐνεργείᾳ τὸ οἰκεῖον αἰσθητὸν αὐτοῦ), οὕτω
15 καὶ ἐπὶ τῆς γεύσεως ἔχει. ἀνάγκη ἄρα ὑγρανθῆναι τὸ δυνάμενον 20
μὲν ὑγραίνεσθαι σωζόμενον, μὴ ὑγρὸν δέ, τὸ γευστικὸν αἰσθη-
τήριον. εἰ γὰρ πάσχει ἡ αἴσθησις ὑπὸ τοῦ αἰσθητοῦ, ὑγρὸν δὲ τὸ
γευστόν, ἀνάγκη ἄρα τὸ γευστικὸν αἰσθητήριον οὕτω πεφυκέναι ὑγραίνεσθαι,
ὥστε φυλάττειν καὶ ἐν τῇ ὑγρότητι τὴν οἰκείαν φύσιν· οὐ γὰρ φθαρτική
20 ἐστιν ἡ ἐγγινομένη ὑγρότης τῷ αἰσθητηρίῳ, τοὐναντίον δὲ σωστικὴ καὶ
τελειωτική. ὅτι δὲ οὐ πάντως ὑπὸ τῶν χυμῶν ὑγραίνεται τὸ γευστικὸν
αἰσθητήριον, ἡ γλῶττα, ἀλλ' ὑπ' ἐνίων καὶ ξηροτέρα γίνεται, εἶπον ἤδη
ἐν τοῖς ἔμπροσθεν· οὔτε γοῦν πέπερι οὔτε ταρίχη οὔτε ἄρτος ξηρὸς οὔτε 25
ἄλλα μυρία τοιαῦτα ὑγραίνει τὴν γλῶτταν, καίτοι γευστὰ ὄντα, ξηραίνει
25 δὲ μᾶλλον οὐχ ὡς ἔγχυμα, ἀλλὰ διά τινα ἁπτὴν ποιότητα, οἷον ξηρότητα
ἢ θερμότητα. οὐδὲ γὰρ ὁ ξηρὸς ἄρτος ξηραίνει, ἢ εἰ τύχοι τρωγάλια καὶ
τὰ ὅμοια, ἀλλὰ τῷ ξηρὰ εἶναι ἢ θερμὰ ἐξικμάζει τὴν ἐν τῇ γλώττῃ
ὑγρότητα. τὸ δὲ σωζόμενον δύναται λέγεσθαι καὶ ὡς πρὸς ἀντιδιαστολὴν
ἄλλων, νίτρου καὶ τῶν ὁμοίων· ταῦτα γὰρ ὑγραίνεται· οὐ σωζόμενα·
30 τήκεται γάρ.

p. 422ᵇ5 Σημεῖον δὲ τὸ μήτε κατάξηρον οὖσαν τὴν γλῶτταν 30
αἰσθάνεσθαι μήτε λίαν ὑγράν.

Σημεῖόν φησι τοῦ δεῖν τὴν γλῶτταν δυνάμει μὲν ὑγρὰν εἶναι, ἐνερ-
γείᾳ δ' οὔ, ὅτι ὅσοι τὴν γλῶτταν ἀμέτρως ἢ ξηρὰν ἔχουσιν ἢ ὑγράν,
35 οὗτοι οὐκ ἀντιλαμβάνονται τῶν γευστῶν. εἶτα καὶ τὴν αἰτίαν τούτου προσ- 35

---

2 δυνατὸν D 6 γίνηται scripsi: γίνεται ADt ἦν A: ᾗ Dt 10 ἂν addidi
11 πρῶτον t 18 πεφυκέναι scripsi: πέφυκεν Dt 28 ὡς πρὸς Diels: ὥσπερ
Dt 31 Σημεῖον] σημαίνει D

τίθησιν. αὕτη γάρ, φησίν, ἀφὴ γίνεται τοῦ πρώτου ὑγροῦ, τουτέστιν m 7r
διὰ τοῦτο οὐκ ἀντιλαμβάνεται ἡ λίαν ὑγρὰ γλῶττα τῶν χυμῶν, διότι ἡ ἐν
αὐτῇ ὑγρότης ἔγχυμος οὖσα καὶ πρώτη αὐτῇ προσβάλλουσα γίνεται τῆς
γλώττης ἁφὴ ἑαυτῆς ἀντίληψιν αὐτῇ παρέχουσα, καὶ ταύτῃ οὐκ ἐῶσα ἀντι-
5 λαμβάνεσθαι τῆς ἔξωθεν· τοῦ γὰρ παρακειμένου καὶ πρώτου ἁπτομένου ἡ
γεῦσις γίνεται. σημεῖον δὲ τούτου, φησίν, ὅτι οἱ προγευσάμενοι ἄλλου
χυμοῦ καὶ μάλιστα σφοδροτέρου οὐκέτι τῶν δευτέρων ὁμοίως αἰσθάνονται.
ἀλλὰ καὶ τοῖς ἰκτεριῶσι πᾶς χυμὸς δοκεῖ πικρὸς εἶναι διὰ τὸ τὴν ὑγρότητα 10
τὴν περὶ τὴν γλῶτταν τοῦτον ἔχειν τὸν χυμόν, οὗ πρῶτον γευομένη οὐκ
10 ἀντιλαμβάνεται τῶν προσφερομένων. ζητήσειε δ' ἄν τις· καίτοι εἰ πικρὸς
ὁ περὶ τὴν γλῶτταν χυμός, ἔδει, ὁπηνίκα προσφέρεται τὸ μέλι, ἧττον
δοκεῖν πικρὸν εἶναι, ἐμμιγνυμένου τοῦ γλυκέος καὶ κολάζοντος τὴν ἀμετρίαν
τοῦ πικροῦ· νῦν δ' ὅταν προσφέρηται τὸ γλυκύ, τότε τῆς πικρίας μᾶλλον
ἀντιλαμβάνεται. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές· οὐ γὰρ μᾶλλον τότε ἀντιλαμβά- 45
15 νεται, ἀλλὰ διὰ τὸ ἠρεμεῖν πρὸ τούτου τὴν αἴσθησιν οὐκ ἀντιλαμβάνεται
τοῦ περὶ αὐτὴν χυμοῦ· ἐπεὶ ἐὰν καὶ μηδενὸς προσενεχθέντος κινηθῇ,
μᾶλλον αἰσθήσεται τῆς πικρότητος. ὥσπερ οὖν ὁ ὑγρὰν ἔχων τὴν
γλῶτταν ἧττον αἰσθάνεται, οὕτω καὶ ὁ ἄγαν ξηράν. δεῖ γάρ, ὡς εἶπον,
παθεῖν τὸ αἰσθητήριον ὑπὸ τοῦ γευστοῦ, ὑγροῦ ὄντος· τὸ δὲ ἄγαν ξηρὸν
20 ἧττον πάσχει ὑπὸ τοῦ ὑγροῦ καὶ διὰ πλείονος χρόνου. δηλοῦσι δὲ αἱ
κατεξηρασμέναι τῶν βυρσῶν ἐπὶ πολὺν χρόνον μὴ πάσχουσαι ὑπὸ τοῦ ὑγροῦ. 50

p. 422b10 Τὰ δὲ εἴδη τῶν χυμῶν, ὥσπερ καὶ ἐπὶ τῶν χρωμάτων, ἁπλᾶ μὲν τἀναντία, τὸ γλυκὺ καὶ τὸ πικρόν.

Ἀπαρίθμησιν ποιεῖται τῶν εἰδῶν τῶν γευστῶν. ὥσπερ γὰρ ἐπὶ τῶν
25 χρωμάτων τὰ μὲν ἁπλᾶ ἐστι τὰ ἐναν|τία. τὸ λευκὸν καὶ τὸ μέλαν (οὔτε m 7v
γὰρ ἐξ ἄλλων μέμικται χρωμάτων ταῦτα οὔτε ἐξ ἀλλήλων) τὰ δὲ μεταξὺ
τούτων οὐκέτι ἁπλᾶ, ἀλλὰ τῇ τούτων ποιᾷ μίξει πρὸς ἄλληλα ἀποτελοῦνται,
καὶ ἔστιν αὐτῶν τὰ μὲν ἐγγυτέρω τοῦ λευκοῦ, ὡς τὸ ξανθόν, τὰ δὲ ἐγγυ-
τέρω τοῦ μέλανος, ὡς τὸ κυανοῦν, τὰ δὲ λοιπὰ μεταξὺ τούτων εἰσίν, οἷον
30 τὸ φαιόν, τὸ ἐρυθρόν, οὕτω καὶ ἐπὶ τῶν χυμῶν. καὶ γὰρ ἐπὶ τούτων
ἁπλᾶ μὲν πάλιν τὰ ἐναντία, τὸ γλυκὺ καὶ τὸ πικρόν, τὰ δὲ ἄλλα μικτὰ 5
καὶ μεταξύ· ἀλλὰ τοῦ μὲν γλυκέος ἐγγυτέρω τὸ λιπαρόν, τὸ δ' ἁλμυρὸν
τοῦ πικροῦ, τὰ δὲ λοιπὰ ἅπερ ἀπαριθμεῖται τούτων μεταξύ. οὐ πάντως
δὲ τὰ μεταξὺ καὶ μικτά· τὰ μὲν γὰρ μικτὰ καὶ μεταξύ, οὐκέτι δὲ καὶ
35 ἀνάπαλιν, οἷον ἐπὶ χρωμάτων τὸ μὲν φαιὸν μικτὸν ὂν καὶ μεταξύ ἐστι, τὸ
μέντοι ἐρυθρὸν ἢ πράσιον οὐ πάντως ἐκ τῆς μίξεως τῶν ἐναντίων γίνονται,

3 ἔγχυμος Suid. s. v. Γλῶττα: εὔχυμος Dt: ἄχυμος A in ras. αὐτῇ A Suid.: αὐτὴ Dt 4 αὐτῇ D: αὐτὴ At 5 πρῶτον t 21 κατεξηραμέναι t 29 κυανοῦν A: κυανόν Dt 32. 33 τοῦ δ' ἁλμυροῦ τὸ πικρόν D 33 δὲ om. t 36 πράσιον AD: πράσινον t

ἀλλὰ μεταξὺ λέγονται ὡς μηδετέρου τῶν ἄκρων μετέχοντα· οὕτω δὲ καὶ m 7v
ἐπὶ χυμῶν μικτὸν μὲν τὸ ἁλμυρόν, ὡς οἱ ἅλες (ἐκ γὰρ πικροῦ τοῦ θαλασ- 10
σίου ὕδατος καὶ γλυκέος τὴν γένεσιν ἔχουσι), τὸ δὲ ὁριμὺ καὶ αὐστηρὸν
καὶ ὀξὺ τῷ μηδετέρου τῶν ἄκρων μετέχειν οὕτως εἰσὶ μεταξύ· οὐ γὰρ
5 πάντως ἐκ τῆς τῶν ἄκρων μίξεως τὴν γένεσιν ἔχουσιν. ὀκτὼ δ' ἀπα-
ριθμεῖται εἴδη χυμῶν, καὶ σχεδὸν ταῦτα μὲν ἅ φησιν εἶναι· εἴ τι γὰρ
ἄλλο ἐστίν, ἐγγύς ἐστι τοῦ ἄχυμον εἶναι, οἷον τὸ πλαδαρὸν ἤ τι τοιοῦτον.

p. 422b15 Ὥστε τὸ γευστικόν ἐστι τὸ δυνάμει τοιοῦτον.

Εἰπὼν περὶ τῶν ἀντικειμένων τῇ γευστικῇ δυνάμει, λέγω δὴ τῶν
10 γευστῶν, ἑξῆς λέγει καὶ περὶ τοῦ γευστικοῦ, αὐτῆς λέγω τῆς δυνάμεως,
ἧς χάριν καὶ τὸν περὶ τῶν ἀντικειμένων λόγον ἐποιήσατο, ὥσπερ καὶ ἐπὶ
τῶν ἄλλων αἰσθήσεων. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν ὥστε τὸ γευστικὸν
εἶναι τὸ δυνάμει τοιοῦτον, ὥσπερ συμπεραινόμενος τὸν λόγον. τοιοῦτον
οὖν ἐστιν τὸ γευστικόν, φησί, δυνάμει, οἷον τὸ γευστὸν ἐνεργείᾳ, ἢ γλυκὺ
15 ἢ πικρὸν ἤ τι τῶν μεταξύ, ὅπερ γευστὸν ποιεῖ τὸ γευστικὸν ἐνεργείᾳ τοι- 20
οῦτον, οἷόν ἐστιν αὐτό.

p. 422b17 Περὶ δὲ ἁπτοῦ καὶ περὶ ἁφῆς ὁ αὐτὸς λόγος.

Ἔτι λείπεται ὁ περὶ ἁφῆς λόγος τῷ περὶ τῶν αἰσθήσεων, ὃν προ- 25
χειρίζεται νῦν. δύο δὲ προβλήματα παράδοξα κατασκευάζει ἐν τούτοις, ἓν
20 μὲν ὅτι ἁφὴ οὐ μία αἴσθησις, ἀλλὰ πλείους, δεύτερον δὲ ὅτι οὐκ ἔστιν ἡ
σὰρξ τὸ ἁπτικὸν αἰσθητήριον, ἀλλὰ ἄλλο μέν τί ἐστι τὸ αἰσθητήριον, ἡ

---

6 μὲν ἅ D: post μὲν add. ἐστὶν t: fort. μόνα 8 τὸ (post ὥστε) om. D, sed cf. v. 12 17 καὶ περὶ D Arist. ETy: περὶ om. t Arist. vulg. 18 τῶν περὶ t 21 μέν τοι t

---

8 post τοιοῦτον add. ὁ μὲν οὖν Ἀριστοτέλης ὀκτὼ καταλέγων εἴδη χυμῶν δύο λέγει ἄκρους, τὸ γλυκὺ καὶ πικρόν, καὶ ἓξ μέσους, ἐγγὺς μὲν τοῦ γλυκέος τὸ λιπαρόν, τοῦ δὲ πικροῦ τὸ ἁλμυρόν, ἐν μέσῳ δὲ στρυφνόν, αὐστηρόν, ὁριμύ, ὀξύ. ὁ δὲ Γαληνὸς ἐν τοῖς ἁπλοῖς ἄκρους μὲν λέγει οὐ τὸν γλυκὺν καὶ πικρόν, ἀλλὰ τὸν ὁριμὺν καὶ ὀξύν. καὶ οὐ διαφωνοῦσιν· ὁ μὲν γὰρ ὡς ἰατρὸς πρὸς τὰς ἁπτὰς ἀπιδὼν ποιότητας τούτους ἐκάλεσεν ἄκρους· ἄκρον γάρ ἐστιν κατὰ μὲν θερμότητα τὸ ὁριμύ, κατὰ δὲ ψύξιν τὸ ὀξύ· ὁ δὲ οἷα φιλόσοφος οὐκέτι πρὸς τὰς ἁπτὰς ἀλλὰ πρὸς τὰς γευστὰς ἀφεωρακὼς οὕτως ἐποιήσατο τὴν ἀντίθεσιν· ἄκρον γάρ ἐστιν ἐν τοῖς γευστοῖς τὸ γλυκὺ καὶ πικρόν. ὁ δὲ Πλάτων ἑπτὰ λέγει χυμούς· τὸ γὰρ λιπαρὸν ἅμα τῷ γλυκεῖ συνάπτει λέγων ὅτι τὸ ὑπαλεῖφον εἰ μὲν μετὰ ἡδύτητός ἐστι, ποιεῖ τὸ γλυκύ, εἰ δὲ ἄνευ ἡδύτητος, τὸ λιπαρόν. γλυκὺ δὲ λέγομεν οἷον τὸ μέλι, λιπαρὸν δὲ τὰ ἐλαιώδη, ὀξὺ τὸ ὄξος, στρυφνὸν οἷον ἀχράδας, αὐστηρὸν τὸν οἶνον, ἁλμυρὸν τοὺς ἅλας, πικρὸν τὸ ἀψίνθιον, ὁριμὺ τὸ πέπερι. κέχρηται δὲ ὁ Πλάτων τοιαύτῃ τάξει· ἄκρα λέγει ὀξὺ καὶ ὁριμύ, πάρακρα δὲ ἐγγὺς τοῦ ὀξέος τὸ στρυφνόν, ἐγγὺς δὲ τοῦ ὁριμέος τὸ πικρόν, παράμεσα δὲ ἐγγὺς μὲν τοῦ πικροῦ τὸ ἁλμυρόν, ἐγγὺς δὲ τοῦ στρυφνοῦ τὸ αὐστηρόν, μέσον δὲ τὸ γλυκύ. ἀνατίθησι δὲ ταῦτα τοῖς ἑπτὰ πλανήταις, τὸ μὲν ὀξὺ τῷ Ἑρμῇ, τὸ δὲ ὁριμὺ τῷ Ἄρει, τὸ πικρὸν τῇ σελήνῃ, τὸ γλυκὺ τῷ ἡλίῳ, τὸ ἁλμυρὸν τῇ Ἀφροδίτῃ, τὸ αὐστηρὸν τῷ Διί, τὸ στρυφνὸν τῷ Κρόνῳ. τὴν δὲ αἰτίαν τῆς ἀναθέσεως ὡς φλυαρίαν παρίδωμεν A

δὲ σὰρξ μεταξύ ἐστιν, ὥσπερ ἐπὶ τῶν ἄλλων ἢ τὸ διαφανὲς ἢ τὸ δίοσμον III 7v
ἢ τὸ διηχές, ἢ ὡς τὸ σύνθετον ἀὴρ καὶ ὕδωρ. ὅτι οὖν οὐ μία ἡ ἁπτικὴ
αἴσθησις, ἀλλὰ πλείους, κατασκευάζει διὰ δύο ἐπιχειρημάτων. ἑνὸς μὲν
ὅτι πᾶσα μία αἴσθησις περὶ μίαν ἐναντίωσιν ἔχει, ἡ δὲ ἁφὴ οὐκ ἔχει 30
5 περὶ μίαν ἐναντίωσιν ἀλλὰ πλείους· οὐκ ἄρα ἡ ἁφὴ μία αἴσθησις. ἥ τε
γὰρ ὄψις ἔχει περὶ τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὰ τούτων μεταξύ, ὁμοίως
ἡ γεῦσις περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ τὰ τούτων μεταξύ, ἡ ἀκοὴ περὶ
τὸν ὀξὺν καὶ βαρὺν φθόγγον, ἡ δ' ὄσφρησις, ὡς εἴπομεν, ἀμυδρὰ οὖσα οὐ
διακρίνει κατ' εἴδη τὰ ὀσφραντά, εἰ μὴ τῷ ἡδεῖ καὶ τῷ λυπηρῷ· ἡ
10 μέντοι γε ἁφὴ περὶ πλείους ἐναντιώσεις ἔχει οὐχ ὑπαλλήλους οὐδὲ κατ'
οὐδὲν κοινωνούσας, οἷον τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὸ ξηρὸν καὶ τὸ ὑγρόν, 35
μαλακὸν καὶ σκληρόν, βαρὺ καὶ κοῦφον, τραχὺ καὶ λεῖον, κραῦρον καὶ
γλίσχρον καὶ τὰ ὅμοια. ὥστε εἰ πλείους αἱ ἀντιθέσεις αὗται οὐκ οὖσαι
ὑπάλληλοι (τί γὰρ ἐπικοινωνεῖ τὸ κοῦφον καὶ βαρὺ τῷ ξηρῷ καὶ ὑγρῷ ἢ
15 τοῖς λοιποῖς, ἢ τῶν ἄλλων ἕκαστον τοῖς λοιποῖς;) ἑκάστη δὲ μία αἴσθησις
περὶ μίαν ἔχει τῶν αἰσθητῶν ἀντίθεσιν, ἔοικε μὴ μία εἶναι αἴσθησις ἡ
ἁφή. μία μὲν οὖν ὅτι μὴ ἔστι μία αἴσθησις ἡ ἁφή, ἐπιχείρησις αὕτη·
δευτέρα δὲ ὅτι πᾶσα αἴσθησις μία περὶ ἓν γένος, ἡ δὲ ἁφὴ οὐ περὶ ἓν
γένος, ἡ ἁφὴ ἄρα οὐ μία αἴσθησις. ἡ μὲν γὰρ ὄψις περὶ τὰ χρώματα, 10
20 ἡ δὲ γεῦσις περὶ τοὺς χυμούς, ἡ ἀκοὴ περὶ τοὺς ψόφους (ἡ γὰρ ὄσφρησις
διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣν τὰ εἴδη τῶν ὀσφραντῶν οὐ διαγινώσκει, οὐδὲ
τὸ γένος αὐτῶν ἔχει κατωνομασμένον)· ἡ δὲ ἁφὴ καίτοι ἀκριβεστάτη οὖσα
παρ' ἡμῖν, ὅμως οὐκ ἔχει ἕν τι γένος οὔτε ὠνομασμένον οὔτε ἀνώνυμον
τῶν οἰκείων αὐτῆς αἰσθητῶν περιεκτικόν. τὰ μὲν οὖν ἐπιχειρήματα ταῦτα
25 ὅτι ἡ ἁφὴ οὐ μία αἴσθησις. ὁ δὲ Θεμίστιος φησιν ἀλύτους μὲν ταύτας
εἶναι· τῷ ὄντι γὰρ οὐ μίαν εἶναι, ἀλλὰ πλείους αἰσθήσεις τὴν ἁφήν· τῶν 45
δὲ δύο τῶν ἐπιχειρήσεων, φησί, πρὸς μὲν τὴν δευτέραν οὐδὲ ἐπεχείρησεν
οὐδὲν εἰπεῖν ὁ Ἀριστοτέλης, τὴν δὲ προτέραν ἐπειράθη μὲν σαλεῦσαι,
ἐσοφίσατο δὲ ἡμᾶς. λέγει γάρ, φησίν, ὡς οὐδὲ αἱ ἄλλαι αἰσθήσεις περὶ
30 μίαν ἀντίθεσιν καταγίνονται, ἀλλὰ πλείους· ἡ γὰρ ἀκοὴ οὐ μόνον περὶ
τὴν ὀξεῖαν καὶ βαρεῖαν ἔχει φωνήν, ἀλλ' ἔστιν ἐν ταῖς φωναῖς τραχεῖά τε
καὶ λεία, μέλαινα καὶ λευκή, μεγάλη καὶ μικρὰ καὶ βραχεῖα. ὁμοίως δὲ
καὶ ἐν χρώμασίν ἐστι τὸ τραχὺ καὶ τὸ λεῖον, λεῖον μὲν τὸ ἥδον τὴν 50
ὄψιν, οἷον τὸ τοῦ ἑωσφόρου, τραχὺ δὲ τὸ λυποῦν. ταῦτα δέ, φησί, λέγων
35 παραλογίζεται ἡμᾶς. εἰπὼν γὰρ πᾶσαν αἴσθησιν περὶ μίαν ἀντίθεσιν τῶν
αἰσθητῶν ἔχειν, δῆλον ὅτι τῶν ἰδίων αἰσθητῶν εἶπεν· εἶτα σαλεύειν τὸν
λόγον τοῦτον πειρώμενός φησιν ὅτι καὶ ἡ ἀκοὴ οὐ μόνον περὶ τὸ ὀξὺ καὶ

---

2 ἁπτικὴ] αἰσθητικὴ D 7 τὸ ante πικρὸν om. t 8 οὐ om. D 10 ὑπαλλήλας D 10. 11 κατ' οὐδενὸς D 12 καὶ (post μαλακὸν) om. t βαρὺ] βραχὺ D 17 ὅτι μὴ—ἡ ἁφή A: ἡ ἀρχὴ Dt αὕτη om. D 18 δὲ (post δευτέρα) om. t 18. 19 ἡ δὲ ἁφὴ—γένος om. D 19 οὐ om. D 25 Θεμίστιος] cf. paraphr. II 132 ed. Spengel ἀλύτους μὲν ταύτας A: αὐτοὺς μὲν ταύτας D: ἀληθῆ μὲν ταῦτα t 27 τῶν om. t 33 τὸ εἶδον D 34 δὲ τὸ A: post δὲ add. καὶ Dt

βαρὺ ἔχει, ἀλλὰ καὶ περὶ τὸ μέγα καὶ τὸ μικρόν· τὸ δὲ μέγα καὶ τὸ μικρὸν m 7v
τῶν κοινῶν ἐστιν αἰσθητῶν. ἔδει δὲ δεῖξαι, εἰ αἱ ἄλλαι αἰσθήσεις περὶ
πλείους ἀντιθέσεις ἔχουσιν | ἰδίων αἰσθητῶν. ταῦτα μὲν οὖν ὁ Θεμίστιος· m 8r
ἠγνόησε δὲ ἑαυτὸν παραλογισάμενος. τὸ γὰρ μέγα καὶ μικρὸν τὸ ἐπὶ τῶν
5 ψόφων λεγόμενον μόνης ἔστιν ἴδιον τῆς ἀκοῆς, διόπερ οὐδεμία ἄλλη αἴσθησις
δύναται κρῖναι τὸ ἐν ψόφοις μέγα καὶ μικρὸν πλὴν τῆς ἀκοῆς. ἐλέγετο
δὲ κοινὸν αἰσθητὸν εἶναι τὸ μέγα καὶ τὸ μικρὸν τὸ συνεχὲς τὸ ἐν
σώμασι· τούτου δὲ ἡ ἁφὴ καὶ ἡ ὄψις ἐστὶ κριτήριον. δῆλον δὲ ὅτι κἂν
λέγωμεν μέλαιναν καὶ λευκὴν φωνήν, κατὰ ἀναλογίαν καὶ ὁμοιότητα τὴν 5
10 ἀπὸ τῶν χρωμάτων φαμέν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἀλλ' ἔστι καὶ
πρὸς τοῦτο εἰπεῖν ὅτι τὸ ἐν ψόφοις μέγα καὶ μικρὸν οὐκ ἔστιν ἑτέρα τις
ἀντίθεσις παρὰ τὸν ὀξὺν καὶ βαρὺν φθόγγον, ὥσπερ ἐπὶ τῆς ἁφῆς παρὰ
τὸ θερμὸν καὶ ψυχρὸν ἑτέρα παντελῶς ἀντίθεσις τὸ βαρὺ καὶ κοῦφον
ἢ τραχὺ καὶ λεῖον καὶ τῶν ἄλλων ἑκάστη, ἀλλὰ τὴν ἄνεσιν ἢ τὴν ἐπίτασιν
15 δηλοῖ τῶν ψόφων· τοῦτο δὲ οὐκ ἔστιν ἑτέρας ἀντιθέσεως ἴδιον. τὸ τοιοῦτο
γοῦν μέγα καὶ μικρὸν ἐπὶ πάντων τῶν αἰσθητῶν εὑρίσκεται· οὕτω γοῦν 10
καὶ χυμὸν μέγαν καὶ μικρὸν εὑρεῖν ἔστιν, οἷον τὸν μὲν τοῦ μέλιτος, εἰ
τύχοι, μέγαν, τὸν δὲ τῆς ἰσχάδος, εἰ τύχοι, μικρόν, ὅτι ἐπιτέταται ἡ
γλυκύτης ἐν τῷ μέλιτι, ἀνεῖται δὲ ἐν τῇ ἰσχάδι. ἀλλὰ καὶ τὸ μέλαν
20 χρῶμα τὸ μὲν κατακορὲς εἴποι ἄν τις μέγα, τὸ δὲ μὴ οὕτως ἔχον ἀλλ'
ὑφείμενον μικρόν, τὸ σφοδρὸν ἁπλῶς καὶ ἀμυδρὸν τῇ τοῦ μεγάλου καὶ
μικροῦ φωνῇ ὀνομάζων. ὥστε οὐκ ἔστιν ἑτέρα ἀντίθεσις τὸ τοιοῦτο.
ἀλλὰ κἂν μέλαιναν φωνὴν καὶ λευκὴν λέγωμεν, οὐχ ἕτερον εἶδος ἀντιθέ-
σεως εἴπομεν τῶν φωνῶν· οὐ γάρ ἐστι διάκρισιν τούτων εὑρεῖν παρὰ τὸ 15
25 ὀξὺ καὶ παρὰ τὸ βαρύ, ὥσπερ τὸ σκληρὸν καὶ μαλακὸν ἔστι τῶν ἄλλων κεχω-
ρισμένον ἰδεῖν, ὁμοίως τὸ τραχὺ καὶ λεῖον, ἀλλ' οἷον ἰδιότητές τινές εἰσιν ἐπὶ
τοῦ ὀξέος θεωρούμεναι καὶ ἐπὶ τοῦ βαρέος, οὐ μὴν ἐξαλλαγή τινός ἐστιν εἴδους
περὶ τὸν ὀξὺν ἢ βαρὺν φθόγγον. ζητῆσαι δ' ἄξιον τί δήποτε ἐπὶ μόνων τῶν
μεγεθῶν λεγομένου τοῦ μεγάλου καὶ μικροῦ ἐπὶ μόνων τῶν σφοδρῶν ψόφων
30 καὶ ἀμυδρῶν τῇ μεταφορᾷ ἐχρησάμεθα. μέγαν ψόφον λέγοντες καὶ μικρὸν
ψόφον, οὐ μέντοι μέγα γλυκὺ τὸ ἄγαν γλυκύ, οὐδὲ μικρὸν τὸ ἀμυδρὰν 20
ἔχον τὴν γλυκύτητα, οὐδὲ ἐπ' ἄλλου οὐδενός. φημὶ οὖν ὅτι ὁ ψόφος οὐκ
ἔστιν ὑφεστηκός τι ἀθρόον πρᾶγμα, ἀλλ' ἐν τῷ γίνεσθαι ὑφέστηκεν· γίνεται
δὲ ἐν χρόνῳ, πᾶς δὲ χρόνος συνεχής. διὰ τοῦτο τὸν ἐν πολλῷ χρόνῳ γινό-
35 μενον ψόφον μέγαν φαμέν, μικρὸν δὲ τὸν ἐν ὀλίγῳ. τὸ δὲ ἄγαν γλυκὺ
καὶ ἄγαν μέλαν καὶ ἐπὶ τῶν ἄλλων τῷ σφοδρῷ τῆς ποιότητος τοιαῦτά

---

1 τὸ δὲ μέγα καὶ μικρὸν t 4 ἑαυτὸν A: αὐτὸν Dt παραλογιζόμενον t
7 post μικρὸν add. οὐ τὸ ἐπὶ τῶν ψόφων λεγόμενον ἀλλὰ A 9 λέγομεν D 16. 17 ἐπὶ πάντων — μικρὸν A Suid. s. v. Μέγα καὶ μικρόν: om. Dt 17 εὑρεῖν ἔστιν A Suid.: ἐρεῖς Dt 22 ὀνομάζον t 24 εἴπομεν D: εἴπωμεν t: λέγομεν A 25. 26 κεχωρισμένον t: κεχωρισμένων AD 26 ὁμοίως δὲ καὶ τὸ t 27 θεωρούμενα D
28 δ' ἂν ἄξιον t 30 post μεταφορᾷ add. οἰκείως A 31 ἀμυδρὰν A^2D: ἀμυδρὸν A^1t

ἐστιν, οὐ τῷ μήκει τοῦ χρόνου. ὁ μὲν οὖν Θεμίστιος οὐ καλῶς πρὸς τὰ m 8r
παρὰ Ἀριστοτέλους ἐνέστη· ἔστι δὲ ἐκεῖνο εἰπεῖν ὅτι ἐπὶ μὲν τῶν ἁπτῶν
πλείους ἐλήφθησαν ἀντιθέσεις μηδὲν ἀλλήλαις ἐπικοινωνοῦσαι ἀλλὰ κεχω-
ρισμέναι. τῆς τε γὰρ ψυχροῦ καὶ θερμοῦ ἀντιθέσεως κεχώρισται ἡ κατὰ
τὸ ὑγρὸν καὶ ξηρόν, ὅθεν πῦρ μὲν θερμὸν καὶ ξηρόν, ὕδωρ δὲ ψυχρὸν καὶ
ὑγρόν· ὁμοίως σκληρὸν καὶ μαλακόν, τραχὺ καὶ λεῖον, κραῦρον καὶ
γλίσχρον, ταῦτα πάντα κεχώρισται ἀλλήλων· οὐδὲν γοῦν τούτων οὔτε ἐν
πυρὶ ἐνθεωρεῖται οὔτε ἐν ἀέρι οὔτε ἐν ὕδατι, ἀλλ' οὐδὲ πᾶσι τοῖς συνθέτοις
παρακολουθεῖ σώμασιν. οὐ γὰρ πᾶν ἢ κραῦρόν ἐστιν ἢ γλίσχρον· οἱ γοῦν
στερροί τε καὶ δύσθραυστοι τῶν λίθων οὔτε κραῦροί εἰσι δι' αὐτὸ τοῦτο
οὔτε γλίσχροι· ἐν ὑγρῷ γὰρ τὸ γλίσχρον. τὰς μέντοι ἀντιθέσεις, ἃς εἶπεν
ὁ Ἀριστοτέλης ἐπὶ τῶν ψόφων, ἐν πάσῃ φωνῇ ἔστιν εὑρεῖν· πᾶσα γὰρ
φωνὴ μεγάλη ἐστὶν ἢ μικρά· καὶ γὰρ ἡ ὀξεῖα ἢ μεγάλη ἐστὶν ἢ μικρά, ἢ
λεία ἢ τραχεῖα. καὶ ἡ βαρεῖα ὁμοίως. ὥστε συμβέβηκε πάσῃ φωνῇ· κατὰ
τὸ ποσὸν γὰρ τῆς ἐκφωνήσεως τὸ μέγα ἴσχουσι καὶ τὸ μικρόν· ὁμοίως
καὶ τὸ λεῖον καὶ τραχὺ κατὰ τὸ ποιόν· ὥστε οὐκ ἀντιθέσεις εἰσὶ διαφόρων
ἀκουστῶν ἢ ψόφων. ἐπὶ δὲ τῆς ἁφῆς, ὡς ἐδείξαμεν, κεχωρισμέναι εἰσὶν
ἀλλήλων αἱ ἀντιθέσεις καὶ οὐδὲν ἐπικοινωνοῦσαι ἀλλήλαις οὐδὲ συμβεβη-
κυῖαι ἄλλαι ἄλλαις, ὅθεν οὐδ' ἐν πᾶσιν τοῖς ἁπτοῖς ἐνθεωροῦνται. διὰ τί
γὰρ μὴ ὡς πᾶσα φωνὴ ἢ μεγάλη ἐστὶν ἢ μικρὰ ἢ τραχεῖα ἢ λεία, οὕτω
πᾶν ἁπτὸν ἢ κραῦρόν ἐστιν ἢ γλίσχρον, ἢ τραχὺ ἢ λεῖον; εἰ δὲ πᾶν ἐστιν
ἢ θερμὸν ἢ ψυχρόν, ἢ ξηρὸν ἢ ὑγρόν, τοῦτο διὰ τὸ συστατικὰς εἶναι
ταύτας τὰς ἀντιθέσεις τῆς τῶν σωμάτων ὑποστάσεως. εἰ δὲ καὶ τὸ βαρὺ
καὶ κοῦφον πάντα διανενέμηται τὰ σώματα, ἀλλ' οὐχ ὡς συμβεβηκότα
ταῖς ἄλλαις ποιότησι, θερμότητι λέγω καὶ ψύξει, ἢ ξηρότητι καὶ ὑγρότητι·
οὐ γὰρ ὥσπερ τῷ ποσῷ τῶν ψόφων καὶ τῷ ποιῷ παρηκολούθει τὸ μέγα
καὶ μικρὸν καὶ τραχὺ καὶ λεῖον, οὕτω καὶ τῷ ποσῷ τοῦ θερμοῦ καὶ
ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, φημὶ δὴ τῇ ἐπιτάσει καὶ ἀνέσει, παρα-
κολουθεῖ τὸ τραχὺ καὶ λεῖον ἢ βαρὺ καὶ κοῦφον καὶ τὰ λοιπά. ὁμοίως
οὐδὲ ἐπειδὴ πᾶν σύνθετον ἢ τραχύ ἐστιν ἢ λεῖον, διὰ τοῦτο ἤδη αἱ ποιό-
τητες αὗται παρακολουθήματά εἰσιν ἄλλων ποιοτήτων· μᾶλλον γὰρ τῇ
θέσει ἕπονται τῶν μορίων· παρὰ γὰρ τὴν ἴσην ἢ ἄνισον τῶν μορίων θέσιν
τὸ τραχὺ γίνεται καὶ τὸ λεῖον. ὥστε πάντῃ κεχωρισμέναι εἰσὶν αὗται
ἀλλήλων, καὶ οὐδὲν ὅμοιον αὐτοῖς ἐπὶ τῶν ἄλλων αἰσθητῶν ἔστιν ἰδεῖν.
πρὸς δὲ τὴν δευτέραν ἐπιχείρησιν ὁ μὲν Θεμίστιος, ὡς εἶπον, οἴεται μηδὲν
εἰρηκέναι τὸν Ἀριστοτέλη, λέγω δὴ τὴν ὅτι πάσης αἰσθήσεως περὶ ἕν τι γένος

---

4 θερμοῦ καὶ ψυχροῦ t 7 γοῦν A: οὖν Dt 11 ἃς om. D 14. 15 κατὰ τὸ A: τὸ om. Dt 17 δείξαμεν t 18 ἐπικοινοῦσαι D 19 ἄλλαι] ἄλλου D 20 μὴ ὡς scripsi: ὡς μὴ Dt 22 ἢ ante θερμὸν om. t διὰ τὸ A: δὴ τὸ τὰς D^1: δὴ τῷ τὰς D^2t 23 post ἀντιθέσεις tres fere litt. eras. D 24 καὶ τὸ κοῦφον t 26 καὶ τῷ A: ante καὶ add. ὧν Dt 31 παρακολουθήματί t 32 παρὰ A: περὶ Dt 36 τὸ Ἀριστοτέλει t τὴν om. t

ἐχούσης ἡ ἁφὴ οὐκ ἔχει περὶ ἓν κοινὸν γένος τῶν ἁπτῶν· οἱ δὲ Ἀττικοὶ m 8r
ἐξηγηταὶ ἀκριβῶς ἐπιστήσαντές φασιν ὅτι πάνυ συντόμως καὶ ταύτης
τὴν λύσιν ἔθηκεν ὁ Ἀριστοτέλης εἰπὼν ὅτι καὶ αὐτὴ καταγίνεται περὶ ἕν
τι γένος, οὐκ εἶναι δὲ ἔνδηλον τὸ ἓν γένος τὸ τῇ ἁφῇ ὑποκείμενον· διὰ
5 δὲ τούτου ἐσήμανεν ὅτι ἔστι μέν, οὐ φανερὸν δέ. τί οὖν τοῦτό ἐστι;
λέγομεν ὅτι τὸ ἀντίτυπον· ἀντίτυπον δὲ λέγω οὐ τὸ ἀντικείμενον τῷ μαλακῷ
καὶ μὴ ὑπεῖκον τῇ ἁφῇ, ἀλλὰ πᾶν φυσικὸν σῶμα τὸ προσπῖπτον καὶ θιγγάνον
τῆς ἁφῆς πρὸς ἀντιδιαστολὴν τῶν μαθηματικῶν σωμάτων, ἃ οὐ θιγγάνει
οὐδὲ ἀντιβαίνει τῇ ἁφῇ. τὸ οὖν ὁπωσοῦν ἀντιβαῖνον τῇ ἁφῇ τοῦτό m 8v
10 φαμεν ἀντίτυπον καὶ κοινὸν εἶναι γένος τῶν ἁπτῶν. οὐ δοκεῖ δὲ τοῦτο
περιέχειν θερμότητα καὶ ψύξιν· τούτων γὰρ οὐ κατὰ ὦσιν ἡ ἀντίληψις, εἰ
μή τις μετὰ τῶν ὑποκειμένων ταῖς ποιότησι ταύταις σωμάτων, ἢ ἀέρος ἢ
ἄλλου τινός, λέγοι καὶ αὐτῶν τὴν ἀντίληψιν γενέσθαι· οὕτως οὖν καθολικὸς
ἔσται ὁ λόγος. ἀλλ' εἰ τοῦτο, τί μᾶλλον τῶν ἁπτῶν γένος ἂν εἴη τὸ ἀντί-
15 τυπον ἢ καὶ τῶν ὁρατῶν καὶ ἀκουστῶν καὶ τῶν λοιπῶν; ὑπόκειται γὰρ
τοῦτο οὐ μόνον ταῖς ἁπταῖς ποιότησιν, ἀλλὰ καὶ τοῖς χρώμασι καὶ τοῖς
ψόφοις καὶ τοῖς χυμοῖς καὶ ταῖς ὀσμαῖς. εἰ γὰρ οὐδὲν ἄλλο σημαίνομεν
διὰ τοῦ ἀντίτυπον λέγειν ἢ τὸ φυσικὸν σῶμα, τί μᾶλλον ὑποκείμενον αὐτὸ
φήσομεν εἶναι τῶν ἁπτῶν ποιοτήτων ἢ τῶν ἄλλων πάντων; καὶ εἰ πᾶν
20 ἕν τι γένος πάντως εἰς μίαν ἀντίθεσιν διαιρεῖται τὴν πρώτην, οἷον τὸ μὲν
χρῶμα εἰς λευκὸν καὶ μέλαν, ὁ χυμὸς εἰς γλυκὺ καὶ πικρόν, αἱ ὀσμαὶ
εἰς τὸ εὐῶδες καὶ δυσῶδες, ὁ ψόφος εἰς ὀξὺν καὶ βαρύν, δότωσαν καὶ τὴν
τοῦ ἀντιτύπου διαίρεσιν καὶ λεγέτωσαν εἰς ποίαν πρώτην ἀντίθεσιν διαιρε-
θήσεται, πρὸς τῷ ὅπερ ἤδη εἶπον, μηδὲ λόγον ἔχειν ὑπὸ τοῦτο ἀναφέρειν
25 θερμότητα καὶ ψύξιν, ξηρότητα καὶ ὑγρότητα. ἔστιν οὖν τοῦτο τὸ ἀντί-
τυπον οὐ γένος τῶν ἁπτῶν, ἀλλ' ὑποκείμενον ὥσπερ καὶ τῶν ἄλλων.
οὐχ οὕτω δ' εἴρηται τὸ πᾶσαν αἴσθησιν μίαν οὖσαν περὶ ἕν τι γένος
αἰσθητῶν καταγίνεσθαι, τουτέστι περὶ ἕν τι ὑποκείμενον αἰσθητῶν (κοινῶς
γὰρ πάντων ἕν τί ἐστι τὸ ὑποκείμενον), ἀλλὰ γένος εἴρηται τὸ κατὰ πλειό-
30 νων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, ὥσπερ τὸ
χρῶμα λευκοῦ καὶ μέλανος (ἑκάτερον γὰρ χρῶμα), ὁ ψόφος ὀξέος καὶ
βαρέος (ἑκάτερον γὰρ ψόφος), ὁ χυμὸς γλυκέος καὶ πικροῦ (ἑκάτερον γὰρ
χυμός τις) καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. ὥστε ὅσον ἐπὶ τούτοις, οὐδὲ
ἓν τῶν εἰρημένων ἐπιχειρημάτων λύσεως ἔτυχε.

35 Τὰ εἰρημένα οὖν δύο ἐπιχειρήματα θεὶς ὁ Ἀριστοτέλης ὅτι οὐ μία ἡ
ἁπτικὴ αἴσθησις, ἐντεῦθεν τρίτον λόγον τίθησι συνηγοροῦντα τῷ μὴ μίαν εἶναι

---

5 τοῦτο ἐσήμαν (sic) t 7 ὑπεῖκον Suid. s. v. Ἀντίτυπον: ὑπείκοντι ADt πᾶν τὸ φυσικὸν t 7. 8 προσπῖπτον καὶ θιγγάνον θιγγάνων t) τῆς ἁφῆς] legendum videtur προσπῖπτον τῇ ἁφῇ καὶ θιγγάνον, cf. v. 8. 9 10 κοινῶν D ἁπτῶν] αὐτῶν D 13 αὐτῶν τὴν A: αὐτῶν τῶν D: αὐτῷ τὴν t οὕτος οὖν t 18 διὰ τοῦ A: διὰ τὸ Dt σώματι μᾶλλον D αὐτῷ D 24 πρὸς τὸ t 25 τοῦτο A: τοῦ Dt 26 τῶν τῶν ἁπτῶν D 31 λευκοῦ — ὁ ψόφος t: om. AD 32 γὰρ ψόφος t: γὰρ χρῶμα AD 34 εἰρημένων om. t

αἴσθησιν τὴν ἁφὴν ἀλλὰ πλείους. οὐκ αὐτόθεν δὲ κατασκευάζει τὸ τοιοῦτο, III 8v
ἀλλ' ἔστιν ἔνστασις πρὸς συλλογισμὸν πειρώμενον δεικνύναι ὅτι ἡ αἴσθησις 21
ἡ ἁπτικὴ μία ἐστὶ καὶ οὐ πολλαί· ὃς συλλογισμὸς οὐ κεῖται μέν, ἀλλ'
ἐπεὶ ἡ παρὰ Ἀριστοτέλους ἀνασκευὴ δοκεῖ ὡς πρὸς τοιοῦτον συλλογισμὸν
5 ἐνίστασθαι, διὰ τοῦτο οἱ ἐξηγηταὶ στοχασάμενοι τὸν συλλογισμόν, ὃν λύουσιν
αἱ παρὰ Ἀριστοτέλους ἀνασκευαί, εἶναί φασιν δυνάμει τοιοῦτον. εἰ τὸ αἰσθη-
τήριον τῆς ἁφῆς ἕν ἐστιν, ἡ σάρξ, ἀνάγκη καὶ τὴν ἁπτικὴν αἴσθησιν μίαν
εἶναι· ὧν γὰρ τὸ αἰσθητήριον ἕν, ταῦτα ἀλλήλοις τὰ αὐτά ἐστι, τῶν 25
αὐτῶν δ' αἰσθητῶν καὶ ἡ αἴσθησις μία· ἀλλὰ μὴν ἓν τῶν ἁπτῶν τὸ
10 αἰσθητήριον, ἡ σάρξ· καὶ ἡ ἁπτικὴ ἄρα αἴσθησις μία. τούτου οὖν τοῦ
συλλογισμοῦ καὶ τὸ συνημμένον καὶ τὴν πρόσληψιν δείκνυσι ψευδῆ οὖσαν.
καὶ τὸ μὲν συνημμένον οὕτως· οὐκ ἀνάγκη, φησί, εἰ ἓν αἰσθητήριον, διὰ
τοῦτο καὶ τὴν αἴσθησιν μίαν εἶναι· ἰδοὺ γὰρ ἓν μὲν αἰσθητήριον ἡ γλῶττα,
διάφοροι δὲ αἱ αἰσθήσεις καὶ τὰ αἰσθητά, ἥ τε ἁπτικὴ καὶ ἡ γευστική,
15 καὶ τὰ ἁπτὰ καὶ τὰ γευστά. καὶ ὅτι διάφοροι, πρόδηλον, ὅτι κατὰ τὸ 30
ἄλλο πᾶν σῶμα αἰσθανόμεθα μὲν κατὰ τὴν ἁφήν, οὐ γευόμεθα δέ, ἀλλ'
ὅμως ἐπὶ τῆς γλώττης ἑνὸς ὄντος αἰσθητηρίου ἀμφότεραι συνδεδραμήκασιν
αἱ αἰσθήσεις. ψεῦδος οὖν τὸ λέγειν, εἰ τὸ αἰσθητήριον ἕν, καὶ ἡ αἴσθησις
μία. καὶ γὰρ εἰ ὥσπερ, φησί, ἐπὶ τῆς γλώττης συνδεδραμήκασιν ἄμφω,
20 οὕτω συνέβη καὶ ἐπὶ παντὸς τοῦ σώματος συνδραμεῖν, ὥστε μὴ μόνον
ἅπτεσθαι ἡμᾶς παντί, ἀλλὰ καὶ γεύεσθαι, οὐδ' ἂν διεκρίναμεν ὅτι διάφοροι
αὗται αἱ αἰσθήσεις, ἀλλὰ μίαν εἶναι καὶ τὴν αὐτὴν ἐνομίσαμεν· νῦν δὲ 35
διὰ τὸ μὴ ἀντιστρέφειν, μηδὲ πᾶν τὸ ἁφῆς μετέχον καὶ γεύσεως μετέχειν,
δείκνυται ἑτέρα οὖσα τῆς γεύσεως ἡ ἁφή. οὐκ ἄρα διὰ τὸ ἓν εἶναι αἰσθη-
25 τήριον καὶ τὴν αἴσθησιν ἀνάγκη μίαν εἶναι· τοὐναντίον δὲ διὰ τὸ πλείονα
εἶναι τὰ αἰσθητὰ καὶ τὰς αἰσθήσεις εὔλογον πλείους εἶναι, ὥσπερ ἐπὶ τῆς
γλώττης. ὥστε οὐδ' εἰ τὸ ἁπτικὸν αἰσθητήριον ἕν, πάντως καὶ ἡ ἁπτικὴ
αἴσθησις μία. οὕτω μὲν οὖν τὸ συνημμένον ἀνεῖλεν. ἀναιρεῖ δὲ καὶ τὴν
πρόσληψιν, ὅτι ὅλως ἡ σὰρξ οὐκ ἔστιν αἰσθητήριον τῆς ἁφῆς. ἐπειδὴ δὲ 40
30 εἰς ταὐτὸν συντρέχει ἥ τε τῆς προσλήψεως τοῦ συλλογισμοῦ ἀνασκευὴ καὶ
τὸ δεύτερον τῶν προβλημάτων (ἑκάτερον γὰρ βούλεται τὸ μὴ εἶναι τὴν
σάρκα αἰσθητήριον) κοινοῖς ἐπιχειρήμασιν ἑκάτερον κατασκευάζει. δείκνυσι
δὲ τοῦτο, λέγω δὴ τὸ μὴ εἶναι τὴν σάρκα αἰσθητήριον, τοὺς λόγους, οἷς
ἐχρῶντο οἱ τὴν σάρκα βουλόμενοι εἶναι αἰσθητήριον εἰς κατασκευὴν τοῦ
35 εἶναι αὐτὴν αἰσθητήριον, καὶ ἐκτιθέμενος καὶ ἀναιρῶν. εἰσὶ δὲ οὗτοι τρεῖς
τὸν ἀριθμόν· εἷς μὲν ἐκ τοῦ ἀχρόνου τῆς ἀντιλήψεως, διότι ἀχρόνως ἅμα 45
τῷ θιγεῖν τῇ σαρκὶ τῶν ἁπτῶν ἀντιλαμβανόμεθα αὐτῶν. εἰ γὰρ ἦν
μεταξὺ ἡ σὰρξ καὶ μὴ αἰσθητήριον, ἔδει χρόνου τινὸς πρὸς τὴν ἀντίληψιν,
λέγω ἐν ᾧ ἔδει τὴν σάρκα παθοῦσαν οὕτω διαδοῦναι τὸ πάθος εἰς τὸ

---

8 γὰρ τὸ At: post γὰρ add. καὶ D 13 ἓν μὲν] ἢ μὲν D 14 αἱ om. t 17 συνδραμήκασιν t 18 εἰ om. D 27 οὐδ' εἰ] οὐ δεῖ D 33 λέγω δὲ t

αἰσθητήριον ἐντὸς ὄν. εὔλογον γάρ, ὥσπερ ἐπὶ τῆς ἀκοῆς διὰ τοῦ μεταξὺ m 8v
ἡ ἀντίληψις οὐκ ἄχρονος γίνεται ἅμα τῷ γενέσθαι τὸν ψόφον, μάλιστα
ὅταν πόρρω ᾖ τὸ ψοφοῦν, ἀλλὰ δεῖ τινος χρόνου, ὥστε παθεῖν τὸν ἀέρα,
εἶτα τοῦτον εἰς τὴν ἀκοὴν ποιῆσαι. οὕτω γοῦν ἐν τοῖς Μετεώροις ἐδείχθη,
5 ὅτι καίτοι προτέρας γενομένης τῆς βροντῆς ὕστερον αὐτῆς ἀντιλαμβανόμεθα, 50
τῆς δ' ἀστραπῆς καὶ πρότερον ὑστέρας γενομένης, διά τε τὸ παχυμερέστερον
τῆς ἀκοῆς καὶ διὰ τὴν τοῦ φωτὸς ὀξεῖαν κίνησιν· ὁμοίως καὶ ἐπὶ τῆς
εἱρεσίας πρότερον ὁρῶμεν τὴν κώπην ἀνενεχθεῖσαν, εἶτα τοῦ ψόφου αἰσθα-
νόμεθα. ὁμοίως ἡ ὄσφρησις σωματοειδεστέρα οὖσα τῆς ἀκοῆς δεῖται
10 πλείονος χρόνου εἰς τὴν ἀντίληψιν, κἂν πάνυ πλησίον ᾖ τὸ ὀσφραντόν,
μέχρις ἂν παθὼν ὁ ἀὴρ διαβῇ εἰς τοὺς μυκτῆρας, ἵνα θᾶττον διαβῇ ἐπὶ
τὸ αἰσθητήριον | τὸ πάθος. ἀλλὰ καὶ αὐτὴ ἡ ὀξυτάτη τῶν αἰσθήσεων ἡ n 1r
ὄψις οὐκ ἄχρονον πάντως ἴσχει τὴν ἀκριβῆ τῶν ὁρατῶν ἀντίληψιν. εἰ γὰρ
πόρρωθεν κύκλος προσπέσῃ τῷ ὄμματι τὴν θέσιν ἔχων κατὰ τὸ αὐτὸ τῷ
15 ὄμματι ἐπίπεδον, εὐθεῖα εἶναι δοκεῖ, καὶ τὰ τρίγωνα πόρρωθεν κυκλικὰ
φαίνεται, καίτοι θιγούσης αὐτῶν τῆς ὄψεως. ὥσπερ οὖν ἐπὶ τούτων διὰ
τοῦ μεταξὺ ἀντιλαμβανομένων ἡ σωματοειδεστέρα τῶν αἰσθήσεων πλείονος
δεῖται χρόνου πρὸς τὴν ἀντίληψιν, οὕτω εὔλογον δήπου καὶ τὴν ἁφήν, εἴ 5
γε ἡ σὰρξ μὴ ἦν τὸ αἰσθητήριον ἀλλὰ μεταξύ, μὴ ἀχρόνως ἅμα τῷ
20 θιγεῖν ἀντιλαμβάνεσθαι, ἀλλὰ δεῖσθαί τινος χρόνου πρὸς τὴν ἀντίληψιν,
μέχρις ἂν παθοῦσα ἡ σὰρξ διαδῷ ἐπὶ τὸ αἰσθητήριον ἐντὸς ὂν τὸ πάθος.
οὗτος μὲν οὖν εἷς λόγος τῶν βουλομένων τὴν σάρκα εἶναι αἰσθητήριον,
ἕτερος δ' οὗτος. οὐδὲ ὁρῶμεν, φησίν, ἄλλο τι αἰσθητήριον ἁπτικὸν
παρὰ τὴν σάρκα, διὸ μάταιον τὸ τοῦτο μὲν ἐᾶν, ἄλλο δέ τι ζητεῖν μὴ
25 φαινόμενον. ὁ δὲ τρίτος λόγος ἐνστάσεώς ἐστι λύσις. οἱ γὰρ μὴ βουλό-
μενοι εἶναι τὴν σάρκα αἰσθητήριον ἀλλὰ μεταξὺ ἔνστασίν τινα τοιαύτην τοῖς 10
βουλομένοις εἶναι αὐτὴν αἰσθητήριον προσφέρουσιν· εἰ ἡ σὰρξ αἰσθητήριόν
ἐστιν, ὅπερ ἐπὶ πάντων τῶν αἰσθητηρίων ὑπάρχει, ἀναγκαῖον δήπου καὶ
ἐπὶ αὐτῆς ὁρᾶσθαι. ὥσπερ οὖν ἐπ' ἐκείνων διά τινος μεταξὺ γίνεται ἡ
30 ἀντίληψις, ἀέρος λέγω ἢ ὕδατος, οὕτω καὶ ἐπὶ ταύτης ἔδει διά τινος μεταξὺ
προσβάλλειν τῇ σαρκὶ τὰ ἁπτά· ἐπὶ γοῦν τῶν ἄλλων ἐπιτιθεμένου τοῦ
αἰσθητοῦ ἐπὶ τὸ αἰσθητήριον οὐκ ἐγίνετο αἴσθησις. εἰ δὲ τοῦτο μὴ γίνεται,
ἀλλ' αὐτοῦ θιγγάνει τοῦ ἁπτοῦ ἡ σὰρξ πρὸς τὴν ἀντίληψιν, ἔοικε μὴ εἶναι 15
αἰσθητήριον, ἀλλὰ μεταξύ, εἴ γε δεῖ φυλάττεσθαι ἐπὶ πασῶν τῶν αἰσθή-
35 σεων τὴν αὐτὴν συμφωνίαν καὶ μὴ διαφωνεῖν τὴν ἁφὴν πρὸς τὰς ἄλλας·
ἡ γὰρ γεῦσις καὶ ἁφή τίς ἐστι καὶ τὰ αὐτὰ ἄπορα ἔχει. ταύτην τὴν
ἔνστασιν ἐπιχειρεῖ σαλεύειν ὡς οἷόν τε ἐντρεχέστατα, συνηγορῶν τοῖς τὴν

---

1 ἀκοῆς A: ἀκοῆς ἧς Dt 4 ἐν τοῖς Μετεώροις] Meteorol. B 9 p. 369b7 sqq.
11 post μυκτῆρας add. τὸν ἀέρα D 12 καὶ αὐτὸ t 16 θιγγανούσης t
20 πρὸς] πρὸ t 21 διαδῷ scripsi: διαδώῃ ADt 23 οὐδὲ] εἰ δ' οὐδ' t
24 διὸ A: om. Dt ζητεῖ t 27 αὐτὴν εἶναι t
πρόσφορον D 29 διά om. D 31 προσβαλεῖν t 34 ἀλλὰ] τάλλα D

σάρκα αἰσθητήριον εἶναι βουλομένοις. φησὶν οὖν ὅτι φυλάττεται καὶ ἐπὶ n 1r
τῆς ἁφῆς ἡ αὐτὴ ἀναλογία τῶν αἰσθήσεων, καὶ διά τινος μεταξὺ γίνεται
ἡ ἀντίληψις. ὥσπερ γὰρ εἰ βάψωμεν τοὺς δακτύλους ἐν ὕδατι ἢ ἐν ἐλαίῳ,
εἶτα θίγωμέν τινος, ἔστι μεταξὺ τοῦ τε δακτύλου καὶ οὗ ἅπτεται ὑγρόν 20
5 τι σῶμα (ἀμέλει διαστήσαντες τὸν δάκτυλον ὁρῶμεν ἐν αὐτῷ ἔτι τὴν
ὑγρὰν οὐσίαν, διὰ δὲ τὴν μικρότητα τοῦ μεταξὺ δοκοῦσιν ἀμέσως ἅπτεσθαι
ἀλλήλων τὰ ἁπτόμενα), οὕτως ἐξ ἀνάγκης καὶ ἐπὶ τοῦ ἀέρος συμβαίνει εἶναι
μεταξὺ τῶν ἁπτομένων ἀέρα τινά, λανθάνειν δὲ διὰ τὴν σμικρότητα· ὥστε
καὶ ἐπὶ τῆς ἁφῆς οὐκ ἄμεσος τῆς σαρκὸς ἡ ἀντίληψις, ἀλλὰ διά τινος
10 μεταξύ· εἰ δὲ τοῦτο, φυλάττεται ἄρα καὶ ἐνταῦθα ἡ τῆς ἁφῆς πρὸς τὰς
ἄλλας συμφωνία.

Τούτους οὖν τοὺς λόγους δι' ὧν δοκεῖ κατασκευάζεσθαι ὅτι ἡ σάρξ 25
ἐστι τὸ ἁπτικὸν αἰσθητήριον ἀνελὼν ἔχει δεδειγμένον ὅτι ἡ σὰρξ οὐκ
ἔστιν αἰσθητήριον ἀλλὰ μεταξύ. τὸν μὲν οὖν πρῶτον τῶν λόγων τὸν
15 ἐκ τοῦ χρόνου τῆς ἀντιλήψεως κατασκευάζοντα τὸ αἰσθητήριον εἶναι
τὴν σάρκα ἀνασκευάζει οὕτως· οὐκ ἀναγκαῖον, φησί, πρὸς τὸ δεῖξαι τὴν 30
σάρκα εἶναι αἰσθητήριον τὸ ἅμα τῇ θίξει αὐτῆς τὴν ἀντίληψιν γίνεσθαι
τῶν ἁπτῶν. καὶ γὰρ νῦν, φησίν, εἴ τις ὑμένα τινὰ περιτείνει περὶ τὸν
δάκτυλον οἷον λέπος ᾠοῦ ἢ σκορόδων ἤ τινος τοιούτου, οὐδὲν ἧττον καὶ
20 οὕτως ἅμα τῇ θίξει γίνεται ἡ ἀντίληψις. εἰ δὲ ἐπινοήσειέ τις καὶ συμπε-
φυκὸς τῷ δακτύλῳ τὸ λέπος, πολλῷ μᾶλλον ἥκιστα ἐμποδίσει. εἰ οὖν
ἀλλοτρίου σώματος τῇ σαρκὶ περικειμένου οὐδὲν ἐμπόδιον γέγονε πρὸς τὴν
ἄχρονον ἀντίληψιν, πολλῷ μᾶλλον τῆς σαρκὸς συμπεφυκυίας τῷ αἰσθητη- 35
ρίῳ οὐδὲν ἔδει ἐμποδίζεσθαι τὴν ἀντίληψιν τῶν αἰσθητῶν. οὐκ ἄρα τὸ
25 ἄχρονον τῆς ἀντιλήψεως αἰσθητήριον εἶναι τὴν σάρκα δείκυσι. πρὸς δὲ
τὸν δεύτερον λόγον τὸν λέγοντα μηδὲ φαίνεσθαι ἄλλο τι αἰσθητήριον παρὰ
τὴν σάρκα ἐκεῖνό φησιν· ὥσπερ, φησίν, εἰ ὁ ἀὴρ ἡμῖν περιεπεφύκει παχυν-
θεὶς οὕτως ὡς ἀποκρύπτειν τό τε ὀπτικὸν καὶ ἀκουστικὸν καὶ ὀσφραντικὸν
αἰσθητήριον, ἐνομίσαμεν ἂν διὰ τὸ δι' ἑνὸς καὶ τοῦ αὐτοῦ. λέγω δὴ τοῦ
30 ἀέρος συμφυοῦς ἡμῖν ὄντος, καὶ ὁρᾶν καὶ ἀκούειν καὶ ὀσφραίνεσθαι, μίαν 40
τινὰ αἴσθησιν εἶναι τούτων πάντων ἀντιληπτικήν, τῷ μὴ ὁρᾶν διακεκριμένα
τὰ μόρια δι' ὧν αἱ τούτων ἀντιλήψεις ἀνὰ μέρος γίνονται, νῦν δὲ ἐπειδὴ
ὁρῶμεν διῃρημένα τὰ αἰσθητήρια τῷ μὴ συμπεφυκέναι ἡμῖν τὸν ἀέρα,
κἂν δι' ἑνὸς τῶν διαφόρων ἀντιλαμβανώμεθα, λέγω δὴ τοῦ ἀέρος, ὃς τῇ
35 διαφανεῖ τε καὶ διηχεῖ καὶ διόσμῳ ἑαυτοῦ δυνάμει προσάγει ἡμῖν τὰ
αἰσθητά, ὅμως κρίνομεν διαφόρους εἶναι καὶ τὰς δυνάμεις, ὥσπερ καὶ τὰ
αἰσθητήρια, οὕτως οὐ δεῖ νομίζειν, ἐπειδὴ δι' ἑνός τινος τῆς σαρκὸς τὰ
διάφορα ἁπτὰ ἀντιληπτὰ ἡμῖν γίνεται, ἤδη ἕν τι εἶναι καὶ τὸ αἰσθητήριον, 45

---

3 γὰρ εἰ] γὰρ εἰς D 4 τινος] τοῦτο t τοῦ τε] τοῦτο t 10 ἄρα hic om. t, habet in iteratis 14 post ἀλλὰ μεταξύ iterant εἰ δὲ τοῦτο (10) — ἁπτικὸν αἰσθητήριον (13) et ἀλλὰ (ἀλλ' οὐ t) μεταξύ (14) Dt 27 εἰ om. D 34 ἀντιλαμβανόμεθα At 35 προσάγει scripsi: προσαγάγει Dt 36 ὅμως A: ὁμοίως Dt κρίνομεν scripsi: καὶ τὸ μὲν D: καὶ τῷ t: τὸ A καὶ (ante τὰς) D: om. At 38 post αἰσθητήριον add. ὑποληπτέον t

ἀλλ' ἐπειδὴ διάφοροι αἱ τῶν ἁπτῶν ἀντιθέσεις, δεῖ καὶ τὰ αἰσθητήρια n 1r
πλείονα εἶναι, ταῦτα δὲ κρύπτεσθαι τῷ συμπεφυκέναι ἡμῖν τὴν σάρκα
μεταξὺ οὖσαν τῶν τε αἰσθητῶν καὶ τῶν αἰσθητηρίων· ὡς εἴ γε μὴ συμ-
φυὴς ἦν ἡμῖν ἡ σάρξ, ἀλλ' ἐπεφύκει χωρίζεσθαι ὥσπερ ὁ ἀήρ, ἐφάνη
5 ἂν τὰ νῦν δι' αὐτῆς κρυπτόμενα τῶν ἁπτῶν αἰσθητήρια, ὥσπερ ἐκ τοῦ
ἐναντίου, εἴ τις ἐπὶ τοῦ νῦν λεχθέντος ὑποδείγματος μὴ ἐπέστησε τῇ δια-
φορᾷ τῶν ὁρατῶν καὶ ὀσφραντῶν καὶ ἀκουστῶν, τοῦ ἀέρος συμπεφυκότος 50
ἡμῖν, εἰ οὕτως ἔτυχεν, ἐνόμισεν ἂν τούτων ἁπάντων εἶναι τὸ αἰσθητήριον
τὸν συμπεφυκότα ἡμῖν ἀέρα. οὐκ ἄρα οὐδὲ παρὰ τὸ μὴ ὁρᾶσθαι ἄλλο
10 τι τῶν ἁπτῶν αἰσθητήριον παρὰ τὴν σάρκα, ἤδη τοῦτο ἱκανὸν εἰς πίστιν
τοῦ εἶναι τὴν σάρκα αἰσθητήριον. φήσαιμι δ' ἂν ἔγωγε πρὸς τοῦτο ὅτι
εἰ πλείονα ἦν τὰ τῶν ἁπτῶν αἰσθητήρια κρυπτόμενα ὑπὸ τῆς σαρκὸς
μεταξὺ οὔσης, ἐπειδὴ ἀνάγκη σώματα εἶναι τὰ αἰσθητήρια, ἀνάγκη δήπου
τοῖς τόποις αὐτὰ διῃρῆσθαι, ὥσπερ καὶ νῦν τοῖς τόποις διῄρηνται ἀπ'
15 ἀλλήλων τὰ αἰσθητήρια· εἰ δ' ἀνάγκη τοῖς τόποις αὐτὰ διῃρῆσθαι, ἔδει μὴ 55
τὸ τυχὸν ἁπτὸν τῷ τυχόντι μορίῳ τῆς | σαρκὸς προσπελάζον ἀντιληπτὸν n 1v
εἶναι, ὥσπερ οὐδ' εἰ ὁ ἀὴρ ἡμῖν περιεπεφύκει καὶ προσηνέχθη τὸ ὁρατὸν
μὴ ἐν ἐκείνῳ τῷ μορίῳ τοῦ ἀέρος τῷ ὄντι κατ' εὐθεῖαν τοῦ ὄμματος,
ἀλλὰ τῷ κατ' εὐθεῖαν τοῦ ἀκουστικοῦ πόρου, οὐκ ἂν ὤφθη. οὕτω δηλον-
20 ότι καὶ νῦν ἀνάγκη ἦν πᾶσα, εἰ πλείονα ἦν τὰ τῶν ἁπτῶν αἰσθητήρια
ὑπὸ τῆς σαρκὸς κρυπτόμενα, ἐπειδὴ διῄρηνται ταῦτα τοῖς τόποις, μὴ παντὶ
μορίῳ τῆς σαρκὸς πᾶν εἶδος ἁπτὸν προσπελάζον ἀντιληπτὸν εἶναι· νῦν δέ 5
ἐστι. δῆλον οὖν ὅτι οὐ πλείονά ἐστιν ἐντὸς τὰ αἰσθητήρια. εἰ δέ τις
λέγοι πλείονα μὲν εἶναι, ἕκαστον δὲ πάντων ἀντιλαμβάνεσθαι, μάταιον·
25 ἤρκει γὰρ καὶ τὸ ἕν. οὐκ ἄρα πλείονα τὰ τῶν ἁπτῶν αἰσθητήρια, ἀλλ'
ἕν. εἰ δὲ ἕν, ἀνάγκη πᾶσα τὴν σάρκα εἶναι· οὐδὲν γὰρ τῶν ὁμοιομερῶν
δι' ὅλου τοῦ ζῴου κατὰ συνέχειαν πεφοίτηκεν οὕτως ὡς ἡ σάρξ. οὕτω
μὲν οὖν καὶ τὸν δεύτερον τῶν λόγων ὁ Ἀριστοτέλης ἀνεσκεύασε, καὶ ἡμεῖς
πρὸς τοῦτον ἀντείπομεν. τὸν δὲ τρίτον τῶν λόγων ἀνασκευάζει τοῦτον
30 τὸν τρόπον· ἦν δὲ ὁ τὸν ἐνιστάμενον τοῖς τὴν σάρκα βουλομένοις αἰσθητή- 10
ριον εἶναι ἐπιλυόμενος. ἡ δ' ἔνστασις ἦν ὅτι οὐ σώζει ἡ σὰρξ τὴν ἐπὶ
τῶν ἄλλων αἰσθητηρίων ἀναλογίαν, λέγω δὴ τὴν διὰ τοῦ μεταξὺ ἀντίληψιν·
ἐπιλύεται δὲ τῷ εἶναι καὶ ἐνταῦθα ὁμοίως τὸ μεταξύ, ὡς ἐπὶ τῶν ἐν
ὕδατι ἁπτομένων τὸ προσιζάνον ὑγρόν· οὕτω δὴ καὶ ἐν τῷ ἀέρι εὔλογον
35 εἶναί τινα μεταξὺ τῶν ἁπτομένων ἀέρα βραχύν. ταύτην οὖν τὴν ἐπίλυσιν
διελέγχει ὁ Ἀριστοτέλης. εἰ γὰρ καὶ ἔστι, φησί, μεταξύ τι καὶ ἐπὶ τῶν
ἁπτομένων, ἀλλ' οὐ τὸ ἀνάλογον ταῖς ἄλλαις αἰσθήσεσιν. κοινὸν γάρ ἐστι
τοῦτο τὸ μικρὸν τὸ μεταξὺ καὶ ἐπὶ τῶν ἄλλων. καὶ γὰρ ἐπὶ τῆς ἐπιτιθεμένης 15

---

3 μὴ om. D 6 νῦν om. t 12 εἰ om., sed supra suppl. D 13 σώματι t 17 εἰ om. t τὸ ἀόρατον D 21 διῄρηται t
22 ἁπτὸν] ἁπτῶν A 26 οὐδὲν] οὖσα t 29 ἀντίπομεν (sic), πομεν in ras. XV fere litterarum D 30 τὸν (post ὁ) scripsi: τὸ Dt 33 ἐπιλύετω D 38 μικρὸν At: σμικρὸν D τὸ ante μεταξὺ om. A

λήμης τῷ ὄμματι ἔστι τὸ τοιοῦτο μεταξὺ ἐξ ἀνάγκης· ἅπτεται γὰρ δηλον- n 1v
ότι καὶ ἡ λήμη τοῦ κερατοειδοῦς. εἰ οὖν τὰ ἁπτόμενα διά τινος μεταξὺ
ἅπτεται, ἔστι δηλονότι καὶ τῆς λήμης καὶ τοῦ ὄμματος μεταξύ τι, ἀλλ'
ὅμως οὐχ ὁρῶμεν τὴν λήμην, διότι οὐχ ἁπλῶς δεῖ εἶναι τὸ μεταξύ, ἀλλὰ
5 καὶ σύμμετρον τῷ διαστήματι. οὔτε γὰρ ἐὰν πολὺ εἴη ὑπὲρ τὴν ἀναλο-
γίαν τοῦ ὄμματος καὶ τῶν ὁρατῶν τὸ μεταξὺ τούτων, ὀψόμεθα τὰ ὁρατά,
οὔτε ἐὰν πάνυ ἐλάχιστον, ὡς ἐπὶ τῆς ἐπικειμένης λήμης τῷ ὄμματι. δεῖ 20
ἄρα καὶ ἐπὶ τῆς ἀφῆς τὸ ἀνάλογον ταῖς ἄλλαις εἶναι μεταξύ· νῦν δὲ οὐκ
ἔστι. δῆλον οὖν ὅτι κἂν παραδέξηταί τις τὴν λύσιν αὐτῶν, οὐδ' οὕτως
10 εὑρήσει φυλαττομένην τὴν ἐπὶ τῶν ἄλλων αἰσθήσεων ἀναλογίαν. ἔστι δὲ
καὶ πρὸς ταῦτα, λέγω δὴ τὰ παρὰ Ἀριστοτέλους, ἀντειπεῖν· τὸ γὰρ ὄμμα
οὐχ ἁπλῶς τινος μεταξὺ δεῖται. ἀλλὰ καὶ διαφανοῦς, καὶ οὐ μόνον, ἀλλὰ
καὶ πεφωτισμένου. ἐρεῖ οὖν τις ὅτι οὐχ ὁρῶμεν διὰ τοῦ μεταξὺ τοῦ τε
ὄμματος καὶ τῆς λήμης οὐ διὰ τὸ βραχὺ εἶναι αὐτό. ἀλλ' ὅτι ἀντιφράττει
15 τῷ φωτὶ ἡ λήμη καὶ οὐκ ἐᾷ ἐνεργείᾳ τὸ μεταξὺ ἐκεῖνο γενέσθαι διαφανές· 25
ὡς εἴ γε μὴ ἀντέφραττεν ἡ λήμη τῷ φωτί, εἴδομεν ἂν αὐτήν. ὅλως δὲ
καὶ τὸ τὴν αὐτὴν ἀναλογίαν κατὰ τὸ ποσὸν τοῦ μεταξὺ σώζεσθαι ἐπὶ πασῶν
τῶν αἰσθήσεων ἄλογον. εἰ γὰρ αἱ σωματοειδέστεραι τῶν αἰσθήσεων ἥττονος
δέονται τοῦ μεταξύ (οὐδὲ γὰρ δι' ὅσου ἡ ὄψις ἀντιλαμβάνεται τῶν ὁρατῶν,
20 διὰ τοσούτου καὶ ἡ ἀκοὴ τῶν ἀκουστῶν, ὡς δηλοῖ τὸ ἐπὶ τῆς εἰρεσίας
συμβαῖνον, λέγω δὴ τὸ πρώτην ὁρᾶν ἀνιοῦσαν τὴν κώπην, εἶτα τοῦ ψόφου
αἰσθάνεσθαι· οὐδὲ μὴν δι' ὅσου ἡ ἀκοή, διὰ τοσούτου καὶ ἡ ὄσφρησις),
εὔλογον οὖν καὶ τὴν ἁφὴν παχυμερεστέραν οὖσαν πασῶν ἥττονος δεῖσθαι 30
τοῦ μεταξὺ παρὰ πάσας. ὅλως δὲ τὸ δεῖσθαι τὴν ἁφὴν τοῦ μεταξὺ οὐκ
25 ἀναγκαίως κατεσκεύασται ἐκ τῆς πρὸς τὰς ἄλλας αἰσθήσεις ἀναλογίας·
μάλιστα μὲν γὰρ οὐδὲ γεῦσις δεῖται. οὐδὲ γὰρ ὅσα συμβαίνει ἐπὶ τῶν
ὄψεων, ἀνάγκη καὶ ἐν ταῖς λοιπαῖς συμβαίνειν, οὐδ' ὅσα ἐπὶ ἀκοῆς καὶ
ὀσφρήσεως, καὶ ἐπὶ τῶν λοιπῶν. οἷον ὅτι ἡ μὲν ὄψις κατ' ἐκπομπὴν
αἰσθάνεται, αἱ δὲ λοιπαὶ κατὰ εἰσπομπήν, καὶ οὐ διὰ ταύτας καὶ ἡ ὄψις κατὰ
30 εἰσπομπήν. πάλιν ἐπὶ μὲν ἄλλων δεῖ τὸν ἀέρα αὐτὸν παθεῖν ὁλικῶς, ἵνα 35
οὕτως ἡ αἴσθησις πάθῃ, οἷον εὐώδη γενέσθαι ἢ ψοφεῖν, ἐπὶ δ' ὄψεως οὐχ
οὕτως· οὐ γὰρ χρώννυται ὁ ἀήρ. καὶ ὅτι ἡ μὲν ὄψις ἄνευ φωτὸς οὐκ ἐνεργεῖ.
αἱ δὲ λοιπαὶ ναί. οὐκ ἀνάγκη ἄρα τὰ αὐτὰ ἐπὶ πασῶν τῶν αἰσθήσεων
συμβαίνειν. ὥστε οὐδὲν θαυμαστὸν εἰ τῶν ἄλλων δεηθεισῶν τοῦ μεταξὺ
35 γεῦσις καὶ ἁφὴ οὐκ ἐδεήθη. καὶ αὐτὴ γοῦν ἡ ὀνομασία αὐτοῦ τούτου
δηλωτική ἐστι, τοῦ τὴν ἁφὴν τῷ θιγγάνειν ἔχειν τὴν ἀντίληψιν. ταῦτα

---

1 λήμης in ras. A: μήλης Dt 2 καὶ ἡ A: καὶ om. Dt λήμη in ras. A: μήλη Dt (et sic ubique) 4 εἶναι τὸ t: τὸ εἶναι D: εἶναι A 6 τούτω t 15 διαφανές A: τὸ διαφανές Dt 16 εἴ τε t 17. 18 πασῶν τῶν αἰσθήσεως t 18 εἰ γὰρ αἱ AD: αἱ γὰρ t ἥττονες D 19 δι' ὅσον D 27. 28 ὀσφρήσεως καὶ ἀκοῆς t 29 καὶ οὐ — ὄψις A: εἰ καὶ αὐτὴ Dt 30 πάλιν ἐπὶ μὲν A: ἐπὶ μὲν οὖν Dt 33 ναί Dt: οὐδὲν ἔλαττον καὶ χωρὶς τούτου A 34 τοῦ] τῶν t 35 ante ἁφὴ add. ἡ t αὐτὴ scripsi: αὕτη Dt

μὲν οὖν ὁ Ἀριστοτέλης, δι' ὧν κατασκευάζειν ἔδοξεν ὅτι τε πλείους αἱ n 1v
ἁπτικαὶ αἰσθήσεις καὶ οὐ μία, καὶ ὅτι ἡ σὰρξ οὐκ ἔστι τὸ ἁπτικὸν αἰσθη- 40
τήριον ἀλλὰ μεταξύ, καὶ ὅπως ἡμεῖς πρὸς τὰ εἰρημένα ὑπηντήσαμεν.
μήποτε δὲ οὐδὲ δύο τὰ εἰρημένα προὔθετο κατασκευάσαι, ἀλλὰ ἓν μόνον,
5 ὅτι πλείους αἰσθήσεις αἱ ἁφαί, τὸ δὲ δεύτερον εἰς τοῦτο ἐπαναφέρεται.
τὸν γὰρ συλλογισμὸν τὸν δεικνύντα ὅτι μία ἐστὶν αἴσθησις ἐκ τοῦ ἓν εἶναι
τὸ αἰσθητήριον ἐλέγχων ἔδειξεν ὅτι οὔτε τὸ συνημμένον αὐτοῦ ἦν ὑγιὲς
οὔτε ἡ πρόσληψις. ἡ δὲ πρόσληψις ἦν ὅτι ἡ σὰρξ μία οὖσα αἰσθητήριόν
ἐστι τῆς ἁφῆς. ἵνα οὖν δείξῃ ὅτι οὐχ ἓν τὸ αἰσθητήριον * * * ἀλλὰ
10 μεταξύ, ὅπερ ἔδειξε διὰ τῶν τριῶν εἰρημένων ἐπιχειρημάτων. 45

Τοιαύτας μὲν οὖν ὁ Ἀριστοτέλης ἐπὶ τῶν δύο προβλημάτων. εἴπερ δύο
εἴη, ἐποιήσατο τὰς ἐπιχειρήσεις, γυμνάζων ἡμᾶς, ὅπερ ἤδη εἶπον, μὴ ἁπλῶς
καὶ ὡς ἔτυχε πιθανοὺς παραδέχεσθαι λόγους. ἀλλ' ἀληθεῖς. ἔστι δ' ἡ τοῦ
Ἀριστοτέλους δόξα καὶ ὅτι μία ἡ ἁπτικὴ αἴσθησις. καὶ ὅτι ἡ σὰρξ αἰσθη-
15 τήριον. ὅτι γὰρ οἶδε μίαν τὴν ἁφήν. ἐν τῷ προοιμίῳ τοῦ τρίτου λόγου ἐδή-
λωσεν. "ὅτι γάρ", φησίν, "οὐκ ἔστιν αἴσθησις παρὰ τὰς πέντε", καὶ ταύτας
ἀπαριθμησάμενος μίαν τῶν πέντε καὶ τὴν ἁφὴν συνηρίθμησεν. ὥστε εἰ
πέντε αἱ αἰσθήσεις. μία δὲ τούτων ἡ ἁφή, μία ἄρα ἡ ἁπτικὴ αἴσθησις. 50
καὶ τὴν σάρκα δὲ αἰσθητήριον βούλεται ἐν οἷς φησιν "ἡ δὲ ἁφὴ τῷ αὐτῶν
20 ἅπτεσθαί ἐστιν". ἔτι δὲ μᾶλλον ἐν οἷς πάλιν φησί "καὶ ὅσων μὲν αὐτοὶ
ἁπτόμενοι αἰσθανόμεθα. τῇ ἁφῇ αἰσθητά ἐστιν. ἣν τυγχάνομεν ἔχοντες".
εἰ δὲ τῷ ἅπτεσθαι αἰσθανόμεθα. ἅπτεται δὲ ἡ σάρξ. αἰσθητήριον ἄρα ἡ
σάρξ. μᾶλλον δὲ ἐκ τῶν διεσπαρμένως αὐτῷ εἰρημένων συναγαγόντα τὴν
τοῦ φιλοσόφου διάνοιαν ἔστιν εἰπεῖν ὅτι καὶ μίαν καὶ πολλὰς αἰσθήσεις
25 οἶδεν τὴν ἁφήν, καὶ οὐ μόνον αὐτὴν ἀλλὰ καὶ τὰς λοιπὰς αἰσθήσεις, καὶ 55
τὴν σάρκα καὶ αἰσθητήριον εἶναι καὶ μεταξύ· ὁμοίως καὶ τὰ λοιπὰ αἰσθη-
τήρια. καὶ γὰρ ἡ ἡμε|τέρα ψυχὴ καὶ μία ἐστὶ καὶ πολυμερής. ὥσπερ n 2r
γὰρ ὁ μὲν τοῦ χρώματος λόγος καθ' αὑτὸν μὲν ἀμερής ἐστι καὶ ἀσχημά-
τιστος. συνδιίσταται δὲ καὶ συσχηματίζεται τῷ ὑποκειμένῳ σώματι. οὕτω
30 δὲ καὶ ἡ ἄλογος ψυχὴ ἔχει μὲν κατ' οὐσίαν τὸ ἀμερὲς καὶ ἀδιάστατον
(ἐπεὶ πῶς ἂν ἅμα κατὰ ταὐτὸν τοῦ λευκοῦ καὶ τοῦ μέλανος ἀντελαμβά-
νετο;) μεριστὴ δὲ γίνεται περὶ τὰ σώματα συνδιισταμένη αὐτοῖς. ἐπεὶ οὖν
ἀμερής ἐστι κατά τι καὶ μεριστή, εἰκότως καὶ μία λέγοιτ' ἂν καὶ πολλαί. 5
καὶ διὰ τοῦτο οὖν καὶ ἑκάστη τῶν δυνάμεων αὐτῆς καὶ μία εἴη καὶ πολλαὶ
35 ὡς συμμεριζομένη τῷ ὑποκειμένῳ καὶ ἄλλῳ μορίῳ ἄλλου αἰσθητοῦ ἀντι-
λαμβανομένη. ἐζήτησε δὲ τοῦτο μάλιστα ἐπὶ τῆς ἁφῆς εἰκότως· ἐπειδὴ
γὰρ αὕτη προσυλοτέρα ἐστὶ μᾶλλον καὶ σωματοειδεστέρα, εἰκότως προφα-

---

9 τῆς ἁφῆς] τοῦ ἁφοῦ t lacunam indicavi: addendum δείκνυσιν ὅτι ἡ σὰρξ οὐκ ἔστιν αἰσθητήριον 10 εἰρημένων om. t 18 αἱ om. D 19 τῷ αὐτῷ t
20 αὐτοὶ A Arist. Γ p. 424b28 codd. TW: αὐτῶν ibid. Arist. vulg.: αὐτοῖς Dt
22 τῷ t: τῶν A: τὸ D 27 ἡ om. t 29 καὶ οὐ σχηματίζεται D 29. 30 οὐ σχηματίζεται (sic) — δὲ καὶ iterat D 32 διϊσταμένη t 35 ἄλλῳ] ἄλλο D 37 αὕτη A: αὐτὴ Dt 37. p. 418,1 προσφανέστερον D

νέστερον ἔχει τὸ πολυμερές, καὶ αἱ μὲν ἄλλαι μᾶλλον ἓν ἢ πολλά, αὕτη n 2r
δὲ μᾶλλον πολλὰ ἢ ἕν. καὶ τί λέγω ἐπὶ τῆς ἀλόγου ψυχῆς, ὅπου γε καὶ
ἡ λογικὴ ὡς πρὸς τὸν νοῦν παραβαλλομένη μεριστή πώς ἐστι, καὶ αὐτὴ 10
προτάσεσι χρωμένη καὶ κατασκευαῖς καὶ συμπεράσμασιν; εὔλογον δὲ καὶ
5 αἰσθητήριον τὴν σάρκα εἶναι. εἰ γὰρ ἦν μεταξύ, ἐπειδὴ παχυτέρα ἐστὶν
ἀέρος καὶ ὕδατος, ἐν ἐκείνοις δὲ καίπερ λεπτοτέροις οὖσιν ὅμως γίνεταί
τις χρόνος, ὥστε ἀντιλαβέσθαι τῶν αἰσθητῶν δι' αὐτῶν τὰς αἰσθήσεις
(πρότερον γὰρ ὁρῶμεν ἀνεσπασμένην τὴν κώπην, εἶτα ὕστερον τοῦ ψόφου
ἀκούομεν, καὶ τῆς βροντῆς γινομένης πρῶτον ἡμῖν ἡ ἀστραπὴ φαίνεται·
10 καὶ οὐκ εὐθὺς δὲ ἅμα τῷ πλησιάσαι τὸ εὐῶδες ἀντιλαμβανόμεθα τῆς 15
ὀσμῆς, ἀλλὰ δεῖ χρόνου τινὸς πρὸς τὴν ἀντίληψιν), εἰ τοίνυν δι' ἀέρος
λεπτομεροῦς ὄντος ὅμως δεῖ χρόνου πρὸς τὸ αἰσθέσθαι καὶ ψόφου καὶ
ὀσμῆς, πολλῷ μᾶλλον ἐπὶ τῆς ἁφῆς, εἴπερ ἡ σὰρξ μὴ ἦν αἰσθητήριον
ἀλλὰ μεταξύ, ἔδει χρόνου ἡμῖν πρὸς τὴν ἀντίληψιν τῶν ἁπτῶν διὰ τὴν
15 παχύτητα τῆς σαρκός, εἰ μή τις ἐπὶ τῶν ἄλλων τὸ διάστημα αἰτιῶτο.
ἀλλ' ἐπὶ τῆς ὀσμῆς καὶ σύνεγγυς ὄντος τοῦ θυμιάματος ὅμως χρόνου τινὸς
δεόμεθα πρὸς τὴν ἀντίληψιν. // ἀλλ' ὅμως εἰ καὶ αἰσθητήριον ἡ σάρξ ἐστιν,
ἀλλὰ καὶ μεταξύ, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων αἰσθητηρίων· τὸ μὲν γὰρ
κυρίως αἰσθητήριον τὸ πνεῦμά ἐστι· καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ δὲ τὸ κρυσταλ- 20
20 λοειδὲς καὶ τὰ λοιπὰ ὑγρὰ καὶ οἱ χιτῶνες ὡς μὲν πρὸς τὸ πνεῦμα μεταξύ
εἰσιν, ὡς δὲ πρὸς ἀέρα καὶ τὰ ἄλλα αἰσθητήριον. ἀλλ' ἐνταῦθα μὲν
ταῦτα μᾶλλον αἰσθητήριον ἢ μεταξύ· ἐπὶ δὲ τῆς ἁφῆς ἡ σὰρξ μᾶλλον
μεταξὺ ἢ αἰσθητήριον διὰ τὸ προσυλότερον καὶ γεωδέστερον. οἰκειότερον
γὰρ μᾶλλον τῷ πνεύματι τὸ ὁρατικὸν αἰσθητήριον ἢ ἡ σάρξ. αὕτη καὶ
25 ἡ τοῦ Ἀριστοτέλους δόξα. ἰστέον δὲ ὅτι ὁ Θεμίστιος καὶ ἄλλην τίθησι
κατασκευὴν δεικνὺς ὅτι οὐκ ἔστιν ἡ σὰρξ αἰσθητήριον. τὰ μὲν γὰρ αἰσθη- 25
τήρια, φησί, τῶν ἐναντίων εἰσὶ κριτικά· κρίνει γὰρ ἡ ὄψις τὸ λευκὸν καὶ
τὸ μέλαν καὶ ἡ γεῦσις τὸ γλυκὺ καὶ τὸ πικρόν, ἡ ἀκοὴ τὸν ὀξὺν καὶ
βαρὺν φθόγγον, ἡ δὲ ἁφὴ ἀντικειμένου τοῦ τε κούφου καὶ τοῦ βαρέος τὸ
30 μὲν βαρὺ κρίνει τῷ πίλησιν αὐτῆς καὶ ὤθησιν γενέσθαι, τὸ δὲ κοῦφον
οὐκέτι, διότι μηδὲ πάσχει ὑπ' αὐτοῦ. λέγω οὖν ὅτι ὥσπερ ἐπὶ τῶν ἄλλων
ἐλέγομεν ὅτι ἀντιλαμβάνονται οὐ μόνον τῶν ἰδίων αἰσθητῶν, ἀλλὰ καὶ
τῶν στερήσεων (ἀντιλαμβάνεται γὰρ ἡ μὲν ὄψις τοῦ σκότους, σιγῆς δ' ἡ
ἀκοή· ἀντιλαμβάνεσθαι δὲ τούτων ἐλέγομεν οὐ κατὰ κατάφασιν, ἀλλὰ κατὰ 30
35 ἀπόφασιν τῷ μηδὲν πάσχειν) οὕτω φαμὲν καὶ τῆς κουφότητος ἀντιλαμβά-
νεσθαι τὴν ἁφὴν κατὰ ἀπόφασιν, ἐπεὶ τῷ αὐτῷ λόγῳ ἐροῦμεν μηδὲ τὰς
ἄλλας τῶν ἀντικειμένων ἀντιληπτικὰς εἶναι· οὐ γὰρ πάσχει ἡ ὄψις ὑπὸ
τοῦ σκότους οὐδὲ ἡ ἀκοὴ ὑπὸ τῆς σιγῆς· ἀντίκειται δὲ φῶς μὲν σκότῳ,

---

1 et 2 πολλὰ AD: πολλαί t 9 γινομένοις t 16 ὁμοίως χρόνου t
23 προσυλώτερον t 24 ἡ σάρξ A: ἡ om. Dt 25 ὁ Θεμίστιος] ubi haec dicat, nescio; sed cf. Paraphr. de an. II p. 138,26 sqq. Spengel 31 πάσχει scripsi: πάσχῃ AD: πάσχειν t 34 ἐλέγομεν D: λέγοιμεν t 37 ἀντιληπτικὰς scripsi: ἀντιληπτὰς Dt

ψόφῳ δὲ ἤτοι τῇ φωνῇ ἡ σιγή * * ὁπότε ψυχροῦ καὶ θερμοῦ ἀντιλαμ- n 2r
βάνεται, ξηροῦ καὶ ὑγροῦ, τραχέος καὶ λείου, ἐναντίων ὄντων.

Ὅτι δὲ ἓν τέ ἐστι τὸ ἁπτικὸν αἰσθητήριον, καὶ τοῦτο οὐκ ἄλλο τι ἢ ἡ σάρξ, δεῖξαι ἔνεστι τὸν τρόπον τοῦτον· καὶ τέως ὅτι ἓν ἐστιν αἰσθητήριον 35
5 δείξεις τὸν τρόπον τοῦτον. ὁποῖον γὰρ δήποτε τῶν ἁπτῶν, οἷον θερμόν, καθ' οἷον δήποτε μόριον τοῦ σώματος προσαγάγῃς, πάντως ἴσχει αὐτοῦ ἀντίληψιν· ὁμοίως ψυχρόν τε καὶ ξηρὸν καὶ ὑγρὸν καὶ τὰ λοιπὰ πάντα. ὥστε εἰ ἑκάστου αἰσθητοῦ καθ' οἱονοῦν μόριον ἡ σὰρξ ἀντιλαμβάνεται, δῆλον δήπου ὅτι οὐκ εἰσι πλείονα αἰσθητήρια· κεχωρισμένα γὰρ ἂν ἦν τοῖς τόποις· εἰ δὲ
10 τοῦτο, οὐ παντὶ μορίῳ τῆς σαρκὸς προσαγόμενον τὸ αὐτὸ αἰσθητὸν ἀντιληπτὸν ἐγίνετο. δῆλον γὰρ ὅτι τιθέμενον κατά τινος μορίου τῆς σαρκὸς εἰ οὐχ ὑπέκειτο τὸ ἀντιληπτικὸν αὐτοῦ αἰσθητήριον, οὐδεμίαν ⟨ἂν⟩ ἑαυτοῦ 40 παρεῖχεν ἀντίληψιν, ὥσπερ οὖν ὄπισθεν τοῦ ὁρατοῦ ὄντος οὐκ ἀντιλαμβανόμεθα· οὐδὲ γὰρ εἰ περιεπεφύκει ἡμῖν ὁ ἀὴρ κατὰ τὴν ὑπόθεσιν καὶ
15 ἔκρυπτεν τὸ ὁρατικόν τε καὶ ἀκουστικὸν καὶ ὀσφραντικὸν αἰσθητήριον, ἐν παντὶ μορίῳ τοῦ περιπεφυκότος ἀέρος τιθέμενον τὸ ὁρατὸν ⟨ἂν⟩ ἑωρᾶτο· εἰ γὰρ ἐτέθη πρὸς τῷ μορίῳ τῷ κατ' εὐθὺ τοῦ ἀκουστικοῦ πόρου, οὐκ ἂν ἑωράθη· καίτοι εἰ τὸ ἀκουστὸν κατὰ τοῦ αὐτοῦ τόπου ἐτέθη, μᾶλλον ἂν ἠκούσθη· ὁμοίως καὶ τὸ ὀσφραντὸν μᾶλλον ἂν παρέσχεν
20 ἀντίληψιν κατ' εὐθὺ τοῦ ὀσφραντικοῦ πόρου τεθέν· ὥστε ταύτῃ διεκρί- 45 θησαν ἂν καὶ τότε τὰ διάφορα αἰσθητήρια, καὶ διὰ τοῦτο αἱ διάφοροι αἰσθήσεις. ὥστε εἰ καὶ νῦν πλείοσιν ἁπτικοῖς αἰσθητηρίοις περιφῦσα ἡ σὰρξ καλύπτει, διὰ τί κατὰ πᾶν μόριον παντὸς ἁπτοῦ αἰσθάνεται; καίτοι εἰ καὶ ἐπὶ τῶν ἄλλων τριῶν περιφύντος τοῦ ἀέρος πάντα ᾐσθάνετο, ἐπὶ
25 τῆς ἁφῆς γε τοῦτο συμβαίνειν οὐκ ὤφειλε διὰ τὸ μὴ τῶν πόρρωθεν, ἀλλὰ τῶν ἐγγύθεν τὴν ἁφὴν ἀντιλαμβάνεσθαι. ὅτι μὲν οὖν οὐ πλείονα τὰ ἁπτικὰ αἰσθητήρια, ἐντεῦθεν δῆλον. ὅτι δὲ οὐδὲ ἄλλο τί ἐστι παρὰ τὴν σάρκα 50 τὸ ἁπτικὸν αἰσθητήριον, δῆλον ἐντεῦθεν. εἰ γὰρ μεταξὺ ἦν ὁ ἀήρ, ὧν δ' αἰσθητηρίων ἐστί τι μεταξύ, ἐπὶ τούτων εἰ ἐπ' αὐτὸ τεθῇ τὸ αἰσθητήριον
30 τὸ αἰσθητόν, οὐδεμίαν ἑαυτοῦ παρέχει ἀντίληψιν, δῆλον δὴ κἀντεῦθεν ἂν τὸ αὐτὸ συνέβη. νῦν δ' εἴ τις κατὰ βραχὺ ἀφαιροῖτο τῆς σαρκός, εἴ τε ἐπὶ τὸ λοιπὸν ἐπιθείη ἢ θερμὸν ἢ σκληρὸν ἢ ἄλλο τι τοιοῦτον, πάντως αἰσθήσεται, καὶ πάλιν εἰ κἀκείνης ἄλλο τι μόριον ἀφέλοις, καὶ τοῦτο μέχρις αὐτοῦ τοῦ ὀστοῦ. ὥστε εἰ τοῦτο ἀληθές, δῆλον ὅτι ἡ σάρξ ἐστι
35 τὸ ἁπτικὸν | αἰσθητήριον. εἰ γὰρ ἄλλο τι ἦν ἐντός, ἔδει κατὰ μικρὸν n 2v ἀφαιρουμένης τῆς σαρκὸς φθάσαι ποτὲ εἰς τὸ αἰσθητήριον, ᾧ ἐπιτιθεμένου τοῦ αἰσθητοῦ οὐκέτι συναίσθησις ἐγίνετο. ὅτι δὲ καὶ μία ἐστὶν ἡ αἰσθη-

---

1 lacunam indicavi: exspectas tale aliquid ἔστιν οὖν καὶ ἡ ἁφὴ ὥσπερ αἱ ἄλλαι αἰσθήσεις τῶν ἀντικειμένων κριτική, ὁπότε καὶ ψυχροῦ κτλ. 2 τραχέως t ἐναντίον D 3 ἡ om. t 9 γὰρ om. D 12 ἂν addidi 14 γὰρ εἴπερ εἰ ἐπεφύκει D 16 μορίου D ἂν addidi 17 πρὸς τὸ μορίῳ t 18 οὐκ ἂν] κἂν D 20 ἀντίληψιν scripsi: ἂν D: om. t 29 ἐπὶ τοῦτον D ἐπ' αὐτὸ D: ἐπ' αὐτῷ At 30 παρέχειν D 36 ᾧ A: ὡς D: ὥστ' t

τικὴ δύναμις καὶ οὐ πολλαί, ἐντεῦθεν ἂν συλλογίσαιο, εἴ γε πάσῃ αἰσθη- II 2v
τικῇ δυνάμει ἴδιόν τι αἰσθητήριον ἀφώρισεν ἡ φύσις. τὸ γὰρ λέγειν ὅτι
ἡ γλῶττα γευστικόν τέ ἐστι καὶ ἁπτικὸν γελοῖον· τὴν γὰρ ἁπτικὴν αἴσθησιν
οὐχ ἡ γλῶττα μόνη ἔχει, ἀλλ' ὅλον δι' ὅλου τὸ σῶμα, καὶ εἴρηται ἡ 5
5 αἰτία, ὅτι ἐκ τούτων συνεστήκαμεν, θερμοῦ ψυχροῦ, ξηροῦ ὑγροῦ. τί οὖν
μᾶλλον ἐπὶ τῆς γλώττης ἄμφω συμβέβηκεν ἢ ἐπὶ ὀφθαλμοῦ καὶ ἀκοῆς
καὶ τοῦ ὀσφραντικοῦ πόρου; καὶ γὰρ καὶ ταῦτα ἅμα καὶ τοιαῦτά τε καὶ
ἁπτικά. τῷ δὲ τὸ γευστικὸν ἁπτόμενον αἰσθάνεσθαι, ὥσπερ τὸ ἁπτικόν,
ἔδοξέν τι ἐξαίρετον ἔχειν παρὰ τὰ ἄλλα, ἐπεί τοί γε, ὡς εἶπον, οὐδὲν
10 ἰδιάζον ἔχει παρὰ τὰ λοιπά. καὶ δῆλόν ἐστιν ὅτι οὐδ' οὗτος ἰσχυρὸς ὁ
λόγος ὁ λέγων δεῖν ἐπὶ τῆς ἁφῆς τὸ μεταξὺ εἶναι, ἵνα συμφωνῇ πρὸς τὰς 10
ἄλλας αἰσθήσεις. πέντε γὰρ οὐσῶν τῶν αἰσθήσεων αἱ μὲν δύο, ὄψις καὶ
ἀκοή, τῶν πορρωτάτω ἀντιλαμβάνονται, αἱ δὲ δύο, ἁφὴ καὶ γεῦσις, τῶν
ἐγγυτάτω· αὐτοῦ γὰρ δεῖ θιγεῖν τοῦ αἰσθητηρίου, εἴ γε δέδεικται ὅτι
15 αἰσθητήριον ἡ σάρξ· ἡ δὲ λοιπὴ ἡ ὄσφρησις μέσην εἴληχεν τάξιν, οὔτε
τῶν πάνυ πόρρω ἀντιλαμβανομένη οὔτε μὴν [τῶν] αὐτοῦ τοῦ αἰσθητηρίου
ἁπτομένων τῶν ὀσφραντῶν. ὥστε μᾶλλον οὕτω ἐχούσης τῆς ἁφῆς καὶ
τῆς γεύσεως, ὥσπερ νῦν ἔχει, συμφωνία τις καὶ τάξις σώζεται ἐπὶ τῶν
αἰσθήσεων. εἰ μὲν γὰρ αἱ τέσσαρες ὁμοίως τῶν ἔξωθεν ἀντελαμβάνοντο, 15
20 εἶχεν ἄν πως πιθανότητα τὸ λέγειν 'διὰ τί μὴ καὶ ἡ λοιπή'; εἰ δὲ μὴ
οὕτως ἔχει, ἀλλὰ ἡ μὲν γλῶττα ἁπτομένη, ἡ δὲ ὄσφρησις τῶν πάνυ
σύνεγγυς καὶ σχεδὸν τῶν ἁπτομένων, τίς ἡ ἀνάγκη τοῦ καὶ ἁφὴν διὰ τοῦ
μεταξὺ ἀντιλαμβάνεσθαι; τὸ γὰρ λέγειν ὅτι καὶ ἡ γεῦσις ἁφή τίς ἐστιν οὐκ
ἀληθές· διὰ τί γὰρ μὴ ἡ ἁφὴ γεῦσις; ἐναργῶς γὰρ διακέκριται τά τε αἰσθητή-
25 ρια αἵ τε δυνάμεις. εἰ δὲ διότι ἁπτομένη γεύεται, διὰ τοῦτο ἁφή, ταύτῃ
ἂν εἴποι τις καὶ τὴν ἀκοὴν ὄψιν καὶ τὴν ὄψιν ἀκοήν· ἄμφω γὰρ διὰ τοῦ 20
μεταξύ. τὸ δὲ τῶν ἁπτῶν αἰσθάνεσθαι, ὡς εἶπον, κοινὸν παντὸς τοῦ σώματος.

Λείπεται οὖν ζητεῖν, μήποτε ὁ λόγος ἐκεῖνος ἀληθής ἐστιν ὁ λέγων
ὅτι πᾶσα αἴσθησις περὶ μίαν ἔχει ἀντίθεσιν αἰσθητῶν καὶ περὶ ἕν τι
30 καὶ κοινὸν γένος τὸ προσεχές, ὄψις μὲν περὶ λευκὸν καὶ μέλαν καὶ
τὰ μεταξὺ καὶ τὸ κοινὸν τούτων γένος τὸ χρῶμα, ἀκοὴ περὶ τὸν ὀξὺν
καὶ βαρὺν καὶ τὸ κοινὸν γένος τὸν ψόφον, γεῦσις περὶ τὸ γλυκὺ καὶ
πικρὸν καὶ τὸ μεταξὺ καὶ τὸ κοινὸν τούτων γένος τοὺς χυμούς, ἡ δὲ
ὄσφρησις ὡς ἀμυδρὰ οὔτε τὰ εἴδη διέκρινεν οὔτε τὸ γένος, διὰ τὸ μηδὲ 25
35 τὰ εἴδη διακρῖναι, ἐναργῶς δὲ ἐπὶ τῆς ἁφῆς πολλαὶ ἀντιθέσεις, ὡς εἴρηται,
καὶ οὐδὲ ὑπό τι κοινὸν καὶ προσεχὲς ἀναγόμεναι γένος. ἐδείξαμεν δὲ καὶ
ὅτι οὐκ ἔστιν ἐπὶ τῶν ἄλλων τὸ ὅμοιον· τὸ γὰρ μέγα καὶ μικρὸν τὸ ἐπὶ

---

1 συλλογίσαιο A: συλλογίσαιτο Dt 4 ἡ γλῶττα A: ἢ γλῶττα Dt 5 τούτων A: τοῦ τῶν Dt 13 πορρωτάτων t 15 μέσην] μεσίτιν t 15. 16 οὔτε τοῦ πάνυ t 16 τῶν delevi 17 τῶν om. D οὕτω] οὔτε t καὶ om. t 19 ὁμοίως t: om. AD 20 ἄν A: om. Dt εἰ D: ἐπεὶ A: ἡ t 21 ἔχει A: ἔχῃ Dt 23 ἀντιμεταλαμβάνεσθαι D 24 ἡ om. t 28 ἀληθής—αἰσθητῶν (29) iterat D 32 τῶν ψόφων t

ψόφου καὶ τὸ τραχὺ καὶ λεῖον ἔστιν ἐπὶ παντὸς αἰσθητοῦ κατὰ ἀναλογίαν. II 2v
τοιοῦτον γάρ ἐστιν ἐπὶ μὲν ὁρατῶν τὸ σφοδρὸν καὶ κατακορὲς μέλαν καὶ
τὸ ἀμυδρότερον, ἐπὶ γεύσεως τὸ σφόδρα γλυκὺ καὶ ἧττον γλυκύ. ὁμοίως
καὶ ἐπὶ ὀσφραντῶν· τό τε τραχὺ καὶ λεῖον ἐπὶ τῆς ἀκοῆς εἰ τὸ λυποῦν τε 30
5 καὶ ἥδον ἦν, τὸ αὐτὸ δὲ τοῦτο ἐπὶ πάσης αἰσθήσεώς ἐστιν. δῆλον δήπου
ὅτι οὐ καλῶς εἴληπται ταῦτα παρὰ Ἀριστοτέλους· ταῦτα μὲν γὰρ παντὶ
αἰσθητῷ παρακολουθεῖ, οὐ διαφορὰν αἰσθητῶν ποιοῦντα. ὡς γὰρ αὐτὸς
ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς ἔδειξεν, ἅπερ παντὶ τῷ γένει παρακολουθεῖ,
ταῦτα οὐ ποιεῖ εἰδῶν διαφοράν. ἔχει δ' ἐπὶ λέξεως τὰ ἐν τῇ Φυσικῇ
10 οὕτως "διὸ οὐκ εἴδη κινήσεως τάχος καὶ βραδυτής, ὅτι πάσαις ἀκολουθεῖ 35
ταῖς διαφόροις κατ' εἶδος. ὥστε οὐδὲ βαρύτης καὶ κουφότης ἡ εἰς τὸ αὐτό,
οἷον γῆς πρὸς αὐτὴν καὶ πυρὸς πρὸς αὐτό". λέγεται γὰρ ἄλλη ἄλλης γῆ
βαρυτέρα ἢ κουφοτέρα, ἀλλ' οὐ ποιεῖ τοῦτο διαφορὰν γῆς. πᾶσα γὰρ γῆ
ἄλλης μέν ἐστι βαρυτέρα, ἄλλης δὲ καὶ κουφοτέρα· ὁμοίως καὶ πῦρ πυρὸς
15 κουφότερον ἢ βαρύτερον. διὸ οὐ διαφέρει πῦρ πυρὸς ταύτῃ ἢ γῆ γῆς, γῆ
δὲ πυρός· οὔτε γὰρ ἡ ἐν τῷ πυρὶ κουφότης τινὶ γῇ παρακολουθεῖ οὔτε
ἡ ἐν τῇ γῇ βαρύτης τινὶ πυρί. καὶ πᾶσα δὲ κίνησις ἄλλης μέν ἐστι ταχυ-
τέρα, ἄλλης δὲ βραδυτέρα. ὥστε εἰ καὶ τοῖς αἰσθητοῖς πᾶσι παρακολουθεῖ, 40
οὐ λέγω μόνοις ἀκουστοῖς ἀλλὰ πᾶσιν ἁπλῶς, τὸ ἄλλα ἄλλων ⟨μᾶλλον⟩
20 ἐπιτεταμένην ἔχειν τὴν οἰκείαν ποιότητα ἢ ἀνειμένην, ὅπερ ἔλαβεν ὁ Ἀρι-
στοτέλης μέγα καὶ μικρόν, ὁμοίως καὶ τὸ ἥδειν ἢ λυπεῖν, καθ' ὃ ἔλαβεν
τὸ τραχὺ καὶ λεῖον ἐπὶ τῆς ἀκοῆς, οὐκ ἄρα αἰσθητῶν διαφορὰν τὰ
τοιαῦτα ποιήσειεν, ἐπεὶ μηδὲ τάχος καὶ βραδυτὴς διαφορὰν ἐποίει κινή-
σεων. ὁπότε δὲ καὶ ἐπὶ μιᾶς μόνης αἰσθήσεως τοῦτο συνέβαινεν, οὐδ'
25 οὕτως διαφορὰν ἐποίει αἰσθητῶν. τὸ γὰρ μέγα καὶ μικρὸν παντὶ ψόφῳ
παρακολουθεῖ, ὁμοίως καὶ τὸ τραχὺ καὶ λεῖον· οὐκ ἄρα διαφορὰ ψόφων 45
τὰ τοιαῦτα. οὐ πάσῃ δ' ἁπτῇ ποιότητι παρακολουθεῖ τραχύτης καὶ
λειότης ἢ τὸ κραῦρον καὶ γλίσχρον· ἀλλ' οὐδὲ αὐταὶ αἱ συστατικαὶ
τῶν σωμάτων ποιότητες, θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης ἀλλήλαις
30 παρακολουθοῦσιν, ὡς τῷ ψόφῳ τὸ μέγεθος ἢ ἡ σμικρότης. ἀλλὰ διάφοροι
οὖσαι καὶ ἐξηλλαγμέναι κατ' εἶδος συμπλέκονται εἰς σύστασιν τῶν σωμάτων.
ἐκεῖ δὲ τοῦ ποσοῦ τῆς φωνῆς ἐστι τὸ μέγα καὶ μικρόν, καὶ τοῦ ποιοῦ τὸ
τραχὺ καὶ λεῖον, οὐ μὴν ποιότητες. ἄλλως τε ὁμολογοῦμεν ὡς ταύτῃ 50
διαφέρει ἡ ἁφὴ τῶν ἄλλων· εἰ δὲ τοῦτο ποιεῖ μὴ μίαν εἶναι αἴσθησιν τὴν
35 ἁφὴν ἀλλὰ πλείους, ζητητέον. μήποτε δ' ὥσπερ ἔδοξε μὲν μόνη ἡ ὄψις
κατ' ἐκπομπὴν ποιεῖσθαι τὰς ἀντιλήψεις τῶν ὁρατῶν, μηδεμιᾶς ἄλλης
ὑπονοηθείσης τοιοῦτό τι ποιεῖν, οὕτω καὶ ἡ ἁφὴ ἔσχεν τι ἐξαίρετον

---

3 τὸ ante ἀμυδρότερον om. t 4 εἰ om. t 6 ἀριστοτέλη t 8 ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς] E 4 p. 228b28 sqq. 11 post εἶδος add. κινήσεσιν t ἡ Phys.: ἢ Dt 12 γῆς Phys.: τῆς Dt ἢ πυρὸς Phys. 15 καὶ βαρύτερον t διὸ οὐ t: δι' οὗ D 16 post alterum οὔτε add. γὰρ D 19 μᾶλλον addidi 25 αἰσθητῶν D: αἰσθήσεων t 28 αὐταὶ scripsi: αὗται Dt 32 καὶ τὸ μικρόν t 37 τι (post ἔσχεν) corr. A²: τί D: τὸ t

τὸ πλειόνων ἀντιθέσεων ἀντιλαμβάνεσθαι. ὅλως δὲ τὸ λέγειν ὅτι πλειόνων II 2v
ἀντιλαμβάνεται ἐπιστῆσαι μέν ἐστι τῷ ἐξαιρέτῳ αὐτῆς παρὰ τὰς ἄλλας,
οὐ μὴν [ἔτι] ἤδη διὰ τοῦτο ἀνάγκη καὶ μὴ μίαν αὐτὴν εἶναι ἀλλὰ |
πλείους. εἰ γὰρ διὰ τοῦτο πλείους, ἐπειδὴ ὅλως ἔσχεν τινὰ διαφορὰν II 3r
πρὸς τὰς ἄλλας, διὰ τί μὴ μᾶλλον μία ἐκ τοῦ ἓν εἶναι τὸ αἰσθητήριον;
περὶ γὰρ τῆς γλώττης ἀπελογισάμεθα ὅτι οὐχ ὡς γλῶττα ἁπτική ἐστιν,
ἀλλ' ᾗ πᾶν τὸ σῶμα τοιοῦτόν ἐστιν· καὶ τὸ ὀπτικὸν γοῦν αἰσθητήριον καὶ
τὰ λοιπὰ ἅμα καὶ ἁπτικά ἐστιν. ὥστε οὐδὲν ἐναργὲς τεκμήριον οὐδὲ
πιθανός τις λόγος δείκνυσι τὴν ἁφὴν μὴ μίαν οὖσαν αἴσθησιν ἀλλὰ
πλείους. 5

Περὶ δὲ τοῦ ἁπτοῦ καὶ περὶ ἁφῆς ὁ αὐτὸς λόγος. ποῖος; ὅτι
ἀπὸ τῶν ἀντικειμένων ἀρκτέον, ὅτι κἀνταῦθα διὰ τοῦ μεταξὺ ἀντίληψις,
ὅτι κἀνταῦθα περὶ ἓν γένος καὶ μίαν ἀντίθεσιν ἡ ἐνέργεια τῆς ἁφῆς,
ὅσον γε ἐκ τῆς πρὸς τὰς λοιπὰς ἀκολουθίας. εἰ γὰρ ἡ ἁφὴ μὴ μία
ἐστὶν αἴσθησις ἀλλὰ πλείους, ἀναγκαῖον καὶ τὰ ⟨ἁπτὰ⟩ αἰσθητὰ
πλείω εἶναι. ὁ γὰρ σύνδεσμος αἰτίας σημαίνων ἀπόδοσιν ποιεῖ τὴν
ὅλην τοῦ ῥητοῦ διάνοιαν τοιαύτην· ἐπειδὴ περὶ ἁφῆς καὶ περὶ ἁπτοῦ ὁ
αὐτός ἐστι λόγος (ὡς γὰρ ἂν ἔχῃ τὸ ἁπτόν, οὕτως ἀνάγκη καὶ τὴν ἁφὴν 10
ἔχειν, καὶ ἔμπαλιν), ἐξ ἀνάγκης δήπου, εἴτε πλείονα εἶεν τὰ ἁπτά, πολλὰς
εἶναι καὶ τὰς ἁφάς. εἴτε αἱ ἁφαὶ πλείους, καὶ τὰ ἁπτὰ πλείονα εἶναι. εἴπερ
ὁ αὐτὸς λόγος ἐπ' ἀμφοτέρων. δυνατὸν δὲ τὸν γάρ σύνδεσμον μὴ πρὸς
τὰ προειρημένα ἀποδοῦναι, ἀλλὰ πρὸς τὴν τῶν ἐπαγομένων διάνοιαν.
ἔσται δὲ σαφὴς ἡ διάνοια τοῦ ῥητοῦ τὴν τάξιν παραμείψασι τοιῶσδε· ἔχει
δὲ ἀπορίαν πότερον πλείους εἰσὶν ἢ μία· εἰ γὰρ τὰ ἁπτὰ αἰσθητὰ πλείω
ἐστίν, ἀναγκαῖον καὶ τὴν ἁφὴν μὴ μίαν αἴσθησιν εἶναι. ἀλλὰ πλείους.
ἴσως δὲ καὶ ὡς ἀντιστρέφοντος τοῦ λόγου ἀδιαφόρως ἐχρήσατο· ἔδει γάρ, 15
ὡς εἶπον, οὕτως εἰπεῖν ὅτι εἰ τὰ ἁπτὰ πλείω, καὶ αἱ ἁφαὶ πλείους, ἵνα
ἐκ τῶν ὡμολογημένων τὰ ἄδηλα κατασκευάσῃ· νῦν δὲ τοὐναντίον εἶπεν
'εἰ αἱ ἁφαὶ πλείους, καὶ τὰ ἁπτά.' δυνατὸν δέ, ὡς εἶπον, καὶ ὑπερβιβάσαι
τὴν λέξιν. προτίθεται οὖν ἐντεῦθεν ἀπορητικῶς τὰ εἰρημένα μοι ἐν τῇ προ-
θεωρίᾳ δύο προβλήματα δεῖξαι, πότερον μία ἐστὶν ἡ ἁπτικὴ αἴσθησις ἢ
πλείους, καὶ πότερον ἡ σάρξ ἐστιν τὸ αἰσθητήριον τῶν ἁπτῶν, ὡς ἡ ὄψις
τῶν ὁρατῶν, καὶ ἐν τοῖς ἄλλοις ζῴοις τοῖς οὐκ ἔχουσι σάρκα ἀνάλογον [δέ] 20
τι τῇ σαρκί (ἔστι γάρ τινα τῶν ζῴων, ἃ οὐκ ἔχει μὲν σάρκα, ἀνάλογον
δέ τι τῇ σαρκί, ὥσπερ τὰ ἔντομα, μύρμηκες καὶ μυῖαι καὶ τὰ ὅμοια) ἢ
οὐκ ἔστι μὲν ἡ σὰρξ τὸ αἰσθητήριον, οὐδὲ τὸ ταύτῃ ἀνάλογον, ἀλλ' αὐτὴ
μέν ἐστι μεταξὺ δι' ἧς ἡ αἴσθησις. ὥσπερ ἦν καὶ ἐπὶ τῶν ἄλλων αἰσθή-
σεων τὸ μεταξὺ τῶν τε αἰσθητῶν καὶ τῶν αἰσθητηρίων, τὸ δὲ κυρίως
καὶ πρώτως αἰσθανόμενον τῶν ἁπτῶν ἄλλο τί ἐστιν ἔνδον τῆς σαρκὸς
ἀνάλογον [ἐν] τοῖς ἄλλοις αἰσθητηρίοις.

---

1 τὸ πλειόνων AD: τῶν πλειόνων t ὅλως] ἄλλως A 3 ἔτι delevi 15 ἁπτὰ addidi ex Aristotele coll. v. 24 33 δέ delevi 40 ἐν delevi

p. 422b23 Πᾶσά τε γὰρ αἴσθησις μιᾶς ἐναντιώσεως εἶναι δοκεῖ. II 3r

Ἐντεῦθεν τὸ πρῶτον ἐπιχείρημα ὅτι οὐ μία αἴσθησις ἡ ἁφή. εἰ γὰρ πᾶσα αἴσθησις μιᾶς ἐναντιώσεώς ἐστι κριτική, ἡ δὲ ἁφὴ πλειόνων, ἀνάγκη ἄρα, ὅσαι εἰσὶν αἱ ἐναντιώσεις ὧν ἀντιλαμβάνεται ἡ ἁφή, τοσαύτας εἶναι καὶ τὰς ἁπτικὰς αἰσθήσεις.

p. 422b27 Ἔχει δέ τινα λύσιν πρός γε ταύτην τὴν ἀπορίαν.

Σαλεύει διὰ τούτων τὸ πρότερον ἐπιχείρημα, ὅτι οὐ μόνον ἡ ἁφὴ περὶ πλείους ἀντιθέσεις ἔχει, ἀλλὰ καὶ αἱ λοιπαί. προείπομεν δὲ ἤδη ὅτι τὸ τραχὺ καὶ λεῖον ἐπὶ φωνῆς καὶ λευκὸν καὶ μέλαν κατὰ ἀναλογίαν λέγεται, καὶ ὅτι τὸ μέγα καὶ τὸ μικρὸν τὸ ἐν ψόφοις οὐκ ἔστι τὸ αὐτὸ τῷ ἐπὶ τῶν μεγεθῶν, ὡς λέγομεν μεγάλην γραμμὴν ἢ μέγα σῶμα. ἐπὶ δὲ χρωμάτων μέγα μὲν καὶ μικρὸν οὐ λέγομεν, τραχὺ μέντοι καὶ λεῖον, καὶ σφοδρὸν καὶ ἀμυδρόν. ὁμοίως οὐδὲ ὀσμὴ μεγάλη καὶ μικρὰ λέγεται, ἀλλὰ γλυκεῖα καὶ πικρά. καὶ ὁριμεῖα καὶ βαρεῖα. δῆλον οὖν ὅτι καὶ ἐνταῦθα οὐ κατὰ ἀναλογίαν τὸ μέγα καὶ τὸ μικρὸν λέγεται, ἀλλ' ἐπὶ μόνων τῶν ψόφων, διότι τὸ μέγα καὶ τὸ μικρὸν τοῦ συνεχοῦς ποσοῦ ἐστι, καὶ τὸ μακρὸν καὶ τὸ βραχύ. ὥσπερ οὖν μακρὸν καὶ βραχὺν ψόφον λέγομεν τὸν ἐν πλείονι ἢ ἐλάττονι παρατάσει χρόνου γινόμενον, διότι ὁ χρόνος συνεχὲς ποσόν, οὕτως ἐπεὶ ἐν κινήσει ἀέρος ὁ ψόφος, ἡ δὲ κίνησις πάλιν συνεχὲς ποσόν, τὸν ἐν μεγάλῃ ἢ μικρᾷ κινήσει γενόμενον ψόφον ἢ μικρὸν ἢ μέγαν λέγομεν. ἐπεὶ οὖν ὁ μὲν ψόφος πάντως μετὰ κινήσεως, λέγω δὴ τῆς κατὰ τόπον, αὕτη δὲ τοῦ ποσοῦ, οὐδὲν δὲ τῶν ἄλλων δεῖται τῆς κατὰ τόπον κινήσεως ὑποκειμένου, εἰκότως οὐ σώζεται ἐπὶ ἐκείνων ἡ τοῦ μεγάλου καὶ μικροῦ ἀναλογία.

p. 422b32 Ἀλλὰ τί τὸ ἓν τὸ ὑποκείμενον, ὥσπερ ἀκοῇ ψόφος, οὕτω τῇ ἁφῇ, οὐκ ἔστιν ἔνδηλον.

Τὸ δεύτερον ἐπιχείρημα ὅτι οὐ μία ἡ αἴσθησις. πᾶσα γὰρ αἴσθησις περὶ ἕν τι γένος ἔχει, ὄψις χρώματα, ἀκοὴ ψόφους, γεῦσις χυμούς, ὄσφρησις ὀσμάς· τὰ μέντοι τῇ ἁφῇ ὑποπίπτοντα οὐκ ἔχει ἓν κοινὸν γένος. δόξειε δ' ἂν μηδὲ ἡ ὄψις περὶ ἕν τι γένος καταγίνεσθαι, εἴ γε αὐτὸς προεῖπεν ὅτι ὁρατόν ἐστι χρῶμά τε καὶ ὁ λόγῳ μὲν ἔστιν εἰπεῖν, ἀνώνυμον δὲ τυγχάνει ὄν. λέγω δὲ ὅτι καὶ τοῦτο ὑπὸ τὸ χρῶμα ἀνακτέον· ἔστι γὰρ τὸ ὅλον τοῦτο λαμπρὸν χρῶμα.

---

15 οὐ om. D 16 τῶν om. D 17 βραχὺν] βαρὺν t 18 παρατάσει] ἐκτάσει t 19 οὕτως—ποσόν (20) A: om. Dt 20 τὸν ἐν om. t 21 μέγα t 23 ἡ om. t 25 ἓν τὸ om. (cum Arist. Ald.) t 26 ἔκδηλον t

p. 422b34 Πότερον δ' ἐστὶ τὸ αἰσθητήριον ἐντὸς ἢ οὔ, ἀλλ' n 3r
εὐθέως ἡ σάρξ, οὐδὲν δοκεῖ σημεῖον εἶναι τὸ γίνεσθαι τὴν
αἴσθησιν ἅμα θιγγανομένων. |

Τὸν παρ' ἡμῶν ἐν τῇ προθεωρίᾳ εἰρημένον ὑποθετικὸν συλλογισμὸν n 3v
5 οὐκ ἔστιν ἄντικρυς ἐν τῷ ῥητῷ εὑρεῖν. ἀλλ' ἐξ ὧν τήν τε πρόσληψιν αὐτοῦ καὶ τὸ συνημμένον ἀνασκευάζει. δυνάμει καὶ ὁ συλλογισμὸς ἐν τούτοις ἐμπεριέχεται. τίς δ' ἦν ὁ συλλογισμός; εἰ τὸ αἰσθητήριον τῆς ἁφῆς ἕν. τοῦτο δ' ἐστὶν ἡ σάρξ. ἀνάγκη καὶ τὴν αἴσθησιν μίαν εἶναι· ἀλλὰ μὴν ἓν τὸ αἰσθητήριον ἡ σάρξ· καὶ ἡ ἁφὴ ἄρα μία αἴσθησις. ἀνασκευ-
10 άζει οὖν ὅτι οὔτε εἰ τὸ αἰσθητήριον ἓν εἴη, μίαν ἀνάγκη εἶναι τὴν αἴσθησιν, 5 ὥσπερ ἔχει ἐπὶ τῆς γλώττης (ἑνὸς γὰρ ὄντος αἰσθητηρίου δύο αἰσθήσεις, ἁφή τε καὶ γεῦσις) καὶ ὅτι ὅλως ἡ σὰρξ οὐκ ἔστιν αἰσθητήριον. ἀλλ' ἡμεῖς μὲν ἐν τῇ προθεωρίᾳ προτέραν ἐξεθέμεθα ⟨τὴν⟩ τοῦ συνημμένου ἀνασκευήν, δευτέραν δὲ τὴν τῆς προσλήψεως, ἵνα συνεχῆ ποιήσωμεν τὸν
15 λόγον τὸν κατασκευάζοντα ὅτι ἡ σὰρξ οὐκ ἔστιν αἰσθητήριον. ἀλλὰ μεταξύ. αὐτὸς μέντοι οὐ ταύτῃ κέχρηται τῇ τάξει· ἀλλ' ἐπεί, ὡς εἶπον, τό τε δεύτερον τῶν προβλημάτων καὶ ἡ ἀνασκευὴ τῆς προσλήψεως τοῦ ὑποθε- 10 τικοῦ συλλογισμοῦ ἓν ἦν καὶ τὸ αὐτό, λέγω δὴ ὅτι ἡ σὰρξ οὐκ ἔστιν αἰσθητήριον. πρότερον τὰ δύο τῶν ἐπιχειρημάτων, δι' ὧν δείκνυσι μὴ εἶναι
20 τὴν σάρκα αἰσθητήριον, τίθησιν, εἶτα ἐφεξῆς τὸ συνημμένον τοῦ συλλογισμοῦ διελέγχει καὶ τὴν πρόσληψιν ἐν ταύτῃ τῇ τοῦ δευτέρου προβλήματος κατασκευῇ. δυνάμει δὲ δήπου καὶ τὸν εἰρημένον παρ' ἡμῶν ὑποθετικὸν συλλογισμὸν ἔθηκεν· μὴ κειμένου γὰρ αὐτόθεν τοῦ συλλογισμοῦ παρὰ τῷ Ἀριστοτέλει, ἐκ τῶν εἰρημένων συνελογίσαντο οἱ ἐξηγηταὶ ὡς 15
25 τοιοῦτον εἴη τινὰ συλλογισμὸν διελέγχων. πότερον δ' ἐστὶ τὸ αἰσθητήριον ἐντὸς ἢ οὔ, ἀλλ' εὐθέως ἡ σάρξ, οὐδὲν δοκεῖ σημεῖον τὸ γίνεσθαι τὴν αἴσθησιν ἅμα θιγγανομένου. τῶν τριῶν ἐπιχειρημάτων, δι' ὧν δείκνυται ὅτι οὐκ ἔστιν ἡ σὰρξ αἰσθητήριον, τὸ ἓν διὰ τούτων τίθησιν, τοῦτο δ' ἐστὶν τὸ διελέγχον τὸ ἐπιχείρημα δι' οὗ ἐδόκει
30 δείκνυσθαι αἰσθητήριον εἶναι ἡ σάρξ, λέγω δὴ τὸ τῆς ἀχρόνου ἀντιλήψεως. τοῦτο οὖν, φησίν, οὐχ ἱκανὸν σημεῖον εἰς τὸ εἶναι τὴν σάρκα αἰσθητήριον, ὁπότε κἂν δι' ὑμένος τῶν ἁπτῶν θίγωμεν, ἀχρόνως αὐτῶν ἀντιλαμβανό- 20 μεθα. καίτοι οὐκ ὄντος τοῦ ὑμένος ἐκείνου αἰσθητηρίου, μεταξὺ δ' ὄντος τῆς τε σαρκὸς καὶ τῶν αἰσθητῶν. τί οὖν κωλύει καὶ τὴν σάρκα τοιοῦτόν τι
35 εἶναι.

---

3 θιγγανομένω D: fort. θιγγανομένου; cf. v. 27 9 ἓν om. t 13 ἐξεθώμεθα t τὴν addidi 22 δὲ om. D 29 διελέγχων D 33 δ' ὄντες t

p. 423a6 Διὸ τὸ τοιοῦτον μόριον τοῦ σώματος ἔοικεν οὕτως ἔχειν ὥσπερ εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ, καὶ τὰ ἑξῆς. II 3v

Ὁ δεύτερος λόγος κατασκευάζων τὴν σάρκα αἰσθητήριον ἐκ τοῦ μηδὲν φαίνεσθαι ἄλλο τι παρὰ ταύτην, δι' οὗ τῶν ἁπτῶν ἀντιλαμβανόμεθα. τοῦτον οὖν διελέγχει ὅτι ἔοικε τοῦτο εἶναι ἡ σάρξ, οἷον ἂν συνέβη, εἰ ὁ ἀὴρ ἡμῖν περιεπεφύκει κύκλῳ καὶ συμφυὴς ἐγεγόνει ἡμῖν οἷον παχυνθείς. ὥσπερ οὖν εἰ τοῦτο συνέβη, διὰ τὸ καλύπτεσθαι τὰ αἰσθητήρια, δι' ἑνὸς δὲ καὶ τοῦ αὐτοῦ ἀέρος καὶ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐδόξαμεν ἓν εἶναι τὸ αἰσθητήριον πάντων τῶν εἰρημένων, ὁρατῶν, ἀκουστῶν, ὀσφραντῶν, τὸν συμφυέντα ἡμῖν ἀέρα, καὶ μηδὲ εἶναι ὅλως ἄλλο τι αἰσθητήριον παρ' αὐτόν (μηδὲ γὰρ φαίνεται ἡμῖν ἕτερόν τι), ὅπερ νῦν διελέγχεται διὰ τὸ διακρίνεσθαι σαφῶς τὰ αἰσθητήρια, τοῦτο νῦν οἰητέον ἐπὶ τῆς σαρκὸς συμβῆναι περιφυείσης ἡμῖν καὶ κρυπτούσης τὰ ἁπτικὰ αἰσθητήρια. ὥστε οὐ παρὰ τὸ μὴ φαίνεσθαι ἕτερόν τι παρὰ τὴν σάρκα, δι' οὗ τῶν ἁπτῶν ἀντιλαμβανόμεθα, ἤδη τοῦτο ἱκανὸν εἰς ἔλεγχον νομιστέον τοῦ εἶναι τὴν σάρκα αἰσθητήριον. δύναται δὲ τοῦτο τὸ ἐπιχείρημα καὶ τοῦ συνημμένου τοῦ συλλογισμοῦ ἔλεγχος εἶναι. ἐφεξῆς γοῦν τούτου καὶ τὸν εἰρημένον παρ' ἡμῶν τοῦ συνημμένου ἔλεγχον τίθησιν ὁ Ἀριστοτέλης καὶ συνεχῆ ποιεῖ τῷ νῦν ἐπιχειρήματι καὶ ἠρτημένον αὐτοῦ. ἵνα δὲ τοῦτο δείξωμεν, λέγω δὴ ὅτι καὶ διὰ τῶν προκειμένων ῥήσεων τὸ συνημμένον τοῦ συλλογισμοῦ διελέγχεται, ἄνωθεν τὴν λέξιν τὴν προκειμένην καὶ ἐκθήσομεν καὶ ἐξηγησόμεθα. διὸ τὸ τοιοῦτο μόριον τοῦ σώματος ἔοικεν οὕτως ἔχειν, ὥσπερ εἰ κύκλῳ ἡμῖν περιεπεφύκει ὁ ἀήρ· ἐδοκοῦμεν ἂν [ἢ] ἑνί τινι αἰσθάνεσθαι καὶ ψόφου καὶ χρώματος καὶ ὀσμῆς, καὶ μία τις αἴσθησις εἶναι ὄψις, ἀκοή, ὄσφρησις. δείξας μὴ εἶναι τὴν σάρκα αἰσθητήριον δι' ὧν τὴν ὑπόνοιαν δι' ἣν ἐδόκει εἶναι αἰσθητήριον ἤλεγξε. τὸ ἄχρονον λέγω τῆς ἀντιλήψεως. καταλειπομένου δὲ τοῦ ταύτην μὲν εἶναι τὸ μεταξὺ σῶμα συμφυές, ἔνδοθεν δὲ εἶναι τὸ ἁπτικὸν αἰσθητήριον, ταύτῃ τῇ δόξῃ χρώμενος τὸ συνημμένον τοῦ ὑποθετικοῦ συλλογισμοῦ ἐλέγχει. δεικνὺς ὅτι οὐκ ἀνάγκη μίαν εἶναι τὴν ἁπτικὴν δύναμιν, ἐπεὶ δι' ἑνὸς καὶ τοῦ αὐτοῦ γίνεται τῆς σαρκὸς ἡ τῶν ἁπτῶν ἀντίληψις. εἰ γάρ, φησίν, ὁ περικεχυμένος ἡμῖν ἀὴρ συμφυὴς ἡμῖν ἐγεγόνει παχυνθείς, ὥστε ἀποκρύπτειν τὰ αἰσθητήρια, ἐπεὶ δι' αὐτοῦ ὁρῶμεν καὶ ἀκούομεν καὶ ὀσφραινόμεθα, ἔδοξαν ἂν ἡμῖν αἱ τρεῖς αἰσθήσεις αὗται μία εἶναι, διὰ τὸ δι' ἑνὸς μὲν τοῦ ἀέρος τῶν τε ὁρατῶν καὶ ἀκουστῶν καὶ ὀσφραντῶν ἀντιλαμβά-

---

1 Διὸ καὶ τὸ t ex Ald. τοιοῦτον corr. ex τοιοῦτο D 1. 2 ἔχον οὕτως ἔοικεν t 2 ὥσπερ εἰ D (cf. v. 23) Arist. X: post ὥσπερ add. ἂν t Arist. vulg. 5 τοῦτο] fort. τοιοῦτο 5. 6 συνέβη τὸν ἀέρα περιπεφυκότα κύκλῳ καὶ συμφυῆ γεγονότα καὶ ὡς ἂν εἴποι τις παχυνθέντα A 7 ante δι' ἑνὸς add. τῷ t 16 δύνατο t 17 τούτου scripsi: τοῦτο Dt 18 ὁ ἀπ' ἀριστοτέλης t 23 ἡμῖν om. t ἐδοκοῦμεν] ἐδόκει μὲν D: ἐδόκειμεν t 24 ἢ delevi 30 ἐπεὶ δι'] ἐπειδὴ t 31 ὁ om. t 32. 33 ἀποκρύπτοι t 33 ἐπειδὴ αὐτοῦ D 35 καὶ ante ἀκουστῶν om. t

νεσθαι, ἀποκεκρύφθαι δὲ τὰ κριτικὰ τούτων αἰσθητήρια. ὥσπερ οὖν εἰ καὶ n 3v
δι' ἑνὸς ἐγίνετο ἡ ἀντίληψις συμφυοῦς ἡμῖν ὄντος, οὐ παρὰ τοῦτο μία
ἂν ἦν ἥ τε ὄψις καὶ ἡ ἀκοὴ καὶ ἡ ὄφρησις ἀλλὰ πλείους, διὰ τὸ πλείονα 50
καὶ τὰ αἰσθητὰ εἶναι, χρώματα, ψόφους καὶ ὀσμάς, οὕτως οὐδὲ ἐπειδὴ ἡ
5 σὰρξ ἡμῖν προσπέφυκε μία οὖσα, δι' ἧς πασῶν τῶν ἁπτῶν ἐναντιώσεων
πλειόνων οὐσῶν ἀντιλαμβανόμεθα, μία ἂν εἴη ἡ ἁπτικὴ αἴσθησις ἀλλὰ
πολλαὶ διὰ τὴν τῶν αἰσθητῶν ἑτερότητα. ἐπὶ μὲν γὰρ τῶν ἄλλων αἰσθή-
σεων τῷ κεχωρίσθαι ἡμῶν τὸ μεταξὺ δι' οὗ ἡ ἀντίληψις τῶν αἰσθητῶν,
τὸν ἀέρα λέγω. διωρίσθαι δὲ καὶ τὰ ὄργανα αὐτὰ ἀπ' ἀλλήλων, φανερά
10 ἐστιν | αὐτῶν ἡ ἑτερότης· ἐπὶ δὲ τῆς σαρκὸς διὰ τὸ προσπεφυκέναι n 4r
ἡμῖν αὐτὴν μεταξὺ οὖσαν, ἄδηλον εἰ πολλαὶ αἱ ἁφαί, τῇ μέντοι τῶν ἁπτῶν
ἑτερότητι διαγινώσκομεν τὸ τῶν αἰσθήσεων τῶν ἁπτικῶν πλῆθος. μήποτε
δὲ καὶ τὸ προκείμενον ἐπιχείρημα ἔτι τῆς προσλήψεως τοῦ συλλογισμοῦ
ἐστιν ἀνασκευαστικόν. ὅπερ καὶ μᾶλλόν ἐστιν ἀληθές· βούλεται γὰρ καὶ
15 διὰ τούτου δεῖξαι ὅτι οὐκ, ἐπειδὴ δι' ἑνὸς τῆς σαρκὸς ἡ τῶν ἁπτῶν ἀντί- 5
ληψις, ἤδη καὶ τὸ ἁπτικὸν αἰσθητήριον ἕν. μήποτε γὰρ ἡ μὲν σὰρξ
συμφυής ἐστι μεταξύ, ἔσωθεν δὲ τὰ αἰσθητήρια πλείονα ὄντα, ὡς ἐπὶ τοῦ
ὑποδείγματος.

p. 423a12 Ἐξ ἀέρος μὲν γὰρ ἢ ὕδατος ἀδύνατον συστῆναι τὸ
20 ἔμψυχον σῶμα· δεῖ γὰρ στερεὸν εἶναι.

Τὴν αἰτίαν εἰπεῖν βούλεται, τίνος ἕνεκα δι' οὗ μὲν ἡ ἁφὴ γίνεται, 10
προσπέφυκεν ἡμῖν, ἡ σὰρξ λέγω, οὐκέτι δὲ καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, δι'
ὧν αἱ εἰρημέναι αἰσθήσεις ἀντιλαμβάνονται, συμπεφύκασιν ἡμῖν, ἀλλ'
ἔξωθέν εἰσιν. διότι γάρ, φησίν, ἀδύνατον ἦν τὸ ἔμψυχον σῶμα καὶ ἐν γῇ
25 μέλλον βιοτεύειν ἐξ ἑνὸς τῶν ἁπλῶν συστῆναι ἢ ὕδατος ἢ ἀέρος (δεῖ γὰρ
ἕκαστον ὡμοιῶσθαι μάλιστα τοῖς ἔνθα διατρίβειν μέλλει), διὰ τούτων δὲ ἡ
τῶν εἰρημένων αἰσθήσεων ἀντίληψις, ἀέρος λέγω καὶ ὕδατος, εἰκότως οὐκ
ἔστιν ἡμῖν ταῦτα συμπεφυκότα. καὶ γὰρ ὁ τοῖς ὠσὶν ἐγκατῳκοδομημένος 15
ἀὴρ οὐ συμφυής ἐστιν, ἀλλ' ἀχώριστος. ἐπειδὴ δὲ ἡ ἁφὴ διὰ σαρκὸς ἔχει
30 τὴν ἀντίληψιν, καὶ τοῦτό ἐστιν αὐτῇ τὸ μεταξύ, τοιοῦτον δὲ καὶ τὸ τοῦ
ζῴου σῶμα στερεὸν καὶ μικτόν, εἰκότως ἄρα προσπέφυκεν ἡμῖν, καὶ διὰ
ταύτην τὴν αἰτίαν διὰ προσπεφυκότος ἡμῖν σώματος τοῦ μεταξὺ ἡ ἀντίληψις
τῆς ἁφῆς γίνεται.

p. 423a15 Ὥστε ἀναγκαῖον τὸ σῶμα εἶναι τὸ μεταξὺ τοῦ ἁπτικοῦ
35 προσπεφυκός, καὶ τὰ ἑξῆς.

Οὐκέτι γὰρ ἐκωλύετο προσπεφυκέναι ὡς τὰ ἄλλα τῷ μὴ δύνασθαι 21

---

2 ἡ om. t 15 διὰ τοῦτο t 20 γὰρ στερεὸν D Arist. VX: post γὰρ add. τι t Arist. vulg. 30 τὸν μεταξὺ t 34 τὸ σῶμα D Arist. U: καὶ τὸ σῶμα t Arist. vulg. τὸ (ante μεταξὺ) D Arist. TXy: om. t Arist. vulg.

τοιοῦτον εἶναι τὸ σῶμα τοῦ ζῴου, ὡς εἴ γε ἠδύναντο, ἀναγκαῖον ἦν κἀκεῖνα προσπεφυκέναι. εἰ γὰρ καὶ ἐκ τοιούτου αὐτοὶ συνεστήκαμεν καὶ διὰ τοῦ τοιούτου ἡ τῶν αἰσθητῶν ἀντίληψις, τί ἐκώλυεν διὰ τοῦ οἰκείου ὁρᾶν καὶ μὴ δεῖσθαι τοῦ ἀλλοτρίου; ἐπεὶ οὖν ἡ τῶν ἁπτῶν ἀντίληψις διὰ σαρκός, ὡς μεταξὺ τοῦτο, δι' οὗ γίνεται ἡ τῶν ἁπτῶν ἀντίληψις· τοῦ ἀναγκαίου γὰρ καὶ συντόμου ἡ φύσις στοχάζεται. διὰ τοῦτο οὖν, ἐπεὶ εὗρεν ἐν τοῖς μορίοις τοῦ ζῴου τὴν σάρκα, δι' ἧς πεφύκασι τὰ ἁπτὰ ἀντιληπτὰ εἶναι, ταύτῃ ἐχρήσατο καὶ οὐκ ἐδεήθη ἑτέρου τινὸς ἔξωθεν μεταξύ. 4r 25

p. 423a17 Δηλοῖ δ' ὅτι πλείους ἡ ἐπὶ τῆς γλώττης ἁφή· πάντων γὰρ τῶν ἁπτῶν αἰσθάνεται κατὰ τὸ αὐτὸ μόριον καὶ χυμοῦ.

Ὁρᾷς ὅπως, ὡς ἔλεγον, καὶ τὰ πρὸ τούτων ἔλεγχος ἦν τοῦ συνημμένου τοῦ ὑποθετικοῦ συλλογισμοῦ, λέγω δὴ ὅτι οὐκ ἀνάγκη, εἰ δι' ἑνός τινος αἰσθανόμεθα, ἤδη καὶ τὴν αἴσθησιν μίαν εἶναι. ὡς γὰρ τοῦτο προδείξας διὰ τῶν προλαβόντων ὅτι ἐνδέχεται ἑνὸς ὄντος τοῦ ἁπτικοῦ αἰσθητηρίου τῆς σαρκὸς τὰς αἰσθήσεις πλείονας εἶναι, ἐκ τοῦ ὑποθέσθαι τοῦτο συμβῆναι περὶ τὴν σάρκα, ὅπερ ἂν συνέβη, εἰ συμπεφυκὸς ἡμῖν ὁ ἀὴρ ἦν, δι' οὗ ὁρῶμέν τε καὶ ἀκούομεν καὶ ὀσφραινόμεθα, οὕτως ἐπήγαγε τὸ δηλοῖ δ' ὅτι πλείους ἡ ἐπὶ τῆς γλώσσης ἁφή. ἐπειδὴ γὰρ οὐκ ἐξ αὐτῶν τῶν πραγμάτων ἡ δεῖξις προῆλθεν, ἀλλὰ δι' ὑποθέσεως συνήγαγε τὸ ἐνδέχεσθαι δι' ἑνὸς μὲν γίνεσθαι τὴν τῶν αἰσθητῶν ἀντίληψιν, μὴ μίαν δὲ τὴν αἰσθητικὴν δύναμιν, ὅτι οὐκ ἀδύνατος ἡ ὑπόθεσις, ἐπ' αὐτῶν τῶν πραγμάτων [αὐτὸ] πιστοῦται, λέγω δὴ ἐπὶ τῆς ἁφῆς τῆς ἐπὶ γλώττης. ἰδοὺ γοῦν ἡ γλῶττα καὶ γευστῶν καὶ ἁπτῶν ἐστιν αἰσθητήριον, ἀλλ' ὅμως ἑτέρα ἐστὶν ἡ γευστικὴ δύναμις τῆς ἁπτικῆς. οὐκ ἄρα ἀληθὴς ὁ λόγος ὁ λέγων, εἰ ἓν εἴη τὸ αἰσθητήριον, ἀνάγκη καὶ τὴν αἴσθησιν μίαν εἶναι· ὅτι γὰρ ἑτέρα ἐστὶν ἡ ἁφὴ παρὰ τὴν γεῦσιν, πρόδηλον, ὅτι ἐν τῷ λοιπῷ σώματι ἁφὴ μέν ἐστι, γεῦσις δὲ οὔ, ἡ δὲ γλῶττα καὶ πάντων τῶν ἁπτῶν ἀντιλαμβάνεται καὶ πρὸς τούτοις χυμῶν. 31 35 40

p. 423a21 Ἀπορήσειε δ' ἄν τις, εἰ πᾶν σῶμα βάθος ἔχει.

Ἐντεῦθεν τὸ τρίτον ἐπιχείρημα τῶν δεικνύντων ὅτι ἡ σὰρξ οὐκ ἔστιν αἰσθητήριον ἀλλὰ μεταξύ. ἔστιν δὲ τοῦτο τοιοῦτον. ἔνστασιν, ὡς ἤδη εἶπον, προσφέρει τοῖς αἰσθητήριον εἶναι τὴν σάρκα βουλομένοις καὶ λύει αὐτὴν καὶ πάλιν τὴν λύσιν ἐλέγχει. ἡ δὲ ἔνστασις, ὅτι εἰ ἐπὶ τῶν αἰσθητηρίων τῶν ἄλλων διά τινος μεταξὺ ἡ ἀντίληψις, ἡ δὲ σὰρξ τῷ ἅπτεσθαι τῶν ἁπτῶν ἀντιλαμβάνεται, ἔοικε μὴ εἶναι αἰσθητήριον. δείκνυσιν | 51

---

6 στοχάζεται A: γίνεται Dt 10. 11 πάντων D Arist. X: ἁπάντων t Arist. vulg. 23 ante ὅτι add. καὶ t 24 αὐτὸ] fort. αὐ 33 τοῦτο] τοῦ t 34 προσφέρει scripsi: προφέρει Dt

οὖν ὅτι οὐδὲ ἡ σὰρξ ἅπτεται τοῦ ἁπτοῦ, ἀλλ' ἔστι τι μεταξύ. εἰ γὰρ n 4v
πᾶν σῶμα, φησί, βάθος ἔχει, τοῦτο δέ ἐστι τὸ τρίτον μέγεθος
(ἀντὶ τοῦ ἡ τρίτη διάστασις· πρώτη γὰρ διάστασις τὸ μῆκος, δευτέρα τὸ
πλάτος, τρίτη τὸ βάθος), ὧν ἄρα ἐστὶ μεταξύ τι σῶμα, ἀνάγκη βάθος
5 ἀλλότριον εἶναι τούτων μεταξύ, ὁπόσον ἂν ᾖ καὶ ὁπηλίκον. ὧν δ' ἐστί
τι βάθος μεταξὺ ἀλλότριον, ἀδύνατον ταῦτα ἅψασθαι ἀλλήλων. ὅσα δὲ
ἀλλοτρίαν ὑγρότητα ἔχει ἐπιπολῆς, σῶμά τι ἔχει περικεχυμένον· ὅσα ἄρα 5
ἐν ὕδατι ἅπτεται ἀλλήλων, ἅτε δὴ βεβρεγμένα ὄντα ἔχει τι μεταξὺ σῶμα
καὶ ἀλλήλων οὐχ ἅπτεται. ὥσπερ δὲ τὰ ἐν ὕδατι ἅπτεται ἀλλήλων, οὕτω
10 καὶ τὰ ἐν ἀέρι· καὶ τῶν ἐν ἀέρι ἄρα ἁπτομένων ἐστί τις μεταξὺ ἀήρ.
λανθάνει δὲ διὰ τὴν σμικρότητα. ἐπεὶ καὶ τὰ ἐν ὕδατι ἁπτόμενα ἀλλήλων
λάθοι ἄν, ὅτι ἔστι μεταξύ τι ὕδωρ, ἀλλ' οὐ διὰ τοῦτο εἴποιμεν ἂν μὴ
εἶναι αὐτῶν τι μεταξύ. ἀπορήσειε δ' ἄν τις, εἰ πᾶν σῶμα βάθος
ἔχει. ἀσύντακτον δοκεῖ τὸ χωρίον· εἰπὼν γὰρ ἀπορήσειε δ' ἄν τις, 10
15 οὐκ ἐπήγαγε τί ἀπορήσειεν. ἔστι δὲ ἡ ἀπορία αὐτοῦ κατωτέρω· δεῖ γὰρ
ἐπισυνάψαι τὸ εἰ διερὸν διεροῦ ἅπτεται· τοῦτο γάρ, φησίν, ἀπορεῖται,
εἰ τὰ διερὰ ἅπτονται ἀλλήλων καὶ μή ἔστι τι μεταξὺ ἀλλότριον σῶμα.
καὶ ἔδειξεν ὅτι ἔστι τὸ ὑγρόν, τοῦτο δὲ σῶμα. τὸ δὲ ὑγρὸν οὐκ ἔστιν
ἄνευ σώματος οὐδὲ τὸ διερόν. ὑγρὸν μέν ἐστι τὸ σύμφυτον ἔχον
20 ὑγρότητα, ὡς τὸ ὕδωρ, διερὸν δὲ τὸ ἀλλότριον, ὡς ὁ πηλός. τὸ δὲ ὑγρὸν
ἐν σώματι ἔχει τὸ εἶναι. οὐκοῦν ἀνάγκη τὸ μὲν ὑγρὸν ὕδωρ εἶναι, τὸ δὲ
διερὸν μετέχειν ὕδατος. ἐπεὶ οὖν τὰ ἁπτόμενα ἀλλήλων ἐν ὕδατι οὐκ ἔχει 15
ξηρὰς τὰς ἐπιφανείας, πᾶν δὲ ὑγρὸν μετὰ σώματος, ἔστιν ἄρα τι αὐτῶν
μεταξὺ σῶμα, καὶ οὐχ ἅπτονται ἀλλήλων. οὕτως οὖν καὶ τὰ ἐν ἀέρι, εἰ
25 καὶ μᾶλλον λανθάνει ὁ ἀὴρ τοῦ ὕδατος μεταξὺ ὤν, ὁπότε καὶ τὰ ἐν ὕδατι
ἁπτόμενα λάθοι ἄν, εἰ ἔστι τι μεταξὺ αὐτῶν. λανθάνει δὲ μᾶλλον
ἡμᾶς τὰ ἐν τῷ ἀέρι καὶ τὰ ἐν τῷ ὕδατι ζῷα, εἰ διερὸν διεροῦ
ἅπτεται. καὶ πρὸς τὸ προσεχές, ὅτι τὰ ἐν ὕδατι ζῷα καὶ τὰ ἐν ἀέρι
λανθάνει ἡμᾶς, εἰ ἅπτεται ἀλλήλων, διερῶν οὐσῶν τῶν οἷς ἅπτεται, 20
30 τουτέστι τῶν ἐπιφανειῶν· διὰ γὰρ τὴν συνέχειαν τὴν πρὸς τὸ ὕδωρ ἢ τὸν
ἀέρα οὐκ ἔστιν ἔνδηλον. δείκνυσι δὲ τοῦτο ὅτι εἰ ἐν ὕδατι βρέξαντες τοὺς
δακτύλους ἁψόμεθα. μετὰ τὸ χωρισθῆναι ἔτι σώζουσι τὴν ὑγρότητα. ἀλλ'
εἰ καὶ λανθάνει ἡμᾶς, ἀλλ' οὖν ὁ λόγος ἐλέγχει ἐκ τοῦ συμβαίνοντος ἐπὶ
τῶν βεβρεγμένην ἐχόντων τὴν σάρκα καὶ οὕτως ἁπτομένων· ὁρᾶται γὰρ
35 μετὰ τὸν χωρισμὸν ἔτι ὑγρὰ οὖσα ἡ σάρξ. καὶ εἰ παχυμερέστερον ὂν τὸ
ὕδωρ ὅμως διὰ τὴν ὑγρότητα οὐκ ἐκθλίβεται, ἀλλ' ἐνιζάνει τῇ σαρκί, 25
πολλῷ μᾶλλον τὸν ἀέρα λεπτομερέστερον ὄντα ἀδύνατον καθάπαξ ἐκθλιβῆναι ὑπὸ τῶν ἁπτομένων. τί οὖν; εἰ ταῦτα οὕτως ἔχει καὶ ἀληθὴς οὗτος

---

1 ὅτι—ἁπτοῦ om. t 5 ἂν ἦν D 6 μεταξὺ om. t 7 ἐπὶ πολλῆς D 10 τις] τι t 15 ἀπορία in ἀπόδοσις (?) mutavit D¹ 16 εἰ om. t 20 ὡς ὁ πηλός—τὸ εἶναι (21) Dt: καὶ βεβρεγμένον μὲν λέγεται τὸ κατὰ πᾶν βεβρεγμένον, διερὸν δὲ τὸ κατὰ τὴν ἐπιφάνειαν A 26 λανθάνειν D 27 ἡμᾶς ὥσπερ καὶ τὰ ἐν τῷ ὕδατι Arist. 28 καὶ πρὸς τὸ προσεχές depravata videntur: fort. καὶ ⟨τοῦτο⟩ πρὸς κτλ.

ὁ λόγος, συμβήσεται μηδὲν μηδενὸς τῶν στερεῶν σωμάτων ἅπτεσθαι, n 4v
εἴ γε πάντα τὰ ἁπτόμενα ἀλλήλων ἢ ἐν ἀέρι ἅπτεται ἢ ἐν ὕδατι. συμ-
βαίνει οὖν τὰ στερεὰ σώματα μόνων ἅπτεσθαι τῶν ὑγρῶν, στερεὸν δὲ
στερεοῦ μηδέποτε ἅπτεσθαι. ἔστι δὲ πρὸς ταῦτα εἰπεῖν ὅτι ὅταν βρέξαντες
5 τὸν δάκτυλον ἢ ἄλλο τι τοῦ σώματος μόριον ἁψώμεθα ἑτέρου τινὸς στερεοῦ,
μανὴ οὖσα καὶ μαλακὴ ἡ σὰρξ διαδέχεται ἐν τῇ πιλήσει εἰς τοὺς ἐνυπάρχοντας 30
πόρους ἤτοι τὰ ἐν αὐτῇ κοιλώματα τὸ ὑγρόν, καὶ εἰς ἑαυτὴν δὲ διὰ τὴν μανό-
τητα, καὶ οὕτω μετὰ τὸ χωρισθῆναι συμβαίνει πάλιν φαίνεσθαι τὴν ὑγρότητα.
συμβαίνει οὖν ἀκριβῶς ὅλην ἅπτεσθαι τὴν σάρκα, ἀλλ' ἐκείνοις τοῖς κοιλώ-
10 μασιν ἐν οἷς συνερρύη τὸ ὑγρὸν μὴ ἅψασθαι ἑτέρου τινός· μετὰ γοῦν τὸ δια-
στῆναι χεῖται πάλιν τὸ ἐν ἐκείνοις ὑγρὸν καὶ πληροῖ τὴν ἐπιφάνειαν· συμβαίνει
δὲ καὶ ἐν ἀδήλοις πόροις ὠθούμενον τὸ ὑγρὸν γενέσθαι, ὅπερ πάλιν μετὰ τὴν 35
βίαν χεῖται περὶ τὴν ἐπιφάνειαν, ἐπεί τοί γε, ἐὰν σκληρὰ πάνυ καὶ λεῖα
σώματα λάβοις, οἷον ὑέλινα ἢ χαλκᾶ στιλβωθέντα ἀκριβῶς ἢ σιδήρεα καὶ
15 οὕτως ἐσχηματισμένα, ὥστε ἐπιτιθεμένων ἀλλήλοις ἐφαρμόζειν ἀκριβῶς τὰς
ἐπιφανείας, ὡς μηδὲ τὴν τυχοῦσαν καταλιμπάνειν μεταξὺ κενὴν χώραν, εἶτα
βρέξας ταῦτα ἐπιθήσεις ἀλλήλοις καὶ πιλήσεις, ὡς ἅψασθαι αὐτὰ ἀκριβῶς,
εἶτα διαστήσεις, οὐκ ἂν οἶμαι εὕροις οὐδὲ τὴν τυχοῦσαν ἐν αὐτοῖς ὑγρό-
τητα· οὐδὲ γὰρ πέφυκε τὸ ὕδωρ τοῖς στερεοῖς ἀντιβαίνειν σώμασιν. εὔλογον 40
20 οὖν πιλουμένων ἐκείνων τοῦ ὕδατος μὴ πεφυκότος ἀντιβαίνειν στερεοῖς
σώμασιν μήτε δὲ χώρας μηδεμιᾶς μεταξὺ οὔσης, μήτε φανερᾶς μήτε
ἀδήλου, ἐν ᾗ δεῖ χωρῆσαι τὸ ὕδωρ, ἐκθλίβεσθαι αὐτὸ καὶ ἐκχωρεῖν, καὶ
πολλῷ μᾶλλον τὸν ἀέρα, εὐκίνητόν τε ὄντα καὶ ἥκιστα ἀντιβατικὸν καὶ
παντὶ σώματι ὑποχωρεῖν πεφυκότα. ἄλλως τε οὐδὲ ἀνάγκη πάντως τὰ
25 ἁπτόμενα διά τινος ἅπτεσθαι μεταξύ. εἰ γὰρ ἀνάγκη τὰ ἁπτόμενα διά
τινος μέσου ἅπτεσθαι ἀλλήλων, ἐπ' ἄπειρον ἀνάγκη τοῦτο συμβαίνειν. 45
εἰ γὰρ καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ ἁπτά (αἰσθανόμεθα γοῦν αὐτῶν ψυχρῶν
ἢ θερμῶν ὄντων), ὁπηνίκα ἁπτόμεθα τοῦ ὕδατος, πότερόν ἐστί τι μεταξὺ
ἡμῶν τε καὶ τοῦ ἀέρος ἢ τοῦ ὕδατος, ἢ οὐκ ἔστιν; εἰ μὲν οὖν μὴ ἔστιν
30 * * * πάλιν περὶ ἐκείνου ὁ αὐτὸς λόγος, εἴτε ἔστι τι μεταξὺ αὐτοῦ τε καὶ
ἡμῶν εἴτε μή, καὶ τοῦτο ἐπ' ἄπειρον. οὐκ ἄρα ἀνάγκη τὰ ἁπτόμενα διά τινος
μέσου ἅπτεσθαι ἀλλήλων. ὅλως δὲ τὰ κυρίως ἁπτόμενα ἀνάγκη μὴ ἔχειν
τι μεταξύ, ἐπεὶ οὐδ' ἂν ἅπτεσθαι λέγοιντο ἀλλήλων, εἴ γε ἅπτεσθαι ταῦτα 50
λέγεται, ὡς αὐτὸς ἐν τῷ Ε τῆς Φυσικῆς ὡρίσατο, ὧν ἅμα τὰ ἔσχατα,
35 ἅμα δὲ οὐκ ἔστιν ὧν ἐστί τι μεταξὺ τὸ διεῖργον. ὅτι δ' οὐκ ἀνάγκη τὰ
ἐν τῷ ἀέρι ἁπτόμενα μεταξύ τι ἔχειν ἀέρος, μάθοις ἂν καὶ ἐντεῦθεν· τὰ

---

1 μηδὲν A: om. Dt 4 ante στερεοῦ add. καὶ D 6 post σὰρξ add. καὶ οὐδὲ D 9 οὖν μηδὲ ἀκριβῶς A 12 ἀδήλοις] ἄλλοις A 14 χαλκᾶ στιλβωθέντα A: post χαλκᾶ add. ἂν Dt 17 ἐπιθήσεις scripsi: ἐπιθεὶς ADt 22 χωρῆσαι D: χωρίσαι t: χωρίσει A 24 οὔτε t 26 μέσου D: μεταξὺ A: om. t 29 μὲν om. t 30 lacuna ex A sic explenda οὐ πάντως ἐστὶν μεταξύ τι τοῦ ἁπτοῦ καὶ ἡμῶν· εἰ δὲ ἔστι ante πάλιν add. ἢ D, ἡ t 34 ἐν τῷ Ε τῆς Φυσικῆς] c. 3 p. 226b23

γὰρ μαλακὰ τῶν σωμάτων, οἷον σὰρξ ἤ τι τοιοῦτον, εἴ τις βιαιότερον τῷ n 4v
δακτύλῳ ὤσει, εἴκει ὡς ἐκστῆναι τῆς οἰκείας θέσεως· καὶ τί λέγω τὰ
μαλακά; ἐνδέχεται βεβρεγμένας ἔχοντα τὰς χεῖρας ὠθεῖν λίθον ἤ τι
τοιοῦτον. εἰ γοῦν μὴ ἀμέσως θιγγάνουσα ἡ | χεὶρ οὕτως ὠθεῖ, ἀλλὰ n 5r
5 διὰ τοῦ μεταξὺ σώματος, λέγω δὴ τοῦ ὑγροῦ, συμβήσεται οὕτως δι'
αὐτοῦ ὠθεῖν ὥσπερ διὰ τῆς βακτηρίας τὴν θύραν. πῶς οὖν οὐκ ἄτοπον
στερεὸν σῶμα ὑπὸ ῥυτοῦ καὶ παντὶ εἴκοντος λέγειν ὠθεῖσθαι; ἴσως τις
ἐρεῖ ὅτι οὕτως ὠθεῖ διὰ μέσης τῆς ὑγρότητος τῆς ἐν τῇ χειρί, ὥσπερ κἂν
εἰ ὑμένα τις περιτείνας τῇ χειρὶ ἢ ἱμάτιον οὕτως ὤσει. καὶ τί λέγω;
10 αὐτὴ ἡ σὰρξ μαλακή ἐστιν, ἀλλ' ὅμως διὰ τὸ μὴ αὐτὴν καθ' αὑτὴν ὠθεῖν. 5
ἀλλὰ μετὰ τῶν ὀστῶν διὰ μέσης αὐτῆς ὠθούντων, καὶ τὰ σκληρότατα
ὠθεῖν δύναται. λέγω οὖν πρὸς ταῦτα ὅτι ἡ μὲν σὰρξ συνεχής τε οὖσα
ἑαυτῇ καὶ οὐ σκεδαστή, ἔτι δὲ καὶ συμπεφυκυῖα τοῖς ὀστοῖς οὐ διαρρεῖ
οὐδὲ διαπίπτει ἐν τῇ ὤσει, εἰ καὶ φαίνεται τῷ ὄντι καὶ αὐτὴ εἴκουσα
15 παρ' ἑκάτερα (διὸ κἂν εἰ πολλῇ βίᾳ τις χρήσαιτο, ῥαγείη, οὐ μήν γε
ὁμοίως, τῷ καὶ αὐτὸς μὴ σκεδαστὸς εἶναι καὶ τῷ περιτετάσθαι καὶ
οἷον συμφῦναι τὰ αὐτὰ τῇ σαρκὶ ὑπομένειν)· τὸ δὲ ὕδωρ καὶ ὁ ἀὴρ
σκεδαστά ἐστι καὶ εὔθρυπτα καὶ ἐπὶ τῇ τυχούσῃ βίᾳ ὑποχωρεῖ καὶ 10
ἀντιπεριίσταται τοῖς ὠθοῦσι. μάθοις δ' ἂν κἀντεῦθεν· ὁ κενὸς ἀμφορεὺς
20 δῆλον δήπου ὡς ἀέρος ἐστὶ πλήρης· ὅταν οὖν τοῦτον ὕδατος πληρώσω,
πᾶς ὁ ἀὴρ ὑπεξίσταται, ὡς μηδὲ τὸ βραχύτατον αὐτοῦ καταλειφθῆναι.
ἀμέλει γοῦν εἴ τι λειφθείη, διὰ τὸ μὴ πεφυκέναι ὑφίστασθαι τῷ ὕδατι
πομφόλυγας ποιεῖ ἐν τῷ ὕδατι καὶ ταύτας ῥήξας προσχωρεῖ τῇ οἰκείᾳ
ὁλότητι. εἰ τοίνυν τῷ οὕτως μαλακῷ καὶ ῥυτῷ ὕδατι καὶ σχεδὸν ὁμοίῳ
25 οὐ πέφυκεν ὑφίστασθαι οὐδὲ τὴν πίλησιν αὐτοῦ ὑπομένειν, πόσῳ μᾶλλον 15
στερεῶν τινων καὶ ἀντιτύπων σωμάτων ἀντιβαινόντων ἀλλήλοις μεταξὺ ἀπο-
λειφθῆναι ⟨οὐ⟩ δυνήσεται ὁ μηδὲ κώνωπος ὁρμὴν ὑπομένων, ἀλλ' ἅπαξ πᾶσιν
ὑποχωρῶν; ὥστε ἀδύνατον μεταξὺ τῶν ἁπτομένων ἀπολειφθῆναι ὕδατός τι
ἢ ἀέρος, εἰ μή τινες εἶεν μεταξὺ χῶραι ἀφανεῖς ἢ φανεραί, καθ' ἃς οὐκ
30 ἐφαρμόζουσιν ἀλλήλοις τὰ ἁπτόμενα· οὐδὲ γὰρ οὕτως εἰσὶ τῶν σωμάτων
διαπεπλασμέναι αἱ ἐπιφάνειαι, ὡς ἀκριβῶς ὅλαι ὅλαις ἐφαρμόζειν. ὥστε
ἐν τοῖς διαλείμμασιν ἡ ὑγρότης ἐναπομένει, ἥτις μετὰ τὸ διαστῆναι ἀλλήλων 20
τὰ ἁπτόμενα χεομένη πάλιν πληροῖ τὴν ἐπιφάνειαν. καὶ μάλιστα εἰ μαλακὰ
εἴη τὰ ἁπτόμενα καὶ ὠθοῦντα, ἢ ἄμφω ἢ θάτερον. πιλουμένης γὰρ τῆς
35 σαρκός, ἣ μᾶλλον πιλεῖσθαι δύναται, ἐν ταῖς κοιλότησι συρρεῖ ἡ ὑγρότης·
ἐπειδὰν οὖν διαστῇ ἁπτόμενα, ἐπανέρχεται ἡ σὰρξ εἰς τὴν οἰκείαν θέσιν.
καὶ οὕτως ἐν ἑνὶ ἐπιπέδῳ γενομένη ἡ ὑγρότης περιχεῖται καὶ εἰς τὰ λοιπὰ
μόρια.

---

2. 9 et 14 ὥση D 6 ὠθεῖ ὥσπερ t 7 ὑπὸ τοῦ ῥυτοῦ t 10 αὐτὴ A: αὕτη Dt 13 καὶ post δὲ om. t 15 μήν] μέν t 16 αὐτὸ t 17 ὑπομένειν scripsi: ὑπομένει ADt 19 ἀντιπερίσταται t 21 ὑπερίσταται t 24 τοίνυν] τοι D ὁμοίως D 25 οὐδὲ τὴν πί in ras. D¹ 27 οὐ addidi κώνοπος D 32 εἴ τις D 35 ἢ A²: ἢ Dt δύνατον t

p. 423b1 Πότερον οὖν πάντων ὁμοίως ἐστὶν ἡ αἴσθησις ἢ ἄλλων ἄλλως; n 5r

Δείξας ὅτι οὔτε ἐν ὕδατι οὔτε ἐν ἀέρι ἅπτονται ἀλλήλων τὰ ἐν τούτοις ἅπτεσθαι δοκοῦντα, διὰ τὸ εἶναι μεταξὺ τούτων ἢ ἀέρα ἢ ὕδωρ, ὥσπερ λήμματι τούτῳ χρώμενος μέτεισιν ἐπὶ τὸ προκείμενον. τοῦτο δ' ἦν τὸ δεῖξαι ὅτι καὶ ἐπὶ τῆς ἁφῆς σώζεται ἡ αὐτὴ ἀναλογία ταῖς ἄλλαις αἰσθήσεσι, λέγω δὴ τὸ διὰ τοῦ μεταξὺ καὶ ἐπὶ τῆς ἁφῆς γίνεσθαι τὴν ἀντίληψιν. ταύτῃ γὰρ ἐδόκουν δεικνύναι μὴ οὖσαν τὴν σάρκα αἰσθητήριον, διὰ τὸ μὴ σώζεσθαι τὴν αὐτὴν ἀναλογίαν, ἥτις ἦν καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων. οὐκ ἔστιν οὖν, φησί, διάφορος ἡ τῶν αἰσθητηρίων ἀντίληψις, ὥσπερ νῦν δοκεῖ. δοκεῖ γὰρ γεῦσις μὲν καὶ ἁφὴ αὐτῶν τῶν αἰσθητηρίων ἁπτομένων τῶν αἰσθητῶν οὕτως αὐτῶν ἀντιλαμβάνεσθαι, αἱ δὲ λοιπαὶ οὐχ οὕτως, πόρρωθεν δὲ ὄντων ἀλλήλων τῶν τε αἰσθητῶν καὶ τῶν αἰσθητηρίων, οὕτω διὰ τοῦ μεταξὺ ἀντιλαμβάνεσθαι. τοῦτο οὖν, φησίν, οὐκ ἔστιν ἀληθές, ἀλλὰ καὶ ἐπὶ τῆς ἁφῆς ἐστί τι μεταξὺ ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων. ἀλλ' ἐπὶ μὲν ἀκοῆς καὶ ὄψεως καὶ ὀσφρήσεως πολὺ τὸ μεταξύ (διὸ ἐπίδηλόν ἐστι καὶ οὐ λανθάνει), ἐπὶ δὲ γεύσεως καὶ ἁφῆς ὀλίγον, διὸ καὶ λανθάνει. εἰ γὰρ οὕτως ἔχει τὰ ἐν τῷ ἀέρι ἁπτόμενα ὥσπερ καὶ τὰ ἐν τῷ ὕδατι, ἐκεῖνα δὲ ὑγρῶν ὄντων τῶν ἄκρων οὕτως ἅπτεται, καὶ τὰ ἐν τῷ ἀέρι ἄρα οὐκ ἀμέσως ἅπτεται ἀλλήλων. ἀλλ' ἐπεὶ ὀλίγος ὁ ἐναπολαμβανόμενος μεταξὺ ἀήρ, εἰκότως λανθάνει καὶ οὐδὲ εἶναι δοκεῖ. καὶ οὐ θαυμαστόν γε, εἰ λανθάνει, ὁπότε κἂν εἰ ὑμὴν ἡμῖν περιετέτατο ἁπτομένοις, ἐδόξαμεν ἂν ἀμέσως ἅπτεσθαι, λανθάνοντος ἐκείνου τῇ σμικρότητι καὶ οὐκ ὄντος ἐνδήλου ὅτι διείργει δι' ἑαυτοῦ μέσου τὰ ἁπτόμενα. οὕτως οὖν καὶ νῦν λανθάνει ἡμᾶς διὰ τὴν σμικρότητα διείργων ὁ ἀὴρ καὶ μὴ ἐῶν ἀμέσως ἅπτεσθαι τῶν ἁπτῶν. ἀλλ' εἰ καὶ λανθάνει τὴν αἴσθησιν, ἀλλ' ὁ λόγος ἐλέγχει ἐκ τοῦ συμβαίνοντος ἐπὶ τῶν ἐν ὕδατι ἁπτομένων καὶ βεβρεγμένην ἐχόντων τὴν σάρκα.

p. 423b12 Ἀλλὰ διαφέρει τὸ ἁπτὸν τῶν ὁρατῶν καὶ ψοφητικῶν, καὶ τὰ ἑξῆς.

Εἰπὼν ὅτι κοινὸν ἐπὶ πασῶν τῶν αἰσθήσεων τὸ διά τινος μεταξὺ γίνεσθαι τὴν ἀντίληψιν, λέγει νῦν πῇ διαφέρει γεῦσίς τε καὶ ἁφὴ τῶν λοιπῶν. αἱ μὲν γὰρ ἄλλαι, φησίν, αἰσθήσεις οὐχ ὑπ' αὐτῶν πρώτως πά|σχουσι τῶν αἰσθητῶν, ἀλλὰ τοῦ μεταξὺ πρώτως πάσχοντος ὑπὸ τῶν n 5v αἰσθητῶν οὕτω τὸ αἰσθητήριον ὑπὸ τοῦ μεταξὺ πάσχει· καὶ γὰρ τὰ χρώ-

---

1 πάντων D Arist. ETXy: ἁπάντων t Arist. vulg. ἐστὶν ἡ om. D 11 καὶ ἡ ἁφὴ t 13 δὲ A: om. Dt 20 ὀλίγος in ras. D¹ ut vid. 22 ὑμὴν] ὑμῖν D 24 ἐνδήλου scripsi: ἐδήλου Dt 29 καὶ ψοφητικῶν D, cf. p. 432,17 Arist. Ey: post καὶ add. τῶν t Arist. vulg.

ματα κινητικὰ ἐλέγοντο εἶναι τοῦ κατ' ἐνέργειαν διαφανοῦς καὶ ὁ ψόφος κινητικὸς τοῦ διηχοῦς, ὁμοίως καὶ αἱ ὀσμαὶ τοῦ διόσμου· ἐπὶ δὲ τῆς ἁφῆς καὶ τῆς γεύσεως οὐ τοῦ μεταξὺ πάσχοντος ὑπὸ τῶν αἰσθητῶν πρώτως οὕτω διαδίδοται εἰς ἡμᾶς διὰ τοῦ μεταξὺ τὸ πάθος αὐτοῦ ποιοῦν- 5
5 τος εἰς ἡμᾶς, ἀλλ' ἅμα σὺν τῷ μεταξὺ πάσχομεν ὑπὸ τοῦ αἰσθητοῦ· τὰ γὰρ ἁπτὰ ἅμα καὶ τὸ μεταξὺ καὶ τὸ αἰσθητήριον διατίθησιν. ἐναργεῖ δὲ κέχρηται εἰς πίστιν τούτου παραδείγματι· ὁ γὰρ ὑπὸ δόρατος ἢ λίθου ἤ τινος τοιούτου δι' ἀσπίδος πληγεὶς ἅμα τῇ ἀσπίδι καὶ αὐτὸς ὑπὸ τοῦ δόρατος ἢ τοῦ λίθου τέτρωται, ἀλλ' οὐχ ὑπὸ μὲν τῆς ἀσπίδος αὐτός, ἡ δὲ
10 ἀσπὶς ὑπὸ τοῦ δόρατος, ἀλλὰ μετὰ ταύτης καὶ αὐτός· τούτου γὰρ τὸ ἅμα δηλωτικόν. ὥσπερ γὰρ τὸ ὑγρὸν τὸν χυμὸν δεξάμενον αὐτὸ αἰσθητὸν γίνεται τῷ δέξασθαι τὸν χυμὸν ἐν ἑαυτῷ, διὸ οὐ δι' αὐτοῦ αἰσθανόμεθα τοῦ χυμοῦ, ἀλλὰ σὺν αὐτῷ πάσχομεν ὑπὸ τοῦ χυμοῦ, οὕτως καὶ τῶν ἁπτῶν ἡ διὰ τῶν μεταξὺ αἴσθησις γίνεται αὐτῶν πασχόντων ὁμοίως τῷ
15 αἰσθητηρίῳ. οὐχ οὕτως δὲ καὶ ἡ ὄψις ἀντιλαμβάνεται τῶν χρωμάτων. τῷ χρώννυσθαι τὸν ἀέρα, ἀλλὰ διὰ τούτου μέσου. ἀλλὰ διαφέρει τὸ ἁπτὸν τῶν ὁρατῶν καὶ ψοφητικῶν, καὶ τὰ ἑξῆς. ἐπειδὴ ἐδείκνυεν ὁ λόγος ὁ τὴν σάρκα αἰσθητήριον εἶναι βουλόμενος. ἐλεγχόμενος δὲ τῷ μὴ σώζεσθαι ἐπὶ τῆς ἁφῆς τὴν ὁμοιότητα τὴν πρὸς τὰς ἄλλας αἰσθήσεις, ὅτι ἔστι καὶ ἐπὶ
20 τῆς ἁφῆς τὸ μεταξύ, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, καὶ οὐκ ἀμέσως ἡ σὰρξ τοῖς ἁπτοῖς προσπελάζει, τούτῳ δὲ πάλιν ἀντέπιπτε τῷ λόγῳ τὸ μὴ σώζεσθαι μηκέτι τῆς ἁφῆς ἰδιότητα καὶ σημασίαν (οὐ γὰρ ἅπτονται ἀλλήλων τὰ διά τινος μεταξὺ ὄντος διειργόμενα· ταύτῃ γοῦν καὶ ἁφὴ κέκληται, τῷ τὰς μὲν ἄλλας μὴ ἀμέσως ὑπὸ τῶν αἰσθητῶν πάσχειν, ἀλλὰ ὑπὸ μὲν τῶν
25 αἰσθητῶν τὸ μεταξύ, ὑπὸ δὲ τούτου τὰς αἰσθήσεις, τὴν δὲ ἁφὴν ὑπ' αὐτῶν τῶν ἁπτῶν ἀμέσως πάσχειν) τοῦτο οὖν τὸ ἀντιπῖπτον ὥσπερ ἐπιλυόμενος ταῦτα ἐπήγαγεν, ὅτι εἰ καὶ ἔστι τὸ μεταξὺ καὶ ἐπὶ τῆς ἁφῆς, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ἀλλ' οὖν οὐκ ἀπόλλυται διὰ τοῦτο τὰ τῆς αἰσθήσεως τῆς ἁπτικῆς ἴδια. πάσχει γὰρ ἡ αἴσθησις οὐχ ὑπὸ τοῦ μεταξύ,
30 ὥσπερ αἱ ἄλλαι, ἀλλ' ὑπ' αὐτῶν τῶν αἰσθητῶν σὺν τῷ μεταξύ· ὥστε καὶ ἡ ὁμοιότης ἡ πρὸς τὰ ἄλλα αἰσθητὰ σώζεται καὶ ἐπὶ τῆς ἁφῆς, τὸ εἶναι καὶ ἐπὶ ταύτης τὸ μεταξύ. καὶ τὸ ἴδιον τῆς ἁφῆς οὐκ ἀπόλλυται. αὐτὸ γὰρ τὸ μεταξὺ ποιοῦται καὶ ὕλη γίνεται τοῦ θερμοῦ ἢ ψυχροῦ ἢ ὑγροῦ ἢ ξηροῦ, καὶ σὺν αὐτῷ τὸ αἰσθητήριον, ὅπερ ἐπὶ τῶν ἄλλων οὐκ
35 ἐγίνετο· μόνον γὰρ τὰς ἐνεργείας τῶν αἰσθητῶν ἐδέχοντο αἱ αἰσθήσεις. ἰστέον δὲ ὅτι οὐδὲ τὸ ἁπτικὸν αἰσθητήριον ὑπὸ πάσης αἰσθήσεως ποιοῦται· οὐδὲ γὰρ ὅταν ἀντιλαμβάνηται βαρέος καὶ κούφου, γλίσχρου καὶ κραύρου, τραχέος καὶ λείου, τοιαύτη γίνεται ἡ σάρξ, ἀλλὰ μόνον γνωστικῶς τὰ εἴδη

---

3 τὰς γεύσεως t 4 διὰ τοῦ A: διὰ τὸ Dt 7 τούτῳ t 11 τὸν ὑγρὸν D τῶν χυμῶν δεξάμενον t 12 ἑαυτῷ t: αὐτῷ AD 16 μέσου D: τοῦ μέσου t 17 ψοφητικῶν D καὶ τὰ ἑξῆς om. t 19 post αἰσθήσεις add. δείκνυσιν t 21 τὸ scripsi: τῷ Dt 28 καὶ om. t 32 post ἀπόλλυται add. αἰσθάνεται γὰρ θιγγάνουσα καὶ ἁπτομένη τῶν ἁπτῶν A

αὐτῶν δέχεται. ἐπειδὴ δέ, ὡς πολλάκις εἴρηται, πᾶν σῶμα ἐκ τῆς συγκρά- II 5v
σεως τοῦ ὑγροῦ καὶ ξηροῦ, θερμοῦ τε καὶ ψυχροῦ συνέστηκε, διὰ τοῦτο
καὶ ὁπηνίκα πάσχει ὑπὸ τούτων, ὡς μὲν αἴσθησις ἀντιλαμβάνεται αὐτῶν
καὶ γινώσκει αὐτά, ὡς μέντοι φυσικὸν σῶμα πάσχει ὑλικῶς ὑπ' αὐτῶν.
καὶ ἐντεῦθεν δὲ ἔστι συλλογίσασθαι ὅτι αὗται μόναι δύο ἀντιθέσεις εἰσίν,
ἐξ ὧν συνέστηκε πᾶν σῶμα φυσικόν, ὅτι μόναι ποιοῦσι τὰ πάσχοντα ὑπ'
αὐτῶν αἰσθητήρια καὶ οὐσιωδῶς ἐν αὐτοῖς ἐγγίνονται, βαρύτης δὲ καὶ κου-
φότης, καίτοι παντὶ σώματι παρακολουθοῦσαι (πᾶν γὰρ γεννητὸν σῶμα ἢ
βαρύ ἐστι ἢ κοῦφον), ὅμως ὁπηνίκα δρῶσιν εἰς τὴν ἁφήν, οὐ μεταβάλλουσι
τὴν σάρκα εἰς τὴν ἑαυτῶν ἰδιότητα ὥσπερ θερμότης καὶ ὑγρότης καὶ ψύξις
καὶ ξηρότης.

p. 423b 17 Ὅλως δὲ ἔοικεν ἡ σὰρξ καὶ ἡ γλῶσσα, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ πρὸς τὴν ὄψιν καὶ τὴν ἀκοὴν καὶ τὴν ὄσφρησιν ἔχουσιν, οὕτως ἔχειν πρὸς τὸ αἰσθητήριον ὥσπερ ἐκείνων ἕκαστον.

Ἀπορήσας μήποτε καὶ ἐπὶ τῆς ἁφῆς καὶ ἐπὶ τῆς γεύσεώς ἐστί τι τὸ μεταξὺ τῆς τε σαρκὸς καὶ τῶν ἁπτῶν ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων, ὡς ἐκ τούτου τῆς αὐτῆς ἀναλογίας φυλαττομένης καὶ ἐπὶ τῆς ἁφῆς, ὥστε εἶναι τὴν σάρκα αἰσθητήριον, ἐντεῦθεν δὲ πάλιν εἰς τὸ ἐναντίον ἐπιχειρεῖ ὅτι οὐκ ἔστιν αἰσθητήριον οὔτε ἡ σὰρξ οὔτε ἡ γλῶττα. κατασκευάζει δὲ τοῦτο, ὥσπερ ἤδη εἶπον, ἐκ τῆς ἀναλογίας τῆς πρὸς τὰ ἄλλα αἰσθητήρια. συλλογίζεται δὲ τοῦτο ἐν δευτέρῳ σχήματι οὕτως· ἐπὶ τὰ αἰσθητήρια ἐπιτιθέμενα τὰ αἰσθητὰ οὐ ποιεῖ αἴσθησιν, ἐπὶ δὲ τὴν σάρκα καὶ τὴν γλῶτταν ἐπιτιθέμενα ποιεῖ αἴσθησιν· οὐκ ἄρα ἡ σὰρξ καὶ ἡ γλῶττα αἰσθητήριον. καίτοι ἐπιτιθεμένου τοῦ λευκοῦ σώματος ἐπὶ τὸ ὄμμα ἀνάγκη πάντως εἶναί τι μεταξύ, οἷον ἦν καὶ ἐπὶ τῆς ἁφῆς, ἀλλ' ὅμως οὐκ ἀντιλαμβάνεται, διότι δεῖ τοσοῦδε μεταξύ. εἰ τοίνυν δεῖ τὴν αὐτὴν ἀναλογίαν ἐπὶ πασῶν τῶν αἰσθήσεων φυλάττειν, ἐπὶ δὲ τῶν ἄλλων ἐπιτιθεμένων τοῖς αἰσθητηρίοις τῶν αἰσθητῶν οὐ γίνεται αὐτῶν ἀντίληψις, ἐπὶ δὲ τὴν σάρκα ἐπιτιθεμένων τῶν ἁπτῶν γίνεται, ἔοικε μὴ εἶναι αἰσθητήριον ἀλλὰ μεταξύ. οὐκοῦν εἰ δεῖ εἶναί τι αἰσθητήριον τῆς τε ἁφῆς καὶ τῆς γεύσεως, ὥσπερ ἐπὶ τῶν ἄλλων ὀφθαλμός, ἀκοή, ὄσφρησις (ἔστι γὰρ τῆς μὲν ἀκουστικῆς δυνάμεως αἰσθητήριον ἡ μῆνιγξ, τῆς δὲ ὀσφραντικῆς ἡ μαστοειδὴς ἀπόφυσις τοῦ ἐγκεφάλου), ἀνάγκη ἄρα ἐντὸς εἶναι τῆς σαρκὸς τὸ γευστικὸν καὶ ἁπτι|κὸν αἰσθητήριον. τὸ γὰρ πνεῦμα II 6r
κοινόν ἐστι πασῶν αἰσθητήριον· καὶ γὰρ ἡ κοινὴ αἴσθησις ἐν τούτῳ. μέχρι μὲν οὖν τῶν ἐνταῦθα ἐφ' ἑκάτερα προῆλθεν ἡ ἐπιχείρησις τῷ Ἀριστοτέλει. ὡς δὲ ἤδη εἶπον, τὴν ὅλην αὐτοῦ διάνοιαν ἐκλεξάμενός τις ἐκ τῶν εἰρημένων ἐρεῖ ὅτι καὶ μεταξὺ καὶ αἰσθητήριον βούλεται εἶναι τὴν σάρκα διὰ τοὺς εἰρημένους λόγους. οὐκ ἀνάγκη δὲ πάντως τὴν αὐτὴν ἀναλογίαν ἐπὶ

1 εἴρηται πᾶν A: post εἴρηται add. ὅτι Dt 4 καὶ γινώσκει — ὑπ' αὐτῶν A: om. Dt 10 εἰς] εἰ t 15 et 17 τῆς ante ἁφῆς om. t 29 τῶν om. t 30 ἀλλὰ μεταξύ — αἰσθητήριον om. t

πασῶν τῶν αἰσθήσεων ἀπαιτεῖν, ἐπεὶ εἰ μεταξὺ ἡ σάρξ, ἔδει τὸ ἀνάλογον π 6r
φυλάττεσθαι ἐπὶ πασῶν τῶν αἰσθήσεων, καὶ ὥσπερ τῶν ἄλλων τὸ μεταξὺ 5
δι' οὗ ἡ αἴσθησις οὐκ ᾐσθάνετο, οὕτως ἔδει μηδὲ τὴν σάρκα αἰσθάνεσθαι,
εἰ διὰ ταύτης μέσης ἡ ἁφὴ γίνεται. οὐκ ἄρα δεῖ τὴν αὐτὴν ἀναλογίαν
5 ἐπὶ πασῶν φυλάττεσθαι.

p. 423ᵇ26 Ἁπτὰ μὲν οὖν εἰσιν αἱ διαφοραὶ τοῦ σώματος, ᾗ σῶμα.

Ἀπορήσας περὶ τῆς ἁφῆς ἀναλαμβάνει τὸν λόγον καὶ ζητεῖ τίνα ποτέ ἐστι τὰ ἁπτά, καὶ τούτων τὰ εἴδη ἀπαριθμεῖται, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ἐποίησε. λέγει δ' οὖν ὅτι ἁπτά ἐστιν αἱ διαφοραὶ τοῦ σώματος, ᾗ σῶμα,
10 διαφοραὶ δηλονότι αἱ συστατικαί. ἐζήτησε δὲ καὶ ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς (τοῦτο γάρ φησι τὸ περὶ τῶν στοιχείων), τίνες ἂν εἶεν κοινῶς 15
πάντων σωμάτων αἱ συστατικαὶ ποιότητες, καὶ εἶπεν ὅτι οὔτε τὰ χρώματα οὔτε οἱ χυμοὶ οὔτε τῶν τοιούτων οὐδέν, διότι ζητοῦμεν τὰς κοινοτάτας ἀρχάς, αὗται δὲ οὐκ ἐπὶ πάντων διήκουσιν. εἰσὶ γὰρ καὶ ἀχρωμάτιστα σώματα.
15 ὡς ὁ ἀήρ, καὶ ἄχυμα, ὡς αὐτός τε οὗτος καὶ ἕτερα πλείονα, κατὰ δὲ τοὺς ἰατροὺς καὶ τὸ ὕδωρ. κοινόταται δὲ ἀρχαὶ τῶν σωμάτων αἱ ἁπταὶ ποιότητες, διότι πᾶν σῶμα εὐθὺς καὶ ἁπτόν ἐστιν. ἀλλὰ τῶν ἁπτῶν ἀπαριθμησάμενος πλείους ἀντιθέσεις πάσας ἀνήγαγεν ὑπὸ τὴν τοῦ θερμοῦ καὶ 20
ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, καὶ ἔδειξε ταύτας κοινοτάτας οὔσας τῶν
20 σωμάτων ἀρχάς. καθ' ἃς καὶ τὰ στοιχεῖα εἰδοποιεῖται. προσέθηκε δὲ καὶ τὸ ᾗ σῶμα εἰκότως. οὐ γὰρ ᾗ σώματά εἰσι τὰ κεχρωσμένα κέχρωσται· εἰ γὰρ τοῦτο, πᾶν σῶμα ἔδει κεχρῶσθαι· νῦν δὲ οὐκ ἔχει οὕτως. ἀλλ' οὐδὲ τὰ εὐώδη οὐδὲ τὰ ἔγχυμα οὐδὲ τὰ ψοφητικά, ᾗ σώματά ἐστι, τοιαῦτά ἐστιν· εἰ γὰρ ἦν τοῦτο, πᾶν σῶμα εὐθὺς ἔδει καὶ ταύτας τὰς ποιότητας
25 ἔχειν· νῦν δὲ οὐκ ἔστιν. ἡ δὲ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. ξηροῦ τε καὶ ὑγροῦ ἀντίθεσις ἐπὶ πάντων τῶν σωμάτων διήκει· πᾶν γὰρ σῶμα εὐθὺς ἢ ξηρὸν ἢ ὑγρόν ἐστιν, ἢ θερμὸν ἢ ψυχρόν. ὥστε καλῶς εἴρηται ταύτας 25
μόνας τῶν ποιοτήτων τὰς ἀντιθέσεις συστατικὰς εἶναι διαφορὰς τῶν σωμάτων. τί οὖν; οὐχὶ καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον ἐπὶ πάντων διαιρεῖται
30 τῶν σωμάτων; σωμάτων δὲ νῦν τῶν γενητῶν δηλονότι. ἀλλὰ λέγω ὅτι μάλιστα μὲν τὸ βαρὺ καὶ τὸ κοῦφον ἁπταί εἰσι ποιότητες καὶ ἀνάγονται ὑπὸ τὰς εἰρημένας. ὡς ἐν τῷ Περὶ γενέσεως ἔδειξεν· ἔπειτα δὲ πᾶν σῶμα ἐν τῇ οἰκείᾳ ὁλότητι ὂν οὔτε βαρύ ἐστιν οὔτε κοῦφον. βαρὺ δὲ ἢ κοῦφον τότε γίνεται. ὅταν ἐκστῇ τῆς οἰκείας ὁλότητος. ἐπεὶ οὖν οὐδέν ἐστιν ἀεὶ 30

---

2 καὶ om. D 6 Ἁπτὰ ADt Arist. TUV: ἁπταὶ Arist. vulg. 10. 11 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] B 2 13 κοινωτάτας D 14 αὗται scripsi: αὐταὶ Dt

15 ἄχυμα ὡς A: ὁ χυμὸς Dt 16 κοινώτα D ἁπταὶ scripsi: ἁπτικαὶ ADt
20 καθ' ἃς A: καθ' ἃ Dt 21 κέχρωσθαι t 22 ἔδει — πᾶν σῶμα (24) A: om. Dt 25 τοῦ ψυχροῦ AD: τοῦ om. t 26 ἀντιθέσεις D 29 θεωρεῖται t
32 ἐν τῷ Περὶ γενέσεως] cf. B 2

ἐν τῷ παρὰ φύσιν, ὅταν τὸ πῦρ παρὰ φύσιν κάτω γένηται, ἐπείγεται τὸν n 6r
κατὰ φύσιν τόπον καταλαβεῖν, καὶ διὰ τοῦτο κινεῖται ἐπὶ τὸ ἄνω, τὸ δὲ
ἐπὶ τὸ ἄνω κινούμενον κοῦφον λέγομεν· ὁμοίως καὶ ἡ βῶλος παρὰ φύσιν
ἄνω γενομένη ἐπειγομένη ἐπὶ τὸν ἴδιον τόπον κινεῖται ἐπὶ τὸ κάτω, τὸ δὲ
5 ἐπὶ τὸ κάτω κινούμενον βαρὺ λέγομεν. εἰ δὲ τὰ σώματα ἐν τῷ κατὰ
φύσιν ὄντα τόπῳ οὔτε ἐπὶ τὸ ἄνω οὔτε ἐπὶ τὸ κάτω κινεῖται, οὐδὲ βαρέα
ἂν εἴη οὐδὲ κοῦφα. ἄλλως τε θερμότης μὲν καὶ ψυχρότης, ξηρότης καὶ 35
ὑγρότης δραστικαὶ καὶ παθητικαί εἰσι διαφοραί. κουφότης δὲ καὶ βαρύτης
οὐκέτι· ἐκείνων δὲ δεῖ εἰς τὴν τῶν στοιχείων γένεσίν τε καὶ σύστασιν.

10 p. 423b31 Τὸ γὰρ αἰσθάνεσθαι πάσχειν τί ἐστιν.

Εἰπὼν τὸ ἁπτικὸν δυνάμει ὅπερ τὸ ἁπτόν, τοῦτο αὐτὸ κατασκευάζει.
καθόλου γάρ, φησί, τὸ αἰσθάνεσθαι πάσχειν τί ἐστιν, ὡς εἴρηται· ἔκειτο δὲ 40
ἡμῖν ὅτι τὸ πάσχον πῇ μὲν ταὐτόν ἐστι τῷ ποιοῦντι, πῇ δ' οὐ ταὐτόν,
δυνάμει μὲν ταὐτόν, ἐνεργείᾳ δ' οὐ ταὐτόν· πάσχον μὲν γὰρ οὐ ταὐτόν,
15 πεπονθὸς δὲ ταὐτόν. εἰ δὲ πάσχον ὑπὸ τοῦ αἰσθητοῦ γίνεται αὐτῷ ὅμοιον,
δυνάμει ἄρα ἦν πρὶν παθεῖν ὅπερ τὸ αἰσθητόν.

p. 424a2 Διὸ τοῦ ὁμοίως θερμοῦ ἢ ψυχροῦ ἢ σκληροῦ ἢ μαλακοῦ
οὐκ αἰσθανόμεθα, ἀλλὰ τῶν ὑπερβολῶν.

Ἐπεὶ γὰρ τὸ αἰσθητήριον σῶμα, πᾶν δὲ σῶμα ἁπτόν, τὸ δὲ ἁπτικὸν 45
20 πάσχον ὑπὸ τοῦ ἁπτοῦ γίνεται ὅμοιον αὐτῷ ἐνεργείᾳ, οὐδὲν δὲ ὑπὸ τοῦ ὁμοίου
πάσχει (οὐδὲ γὰρ αἰσθάνεταί τι τοῦ ὁμοίως κεκραμένου ἁπτοῦ), ὥστε εἰ τῶν 50
ὁμοίων μὴ ἀντιλαμβάνεται, τῶν ὑπερβολῶν καὶ τῶν ἐνδειῶν εἴη ἂν ἡ ἀντίληψις. ὡς τῆς αἰσθήσεως μεσότητός τινος οὔσης τῆς ἐν τοῖς αἰσθητοῖς ἐναντιώσεως, καὶ διὰ τοῦτο κρίνει τὰ αἰσθητά.
25 αἴσθησιν νῦν τὸ αἰσθητήριον λέγει, μεσότητα δ' εἶπε τὴν αἴσθησιν ἤτοι
τὴν ἁφήν (περὶ ταύτης γὰρ νῦν ὁ λόγος) ἢ καὶ πᾶσαν· πᾶσαι γὰρ ἐν
μέσῳ εἰσὶ τῆς ἐναντιώσεως ἧς ἐστιν ἑκάστη κριτική, οὕτως δ' ἐστὶν ἐν
μέσῳ, τῷ ἑκατέρου τῶν ἐναντίων δύνασθαι τὸν λόγον δέξασθαι. οὐ γὰρ
ἁπλῶς τῷ ἐν μηδετέρῳ τῶν | ἐναντίων εἶναι ἐν μέσῳ ἤδη κυρίως (τὸ n 6v
30 γὰρ ἄχρουν πῶς ἂν λέγοιτο μέλανος καὶ λευκοῦ μέσον;) ἀλλ' ὡς εἶπον,
καθὸ δύναται ἑκατέρου τῶν ἐναντίων τὸν λόγον δέξασθαι. ὁμοίως δὲ καὶ
τὸ ἄψοφον καὶ τὸ ἄοσμον καὶ τὸ ἄχυμον. οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ἁφῆς
ἀνάγκη τὸ αἰσθητήριον κατ' ἐνέργειαν μέσως κεκρᾶσθαι τῶν ἐναντιώσεων
τῶν ἁπτῶν, οὕτω καὶ ἐπὶ τῶν ἄλλων αἰσθητηρίων τῷ ἐν μεσότητι πεποι-

2 τούτω D 9 τε om. t 12 καθόλου] καθὸ t 14 πάσχον μὲν] πάσχομεν D 17 ἢ ψυχροῦ Dt Arist. SUW: καὶ ψυχροῦ Arist. vulg. ἢ μαλακοῦ D Arist. SUV: καὶ μαλακοῦ t Arist. vulg. 21 κεχραμένου t 22 ἀντιλαμβάνηται D 26 ἢ καὶ πάσης t 27 δ' ἐστὶν] δὲ ἡ D 29 ἐναντίων A: ἐναντιώσεων Dt

ὥσθαι τῆς ἐναντιώσεως οὕτως αὐτῶν αἰσθητικά εἰσιν· οὐ γὰρ τοῖς σώμασι η 6v
τοῖς φυσικοῖς κατ' ἐκείνας τὰς ποιότητας τὸ εἶναι, ἀλλὰ κατὰ τὰς ἁπτάς. 5
διὸ ἡ ἁφὴ τῷ ὄντι μεσότης· ἔχει γὰρ μεταξὺ ποιότητά τινα τῶν ἄκρων·
τὰ δὲ μὴ ἐν μίξει τῶν ἄκρων ἀλλ' ἐν ἀπουσίᾳ πῶς ἂν μέσα ἐκείνων εἴη,
5 εἰ μὴ κατὰ τὸν εἰρημένον λόγον, τῷ δύνασθαι τῶν ἐναντίων τὸν λόγον
δέξασθαι; γίνεται γὰρ πρὸς ἑκάτερον αὐτῶν θάτερον τῶν ἄκρων.
πῶς τὸ μέσον γίνεται τῶν ὑπερβολῶν κριτικὸν ἔδειξε. τὸ γὰρ ἐν μεσό-
τητί τινων ὂν πρὸς ἑκάτερον τῶν ἄκρων θάτερόν πώς ἐστιν· πρὸς μὲν γὰρ 10
τὸ ὑπερβάλλον τὴν οἰκείαν αὐτοῦ θερμότητα ψυχρόν, πρὸς δὲ τὸ τὴν
10 ψυχρότητα ὑπερβάλλον θερμόν. οὕτω δὲ δυνάμει ὅμοιον ἔσται τοῖς ἐναν-
τίοις καὶ οὐκ ἐνεργείᾳ, καὶ πάσχει ὑπ' αὐτῶν οὐχ ὡς ὑπὸ ὁμοίων, ἀλλ'
ὡς ὑπὸ ἀνομοίων· ὑπὸ μὲν γὰρ τοῦ θερμοτέρου ὡς ψυχρόν, ὑπὸ δὲ τοῦ
ψυχροτέρου ὡς θερμόν. τοῦτο δὲ ἰδίως ἂν εἴη περὶ τῆς ἁφῆς εἰρημένον.

p. 424a 10 Ἔτι δ' ὥσπερ τοῦ ὁρατοῦ καὶ τοῦ ἀοράτου ἦν πως ἡ
15 ὄψις, ὁμοίως δὲ καὶ αἱ λοιπαὶ τῶν ἀντικειμένων, οὕτω καὶ ἡ 15
ἁφὴ τοῦ ἁπτοῦ καὶ τοῦ ἀνάπτου.

Ὥσπερ εἶπεν καὶ ἐπὶ τῶν ἄλλων αἰσθήσεων ὅτι κριτικαί εἰσιν οὐ
μόνον τῶν ἰδίων αἰσθητῶν, ἀλλὰ καὶ τῶν στερήσεων, οὕτω καὶ ἐπὶ τῆς
ἁφῆς λέγει ὅτι καὶ τὰ ἁπτὰ κρίνει καὶ τὰ ἄναπτα. ἀλλ' ἐπὶ μὲν ἐκείνων
20 ἦν ἡ κυρίως στέρησις, ὡς ἐπὶ τῆς ὄψεως τὸ σκότος καὶ ἐπὶ τῆς ἀκοῆς ἡ 20
σιγὴ καὶ τῆς ὀσφρήσεως καὶ γεύσεως τὸ ἄοσμόν τε καὶ ἄχυμον· ἐπὶ δὲ
τῶν ἁπτῶν οὐδέν ἐστι σῶμα καθάπαξ ἄναπτον, ἐπειδή, ὡς εἴρηται, ὅτι
αἱ ἁπταὶ ποιότητες συστατικαί εἰσι τῶν σωμάτων, ἀλλ' ἄναπτά φησιν εἶναι
ἢ τὰ φθαρτικὰ δι' ὑπερβολὴν ἢ τὰ ἠρέμα ἁπτά· τοιαῦτα δ' ἂν εἴη τὰ
25 μὴ πολὺ ἀφεστηκότα τῶν αἰσθητηρίων κατὰ τὰς ἁπτὰς ποιότητας, ἀλλ'
ἐγγὺς ὅμοια καὶ ταύτῃ ἠρέμα ἁπτὰ ὄντα, τῷ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου
ἀπαθὲς εἶναι. τοιοῦτο δ' ἐστὶν ὁ ἀήρ· διὸ τῶν ὑπερβολῶν αὐτοῦ αἰσθα- 25
νόμεθα, λέγω δὴ ὅταν ἄγαν ψυχθῇ ἢ ὅταν ἄγαν θερμανθῇ· ἐκβαίνει γὰρ
λοιπὸν τὴν ὁμοιότητα τὴν πρὸς τὰ αἰσθητήρια, καὶ λοιπὸν ὡς ἐναντίον
30 ὑπὸ ἐναντίου πάσχει· ὅτε δὲ ἐν συμμετρίᾳ ἐστί, σχεδὸν οὐδ' αἰσθανόμεθα
τῆς ἐν αὐτῷ ποιότητος. δυνατὸν δὲ κἀνταῦθα ἄναπτον ἢ τὸ μὴ πεφυκὸς
ὅλως ἁφῇ ὑποπίπτειν ἐξακούειν, [ἢ] ὡς τὸ χρῶμα ἢ τὸν ψόφον, ἢ τὸ
ἀμυδρὸν ἢ τὸ βλαβερόν.

---

5 κατὰ] καὶ D 14 τοῦ ὁρατοῦ καὶ τοῦ D: τοῦ utrumque om. t Arist. codd. 16 τοῦ ἀνάπτου D: τοῦ om. t Arist. codd. 19 καὶ post ὅτι om. t 24 τὰ post εἴη om. t 25 ἁπτὰς scripsi: ἁπτικὰς Dt 31 πεφυκὼς D 32 primum ἢ delevi ἢ τὸν ψόφον A: ἢ om. Dt

p. 424ᵃ17 Καθόλου δὲ περὶ πάσης αἰσθήσεως δεῖ λαβεῖν ὅτι ἡ μὲν αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν εἰδῶν ἄνευ τῆς ὕλης. n 6ᵛ

Εἰπὼν ἰδίᾳ περὶ ἑκάστης αἰσθήσεως καὶ τῶν ἰδίων αἰσθητῶν ἑκάστης βούλεται νῦν περὶ πασῶν κοινῶς εἰπεῖν καὶ διορίσασθαι, περὶ ὧν ἀσαφῶς ἐν τῷ περὶ ἑκάστου λόγῳ εἶπεν. οἷον ἔλεγεν ἐν ἑκάστῃ ὅτι ἡ αἴσθησις δυνάμει οὖσα ὅπερ τὸ αἰσθητὸν ἄγεται εἰς ἐνέργειαν ὑπ' αὐτοῦ· καὶ γάρ ἐστιν ὅπερ ἐκεῖνο. πῶς οὖν ἡ αἴσθησις πάσχει ὑπὸ τῶν αἰσθητῶν καὶ ἐξομοιοῦται αὐτοῖς, νῦν λέγει. οὕτω γάρ, φησί, γίνεται ὅπερ τὸ αἰσθητόν, οὐ λευκὴ γινομένη ἢ γλυκεῖα, ἀλλὰ τὸ εἶδος τοῦ αἰσθητοῦ ἄνευ τῆς ὕλης δεχομένη, τουτέστι γνωστικῶς τοὺς λόγους αὐτῶν καθαροὺς ἀποματτομένη. καθόλου γὰρ οὐδὲν πάσχον ὑπό τινος τὴν ὕλην τὴν τοῦ ποιοῦντος δέχεται, ἀλλὰ τὸ εἶδος τὸ ἐν αὐτῷ, ὥσπερ καὶ ὁ κηρὸς τὴν ἐν τῷ χρυσῷ σφραγῖδα, οὐ τὸν χρυσόν. οὐ γὰρ καθὸ χρυσῇ ἢ ἀργυρᾷ ἡ σφραγὶς ὁμοιοῦται αὐτῇ, ἀλλὰ καθὸ τοιόνδε εἶδος ἔχει. εἰ γὰρ καθὸ χρυσῇ ἢ σιδηρᾷ ἡ σφραγίς, ὡμοίωτο αὐτῇ ὁ κηρός, γένεσις ἂν ἦν καὶ φθορά, γένεσις μὲν χρυσοῦ ἢ σιδήρου, φθορὰ δὲ κηροῦ. οὕτως οὖν καὶ ἡ αἴσθησις δέχεται τὸ ἐν τῷ μέλιτι τῆς γλυκύτητος εἶδος, οὐ καθὸ μέλι ἐστίν, ἀλλὰ καθὸ ἔχει τοιόνδε γλυκύτητος εἶδος. διαφέροι δ' ἂν τὰ αἰσθανόμενα τῶν πασχόντων ἁπλῶς, μὴ αἰσθανομένων δέ, ὅτι οὕτω ταῦτα δέχεται ὥστε γνωρίζειν καὶ κρίνειν τὸ ἐν αὐτοῖς γινόμενον εἶδος, ἐκείνων πασχόντων μέν, οὐ γνωριζόντων δέ, οἷά ἐστι τά τε κάτοπτρα καὶ τὰ ἐκμαγεῖα καὶ τὰ ὅμοια τούτοις. τὰ μὲν οὖν κάτοπτρα καὶ τὰ ἐκμαγεῖα διαφέρει τῆς αἰσθήσεως τῷ μὴ δύνασθαι κρίνειν τὸ πάθος τὸ ἐν αὐτοῖς γενόμενον. διαφέρουσι δὲ αὐτά τε ταῦτα καὶ αἱ αἰσθήσεις τῶν λοιπῶν, διότι εἰ καὶ πάσχει τὰ φυσικὰ πάντα σώματα (πάσχει γὰρ ὑπὸ θερμότητος καὶ ψυχρότητος λευκότητός τε καὶ τῶν παραπλησίων), ἀλλ' οὖν ὅτι ταῦτα μὲν ὑπὸ τῶν ποιούντων κατὰ τὸ συναμφότερον ποιούντων οὕτω πάσχει· τὸ γὰρ πῦρ οὐ κατ' εἶδος μόνον δρᾷ εἰς τὸν ἀέρα καὶ θερμαίνει αὐτόν, ἀλλὰ κατὰ τὸ συναμφότερον· ὡς γὰρ σῶμα δρᾷ εἰς αὐτόν (σαφὲς δὲ τεκμήριον τὸ ἐπὶ τῆς εὐωδίας τε καὶ δυσωδίας· μετὰ γὰρ τοῦ ὑποκειμένου δρᾷ εἰς τὸν ἀέρα καὶ εἰς τὰ ἱμάτια ἡ εὐωδία, ἐγκαταμιγνυμένης αὐτοῖς οὐσίας τινὸς ἀπὸ τοῦ εὐώδους σώματος. ὁμοίως καὶ | τὰ χρωννύμενα τῶν ἱματίων πάσχει. καὶ οἱ χυμοὶ δὲ δρῶσιν εἰς τὰ n 7ʳ σώματα· ἄλλως γοῦν ὑπὸ τῶν γλυκέων ὑδάτων διατίθεται τῶν λουομένων τὰ σώματα καὶ ἄλλως ὑπὸ τῶν ἁλμυρῶν, οὐσίας τινὸς ἐγκαταμιγνυμένης

---

6 λόγου D 14 οὐ τὴν χρυσόν t 15 τοιὸν εἶδος t 16. 17 ἡ σιδήρου t 17 τῶ ἐν D 18 μέλι] μὲν D 19 διαφέροι A: διαφέρει Dt 22 κάτωπτρα t καὶ τὰ ὅμοια — ἐκμαγεῖα (23) A: om. Dt 23 τὸ μὴ D 24 δὲ om. t 25 αἱ αἰσθήσεις τῶν λοιπῶν] τὰ λοιπὰ τῶν αἰσθήσεων t 26 τε om. t 27 ἀλλ' οὖν ὅτι A: διότι Dt 32 ἐγκαταμιγνυμένης A: ἐγκαταμεμιγμένης Dt 35 ἐγκαταμεμιγμένης t

μετὰ τοῦ χυμοῦ. καὶ τοὺς λίθους δ' οἱ οἰκοδόμοι, οὓς ἂν ἰσχυροὺς εἶναι n 7r
βούλωνται, προβρέξαντες ἐπὶ χρόνον γλυκέσιν ὕδασιν οὕτω παραλαμβάνουσιν
εἰς τὴν οἰκοδομίαν. φαίνεται δὲ καὶ ἡ τῆς θαλάττης ἅλμη διαβιβρώσκουσα 5
τὰς πέτρας)· τὰ μὲν οὖν ἄψυχα καὶ καθόλου πᾶν σῶμα ᾗ σῶμά ἐστι πάσχει
5 ὑπὸ τῶν αἰσθητῶν ποιοτήτων, τοῦ τε δρῶντος κατὰ τὸ συναμφότερον
δρῶντος, καὶ τοῦ πάσχοντος κατὰ συναμφότερον πάσχοντος· ἡ μέντοι
αἴσθησις οὔτε ὑπὸ τοῦ συναμφοτέρου πάσχει, ἀλλ' ὑπὸ μόνου τοῦ εἴδους,
ὥσπερ καὶ ὁ κηρὸς ὑπὸ τῆς σφραγῖδος, οὔτε αὐτὴ κατὰ τὸ συναμφότερον
πάσχει (οὐ γὰρ δὴ χρώννυται τὸ αἰσθητήριον ἢ εὐῶδες γίνεται), ἀλλὰ
10 κατὰ μόνον τὸ εἶδος, λέγω δὲ αὐτὴν τὴν αἰσθητικὴν δύναμιν. ἐπεὶ καὶ 10
τὸ σῶμα πάσχει ὑπὸ τῆς θερμότητος, πάσχει δὲ καὶ ἡ ἁπτικὴ αἴσθησις,
ἀλλ' οὐ τὸ αὐτὸ πάθος· ἀλλ' ἡ μὲν αἴσθησις ὑπὸ μόνου τοῦ εἴδους τοῦ
θερμοῦ πέπονθε γνωστικῶς, τὸ δὲ αἰσθητήριον ἡ σὰρξ ὡς ὕλη κατὰ τὸ
συναμφότερον, ὑποκείμενον αὐτῇ γενομένη τῇ θερμότητι καὶ ὑπὸ τοῦ θερ-
15 μαίνοντος ὅλου ὡς ὅλον παθοῦσα. καὶ οὐδέν γε θαυμαστόν, εἰ ὑπὸ τῶν
αἰσθητῶν ἄλλως μὲν πάσχει ἡ αἴσθησις, ἄλλως δὲ τὸ αἰσθητήριον καὶ
ὅλως τὸ σῶμα· ἄλλο γὰρ αὐτοῖς ἐστι τὸ χρώμασιν εἶναι ἢ χυμοῖς ἢ
ψόφοις ἢ θερμοῖς ἢ ψυχροῖς, καὶ ἄλλο τὸ αἰσθητοῖς εἶναι. διὸ χρώματα 15
μέν ἐστι καὶ χυμοὶ καὶ ψόφοι καὶ τὰ λοιπὰ καὶ αἰσθήσεως μὴ οὔσης,
20 αἰσθητὰ δὲ οὔκ εἰσιν, εἰ μὴ αἴσθησις εἴη ἀντιλαμβανομένη αὐτῶν. εἰς
μὲν οὖν τὰς αἰσθήσεις ὡς αἰσθητὰ ποιεῖ, εἰς δὲ τὰ σώματα οὐκέτι ὡς
αἰσθητά, ἀλλ' ὡς χρώματα ἢ χυμοὶ καὶ καθὸ ἕκαστον εἶδός τι ἔχει καὶ
οὐσίαν, ὅλον εἰς ὅλον ἐνεργεῖ, καὶ τὸ πάσχον ὅλον ὑπὸ ὅλου πάσχει.

p. 424a 24 Αἰσθητήριον δὲ πρῶτον ἐν ᾧ ἡ τοιαύτη δύναμις.

25 Εἰπὼν περὶ αἰσθήσεως λέγει καὶ περὶ τοῦ αἰσθητηρίου. πρῶτον δὲ
εἶπεν αἰσθητήριον ἐν ᾧ ἡ αἰσθητικὴ δύναμις τὸ ὑποκείμενον τῇ ἀλόγῳ
ψυχῇ πνεῦμα· ἐν τούτῳ γὰρ πρώτως ἡ αἴσθησις ἔχει τὸ εἶναι. ἐπεὶ
αἰσθητήριά γε καὶ ὀφθαλμοὶ καὶ ὦτα καὶ ῥίς, ἀλλ' οὐ πρῶτα· οὐ γάρ
ἐστιν ἐν τούτοις ἡ αἰσθητικὴ ψυχή, ἀλλὰ διὰ τούτων τὸ πάθος ἐπ' ἐκεῖνο 25
30 ἀναπέμπεται. ἔστι μὲν οὖν ταὐτόν, τὸ δὲ εἶναι ἕτερον. ἡ αἴσθησις,
φησί, τουτέστιν ἡ δύναμις ἡ αἰσθητική, καὶ τὸ αἰσθητήριον ἐν ᾧ πρώτῳ
ἡ δύναμις αὐτὴ ἵδρυται, ταὐτὰ μέν εἰσι τῷ ἀριθμῷ (οὐ γάρ ἐστιν αὐτὴ
καθ' αὑτὴν ἡ αἴσθησις ἄνευ τοῦ ὑποκειμένου, τουτέστι τοῦ πνεύματος,
ὅπερ πρῶτόν ἐστιν αἰσθητήριον), ἓν οὖν ταῦτα τῷ ὑποκειμένῳ, ὡς ἕνα
35 ἄνθρωπόν φαμεν καὶ μίαν ναῦν τὴν ὅλην μετὰ τοῦ οἰκείου εἴδους, τὸ ὅλον
σύνθετον ἓν λέγοντες, τῇ μέντοι οὐσίᾳ δύο εἰσίν· ἄλλο γὰρ αἴσθησις καὶ 30
ἄλλο τὸ ὑποκείμενον αὐτῇ· ἡ μὲν γὰρ ἀσώματος καὶ ἀμεγέθης, τὸ δὲ

---

2 βούλονται t 3 ἡ A: om. Dt 14 αὐτῇ A: αὕτη Dt 15 ὡς ὅλον scripsi coll. v. 23: ὡς ὅλου ADt 18 καὶ τὸ ἄλλο τὸ D: χρῶμα t 21 ποιεῖ — αἰσθητά (22) iterat D · ὡς (post οὐκέτι) A: om. Dt 22 καθ' ἕκαστον t

ὑποκείμενον αὐτῇ σῶμα καὶ μέγεθος, καὶ αἰσθητικὸν λέγεται οὐ καθὸ ἔχει μέγεθος, ἀλλὰ καθὸ ἔχει αἴσθησιν. II 7r

p. 424ᵃ28 Φανερὸν δ' ἐκ τούτων καὶ διά τί ποτε τῶν αἰσθητῶν αἱ ὑπερβολαὶ φθείρουσι τὰ αἰσθητήρια.

Δείξας ὅτι τὰ αἰσθητήρια καθὸ αἰσθητήρια ἐν λόγῳ τινὶ καὶ συμμετρίᾳ εἰσί (καθὸ γὰρ ἔχει τὴν αἰσθητικὴν δύναμιν, λόγον αὐτῶν οὖσαν καὶ εἶδος, κατὰ τοῦτο ἔχει τὸ αἰσθητήριον εἶναι) ἐκ τούτων φησὶ δῆλον εἶναι τὴν αἰτίαν τοῦ τὰς τῶν αἰσθητῶν ὑπερβολὰς φθείρειν τὰ αἰσθητήρια. εἰ γὰρ καθὸ αἰσθητήριά εἰσιν, ἐν συμμετρίᾳ τινὶ καὶ μεσότητί εἰσιν, ὡς ἤδη εἶπεν (τοιῶσδε γὰρ κεκραμένον τὸ αἰσθητήριον ἐπιτήδειον γίνεται πρὸς τὴν τῆς αἰσθήσεως ὑποδοχήν), ἔτι δὲ τῶν αἰσθητηρίων κινουμένων ὑπὸ τῶν αἰσθητῶν οὕτω γίνεται τῶν αἰσθητῶν ἡ αἴσθησις, εἰκότως ἄρα καὶ ἡ ἄμετρος κίνησις τῶν αἰσθητηρίων ὑπὸ τῶν αἰσθητῶν φθείρει αὐτῶν τὴν συμμετρίαν· φθαρείσης δὲ τῆς συμμετρίας ἀνεπιτήδεια γίνεται εἰς τὸ στέγειν τὴν αἰσθητικὴν δύναμιν. δύο γὰρ πάθη πάσχει τὸ αἰσθητήριον, ἓν μὲν ὡς ἁπλῶς σῶμα, ἕτερον δὲ ὡς αἰσθητήριον. ὡς μὲν οὖν σῶμα ὑπὸ σώματος πάσχει, ὡς δὲ αἰσθητήριον ὑπὸ τῆς τῶν αἰσθητῶν ἐνεργείας· οἷον τὸ ὄμμα ὡς μὲν αἰσθητήριον πάσχει συγκρινόμενον ἢ διακρινόμενον ὑπὸ τῆς τῶν χρωμάτων ἐνεργείας, ὡς δὲ σῶμα πάσχει ὑπὸ πυρός, εἰ τύχοι, θερμαίνοντος· καὶ ἡ ἀκοὴ ὁμοίως ὡς μὲν αἰσθητήριον πάσχει ὑπὸ τῶν ψόφων, ὡς δὲ σῶμα ὑπὸ τῆς σφοδρᾶς τοῦ ἀέρος κινήσεως. οὐ ταὐτὸν μὲν γὰρ ψόφος καὶ κίνησις ἀέρος, οὐκ ἄνευ μέντοι κινήσεως ἀέρος ὁ ψόφος· ἐν οὖν τοῖς μεγάλοις ψόφοις μεγάλης γινομένης τῆς κινήσεως, τῇ πιλήσει ἡ κίνησις βλάπτει τὸ ἀκουστικὸν αἰσθητήριον ὡς σῶμα. πῶς δὲ ὑπὸ τῆς βιαιοτέρας πληγῆς λύεται ὁ λόγος τῶν αἰσθητηρίων ὑπὸ τῶν αἰσθητῶν, ἔδειξε τῇ παραθέσει τῶν ἡρμοσμένων· καὶ γὰρ ἐπὶ τούτων ἡ ἐν ταῖς χορδαῖς συμφωνία, μεσότης τις καὶ εἶδος οὖσα τῆς τοιαύτης τῶν χορδῶν παραθέσεως, ἐκ τῆς ποιᾶς ἐπιτάσεως καὶ ἀνέσεως λύεται καὶ φθείρεται, εἰ καὶ μὴ αἱ χορδαὶ φθείρονται· ὁμοίως κἂν εἰ σφοδρότερον αἱ χορδαὶ κρούοιντο· αἱ γὰρ ὑπερβολαὶ φθαρτικαὶ τῶν ἐν συμμετρίᾳ τινὶ καὶ μεσότητι τὸ εἶναι ἐχόντων. λόγον δὲ οὐ τὴν ἁρμονίαν τῶν συγκειμένων λέγει· οὕτως γὰρ ἁρμονίαν λέγοι ἂν τὴν ψυχήν, τοῦτο δὲ ἀνεῖλεν ἐν τῷ πρώτῳ λόγῳ· ἀλλὰ λόγον τὸ εἶδος λέγει τὸ ἐπιγινόμενον τῇ τοιαύτῃ συνθέσει τε καὶ συμμετρίᾳ, ἧς λυομένης καὶ τὸ εἶδος φθείρεται ἐξ ἀνάγκης. διαφέροι δ' ἂν ἡ ἁρμονία τῶν χορδῶν καὶ ἡ αἰσθητικὴ δύναμις ἐν τῇ τῶν αἰσθητηρίων συμμετρίᾳ τῷ τὴν μὲν ἁρμονίαν εἶναι αὐτὴν τὴν συμμετρίαν, ἥτις ὑπὸ τῆς ὑπερβολῆς II 7v

---

7 κατὰ A: καὶ ἃ Dt 17 τῆς A: om. Dt 23 γενομένης t 25 βαιοτέρας t 30 κἂν εἰς t 32 λέγει scripsi: λέγω Dt: φησὶν A 33 τοῦτο] τούτῳ t

καὶ ἐπὶ τῆς ἐπιτάσεως τῶν χρῶν λύεται, τὴν δὲ αἴσθησιν τὴν ἐπὶ τῇ n 7v
τοιάδε συμμετρίᾳ δύναμιν, ἥτις καίτοι ἄλλη οὖσα τῆς συμμετρίας φθειρομένης 5
συμφθείρεται· ἐκείνης γάρ τί ἐστι καὶ ἐν ἐκείνῃ· εἶδος γάρ ταύτης ἐστί.

p. 424a32 Καὶ διὰ τί ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, ἔχοντά τι
5 μόριον ψυχικὸν καὶ πάσχοντα ὑπὸ τῶν ἁπτῶν· καὶ γὰρ ψύχεται
καὶ θερμαίνεται.

Εἰπὼν ὅτι ἐκ τῶν εἰρημένων περί τε τῆς αἰσθήσεως καὶ τῶν αἰσθη-
τηρίων φανερὸν γίνεται τὸ αἴτιον τοῦ τὰς ὑπερβολὰς τῶν αἰσθητῶν φθείρειν 10
τὰ αἰσθητήρια, διότι ἐν μεσότητί ἐστιν, αἱ δὲ μεσότητες ὑπὸ τῶν ὑπερ-
10 βολῶν φθείρονται, ἐκ τῶν αὐτῶν τούτων φησὶν εἶναι φανερὸν καὶ διὰ τί
ποτε τὰ φυτὰ οὐκ αἰσθάνεται, καίτοι τὸ φυτικὸν μόριον τῆς ψυχῆς ἔχοντα
(τρέφεται γοῦν καὶ αὔξεται καὶ γεννᾷ ὅμοια ἑαυτοῖς) καὶ ἔτι πάσχοντα
ὑπὸ τῶν ἁπτῶν· θερμαίνεται οὖν καὶ ψύχεται. αἴτιον οὖν τούτου τὸ μὴ
ἔχειν αὐτὰ μόριον τὸ ἐν μεσότητι ὂν τῶν ἁπτῶν, καὶ ἔτι δύναμιν καὶ
15 ἀρχὴν ἐν τούτῳ δεκτικὴν τῶν εἰδῶν τῶν ἐν τοῖς αἰσθητοῖς ἄνευ τῆς ὕλης· 15
οὐδὲ γὰρ τὸ ὁπωσοῦν ἔμψυχον ἦν τὸ αἰσθανόμενον, ἀλλὰ τὸ ἔχον τὴν
τοιαύτην δύναμιν. μεσότητα δὲ λέγει τὰ αἰσθητήρια ἢ διὰ τὸ τῆς μεσό-
τητος τῶν αἰσθητῶν ἀντιλαμβάνεσθαι καὶ βλάπτεσθαι ὑπὸ τῆς ὑπερβολῆς
καὶ τῆς ἐνδείας, ἢ μεσότητα διὰ τὸ ἐν μεταιχμίῳ εἶναι τῶν αἰσθητῶν
20 καὶ τῶν αἰσθήσεων. ἀλλὰ πάσχει μετὰ τῆς ὕλης· τουτέστιν εἰ καὶ
πάσχει ὑπὸ τῶν αἰσθητῶν, οὐχ οὕτω πάσχει ὥσπερ τὰ αἰσθητικὰ κατὰ
τὸ εἶδος πάσχοντα καὶ οὐ κατὰ τὴν ὕλην, ἀλλὰ πάσχει μετὰ τῆς ὕλης, 20
τουτέστιν ὑλικῶς καὶ σωματικῶς. ἡ γὰρ ὑποκειμένη αὐτοῖς ὕλη ὑπὸ τῶν
αἰσθητῶν πάσχουσα ἐν ἑαυτῇ δέχεται τὰ πάθη τῶν αἰσθητῶν. ὕλη αὐτῶν
25 γινομένη καὶ ὡς ὕλη αὐτὰ δεχομένη εἰς ἑαυτήν, ὥσει καὶ ἄψυχος ἦν.
τὸ γὰρ μετὰ τῆς ὕλης σημαντικόν ἐστι τοῦ ὡς ὕλην πάσχειν αὐτά·
πάσχει δὲ ὡς ὕλη τὸ εἰδοποιούμενον τῷ πάθει ὃ πάσχει. τινὲς μὲν οὖν
οὕτω τὸ πάσχειν μετὰ τῆς ὕλης ἐξεδέξαντο ἀντὶ τοῦ κατὰ τὴν ἰδίαν ὕλην
πάσχειν τρεπομένην καὶ μεταβάλλουσαν. τί δέ; τὸ πάσχει μετὰ τῆς
30 ὕλης τῆς τοῦ αἰσθητοῦ ὕλης φησίν. ὅτι αἱ μὲν αἰσθήσεις, ὅπερ ἤδη φθά- 25
σαντες εἴπομεν, πάσχουσιν ὑπὸ τῶν εἰδῶν μόνων τῶν αἰσθητῶν, ὄψις μὲν
ὑπὸ τοῦ χρώματος, οὐ μέντοι ὑπὸ τοῦ ψιμυθίου ἢ ἐρίου ἢ ὅτι ποτ' ἂν
εἴη τὸ ὑποκείμενον τῷ χρώματι· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων· τὰ μέντοι
ἄψυχα πάσχοντα ὑπὸ τῶν αἰσθητῶν οὐχ ὑπὸ τῶν εἰδῶν αὐτῶν πάσχει
35 μόνον, ἀλλ' ὑπὸ τοῦ συναμφοτέρου. τῷ γὰρ ἐγκαταμίγνυσθαι τὸ μὲν εἰ

1 ἐπὶ ante τῆς om. t 3 ἐν om. t 4 αἰσθάνεται t Arist.: αἰσθάνονται D
5 πάσχοντα D Arist. SUX: πάσχοντά τι t Arist. vulg. 11 καίτοι] καί τι t 12 ἔτι
A: ὅτι Dt πάσχοντα scripsi: πάσχονται Dt: πάσχειν A 20 πάσχει ADt, cf. v. 29:
πάσχειν corr. D² Arist. 24 ἑαυτῇ A: αὐτῇ Dt 26 τοῦ et ὕλην scripsi: τὸ et
ὕλη Dt 29 τί δέ — φησίν (30)] fort. τινὲς δὲ — φασίν τὸ πάσχειν t

τύχοι τῷ ὕδατι, οὕτω γλυκὺ γίνεται· ὁμοίως ὁ ἀτμὸς τῷ ἱματίῳ προσι- n 7v
ζάνων εὐῶδες αὐτὸ ποιεῖ. ὡσαύτως δὲ καὶ τὰ χρώματα ποιεῖ εἰς τὰ 30
σώματα, οἷον τὰ βαπτόμενα· ἐμμίγνυται γὰρ μετὰ τῆς ἰδίας ὕλης τοῖς
ἱματίοις· ὁμοίως καὶ ὁ ψόφος ῥηγνύων τὸ ξύλον τῇ ὤσει τοῦ ὑποκειμένου
5 ἀέρος τοῦτο ποιεῖ. δοκεῖ δὲ μόνον ἐπὶ θερμοῦ καὶ ψυχροῦ τοῦτο μὴ
συμβαίνειν· μόνη γὰρ ἡ θερμότης παρατεθέντος τοῦ πυρὸς ἠλλοίωσε τὰ
ὑποκείμενα, οἷον τὸν ἀέρα· καὶ ἐπὶ ψύξεως ὡσαύτως· παρακείμενος γὰρ
ὁ κρύσταλλος ψύχει οὐκ ἐμμιχθείσης αὐτοῦ τῆς οὐσίας τῷ ψυχομένῳ,
ἀλλὰ ποιότητι μόνον ἀλλοιώσας. τοῦτο δὲ διότι αὗται μόναι τῶν ποιο- 35
10 τήτων τὴν ποιητικὴν αἰτίαν ἔχουσι τῆς γενέσεως καὶ τῆς φθορᾶς, φθορὰ
δὲ καὶ γένεσις τῇ τροπῇ τῆς ὑποκειμένης οὐσίας γίνεσθαι πέφυκε.

p. 424b3 Ἀπορήσειε δ' ἄν τις, εἰ πάθοι ἄν τι ὑπὸ ὀσμῆς τὸ ἀδύνατον ὀσφρανθῆναι, ἢ ὑπὸ χρώματος τὸ μὴ δυνάμενον ἰδεῖν.

Εἰπὼν ὅτι τὰ ἄψυχα καίπερ αἴσθησιν οὐκ ἔχοντα πάσχει ὑπὸ τῶν
15 ἁπτῶν ποιοτήτων, πάσχει δὲ σωματικῶς καὶ ὑλικῶς, ζητεῖ ἐπὶ τούτοις 40
εἰκότος εἰ καὶ ὑπὸ τῶν ἄλλων ποιοτήτων οἷόν τέ τι παθεῖν τὰ αἰσθήσεως
ἀμοιροῦντα.

p. 424b5 Εἰ δὲ τὸ ὀσφραντὸν ὀσμή.

Ἐντεῦθεν τὴν ἀπορίαν ἐπιλύεται καὶ δείκνυσιν ὅτι οὐδὲν πάσχει 45
20 τῶν μὴ ἐχόντων αἴσθησιν ὑπὸ τῶν αἰσθητῶν. εἰ γὰρ τὸ ὀσφραντόν,
φησίν, οὐδὲν ἄλλο ἐστὶν ἢ ὀσμή, καὶ τὸ γευστὸν οὐδὲν ἄλλο ἢ χυμός
(εἴ τι γὰρ γεῦσιν ποιεῖ, χυμός ἐστιν, καὶ εἴ τι ὄσφρησιν, ὀσμή· ὁμοίως
καὶ ἐπὶ τῶν ἄλλων) ἡ δὲ ὀσμὴ οὐδενὶ ἄλλῳ ἐστὶν ἢ ὀσφρήσει (πρὸς αὐτὴν
γὰρ καὶ ἔστι καὶ λέγεται, ὁμοίως δὲ καὶ τὸ γευστὸν πρὸς τὴν γεῦσιν καὶ
25 τὸ ὁρατὸν πρὸς ὄψιν, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως), οὐδὲν ἂν πάθοι ὑπὸ
τῶν αἰσθητῶν ποιοτήτων ὡς αἰσθητῶν τῶν μὴ ἐχόντων αἴσθησιν οὐδὲ 50
τῶν ἀδυνάτων, ἀλλ' ᾗ αἰσθητικὸν ἕκαστον. καὶ αὐτά, φησί, τὰ δυνατὰ
παθεῖν ὑπὸ τῶν αἰσθητῶν οὐ κατ' ἄλλο τι πάσχει ὑπ' αὐτῶν ἢ καθὸ
αἰσθητικά ἐστιν, οἷον ὁ ὀφθαλμὸς παθητὸς μέν ἐστι καὶ κατ' ἄλλον τρόπον,
30 ἀλλ' ὑπὸ τοῦ ὁρατοῦ οὐκ ἂν ἄλλως πάθοι ἢ καθὸ ὁρατικός ἐστιν. ὥστε
εἰ τὸ πάθος τὸ ὑπὸ τῶν αἰσθητῶν ποιοτήτων οὐ κατ' ἄλλο τι γίνεται
ὑπ' αὐτῶν ἢ καθὸ αἰσθητικά ἐστι τὰ πάσχοντα, ὃ ἄρα μὴ ἔστιν αἰσθη-
τικόν, οὐκ ἂν πείσεται ὑπ' αὐτῶν. δύναται δὲ ἴσως καὶ | οὕτω τὸ n 8r
ῥητὸν νοηθῆναι, ὅτι οὐδὲ τῶν δυνατῶν παθεῖν τι ὑπὸ τῶν αἰσθητῶν πάθοι
35 ἂν ὑπ' αὐτῶν κατ' ἄλλο τι ἢ κατ' ἐκεῖνο, καθ' ὅ ἐστιν αἰσθητικόν.

---

5 δὲ om. D 8 ὁ om. t 12 ὑπὸ τῆς ὀσμῆς t cum Ald. 23 ἄλλῳ A: ἄλλο Dt ὀσφρήσει] ὄσφρησις D 28 πάσχει] πάσχειν t 29 ὁ om. t 32 ὃ ἄρα] ὅρα D 34 πάθοι] πάθος t

οἷον ὁ ὀφθαλμὸς παθητικός ἐστιν ὑπὸ αἰσθητοῦ, ἀλλ' ὑπὸ τοῦ αἰσθητοῦ II 8r
οὐκ ἄλλου ἢ καθὸ πέφυκε πάσχειν· οὐ γὰρ ἂν πάθοι ὁ ὀφθαλμὸς ὑπὸ
ἀκουστοῦ, ἀλλ' ὑπὸ ὁρατοῦ μόνον, οὐδὲ ἡ ἀκοὴ ὑπὸ ὀσφραντοῦ ἀλλ' ὑπὸ
ἀκουστοῦ μόνον. πολλῷ οὖν μᾶλλον τὰ μηδὲ ὅλως πεφυκότα πάσχειν
ὑπὸ τῶν αἰσθητῶν ⟨οὐ⟩ πάθοι ἄν τι ὑπ' αὐτῶν.

p. 424b9 Ἅμα δὲ δῆλον καὶ οὕτως· οὔτε γὰρ φῶς καὶ σκότος οὔτε ψόφος οὔτε ὀσμὴ οὐδὲν ποιεῖ τὰ σώματα, ἀλλ' ἐν οἷς ἐστιν.

Οὐ μόνον, φησίν, ἐκ τοῦ ἀκολούθου τοῦτο δῆλόν ἐστιν ὅτι οὐδὲν πάσχει ὑπὸ τῶν αἰσθητῶν, καθὸ αἰσθητά, τῶν μὴ ἐχόντων αἴσθησιν (ἡ γὰρ αἴσθησις πρὸς αἰσθητόν, καὶ τὸ αἰσθητὸν πρὸς τὴν αἴσθησιν), ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς ἐναργείας τοῦτο δῆλόν ἐστιν. οὐδὲν γάρ, φησίν, οὔτε τὸ φῶς καὶ τὸ σκότος, τουτέστι τὸ ὁρατὸν καὶ δι' οὗ τὰ ὁρατὰ ὁρῶμεν, καθό ἐστιν ὁρατά, ποιεῖ εἰς τὸ σῶμα τὸ μὴ ἔχον ὄψιν· οὐ γὰρ ἀντιλαμβάνεται αὐτοῦ ὡς ὁρατοῦ τὸ μὴ ἔχον ὄψιν· ἀλλ' οὔτε τὸ ἀκουστὸν οὔτε τὸ ὀσφραντὸν ποιεῖ, καθὸ τοιαῦτά ἐστιν, εἰς τὰ μὴ ἀκουστικὰ μηδὲ ὀσφραντικά. εἶτα ἐπειδὴ δοκεῖ τινα σώματα τῶν μὴ αἰσθητικῶν πάσχειν ὑπὸ ψόφων (διίστανται γάρ τινα σώματα ὑπὸ βροντῶν, ξύλα καὶ λίθοι καὶ τὰ τοιαῦτα), πάσχουσι δὲ καὶ ὑπὸ τοῦ πεφωτισμένου ἀέρος θερμαινόμενα ὑπ' αὐτοῦ, καὶ ὁ ἀὴρ δὲ εὐώδης γίνεται ὑπὸ ὀσμῶν, λέγει πρὸς τοῦτο ὅτι οὐχ ὑπὸ τῆς βροντῆς, ᾗ ἀκουστόν, πάσχει τὰ ῥηγνύμενα ὑπ' αὐτῆς σώματα, ἀλλ' ὑπὸ τοῦ ἀέρος τοῦ ψοφοῦντος κινουμένου βιαίως πλησσόμενα διίσταται, καθὸ πλήσσεται, οὐχ ὑπὸ τοῦ ψόφου. ᾗ ψόφος ἐστὶ καὶ ἀκουστός. τοῦτο γὰρ σημαίνει διὰ τοῦ εἰπεῖν ἀλλ' ἐν οἷς ἐστι, τουτέστιν ὑπὸ τῶν ὑποκειμένων τῷ ψόφῳ (ὑπόκειται δὲ αὐτῷ ὁ ἀήρ) ὑπὸ τούτου πάσχουσι τὰ διιστάμενα ὑπὸ βροντῆς. ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ἄλλων. θερμαίνονται γὰρ τὰ ἄψυχα ὑπὸ τοῦ πεφωτισμένου ἀέρος οὐχ ᾗ πεφώτισται, οὐδ' ὑπὸ τοῦ φωτός, ἀλλ' ὑπ' αὐτοῦ τοῦ ἀέρος, ᾗ θερμός ἐστι. διακρινόμενα ὑπ' αὐτοῦ. πάσχουσι δὲ καὶ ὑπὸ τῶν ὀσμῶν καὶ ὁ ἀὴρ καὶ τὰ λοιπά, οὐχ ᾗ ὀσφραντὰ αἱ ὀσμαί, ἀλλὰ κατὰ τὸ ὑποκείμενον αὐταῖς, συνανακιρνάμενα τῇ οὐσίᾳ τῶν ἀτμῶν αὐτῶν, ἐν οἷς αἱ ὀσμαί, ὡς ἐπὶ τοῦ μελικράτου.

p. 424b12 Ἀλλὰ τὰ ἁπτὰ καὶ οἱ χυμοὶ ποιοῦσιν· εἰ γὰρ μή, ὑπὸ τίνος ἂν πάσχοι τὰ ἄψυχα καὶ ἀλλοιοῖτο;

Εἰπὼν ὅτι οὐ πάσχουσι τὰ μὴ ἔχοντα αἴσθησιν ὑπὸ τῶν αἰσθητῶν, καὶ δείξας ἐπὶ χρώματος καὶ ψόφου καὶ ὀσμῆς, ἐνταῦθά φησιν ὅτι εἰ καὶ

5 οὐ addidi 11 ἐναργείας A: ἐνεργείας Dt 12 καὶ (post ὁρατὸν) om. t
22 διϊστὰ (sic) D: διίστανται A 27 τοῦ (ante ἀέρος) om. t 29 αὐταῖς scripsi: αὐτοῖς ADt 29. 30 συνανακιρνάμενα scripsi: συνανακιρνάμενοι A: συνανακιρνάμεναι D: συνανακερναίμενα t

μὴ τὰ ἄλλα αἰσθητὰ ποιοῦσιν εἰς τὰ ἀναίσθητα, τὰ ἁπτὰ γοῦν καὶ γευστὰ n 8r
ποιοῦσιν· θερμαίνονται γὰρ τὰ σώματα καὶ ψύχονται, ξηραίνονταί τε καὶ
ὑγραίνονται ὑπὸ τῶν ἁπτῶν ποιοτήτων πάντα τὰ σώματα, ἀλλ' οὐχ ᾗ
αἰσθητικά ἐστιν, ἀλλ' ᾗ σώματα ἁπλῶς. εἰ γὰρ μὴ πάσχει, φησίν, ὑπὸ
5 τῶν ἁπτῶν καὶ γευστῶν ποιοτήτων, ὑπὸ τίνος ἂν πάθοι; κινδυνεύει οὖν
ἀπαθῆ αὐτὰ εἶναι καὶ ἀναλλοίωτα, ὅπερ ἄτοπον. εἰ γὰρ μήτε ὑπὸ τῶν 30
ἄλλων ποιοτήτων πάσχει μήτε ὑπὸ τῶν ἁπτῶν καὶ γευστῶν, οὐχ ἕξει
ἄλλο τι ὑφ' οὗ πείσεται· πάντῃ ἄρα ἀπαθῆ ἔσται.

p. 424b 14 Ἆρ' οὖν κἀκεῖνα ποιεῖ; ἢ οὐ πᾶν σῶμα παθητικὸν
10 ὑπὸ ὀσμῆς καὶ ψόφου· καὶ τὰ πάσχοντα ἀόριστα.

Εἰπὼν ὅτι ὑπὸ τῶν ἁπτῶν ποιοτήτων πάσχει τὰ σώματα καὶ ὑπὸ
τῶν γευστῶν, ζητεῖ εἰ καὶ ὑπὸ τῶν ἄλλων αἰσθητῶν πάσχει τὰ σώματα, 35
οὐκ αἰσθητικῶς δέ, ὥσπερ οὐδὲ ὑπὸ τῶν ἁπτῶν καὶ γευστῶν, καί φησιν
ὅτι οὐ πάντα παθητικά ἐστιν ὑπὸ ὀσμῆς ἢ ψόφου τὰ σώματα, ἀντὶ τοῦ
15 παθητά. ὥστε οὐ πάντα πάσχει ὑπὸ τούτων, ὥσπερ ὑπὸ τῶν ἁπτῶν·
ὑπὸ γὰρ τούτων πᾶν ἐμπαθὲς σῶμα πάσχει· ἀλλ' ἔστι τὰ ὑπὸ τούτων
πάσχοντα ὑγρά, ὡς ὁ ἀὴρ καὶ τὸ ὕδωρ· τοιαῦτα γὰρ τὰ ὑπὸ χρωμάτων
καὶ ψόφων καὶ ὀσμῶν πάσχοντά τε καὶ κινούμενα. οὐ δοκεῖ δὲ πάσχειν,
φησίν, ὅτι ἀόριστα ὄντα καὶ ὑγρὰ οὐ τηρεῖ τὰ πάθη τοῦ ψόφου ἢ τὰ τῆς 40
20 ὀσμῆς ἢ τὰ τοῦ χρώματος· ἴδιον γὰρ τῶν ἀορίστων τό τε ἐφ' ἑαυτῶν μὴ
μένειν διὰ τὸ μὴ ἔχειν οἰκεῖον σχῆμα καὶ διὰ τὸ εὔτρεπτον. ὑπὸ χρω-
μάτων μὲν οὖν καὶ ψόφων τὰ ὑγρὰ καὶ ἀόριστα πάσχει, ὑπὸ δὲ ὀσμῆς
οὐ μόνον ταῦτα, ἀλλὰ καὶ στερεά τινα εὐώδη γίνεται παθόντα· ἀλλ' ἴδιον
τοῦ ἀέρος τὸ ταχέως διατίθεσθαί τε καὶ τὴν διάθεσιν ἀποβάλλειν. καὶ
25 ἄλλως τὸ ὑποκείμενον τῆς ὀσμῆς, φημὶ δὴ ὁ ἀτμός, ὅταν ἐγκαταμιχθῇ
τοῖς σώμασιν ὥσπερ τὸ ἔγχυμον ὑγρόν, οἷον τὸ μέλι, λεπτομερὴς ὢν καὶ
εὐδιαφόρητος θᾶττον διαλύεται καὶ ἀφίησι τὰ ἐν οἷς ἐγένετο· τούτου δὲ 45
διαφορηθέντος καὶ ἡ ὀσμὴ συναπόλλυται. ὥστε κἂν τὸ δεδεγμένον τὴν
ὀσμὴν μὴ εὐαλλοίωτον ᾖ, οἷον τὸ ἱμάτιον, ἀλλ' οὖν διὰ τὴν τοῦ ἀτμοῦ
30 ἀσθένειαν οὐκ ἐπὶ πολὺ μένει τὸ πάθος. ταύτῃ δ' ἂν διαφέροι τοῦ πάθους
τοῦ ἐν τῇ αἰσθήσει γινομένου· φυλάττει γὰρ ἡ αἴσθησις τὸ γινόμενον πάθος·
οὐ γὰρ ἀπορρεῖ ἡ γνῶσις τοῦ εἴδους. δυνατὸν δὲ καὶ ἐπὶ πάντων τῶν
αἰσθητῶν ἐκτείνειν τὸν λόγον καὶ τὸ ἀόριστον οὕτως ἀκούειν, ὥστε καὶ
τούτῳ διακρίνειν τὸ πάθος τὸ γινόμενον ὑπὸ τῶν αἰσθητῶν εἴς τε τὴν 50
35 αἴσθησιν καὶ εἰς τὰ σώματα. τὸ μὲν γὰρ εἰς τὰ σώματα γινόμενον πάθος

---

4 πάσχη D 7 ποιοτήτων om. t 8 ἄλλό τι (sic) AD: ἀλλ' ὅτι t 9 ποιεῖ D: ποιήσει t Arist. vulg.: ἐμποιεῖ Arist. ETWy: ἐμποιήσει Arist. U 10 ὑπὸ om. D ὀσμῆς D Arist. vulg.: ὀδμῆς t Arist. ETV 15 ὑπὸ τούτων A: ἀλλ' ἔστι τὰ ὑπὸ τούτων Dt 16 ὑπὸ γὰρ τούτου t πάσχει om. t

ἀόριστόν ἐστιν, οὔτε ἀθρόως γινόμενον οὔτε τὸ αὐτὸ μένον· ὅσῳ γὰρ II 8r
πλησιάζει τῷ θερμῷ τὸ σῶμα, τοσούτῳ θερμαίνεται· ἡ δ' αἴσθησις ἅμα τῷ
προσβαλεῖν τῷ αἰσθητῷ ἣν ἔσχε γνῶσιν καὶ τὸ πάθος δὲ ἀεὶ τὸ αὐτὸ
ἴσχει ἀνεπίτατον καὶ ἀνάνετον. ἀφ' οὗ γὰρ ἡ ἁπτικὴ αἴσθησις τὸ θερμὸν
γνῷ, κἂν ἐπὶ πολὺ μένῃ, οὐδὲν πλέον γνώσεται· τὸ μέντοι σῶμα οὐ τὸ
αὐτὸ πάσχει πάθος ὑπὸ τοῦ θερμοῦ, ἀλλὰ | ἄλλοτε ἄλλο κατὰ τὸ μᾶλλον II 8v
καὶ ἧττον ἐπιτεινόμενον ἢ ἀνιέμενον. μήποτε οὖν καὶ τοῦτο δηλοῖ αὐτῷ
τὸ ἀόριστον.

p. 424ᵇ16 Τί οὖν ἐστι τὸ ὀσμᾶσθαι παρὰ τὸ πάσχειν; ἢ τὸ μὲν
ὀσμᾶσθαι αἰσθάνεσθαι, ὁ δ' ἀὴρ ταχέως αἰσθητὸς γίνεται.

Δείξας ὅτι πάσχει ὑπὸ τῶν αἰσθητῶν καὶ τὰ μὴ αἴσθησιν ἔχοντα
(ὑπὸ γὰρ τῶν χρωμάτων τὸ κατ' ἐνέργειαν διαφανὲς καὶ ὑπὸ τῶν ὀσμῶν
καὶ τῶν ψόφων ἀήρ) ζητεῖ εἰκότως, ἐπεὶ καὶ τὰ αἰσθητικὰ ὑπὸ τούτων
πάσχει, τίνι διαφέρει τὰ αἰσθητικὰ τῶν μὴ αἰσθητικῶν, πασχόντων δὲ
ὑπὸ τῶν αἰσθητῶν· δοκεῖ γὰρ ὁμοίως ἀμφότερα ὑπ' αὐτῶν πάσχειν.
ἐπιλυόμενος οὖν ταύτην τὴν ἀπορίαν φησὶν ἢ τὸ μὲν ὀσμᾶσθαι αἰσθά-
νεσθαί ἐστιν, ὁ δὲ ἀὴρ ταχέως αἰσθητὸς γίνεται. οὐ γὰρ ἀρκεῖ
πρὸς τὸ αἰσθάνεσθαι τὸ δύνασθαι τὸ εἶδος χωρὶς τῆς ὕλης δέχεσθαι. ἀλλὰ
καὶ δυνάμεως δεῖ ψυχικῆς, ἥτις οὐκ ἐν πᾶσίν ἐστι τοῖς τὰ εἴδη τῶν
αἰσθητῶν χωρὶς τῆς ὕλης δεχομένοις. οὐ γὰρ εἴ τι ὑπό τινος πάσχει
αἰσθητοῦ, ἤδη καὶ αἰσθάνεται, ἐπεὶ ἦν ἂν καὶ τὸ ὕδωρ καὶ ὁ ἀὴρ καὶ
τὰ κάτοπτρα αἰσθανόμενα, ἀλλὰ δεῖ καὶ δυνάμεως τοιαύτης τῆς κρίνειν
δυναμένης τὰ πάθη τὰ ὑπὸ τῶν αἰσθητῶν γινόμενα, ἥτις οὐκ ἐν παντὶ
σώματί ἐστιν, ἀλλ' ἐν τῷ φυσικῷ ὀργανικῷ, ὡς ἔδειξε, καὶ οὐδὲ τούτῳ παντί,
ἀλλ' ἐν τούτῳ τῷ μέρει αὐτοῦ τῷ διὰ τὴν ποιὰν συμμετρίαν τε καὶ εὐκρασίαν
δέχεσθαι ταύτην τὴν δύναμιν δυναμένῳ. πῶς οὖν οὐ λύεται τὸ τὰ αἰσθητὰ
πρὸς τὰς αἰσθήσεις εἶναι καὶ τὴν αἴσθησιν πρὸς τὰ αἰσθητά, εἴ γε μὴ
μόνον τὰ αἴσθησιν ἔχοντα ὑπὸ τῶν αἰσθητῶν πάσχει, ἀλλὰ καὶ τὰ μὴ
ἔχοντα; ἢ ὅτι ἑκάστῳ τῶν αἰσθητῶν οὐ ταὐτόν ἐστι τὸ εἶναι τῷδε καὶ
αἰσθητῷ εἶναι. οὔτε γὰρ τῷ χρώματι τὸ εἶναι χρώματι ταὐτόν ἐστι καὶ
τὸ ὁρατῷ εἶναι, ἀλλ' ἡ μὲν οὐσία τοῦ χρώματος ἄλλη, εἴ γε πέρας τοῦ
διαφανοῦς ἢ διαφανές, τὸ δὲ ὁρατὸν αὐτῷ συμβέβηκε· καθὸ γὰρ κινη-
τικόν ἐστι τοῦ κατ' ἐνέργειαν διαφανοῦς, κατὰ τοῦτό ἐστιν ὁρατόν. ὁμοίως

---

1 ἀθρόος t 2 πλησιάζη t τῶ σῶμα D 3 δὲ A: om. Dt 4 ἀναίνε-
τον t 5 ἐπὶ πολὺ μένῃ A: ἐπιλυμήνη D: ἐπιμείνῃ t 6 τὸ om. D
9 πάσχειν D Arist. SUX: πάσχειν τι t Arist. vulg. 10 ἀὴρ ταχέως D, cf. v. 17:
post ἀὴρ add. παθὼν t Arist. 16 τὸ μὲν A: τοῦ μὲν Dt 17 ἀὴρ ταχέως]
sic ADt 19 δεῖ om. D 21 αἰσθάνηται t 22 κάτωπτρα t
25 ἀκρασίαν t 26 [illegible]λύεται (del. οὐ) A 30 γὰρ om. t 31 τὸ A: τῷ Dt
32 ἢ διαφανές—διαφανοῦς (33) om. D, sed in mrg. suppl. D² αὐτῷ scripsi: ὅτω AD:
ὅτε t 33 κατά] καὶ D, sed corr. D²

καὶ ἐπὶ τῶν ἄλλων. ὡς μὲν οὖν αἰσθητὰ τὰ αἴσθησιν ἔχοντα διατίθησι n 8v
μόνον, ὡς δὲ ταῦτα, ἅ ποτε ὄντα ἐστὶν αἰσθητά, ἄλλα τινὰ ὄντα (ἄλλο
γὰρ τὸ αἰσθητῷ εἶναι καὶ χρώματι εἶναι) κατὰ τοῦτο οὐδὲν κεκώλυται
καὶ ἄλλων τινῶν αὐτὰ εἶναι ποιητικά. ὑπὸ γὰρ τῆς εὐωδίας ὡς μὲν
5 αἰσθητοῦ οὐδὲν ἄλλο πείσεται παρὰ τὴν ὄσφρησιν, ὡς δὲ ὑπὸ ὀσμῆς ἁπλῶς
καὶ εὐώδους καὶ ὁ ἀὴρ πάσχει ἄψυχος ὤν· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. 25
πάσχει γὰρ ἕκαστον τῶν ἀψύχων ὑπὸ τῶν αἰσθητῶν οὐχ ὡς αἰσθανό-
μενον, ἀλλ' ὡς καὶ αὐτὸ γινόμενον αἰσθητὸν καθ' ὃ ὑπ' αὐτῶν πάσχει
πάθος· κατὰ γὰρ τὴν οὐσίαν αὐτὴν τὸ πάθος ὑπομένει καὶ μεταβάλλεται. 30
10 τὰ μὲν γὰρ ἄψυχα ὑπὸ τῆς οὐσίας τῶν αἰσθητῶν, οὐ καθὸ αἰσθητά εἰσι,
πάσχοντα καὶ αὐτὰ αἰσθητὰ γίνεται συνεξομοιούμενα αὐτοῖς. τὰ δὲ ἔμψυχα 35
ὑπὸ τῆς ἐνεργείας αὐτῶν πάσχοντα κατ' ἐνέργειαν γίνεται αἰσθητικά.

---

3 τὸ A: τῷ Dt κατὰ A: καὶ Dt

p. 424b22 Ὅτι δ' οὐκ ἔστιν αἴσθησις παρὰ τὰς πέντε, λέγω δὲ ταύτας ὄψιν, ἀκοήν, ὄσφρησιν, γεῦσιν, ἁφήν, ἐκ τῶνδε πιστεύσειεν ἄν τις.

Ἐπειδήπερ ἐν τοῖς προλαβοῦσι περὶ φυτικῆς καὶ ἀλόγου τὸν κάματον ἐποιήσατο, νῦν καὶ περὶ τῆς λογικῆς βούλεται εἰπεῖν ἡμῖν ψυχῆς καὶ ζητῆσαι τὴν οὐσίαν αὐτῆς καὶ τὰς δυνάμεις καὶ τὰς διαφορὰς τῶν δυνάμεων αὐτῶν τε πρὸς ἑαυτὰς καὶ τὰς ἐντιμοτέρας δυνάμεις τῆς ἀλόγου. ζητεῖ γὰρ διαφορὰν φαντασίας καὶ δόξης πρὸς διάνοιαν καὶ διανοίας πρὸς νοῦν. ἐπειδὴ γὰρ ἡ δόξα τῆς λογικῆς ψυχῆς οὖσα δύναμις δοκεῖ κοινωνίαν ἔχειν πρὸς τὴν κοινὴν αἴσθησιν καὶ τὴν φαντασίαν, διὰ τοῦτο ζητεῖ τούτων τὴν διαφοράν. ἔμεινεν ἄρα ὁ σκοπὸς τοῦ παρόντος λόγου περὶ τῆς λογικῆς ψυχῆς. οὐ γὰρ ὡς νομίζουσί τινες, σκοπός ἐστι τῷ παρόντι λόγῳ περὶ τῆς ἀλόγου ψυχῆς διαλεχθῆναι. εἰ γὰρ καὶ μέμνηται κοινῆς αἰσθήσεως καὶ φαντασίας, οὐ τοῦτον ἔχων προηγούμενον σκοπόν, ἵνα δὲ τὴν διαφορὰν τῶν δυνάμεων τῆς λογικῆς ψυχῆς πρὸς τὰς δυνάμεις τῆς ἀλόγου παραστήσῃ, τούτου χάριν μέμνηται ἀλόγου ψυχῆς. ὥστε ὅλου τοῦ λόγου ὁ σκοπὸς περὶ τῆς λογικῆς ψυχῆς ἐστι καὶ οὐδαμῶς περὶ ἀλόγου. ἀλλ' ἀποροῦσι πρὸς τοῦτο οἱ φιλεγκλήμονες λέγοντες ὅτι οὐκοῦν ἐχρῆν αὐτὸν περὶ μόνης φαντασίας καὶ κοινῆς αἰσθήσεως διαλεχθῆναι, οὐκέτι δὲ καὶ αἰσθήσεως· νυνὶ δὲ ὁρῶμεν ὅτι ἀρχόμενος τοῦ λόγου εὐθὺς τὸν ἀριθμὸν τῶν αἰσθήσεων λέγει ζητῶν εἴτε πέντε εἰσὶν αἱ αἰσθήσεις εἴτε πλείους. ταῦτα δὲ οὐκ ἦν ἀνάγκη νυνὶ ζητεῖσθαι, εἴ γε τῶν τιμίων μόνον προέθετο μνείαν ποιήσασθαι δυνάμεων τῆς ἀλόγου, ἵνα διαφορὰν αὐτῶν παραδώσει πρὸς τὰς ἐλάττους τῆς λογικῆς. ἀεὶ γὰρ αἱ τίμιαι δυνάμεις τῶν δευτέρων οὐσιῶν κοινωνίαν καὶ ἐμφέρειαν ἔχουσι πρὸς τὰς ἀτίμους δυνάμεις τῶν πρώτων οὐσιῶν, ὥσπερ καὶ νῦν· αἱ γὰρ ἔντιμοι δυνάμεις τῆς ἀλόγου,

1 Περὶ—τρίτον] inscripsi ex t: titulum om. D¹: βιβλίον τρίτον ἀπὸ φωνῆς στεφάνου D²: ἰωάννου τοῦ φιλοπόνου ἐπιγράφουσι τὰ τετυπωμένα al. m. D 2 αἴσθησις παρὰ D: post αἴσθησις add. ἑτέρα t Arist. 5 περ φυσικῆς (sic) t 11 διὸ τοῦτο t 15 τούτων t 21 νῦν t 23. 24 προέθητο t

οἷον κοινὴ αἴσθησις καὶ φαντασία, κοινωνίαν ἔχουσι πρὸς τὴν δόξαν, ἥτις ο 1r
ἀτιμοτέρα ἐστὶ δύναμις πασῶν τῶν λογικῶν. καὶ αὕτη μὲν ἡ ἀπορία·
πρὸς ἣν ἐροῦμεν ὅτι κἂν ἐμνήσθη τῶν πέντε αἰσθήσεων, οὐ μάτην τοῦτο
πεποίηκεν, ἀλλ' ἵνα μή τις οἰηθῇ ἄλλην τινὰ αἴσθησιν τῶν κατὰ μέρος
5 εἶναι τὴν κρίνουσαν τὰ τῶν πέντε αἰσθήσεων αἰσθητά. εἰ γὰρ μὴ νῦν
ἔδειξεν ὅτι πέντε εἰσὶ μόνον αἰσθήσεις καὶ οὔτε πλείονες οὔτε ἐλάττονες,
ἴσως τις ἐνόμιζεν ὅτι οὐ μόνον πέντε εἰσὶν ἀλλὰ καὶ ἕκτη ἄλλη αἴσθησις
μερική, ἥτις κρίνει ἅμα ὁρατὸν καὶ ἀκουστὸν καὶ ὀσφραντόν, καὶ οὐ χρεία
τις κοινῆς αἰσθήσεως. ἵνα οὖν μὴ ὑπολάβῃ τις τοῦτο, διὰ τοῦτο νῦν
10 δείκνυσιν ὅτι πέντε εἰσὶ μόναι αἰσθήσεις, καὶ οὐκ ἔστιν ἄλλη τις μερικὴ
ἡ κρίνουσα, οὐκοῦν χρεία τῆς κοινῆς αἰσθήσεως. ὥστε κἂν ζητῇ τὸν
ἀριθμὸν τῶν αἰσθήσεων, οὐ δι' αὐτὰς τὰς αἰσθήσεις τοῦτο ποιεῖ, ἀλλὰ
διὰ τὴν κοινὴν αἴσθησιν. κοινῆς δὲ αἰσθήσεως καὶ φαντασίας μέμνηται
οὐ δι' αὐτὰς ἀλλὰ διὰ τὴν πρὸς τὰς λογικὰς δυνάμεις διαφοράν. μενέτω
15 οὖν ὁ σκοπὸς περὶ λογικῆς ψυχῆς. ὁ μὲν οὖν σκοπὸς οὗτος· δείκνυσι
δὲ λοιπὸν ἐξ ἀρχῆς αὐτῆς ὅτι πέντε μόνον εἰσὶν αἱ αἰσθήσεις οὕτω
κεχρημένος ὑποθετικῷ συλλογισμῷ. φησὶ γὰρ οὕτως· εἰ ἔλειπεν αἴσθη-
σις, ἔλειπεν ἂν καὶ αἰσθητήριον· ἀλλὰ μὴν οὐ λείπει αἰσθητήριον· οὐκ
ἄρα οὐδὲ αἴσθησις λείπει. καὶ αὕτη μὲν ἡ ἀπόδειξις. ἀλλ' ἐπειδὴ
20 καὶ τὸ συνημμένον ἀμφιβάλλεται (πόθεν γὰρ τῷ ὄντι, εἰ ἔλειπεν
αἴσθησις, ἔλειπεν ἂν καὶ αἰσθητήριον;) καὶ ἡ πρόσληψις δὲ ἀμφι-
βάλλεται ἡ λέγουσα 'ἀλλὰ μὴν αἰσθητήριον οὐ λείπει', οὐκοῦν οὐδὲ αἴσθη-
σις (πόθεν γὰρ δῆλον, εἰ οὐ λείπει αἰσθητήριον;) φέρε οὖν ἀμφότερα
ἀποδείξωμεν, καὶ τὸ συνημμένον καὶ τὴν πρόσληψιν. ἀλλὰ πρότερον τὸ
25 συνημμένον ἀποδείξωμεν τὸ λέγον ὅτι εἰ λείπει αἴσθησις, λείπει καὶ αἰσθη-
τήριον. τοῦτο τοίνυν διὰ τριῶν λόγων ἀποδείκνυμεν, ὧν ὁ πρῶτός ἐστιν
οὗτος· ἡ αἴσθησις καὶ τὸ αἰσθητήριον τῶν πρός τι· ἡ γὰρ αἴσθησις δι'
αἰσθητηρίου αἰσθάνεται, καὶ τὸ αἰσθητήριον αἰσθήσεώς ἐστιν αἰσθητήριον.
ὡς δὲ ἔχει ἓν τῶν πρός τι, οὕτω ἔχει καὶ τὸ λοιπόν. δῆλον ἄρα ὅτι ἐὰν
30 λείπῃ αἴσθησις, λείπει καὶ αἰσθητήριον διὰ τὴν ἀνάγκην τῶν πρός τι.
οὗτος ὁ πρῶτος λόγος. δεύτερος λόγος· ἡ αἴσθησις χρώμενόν ἐστι, τὸ δὲ
αἰσθητήριόν ἐστιν ᾧ χρῆται, εἰ μὴ μάτην μέλλει εἶναι. εἰ οὖν λείπει
αἴσθησις, λείπει καὶ αἰσθητήριον, εἰ μὴ μάτην ἐστίν, ὅπερ ἄτοπον τὸ
λέγειν τὴν φύσιν μάτην ποιεῖν. οὗτός ἐστι καὶ ὁ δεύτερος λόγος. τρίτος
35 λόγος· αἱ αἰσθήσεις οὐδέποτε δύνανται ἀμέσως τοῖς αἰσθητοῖς προσβάλλειν,
ἀλλ' ἀεὶ διὰ μέσων τῶν αἰσθητηρίων προσβάλλουσιν. ὅπου οὖν ἐστιν αἴσθη-
σις, χρεία πάντως καὶ αἰσθητηρίου, δι' οὗ καὶ προσβάλλει | τοῖς αἰσθη- ο 1v
τοῖς ἡ αἴσθησις. εἰ οὖν λείπει αἴσθησις, δῆλον ὅτι καὶ αἰσθητήριον λείπει δι'
οὗ τοῖς αἰσθητοῖς προσβάλλει ἡ αἴσθησις. οὗτοι μὲν οὖν εἰσιν οἱ λόγοι

---

6 ὅτι] ὅ D 11 ζητεῖ t 16 αὐτῆς D: ψυχῆς t 17 κεχρημένως t
24 et 25 τὸ συμμένον t 29 ἄρα ὅτι D: post ἄρα add. ἐστὶν t 29. 30 ἐὰν λείπει t 35 αἱ αἰσθήσεις A: αἴσθησις Dt δύνανται AD: δύναται t
38 καὶ om. t

οἱ τὸ συνημμένον κατασκευάσαντες. φέρε δὲ λοιπὸν καὶ τοὺς τὴν πρόσ- 0 1r
ληψιν κατασκευάζοντας παραθώμεθα. οὗτοι δέ εἰσι δύο λόγοι ἐπαγωγικοί,
ὧν ὁ πρῶτός ἐστιν οὗτος. ἐκ πάντων ὧν ἔδει γενέσθαι αἰσθητήρια γεγό-
νασιν· εἰ δὲ τοῦτο, οὐδὲν ἄρα λείπει αἰσθητήριον. τεσσάρων γὰρ ὄντων 5
5 στοιχείων καὶ ἑνὸς τοῦ πέμπτου σώματος τοῦ οὐρανίου, ἐκ μὲν τοῦ πέμπτου
σώματος αἰσθητήριον οὐ γέγονεν· τὸ γὰρ πέμπτον σῶμα ἀίδιόν ἐστιν, ὥς
τινες λέγουσι, τὰ δὲ αἰσθητήρια φθαρτά ἐστι. πάλιν ἐκ πυρὸς οὐκ ἠδύ-
νατο γενέσθαι αἰσθητήριον· τὸ γὰρ πῦρ φθαρτικόν ἐστιν· ἐκ τοῦ φθεί-
ροντος δὲ πῶς εἶχεν αἰσθητήριον γενέσθαι; πάλιν ἐκ γῆς αὐτῆς καθ'
10 ἑαυτὴν οὐκ ἐδύνατο γενέσθαι αἰσθητήριον· δυστύπωτος γὰρ αὐτὴ καθ'
ἑαυτήν. καὶ οὐκ εὐχερῶς ἐδέχετο τῶν αἰσθητῶν τοὺς τύπους· συμμιγὴς 10
δὲ γινομένη ἡ γῆ μετὰ ἄλλων δύναται ποιῆσαι αἰσθητήρια. καὶ γοῦν τὸ
αἰσθητήριον τῆς τε ἁφῆς καὶ τῆς γεύσεως πλείονος γῆς μετέχει· τῆς γὰρ
ἁφῆς καὶ τῆς γεύσεως αἰσθητήριόν ἐστιν ἡ σὰρξ πλείονος γῆς μετέχουσα.
15 τὸ δὲ πῦρ, ὥς φησιν αὐτός, ἐν ὅλοις ἐστὶ τοῖς αἰσθητηρίοις. ὥστε πῦρ
καὶ γῆν ἐν τοῖς αἰσθητηρίοις ἔστιν εὑρεῖν· οὔτε δὲ πῦρ οὔτε γῆ ποιοῦσι
ποτὲ καθ' ἑαυτὰ αἰσθητήρια διὰ τὰς εἰρημένας αἰτίας. ὑπολείπεται τοίνυν
ἀὴρ καὶ ὕδωρ, ἅτινα δύναται ποιῆσαι αἰσθητήρια. καὶ γοῦν τὸ ὕδωρ
ἐποίησε τὸ κρυσταλλοειδές, ὅπερ ἐστὶ τῆς ὄψεως αἰσθητήριον· ἀλλὰ καὶ 15
20 ὁ ἀὴρ αἰσθητήριόν ἐστιν ἀκοῆς καὶ ὀσφρήσεως· ὁ γὰρ ἐγκατῳκοδομημένος
ἀὴρ ἐν τῇ ῥινὶ καὶ τοῖς ὠσὶν αὐτός ἐστι τὸ αἰσθητήριον ἀκοῆς καὶ ὀσφρή-
σεως. εἰ οὖν ἐκ πάντων ὧν δυνατὸν ἦν γενέσθαι αἰσθητήριον γέγονεν,
οὐδὲν ἄρα λείπει αἰσθητήριον. οὗτος ὁ πρῶτος λόγος ἐπαγωγικὸς κατα-
σκευάζων τὴν πρόσληψιν. ἀπορεῖ δὲ πρὸς τοῦτον τὸν λόγον Ἀριστοτέλης
25 δύο ἀπορίας· πρώτην μὲν ὅτι πῶς φησι μὴ λείπειν αἰσθητήριον· ἰδοὺ γὰρ
λείπουσιν. πέντε γὰρ οὐσῶν αἰσθήσεων τρία μόνον εἰσὶν αἰσθητήρια. 20
ὕδωρ, ἀήρ, γῆ. ὥστε οὐδὲν κατεσκεύασεν ὁ ἐπαγωγικὸς λόγος, ἀλλὰ καὶ
μᾶλλον ηὔξησε τὴν ἀπορίαν. πῶς οὖν λέγει ἡ πρόσληψις 'ἀλλὰ μὴν οὐ
λείπει αἰσθητήριον'; ἰδοὺ γὰρ λείπουσι δύο αἰσθητήρια. καὶ αὕτη μὲν ἡ
30 ἀπορία· πρὸς ἣν ἐροῦμεν ὅτι τῷ μὲν ὀνόματι τρία μόνον ἐστὶν αἰσθητή-
ρια. τῷ δὲ πράγματι πέντε. κἂν γὰρ πρὸς τῇ γῇ ἐστιν τὸ αἰσθητήριον
τῆς ἁφῆς καὶ τῆς γεύσεως, ἀλλ' οὐχ ἡ αὐτὴ γῆ ἐστιν. εἰ γὰρ ἦν ἡ
αὐτὴ γῆ αἰσθητήριον ἁφῆς καὶ γεύσεως, ἐχρῆν ἐν παντὶ μορίῳ ἔνθα ἦν 25
ἁφὴ καὶ γεῦσιν εἶναι, εἴ γε ἡ ἄλογος ψυχὴ ἐν παντί ἐστι τῷ ζῴῳ μετὰ
35 πασῶν αὐτῆς τῶν δυνάμεων. καί φαμεν ὅτι διὰ τὴν ἀνεπιτηδειότητα τοῦ
ὀργάνου οὐκ ἐνεργεῖ κατὰ πάσας αὐτῆς τὰς δυνάμεις ἐν ὅλῳ τῷ ζῴῳ·
ἐχρῆν γάρ, εἰ ἡ αὐτὴ γῆ ἐστιν αἰσθητήριον καὶ πάρεστι καὶ ἡ δύναμις,
ἵνα μὴ ταύτην αἰτιάσῃ. ἀλλὰ μὴν οὐκ ἐν παντί ἐστιν ἡ γεῦσις· πῶς
γοῦν ἡ χεὶρ οὐ γεύεται, καίτοι ἁφὴν ἔχουσα; οὐκ ἄρα ἡ αὐτὴ γῆ ἐστιν.
40 ὁρᾷς ὅτι ὀνόματι μὲν τὸ αὐτό, πράγματι δὲ διάφορος. πάλιν κἂν ἀὴρ 30

---

3 ἔδει] fort. ἐδύνατο; cf. v. 7. 8. 10 8 τὸ γὰρ πῦρ — γενέσθαι αἰσθητήριον (10) At: om. D 23 ἐπαγωγικὼς t 32 οὐχ ἡ] οὐχὶ t αὐτὴ A: αὐτῇ Dt 33 γῆ καὶ αἰσθητήριον t

ἐστιν ἐν ἀκοῇ καὶ ὀσφρήσει, ἀλλ' οὐχ ὁ αὐτός. ἀέρα δὲ λέγω οὐ τὸν 0 1v
ἔξω (πᾶς γὰρ ὁ ἔξω ἀὴρ διακονεῖ καὶ ὀσμὰς καὶ ψόφους) ἀλλὰ ἀέρα λέγω
τὸν ἐγκατῳκοδομημένον ἐν ἀκοῇ καὶ ῥινὶ τὸν ἰδιάζοντα. οὗτος οὖν οὐχ
ὁ αὐτός ἐστιν, ἀλλὰ διάφορος· οὐ γὰρ ὁ ἐν ἀκοῇ ἀὴρ δύναται διακονῆσαι
5 ὀσμὰς οὔτε ὁ ἐν ῥινὶ διακονῆσαι ψόφους. ὥστε κἂν ὀνόματι τρία ἐστίν,
ἀλλ' οὖν πράγματι πέντε ὑπάρχει. αὕτη ἡ λύσις τῆς πρώτης ἀπορίας.
δευτέρα ἀπορία ἐκ τοῦ ἐναντίου τῇ πρώτῃ ἀπορίᾳ προιοῦσα, ἔστι δὲ αὕτη· 35
πλείονα τὰ αἰσθητήρια τῶν αἰσθήσεων, ὅπερ ἐστὶν ἄτοπον. εἰ γὰρ διὰ
τὰς αἰσθήσεις γέγονε τὰ αἰσθητήρια. ὅσαι ἄρα εἰσὶν αἱ αἰσθήσεις, τοσαῦτα
10 ὤφελον εἶναι τὰ αἰσθητήρια καὶ μὴ πλείονα· νυνὶ δὲ ὁρῶμεν ὅτι πλείονά
εἰσι τῶν αἰσθήσεων. καὶ γοῦν μιᾶς αἰσθήσεως δύο εἰσὶν αἰσθητήρια· τῆς
γὰρ ὀσφρήσεως ἐπὶ πεζῶν μὲν καὶ πτηνῶν ὁ ἀὴρ ἐστιν αἰσθητήριον, ἐπὶ
δὲ ἐνύδρων τὸ ὕδωρ ἐστὶ τὸ αἰσθητήριον· φασὶ γοῦν ὅτι οἱ ἰχθύες ὑγρό-
τητά τινα ἔχουσιν ἐν τοῖς μυκτῆρσι τὴν διακονοῦσαν τὰς ὀσμάς· ὥστε μιᾶς
15 αἰσθήσεως δύο εἰσὶν αἰσθητήρια. λύομεν δὲ τὴν ἀπορίαν λέγοντες ὅτι οὐκ 40
ἐπὶ τοῦ αὐτοῦ ζῴου δύο ἐστὶ τὰ αἰσθητήρια, ἀλλ' ἐπὶ ἄλλου μὲν ὕδωρ
ἐστὶ τὸ αἰσθητήριον τῆς ὀσφρήσεως, ἐπὶ ἄλλου δὲ ἀήρ· ὥστε οὔτε πλείονά
ἐστιν οὔτε ἐλάττονα. ὁ μὲν οὖν τὴν πρόσληψιν κατασκευάζων πρῶτος
λόγος ἐπαγωγικός ἐστι καὶ οὐκ ἔχει τὸ ἀναγκαῖον.πρῶτον μὲν γὰρ διττὸν
20 τὸ πῦρ, τὸ μὲν φθαρτικόν, τὸ δὲ ζῳογόνον· ὥστε κἂν ἐκ τοῦ φθαρτικοῦ
οὐκ ἠδύνατο γενέσθαι αἰσθητήριον, ἀλλ' οὖν ἐκ τοῦ ζῳογόνου ἠδύνατο
γενέσθαι. ἄλλως τε ὥσπερ ὁρῶμεν ὅτι ὁ ἀὴρ ἔξωθεν διακονεῖ καὶ ὀσμὰς 45
καὶ χροιὰς καὶ ψόφους, ἀλλ' ὅμως ἐπὶ τῶν ἐχόντων τρεῖς μόνας αἰσθήσεις,
ἁφὴν λέγω καὶ ὄσφρησιν καὶ γεῦσιν, οὐ διακονεῖ χροιάς, ἔστι δὲ ὁμοίως
25 τῶν τοιούτων διακονητής. ἀλλὰ παρὰ τὸ μὴ εἶναι δύναμιν οὐ διακονεῖ.
τί ἄτοπον καὶ ἐπὶ ἡμῶν τῶν ἐχόντων πέντε αἰσθήσεις λέγειν ὅτι ἔστι
μὲν ἄλλα αἰσθητήρια, οὐκ ἀντιλαμβάνονται δὲ παρὰ τὸ μὴ εἶναι αἰσθήσεις
ἐν αὐτοῖς; ὥστε ἐπαγωγικός ἐστι καὶ οὐκ ἀληθὴς ὁ πρότερος λόγος. ἔστι
δὲ ὁ δεύτερος λόγος Ἀριστοτέλους ἐπαγωγικὸς οὗτος· εἰ λείπει αἰσθητήριον, 50
30 λείπει καὶ αἰσθητόν· ἀλλὰ μὴν οὐ λείπει αἰσθητόν. τοῦτο γάρ ἐστι τὸ
συνημμένον, ὃ καὶ δεῖται ἀποδείξεως. τοῦτο. φησίν. ἐκ τῆς ἐπαγωγῆς
δῆλόν ἐστι· καὶ τῶν πόρρω γὰρ ἀντιλαμβανόμεθα, ἅ ἐστι ψόφοι καὶ χρόαι
καὶ ὀσμαί, καὶ μὴν καὶ τῶν πλησίον, ἁπτῶν φημι καὶ χυμῶν. εἰ οὖν καὶ
τῶν πλησίον καὶ τῶν πόρρω ἀντιλαμβανόμεθα, δῆλον ἄρα ὅτι πάντων ἀντι-

---

3 οὗτος Dt: οὕτως A οὖν A: καὶ Dt 8 εἰ A: ἡ Dt 9 αἱ A: om. Dt 10 ὤφειλον t νῦν δὲ t 13 φησὶ t 15 λύομεν] δύο μὲν t 18 ὁ μὲν οὖν — πρῶτος A: ἰστέον δὲ ὅτι οὗτος ὁ Dt 20 ζωόγωνον D 21 αἰσθητήριον] αἴσθησιν t 22 ὥσπερ Dt: om. A 23 ἀλλ' ὅμως At: καὶ ὁμοίως D 24 ἔστι δὲ ὁμοίως D: πλὴν οὐδὲν ἔλαττον At 25 post τοιούτων add. ἐστὶ At ἀλλὰ παρὰ — διακονεῖ D: κἂν μὴ πάρεστιν ἡ δύναμις. ἧς ἐστιν διακονητής At 26 post τί add. οὖν At 28 οὐκ A: οὔτε Dt πρότερος A: om. Dt 32. 33 ἅ ἐστι — χυμῶν At: ὅ ἐστι ἁπτῶν καὶ χυμῶν D 33 πλησίον A¹: πλησίων A²t

λαμβανόμεθα. οὐδὲν οὖν αἰ|σθητὸν λείπει. εἰ δὲ αἰσθητὸν οὐ λείπει, 0 2r
δῆλον ὅτι οὐδὲ αἰσθητήριον· τῇ γὰρ σὺν ἀντιθέσει ἀντιστροφῇ τοῦτο
δείκνυται. οὗτός ἐστι καὶ ὁ δεύτερος λόγος Ἀριστοτέλους μὴ ὢν ἀναγκαῖος.
ἔστω γὰρ τῶν πόρρω ἡμᾶς ἀντιλαμβάνεσθαι· πόθεν δῆλον, εἰ καὶ πάντων
5 τῶν πλησίων ἀντιλαμβανόμεθα; ἔστω γὰρ ὅτι τῶν ἁπτῶν πάντων αἰσθα-
νόμεθα· ἆρα δὲ καὶ πάντων τῶν γευστῶν; πόθεν δῆλον, ἐὰν ᾖ γευστά
τινα λανθάνοντα ἡμᾶς; καὶ γοῦν καμήλου κρέας οὐκ ἔφαγέ τις ἡμῶν. 5
ὥστε λείπουσί τινα αἰσθητά. ἐπειδὴ οὖν ἐπαγωγικώτεροί εἰσιν οἱ λόγοι
Ἀριστοτέλους, ἄμεινον τῷ Θεμιστίου λόγῳ χρήσασθαι, ὃν λέγει ἐν τῷ
10 ὑπομνήματι. φησὶ γὰρ ὅτι οὐκ ἦν δυνατὸν τὴν λογικὴν ψυχὴν ἐπιφοιτῆσαι,
εἰ μὴ πρότερον πάσαις ταῖς τῆς ἀλόγου ψυχῆς δυνάμεσιν ἐκοσμήθη τὸ
ζῷον. εἰ γὰρ ὅπου τὰ κρείττονα, ἐκεῖ καὶ τὰ χείρονα ἐν τοῖς ὑπὸ σελή-
νην, δῆλον ἄρα, εἰ ἔχομεν λογικὰς ψυχάς, καὶ πάσας ἕξομεν τῆς ἀλόγου
τὰς δυνάμεις. εἰ οὖν πέντε μόνον αἰσθήσεις ἔχει ὁ ἄνθρωπος, δῆλον 10
15 ἄρα ὅτι καὶ πέντε εἰσὶ μόναι. ὅσαι γάρ εἰσιν αἱ τοῦ ἀνθρώπου, τοσαῦταί
εἰσι μόναι, καὶ οὔτε πλείονες οὔτε ἐλάττονες, διότι πάσας ἔχει ὁ ἄνθρωπος
ὡς καὶ τὴν τιμιωτέραν τούτων ἔχων· τὴν λογικὴν λέγω ψυχήν. οὐκ ἂν
δὲ αὐτὴν εἶχεν, εἰ μὴ πᾶσαι αἱ καταδεέστεραι παρῆσαν· πάσας ἄρα ἔχει, καὶ
ἐπειδὴ πέντε ἔχει, πέντε καὶ μόνον εἰσί. καὶ οὗτος μὲν ὁ Θεμιστίου λόγος·
20 τροφεῖα δὲ τῷ Ἀριστοτέλει νέμοντες δείξομεν καὶ τοῦτο τὸ ἐπιχείρημα
αὐτοῦ ὄν. εἰ γὰρ ζητεῖ ἐν τῇ λέξει, διὰ τί ἡ ἀσπάλαξ κινουμένη οὐκ 15
ἔχει ὄψιν (ἄτοπον γάρ, ὅπου τὸ κρεῖττον, μὴ εἶναι καὶ τὸ χεῖρον) καὶ
λύει ὅτι ἔχει μέν, ἀλλ' ἀποκρύπτεται ὑπὸ ὑμένος (ἔδει γὰρ τοῦτο, ἐπειδὴ
τρέφεται ὑπὸ τῆς γῆς, καὶ ἔμελλεν τυφλοῦσθαι, εἰ μὴ ἐκέκρυπτο· τῆς οὖν
25 τροφῆς μᾶλλον ἡ φύσις προενενοήσατο), εἰ οὖν δείκνυσιν ἐπὶ ταύτης κινου-
μένης ὅτι πέντε εἰσὶν αἰσθήσεις, οἶδεν ἄρα τὸ ἐπιχείρημα ὅτι ἀνάγκη
πέντε μόνον αὐτὰς εἶναι· ὅπου γὰρ τὸ κρεῖττον, ἐκεῖ καὶ τὸ χεῖρον. ἔστι
δὲ καὶ ἄλλως Πλατωνικῶς τοῦτο συμβολαιώσασθαι. ὥσπερ γάρ, φησί, τὰ
ἁπλᾶ σώματα πέντε εἰσί (τέσσαρα γὰρ στοιχεῖα καὶ τὸ αἰθέριον) καὶ 20
30 ὥσπερ τὰ στερεὰ σώματα πέντε εἰσὶν διὰ τὰ ἁπλᾶ σώματα (ἔστι γὰρ
πυραμίς, κύβος, ὀκτάεδρον, δωδεκάεδρον, εἰκοσάεδρον), ὥσπερ οὖν διὰ τὰ
ἁπλᾶ σώματα πέντε ὄντα πέντε καὶ τὰ σχήματα ἐγένοντο, οὕτω δῆλον
ὅτι καὶ αἰσθήσεις πέντε καὶ οὐ πλείους. ἐν οἷς ἡ θεωρία σὺν θεῷ
πληροῦται.

35 Ὅτι μὲν οὖν οὐκ ἔστιν αἴσθησις ἑτέρα παρὰ τὰς πέντε.
ἐπειδὴ ἐν τῷ πέρατι τοῦ δευτέρου λόγου ἐζήτει, εἰ μία ἐστὶν ἡ ἁφὴ ἢ

---

4. 5 πόθεν — ἀντιλαμβανόμεθα] πόθεν δὲ δῆλον εἰ καὶ πάντων; ὡσαύτως καὶ περὶ τῶν πλησίον A, fort. recte 6 ἆρα scripsi: ἄρα Dt 7 λανθάνοντα scripsi: λανθάνονται Dt 8 post τινα add. καὶ t ἐπαγωγικότεροί t 9 Θεμιστίου] cf. Paraphr. II p. 149,23 Spengel 20 τρόφια D τὸ om. t 24 ὑπὸ scripsi: ἀπὸ Dt 25 προενοήσατο t, fort. recte 27 τὸ (ante χεῖρον) om. t 29 αἰθέριον At: μεταξὺ D 32 post ἐγένοντο add. καὶ οὐ πλείω t 32. 33 οὕτω — αἰσθήσεις πέντε At: om. D καὶ οὐ πλείους om. t 33. 34 ἐν οἷς — πληροῦται D: om. At 35 τὰς] τοὺς t

πολλαί, νῦν δείκνυσιν ὅτι πέντε εἰσὶ καὶ μόνον αἰσθήσεις, ἵνα τούτου δεικνυ- 0 2r
μένου δῆλον ᾖ ὅτι μία ἐστὶν ἡ ἁφή. δικαίως δὲ τοῦτο ποιεῖ, ἐπειδὴ 25
τῶν ζῴων τὰ μὲν δύο ἔχει αἰσθήσεις, τινὰ δὲ τρεῖς, καὶ διὰ τοῦτο ζητεῖ
πόσαι εἰσὶν αἱ αἰσθήσεις· εἰ γὰρ πάντα τὰ ζῷα εἶχον τὰς πέντε αἰσθήσεις,
5 περιττὴ ἦν ἡ περὶ τούτου ζήτησις.

p. 424ᵇ24 Εἰ γὰρ παντὸς οὗ ἐστιν αἴσθησις ἁφή.

Μὴ εἰπὼν τὸ συνημμένον μηδὲ τὴν πρόσληψιν κατασκευάζει τὴν πρόσληψιν, καὶ συναισθόμενος αὐτοῦ ἀσαφείας λέγει ἐν τῷ μέσῳ τὸ συνημμένον, καὶ εἶθ' οὕτως τὸ ὑπόλοιπον τῆς προσλήψεως κατασκευάζει. ὀφείλων
10 γὰρ εἰπεῖν 'εἰ λείπει αἴσθησις, λείπει καὶ αἰσθητήριον· ἀλλὰ μὴν αἰσθη- 35
τήριον οὐ λείπει· οὐκ ἄρα οὐδὲ αἴσθησις', εἶτα ὀφείλων κατασκευάσαι ὅτι
οὐ λείπει αἰσθητήριον, τὴν πρόσληψιν, καὶ τοῦτο δεῖξαι ἐκ τοῦ πᾶσαν αἴσθησιν ἢ ἀμέσως ἢ διὰ μέσου ἀντιλαμβάνεσθαι (ἔχομεν δὲ ἄμφω καὶ τὸ ἀμέσως καὶ τὸ διὰ μέσου), πάντα τὰ ἄλλα ἐάσας ἐκ τούτου ἄρχεται
15 καὶ δείκνυσιν ὅτι ἔχομεν ἀμέσως αἴσθησιν. εἰ γάρ, φησίν, ἐν πᾶσιν οἷς ἐστιν αἴσθησις ἡ ἁφή, ἀμέσως ἐνεργοῦμεν (τὰ γὰρ ἁπτὰ πάθη ἐστὶ τῆς ἁφῆς, καὶ ἄμεσά ἐστιν αἰσθητά) ἔχομεν δὲ ἁφήν, ἀμέσως ἄρα ἔχομεν αἴσθησιν. καὶ τοῦτο σκολιῶς ἔφρασεν, ὅτι ὀφείλων κατασκευάσαι ὡς καὶ 40
ἀμέσως ἔχομεν αἴσθησιν, τοῦτο ἐάσας φησὶν 'ἀνάγκη, ἔνθα λείπει αἴσθησις.
20 καὶ αἰσθητήριον'· ἐπιγνοὺς γὰρ τὴν ἀσάφειαν τέθεικεν ἐν μέσῳ τὸ συνημμένον· εἶτα στρέφεται καὶ κατασκευάζει τὴν πρόσληψιν λέγων, ⟨ὡς⟩ εἴρηται, ὅτι τῶν ἁπτῶν ἀμέσως ἀντιλαμβανόμεθα, ἔστι δὲ καὶ ἄλλα ὧν διὰ τοῦ μεταξὺ ἀντιλαμβανόμεθα. ὅσα δὲ διὰ τῶν μεταξὺ καὶ μὴ αὐτῶν ἁπτόμενοι, τοῖς ἁπλοῖς. τὴν πρόσληψιν κατασκευάζει ὅτι ἔστιν
25 ἐν ἡμῖν τινα καὶ διὰ μέσου ἀντιλαμβανόμενα, οἷον ὄψις, ἀκοή, ὄσφρησις· ταῦτα δὲ διὰ τῶν ἁπλῶν ἀντιλαμβάνεται μεταξὺ ὄντων. ἁπλᾶ δὲ λέγει 45
ὕδωρ καὶ ἀέρα, διότι στοιχεῖά ἐστι· διὰ τούτων δὲ ἀντιλαμβάνονται αἱ τρεῖς αἰσθήσεις.

p. 424ᵇ31 Ἔχει δ' οὕτως, ὥστε εἰ μὲν δι' ἑνὸς πλείω αἰσθητὰ
30 ἕτερα ἀλλήλων ὄντα τῷ γένει.

Σιγηθεῖσαν ἀπορίαν ἐπιλύεται. ὃ γὰρ οὐκ ἠπόρησε, τοῦτο ἐπιλύεται. 50
καὶ χάρις πλείστη τοῖς οὕτω μαντευσαμένοις τοῦ παλαιοῦ τὴν διάνοιαν. ὀφείλων γὰρ ἀπορῆσαι ὅτι εἰ δύο ἐστὶν αἰσθητήρια, ἀὴρ καὶ ὕδωρ, τρία δὲ αἰσθητά, χρῶμα ψόφος ὀσμή. καὶ εἶθ' οὕτως ἐπιλύσασθαι, ὡς ἤδη

---

2 ante τοῦτο add. καὶ t 4 post αἱ αἰσθήσεις add. ἕ D 8. 9 συμμένον t
10 αἴσθησις] αἰσθήσεις D 16 ἀμέσως] μέσως D ἐνεργοῦμεν scripsi: ἐνεργοῦσιν Dt 21 στρέφεται scripsi: τρέφεται Dt ὡς addidi 23 τῶν] τῷ t
25 ὄψιν D 29 post πλείω add. (cum. Ald.) καὶ t 34 ὀσμή] ὡς μή t
ἤδη] εἴδη t

ἀπορήσας φησίν. ἔχει δὲ οὕτως ἡ λύσις ὅτι δι' ἑνὸς αἰσθητηρίου πλειόνων 0 2r
αἰσθητῶν ἀντιλαμβάνεται. ἅπερ αἰσθητὰ τῷ γένει διαφέρειν εἶπεν· ψόφος
γὰρ καὶ ὀσμὴ ἑτερογενῆ. ἀνάγκη γάρ, φησί, τὸν ἀέρα ὄντα ἐν ἀκοῇ καὶ
ὀσφρή|σει τῶν δύο ἀντιλαμβάνεσθαι καὶ ψόφου καὶ ὀσμῆς. καὶ ὀφείλων 0 2v
εἰπεῖν ὀσμὴν χρόαν εἶπεν ἀντὶ ὀσμῆς, ἵνα μὴ φύγῃ τὴν ἀσφάλειαν. καὶ
οὕτω μέν τινες ἐξηγήσαντο. ἕτεροι δέ φασιν ὅτι μᾶλλον πρὸς τὸν Ἐμπε-
δοκλέα ἐνίσταται, ὡς λέγοντος ἐκείνου ὅτι εἰ μὴ δύναται, Ἀριστότελες,
κατά σε μήτε ἐκ πυρὸς μήτε ἀπὸ γῆς καθ' αὑτὰ γενέσθαι αἰσθητήρια,
δὸς αἰσθητήρια, ἵνα ἀντιλαμβάνωνται αὐτῶν καὶ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου 5
γνωσθῇ. φησὶν οὖν πρὸς αὐτὸν Ἀριστοτέλης ὅτι εἰ δι' ἑνὸς μεταξὺ ὄντος
αἰσθητικοῦ καὶ αἰσθητηρίου πλείονα αἰσθητὰ γινώσκεται, ὥσπερ ὑπὸ ἀέρος
τυχὸν καὶ χρῶμα γινώσκεται καὶ ψόφος, διότι διαφανής ἐστι καὶ διηχής,
τί ἄτοπον καὶ ὑπὸ μιᾶς αἰσθήσεως πολλὰ γινώσκεσθαι;

p. 424ᵇ34 Εἰ δὲ πλείω τοῦ αὐτοῦ, οἷον χρόας καὶ ἀὴρ καὶ ὕδωρ·
ἄμφω γὰρ διαφανῆ.

Τὸ ἕτερον ἄπορον ἀπορεῖ. φησὶ γὰρ ὅτι λείπει αἰσθητήριον· πλείω 10
γάρ ἐστι τὰ μετέχοντα τοῦ ἑνός. τοῦ γὰρ διαφανοῦς, ὃ εἶπεν χρόας, καὶ
ἀὴρ καὶ ὕδωρ μετέχει· λείπει ἄρα αἰσθητήριον, διότι δύο μέν ἐστι τὰ
διακονοῦντα, μία δὲ ἡ ὄψις. καὶ λύει τοῦτο, ὅτι δι' ἑνὸς αἰσθητηρίου
τῶν δύο ἀντιλαμβάνεται. ὁ γὰρ ἔχων τὸ ἕτερον [τοῦ ἀέρος], φησί, τουτέστι
τὸ ὑγρόν, ἵνα εἴπῃ τὴν κόρην, ἄμφω τὰ διαφανῆ οἶδεν.

p. 425ᵃ3 Τῶν δὲ ἁπλῶν ἐκ δύο τούτων αἰσθητήρια μόνον ἐστίν,
ἐξ ἀέρος καὶ ὕδατος.

Τὴν πρόσληψιν κατασκευάζει ὅτι ἀνάγκη τρία εἶναι τὰ διὰ μέσου 16
αἰσθητήρια, ἐπειδὴ ἐξ ἀέρος καὶ ὕδατος μόνον δύναται εἶναι, ταῦτα δὲ
ὄψις καὶ ἀκοὴ καὶ ὄσφρησις ἔχουσιν. ἡ δὲ ὄσφρησις θατέρου. τινές
φασιν ὅτι τοῦτο λέγει, ὅτι ἡ ὄσφρησις θατέρου μετέχει, τουτέστιν ἑκατέρου
καὶ ἀέρος καὶ ὕδατος, ἐπὶ ἡμῶν μὲν ἀέρος, ἐπὶ δὲ τῶν ἐνύδρων ὕδατος·
τινὲς δὲ θατέρου λαμβάνουσι τὸ ἕτερον, τουτέστι τοῦ ἑτέρου μετέχει, 20
οἷον ἀέρος.

p. 425ᵃ5 Τὸ δὲ πῦρ ἢ οὐθενὸς ἢ κοινὸν πάντων.

Καλῶς εἶπεν κοινὸν πάντων. πᾶσα γὰρ αἴσθησις τρέφεται· εἰ δὲ
τρέφεται, καὶ πέττει· πᾶσα δὲ πέψις διὰ θερμοῦ· δεῖται ἄρα πυρὸς ὡς

---

2 ἀντιλαμβάνηται t 6 φησιν t 7 ἀριστοτέλης t 8 post γενέσθαι add. τά t 9 ἀντιλαμβάνονται t 10 ἀριστοτέλην t 13 ὑπὸ om. t 14 χρόα t 20 ἔχον t τοῦ ἀέρος delevi 21 κόρην] χώρην t 24 διὰ μέσου scripsi: ἀμέσως Dt

θερμοῦ πᾶσα αἴσθησις. γῆ δὲ ἢ οὐδενὸς ἢ ἐν τῇ ἁφῇ. εἰ καὶ τὸ γήινον τῇ ἁφῇ ἀποκεχώρισται, ἀλλ' οὖν νῦν οὐ καλῶς τὴν ἁφὴν ἤνεγκεν εἰς μέσον· περὶ γὰρ τῶν διὰ μέσου αἰσθήσεών ἐστιν ὁ λόγος. o 2v

p. 425a8 Ταῦτα δὲ καὶ νῦν ἔχουσιν ἔνια ζῷα.

Ἔχουσι, φησί, τινὰ τῶν ζῴων τὰς πέντε αἰσθήσεις, ὅσα τέλειά ἐστι καὶ μὴ πηρώματα. καὶ ἵνα μή τις αὐτῷ εἴπῃ ὅτι ἰδοὺ ἡ ἀσπάλαξ τέλειόν ἐστι ζῷον, ὄψιν δὲ οὐκ ἔχει, φησὶν ὅτι ἔχει μὲν ὀφθαλμούς, ἀλλὰ δι' ὑμένος αὐτοὺς ἐσκέπασεν ἡ φύσις, ἵνα μὴ ἐν τῷ ὀρύττειν τὴν γῆν ῥᾳδίως ἐκτυφλωθῇ. καὶ ἁπλῶς ὅσα ἔχει τὴν κατὰ τόπον κίνησιν τὰς πέντε ἔχει αἰσθήσεις. κρείττων γὰρ ἡ κίνησις τῆς αἰσθήσεως, καὶ ὅπου τὰ κρείττω, ἐκεῖ καὶ τὰ χείρω. εἰ δὲ καί τινα τὴν κατὰ τόπον ἔχει κίνησιν, οὐ μὴν τὰς πέντε αἰσθήσεις, ὡς πελωρίδες καὶ σκώληκες, ἀλλ' οὖν ἄλλῳ τρόπῳ ἡ φύσις τὸ λεῖπον αὐτοῖς ἐνεπλήρωσεν. ἰδοὺ οὖν καὶ τοῦτο σαφῶς αὐτοῦ ἐστι τὸ ἐπιχείρημα, ὅτι ὅπου τὸ κρεῖττον, ἐκεῖ καὶ τὸ χεῖρον, καὶ οὐκ ἴδιον τῶν ὑπομνησάντων.

p. 425a11 Ὥστε εἰ μή τι ἕτερόν ἐστι σῶμα καὶ πάθος ὃ μηδενός ἐστι τῶν ἐνταῦθα σωμάτων, οὐδεμία ἂν ἐκλείποι αἴσθησις.

Σῶμα καὶ πάθος λέγει, τουτέστι σωματικὸν πάθος. τί δὲ βούλεται; συμπεραῖναι τὰ πρώην· εἰ γάρ, φησίν, οὐκ ἔστιν ἔξω τῶν στοιχείων σωματικὸν πάθος (τοῦτο δὲ εἶπεν διὰ τὴν πέμπτην οὐσίαν) τὸ ποιοῦν αἰσθητήριον, (παθητικὸν γὰρ πάντως θέλει εἶναι, ἐκείνη δὲ ἀπαθής), οὐκ ἄρα λείπει αἰσθητήριον. ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

p. 425a13 Ἀλλὰ μὴν οὐδὲ τῶν κοινῶν οἷόν τε εἶναι αἰσθητήριον ἴδιον, ὧν ἑκάστῃ αἰσθήσει αἰσθανόμεθα κατὰ συμβεβηκός, οἷον κινήσεως, στάσεως, σχήματος, μεγέθους, ἀριθμοῦ.

Δείξας ὅτι οὐκ ἔστιν ἄλλη ἕκτη αἴσθησις παρὰ τὰς πέντε ἐν τῇ προλαβούσῃ πράξει, καὶ νῦν πάλιν τὸ αὐτὸ δείκνυσιν. ἐπειδὴ γὰρ εἴρηται ἐν τῷ δευτέρῳ λόγῳ τῆσδε τῆς πραγματείας ὅτι ἔστι κοινὰ αἰσθητά, οἷον μέγεθος καὶ σχῆμα, ἀριθμός, κίνησις, ἠρεμία (καὶ ἔστι μέγεθος μὲν καὶ σχῆμα κοινὰ ὄψεως καὶ ἁφῆς, τὰ δὲ λοιπὰ τρία, λέγω δὴ κίνησιν, ἀριθμόν, ἠρεμίαν τῶν πέντε αἰσθήσεών εἰσι κοινά), ἴσως οὖν τις οἰηθείη ὅτι ταῦτα τὰ κοινὰ αἰσθητὰ ἄλλη τίς ἐστιν ἕκτη αἴσθησις παρὰ ταύτας τὰς πέντε κρίνουσα. νῦν οὖν δείκνυσι διὰ τῆς παρούσης θεωρίας ὅτι οὐκ ἔστιν ἄλλη τις ἕκτη αἴσθησις μερική, ἥτις κρίνει τὰ κοινὰ αἰσθητά. τοῦτο δὲ δεί-

---

1 ἢ prius om. t 10 κρείττων A: κρεῖττον Dt 22 ἐν οἷς — πληροῦται om. t: deinceps add. πρᾶξις σὺν θεῷ πρώτη in mg. D¹ (praeter y) 24 ἴδιον D: τι ἴδιον t Arist. 30 λέγω δὲ t

κνυσι τοῦτον τὸν τρόπον. εἰ τὰ κοινὰ αἰσθητὰ ἴδιά ἐστι ταύτης τῆς ἰδικῆς 0 2r
αἰσθήσεως, οὐκοῦν τῶν πέντε τούτων κατὰ συμβεβηκός ἐστιν αἰσθητά. εἰ 50
γὰρ πρᾶγμα δύο τισὶν ὑπάρχει καὶ τοῦ ἑνὸς ἴδιόν ἐστι, δῆλον ὅτι τῷ
ἄλλῳ κατὰ συμβεβηκὸς ὑπάρχει· εἰ γὰρ καὶ τοῦ ἄλλου ἴδιον, οὐκέτι ἐστὶν
5 ἴδιον ἐκείνου· ἰδοὺ γὰρ καὶ τῷ ἄλλῳ ὑπάρχει. ὥστε εἰ τὰ κοινὰ αἰσθητὰ
ἰδιά ἐστι τῆς ἕκτης αἰσθήσεως, οὐκοῦν ταῖς πέντε ταύταις κατὰ συμβε-
βηκός ἐστιν αἰσθητά. ἀλλὰ μὴν οὔκ εἰσι ταῖς πέντε ταύταις κατὰ συμβε-
βηκὸς αἰσθητά. ὡς δείξω· οὐκ ἄρα ἐστὶν ἕκτη αἴσθησις, ἧς ἴδιά ἐστιν
αἰσθητὰ ταῦτα τὰ λεγόμενα κοινὰ αἰσθητά. ὅτι δὲ οὐκ ἔστι κατὰ συμβε-
10 βηκὸς αἰσθητὰ | ταῖς πέντε αἰσθήσεσι τὰ κοινὰ αἰσθητά, πάλιν τοῦτο 0 3r
ὑποθετικῶς κατασκευάζει λέγων οὕτως· τὰ κατὰ συμβεβηκὸς αἰσθητὰ οὐ
ποιοῦσιν πάθος εἰς τὴν αἴσθησιν, ὡς δείξω· ταῦτα δὲ ποιοῦσι περὶ τὴν
αἴσθησιν πάθος· οὐκ ἄρα κατὰ συμβεβηκός εἰσιν αἰσθητά. καὶ πόθεν
δῆλον ὅτι οὐ ποιοῦσιν πάθος περὶ τὴν αἴσθησιν τὰ κατὰ συμβεβηκὸς
15 αἰσθητά; δείκνυσι καὶ τοῦτο οὕτως· φησὶ γὰρ ὅτι τὰ κατὰ συμβεβηκὸς
αἰσθητὰ διττά ἐστιν, ἢ τὸ ἄλλῃ αἰσθήσει ὑποπῖπτον, ὥσπερ ἡ ὄψις κρίνει 5
τὸ γλυκὺ ἀπὸ τῆς χροιᾶς (καὶ γοῦν ἐὰν ἴδωμεν ὑγρόν τι ξανθόν, λέγομεν
ὅτι τοῦτο μέλι ἐστίν, καὶ λέγεται τοῦτο κατὰ συμβεβηκὸς αἰσθητόν, ὅταν
ἀπὸ τῆς χροιᾶς ἡ ὄψις ἐπιγνῷ τὸ γλυκύ), ἢ οὖν τοῦτό ἐστι κατὰ συμβε-
20 βηκὸς αἰσθητόν, ἢ ὅπερ οὐδεμιᾷ αἰσθήσει ὑποπίπτει, ὡς ἡ οὐσία· ἡ γὰρ
οὐσία οὐδεμιᾷ αἰσθήσει ὑποπίπτει. ἀλλὰ γινώσκεται ἐκ τῶν αὐτῇ συμβε-
βηκότων. τὸν γὰρ Κλέωνος υἱὸν γινώσκομεν οὐχ ὡς Κλέωνος υἱόν, τουτ-
έστιν οὐχ ὡς οὐσίαν, ἀλλ' ἐκ τῶν ἐν αὐτῷ συμβεβηκότων, οἷον ὅτι λευκός 10
ἐστιν, ὅτι προγάστωρ φέρε εἰπεῖν καὶ εἴ τι τοιοῦτο. διττοῦ οὖν ὄντος τοῦ
25 κατὰ συμβεβηκὸς αἰσθητοῦ, οὐδέτερον τῶν σημαινομένων τούτων πάθος
ποιεῖ. τὸ γὰρ ἄλλης αἰσθήσεως αἰσθητὸν οὐ ποιεῖ πάθος ἐν ἄλλῃ αἰσθήσει,
κἂν γινώσκηται ἐξ αὐτῆς· καὶ γοῦν τὸ γλυκὺ οὐ ποιεῖ πάθος περὶ τὴν
ὄψιν, κἂν γινώσκηται ὑπὸ τῆς ὄψεως διὰ μέσου τοῦ ξανθοῦ χρώματος·
οὔτε δὲ πάλιν τὸ μηδεμιᾶς αἰσθήσεως αἰσθητὸν ποιεῖ πάθος περὶ τὴν
30 ὄψιν, κἂν γινώσκηται ὑπ' αὐτῆς. ὥστε δέδεικται ὅτι τὰ κατὰ συμβεβηκὸς 15
αἰσθητὰ οὐ ποιοῦσι πάθος περὶ τὴν αἴσθησιν ἐκείνην, ἧς ἐστι κατὰ συμ-
βεβηκὸς αἰσθητά. ἔστιν οὖν ὅλου τοῦ λόγου ἡ σύντομος ἐπαγωγὴ αὕτη·
τὰ κοινὰ αἰσθητὰ οὐκ ἔστιν ἴδια αἰσθητὰ ἄλλης τινὸς αἰσθήσεως ἕκτης
παρὰ ταύτας τὰς πέντε· εἰ γὰρ ἄλλης τινὸς ἕκτης ἰδιά εἰσιν αἰσθητά,
35 οὐκοῦν τῶν πέντε τούτων κατὰ συμβεβηκός εἰσιν αἰσθητά. ὥσπερ γὰρ τὰ
χρώματα, ἴδια ὄντα αἰσθητὰ τῆς ὄψεως, τῆς γεύσεως κατὰ συμβεβηκός
εἰσιν, οὕτω καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος καὶ τὰ λοιπὰ ⟨εἴ⟩ εἰσιν ἴδια
ἄλλης αἰσθήσεως ἕκτης, οὐκοῦν τῶν πέντε τούτων κατὰ συμβεβηκός εἰσιν 20
αἰσθητά. ἀλλὰ μὴν οὔκ εἰσι κατὰ συμβεβηκὸς τῶν πέντε τούτων· τὰ

---

3 πρᾶγμα δύο τισὶν A: δύο πράγματά τισιν Dt 3. 4 τῷ ἄλλῳ D: τῷ ἄλλων t: τὸ ἄλλο A 7 ἐστιν t: εἰσιν D: εἰσὶν ////// A 11 ὑποθετικῶς scripsi: ὑποθετικὸς D: ὑποθετικῷ t 15 τοῦτο om. t 17 ἴδομεν D 19 εἰ οὖν t 20 ὅσπερ D 34 ἴδιά ἐστιν t 37 εἴ addidi

μὲν γὰρ κατὰ συμβεβηκὸς αἰσθητὰ οὐ ποιοῦσιν πάθος περὶ τὴν αἴσθησιν, 0 3
τὰ δὲ κοινὰ αἰσθητὰ ποιοῦσι πάθος περὶ τὰς αἰσθήσεις. ἔδειξε τοῦτο ἐκ
τοῦ εἰπεῖν ὅτι ⟨τὰ⟩ κατὰ συμβεβηκὸς αἰσθητὰ διττά ἐστιν· ἢ γὰρ τὸ ὑπὸ
ἄλλης τινὸς αἰσθήσεως γινωσκόμενον καθ' αὑτὸ ἄλλης δὲ κατὰ συμβεβηκός.
5 ἢ ὃ μηδεμιᾷ αἰσθήσει καθ' αὑτὸ ὑποπίπτει, ὡς ἡ οὐσία. οὐδέτερον δὲ
τούτων πάθος ποιεῖ περὶ τὴν αἴσθησιν· τὰ δὲ κοινὰ αἰσθητὰ πάθος ποιοῦσιν, 25
ὡς δέδεικται ἐν τῷ δευτέρῳ λόγῳ τῇσδε τῆς πραγματείας· κίνησις γὰρ
συνεχὴς καὶ μικρὰ γράμματα ἀμβλυώττειν ποιεῖ τὴν ὄψιν. δῆλον οὖν ὅτι
τὰ κοινὰ αἰσθητὰ οὐκ ἔστι κατὰ συμβεβηκὸς αἰσθητά. καὶ αὕτη ἐστὶν
10 ὅλου τοῦ λόγου ἡ διασκευὴ συγκειμένη ἔκ τε δύο ὑποθετικῶν συλλογισμῶν
καὶ ἑνὸς κατηγορικοῦ. ἐν οἷς τὸ πρῶτον πληροῦται κεφάλαιον.

Δεύτερον κεφάλαιόν ἐστιν, ἐν ᾧ ἀπορίαν τοιαύτην ἀπορεῖ ὅτι τί δήποτε
οὐκ ἰδιοπραγοῦσιν αἱ αἰσθήσεις, καὶ ἑκάστη τὰ ἑαυτῆς οἶδεν. ἀλλὰ ποτὲ καὶ 30
ἡ ἄλλη τὰ ἄλλης ἐπίσταται; καὶ γοῦν ἐάν ποτε συνεργήσωσιν ὄψις καὶ γεῦσις
15 περί τι πρᾶγμα, οἷον περὶ μέλι. καὶ ἅμα γευσώμεθα καὶ θεασώμεθα μέλι.
τῇ αὔριον μέλιτος ὑποπεσόντος ἡ ὄψις οὐ μόνον τὸ οἰκεῖον εἰδέναι βού-
λεται, οἷον ὅτι ξανθόν, ἀλλὰ προπηδᾷ καὶ τῆς γεύσεως καὶ οἶδεν ὅτι καὶ
γλυκύ ἐστιν. καὶ αὕτη μέν ἐστιν ἡ ἀπορία. λέγομεν δὲ λύσιν αὐτῆς
τοιαύτην ὅτι συμβαίνει ποτὲ συνεργῆσαι δύο αἰσθήσεις, οἷον περὶ μέλι
20 ἅμα ὄψιν καὶ γεῦσιν, τὴν μὲν γευσαμένην ὅτι γλυκύ, τὴν δὲ ἰδοῦσαν ὅτι 35
ξανθόν, εἶτα ταύτας τὰς δύο αἰσθήσεις ἀποπερατωθῆναι εἰς τὴν κοινὴν
αἴσθησιν κἀκεῖ καταλεῖψαι τοὺς τύπους, εἶτα τῇ αὔριον μέλιτος φανέντος
καὶ τοῦ χρώματος ξανθοῦ ἡ φαντασία ἀνακινεῖ τοὺς ἐν αὐτῇ τύπους οὓς
τῇ προτεραίᾳ ἐδέξατο γλυκέος ἅμα καὶ ξανθοῦ. καὶ ἀποφαίνεται ὅτι γλυκύ
25 ἐστιν τὸ τοιοῦτον. αὕτη οὖν ἐστιν ἡ λύσις τῆς τοιαύτης ἀπορίας, τὸ τὴν
κοινὴν αἴσθησιν δεξαμένην ἄμφω τοὺς τύπους, τὸν μὲν ἐκ τῆς γεύσεως,
τὸν δὲ ἐκ τῆς ὄψεως. εἶτα τῇ ὑστεραίᾳ τοῦ ἐκ τῆς ὄψεως τύπου ἀνακινη- 40
θέντος τῷ θεαθῆναι ἡμῖν μέλι, λοιπὸν ἀνακινεῖσθαι καὶ τὸν ἐκ τῆς γεύσεως
τύπον, καὶ ὡς ἔστιν εἰπεῖν ἀναχλίζεσθαι θάτερον ὑπὸ θατέρου τύπον, καὶ
30 ταύτῃ γινώσκειν ὅτι γλυκύ ἐστι, κἂν μὴ γευσώμεθα. ἀμέλει τοι ἐντεῦθεν
καὶ ἀπάτη γίνεται, καὶ τῆς Κολοφωνίας ὁ μὴ γευσάμενος, ἀλλὰ μόνον αὐτὴν
θεασάμενος εἴποι μέλι εἶναι διὰ τὸ προσεοικέναι τῷ χρώματι. οὕτως ἐπι-
λυσάμενος τὴν ἀπορίαν λοιπὸν ἀπορεῖ ἑτέραν δριμυτέραν ἀπορίαν, ὅτι ὅσον
ἐπὶ τούτῳ καθ' αὑτὸ γινώσκει ἡ κοινὴ αἴσθησις τὸ γλυκὺ καὶ οὐ κατὰ 45
35 συμβεβηκός· εἰ γὰρ ἀμφοτέρων ἔχει τοὺς τύπους, καὶ τῆς ὄψεως ὅτι ξανθόν,
καὶ τῆς γεύσεως ὅτι γλυκύ, δῆλον ἄρα ὅτι τῇ ὑστεραίᾳ, κἂν μὴ ἐγευσά-
μεθα ἀλλ' ἐθεασάμεθα μόνον τὸ μέλι, καθ' αὑτὸ λέγομεν ὅτι γλυκύ ἐστιν.

---

3 τὰ addidi 5 ἢ scripsi: ἡ D: ᾗ t 12 ἐν ὃ ἀπορίαν (sic) D
ὅτι τί A: ὅτι D: τὶ t 15 γευσώματα t 20 γευσαμένη, ut vid., D 21 ταύτας]
ταύτην D 24 ἀποφαίνηται t 26 δεξάμενον D τὴν μὲν et 27 τὴν δὲ D
27. 28 ἀκινηθέντος t 29 ἀναχλίζεσθαι scripsi: ἂν χλίζεσθαι Dt 30 τοι D: τοίνυν
At 31 καὶ τῆς] τῆς γὰρ t 32 μέλι εἶναι] μέλιτος D 33 ὅσον t
37 μόνην D

ἡ γὰρ κοινὴ αἴσθησις ἔχει τοὺς τῆς γεύσεως τόπους, καὶ πάλιν ἐκείνους 0 3ʳ
ἀνακινοῦσα λέγει ὅτι γλυκύ ἐστιν. εἰ οὖν κατὰ τοὺς τόπους τοῦ γλυκέος
κινουμένη λέγει ὅτι γλυκύ ἐστι, καθ' αὑτὸ ἄρα ἡ κοινὴ αἴσθησις καὶ οὐ
κατὰ συμβεβηκὸς τοῦτο δρᾷ. καὶ αὕτη μὲν ἡ ἀπορία. λέγομεν δὲ ὅτι 50
5 κἂν ἔχῃ τοὺς τόπους τῶν γλυκέων, ἀλλ' οὖν ὅμως οὐκ ἀφ' ἑαυτῶν ἐκι-
νήθησαν· οὔτε γὰρ ὑπέκειτο γευσάμενος τοῦ μέλιτος, ἀλλὰ θεασάμενος
αὐτὸ μόνον. ὥστε κατὰ συμβεβηκὸς ἀποφαίνεται ὅτι γλυκύ ἐστι. καθ' αὑτὸ
γὰρ ἐκινήθησαν οἱ τόποι τῆς ὄψεως· εἶδεν γὰρ ὅτι ξανθόν· κατὰ συμβε-
βηκὸς δὲ ἐκινήθη καὶ ὁ τόπος τῆς γεύσεως τῷ κινηθῆναι τὸν τῆς ὄψεως
10 τόπον. ταῦτα καὶ πρὸς τὴν δευτέραν ἀπορίαν, ἐν οἷς καὶ τὸ δεύτερον πλη-|
ροῦται κεφάλαιον. 0 3ᵛ

Τρίτον κεφάλαιόν ἐστιν ἐν ᾧ ἀπορεῖ, διὰ τί ἑνὸς καὶ τοῦ αὐτοῦ πράγ-
ματος δύο αἰσθήσεις ἀντιλαμβάνονται ἢ καὶ πλείους, οἷον τοῦ σχήματος
ὄψις καὶ ἁφὴ ἀντιλαμβάνεται καὶ τοῦ μεγέθους, τοῦ ἀριθμοῦ πάλιν αἱ
15 πέντε αἰσθήσεις· διὰ τί οὖν τοῦτο, καὶ μὴ ἑκάστη αἴσθησις ἰδίου ἀντιλαμ-
βάνεται; αὕτη ἡ ἀπορία, πρὸς ἣν Ἀριστοτέλης φησὶν ὅτι διὰ τοῦτο πλείους
αἰσθήσεις τῶν αὐτῶν ἀντιλαμβάνονται πραγμάτων, ἵνα ὦσι κοινὰ αἰσθητά. 5
καὶ ὁ μὲν Ἀριστοτέλης ταῦτα εἰπὼν ἔπαυσε τὴν λέξιν. // εἰ δέ τις ἀπορήσει
καὶ τί ὅλως χρεία κοινῶν αἰσθητῶν, ἐροῦμεν πρὸς αὐτόν, ἅτινα Πλάτων
20 ἐν ⟨τῷ⟩ Ζ τῆς Πολιτείας καὶ ἐν Τιμαίῳ λέγει· φαμὲν γὰρ ὅτι ταῦτα τὰ
κοινὰ αἰσθητὰ αὐτά ἐστιν τὰ ταῖς μαθηματικαῖς ἐπιστήμαις ὑποκείμενα·
σχήματα γὰρ καὶ ἀριθμοὶ καὶ κινήσεις καὶ μεγέθη καὶ ἠρεμίαι εἰσὶν τὰ
κοινὰ αἰσθητά, ἅτινα ταῖς μαθηματικαῖς ἐπιστήμαις εἰσὶν ὑποκείμενα.
ἐπειδὴ οὖν ἐχρῆν τὰ μαθηματικὰ ὑποκείμενα ἀκριβῶς γινώσκεσθαι, ἀκριβῶς 10
25 δὲ γινώσκονται τῷ ὑπὸ πολλῶν αἰσθήσεων γνωρίζεσθαι, καὶ διὰ τοῦτό
ἐστι κοινὰ αἰσθητά. // ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, ἐναντιοῦται ἑαυτῷ Ἀριστο-
τέλης· αὐτὸς γὰρ ἐν τῷ δευτέρῳ λόγῳ τούτου τοῦ βιβλίου λέγει ὅτι τὰ
ἴδια αἰσθητὰ ἀκριβέστερον γινώσκεται· πῶς οὖν νῦν λέγει ὅτι τὰ κοινὰ
αἰσθητὰ ἀκριβέστερά ἐστι; λέγομεν οὖν ὅτι οὐκ ἐναντιοῦται ἑαυτῷ, ἀλλὰ
30 τὰ ἴδια αἰσθητὰ ὑπὸ τῆς οἰκείας αἰσθήσεως ἀκριβέστερον γινώσκονται τῶν
κοινῶν αἰσθητῶν, οἷον ἴδιον ὄψεως τὸ λευκόν, κοινὸν δὲ αὐτῆς αἰσθητὸν 15
τὸ μέγεθος· ἡ οὖν ὄψις ἀκριβέστερον γινώσκει τὸ λευκὸν ἤπερ τὸ μέγεθος·
ὥστε πρὸς ἑκάστην αἴσθησιν τὸ ἴδιον αἰσθητὸν τοῦ κοινοῦ ἀκριβέστερον
γινώσκεται. οἶδεν οὖν ἡ ὄψις ἀμυδρῶς τὸ κοινὸν αἰσθητόν, οἶδεν δὲ αὐτὸ
35 καὶ ἁφὴ ἀμυδρῶς, καὶ ἁπλῶς ἑκάστη ἀμυδρότερον τοῦ οἰκείου αἰσθητοῦ
οἶδεν αὐτό· συνερχομένη δὲ ἡ τῶν πλειόνων αἰσθήσεων γνῶσις ἀκριβῆ
ποιεῖ τὴν τοῦ κοινοῦ αἰσθητοῦ γνῶσιν. οὕτω γάρ φησι καὶ Ἡσίοδος "εἰ

---

1 ἐκείνοις t 5 ἔχει t 8 οἱ] οὐ D τόποι t εἶδεν] εἰ δὲ t 14 μεγέθους καὶ τοῦ t 15. 16 ἰδίου ἀντιλαμβάνεται om., sed in mrg. suppl. D¹ 19. 20 Πλάτων — λέγει] cf. Reip. Z p. 522 C sqq.; in Timaeo nihil tale invenio 26. 27 ἀριστοτέλει t 27 ἐν τῷ δευτέρῳ] cf. p. 418ᵃ12 29 λέγωμεν D 31 αὐτῆς] τῆς t 32 εἴπερ t 34 δὲ αὐτῶ D 36 συνερχομένη A: συνεχομένη Dt 37 Ἡσίοδος] Op. et D. v. 361 sq. Schoem.

γάρ ⟨κεν⟩ καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθείης καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα 0 3v
κεν μέγα καὶ τὸ γένοιτο". ἰστέον δὲ ὅτι κἂν ἄμφω ἀκριβεῖς εἰσιν αἱ
γνώσεις, καὶ ἡ τῶν ἰδίων αἰσθητῶν καὶ ἡ τῶν κοινῶν, ἀλλ' οὖν ἡ τῶν 21
ἰδίων αἰσθητῶν γνῶσις ἀκριβεστέρα ἐστὶ τῆς τῶν κοινῶν αἰσθητῶν γνώσεως.
5 ἄμφω μὲν γάρ, καὶ τὰ κοινὰ αἰσθητὰ καὶ τὰ ἴδια, καθ' αὑτὸ γινώσκει ἡ
ὄψις, ἀλλὰ μᾶλλον τὰ ἴδια γινώσκει ἡ αἴσθησις. ἐν οἷς ἡ θεωρία.

Ἀλλὰ μὴν οὐδὲ τῶν κοινῶν οἷόν τε εἶναι αἰσθητήριόν τι
ἴδιον. ὧν ἑκάστῃ αἰσθήσει αἰσθανόμεθα κατὰ συμβεβηκός, οἷον
κινήσεως, στάσεως. πάλιν μὴ εἰπὼν τὸ συνημμένον ἢ τὴν πρόσληψιν 25
10 ἀνατρέπει τὴν πρόσληψιν. ὀφείλων γὰρ εἰπεῖν 'εἰ τῶν κοινῶν αἰσθητῶν
οὐδεμία αἴσθησις ὡς ἰδίων ἀντιλαμβάνεται, ὧν δὲ ὡς ἰδίων οὐδεμία
αἴσθησις αἰσθάνεται, ταῦτα ἑτέρᾳ αἰσθήσει ὑπόκειται, τὰ κοινὰ ἄρα αἰσθητὰ
ἑτέρᾳ αἰσθήσει ὑπόκειται, καὶ ἔσται ἕκτον αἰσθητήριον καὶ αἴσθησις',
ὀφείλων γὰρ ταῦτα εἰπεῖν καὶ ἀνατρέψαι ὅτι οὐκ ἔστιν ἕκτη αἴσθησις, ἐκ
15 τούτου ἄρχεται καὶ δείκνυσιν ὅτι οὐκ ἔστιν ἕκτη αἴσθησις. οὐ γάρ ἐστι,
φησίν, ἴδιον αἰσθητήριον τῶν κοινῶν, ἐπεὶ κατὰ συμβεβηκὸς αὐτῶν αἱ ἄλλαι 30
αἰσθήσεις ⟨ἂν⟩ ἀντελαμβάνοντο· νῦν δὲ πάσχουσιν ὑπ' αὐτῶν. καὶ ὅρα
πῶς ἀσαφῶς τὸ κατὰ συμβεβηκὸς εἶπεν. ὀφείλων γὰρ εἰπεῖν 'ἐπεὶ κατὰ
συμβεβηκὸς ἂν αἱ ἄλλαι αἰσθήσεις αὐτῶν ᾐσθάνοντο', φησὶν ὅτι ὧν ἑκάστῃ
20 αἰσθήσει αἰσθανόμεθα κατὰ συμβεβηκός. εἰ γὰρ ἦν τῷ ὄντι αἰσθη-
τήριον τῶν κοινῶν αἰσθητῶν, κατὰ συμβεβηκὸς ἂν αὐτῶν ᾐσθάνοντο αἱ
πέντε αἰσθήσεις· ἀλλὰ μὴν κατὰ συμβεβηκὸς αὐτῶν οὐκ αἰσθάνονται, ὡς
ἀπεδείξαμεν ἐν τῇ θεωρίᾳ· οὐκ ἄρα ἐστὶν αὐτῶν ἴδιον αἰσθητήριον. 35
ἀριθμοῦ, ἑνός. σκόπει ὅτι ἀντιδιέστειλε τῷ ἀριθμῷ τὸ ἕν· οὐδὲ γάρ
25 ἐστιν ἡ μονὰς ἀριθμός, ὡς ἀποδέδεικται ἐν τοῖς ἀριθμητικοῖς λόγοις.

p. 425a16 Ταῦτα γὰρ πάντα κινήσει αἰσθανόμεθα.

Ἐντεῦθεν ἡ λύσις τῆς ἀπορίας. τί γάρ φησιν; ὅτι τὰ κοινὰ αἰσθητὰ
οὐκ ἔστι κατὰ συμβεβηκὸς αἰσθητά, διότι τούτων κινήσει αἰσθανόμεθα· 40
κίνησιν δὲ λέγει τὸ πάθος, τὴν ἀλλοίωσιν. τὰ οὖν κοινὰ αἰσθητά, φησί,
30 πάθος ποιεῖ· οὐδὲν δὲ τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν ποιεῖ πάθος. καὶ
ἴσως ἀπορήσει τις ὅτι πῶς λέγει τὰ κοινὰ αἰσθητὰ διὰ κινήσεως γινώ-
σκεσθαι, τουτέστι κίνησιν ποιεῖν. ἰδοὺ γὰρ ἡ ἠρεμία καὶ αὐτὴ μία ἐστὶ
τῶν κοινῶν αἰσθητῶν, καὶ ὅμως οὐ ποιεῖ κίνησιν ἐν τῇ αἰσθήσει, εἴ γε
ἠρεμία ἐστί. καὶ ταύτην λύων τὴν ἀπορίαν ὁ φιλόσοφος Πλούταρχός φησιν
35 ὅτι ἐπειδὴ πρὸς τὰς ἀντικειμένας κινήσεις κρίνοντες γινώσκομεν τὴν ἠρε- 45

---

1 κεν ex Hesiodo addidi καταθεῖο Hes. θαῦμα D τοῦθ' ἔρδοις t
1. 2 τάχα κεν] τὰ κάκεν t 2 μέγα καὶ τὸ Hes.: καὶ (κε D) τὸ μέγα Dt 5 καὶ τὰ ἴδια A: πρὸς τὰ ἴδια Dt 7 τι] τὸ D 10 post αἰσθητῶν add. ὡς D 17 ἂν addidi ἀντιλαμβάνοντο (sic) t: ἀντιλαμβάνονται D 19 ἂν A: om. Dt ᾐσθάνοντο A: αἰσθάνονται Dt 19. 20 ἑκάστῃ αἰσθήσεις t 21 ἂν A: om. Dt 28 τοῦτο t
29 λέγει scripsi: λέγω ADt

μίαν, ταύτῃ κινεῖσθαι λέγοιτό τις· πᾶσα δὲ κίνησις διάθεσίς τίς ἐστι, πᾶσα 0 3ᵛ
δὲ διάθεσις οἱονεὶ πάθος τί ἐστιν· ὥστε εἰκότως λεγόμεθα καὶ κατὰ τὴν
ἠρεμίαν πάσχειν πως καὶ διατίθεσθαι. ἀποροῦσι δὲ καὶ ἄλλην ἐνταῦθα·
πῶς λέγομεν, φασίν, ὅτι τὰ μὲν ἴδια αἰσθητὰ ποιοῦσί τι περὶ τὴν αἴσθησιν,
5 τουτέστιν ὅτι τὰ μὲν καθ' αὑτὸ αἰσθητὰ διὰ κινήσεως γίνονται, τὰ δὲ κατὰ
συμβεβηκὸς οὐ διὰ κινήσεως. καὶ μήν εἶδον τυχὸν ξανθόν τι, καὶ ὁ τόπος
οὗτος τοῦ ξανθοῦ ἐκίνησε τὸν ἄλλον τόπον τὸν ἐν ἐμοὶ τοῦ γλυκέος ὄντα, 50
καὶ εἶπον ὅτι τοῦτο μέλι ἐστίν· ἰδοὺ οὖν καὶ τοῦτο διά τινος ἔγνων κινή-
σεως. φησὶ δὲ καὶ πρὸς τοῦτο ὁ Πλούταρχος ὅτι ἡνίκα λέγομεν τῶν
10 κοινῶν αἰσθητῶν κινήσει ἡμᾶς αἰσθάνεσθαι, δέον προσδιορισμὸν λέγειν τινά.
ὃν παρέλειπεν μὲν Ἀριστοτέλης ἐν τῇ παρούσῃ λέξει, ἐν ἄλλοις δὲ φαίνεται
λέγων αὐτόν, ὅτι τῶν κοινῶν αἰσθητῶν διὰ κινήσεως μὲν αἰσθανόμεθα, οὐ
μὴν κατὰ τὸ αἰσθητικὸν ἰδίωμα. εἰ γὰρ καὶ ἐκινήθη ἐν ἐμοὶ ὁ τόπος
τοῦ γλυκέος, ἀλλ' οὐ κατὰ τὸ αἰσθητικὸν ἰδίωμα· οὐδὲ γὰρ διὰ τῆς γλώττης
15 ἐκινήθη ἐν ἐμοὶ ἡ γλυκύτης. τὰ μέντοι γε ἴδια αἰσθητὰ δι' αὐτοῦ τοῦ
αἰσθητικοῦ | ἰδιώματος γινώσκω· ὁρῶ γὰρ τὸ λευκὸν καὶ γεύομαι τῶν 0 4ʳ
γλυκέων, ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων. ὅρα δὲ ὅτι τὰ πέντε κοινὰ αἰσθητὰ
τῶν πέντε δέδωκεν αἰσθήσεων εἶναι κοινά· οὐκ ἔστι δὲ εἰ μὴ τὰ τρία
κοινά, ὡς εἴρηται, εἰ μὴ ἄρα εἴποις ὅτι μέγεθος λέγει τὸ ἐν ἑκάστῃ
20 αἰσθήσει καὶ οὐκ ἐν ποσῷ, οἷον μέγαν ψόφον ἢ μέγα λευκόν· τότε γὰρ
κοινόν ἐστι πάντων. καὶ τὸ σχῆμα δὲ εἰ λάβοις κατὰ τὸ λεῖον καὶ τραχύ,
καὶ τὸ μὲν λεῖον εἴποις ἡδὺ τὸ δὲ τραχὺ ἀνιαρόν, καὶ τοῦτο κοινὸν εὑρί- 5
σκεται αἰσθητὸν πάσης αἰσθήσεως. μέγεθος γάρ τι τὸ σχῆμα. φασί
τινες ὅτι ἰδοὺ αὐτὸς λέγει ὡς καὶ τὸ σχῆμα μέγεθός ἐστι, καὶ πῶς ἐν
25 Κατηγορίαις ἐλέγετο; ὅτι τὸ μὲν μέγεθος ποσοῦ ἐστιν εἶδος, τὸ δὲ σχῆμα
ποιοῦ. ἰδοὺ γὰρ αὐτὸς ταὐτὸν οἶδε μέγεθος καὶ σχῆμα. καὶ λέγομεν ὅτι
οὐδὲ νῦν εἶπεν Ἀριστοτέλης ὅτι ταὐτόν ἐστι μέγεθος καὶ σχῆμα. ἀλλ'
ἐπειδὴ πάντως συνακολουθεῖ τῷ σχήματι τὸ μέγεθος καὶ οὐκ ἔστι σχῆμα
χωρὶς ἐπινοῆσαι μεγέθους, διὰ τοῦτο εἶπεν ὅτι μέγεθός γάρ τι τὸ 10
30 σχῆμα, τουτέστιν ὅτι μέγεθός ἐστι τὸ ἐσχηματισμένον, οὐ τὸ σχῆμα.
τὸ δὲ ἠρεμοῦν τῷ μὴ κινεῖσθαι ἀντιλαμβάνεται εἶπε πρὸς τοῦτο,
ὅτι ἄνω τὸ πάθος εἶπε κίνησιν· νυνὶ δὲ ἐπειδὴ τὰ ἱστάμενα ὁρῶμεν μήτε
μειουμένου μήτε αὐξανομένου τοῦ πάθους, διότι ἵστανται, τὰ δὲ κινούμενα
ἄλλως καὶ ἄλλως ὁρῶμεν ἢ μειουμένου ἢ αὐξανομένου τοῦ πάθους πρὸς
35 τὴν κίνησιν αὐτῶν, διὰ τοῦτο εἶπεν ὅτι ἀκινήτως τοῦ ἠρεμοῦντος αἰσθανό-
μεθα, τουτέστιν ὡσαύτως.

1 ταύτῃ in ras. D² 4 φασίν scripsi: φησιν Dt τι om. t 6 εἶδον A: ἴδον Dt 7 τοῦ (ante ξανθοῦ) om. D 10 προσδιορισμὸν scripsi: πρὸς διορισμὸν Dt 11 φαίνεται om. D 12. 13 μὲν et μὴν ex A addidi 13. 14 εἰ γὰρ — δίωμα A: om. Dt 14 οὐδὲν t 16 γεύωμαι t 20 μέγαν λευκόν t 22 post τοῦτο add. τὸ t 24. 25 ἐν Κατηγορίαις] c. 8 p. 10ᵃ11 26. 27 ὅτι οὐδὲ νῦν A: οὐκ D 28 τὸ σχήματι D 30 οὐ] fort. οὗ 31 ἀντιλαμβάνονται t 35 —πεν ὅτι ἀκινή— om. t

p. 425a19 Ὁ δὲ ἀριθμὸς τῇ ἀποφάσει τοῦ συνεχοῦς καὶ τοῖς ἰδίοις. 0 4r

Φησὶν ὁ ἀριθμὸς ἐξ ἀποφάσεως, ὅτι οὐκ ἔστι συνεχής, εἴ γε ὁ 16
ἀριθμὸς τῶν διωρισμένων ἐστί. τί δὲ λέγει συνεχές; τὴν μονάδα, ὃ εἶπεν
5 ἄνω ἑνὸς ἀριθμοῦ· οὕτω δὲ καλεῖ αὐτὴν διὰ τὸ ἀδιαίρετον. τοὺς οὖν πολ-
λοὺς ἀριθμούς, φησί, τῷ μὴ εἶναι ἓν γνωρίζομεν· καὶ καλῶς εἴρηται. οὐ
μόνον δὲ ἐν τοῖς κοινοῖς αἰσθητοῖς τοῦτό ἐστι τὸ τῇ ἀποφάσει γνωρίζειν,
ἀλλὰ καὶ ἐν τοῖς ἰδίοις αἰσθητοῖς. τὰ μὲν γὰρ ἴδια αἰσθητὰ καθ' αὑτὸ 20
γινώσκεται καὶ πρώτως, τὰ δὲ κοινὰ αἰσθητὰ καθ' αὑτὸ μέν, δευτέρως δέ·
10 οἷον τὰ δέκα οὐ μόνα γινώσκεται, ἀλλὰ καὶ τὰ ἴδια αὐτῶν δέκα λευκά,
δέκα ὠχρά, δέκα ἐρυθρά. ὥστε δεῖ τὰ κοινὰ αἰσθητὰ ἔχειν καὶ ἴδιά τινα
αἰσθητά. διττῶς οὖν ὁ ἀριθμὸς γινώσκεται, ἢ τῇ ἀποφάσει τοῦ συνεχοῦς
ἢ τῷ γινώσκεσθαι τὰ ἴδια αἰσθητά.

p. 425a19 Ἑκάστη γὰρ ἓν αἰσθάνεται αἴσθησις.

15 Ἑκάστη, φησίν, αἴσθησις ἑνός τινος ἀντιλαμβάνεται (καί τι λέγει ἓν 25
αἰσθητόν) τουτέστι μονάδος, δείξαι ἐντεῦθεν βουλόμενος ὅτι ταῖς πέντε
αἰσθήσεσιν ὑποπίπτει ὁ ἀριθμός. εἰ δὲ τοῦτο, καὶ τὰ ἄλλα ἄρα κοινὰ
αἰσθητά. ὅτι γὰρ τοῦτο λέγει, δηλοῖ αὐτὸς ἐπὶ λέξεως ταῦτα λέγων·

p. 425a20 Ὥστε δῆλον ὅτι ἀδύνατον ὁτουοῦν ἰδίαν αἴσθησιν εἶναι
20 τούτων.

Ὡσεὶ ἔλεγεν ὅτι δῆλον γεγονὸς ἀδύνατον εἶναι ἕκτην αἴσθησιν, ἥτις 30
ἀντιλαμβάνεται τῶν κοινῶν αἰσθητῶν. καὶ τέθεικε τὴν κίνησιν παράδειγμα
τῶν κοινῶν αἰσθητῶν. εἰ γάρ ἐστι, φησίν, ἄλλη τις αἴσθησις μερικὴ
ἕκτη, ἥτις ὡς ἰδίων ἀντιλήψεται τῶν κοινῶν αἰσθητῶν, ἔσται ταῦτα τὰ
25 κοινὰ αἰσθητὰ ταῖς πέντε ἄλλαις αἰσθήσεσι κατὰ συμβεβηκὸς γινωσκόμενα.
καὶ παράδειγμα εἶπεν αὐτὸς τὸ γινώσκεσθαι τῇ ὄψει τὸ γλυκύ· τοῦτο δὲ
κατὰ συμβεβηκὸς αὐτῇ γινώσκεται. λέγει δὲ ἐντεῦθεν τὰ δύο σημαινό-
μενα τοῦ κατὰ συμβεβηκὸς αἰσθητοῦ. 35

p. 425a22 Τοῦτο δ' ὅτι ἀμφοῖν ἔχοντες τυγχάνομεν αἴσθησιν, ἢ
30 ὅταν συμπέσωσι γνωρίζομεν.

Τὴν ἔννοιαν λέγει, πῶς ἀπὸ τοῦ ξανθοῦ ἔστι γνῶναι τὸ γλυκύ, διότι
ἔχομεν ἀμφοῖν αἴσθησιν πρότερον (λείπει γὰρ ἐν τῷ ῥητῷ τὸ πρότερον,

---

3 ὁ post εἴ γε om. t 21 γεγονῶς D ἕκτην] καὶ t 22 παραδείγμα-
τος D 26 τῷ γλυκύ t 29 ἢ Arist.: ἢ Dt

ὥς φησι Πλούταρχος), τοῦ γλυκέος τυχὸν καὶ τοῦ ξανθοῦ· ἀμφοῖν δὲ 0 4r
λέγει τὴν κοινὴν αἴσθησιν. ἐπειδὴ γὰρ ἔχομεν, φησίν, αἴσθησιν καὶ γλυκέος 10
καὶ ξανθοῦ, ὄψιν καὶ γεῦσιν, ταύτῃ ὅταν ἐμπέσῃ χρῶμα ξανθόν, κινουμένου
τοῦ τόπου τοῦ γλυκέος γινώσκομεν ὅτι μέλι ἐστὶν ἐκ τοῦ τόπου οὗ ἔλαβεν,
5 ὅτε ἅμα ὄψις καὶ γεῦσις ἐνήργησαν. εἰ δὲ μή, οὐδαμῶς ἂν ἀλλ' ἢ
κατὰ συμβεβηκὸς αἰσθανόμεθα. τοῦτο πρὸς τῷ ἄνω ἐστίν· ἐὰν
εἴπῃς, φησίν, ὅτι τὰ κοινὰ αἰσθητὰ ἑτέρᾳ αἰσθήσει ὑπόκειται, οὐδὲν ἄλλο
λέγεις ἢ ὅτι κατὰ συμβεβηκὸς αὐτῶν αἰσθάνονται αἱ ἄλλαι αἰσθήσεις, ὅπερ
οὐκ ἔστιν.

10 p. 425a25 Οἷον τὸν Κλέωνος υἱόν, οὐχ ὅτι Κλέωνος υἱός. 15

Παράδειγμα λέγει τοῦ ἑνὸς συμβεβηκότος τῇ αἰσθήσει τὴν οὐσίαν·
αὕτη γὰρ οὐδεμιᾷ αἰσθήσει ὑπόκειται. ὁ γὰρ Κλέωνος, φησίν, υἱὸς οὐχ
ὡς οὐσία ὁρᾶται, ἀλλὰ καθό ἐστι λευκός· τὸ δὲ λευκὸν συμβέβηκε τῷ
Κλέωνος υἱῷ.

15 p. 425a27 Τῶν δὲ κοινῶν ἔχομεν ἤδη αἴσθησιν κοινήν, οὐ κατὰ 50
συμβεβηκός.

Τὰ κοινά, φησίν, αἰσθητὰ ἔχουσιν αἴσθησιν κοινήν. κοινὴν δὲ
αἴσθησιν λέγει οὐ περὶ ἧς ἑξῆς διαλέγεται ἐκείνης τῆς κοινῆς αἰσθήσεως,
ἀλλὰ κοινὴν αἴσθησιν καλεῖ τὰς πέντε αἰσθήσεις. ἔστιν οὖν ὃ λέγει τοῦτο·
20 τὰ κοινὰ αἰσθητὰ ἔχουσιν αἴσθησιν κοινὴν ἄλλην, ἀλλ' οὐ κατὰ συμ-
βεβηκὸς αὐτῶν ἀντιλαμβανομένην. τοῦτο γὰρ ἔδειξεν, ὡς καὶ ἡμεῖς ἐν τῇ
θεωρίᾳ ἐδείξαμεν. |

p. 425a28 Οὐκ ἄρα ἐστὶν ἰδία· οὐδαμῶς γὰρ ἂν ᾐσθανόμεθα 0 4v
ἀλλ' ἢ οὕτως ὥσπερ εἴρηται τὸν Κλέωνος υἱὸν ἡμᾶς ὁρᾶν.

25 Συμπέρασμα λέγει τοῦ λόγου ἐνταῦθα, καί φησιν οὐκ ἄρα ἐστὶν
ἰδία αἴσθησις ἡ τῶν κοινῶν αἰσθητῶν, ἀλλ' ἢ οὕτως ὡς εἴπομεν τὸν
Κλέωνος υἱόν, τουτέστι κατὰ συμβεβηκός. δέδεικται δὲ ὅτι αἱ πέντε
αἰσθήσεις οὐ κατὰ συμβεβηκὸς τῶν κοινῶν ἀντιλαμβάνονται αἰσθητῶν· διὰ 5
γὰρ κινήσεως αὐτῶν ἀντιλαμβάνονται, τοῦτο δὲ οὐχ ὑπάρχει τοῖς κατὰ
30 συμβεβηκὸς αἰσθητοῖς. τὰ δὲ ἀλλήλων ἴδια κατὰ συμβεβηκὸς αἰσθά-
νονται αἱ αἰσθήσεις.

---

3 ἐμπέσῃ scripsi: πέσῃ Dt 6 post συμβεβηκὸς add. ἢ t αἰσθανόμεθα Dt Arist. vulg.: ᾐσθανόμεθα Arist. SX ἀνῷ (i. e. ἀνθρώπῳ) D 11 συμβεβηκὸς t
15 ἔχομεν ἤδη αἴσθησιν D Arist. LTUW: ἤδη post αἴσθησιν coll. t Arist. SVX, ante ἔχομεν Arist. E 18 λέγει οὐ scripsi: λέγω οὐ Dt διαλέγηται t 19 ἔστιν] εἰσὶν D
23 ἂν om. D 24 ἢ D Arist. vulg.: om. t Arist. ELTV 26 ἡ τῶν] καὶ ἡ τις τῶν D 30. 31 τὰ δὲ—αἰσθήσεις cum proximo lemmate coniungenda sunt

p. 425a31 Οὐχ ᾗ αὐταί, ἀλλ' ᾗ μία, ὅταν ἅμα γένηται ἡ αἴσθησις. o 4v

Τὸ ἕτερον σημαινόμενον τοῦ κατὰ συμβεβηκὸς λέγει τὸ ἑτέρᾳ αἰσθήσει ὑποκείμενον, οἷον τὸ ἀπὸ ξανθοῦ εἰδέναι γλυκύ. ἄνω γὰρ εἶπεν τὸ ἄλλο συμβεβηκὸς τὸ μηδεμιᾷ αἰσθήσει ὑποκείμενον. τί δὲ νῦν λέγει; ὅτι τῶν ἀλλήλων αἰσθητῶν ἀντιλαμβάνονται αἱ αἰσθήσεις κατὰ συμβεβηκὸς οὐχ ᾗ αὐταί, ἀλλὰ κατὰ τὸ ἔχειν μίαν κοινὴν αἴσθησιν· αὕτη γὰρ ἐκ τοῦ χρώματος συλλογίζεται κατὰ συμβεβηκὸς περὶ γλυκέος. καλῶς εἶπεν ἐπὶ τοῦ αὐτοῦ, ἵνα τοῦ αὐτοῦ πράγματος τὴν χροιὰν καὶ τὴν γεῦσιν κρίνῃ διὰ τῶν δύο αἰσθήσεων ἡ κοινή. τότε γὰρ κρίνει ἡ κοινὴ αἴσθησις τὸ κατὰ συμβεβηκός, ὅταν πρότερον διὰ τῶν δύο αἰσθήσεων εἶχεν τοὺς τόπους τοῦ αὐτοῦ πράγματος. ὅρα δὲ τί φησιν, ὅτι ἡ κοινὴ αἴσθησις κατὰ συμβεβηκὸς οἶδεν τὴν διάκρισιν τοῦ λευκοῦ καὶ γλυκέος· ἡμεῖς δὲ ἐλέγομεν ἐν τῇ θεωρίᾳ ὅτι καθ' αὑτὸ ὑπάρχει αὐτῇ τοῦτο. λέγομεν δὲ ὅτι ἡ μὲν διάκρισις καθ' αὑτὸ ὑπάρχει τῇ κοινῇ αἰσθήσει, τὸ δὲ ἀπὸ χρώματος περὶ γλυκέων συλλογίζεσθαι κατὰ συμβεβηκός, ἐπειδὴ ἀπὸ ἑτέρου ἕτερον συλλογίζεται.

p. 425b2 Οὐ γὰρ δὴ ἑτέρας γε τὸ εἰπεῖν ὅτι ἄμφω ἕν· διὸ καὶ ἀπατᾶται, καὶ ἐὰν ᾖ ξανθόν, χολὴν οἴεται εἶναι.

Τῆς κοινῆς, φησίν, αἰσθήσεώς ἐστι καὶ οὐ μιᾶς αἰσθήσεως μερικῆς τὸ εἰπεῖν ὅτι τὸ μέλι ἕν ἐστι πρᾶγμα, εἰ καὶ γευστὸν τὸ γλυκὺ καὶ χρῶμα τὸ ξανθόν. ἀπατᾶται γὰρ ἡ μερικὴ αἴσθησις καὶ πᾶν ὃ ἂν ἴδῃ ξανθὸν νομίζει μέλι εἶναι. ζητήσειε δ' ἄν τις, τίνος ἕνεκα πλείονας ἔχομεν αἰσθήσεις ἢ μίαν. ἀλλὰ διὰ τί πλείους ἔχοντες αἰσθήσεις τὰ κοινὰ αἰσθητὰ μὴ μιᾷ αἰσθήσει ἀντιλαμβανόμεθα; καὶ ἐπιλύεται, ἵνα μὴ ἧττον τῶν αἰσθητῶν ἀντιλαμβανώμεθα. ἀκολουθοῦντα δὲ ἐκάλεσε τὰ κοινὰ [καὶ] αἰσθητὰ οὐχ ὡς πάρεργά τινα, ἀλλ' ὅτι τοῖς ἰδίοις αἰσθητοῖς ἑκάστης αἰσθήσεως ἕπονται τελειότερά τινα καὶ νοερώτερα συμπαραθέοντα. αὐτὸς δὲ οὐ λέγει ὃ εἴπομεν, ὅτι μεγάλαις ἐπιστήμαις ταῦτα τὰ κοινὰ ὑπόκειται. κίνησις γὰρ καὶ ἠρεμία ἀστρονομίᾳ ὑπόκειται. εἰ γὰρ καὶ ἀεικίνητα τὰ ἄστρα, ἀλλ' οὖν θέλει εἰδέναι καὶ τὸν καταστερισμὸν αὐτῶν· ἐν γὰρ τῇ φαντασίᾳ καταστερίζει αὐτὰ ἔν τινι τόπῳ ὄντα. τὸ δὲ σχῆμα καὶ τὸ μέγεθος τῇ γεωμετρίᾳ ὑπόκειται, ὁ δὲ ἀριθμὸς ὡς μὲν ἄυλος τῇ ἀριθμητικῇ, ὡς δὲ ἔνυλος καὶ ἐν φθόγγοις ὢν μουσικῇ.

---

1 αὐταί scripsi coll. v. 6: αὐταί D Arist. TVW: αὗται Arist. X: αἱ αὐταί t Arist. vulg. γένηται D Arist. vulg.: om. Arist. SUV: in lemm. propagato post αὐτοῦ transp. t (cum Ald.) 2 Τὸ om. t 5 ᾗ addidi coll. v. 1 6 αὐταί D: αὗται t 10 τόπους t 14 γλυκέον t 21 ζητήσει t 22 ᾗ μίαν] ἀλλ' οὐ μίαν Arist. 23 ἀντιλαμβανώμεθα D 24 καὶ delevi 28 ἀεικίνητα scripsi: ἀκίνητα Dt 29 καταστερισμὸν scripsi: καταστηριγμὸν Dt 30 καταστερίζει scripsi: καταστηρίζει Dt 32 ὂν t

p. 425b6 Οἷον κίνησις καὶ μέγεθος καὶ ἀριθμός. o 4v

Ταῦτα εἶπεν διὰ τούτων συμπεριλαμβάνων καὶ τὰ ἄλλα· διὰ μὲν γὰρ τῆς κινήσεως τὴν ἠρεμίαν συμπεριέλαβε, διὰ δὲ τοῦ μεγέθους τὸ σχῆμα· ἐν γὰρ μεγέθει τὸ σχῆμα.

p. 425b6 Εἰ γὰρ ἦν ὄψις μόνη καὶ αὐτὴ λευκοῦ, ἐλάνθανεν ἂν μᾶλλον κἂν ἐδόκει ταὐτὸν εἶναι πάντα.

Πλούταρχος ὁ φιλόσοφος ἣν εἴπομεν ἀπορίαν ἐν τῷ τρίτῳ τῆς θεωρίας κεφαλαίῳ οὕτω λέγει, ὅτι διὰ τί ἡ φύσις τὰ κοινὰ αἰσθητὰ μὴ ἀφώρισε μιᾷ αἰσθήσει, εἴ γε ὁρῶμεν καὶ ἐν αὐταῖς ταῖς πέντε πολλὰς ἀντιθέσεις αἰσθητῶν; καὶ μᾶλλον τοῦτο λέγει Ἀριστοτέλης· ἁρμόζει γὰρ ἡ ἐπίλυσις. καὶ λύει τὴν ἀπορίαν διὰ τοῦ παρόντος ῥητοῦ λέγων ὅτι εἰ μιᾷ μόνον αἰσθήσει ὑπέπιπτον τὰ κοινὰ αἰσθητά, οἷον τυχὸν τῇ ὄψει, ὑπέπιπτε δὲ τῇ αὐτῇ ὄψει καὶ τὰ ἴδια αἰσθητά, οἷον τὸ λευκὸν ἤτοι τὸ χρῶμα, ἐλάνθανον τὰ κοινὰ αἰσθητά, καὶ ταὐτὸν ἐνομίζοντο τῷ χρώματι ἀριθμὸς καὶ σχῆμα καὶ κίνησις καὶ τὰ λοιπά. νυνὶ δὲ οὐ μόνον ἐν χρώματι θεωροῦμεν ἀριθμόν, ἀλλὰ καὶ ἐν ψόφοις καὶ χυμοῖς, καὶ ταύτῃ διακρίνονται ἀπ' ἀλλήλων. εἰ δὲ μία τῶν πέντε αἰσθήσεων ταῦτα ἔκρινε, πολὺ μᾶλλον ἐλάνθανον ἡμᾶς, ὅπου γε καὶ νῦν ἡμῖν εἰσι δυσθήρατα διὰ τῶν πέντε γινωσκόμενα αἰσθήσεων, εἰ δέ γε μία ἔλειπε τῶν πέντε αἰσθήσεων, ἔτι ἦσαν δύσγνωστα. καὶ τί λέγω ταῦτα; εἰ μία αὐτὰ ἔκρινεν, οὐδὲ ἐγινώσκοντο. νυνὶ δέ, φησίν, ἐπειδὴ διαφόροις αἰσθήσεσιν ὑπάρχει τὰ κοινὰ αἰσθητὰ καὶ ἐν πολλαῖς θεωροῦνται, διὰ τοῦτο δῆλά εἰσιν καὶ κατά τί διαφέρουσιν ἀλλήλων τε καὶ τῶν ἰδίων αἰσθητῶν. ἐν οἷς ἡ πρᾶξις.

p. 425b12 Ἐπειδὴ αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν, ἀνάγκη ἢ τῇ ὄψει αἰσθάνεσθαι ὅτι ὁρᾷ ἢ ἑτέρᾳ, καὶ τὰ λοιπά.

Ἐπειδὴ ἐν τοῖς προλαβοῦσιν ἔδειξεν ὅτι οὐκ ἔστιν ἕκτη αἴσθησις, ἥτις τὰ κοινὰ αἰσθητὰ ἴδια ἔχει αἰσθητά, | νῦν βούλεται διὰ τούτων ἄλλην o 5r τινὰ ζήτησιν προβάλλεσθαι· ζητεῖ γὰρ μήποτε οὔκ εἰσι πέντε μόνον αἰσθήσεις, ἀλλὰ δέκα. ἐπειδὴ γάρ, φησίν, ὁρῶμεν καὶ αἰσθανόμεθα ὅτι ὁρῶμεν. πάλιν ἀκούομεν καὶ αἰσθανόμεθα ὅτι ἀκούομεν, ζητεῖ πότερον τῇ αὐτῇ αἰσθήσει καὶ ὁρῶμεν καὶ αἰσθανόμεθα ὅτι ὁρῶμεν, ἢ ἄλλη μέν ἐστιν αἴσθησις ἡ τὰ ὑποκείμενα χρώματα ὁρῶσα, ἄλλη δέ ἐστιν αἰσθανομένη

---

6 ταὐτὸν D Arist. TX: ταὐτὰ Arist. ELV: τοῦτο t Arist. SU 12 οἷον — ἴδια (13) in ras. D¹, ut vid. 18 δυσθήραται t 19 εἰ δέ γε] ἔτι δὲ καὶ εἰ A ἔλιπε t 20 fort. δυσγνωστότερα μία] μὴ D 23 ἰδίων A: ἰδικῶν Dt post πρᾶξις add. πράξεις σὺν θεῷ β̄ t: eadem in margine D¹ 24 ἐπειδὴ D: ἐπεὶ δ' t Arist. 25 ἕτερα D 28 μόνον om. t

τῆς ὁρατικῆς ἐνεργείας, τουτέστιν ἡ αἰσθανομένη ὅτι ὁρῶμεν. δύο οὖν δεῖ 0 5r
ζητῆσαι, ἓν μὲν πότερον τῇ αὐτῇ αἰσθήσει, λέγω δὲ τῇ ὁρατικῇ, καὶ 6
ὁρῶμεν τὰ χρώματα καὶ αἰσθανόμεθα τῆς ἐνεργείας τῆς ὁράσης τὰ χρώματα, δεύτερον δὲ εἰ ἄλλη μέν ἐστιν αἴσθησις ἡ ὁρῶσα τὰ χρώματα, ἄλλη
5 δὲ ἡ αἰσθανομένη ὅτι ὁρῶμεν, ταὐτὸν δὲ εἰπεῖν ἡ αἰσθανομένη τῆς ὁρατικῆς ἐνεργείας. τοιαῦτα διαπορήσας ἐπιλύεται καί φησιν ὅτι οὐ δυνατὸν ἄλλην μὲν εἶναι αἴσθησιν τὴν ὁρῶσαν. ἄλλην δὲ τὴν αἰσθανομένην τῆς ὁρατικῆς ἐνεργείας, ἐπεὶ οὐδὲν ἴδιον ἔσται αἰσθητόν. ἀλλὰ πάντα τὰ αἰσθητὰ κοινὰ ἔσονται. κἂν γὰρ χρώματα εἴπῃς, κοινὰ ἔσονται τῆς ὁράσης δυνά-
10 μεως καὶ τῆς αἰσθανομένης ὅτι ὁρῶμεν, κἂν ψόφους εἴπῃς, κοινοὶ ἔσονται 10
τῆς ἀκουστικῆς αἰσθήσεως καὶ τῆς ἀντιλαμβανομένης τῆς ἀκουστικῆς ἐνεργείας, τουτέστι τῆς αἰσθανομένης ὅτι ἀκούομεν· ὡσαύτως καὶ ἐπὶ τῶν λοιπῶν αἰσθήσεων. ἀλλὰ τὸ μηδὲν εἶναι ἴδιον αἰσθητὸν ἀλλὰ πάντα κοινὰ οὔπω δοκεῖ ἄτοπον εἶναι· ἄλλο δὲ ἄτοπον συνάγει τῷ λόγῳ. φησὶ
15 γάρ, εἰ ἄλλῃ αἰσθήσει φέρε εἰπεῖν ὁρῶμεν, ἄλλῃ δὲ αἰσθήσει οἴδαμεν ὅτι ὁρῶμεν, ἐκείνη ἡ αἴσθησις ἡ αἰσθανομένη τῆς ὁρατικῆς ἐνεργείας ἄρα καὶ αὐτὴ αἰσθάνεται τῆς οἰκείας ἐνεργείας, ἢ πάλιν ἄλλη ἐστὶν αἴσθησις ἡ 15
ἀντιλαμβανομένη τῆς ἐνεργείας αὐτῆς; εἰ μὲν γὰρ εἴποις ὅτι αὐτὴ ἀντιλαμβάνεται τῆς οἰκείας ἐνεργείας, διὰ τί μὴ καὶ ἡ πρώτη ἡ τῶν χρωμάτων
20 ἀντιλαμβανομένη τῆς οἰκείας ἐνεργείας ἀντιλήψεται; ἐπειδὴ οὖν ἀποκληρωτικός ἐστιν ὁ λόγος, οὐκ ἄρα ἄλλη ἐστὶν ἡ τῶν χρωμάτων ἀντιλαμβανομένη καὶ ἄλλη ἡ αἰσθανομένη τῆς ἐνεργείας. ἀλλ' οὐδὲ ταύτης τῆς αἰσθανομένης ὅτι ὁρῶμεν ἢ ἀκούομεν δυνατὸν ἄλλην αἴσθησιν εἶναι τὴν ἀντιλαμβανομένην αὐτῆς τῆς ἐνεργείας. ἔσται γὰρ καὶ ταύτης ἄλλη, καὶ 20
25 τοῦτο ἐπ' ἄπειρον. εἰ δὲ τὸ ἐπ' ἄπειρον ψευδές, ψευδὴς ἄρα καὶ ὁ λόγος ὁ λέγων ἄλλας μὲν εἶναι αἰσθήσεις τὰς ἀντιλαμβανομένας τῶν αἰσθητῶν, ἄλλας δὲ τὰς ἀντιλαμβανομένας τῶν ἐνεργειῶν αὐτῶν. λοιπὸν δὲ καὶ πρὸς τὸν ἕτερον ἀποτείνεται λόγον τὸν λέγοντα ὅτι αἱ αὐταὶ αἰσθήσεις καὶ τῶν ὑποκειμένων ἀντιλαμβάνονται καὶ τῶν οἰκείων ἐνεργειῶν. καὶ φέρει ἀπο-
30 ρίαν καὶ ταύτην ἐπιλύεται, ὡς ἐντεῦθεν ἡμᾶς στοχάσασθαι ὅτι ταύτης τῆς δόξης ἐστὶν Ἀριστοτέλης καὶ οἴεται ὅτι αἱ αὐταὶ αἰσθήσεις καὶ τῶν ὑπο- 25
κειμένων αἰσθητῶν καὶ τῶν ἐνεργειῶν ἀντιλαμβάνονται. ἔστι δὲ ἡ ἀπορία τοιαύτη ⟨ἡ⟩ λέγουσα ὅτι οὐχ ἡ αὐτὴ αἴσθησις καὶ τῶν ὑποκειμένων αὐτῇ ἀντιλαμβάνεται καὶ τῆς ἐνεργείας αὐτῆς αἰσθάνεται· καὶ γυμνάζει
35 τὸν λόγον ὡς ἐπὶ ὄψεως καί φησιν ὅτι τὸ ὁρᾶν οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ τῶν χρωμάτων ἀντιλαμβάνεσθαι, αἱ δὲ ἐνέργειαι τῶν αἰσθήσεων οὐκ εἰσὶ χρώματα· ἀσώματοι γάρ εἰσιν αἱ ἐνέργειαι· οὐκ ἄρα ἡ ὄψις ἐνεργειῶν ἀντιλαμβάνεται. λύει δὲ τὴν ἀπορίαν λέγων ὅτι οὐκ ἀεὶ τὸ ὁρᾶν χρωμάτων 30

---

6 τοιαῦτα διαπορήσας — ἐνεργείας (8) A: om. Dt 8 ὁρατικῆς scripsi: ὁρατῆς A
15 αἰσθήσει φέρε — ἄλλῃ δὲ iterat t 17 οἰκείας om. t 19 διὰ τί — ἀντιλήψεται (20) A: τὴν δὲ ἄλλην αἴσθησιν τὴν ἀντιλαμβανομένην τῆς ὁρατικῆς ἐνεργείας Dt
27. 28 πρὸς τὸ t 30 ἀπολύεται t 33 τοιαύτη A: ταύτη D: αὕτη t ἡ addidi
35 τὸ om. D

ἐστὶν ἀντίληψις. ἐπεὶ καὶ τοῦ σκότους ἀντιλαμβανόμεθα· καίτοι τὸ σκότος 0 5r
οὔκ ἐστι χρῶμα· ὥστε ψευδὴς ὁ λόγος./ ἄλλως τε δὲ ὅτε καὶ συγχωρήσω
ὅτι τὸ ὁρᾶν χρωμάτων ἐστὶν ἀντίληψις, καὶ οὕτως οὐδὲν ἄτοπον· καὶ γὰρ
καὶ αἱ ἐνέργειαι κεχρωματισμέναι πώς εἰσιν. ὅτι δὲ κεχρωσμέναι πώς
5 εἰσιν, εἰ καὶ μὴ κυρίως (ἀσώματον γὰρ πῶς ἂν κυρίως λέγοιτ' ἂν
κεχρῶσθαι;) ἀλλ' οὖν γε δῆλον ὡς λέγοιτ' ἂν κεχρῶσθαι ἐκ τῶν
μαρμαρυγῶν τῶν φαινομένων πως καὶ μετὰ τὴν ἀπουσίαν τοῦ ὁρατοῦ.
μένουσι γὰρ οἱονεὶ λαμπάδες περὶ τὴν ὄψιν καὶ μετὰ τὴν ἀναχώρησιν 35
τοῦ λαμπροῦ αἰσθητοῦ, ᾧ δηλονότι ἡ ἐνέργεια ἐχρωματίσθη. καὶ τοῦτο
10 ἐπὶ ἐμψύχων γίνεται τῶν δυναμένων καὶ μετὰ τὴν ἀπουσίαν τοῦ αἰσθη-
τοῦ κρατῆσαι τοὺς τύπους· ἐπὶ δὲ ἀψύχων οὐ γίνεται τοῦτο, οἷον ἐπὶ
τοῦ κατόπτρου· μετὰ τὴν ἀπουσίαν γὰρ τοῦ αἰσθητοῦ οὐδὲν μένει· οὐ
γάρ ἐστι τὸ κατέχον. / φαμὲν δὲ ἡμεῖς πρὸς τοῦτο ὅτι κακῶς λέγεις,
Ἀριστότελες· οὔτε γὰρ αἱ ἐνέργειαι τῆς ὄψεώς εἰσι κεχρωματισμέναι,
15 ἀλλὰ τὸ διαφανὲς τῶν μαρμαρυγῶν ἐστιν αἴτιον. αὐτὸ γὰρ τὸ διαφανὲς 40
μετὰ τὴν ἀπουσίαν τοῦ ὁρατοῦ μαρμαρυγάς τινας καὶ προαυγάσματα προ-
χαράττει τῆς ὄψεως. καὶ ταῦτα μὲν τὰ διὰ τῆς λέξεως ἀναφαινόμενα,
καὶ ἔστιν ὡς ἐν συντόμῳ εἰπεῖν ὁ νοῦς Ἀριστοτελικὸς κατάδηλος· βούλεται
γὰρ τὰς κατὰ μέρος αἰσθήσεις καὶ τῶν ὑποκειμένων αὐταῖς ἀντιλαμβά-
20 νεσθαι καὶ μὴν καὶ τῶν οἰκείων ἐνεργειῶν. Ἀλέξανδρος δὲ ἐν τῷ ὑπο-
μνήματι τὰς μὲν πέντε αἰσθήσεις τῶν ὑποκειμένων αὐταῖς αἰσθητῶν βούλεται
εἶναι ἀντιληπτικάς, τὴν δὲ κοινὴν αἴσθησιν εἶναι βούλεται καὶ τῶν ὑποκει- 45
μένων καὶ τῶν ἐνεργειῶν αὐτῶν ἀντιληπτικήν. Πλούταρχος δὲ λογικῆς
ψυχῆς ἔφη εἶναι ἔργον τὸ γνῶναι τὰς ἐνεργείας τῶν αἰσθήσεων· φησὶ γὰρ
25 ὅτι κατὰ τὸ ἄτιμον μέρος τῆς λογικῆς ψυχῆς, ὅπερ ἐστὶν ἡ δόξα, τοῦτο
γίνεται. ἡ γὰρ δόξα, τὸ κοινότατον μέρος τῆς ψυχῆς καὶ ἄτιμον, συνάπτει
τὴν λογικὴν τῇ ἀλόγῳ. ἀεὶ γάρ, ὡς πολλάκις ἔγνωμεν, κατὰ ἄτιμα μέρη
ἑαυτῶν τὰ πρῶτα συνάπτεται τοῖς δευτέροις. ὥσπερ οὖν καὶ νῦν. τῆς
οὖν δόξης εἶναι λέγει τὸ ταῦτα ποιεῖν καὶ ἀντιλαμβάνεσθαι τῶν ἐνεργειῶν 50
30 τῶν αἰσθήσεων. οἱ δέ γε νεώτεροι ἐξηγηταὶ μήτε τὴν Ἀλεξάνδρου καται-
δεσθέντες ὀφρὺν μήτε Πλουτάρχῳ πειθόμενοι. ἀλλὰ καὶ αὐτὸν Ἀριστο-
τέλη ἀπωσάμενοι νεωτέραν ἐφεῦρον ἐξήγησιν. φασὶ γὰρ ὅτι τοῦ προσεκτι-
κοῦ μέρους τῆς λογικῆς ψυχῆς ἐστι τὸ ἀντιλαμβάνεσθαι τῶν ἐνεργειῶν
τῶν αἰσθήσεων. ἡ γὰρ λογικὴ ψυχὴ οὐ μόνον πέντε δυνάμεις ἔχει, νοῦν,
35 διάνοιαν, δόξαν, βούλησιν καὶ προαίρεσιν κατ' αὐτούς, ἀλλὰ καὶ ἄλλην ἕκτην
τινὰ δύναμιν προστιθέασι τῇ λο|γικῇ ψυχῇ, ἣν καλοῦσι προσεκτικήν, 0 5v
προσεκτικόν, φασίν, ἐφιστάνει τοῖς γινομένοις ἐν τῷ ἀνθρώπῳ καὶ λέγει

---

1 ἐπεὶ — ἀντίληψις (3) At: om. D 4 ὅτι δὲ — κεχρῶσθαι (6 ante ἐκ) A: δῆλον φησίν, ὑπάρχει D: ὅτι δὲ — πώς εἰσιν (4.5) om. t 5 ἀσώματον A: ἀσώματος t 9 ᾧ At: om. D 11 τοὺς At: om. D 14 οὔτε D: οὐδὲ t 19 αὐταῖς et 20 καὶ μὴν At: om. D 25 ὅπερ] ὅ D 26 τὸ om. t κοινώτατον D 27 κατὰ A^1D: κατὰ τὰ corr. A^2t 28 οὖν D: om. A: εἶναι λέγει t 29 εἶναι λέγει A: ἐστὶ D: om. t 34 πέντε δυνάμεις scripsi: ἐν (volebat ε̄) δυνάμεις D: ἐν δυνάμει t 36 προστιθέασι A: προσωθοῦσι Dt

ἐγὼ ἐνόησα. ἐγὼ διενοήθην. ἐγὼ ἐδόξασα. ἐγὼ ἐθυμώθην. ἐγὼ ἐπεθύμησα. 0 5v
καὶ ἁπλῶς τοῦτο τὸ προσεκτικὸν μέρος τῆς λογικῆς ψυχῆς διὰ πασῶν τῶν
δυνάμεων δίεισιν, τῶν τε λογικῶν καὶ τῶν ἀλόγων καὶ τῶν φυτικῶν. εἰ οὖν
δεῖ, φασί, τὸ προσεκτικὸν διὰ πάντων διιέναι, καὶ διὰ τῶν αἰσθήσεων χωρείτω 5
5 καὶ λεγέτω ἐγὼ εἶδον, ἐγὼ ἤκουσα· τοῦ γὰρ ἀντιλαμβανομένου τῶν ἐνερ-
γειῶν ἴδιον τὸ ταῦτα λέγειν. εἰ οὖν τὸ προσεκτικόν ἐστι τὸ ταῦτα λέγον,
αὐτὸ ἄρα ἐστὶ τὸ τῶν ἐνεργειῶν ἀντιλαμβανόμενον τῶν αἰσθήσεων. δεῖ
γὰρ ἓν εἶναι τὸ πάντων ἀντιλαμβανόμενον, ἐπειδὴ καὶ εἷς ἐστιν ὁ ἄνθρωπος.
εἰ γὰρ ἄλλο μὲν τῶνδε ἀντιλαμβάνοιτο, ἄλλο δὲ τῶνδε, ὅμοιόν ἐστιν, ὡς
10 ἐν ἄλλοις αὐτὸς λέγει, ὡς εἰ σὺ μὲν τοῦδε αἴσθοιο, τοῦδε δὲ ἐγώ. δεῖ
οὖν ἓν εἶναι, ὅ ἐστι τὸ προσεκτικόν· τοῦτο γὰρ τὸ προσεκτικὸν διὰ πάντων
φοιτᾷ τῶν δυνάμεων καὶ τῶν γνωστικῶν καὶ τῶν ζωτικῶν. ἀλλ' εἰ μὲν 10
διὰ τῶν γνωστικῶν φοιτᾷ, λέγεται προσεκτικόν, ὅθεν ὅτε κατὰ τὰς γνω-
στικὰς ἐνεργείας ῥεμβομένῳ τινὶ θέλομεν ἐπιπλῆξαι, φαμὲν αὐτῷ 'πρόσεχε
15 σαυτῷ'· εἰ δὲ διὰ τῶν ζωτικῶν χωρεῖ, λέγεται συνειδός, ὅθεν ἡ τραγῳδία
φησὶν 'ἡ σύνεσις, ὅτι σύνοιδα ἐμαυτῷ δεινὰ εἰργασμένῳ'. τὸ προσεκτικὸν
οὖν ἐστι τὸ τῶν ἐνεργειῶν τῶν αἰσθήσεων ἀντιλαμβανόμενον. καὶ κακῶς,
φασίν, ὁ Πλούταρχος τὴν δόξαν ᾐτιάσατο· δεῖ γὰρ ἓν εἶναι τὸ ἀντιλαμβα-
νόμενον τῶν ἐνεργειῶν πασῶν τῶν δυνάμεων, ἡ δὲ δόξα οὐκ ἀντιλαμβά- 15
20 νεται τῶν ἐνεργειῶν τοῦ νοῦ· οὐ γὰρ λέγει ἡ δόξα ἐγὼ ἐνόησα ἢ ἐγὼ
διενοήθην. κἂν γὰρ εἴπῃ ὅτι ἐγὼ ἐδόξασα, ἐγὼ ἐθυμώθην, ἀλλὰ τὰς τῶν
κρειττόνων ἐνεργείας οὐ δύναται θεωρῆσαι.// ταῦτα δὲ λέγοντες οὐ κατηγο-
ροῦσι Πλουτάρχου· οὐδαμοῦ γὰρ αὐτὸν εὗρον λέγοντα ὅτι ἡ δύναμις ἡ
αἰσθανομένη τῶν ἐνεργειῶν τῶν αἰσθήσεων τῆς δόξης ἐστίν, ἀλλὰ συμ-
25 φωνεῖ κατὰ τοῦτο τῷ Ἀλεξάνδρῳ, τὴν κοινὴν αἴσθησιν καὶ αὐτὸς αἰτιώ-
μενος, καὶ ἀμφότεροι κακῶς λέγοντες ἐξελέγχονται, τὴν κοινὴν αἴσθησιν 20
φάσκοντες ἀντιλαμβάνεσθαι τῶν ἐνεργειῶν ἑκάστης αἰσθήσεως. καὶ γὰρ
ἡ κοινὴ αἴσθησις οὐδενὸς ἀντιλαμβάνεται ὃ μή ἐστιν αἰσθητόν· πᾶν δὲ
αἰσθητὸν ἐν σώματί ἐστιν, ἡ δὲ ἐνέργεια οὐκ ἔστιν ἐν σώματι· διὸ
30 οὐδὲ ἔστιν αἰσθητή. εἰ δὲ μή ἐστιν αἰσθητή, οὐδὲ ὑποπίπτει τῇ
κοινῇ αἰσθήσει. // καὶ ἡμεῖς δὲ τούτοις συντιθέμεθα ὅτι οὐκ ἔστιν
ἕκτη αἴσθησις ἡ τὸ ὅτι γινώσκουσα, οὔτε μὴν ὅτι καὶ ἡ αὐτὴ ὁρᾷ καὶ
οἶδεν ὅτι ὁρᾷ, ἀλλ' ὅτι τῆς λογικῆς ἐστι τοῦτο ψυχῆς, καὶ ταύτης τοῦ 25
προσεκτικοῦ. /ὅτι μὲν γὰρ οὐκ ἔστιν ἕκτη αἴσθησις ἡ τὸ ὅτι εἰδυῖα, δεχό-
35 μεθα κατὰ τὰ παρὰ Ἀριστοτέλους εἰρημένα· ὅτι δὲ ἡ αὐτή ἐστιν ἡ αἰσθα-

---

2 καὶ A: om. Dt 4 διέναι D 6 λέγον] λέγων t 9 δὲ om. D
10 ἐν ἄλλοις] p. 426b19 εἰ σὺ] εἰσὶ t 12 φοιτᾷ D: φυτὰ t 14. 15 προσέχεσαν τῷ t 15 συνοδός t ἡ τραγῳδία] Eurip. Orest. v. 396 ἡ σύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος 16 δεινὰ A: δεῖν Dt 18 φησίν t ὁ Πλούταρχος] ὁ πλάτων A
22 οὐ (post λέγοντες) om. D 23 πλουτάρχω t λέγονται t 25 ante τὴν κοινὴν add. τοῦ D 27. 28 καὶ γὰρ ἡ At: εἰ γὰρ D 29. 30 διὸ οὐδὲ At: καὶ οὐκ D
32 ἡ τὸ t: ἢ τὸ D 34 ἡ scripsi: ἢ Dt εἰδυῖα scripsi: εἰδοῦσα Dt 35 κατὰ om. D αὐτή scripsi: αὕτη Dt

νομένη καὶ γινώσκουσα ὅτι ἥσθετο, οὐ δεχόμεθα αὐτὸν εἰπόντα, ὅτι οὐ 0 5v
συνάγεταί μοι τὸ τὴν ἐνέργειαν κεχρωματίσθαι. κἂν ἡ αὐτὴ οἶδεν τὸ ὅτι.
διότι οὐ χρῶμα μόνον οἶδεν ἡ ὄψις, ἀλλὰ καὶ φῶς καὶ σκότος. ἐροῦμεν
γὰρ πρὸς αὐτὸν ὅτι μόνον καθ' αὑτὸ τὸ χρῶμα οἶδεν ἡ ὄψις, τὰ δὲ ἄλλα
5 τῷ μὴ εἶναι χρῶμα οἶδε κατὰ ἀπόφασιν. καὶ οὐ πάσχει ἐξ αὐτῶν· οὐδεὶς δὲ 30
τὴν οἰκείαν ἐνέργειαν οἶδεν ὁμοίως τοῖς κατὰ ἀπόφασιν. ὥστε οὐδ' ὅτε τοῦ
χρώματος ἀντιλαμβάνεται, οἶδεν ὅτι χρωματίζεται ἡ ἐνέργεια. ὅτι δὲ ἄτοπον
τὸ λέγειν ὡς καὶ ἡ ἐνέργεια κεχρωμάτισταί πως, δῆλον· αὕτη μὲν γὰρ
ἀσώματός ἐστι. τὸ δὲ ἀσώματον πῶς δύναται κεχρωματίσθαι; ἔσται δὲ
10 καὶ ἅμα μετέχουσα λευκοῦ καὶ μέλανος, ἐπειδὴ ἅμα ταῦτα ὁρᾷ, ὅπερ
ἄτοπον. κρεῖττον οὖν ἦν εἰπεῖν ὅτι τὸ αἰσθητήριον κεχρωμάτισται. οὐχ
ἡ ἐνέργεια. εἰ δὲ καὶ πιστοῦται τοῦτο ἐκ τῶν λαμπάδων, φαμὲν ὅτι τοῦτο 35
οὐκ ἔστι χρωματισμὸς ἐνεργείας, ἀλλὰ σφοδρὰ πληγὴ τοῦ αἰσθητοῦ πάθος
ποιήσασα ἐν τῷ αἰσθητηρίῳ, οὗ πάθους τὸν τύπον λαβοῦσα ἡ φαντασία
15 ἐκράτησε, καὶ διὰ τοῦτο ὁρῶνται αὐτῇ αἱ λαμπάδες. ὅτι δὲ οὐκ ἔστι χρω-
ματισμός. δῆλον. ἐπειδὴ καὶ κλειόντων ἡμῶν τοὺς ὀφθαλμοὺς ὁρᾶται. δεῖ
γὰρ εἰδέναι ὅτι οὐδὲν ἄλλο ἐστὶ φαντασία ἢ μικρὰ αἴσθησις, ὥσπερ καὶ
αἴσθησις σφοδρά ἐστι φαντασία. καὶ ἄλλως δὲ ἄτοπον τὸ τὴν αὐτὴν
αἴσθησιν εἰδέναι ὅτι ὁρᾷ. πάντως γὰρ μετὰ τὸ εἰδέναι τὸ χρῶμα ἐπι- 40
20 στρέφουσα πρὸς ἑαυτὴν γινώσκει ὅτι ὁρᾷ· εἰ δὲ ἐπιστρέφει πρὸς ἑαυτήν,
καὶ χωριστῆς ἐστιν ἐνεργείας, τὸ δὲ χωριστῆς ὂν ἐνεργείας καὶ χωριστῆς
ἐστιν οὐσίας, καὶ διὰ τοῦτο καὶ ἀίδιον καὶ ἀσώματον. ἔσται οὖν ὁ ἀμφι-
βόλως τὴν λογικὴν ψυχὴν λέγων ἀθάνατον φανερῶς βοῶν εἶναι τὴν ἄλογον
ἀθάνατον, ὅπερ ἄτοπον· οὔτε γάρ εἰσιν αἱ αἰσθήσεις ἀίδιοι, καὶ διὰ τοῦτο
25 οὐκ ἐπιστρέφουσι πρὸς ἑαυτάς· εἰ δὲ μὴ ἐπιστρέφουσι πρὸς ἑαυτάς, οὐκ
ἀντιλαμβάνονται τῶν οἰκείων ἐνεργειῶν· οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ πρὸς 45
ἑαυτὸ ἐπιστρέφειν ἢ τὸ τῶν οἰκείων ἐνεργειῶν ἀντιλαμβάνεσθαι. ὥστε οὐκ
ὀρθῶς λέγει Ἀριστοτέλης, ἀλλ' ὡς εἴπομεν τοῦ προσεκτικοῦ ἐστι τῆς
ψυχῆς τὸ γινώσκειν τὰς ἐνεργείας τῶν αἰσθήσεων. καὶ ὅτι τοῦτο οὕτως
30 ἔχει, ἐκ τῶν πραγμάτων ἔστιν ἰδεῖν· ἀσχολουμένου γὰρ τοῦ λόγου περί
τι, κἂν ὁρᾷ ἡ ὄψις, οὐκ οἴδαμεν ὅτι εἶδεν, διότι ἠσχόληται ὁ λόγος· καὶ
μετὰ ταῦτα ἐπειδὴ ἦλθεν εἰς ἑαυτὸν ὁ λόγος, καὶ μὴ ὁρῶν τὸν φίλον
καὶ νῦν φησιν ὅτι εἶδον αὐτόν, οἱονεὶ μικρὸν ἐναπολαβὼν τόπον τοῦ ὁρα-
θέντος, εἰ καὶ ἠσχόληται νῦν, ἀνανήψας εἶπεν ὅτι εἶδον. ὥστε τοῦ λόγου 50
35 ἐστὶ τὸ εἰπεῖν ὅτι εἶδον. εἰ δέ τις ἀπορήσει καὶ πῶς εἴρηται ὅτι περὶ τὰ
καθόλου ὁ λόγος ἀσχολεῖται, νυνὶ δὲ μετὰ τῶν κατὰ μέρος αἰσθήσεων

---

2 τὸ τὴν] τοῦ τὴν t 6 οὐδ' A: om. Dt 7 οἶδεν ὅτι A: om. Dt ὅτι δὲ ἄτοπον t: ὅτε διάτοπον D 8 τό τε λέγειν t 9 ἔσται D: ἔστι t 14 οὐ πάθος t 15 διὰ τοῦτο At: om. D ὅτι δὲ A: δὲ om. D: καὶ ὅτι t 21 καὶ χωριστῆς (post ἑαυτήν) scripsi: κεχωριστῆς Dt: καὶ χωρὶς A καὶ χωριστῆς (post ἐνεργείας) AD: κεχωριστῆς t 24 ἴδιοι D 32 ἐπὰν ὁ λόγος εἰς ἑαυτὸν ἐπανέλθοι A 34 ἠσχόληται νῦν D: ἠσχόλη (corr. ex —λει m. pr.) τοίναυ (sic) A: ἠσχόλοι τοίνυν t ἀνανήψας] νίψας D

εἴπομεν αὐτὸν ἐνεργεῖν, εἰπὲ πρὸς τοῦτο ὅτι ἡνίκα μὲν κέχρηται ὀργάνῳ 0 5ᵛ
τῷ σώματι, περὶ τὰ κατὰ μέρος ἐνεργεῖ, ὅτε δὲ οὐ κέχρηται αὐτῷ ὡς
ὀργάνῳ, περὶ τὰ καθόλου ἐνδιατρίβει· νυνὶ δὲ τῷ σώματι κέχρηται. καὶ
ταῦτα μὲν οὕτως· τροφεῖα δὲ οὐκ ἀποδίδομεν Ἀριστοτέλει, ἀλλὰ ψευδῆ τὸν
5 αὐτοῦ λόγον ποιού|μεθα. φαμὲν οὖν ὅτι συμφωνεῖ ἡμῖν. ὅτε γὰρ λέγει 0 6ʳ
ὅτι ἡ αἴσθησις οἶδεν τὸ ὅτι ἐνεργεῖ, τοῦτο λέγει αὐτὴν εἰδέναι οὐχ ὡς
αἴσθησιν ἀλλ' ὡς ὄργανον οὖσαν τοῦ λόγου· ὥσπερ γὰρ ἄνω εἶπεν ὅτι ἡ
ὄψις οἶδεν τὸ γλυκὺ οὐχ ὡς ὄψις ἀλλ' ὡς κοινὴ αἴσθησις, οὕτω καὶ νῦν
τοῦτο εἶπε. καὶ οὐ μόνον αὐτὸς τοῦτο ποιεῖ, ἀλλὰ καὶ ἡ κοινὴ συνήθεια
10 ἔθος ἔχει τοῦτο, ἔνθα λέγει ὅτι ὁ σκέπαρνος τὸν θρόνον ἐποίησε. καὶ ἰδοὺ
τῷ ὀργάνῳ φιλοτιμεῖται τὸ ἔργον, οὐχ ὅτι αὐτὸ ἐποίησεν αὐτό, ἀλλ' ὁ 5
χρησάμενος ἐργάτης. ἐν οἷς ἡ θεωρία σὺν θεῷ πληροῦται.

Ἐπεὶ δ' αἰσθανόμεθα ὅτι ὁρῶμεν καὶ ἀκούομεν. καλῶς εἶπεν
ὅτι αἰσθανόμεθα ὅτι ὁρῶμεν, καὶ οὐκ εἶπεν 'ἐπεὶ δὲ ὁρῶμεν'· οὐ γὰρ
15 ἐπὶ ὄψεως μόνον τὸν λόγον γυμνάζει, ἀλλὰ καὶ ἐπὶ πάσης αἰσθήσεως·
διὸ κοινὸν εἶπεν τὸν λόγον ἀπὸ τοῦ αἰσθάνεσθαι. ἀλλ' ἡ αὐτὴ ἔσται
τῆς ὄψεως καὶ τοῦ ὑποκειμένου χρώματος. ἐπειδὴ δὲ κατὰ διαί-
ρεσιν εἶπεν φάσκων ἢ τῇ αὐτῇ αἰσθήσει τὸ ὑποκείμενον καὶ τὴν ἐνέργειαν
οἴδαμεν, ἢ ἄλλῃ μὲν τὸ ὑποκείμενον, ἄλλῃ δὲ τὴν ἐνέργειαν, διὰ [τῆς] 10
20 τῶν λοιπῶν ἐλέγχει τὸ ἓν σκέλος τῆς διαιρέσεως τὸ λέγον ὅτι ἄλλη ἐστὶν
ἡ ἀντιλαμβανομένη τῆς ὄψεως, ὅ ἐστι τῆς ἐνεργείας, καὶ ἄλλη ἡ τοῦ ὑπο-
κειμένου. αὐτὸς δὲ οὐκ εἶπε 'καὶ ἄλλη ἡ τοῦ ὑποκειμένου', διὸ καὶ
ἀσαφῆ ἐποίησε τὸν λόγον. εἶτα βουλόμενος σαφηνίσαι τί ἐστι τὸ ὑποκεί-
μενον, ἐπήγαγε χρῶμα· ὄψεως γὰρ ὑποκείμενον τὸ χρῶμα.

25 p. 425ᵇ14 Ὥστε ἢ δύο τοῦ αὐτοῦ ἔσονται ἢ αὐτὴ αὑτῆς.

Ἐντεῦθεν τὸ ἄτοπον ἐπάγει. φησὶ γὰρ ὅτι εἰ ταῦτα οὕτως ἔχει καὶ 15
ἄλλη μὲν τοῦ ὑποκειμένου αἰσθάνεται, ἄλλη δὲ τῆς ἐνεργείας, συμβήσεται
δύο εἶναι τοῦ αὐτοῦ αἰσθήσεις, οἷον τοῦ χρώματος τὴν ὄψιν καὶ τὴν ἄλλην
αἴσθησιν τὴν αἰσθανομένην τῆς ἐνεργείας τῆς ὄψεως, καὶ δύο τοῦ αὐτοῦ
30 εὑρεθήσεται αἰσθανόμενα καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός, ὅπερ ἄτοπον.
εἰ δὲ πάλιν ἡ αὐτή ἐστιν ἡ αἰσθανομένη καὶ τοῦ χρώματος καὶ τῆς οἰκείας
ἐνεργείας, πάλιν ἄλλο ἕψεται ἄτοπον τὸ αὐτὴν ἑαυτῆς αἴσθησιν εἶναι.

p. 425ᵇ15 Ἔτι δ' εἰ καὶ ἑτέρα εἴη. 20

Ἐντεῦθεν ἕτερον ἄτοπον συνάγει τῇ αὐτῇ ὑποθέσει τῇ λεγούσῃ ὅτι

---

2 ἐνεργεῖν t 4 ἀποδιδοῦμεν D 6 τοῦτο λέγειν t 8 ὄψις οἶδα t
10 ἔθος t 13 καὶ ἀκούομεν om. t 13. 14 καλῶς — αἰσθανόμεθα D: ἐπεὶ δ' αἰσθανόμεθα εἶπεν t 17. 18 κατὰ διαίρεσιν] ἀναίρεσιν (—σις?) D
21 τὰς ἐνεργείας D καὶ ἄλλου t 25 post ὥστε add. ἂν (cum Ald.) t
ἢ αὐτὸ, ut vid., D

ἄλλη ἔστι δύναμις ἡ αἰσθανομένη τῆς ἐνεργείας. ὥστε ἐπὶ τῆς πρώτης 0 6r
τοῦτο ποιητέον, ὡσεὶ ἔλεγεν ὅτι δεῖ στῆναι ἐπὶ τῆς πρώτης καὶ εἰπεῖν
ὅτι αὐτὴ ἑαυτῆς ἀντιλαμβάνεται καὶ γινώσκει ἡ ὄψις ὅτι αἰσθάνεται τοῦ
χρώματος, ὁμοίως καὶ ἡ ἀκοὴ τοῦ ἀκουστοῦ, ὡσαύτως καὶ αἱ λοιπαί. εἰ 25
5 γὰρ τὸ εἰδέναι ἄλλην αἴσθησιν τὸ ὅτι εἰς ἀπορίαν ἄγει τὸν λόγον, ἀνάγκη,
φησίν, ἐπὶ τὸ πρῶτον ἐλθεῖν καὶ εἰπεῖν ὅτι αὐτὴ οἶδεν τὴν οἰκείαν ἐνέρ-
γειαν. καὶ ἔδει μᾶλλον εἰπεῖν τὸ εὐθύς, ἵνα εἶπεν 'ὥστε ἐπὶ τῆς πρώτης
εὐθὺς τοῦτο ποιητέον'. τινὲς δὲ καὶ οὕτω τὸ παρὸν ῥητὸν ἐξηγήσαντο,
ὅτι εἰ ἡ αἴσθησις ἡ ἀντιλαμβανομένη τῆς ἐνεργείας τῆς ἄλλης αἰσθήσεως
10 ἀντιλαμβάνεται τῆς οἰκείας ἐνεργείας, διὰ τί μὴ καὶ ἡ πρώτη, ὅ ἐστιν ἡ
ἀντιλαμβανομένη τοῦ ὑποκειμένου, ἀντιλαμβάνεται τῆς οἰκείας ἐνεργείας; 30
ἀποκληρωτικὸν γὰρ τὸ τοιοῦτόν ἐστιν.

p. 425b17 Ἔχει δ' ἀπορίαν· εἰ γὰρ τὸ τῇ ὄψει αἰσθάνεσθαί ἐστιν ὁρᾶν.

15 Ἐντεῦθεν τὴν ἀπορίαν τὴν κατὰ τῆς ἄλλης ὑποθέσεως λέγει τὴν
λέγουσαν ὅτι εἰ ἡ αὐτὴ αἴσθησις καὶ τῶν ὑποκειμένων καὶ τῶν ἐνεργειῶν
ἀντιλαμβάνεται, καὶ χρῶμα ἕξει τὸ ὁρῶν πρῶτον. καλῶς πρόσκειται τὸ 35
πρῶτον, ἐπειδὴ τὰ εἴδη τῶν αἰσθητῶν δέχεται ἡ ὄψις ἐν τῷ ἐνεργεῖν
πρὸς τὰ ἔξω, λέγει δὲ ὅτι καὶ πρὸ τούτου αὐτὴ καθ' ἑαυτὴν χρῶμα ἕξει,
20 εἴπερ ἐστὶν ὁρατὸν ὑπὸ ἄλλου.

p. 425b20 Φανερὸν τοίνυν ὅτι οὐχ ἓν τὸ τῇ ὄψει αἰσθάνεσθαι.

Ἐντεῦθέν ἐστιν ἡ λύσις τῆς εἰρημένης ἀπορίας. καὶ σκόπει ὅτι ταύτην
μὲν ἔλυσε τὴν ἀπορίαν, εἰ δὲ βούλει, παρεμυθήσατο ὡς ἂν μᾶλλον ταύτῃ 40
τῇ δόξῃ πειθόμενος, παρῆκε δὲ τὴν λοιπὴν ἀπορίαν ἄλυτον τὴν φερομένην
25 κατὰ ταύτης τῆς δόξης τὴν λέγουσαν ὅτι εἰ μία ἐστὶ δύναμις καὶ ἡ
ὁρῶσα καὶ ἡ γινώσκουσα τὴν ἐνέργειαν, ἔσται τὸ αὐτὸ αἰσθητὸν καὶ αἰσθα-
νόμενον. ἀλλὰ διὰ τοῦ τὴν ἀντικειμένην ἀναιρεῖν δόξαν δοκεῖ καὶ ταύτην
ἐπιλύεσθαι. παραμυθίαι δέ εἰσιν αὗται τῶν ἀποριῶν.

p. 425b22 Ἔτι δὲ καὶ τὸ ὁρῶν ἔστιν ὡς κεχρωμάτισται.

30 Τὸ ἔστιν ὡς πρόσκειται ἀντὶ τοῦ ἀμωσγέπως· κεχρωμάτισται γάρ, 46
φησίν, ἡ ἐνέργεια. ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

---

3 ἀντιλαμβάνηται t 9 εἰ om. D 15. 16 τὴν λέγουσαν scripsi: τῆς λεγούσης Dt
16 εἰ ἡ αὐτὴ A: εἰ om. D: ἡ om. t 17 ἀντιλαμβάνεται A: ἀντιλαμβάνονται Dt
18 ἐν τῷ A: om. Dt 19 αὐτὴ A: αὐτῇ Dt 24 φερομένων t 26 καὶ (post
αἰσθητὸν)] μὴ t 28 περιμυθίαι t 29 κεχρωμάτισται t Arist. vulg.: κέχρωσται D
(sed cf. v. 30 et p. 469,3) Arist. T 30 post φησίν fort. addendum ἀμωσγέπως
31 post πληροῦται add. πρᾶξις σὺν θεῷ γ' marg. D¹t

p. 425ᵇ25 Ἡ δὲ τοῦ αἰσθητοῦ ἐνέργεια καὶ τῆς αἰσθήσεως ἡ αὐτὴ μέν ἐστι καὶ μία, τὸ δὲ εἶναι αὐταῖς οὐ ταὐτόν. 0 6r

Ἐπειδὴ ἀνωτέρω εἶπεν ὅτι ἀμωσγέπως κεχρωμάτισται ἡ ἐνέργεια (τοῦτο δὲ ἔδειξεν ἐκ τῶν προφαινομένων λαμπάδων καὶ μετὰ τὴν ἀπουσίαν τοῦ αἰσθητοῦ) καὶ ὅτι ἡ κατ' ἐνέργειαν αἴσθησις ἐνεργεῖ τῷ δέχεσθαι τὰ εἴδη τῶν αἰσθητῶν, καὶ μέχρι τούτου κατὰ τὴν προτεραίαν καταντήσας, ἐντεῦθεν αὐτὸ βούλεται ἐπιτεῖναι, ὡσεὶ ἔλεγε καὶ τί φημι ὅτι τὰ εἴδη τῶν αἰσθητῶν χωρεῖ εἰς τὴν κατ' ἐνέργειαν αἴσθησιν τῷ ἐνεργείᾳ αἰσθητῷ; διττὸν γὰρ τὸ αἰσθητόν, τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ, καὶ διττὴ ἡ αἴσθησις, ἡ μὲν δυνάμει ἡ δὲ ἐνεργείᾳ. ἡ οὖν ἐνεργείᾳ αἴσθησις ἡ αὐτή 0 6v ἐστι τῷ ἐνεργείᾳ αἰσθητῷ. εἰ γὰρ ἡ μὲν ἐνέργεια κεχρωμάτισται, τὸ δὲ αἰσθητὸν χρῶμά ἐστι, ταὐτὸν ἄρα ἐστὶν ἡ κατ' ἐνέργειαν αἴσθησις τῷ κατ' ἐνέργειαν αἰσθητῷ· αἰσθητῷ λέγει δηλονότι τῷ συμμέτρῳ· τὸ γὰρ ἄμετρον φθείρει τὴν ὄψιν. εἰ δὲ ἦν αὕτη τῷ ἀμέτρῳ αἰσθητῷ ταὐτόν, ἑαυτῆς ἔμελλεν εἶναι φθαρτική, ὅπερ ἄτοπον. μὴ νόμιζε δέ, ἐπειδὴ ταὐτὸν λέγει εἶναι τὴν κατ' ἐνέργειαν αἴσθησιν τῷ κατ' ἐνέργειαν αἰσθητῷ, ὅτι καὶ τοὺς λόγους φησὶ τῶν αἰσθητῶν εἶναι ἐν τῇ αἰσθήσει, ὅπου γε οὐδὲ τὴν λογικὴν ψυχήν φησι ἔχειν λόγους τῶν πραγμάτων, ἀλλ' ἀγράφῳ ἐοικέναι γραμματείῳ. τὸ γὰρ λόγους ἔχειν Ἐμπεδοκλέους ἐστίν, ἐν οἷς φησι "γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν." ὁ γὰρ Ἀριστοτέλης οὐ τοῦτο λέγει, ἀλλὰ διὰ τὸ εὐτύπωτον· ἡ γὰρ ἐνεργείᾳ αἴσθησις εὐτύπωτός ἐστι καὶ εὔπλαστος πρὸς τὸ δέξασθαι τὰ εἴδη τῶν κατ' ἐνέργειαν αἰσθητῶν πραγμάτων· καὶ διὰ τοῦτο τὴν αὐτὴν λέγει εἶναι τῷ κατ' ἐνέργειαν αἰσθητῷ τὴν κατ' ἐνέργειαν αἴσθησιν. καὶ τοῦτο κατασκευάζει οὕτως. πρῶτον μέν, εἰ οὐδέν ἐστι, φησίν, ἡ κατ' ἐνέργειαν αἴσθησις εἰ μὴ τὸ ἔχειν τὰ κατ' ἐνέργειαν αἰσθητά, αἰσθητὰ δὲ κατ' ἐνέργειάν ἐστι τὰ ἐχόμενα ὑπὸ αἰσθήσεως, τὸ δὲ ἐχόμενον καὶ ἔχον ταὐτόν ἐστι, καὶ ἡ κατ' ἐνέργειαν ἄρα αἴσθησις ταὐτόν ἐστι τῷ κατ' ἐνέργειαν αἰσθητῷ. καὶ ἐξ ἄλλου δὲ δριμύτερον καὶ φυσικώτερον τὸν λόγον ἀποδείκνυσιν. φησὶ γὰρ οὕτω· δέδεικται ἐν τῷ τρίτῳ λόγῳ τῆς Φυσικῆς ἀκροάσεως ὅτι πᾶν ποιοῦν καὶ πάσχον τῷ μὲν ὑποκειμένῳ ταὐτό ἐστι, τῇ δὲ σχέσει διάφορον· καὶ γοῦν ἐμεμνήμεθα λέγοντες ὅτι ἡ μάθησις καὶ ἡ δίδαξις ἡ αὐτὴ ἦν τῷ ὑποκειμένῳ, τῇ δὲ σχέσει διάφορος. τὸ γὰρ αὐτὸ θεώρημα πρὸς μὲν τὸν μαθητὴν μάθησις λέγεται, πρὸς δὲ τὸν διδάσκαλον δίδαξις. ὥστε πᾶν ποιοῦν καὶ πάσχον τῷ μὲν ὑποκειμένῳ ταὐτόν ἐστι, τῇ δὲ σχέσει διάφορον.

---

3 ἀνοτέρω t 9 τὸ μέν] τὸ μὴν t 10 ἐνεργείᾳ (post δὲ) A: ἐνέργεια Dt 14 αὕτη A: ἡ αὐτὴ Dt 18 ἀλλὰ γράφω D 19 γραμματείῳ A: γραμματίῳ Dt Ἐμπεδοκλέους] fragm. v. 378 Mullach 21 εὐτύποτον et εὐτύποτός t ἐνέργειαι t 25 εἰ μὴ A: εἰ D: ἢ t τὰ] τὸ D post τὰ add. καὶ t 30 ἐν τῷ τρίτῳ λόγῳ τῆς Φυσικῆς ἀκροάσεως] c. 3 p. 202ᵃ31 sqq. 35 ποιῶν D

εἰ οὖν καὶ ἡ κατ' ἐνέργειαν αἴσθησίς τι πάσχον ἐστὶ καὶ τὸ κατ' ἐνέργειαν 0 6ᵛ
αἰσθητόν τι ποιοῦν ἐστι, δῆλον ἄρα ὅτι συναχθήσεται καὶ αὐτὰ τῷ μὲν 20
ὑποκειμένῳ ταὐτὰ εἶναι, τῇ δὲ σχέσει διάφορα. οὕτως οὖν καὶ φυσικῶς
τὸν λόγον ἀποδείκνυσιν. ἰστέον δὲ ὅτι δύο οὐσῶν σχέσεων, τῆς μὲν πρὸς
5 τὴν κατ' ἐνέργειαν αἴσθησιν, ἥτις ἐστὶ τὸ ἔχειν, τῆς δὲ πρὸς τὸ κατ'
ἐνέργειαν αἰσθητόν, ἥτις ἐστὶ τὸ ἔχεσθαι, ἐπὶ μιᾶς τῆς ἀκοῆς λαμ-
βάνει τὸ διττὸν τῆς σχέσεως, διὰ τὸ ἐπ' ἐνίων ἑκατέραν τῶν σχέσεων
μὴ κατονομάζεσθαι. πέντε γὰρ οὐσῶν αἰσθήσεων, ἐπὶ μιᾶς μόνον,
λέγω δὴ τῆς ἀκοῆς, ἄμφω αἱ σχέσεις εἰσὶ κατωνομασμέναι, ἥ τε τοῦ
10 κατ' ἐνέργειαν αἰσθητοῦ καὶ ἡ τῆς κατ' ἐνέργειαν αἰσθήσεως. ἐπὶ 25
μὲν γὰρ τῆς κατ' ἐνέργειαν αἰσθήσεως ἡ σχέσις ἄκουσις λέγεται, ἡ
δὲ τοῦ κατ' ἐνέργειαν αἰσθητοῦ σχέσις ψόφησις λέγεται. ἐπὶ δὲ τῶν
λοιπῶν αἰσθήσεων οὐκ ἔστιν εὑρεῖν ὄνομα· τὴν μὲν γὰρ τῆς κατ' ἐνέρ-
γειαν ὄψεως σχέσιν λέγομεν ὅρασιν, τὴν δὲ τῆς κατ' ἐνέργειαν ὁρατοῦ
15 σχέσιν ὀφείλομεν μὲν εἰπεῖν χρῶσιν, οὐ λέγομεν δέ, καὶ διὰ τί, ἐν τῇ
λέξει μαθησόμεθα. ἐπειδὴ οὖν οὐκ ἐπὶ πασῶν τῶν αἰσθήσεων τὸ διττὸν
τῆς σχέσεως κατωνόμασται, διὰ τοῦτο λανθάνει πολλάκις, καὶ οὐκ ἐφορῶμεν 30
τὸ διττὸν τῶν σχέσεων. ταῦτα εἰπόντος τοῦ Ἀριστοτέλους, ὁ Ἀλέξανδρος
πόρισμα ἐντεῦθεν συνάγειν δοκεῖ τοῖς τῇ προτεραίᾳ αὐτῷ Ἀριστοτέλει
20 λεχθεῖσιν ὅτι αἱ πέντε αἰσθήσεις τῶν οἰκείων ἐνεργειῶν ἀντιλαμβάνονται.
φησὶ γὰρ Ἀλέξανδρος, εἰ ταὐτόν ἐστιν ἡ κατ' ἐνέργειαν αἴσθησις καὶ τὸ κατ'
ἐνέργειαν αἰσθητόν, ἀντιλαμβάνεται δὲ ἡ κατ' ἐνέργειαν αἴσθησις τοῦ κατ'
ἐνέργειαν αἰσθητοῦ, δῆλον ἄρα ὅτι ἑαυτῆς ἀντιλαμβάνεται ἡ κατ' ἐνέργειαν
αἴσθησις. οὐδὲν γὰρ ἕτερόν ἐστιν αὕτη, εἰ μὴ ἐνέργεια τῆς αἰσθήσεως·
25 τότε γὰρ λέγεται κατ' ἐνέργειαν, ὅτε ἐνεργεῖ· ὥστε ὅτι ἡ κατ' ἐνέρ- 35
γειαν αἴσθησις ἑαυτῆς ἀντιλαμβάνεται, δῆλον ἄρα ὅτι τῆς ἐνεργείας ἑαυτῆς
ἀντιλαμβάνεται ἡ αἴσθησις, ὅπερ Ἀριστοτέλει δοκεῖ. καὶ ὁ μὲν Ἀλέξαν-
δρος ταῦτα· φαμὲν δὲ ἡμεῖς ὡς οὐκ ἀληθῆ λέγει. οὔτε γὰρ τοῦτο πόρισμα
ἐνταῦθα συνάγεται· τὸ μὲν γὰρ πρῶτον ἀληθὲς εἰπεῖν ὅτι ταὐτόν ἐστιν ἡ
30 κατ' ἐνέργειαν αἴσθησις τῷ κατ' ἐνέργειαν αἰσθητῷ κατὰ τὸ ὑποκείμενον.
καὶ ὅτι ἀντιλαμβάνεται ἡ κατ' ἐνέργειαν αἴσθησις τοῦ κατ' ἐνέργειαν
αἰσθητοῦ· τὸ δὲ δεύτερον οὐκέτι ἐστὶν ἀληθές, τὸ λέγον ὅτι εἰ αἰσθάνεται 40
τοῦ κατ' ἐνέργειαν αἰσθητοῦ, ἤδη καὶ αὐτῆς ἀντιλαμβάνεται. καὶ ἄλλως
οὐ κατὰ τὸ κοινὸν γινώσκει ἡ κατ' ἐνέργειαν αἴσθησις, ἀλλὰ κατὰ τὸ
35 διάφορον· καθὸ γὰρ πάσχει γινώσκει, διάφορον δέ ἐστι κατὰ τοῦτο· ἡ

---

3 ταὐτὰ A: ταῦτα Dt διαφορὰ D 6. 7 ἐπὶ — λαμβάνει A: λανθάνει D: λανθάνει δὲ t 7 ἑκατέραν τῶν σχέσεων om. D 17 καθορῶμεν A 20 αἱ om. t 21. 22 καὶ τὸ κατ' ἐνέργειαν — ἡ κατ' ἐνέργειαν αἴσθησις A: om. Dt 22. 23 τῷ κατ' ἐνέργειαν αἰσθητῷ t 24 οὐδὲν — αὕτη At: om. D ἐνέργεια A: ἡ ἐνέργεια Dt 25 post ὥστε add. δῆλον t ὅτι] fort. εἰ ἡ om. t 26 post ἀντιλαμβάνεται add. ἡ δὲ κατ' ἐνέργειαν αἴσθησις οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ἐνέργεια τῆς αἰσθήσεως D 27 ἡ om. t μὲν om. t 30 κατὰ τὸ ὑποκείμενον — αἰσθητοῦ (32) (sed τῷ κατ' ἐνέργειαν αἰσθητῷ priore loco) iterat D

μὲν γὰρ αἴσθησις πάσχει, τὸ δὲ αἰσθητὸν ποιεῖ· ὥστε οὐ προσίεμαι τοῦτο, ὦ 6v
ὦ Ἀλέξανδρε, ὅτι καθὸ ἡ αὐτή ἐστι τῷ κατ' ἐνέργειαν αἰσθητῷ ἡ κατ'
ἐνέργειαν αἴσθησις, κατὰ τοῦτο γινώσκει. εἰ δὲ καὶ τοῦτο συγχωρήσω
σοι (αἰσθάνεται γὰρ ἡ κατ' ἐνέργειαν αἴσθησις οὐ τῆς σχέσεως, ἀλλ'
5 ἐκείνου καθ' ὃ ἡ αὐτή ἐστι τῷ κατ' ἐνέργειαν αἰσθητῷ), τί δέ ἐστι τοῦτο; 45
δῆλον ὅτι τὸ ὑποκείμενον· τῷ γὰρ ὑποκειμένῳ ταὐτόν ἐστι, τῇ σχέσει
διάφορα. τί δὲ τὸ ὑποκείμενον; δῆλον ὅτι τὰ εἴδη. τούτων οὖν μόνον
αἰσθάνεται. συνῆκται οὖν ὅτι ἡ κατ' ἐνέργειαν αἴσθησις τοῦ ὑποκειμένου
ἑαυτῆς ἀντιλαμβάνεται, οὐ μὴν τῆς ἐνεργείας ἑαυτῆς, ὑποκείμενα δὲ αὐτῇ
10 εἰσι τὰ εἴδη τῶν χρωμάτων. καὶ ταῦτα μὲν ἐν τούτοις. ὁ δὲ Ἀριστο-
τέλης συνάγει ἐκ τῶν λεχθέντων ἓν μὲν ὅτι εἰ ἡ κατ' ἐνέργειαν 50
αἴσθησις τῷ κατ' ἐνέργειαν αἰσθητῷ ἡ αὐτή ἐστι, δῆλον ὅτι εἰ ἔστιν
ἡ κατ' ἐνέργειαν αἴσθησις, ἔστι καὶ τὸ κατ' ἐνέργειαν αἰσθητόν, καὶ
φθαρείσης πάλιν τῆς κατ' ἐνέργειαν αἰσθήσεως φθείρεται καὶ τὸ κατ'
15 ἐνέργειαν αἰσθητὸν ὡς ὁρώμενον, οὐχ ὡς ὑφιστάμενον. τοῦτο δὲ οὐκ
ἔστιν ἐπὶ τῆς δυνάμει αἰσθήσεως καὶ τοῦ δυνάμει αἰσθητοῦ, οὐχ ὅτι
οὐκ εἰσιν ἅμα· καὶ αὐτὰ γὰρ κατὰ τὸν νόμον τῶν πρός τί εἰσι, καὶ
εἰ ἔστιν ἡ δυνάμει αἴσθησις, ἔστι καὶ τὸ δυνάμει αἰσθητόν, καὶ εἰ
μή ἐστιν αὕτη, οὐδὲ ἐκεῖνο ἔσται· ὥστε κατὰ μὲν τὸ εἶναι συμφωνεῖ
20 τὸ δυνάμει αἰσθη|τὸν τῷ ἐνεργείᾳ αἰσθητῷ καὶ ἡ δυνάμει αἴσθησις 0 7r
τῇ ἐνεργείᾳ αἰσθήσει· διαφωνεῖ δὲ καθὸ ἡ μὲν ἐνεργείᾳ αἴσθησις ἡ αὐτή
ἐστι τῷ ἐνεργείᾳ αἰσθητῷ, ἡ δὲ δυνάμει αἴσθησις οὐκ ἔστιν ἡ αὐτὴ τῷ
δυνάμει αἰσθητῷ, καὶ τοῦτο εἰκότως· οὔτε γάρ ἐστιν ἐνταῦθα τὸ συμφύον
καὶ ἑνοῦν. ἐπὶ γὰρ τῶν ἐνεργείᾳ τὰ εἴδη τῶν αἰσθητῶν γινόμενα ἐν τῇ
25 ἐνεργείᾳ τῆς αἰσθήσεως σχέσιν τινὰ ἐντεῦθεν καὶ συμφυΐαν ἐποίουν· αὐτὴ
γὰρ ἡ ἐνέργεια συνῆπτε καὶ ἐποίει τὴν αἴσθησιν τῷ αἰσθητῷ ταὐτόν. 5
ἐπὶ δὲ τῶν δυνάμει οὔπω μετῆλθε τὰ εἴδη τῶν αἰσθητῶν ἐπὶ τὴν ἐνέρ-
γειαν τῆς αἰσθήσεως, καὶ διὰ τοῦτο οὔπω γέγονέ τις κοινωνία τε καὶ
ἕνωσις. διὰ τοῦτο οὖν ἡ μὲν ἐνεργείᾳ αἴσθησις ἡ αὐτή ἐστι τῷ ἐνεργείᾳ
30 αἰσθητῷ, ἡ δὲ δυνάμει αἴσθησις οὐκ ἔστιν ἡ αὐτὴ τῷ δυνάμει αἰσθητῷ.
// οἱ δέ γε Πρωταγόρειοι οὐ διέστειλαν, ἀλλ' ἔλεγον ὅτι ἡ αἴσθησις ἡ αὐτή
ἐστι τῷ αἰσθητῷ, μὴ διαστείλαντες καὶ εἰπόντες ὅτι ἡ μὲν ἐνεργείᾳ ἡ
αὐτή ἐστιν, ἡ δὲ δυνάμει οὐκ ἔστιν ἡ αὐτή· καὶ τοῦτο εἰκότως. οἱ γὰρ 10
Πρωταγόρειοι οὐκ ἔλεγον ὅλως εἶναι τὸ δυνάμει οὔτε ὑπόστασιν τοῖς αἰσθη-
35 τοῖς παρεῖχον, ἀλλ' ἔλεγον [εἶναι] τὰ αἰσθητά, ἔστ' ἂν ὑποπίπτωσι τῇ
αἰσθήσει, μόνον εἶναι, ἐπειδὴ οὐκ ἔλεγον τὸ δυνάμει, ἀλλὰ τὸ ἐνεργείᾳ
μόνον, καὶ γέννημα αὐτὸ ἔλεγον τῶν αἰσθήσεων. εἰ μὲν γὰρ εἴδομεν,

---

4. 5 οὐ — ἀλλ' ἐκ- in ras. D[1] 7 διάφορα A: διαφορά D: διαφέρον t 13. 14 καὶ φθαρείσης — αἰσθητόν (15) At: om. D 15 ὡς (post οὐχ) At: om. D 17 αὐτὰ scripsi: αὐτὸ Dt 19 οὐδὲ scripsi: οὔτε Dt 26 συνῆπται καὶ ποιεῖ t ταὐτόν A: ταύτην D: ταυτήν t 31 et 34 προταγόρειοι t 31 διέστειλαν scripsi: διέστειλον Dt 35 ἄλλο ἔλεγον D εἶναι delevi 36 post αἰσθήσει add. ὅτι t εἶναι scripsi: εἰσί Dt

φασίν, ἔστι χρῶμα, εἰ δὲ μή, οὐκ ἔστι· νόμῳ γὰρ γλυκὺ καὶ νόμῳ 0 7r
λευκόν. διὰ τοῦτο οὖν καλῶς ἔλεγον, κἂν ἀδιορίστως ἔλεγον, ὅτι ἡ αἴσθησις
τῷ αἰσθητῷ ταὐτόν ἐστιν· † ὡς ἂν γὰρ δήποτε εἰ εἶπον τὸ ἐνεργείᾳ,
εἰσηγάγετο. τοῦτο πρῶτον πόρισμα. δεύτερον πόρισμα ἐν ᾧ ζητεῖ, διὰ τί 15
5 αἱ ἀκρότητες τῶν αἰσθητῶν φθείρουσι τὴν κατ' ἐνέργειαν αἴσθησιν. καὶ
δείκνυσι τοῦτο οὕτως· ἡ κατ' ἐνέργειαν αἴσθησις συμφωνία ἐστίν, ἡ δὲ
συμφωνία λόγος ἐστίν, ὁ δὲ λόγος καὶ ὑπὸ μειώσεως καὶ ἐξ ὑπερβολῆς
φθείρεται. οἷον ὁ ς̄ πρὸς τὸν γ̄ διπλάσιον λόγον ἔχει, καὶ τὸ ἓν πρὸς τὰ
δύο. κἂν οὖν τοῖς β̄ προσθῇς ἕν, οὐ φυλάττεται τὸ διπλάσιον, κἂν ἐκ
10 τῶν ς̄ ἀφέλῃς ἕν, οὐ φυλάττεται τὸ διπλάσιον· ὁ γὰρ λόγος οὐκ ἀνέχεται
ἑνὸς ὅρου προσθήκης ἢ ἐλλείψεως. καλῶς δὲ εἶπεν ἑνὸς ὅρου· εἰ γὰρ 20
ἀμφοτέροις προσθῇς, οἷον τῷ μὲν γ̄ ἕν, τῷ δὲ ς̄ δύο, πάλιν ὁ τοῦ διπλασίου
λόγος φυλάττεται η̄ πρὸς δ̄, διὸ εἴρηται ἑνός. εἰ οὖν ὁ λόγος οὐκ ἀνέ-
χεται προσθήκης ἑνὸς ὅρου ἢ ἐλλείψεως, ἐπεὶ φθείρεται, οὐκ ἄρα οὐδὲ ἡ
15 αἴσθησις προσδέχεται ἔλλειψιν ἢ πρόσθεσιν τοῦ αἰσθητοῦ, ἐπεὶ φθείρεται.
ἀλλ' ἡ μὲν ὑπερβολὴ ἀθρόως φθείρει (ἅμα γὰρ ἐὰν ἀντιλάβηται, πάσχει ἢ
διακρινομένη ἢ συγκρινομένη καὶ φθείρεται) ἡ δὲ ἔνδεια χρόνῳ βλάπτει· τὸ
γὰρ μὴ ἐνεργεῖν βλάπτει. οἱ γὰρ ἐν σπηλαίῳ ὄντες ἐὰν μὴ ἴδωσι πολὺν χρό-
νον, τυφλοῦνται, ὥσπερ καὶ οἱ μὴ ἀκούοντες τὸ αὐτὸ πάσχουσι τῷ μὴ ἐνεργεῖν 25
20 μόνον, διὰ τὸν Ἱπποκράτην εἰρηκότα 'κίνησις κρατύνει, ἀργίη τήκει'. καὶ
ἡμεῖς μὲν καθόλου ἐπὶ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ τὸν λόγον ἐγυμ-
νάσαμεν, αὐτὸς δὲ ἐπὶ ἀκοῆς γυμνάζει τὸν λόγον, καὶ δικαίως, ἐπειδὴ ἐπὶ
αὐτῆς ἐστι καὶ ἀπὸ τοῦ ὑποκειμένου ὄνομα, οἷον ἡ ψόφησις, καὶ ἀπὸ τῆς
αἰσθήσεως ἡ ἄκουσις. ἐπὶ δὲ ὄψεως καὶ γεύσεως ἐρρήθη ὅτι οὐκ ἔστιν
25 ὄνομα ἀπὸ τοῦ ὑποκειμένου. καὶ δι' ἄλλο δὲ ἐπὶ ἀκοῆς ἐγύμνασεν, ἐπειδὴ 30
μέμνηται συμφωνίας, ἡ δὲ συμφωνία κυρίως ἐπὶ φωνῆς λέγεται, ὡς δείξο-
μεν· ὑπόκειται γὰρ τῇ ἀκοῇ ἡ φωνή. διὰ ταῦτα οὖν ἐπὶ ἀκοῆς ἐγύμνασεν.
προάγει δὲ τὸν λόγον οὕτως· εἰ ἡ κατ' ἐνέργειαν ἀκοὴ ταὐτόν ἐστι τῇ
φωνῇ, ἡ δὲ φωνὴ συμφωνία ἐστὶν οὐκ αὐτὴ πρὸς ἑαυτὴν ἀλλὰ πρὸς τὴν
30 ἀκοήν (τοῦτο γὰρ θέλει ὁ λόγος, συμφωνίαν δὲ τὴν κοινωνίαν λέγει), εἰ οὖν
ἡ φωνὴ συμφωνία, ἡ δὲ συμφωνία [ὁ] λόγος, τουτέστι τῆς φωνῆς πρὸς τὴν
ἀκοὴν λόγος (λόγον δὲ οὐ λέγει τὴν κρᾶσιν· οὐδὲ γὰρ τοῦτο δοξάζει· 35
ἀλλ' ὥσπερ τὸ φορτίον λέγομεν λόγον ἔχειν πρὸς τὸν ὦμον τοῦ βαστά-
ζεσθαι, οὐ μέντοι καὶ κρᾶσιν, οὕτω καὶ ἡ φωνὴ λόγον ἔχει πρὸς τὴν
35 ἀκοήν, τῷ εἶναι τὴν αὐτὴν τῷ ὑποκειμένῳ, οὐ μέντοι κρᾶσιν), εἰ οὖν ἡ

---

1 φασιν D: φησιν t γὰρ om. t 3. 4 ὡς — εἰσηγάγετο] locus depravatus: fort. legendum δήπου et εἰσηγάγοντο 4 εἰσήγετο t 8. 9 τὸ ἓν — δύο t: ὁ πρῶτος πρὸς τὸν δεύτερον D 9 et 12 προσθεὶς D 10 ς scripsi: ς' δύο t: δ̄ D: πέντε A ὁ] οὐ D 11 et 14 προσθήκην et ἔλλειψιν t 12 τὸ μὲν γ' t 14 ἡ om. t 16 ἐὰν addidi ἀντιλάβῃ (superscr. τ) D: ἀντιλάβοιτο At 20 διὰ τὸν — εἰρηκότα] exspectas διὰ τοῦτο Ἱπποκράτης εἴρηκε τὸ κίνησις] χρῆσις plerique codd. Hipp. III 324,20 Littr. 27 ἡ om. t οὖν] σὺν D 29 οὐκ αὐτὴ scripsi: οὐχ αὕτη A: οὐχ αὐτῆς Dt 30 συμφωνία t 31 ὁ delevi 33 τοῦ At: τὸ D

συμφωνία λόγος, ὁ δὲ λόγος οὐκ ἀνέχεται ἑνὸς ὅρου προσθήκης, καὶ 0 7r
τὰ λοιπὰ ὡς ἀνωτέρω εἴρηται. ἔδοξε δὲ Συριανῷ εἰπεῖν ὅτι κἂν μὴ
ἐμνήσθη ἐν τῇ πλοκῇ τῆς φωνῆς, οὐκ ἔλειπεν ὁ λόγος. εἰ γὰρ εἶπεν
'ἡ κατ' ἐνέργειαν ἀκοὴ συμφωνία ἐστί,' δῆλον ὅτι συμφωνία ἐστὶν ἡ ἀκοὴ
5 ἐκείνου οὗ ἐστιν ἀκοή· τίνος δέ ἐστιν, εἰ μὴ φωνῆς; ὥστε συμπεριελαμ-
βάνετο. κἂν εἶπε δὲ μόνον φωνήν, συμπεριελάμβανεν ἀκοήν· τίνος γάρ ἐστιν 40
ἡ φωνὴ συμφωνία, εἰ μὴ οὗ ἔστιν ἡ φωνή; τῆς δὲ ἀκοῆς ἐστιν ἡ φωνή.
διὰ τί οὖν ἐμνήσθη φωνῆς; διὰ τὴν συμφωνίαν, ἵνα δείξῃ ὅτι ἐπὶ φωνῆς
ἐστι κυρίως ἡ συμφωνία· ἢ καὶ διὰ τοῦτο ἠθέλησεν ἄμφω εἰπεῖν, ἵνα
10 εἴπῃ ποῖά ἐστι τὰ κοινωνοῦντα. ὁ δὲ φιλόσοφος Ἀμμώνιος ἠπόρησεν, διὰ
τί διὰ μέσου τοῦ κατ' ἐνέργειαν αἰσθητοῦ συνῆξε τὴν κατ' ἐνέργειαν
αἴσθησιν συμφωνίαν εἶναι. διὰ τί γὰρ μὴ εἶπεν αὐτόθεν ὅτι ἡ κατ' ἐνέργειαν
αἴσθησις συμφωνία ἐστίν; ὥσπερ γὰρ τὸ κατ' ἐνέργειαν αἰσθητὸν συμφωνία 45
ἐστίν. εἰ οὖν ἑκάτερον διὰ τὴν πρὸς τὸ ἕτερον ἁρμονίαν συμφωνία ἐστί,
15 τί δήποτε μὴ τῇ αἰσθήσει προσένειμε τὴν συμφωνίαν, ἀλλὰ τῷ κατ' ἐνέρ-
γειαν αἰσθητῷ; οὕτως ἀπορήσας ἐπελύσατο λέγων ὅτι ἡ συμφωνία ἀπὸ
φωνῆς εἴληπται, ὡς αὐτὴ ἡ λέξις δηλοῖ, ἡ δὲ φωνὴ αἰσθητόν ἐστι. διὰ
τοῦτο οὖν τὴν συμφωνίαν τῷ κατ' ἐνέργειαν αἰσθητῷ ἀπένειμε, καὶ οὐ τῇ
κατ' ἐνέργειαν αἰσθήσει. ἐν οἷς ἡ θεωρία σὺν θεῷ πληροῦται.

20 p. 425b28 Ἔστι γὰρ ἀκοὴν ἔχοντα μὴ ἀκούειν. 50

Εἰπὼν ὅτι ἡ κατ' ἐνέργειαν αἴσθησις καὶ τὸ κατ' ἐνέργειαν αἰσθητὸν
τῷ ὑποκειμένῳ ταὐτόν εἰσιν, ἐπεὶ κατὰ τὸ εἶναι, τουτέστι κατὰ τὸν λόγον,
διαφέρουσιν, ὥσπερ ἀνάβασις καὶ κατάβασις ταὐτὸν τῷ ὑποκει|μένῳ (ἐν 0 7v
κλίμακι γὰρ ἄμφω) τῷ δὲ λόγῳ διάφορα (ἄλλο γάρ ἐστιν ἀνάβασις καὶ
25 ἄλλο κατάβασις). φησὶν ὅτι τοῦτο μόνον ἁρμόζει ἐπὶ τῶν κατ' ἐνέργειαν,
ἐπεί τοί γε ἐπὶ τῶν δυνάμει οὔ. ἔστι γὰρ καὶ δυνάμει αἴσθησις καὶ δυνά-
μει αἰσθητόν. δυνατὸν * * ἔχοντά τινα μὴ ἀκούειν· ἐὰν γὰρ ἡ ἀκοὴ δυνάμει
ὑπάρχῃ, οὐκ ἀκούει, καὶ πάλιν ἐὰν ᾖ τὸ ἀκουστὸν δυνάμει, οὐκ ἀκούει αὐτοῦ.

p. 426a2 Εἰ δή ἐστιν ἡ κίνησις καὶ ἡ ποίησις καὶ τὸ πάθος ἐν 5
30 τῷ ποιουμένῳ.

Ἐντεῦθεν δείκνυσι τὸ ἐκ τῆς Φυσικῆς ἀκροάσεως θεώρημα, ὅτι ἡ
κατ' ἐνέργειαν αἴσθησις τῷ μὲν ὑποκειμένῳ ἡ αὐτή ἐστι τῷ κατ' ἐνέρ-
γειαν αἰσθητῷ, τῇ δὲ σχέσει διάφορος. διαφέρει δὲ κίνησις ποιήσεως, ὅτι

---

1 προσθήκης D: προσθήκην t: προσθήκας A 3 ἔλειπεν D: ἔλιπεν t 4 δῆλον ὅτι iterat D 7 οὗ scripsi: οὐκ Dt 9 post ἢ καὶ add. μὴ t ἐθέλεσεν t 15 προσέμεινε D 23 καὶ] ἡ t 26 αἴσθησις] αἴσθησιν t 27 δυνατὸν] exspectas δυνατὸν οὖν ἀκοὴν ἔχοντα 28 ὑπάρχῃ scripsi: ὑπάρχει Dt 29 εἰ δή D Arist. plerique: εἰ δ' t Arist. EW 30 ποιουμένῳ] κινουμένῳ cum Ald. t 31 ἐκ τῆς Φυσικῆς ἀκροάσεως] Γ 3 p. 202a31 sqq.

ὅπου μὲν κίνησις, ἐκεῖ καὶ ποίησις, οὐχ ὅπου δὲ ποίησις, ἐκεῖ καὶ κίνησις. 0 7v
ὁ γὰρ δημιουργὸς ποιεῖ μέν, ἀκίνητος δὲ ὢν ποιεῖ. καὶ τὸ πάθος δὲ καὶ 11
ἡ ποίησις κινήσεις εἰσίν, ἀλλ' αὕτη ἡ κίνησις, εἰ μὲν πρὸς τὸ ποιοῦν
παραβάλλεται, ποίησις λέγεται, εἰ δὲ πρὸς τὸ πάσχον, πάθησις. ἐν τῷ
5 ποιουμένῳ δὲ εἶπεν ἀντὶ τοῦ ἐν τῷ πάσχοντι. βούλεται οὖν συνάξαι
ὅτι εἰ ταὐτόν ἐστι πάθησις καὶ ποίησις τῷ ὑποκειμένῳ (ἀμφότερα γὰρ
κινήσεις) ἡ δὲ κίνησις ἐν τῷ ποιουμένῳ, τουτέστιν ἐν τῷ πάσχοντι,
ἀνάγκη, φησί, καὶ τὴν κατ' ἐνέργειαν αἴσθησιν καὶ τὸ κατ' ἐνέργειαν 15
αἰσθητὸν ταὐτὸν εἶναι· τὶ μὲν γὰρ πάσχον ἐστὶν ἡ αἴσθησις, τὶ δὲ ποιοῦν
10 τὸ αἰσθητόν. ὅτι δὲ ἡ κίνησις ἐν τῷ πάσχοντί ἐστι, δῆλον· εἰ γὰρ ἐν
τῷ ποιοῦντι, ἔσται πᾶν κινοῦν κινούμενον, καὶ τὸ πρῶτον αἴτιον, ὅπερ
ἄτοπον. καὶ τὴν ἀκοὴν τὴν κατ' ἐνέργειαν ἐν τῇ κατὰ δύναμιν
εἶναι. ἐλλείπει τῇ λέξει τὸ ἀκοῇ, ἵνα ᾖ τὸ λεγόμενον ἐν τῇ κατὰ δύναμιν
ἀκοῇ.

15 p. 426a5 Διὸ οὐκ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι.

Λαβὼν τὸ λῆμμα λοιπὸν καὶ μεταξυλογίᾳ κέχρηται καί φησιν ὅτι ἡ 25
κίνησις οὐκ ἔστιν ἐν τῷ κινοῦντι, ἀλλ' ἐν τῷ κινουμένῳ. εἰ γὰρ ἦν ἐν τῷ
κινοῦντι, καὶ αὐτὸ ἐκινεῖτο. ἡ δὲ τοῦ ἀκουστικοῦ ἀκοὴ ἢ ἄκουσις.
ἄλλο ἐστὶν ἀκοή, ἄλλο ἄκουσις. ἀκοὴ μὲν γάρ ἐστιν αὐτὴ ἡ ἐνέργεια,
20 ἄκουσις δὲ ἡ ἀντίληψίς ἐστιν, ὥσπερ καὶ ψόφος μὲν λέγεται αὐτὸς ὁ
κτύπος, τὸ δ' ἐν ἐμοὶ πάθος ἐκ τοῦ κτύπου γινόμενον ψόφησις. εἰδὼς οὖν
ὅτι διαφέρει, διέκρινεν αὐτὰ εἰπὼν διττὸν γὰρ ἡ ἀκοή, καὶ διττὸς ὁ
ψόφος· τὰ μὲν γάρ εἰσι δυνάμει, τὰ δὲ ἐνεργείᾳ. οὕτω καὶ ἡ τοῦ αἰσθη- 30
τοῦ ἐνέργεια καὶ ἡ τοῦ αἰσθητικοῦ ἐν τῷ αἰσθητικῷ. ἵνα
25 σαφὲς τὸ λεγόμενον ποιήσομεν, ἐπὶ παραδείγματος τὸν λόγον γυμνάσωμεν.
ὥσπερ τέκτονος ποιοῦντος θύραν ἡ ἐνέργεια αὐτοῦ ἐν τοῖς ξύλοις ἐστί,
καὶ τὸ πάθος τῶν ξύλων ἐν αὐτοῖς τοῖς ξύλοις, οὕτω καὶ ὅταν ὁρῶμεν,
ἡ μὲν τοῦ αἰσθητοῦ ἐνέργεια, τυχὸν τοῦ χρώματος, ἐν τῇ ὄψει ἐστί, καὶ
ἡ τοῦ αἰσθητικοῦ κίνησις (αἰσθητικὸν δὲ λέγει τὴν αἴσθησιν ἐκ τοῦ ὑπο-
30 κειμένου) πάλιν ἐν αὐτῇ ἐστι τῇ ὄψει καὶ οὐκ ἐν τῷ αἰσθητῷ, τουτέστι
τῷ χρώματι, ὥσπερ οὐδὲ ἐν τῷ τέκτονι. ἀλλ' ἐπ' ἐνίων μὲν καὶ 35
ὠνόμασται, οἷον ἡ ψόφησις καὶ ἡ ἄκουσις. διὰ τί ὥσπερ ἐπὶ τῆς
ἀκοῆς λέγομεν καὶ ἀπὸ τῆς αἰσθήσεως ἄκουσιν καὶ ἀπὸ τοῦ ὑποκειμένου
αἰσθητοῦ ψόφησιν, μὴ καὶ ἐπὶ τῆς ὁράσεως οὕτω λέγομεν, ἀλλ' ἀπὸ τῆς
35 αἰσθήσεως λέγομεν ὅρασιν, ἀπὸ δὲ τοῦ ὑποκειμένου οὐ λέγομεν χρῶσιν;
καὶ λέγομεν, ἐπειδὴ ἡ χρῶσις οὐδὲν ἄλλο δηλοῖ εἰ μὴ τὸ χρωσθὲν σῶμα

---

1 μὲν] μὴ t 6 εἰ] ἡ t 13 τὸ (ante ἀκοῇ) scripsi: τῇ Dt 18 ἢ Arist.: ἡ Dt 21 ἐκ τοῦ κτύπου t: ἐκ τοῦ ἐκτύπου D: ἐκ τύπου A 21 εἶδος οὖν t 24 post ἵνα add. δὲ t 25 γυμνάσομεν t 32 post διὰ τί add. δὲ t

ἐκ τοῦ ἔχοντος ἄλλο χρῶμα, ὥστε οὐκ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου ἐστίν, 0 7v
ἡ δὲ ψόφησις ἐξ αὐτοῦ ἐστι τοῦ ὑποκειμένου. εἶτα πάλιν ζητοῦμεν, διὰ 40
τί μὴ λέγομεν χύμωσιν ἐκ τοῦ ὑποκειμένου τῇ γεύσει, ὥσπερ λέγομεν
γεῦσιν ἐκ τῆς αἰσθήσεως. εἰπὲ πρὸς τοῦτο ὅτι τὸ τῆς χυμώσεως ὄνομα
5 μαγειρικόν ἐστι, διὸ ἐπὶ φυσικῶν οὐκ εἴρηται.

p. 426a15 Ἐπεὶ δὲ μία μέν ἐστιν ἐνέργεια ἡ τοῦ αἰσθητικοῦ καὶ τοῦ αἰσθητοῦ, τὸ δὲ εἶναι ἕτερον, ἀνάγκη ἅμα φθείρεσθαι καὶ σώζεσθαι.

Ἐντεῦθεν τὸ πρῶτον πόρισμα συνάγει ὅτι ἡ κατ' ἐνέργειαν αἴσθησις 46
10 ἡ αὐτή ἐστι τῷ κατ' ἐνέργειαν αἰσθητῷ, τουτέστι τῷ ὑποκειμένῳ, τῇ δὲ
σχέσει διάφορος. οὐ δεῖ δὲ εἰπεῖν αὐτὸ πόρισμα· οὐ γὰρ διὰ τὸ εἶναι
ταῦτα διάφορα τῷ λόγῳ ἕπεται τὸ ἅμα φθείρεσθαι καὶ σώζεσθαι, ὡς λέγει,
ἀλλὰ διὰ τὸ εἶναι αὐτὰ πρός τι· ὥστε ἕτερον δεῖ λέγειν τοῦτο πρόβλημα
καὶ οὐ πόρισμα.

15 p. 426a19 Τὰ δὲ κατὰ δύναμιν λεγόμενα οὐκ ἀνάγκη. 50

Τὰ δὲ δυνάμει, φησίν, οὐκ ἀνάγκη. τί οὐκ ἀνάγκη; οὐ δήπου ἅμα
εἶναι· ἀνάγκη γὰρ καὶ αὐτὰ τῷ νόμῳ τῶν πρός τι ἅμα εἶναι. τὸ δυνάμει
γὰρ αἰσθητὸν ἅμα ἐστὶ τῇ δυνάμει αἰσθήσει, ὥσπερ καὶ τὸ ἐνεργείᾳ
αἰσθητὸν τῇ ἐνεργείᾳ αἰσθήσει. τί οὖν λέγει τὸ οὐκ ἀνάγκη; ἢ δῆλον ὅτι
20 τὸ πρῶτον, ὅτι οὐκ ἀνάγκη τὴν δυ|νάμει αἴσθησιν τὴν αὐτὴν εἶναι 0 8r
τῷ δυνάμει αἰσθητῷ, ὡς ἐν τῇ θεωρίᾳ εἴρηται.

p. 426a22 Τῇ μὲν γὰρ ἔλεγον ὀρθῶς, τῇ δ' οὐκ ὀρθῶς.

Τοὺς Πρωταγορείους αἰνίττεται. λέγει δὲ αὐτοὺς ὀρθῶς λέγειν κατὰ 5
τὸ λέγειν τὴν κατ' ἐνέργειαν αἴσθησιν ταὐτὸν εἶναι τῷ κατ' ἐνέργειαν
25 αἰσθητῷ· οὐκ ὀρθῶς δὲ ἔλεγον, ἐπειδὴ καὶ τὰ δυνάμει ταὐτὰ καὶ ἁπλῶς
ταὐτὰ ἔλεγον πάντα ἃ οὐ δεῖ ἁπλῶς ταὐτὰ λέγειν. ἤλεγξε δὲ καὶ Πλάτων
τὸ δόγμα τοῦτο ἐν Πρωταγόρᾳ τῷ διαλόγῳ.

p. 426a27 Εἰ δὴ συμφωνία φωνή τίς ἐστιν.

Τὸ η τὸ ἐν τῇ δευτέρᾳ συλλαβῇ τοῦ εἰ δὴ οὐκ ἔστιν ἄρθρον, ἀλλὰ 10
30 μέρος συνδέσμου, ὡσεὶ ἔλεγεν ὅτι ἐπειδή τις φωνὴ συμφωνία ἐστί· τὶς

---

6 ἡ τοῦ Dt Arist. vulg.: ἡ om. Arist. TVWy 6. 7 αἰσθητοῦ καὶ τοῦ αἰσθητικοῦ t Arist. vulg. (καὶ ἡ τοῦ αἰσθητικοῦ Arist. E) 16 οὐ om. t ἅμα Diels: ἀλλὰ Dt
20. 21 εἶναι καὶ τῷ D 25. 26 et 26 ἁπλῶς ταῦτα D 27 ἐν Πρωταγόρᾳ] immo in Theaeteto p. 152 A sqq. 28 δὴ scripsi coll. v. 29. p. 476,7 ut etiam Arist. E¹SXy: δ' ἡ Dt Arist. vulg.: δὴ ἡ Arist. W

δέ ἐστιν ἥτις φωνή. δηλονότι ἡ κατ' ἐνέργειαν· αὕτη γάρ ἐστιν ἡ συμμέ- 0 8r
τρως ἔχουσα πρὸς τὴν κατ' ἐνέργειαν ἀκοήν. οὐ δύναται δὲ εἶναι ἄρθρον,
ἐπειδὴ συνῆπται τῷ κατηγορουμένῳ· τὰ γὰρ ἄρθρα τοῖς προσδιορισμοῖς
ἰσοδυναμεῖ, οἱ δὲ προσδιορισμοὶ ἀεὶ τῷ ὑποκειμένῳ συνάπτονται· νυνὶ
5 δὲ τὴν συμφωνίαν ὡς κατηγορούμενον λαμβάνει ἀκοῆς καὶ φωνῆς. καὶ
διὰ τοῦτο οὐ δεῖ τὸ η ὡς ἄρθρον λαμβάνεσθαι, ἵνα μὴ εὑρεθῇ συμπλεκό- 15
μενον τῷ κατηγορουμένῳ. διὸ εἶπε τὸ εἰ δὴ ἓν μέρος λόγου. ἐντεῦθεν
δέ ἐστι τὸ β̄ πόρισμα τῆς θεωρίας, ἐν ᾧ βούλεται εἰπεῖν, διὰ τί αἱ ἀκρό-
τητες τῶν αἰσθητῶν φθείρουσι τὰς αἰσθήσεις. καὶ δείκνυσι τοῦτο διὰ τῆς
10 συμφωνίας καὶ τοῦ λόγου, ὡς εἴρηται. ἡ δὲ φωνὴ καὶ ἀκοὴ ἔστιν
ὡς ἓν καὶ ἔστιν ὡς οὐχ ἕν. καλῶς τοῦτο εἶπεν· τῷ γὰρ ὑποκειμένῳ
μία ἐστὶν ἡ ἀκοὴ καὶ ἡ φωνή, τῷ δὲ λόγῳ καὶ τῇ σχέσει οὐ μία ἀλλὰ
διάφορος· ὥστε καὶ ἓν καὶ οὐχ ἕν.

p. 426ᵃ28 Λόγος δὲ ἡ συμφωνία. 20

15 Τοῦτο εἶπεν, ἵνα δηλώσει ὅτι οὐκ ἔστι κρᾶσις τὸ συμφωνεῖν ἀκοὴν
τῇ φωνῇ, ἀλλὰ λόγῳ τινὶ συμφωνεῖ. καὶ εἴρηται πῶς ἐν τῇ θεωρίᾳ.

p. 426ᵃ30 Καὶ διὰ τοῦτο φθείρει ἕκαστον ὑπερβάλλον.

Δέον ἐστὶ κατὰ κοινοῦ λαβεῖν τὸ ὑπερβάλλον φθείρει, ὡς ἐπὶ ἀκοῆς, 26
γεύσεως, ὄψεως, ὀσφρήσεως· αἱ γὰρ ὑπερβολαὶ φθείρουσι τὰς αἰσθήσεις.
20 ἑκάστη γὰρ αἴσθησις ἔχει τὰ φθαρτικὰ ἑαυτῆς, ὄψις μὲν τὸ ὑπέρλαμπρον,
οἷον τὸ ἡλιακὸν φῶς, ἀκοὴ δὲ τὸν ἦχον τὸν ἐκ τῶν βροντῶν, ὄσφρησις
τὰ Χαρώνια πνεύματα, γεῦσις τὰ δηλητήρια, ἁφὴ πῦρ, χιόνα. διὸ ἐπενοή-
θησαν τέχναι ἥδουσαι τὰς αἰσθήσεις, τῇ μὲν ὄψει ζωγραφία, τῇ δὲ 30
ἀκοῇ μουσική, τῇ δὲ ὀσφρήσει ἡ μυρεψική, τῇ γεύσει ἡ μαγειρική,
25 τῇ ἁφῇ τὰ λουτρὰ καὶ ἡ ὑφαντική.

p. 426ᵇ2 Καὶ γλυκεῖα καὶ πικρά, ὡς λόγου τινὸς ὄντος τῆς αἰσθήσεως.

Παραδείγματα βουλόμενος εἰπεῖν τῶν φθειρόντων αἰσθητῶν τὴν αἴσθη-
σιν τέθεικε καὶ τὸ γλυκύ. καὶ μήποτε τοῦτο τῷ ἐκλύειν τὴν αἴσθησιν
30 φθείρει αὐτήν, ὥσπερ καὶ τὸ λιπαρόν. τὸ δὲ ὡς λόγου τινὸς ὄντος
τῆς αἰσθήσεως εἶπεν, ἐπειδή, φησίν, λόγος ἐστὶν ἡ αἴσθησις, ὁ δὲ 35

---

1 post δηλονότι add. ὅτι t 6 οὐ δεῖ τὸ om. D 10 post φωνὴ add. ἡ t καὶ ἀκοὴ Dt Arist. plerique: καὶ ἡ ἀκοὴ Arist. EW 12 οὐ om. t 15 δηλώσῃ t 16 συμφωνεῖν t πῶς scripsi: πως Dt 17 φθείρει D Arist. LW: καὶ φθείρει Arist. vulg.: καὶ φθείρεσθαι t Arist. S 20 ὄψις τὸ μὲν coll. t λαμπρὸν D 23 ἡ ζωγραφία t 24 ἡ μουσικὴ t 26 γλυκὺ t 29 τῷ scripsi: τὸ Dt 31 φησιν ὁ λόγος t

λόγος ὑπερβολῆς οὐκ ἀνέχεται· διὰ τοῦτο οὐδὲ ἡ αἴσθησις ὡς λόγος καὶ 0 8r
συμμετρία τις.

p. 426ᵇ3 Διὸ καὶ ἡδέα μέν, ὅταν ἄγηται εἰλικρινῆ καὶ ἄμικτα ὄντα εἰς τὸν λόγον, οἷον τὸ ὀξὺ ἢ γλυκὺ ἢ ἁλμυρόν.

Ἐντεῦθεν βούλεται εἰπεῖν ποῖόν ἐστιν ἡδὺ αἰσθητόν, καί φησιν ὅτι ἐκεῖνό ἐστιν ἡδὺ αἰσθητὸν τὸ πρώην μὲν ὂν εἰλικρινὲς καὶ ἄμικτον † μὴ 40
μείνῃ δὲ εἰλικρινές, ἀλλ' ἀχθῇ εἰς λόγον, τουτέστιν εἰς μῖξιν. τὰ γὰρ μικτὰ ἡδέα ὡς τὸ ἄκρον καθαιροῦντα, οἷον τὸ βαρὺ καὶ ὀξὺ οὐκ ἔστιν ἡδέα, εἰ μὴ μίξεις αὐτά· τῇ γὰρ μίξει ἕπεται ἡ συμφωνία καὶ ἡ ἡδύτης ὡς μεσότητι.

p. 426ᵇ6 Ἁφῇ δὲ τὸ θερμαντὸν ἢ ψυκτόν.

Τῇ ἁφῇ, φησίν, ἐστὶν ἡδὺ τὸ θερμαντὸν καὶ ψυκτόν· καὶ ὅρα πῶς εἶπεν τὸ θερμαντόν, τουτέστι τὸ δυνάμενον θερμανθῆναι, καὶ ψυκτὸν τὸ 45
δυνάμενον ψυχθῆναι. τότε γάρ ἐστιν ἡδό, ὅταν δύνηται δέχεσθαι ἐπίτασιν· τὸ γὰρ ἄμετρον ψυχρὸν καὶ θερμὸν ἀνιαρόν. καλῶς οὖν εἶπεν ὅτι ἡδό ἐστι τῇ ἁφῇ τὸ θερμαντὸν καὶ ψυκτόν, καὶ οὐκ εἶπεν τὸ θερμὸν ἢ ψυχρόν· εἰ γὰρ τοῦτο εἶπεν, τὸ ἄκρως ἐνόει [τὸ] θερμὸν καὶ ψυχρόν, ὅπερ οὐχ ἡδύνει τὴν ἁφήν, ἀλλὰ καὶ φθείρει αὐτήν. ἐν οἷς ἡ πρᾶξις.

p. 426ᵇ8 Ἑκάστη μὲν οὖν αἴσθησις τοῦ ὑποκειμένου αἰσθητοῦ ἐστιν, ὑπάρχουσα ἐν τῷ αἰσθητηρίῳ ᾗ αἰσθητήριον. 50

Διαλεχθεὶς περὶ τῶν πέντε αἰσθήσεων καὶ διδάξας ὅτι οὐκ ἔστιν ἄλλη αἴσθησις ἕκτη ἀντιδιῃρημένη ταῖς πέντε ταύταις, ἵνα μή τις οἰηθῇ ὅτι τούτῳ τῷ λόγῳ οὐδὲ ἡ κοινή ἐστιν αἴσθησις, βούλεται διὰ τούτων δεῖξαι ὅτι ἔστιν ἡ κοινὴ αἴσθησις, καὶ οὐ μόνον τοῦτο, ἀλλ' ὅτι καὶ ἀσώματός ἐστιν αὕτη ἡ κοινὴ αἴσθησις, | τρίτον πρὸς τούτοις, ὅτι ἀχρόνως ἐνεργεῖ· 0 8v
οὔτε γὰρ ἐν ἄλλῳ χρόνῳ οἶδεν τὸ γλυκύ, ἐν ἄλλῳ δὲ τὸ λευκόν, ἀλλ' ἐν τῷ αὐτῷ νῦν γινώσκει ὅτι τόδε μὲν γλυκύ ἐστι, τόδε δὲ λευκόν. //τέταρτον δὲ ἀπορίαν προβάλλεται πρὸς τὴν κοινὴν αἴσθησιν καὶ λύει τὴν ἀπορίαν ψευδῶς. εἶτα ἀνατρέπει τὴν ψευδῆ λύσιν, καὶ εἶθ' οὕτω λοιπὸν λέγει τὴν ἀληθῆ λύσιν.// καὶ ἡ μὲν διασκευὴ τῆς θεωρίας τοιαύτη. φέρε δὲ καὶ ἕκαστον 5
τούτων ἀναπτύξωμεν. πρῶτον τοίνυν δεικτέον ὅτι ἔστιν ἡ κοινὴ αἴσθησις

---

1 οὐδὲ] δὲ t 3 ἄγηται t Arist. vulg.: ἄγεται Arist. EL: ἀγάγηται D ἄμικτα D Arist. plerique: ἀμιγῆ t Arist. E(ex corr.)UL 4 post ὄντα add. ἄγεται t
6. 7 μὴ μείνῃ — λόγον depravata sunt 12 πῶς scripsi: πως Dt 17 ἄκρος t
17 τὸ post ἐνόει delevi 18 αὐτόν t post πρᾶξις add. πρᾶξις σὺν θεῷ ō t: eadem in marg. habet D¹ 23 οὐδὲ scripsi: οὔτε ADt 26. 27 ἀλλ' ἐν τῷ — λευκόν At: om. D 27 τόδε δὲ A: τὸ δὲ t δὲ post τέταρτον At: om. D

τὸν τρόπον τοῦτον. ἐπειδήπερ οὐ μόνον ἴσμεν τὴν διαφορὰν τῶν ὁμογενῶν, 0 8v
οἷον λευκοῦ καὶ μέλανος καὶ φαιοῦ καὶ ξανθοῦ καὶ τῶν τοιούτων, ἀλλὰ
καὶ τῶν ἀνομοιοειδῶν, οἷον λευκοῦ καὶ γλυκέος, ζητητέον ποῖόν ἐστι μόριον
τῆς ψυχῆς τὸ γινῶσκον ταύτην τὴν διαφοράν. κἂν γὰρ ὁ νοῦς γινώσκῃ
5 τὴν τοιαύτην διαφορὰν καὶ λέγῃ τὴν διαφορὰν τοῦ λευκοῦ πρὸς τὸ γλυκύ,
ἀλλ' οὐ καθ' ἑαυτὸν ὁ νοῦς λέγει τὴν τοιαύτην διαφοράν, ἀλλὰ προσκεχρη- 10
μένος τῇ αἰσθήσει ὀργάνῳ. ἄνευ γὰρ αἰσθήσεως οὐκ ἦν γνῶναι τὰ
αἰσθητά· εἰ οὖν τὸ λευκὸν καὶ γλυκὺ αἰσθητά ἐστιν, πῶς ὁ νοῦς τὴν
διαφορὰν τούτων εἶχε γνῶναι μὴ προσκεχρημένος ὀργάνῳ τῇ αἰσθήσει;
10 ὥστε οὐκ ἀμέσως οὐδὲ καθ' αὑτὸ ὁ νοῦς εἶχε λέγειν τὴν διαφορὰν τούτων.
καὶ ὅτι τὰ μὴ ἔχοντα νοῦν ἴσασι τὴν διαφορὰν τούτων. καὶ γοῦν ὁ κύων
θεασάμενος μόνον, οὐ μὴν γευσάμενος οἶδε τὰ γευστά· οἶδε γοῦν ὅτι τὸ
κρέας γευστόν ἐστι, κἂν μὴ γεύσηται αὐτοῦ, ἀλλὰ μόνον θεάσηται, καὶ τὸν 15
λίθον ὅτι οὐκ ἔστι γευστὸς οἶδε καὶ πρὶν γεύσηται. ὥστε οὐ τοῦ νοῦ
15 ἐστι λέγειν τὴν διαφορὰν γλυκέος πρὸς λευκόν, ἀλλ' αἰσθήσεως. καὶ ποίας
ἄρα αἰσθήσεως; πότερον μιᾶς τῶν πέντε ἢ δύο, οἷον ὄψεως καὶ γεύσεως;
λέγομεν οὖν ὅτι οὐκ ἔστι μιᾶς αἰσθήσεως τὸ γνῶναι τὴν τοιαύτην διαφοράν. εἰ γὰρ μία αἴσθησις οἶδε τὴν διαφορὰν ταύτην, οὐκοῦν εἴσεται οὐ μόνον τὸ οἰκεῖον αἰσθητόν, ἀλλὰ καὶ τὸ ἀλλότριον. τὸ γὰρ γινῶσκον τὴν
20 διαφορὰν πρῶτον τὰ διαφέροντα οἶδε τίνα ἐστίν, ἵνα καὶ καθὸ διαφέρουσι
γνῷ. ἡ οὖν αἴσθησις ἡ γινώσκουσα τὴν διαφορὰν τοῦ λευκοῦ πρὸς τὸ 20
γλυκὺ εἴσεται οὐ μόνον τὸ λευκὸν ἀλλὰ καὶ τὸ γλυκύ. ἀλλὰ μὴν τοῦτο ἄτοπον τὸ συγχεῖν τὰ αἰσθητὰ καὶ λέγειν τὴν ὄψιν τὰς γευστὰς ποιότητας εἰδέναι. ἄτοπον ἄρα τὸ μίαν τῶν πέντε αἰσθήσεων εἰδέναι τὰς διαφορὰς
25 τῶν ἀνομογενῶν. καὶ μή τις λεγέτω ὅτι οὐκ ἀναγκαῖον τὸ εἰδέναι τὰ
ἀλλότρια αἰσθητά· ἅπαξ γὰρ τὰ οἰκεῖα οἶδεν ὅτι λευκόν, λοιπὸν ἐξ ἀποφάσεως οἶδεν ὅτι οὐ λευκόν· καὶ ταύτῃ οἶδε τὴν διαφορὰν τῷ εἰδέναι ὅτι οὐ λευκόν. μή τις οὖν ταῦτα λεγέτω· οὐ γὰρ εἴπομεν τί ἐστι τὸ γινῶσκον τὴν διαφορὰν τοῦ λευκοῦ πρὸς τὸ οὐ λευκόν, ἀλλὰ πρὸς τὸ γλυκύ. τὸ 25
30 γὰρ οὐ λευκὸν δύναται καὶ ὀσμὴ εἶναι καὶ θερμὸν εἶναι· ἡμεῖς δὲ ὡρισμένως εἴπομεν γλυκύ· δεῖ οὖν εἰδέναι πάντως τὸ γλυκὺ ἐκ καταφάσεως, ἵνα τὴν διαφορὰν αὐτοῦ πρὸς τὸ λευκὸν μάθωμεν. ὥστε οὐκ ἔστι μία αἴσθησις ἡ τὴν τοιαύτην διαφορὰν ἐπισταμένη. ἀλλ' οὐδὲ δύο αἰσθήσεις, οἷον ὄψις καὶ γεῦσις· δεῖ γὰρ ἓν εἶναι τὸ λέγον τὴν διαφορὰν αὐτῶν. εἰ γὰρ μή ἐστιν ἓν τὸ 30
35 δεχόμενον ἀμφοτέρων τὰ εἴδη, πῶς ἔχει γνῶναι αὐτῶν τὸ διάφορον, εἴπερ ἄλλη μὲν τὸ λευκὸν ἄλλη δὲ τὸ γλυκὺ δέχεται εἶδος; ἐπεὶ καὶ οἱ δικασταὶ ἀμφοτέρων τῶν μερῶν βούλονται ἀκούειν, ἵνα τὸ διάφορον αὐτῶν γνῶσιν. εἰ οὖν ἕν ἐστι τὸ λέγον διαφορὰν λευκοῦ πρὸς γλυκύ, ἓν ἔσται καὶ τὸ κρῖνον

---

3 ἀνομοιοειδῶν A: ὁμοειδῶν Dt: fort. ἀνομογενῶν, cf. v. 25 6 καθ' ἑαυτὴν (ex corr.) D¹ 10 καθ' ἑαυτὸν t 11 μὴ A: μὲν Dt 13 et 14 γεύσεται t 20 οἶδε] οἱ δέ t 25 ἀνομογενῶν D: ὁμογενῶν A: ἀνομοιομογενῶν (sic) t 30 ὀσμὴ] ὡς μὴ t ὁρισμένας, ut vid., D 31 ante ἐκ add. καὶ t 33 οὐδὲ scripsi: οὔτε Dt 34 εἰ] ἡ t 35 ἔχει γνῶναι D: ἂν ἔχει γνῶναι t: ἂν γνοίη A 37 ἵνα] εἶναι t

αὐτήν. ὥστε οὐδὲ τῶν δύο αἰσθήσεων ἴδιόν ἐστι τὸ γνῶναι τὴν διαφορὰν 0 8v
τούτων οὔτε μιᾶς τινος μερικῆς· ἄλλης ἄρα ἐστὶν αἰσθήσεως παρὰ τὰς
πέντε αἰσθήσεις τὸ γνῶναι τὴν διαφορὰν λευκοῦ πρὸς γλυκύ. καὶ ἄρα 35
αὕτη διακεκριμένη ἐστὶ τῶν πέντε αἰσθήσεων ἢ οὔ; λέγομεν ὅτι οὐκ ἔστι
5 διακεκριμένη· δέδεικται γὰρ ὅτι οὐκ ἔστιν ἕκτη τις ἑτέρα διακεκριμένη τῶν
πέντε τούτων· κοινὴ ἄρα ἐστίν. οὐκοῦν δέδεικται οὖσα ἡ κοινὴ αἴσθησις.
ἐν οἷς τὸ πρῶτον πληροῦται κεφάλαιον.

Δεύτερον κεφάλαιόν ἐστιν ἐν ᾧ δείκνυσιν ὅτι οὐκ ἔστι σῶμα ἡ κοινὴ
αἴσθησις. εἰ γὰρ ἦν σῶμα, μεριστῶς ἐνήργει· πᾶν γὰρ σῶμα μεριστῶς
10 ἐνεργεῖ. εἰ οὖν ἦν σῶμα, οὐδέποτε ἐν τῷ αὐτῷ καὶ γλυκὺ καὶ λευκὸν
ἐδέχετο, ἀλλ' ἐν τῷδε μὲν ἑαυτῆς μέρει τὸ γλυκύ, ἐν ἄλλῳ δὲ τὸ λευκόν, 40
καὶ οὐκ ἦν ὅλως τὸ κρῖνον· ὅμοιον γὰρ ἦν τὸ τοιοῦτο, φησίν, ὡς εἰ σὺ
μὲν τοῦδε αἴσθοιο, τοῦδε δὲ ἐγώ. οὐκοῦν ὅλη ὡς ὅλη ἡ κοινὴ αἴσθησις
αἰσθάνεται γλυκέος καὶ λευκοῦ. εἰ δὲ μὴ ὅλη ὡς ὅλη ἀντελαμβάνετο, πῶς
15 εἶχεν αὐτὰ κρῖναι μὴ γινώσκουσα ἀμφότερα; εἰ δὲ καὶ συγχωρήσω ὅτι
δύναται λευκὸν καὶ γλυκὺ ἐν τῷ αὐτῷ μέρει δέξασθαι, ἀλλ' οὐ δὴ καὶ
τὰς ἐναντίας ποιότητας, οἷον λευκοῦ καὶ μέλανος, θερμοῦ καὶ ψυχροῦ. ἄλλως
τε δὲ εἰ ἦν σῶμα, ἐχρῆν αὐτὴν ἁπτομένην τῶν αἰσθητῶν ἐνεργεῖν· πᾶν 45
γὰρ σῶμα ἁπτόμενον δρᾷ. ἀλλὰ μὴν ἡ κοινὴ αἴσθησις οὐχ ἁπτομένη
20 τῶν αἰσθητῶν δρᾷ· οὐκ ἄρα ἐστὶ σῶμα. τοῦτο καὶ τὸ δεύτερον κεφάλαιον.

Τρίτον ἐστὶ κεφάλαιον ἐν ᾧ δείκνυσιν ὅτι ἀχρόνως ἐνεργεῖ· τοῦτο δὲ
δείκνυσιν οὕτως. ὡς λέγει ἡ κοινὴ αἴσθησις, οὕτω καὶ γινώσκει. εἰ οὖν
ἐν ἑνὶ νῦν λέγει τὴν διαφορὰν γλυκέος καὶ λευκοῦ, καὶ οὐκ ἐν ἄλλῳ μὲν
25 νῦν τὴν διαφορὰν τοῦ λευκοῦ, ἐν ἄλλῳ δὲ νῦν τὴν διαφορὰν τοῦ γλυκέος,
δῆλον ἄρα ὅτι καὶ ἐν ἑνὶ νῦν οἶδε τὴν διαφορὰν γλυκέος καὶ λευκοῦ. 50
ὅταν γὰρ λέγῃ ἡ κοινὴ αἴσθησις ἐν ἑνὶ νῦν, οὐ κατὰ συμβεβηκὸς λέγει,
ἀλλὰ καθ' αὑτό, οἷον ἐπὶ παραδείγματος νόει ὃ λέγω 'νῦν ἤκουσα ὅτι
Πλάτων ἐν Σικελίᾳ γενόμενος συνέτυχε Σωκράτει'. ἰδοὺ ἐνταῦθα τὸ νῦν
30 πρὸς μὲν τὴν ἐμὴν ἀκοὴν καθ' αὑτό ἐστιν (νῦν γὰρ τῷ ὄντι ἐγὼ ἤκουσα),
πρὸς δὲ τὴν Πλάτωνος ἄφιξιν τὸ νῦν κατὰ συμβεβηκός ἐστι· κἂν γὰρ ἐγὼ
νῦν ἤκουσα, οὐδὲν ἄτοπον ἐκεῖνον ἐκ πολλοῦ ἐκεῖ παραγενέσθαι. εἰ δὲ
συμβῇ νῦν ναυμαχίαν γενέσθαι, καὶ ἐν ᾧ νῦν γέγο|νεν ἡ ναυμαχία, ἐν p 1r
τούτῳ εἴπω 'νῦν ἤκουσα ναυμαχίαν γενομένην', τότε τὸ νῦν καὶ πρὸς ἐμὲ
35 ⟨καθ' αὑτό⟩ ἐστιν (νῦν γὰρ ἤκουσα) καὶ πρὸς τὴν ναυμαχίαν καθ' αὑτὸ
πάλιν ἐστί· νυνὶ γὰρ κἀκείνη γέγονεν. ἡ οὖν κοινὴ αἴσθησις ἐν ᾧ νῦν
λέγει τὴν διαφορὰν τοῦ λευκοῦ πρὸς τὸ γλυκύ, ἐν τῷ αὐτῷ αἰσθάνεται καὶ

---

1 οὐδὲ] fort. οὔτε 2 μιᾶς τινος A: τῆς μιᾶς τῆς D: τῆς μιᾶς τινος t 3 πρὸς γλυκύ A: καὶ γλυκύ D: καὶ γλυκέος t ἄρα scripsi: ἄρα ADt 4 αὕτη A²: αὐτὴ A¹Dt ἢ οὔ At: om. D 5 ἑτέρα At: om. D 12 ὅλως At: om. D 13 οὐκοῦν et 14 αἰσθάνεται ADt, sed exspectas οὐκουν ᾗσθάνετ' ἄν · 15 δὲ καὶ A: γὰρ καὶ Dt 32 περιγενέσθαι t 34 et 35 ἤκουσα D: ἤχουσα t 34 γινομένην t 35 καθ' αὑτό addidi καθ' αὑτὸ (post ναυμαχίαν) in ras. D¹ (scripserat πρὸς τὴν) 36 νῦν γὰρ t

τῆς διαφορᾶς, τοῦ νῦν καθ' αὑτὸ ὑπάρχοντος καὶ πρὸς τὸ λέγειν καὶ πρὸς p 1r
τὸ εἰδέναι· ὥστε ἀχρόνως ἐνεργεῖ ἡ κοινὴ αἴσθησις. τοῦτο καὶ τὸ τρίτον
κεφάλαιον.

Τέταρτον κεφάλαιόν ἐστιν ἐν ᾧ τὴν ἀπορίαν προβάλλεται. πῶς, φησίν,
ἡ κοινὴ αἴσθησις τὰ ἐναντία κρίνει, οἷον λευκὸν καὶ μέλαν ἢ θερμὸν καὶ
ψυχρόν; οὔτε γὰρ μόνον τὰ ἀνομογενῆ κρίνει, ἀλλὰ καὶ τὰ ὁμογενῆ. ἄξιον
οὖν ἀπορῆσαι πῶς τὰ ἐναντία εἴδη γίνεται παρὰ τὴν κοινὴν αἴσθησιν. εἰ
μὲν γὰρ ἦν σῶμα, οὐκ ἦν ἀπορῆσαι· δυνατὸν γὰρ ἦν λέγειν ὅτι κατ'
ἄλλο καὶ ἄλλο μέρος γίνεται τὰ ἐναντία· ἀλλ' ἐπειδὴ ἀσώματος οὖσα καὶ
ἀμερής ἐστιν, ἀποροῦμεν πῶς ἐν τῷ αὐτῷ γίνεται τὰ ἐναντία εἴδη. καὶ
πάλιν εἰ ἀσώματος οὖσα ἐν χρόνῳ ἐνήργει, δυνατὸν ἦν λέγειν ὅτι ἐν ἄλλῳ
καὶ ἄλλῳ χρόνῳ ἐγίνετο τὰ ἐναντία, οἷον ἐν τῷδε μὲν τῷ χρόνῳ τὸ
θερμὸν ἐν τῷδε δὲ τὸ ψυχρόν. ἀλλ' ἐπειδὴ ἀχρόνως ἐνεργεῖ καὶ ἐν τῷ
αὐτῷ νῦν, διὰ τοῦτο ἄξιον ἀπορῆσαι. ὥστε ἐκ τῶν δύο κεφαλαίων τῶν
ῥθασάντων δεινοῦται ἡ ἀπορία. εἴτε γὰρ σῶμα ἦν, οὐκ ἦν ἄπορον (κατ'
ἄλλο γὰρ μέρος καὶ ἄλλο ἠδύνατο δέξασθαι τὰ ἐναντία) εἴτε ἀσώματος
οὖσα ἐν χρόνῳ ἐνήργει, πάλιν ἠδύνατο ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ δέξασθαι
τὰ ἐναντία· ἀλλ' ἐπειδήπερ καὶ ἀσώματός ἐστι καὶ ἀχρόνως ἐνεργεῖ, διὰ
τοῦτο ἀποροῦμεν πῶς δέχεται τὰ ἐναντία εἴδη ἅμα. αὕτη μέν ἐστιν ἡ
ἀπορία, ἣν ἐπὶ μὲν τῆς κοινῆς αἰσθήσεως γυμνάζει, ἁρμόζει δὲ ἐπὶ τῶν κατὰ
μέρος αἰσθήσεων μᾶλλον· αὗται γὰρ μᾶλλον τῶν ἐναντίων ἀντιλαμβάνονται
ἤπερ ἡ κοινὴ αἴσθησις. ἀλλ' ἐπειδὴ ὧν μὲν ἀντιλαμβάνονται αἱ κατὰ
μέρος αἰσθήσεις. καὶ ἡ κοινὴ ἀντιλαμβάνεται, ὧν δὲ ἡ κοινή, οὐ πάντως
καὶ αἱ κατὰ μέρος, διὰ τοῦτο ὡς ἐπὶ κοινῆς αἰσθήσεως τὸ ἄπορον γυμνάζει.
καὶ οὕτω μὲν ἠπόρησεν. εἶτα ἐπιλύεται αὐτὴν οὕτως ὅτι ἡ κοινὴ αἴσθη-
σις καὶ μία ἔστι καὶ πολλαί, μία μὲν τῷ ὑποκειμένῳ, πολλαὶ δὲ τῇ σχέσει,
ταὐτὸν δὲ εἰπεῖν τῷ λόγῳ· ὡς ἀπὸ κοινῆς γὰρ πηγῆς τῆς κοινῆς αἰσθή-
σεως προέρχονται αἱ ἄλλαι αἰσθήσεις, ὥστε μία μέν ἐστιν αὕτη τῷ
ὑποκειμένῳ, πολλαὶ δὲ τῷ λόγῳ. καθὸ μὲν οὖν μία ἐστί, κατὰ τοῦτο
κρίνει τὴν διαφοράν, καθὸ δὲ πολλαὶ τῷ λόγῳ, κατὰ τοῦτο δέχεται τὰ
ἐναντία. αὕτη μέν ἐστιν ἡ ψευδὴς λύσις· ἀνατρέπει δὲ αὐτὴν Ἀριστοτέλης
λέγων ὅτι τὰ τῷ ὑποκειμένῳ ταὐτὰ τῷ δὲ λόγῳ διάφορα δυνάμει μὲν
ὄντα τὰ ἐναντία δύναται δέξασθαι. ἐνεργείᾳ δὲ γενόμενα οὐ δύναται δέξασθαι
τὰ ἐναντία. οἷον τυχὸν τὸ θερμὸν καὶ ψυχρὸν τῷ μὲν ὑποκειμένῳ ταὐτά
ἐστιν (ἐν ἑνὶ γὰρ ὑποκειμένῳ γίνεται) τῷ δὲ λόγῳ διάφορα, καὶ ὅμως οὐ
δύναται ἐνεργείᾳ ἅμα εἶναι. ὥστε οὐδὲ ἡ κοινὴ αἴσθησις, ἐπειδὴ τῷ μὲν

---

10. 11 καὶ πάλιν εἰ scripsi: πάλιν εἰ A: καὶ πῶς t et fort. D 11 post ἐνήργει add. πάλιν Dt 12 ἐγίνετο A: γίνεται Dt 16 ἀσώματος scripsi: ἀσώματα Dt 19 εἴδη scripsi: εἰ δὴ Dt 20. 21 ἁρμόζει δὲ οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον, ἐπὶ τῶν κατὰ μέρος αἰσθήσεων A 20 post δὲ add. καὶ t 21 αὗται γὰρ Dt: καὶ γὰρ αὗται A μᾶλλον A: om. Dt 22 ὧν] τῶν t 27 γὰρ A: om. Dt 28 post ὥστε add. καὶ t 29 τοῦτο At: om. D 32 ταὐτὰ A: τὰ αὐτὰ Dt 36 δύναται At: δύνανται D οὐδὲ A: οὔτε Dt

ὑποκειμένῳ μία ἐστί, τῷ δὲ λόγῳ πολλαί. ἤδη παρὰ τοῦτο δύναται δέξασθαι p 1ᵛ
τὰ ἐναντία εἴδη τῶν αἰσθητῶν ἅμα. οὕτως ἀνατρέψας τὴν ψευδῆ λύσιν
λέγει ἄλλην λύσιν ἀληθῆ· φησὶ γὰρ ὅτι ἡ κοινὴ αἴσθησις καὶ μία ἐστὶ
τῷ ὑποκειμένῳ καὶ πολλαὶ πάλιν τῷ ὑποκειμένῳ. κατὰ τοῦτο γὰρ δια- 30
5 φέρει αὕτη ἡ λύσις τῆς προτέρας λύσεως, ὅτι ἐκείνη μὲν μίαν ἔλεγε τὴν
κοινὴν αἴσθησιν τῷ ὑποκειμένῳ, πολλὰς δὲ τῷ λόγῳ, αὕτη δὲ καὶ μίαν
καὶ πολλὰς λέγει αὐτὴν τῷ ὑποκειμένῳ. οἷον ὡς ἐπὶ παραδείγματος
γυμνάσωμεν τὸν λόγον, νόησόν μοι κέντρον καὶ ἐξ αὐτοῦ πέντε εὐθείας
ἐκβαλλομένας καὶ μετὰ τοῦτο διαιρουμένας ἀπ' ἀλλήλων. τοῦτο δὴ τὸ
10 κέντρον καὶ ἕν ἐστι πρὸς τὴν οἰκείαν φύσιν, ἀλλὰ μὴν καὶ πολλά· ἑκάστης
γὰρ πέρας ἐστὶ τὸ ἓν ἐκεῖνο καὶ μετὰ τὸ διαιρεθῆναι αὐτὰς ἐξ ἀλλήλων.
καὶ μὴ εἴπῃς 'πῶς τὸ ἀμερὲς ὂν πρὸς ἑκάστην ἀπονέμεται'; τοιαύτη γὰρ 35
ἡ τῶν ἀσωμάτων φύσις, ὥσπερ γοῦν καὶ τὸ ζῷον ἕν ἐστι πρὸς τὴν φύσιν
καὶ πολλά· ὅλον γὰρ ὡς ὅλον ἐν τῇ ἑκάστου ἀτόμου ἐστὶ φύσει. εἰ οὖν
15 καὶ ἕν ἐστιν ἡ κοινὴ αἴσθησις καὶ πολλὰ τῷ ὑποκειμένῳ, ὡς μὲν ἓν
ταύτῃ κρίνει, ὡς δὲ πολλὰ γινώσκει πολλά, κἂν ὦσι ταῦτα ἐναντία. καὶ
τὰ μὲν διὰ τῆς λέξεως ταῦτα. ἀλλ' ἐπειδὴ λογικωτέρα ἐστὶν ἡ τοιαύτη
ἀπόδοσις, φέρε φυσικωτέραν λύσιν ἐπινοήσωμεν· ἔστι δὲ αὕτη. ἡ κοινὴ
αἴσθησις αὐτὴ μὲν ἀσώματός ἐστιν, ἐν ὑποκειμένῳ δέ ἐστι τῷ σώματι·
20 ὑπόκειται γὰρ αὐτῇ τὸ πνευματικὸν σῶμα. τὰ οὖν εἴδη τῶν αἰσθητῶν. 40
κἂν ὦσιν ἐναντία, ἐν τῷ πνευματικῷ γίνονται κατ' ἄλλο καὶ ἄλλο αὐτοῦ
μέρος· λοιπὸν ἡ δύναμις αὕτη τὰ ἐν τῷ πνεύματι πάθη κρίνει. καὶ οὕτως
ἐπιλυόμεθα τὸν λόγον. καὶ οὔ φαμεν ἐν ἀμερεῖ τὰ ἐναντία εἴδη γίνεσθαι.
ἀλλ' ἐν μεριστῷ, τουτέστι τῷ πνευματικῷ, κατ' ἄλλο καὶ ἄλλο μέρος. εἰπὲ δὲ
25 καὶ τὸ ἄλλο ὅτι ὁλικῶς μὲν οὐχ ἅμα τῶν ἐναντίων ἀντιλαμβάνεται. κριτικῶς
δὲ ἅμα, ἐπειδὴ ἅμα κρίνει τὰ ἐναντία. πλὴν ἐὰν προσσχῇς, οὐδὲ κριτικῶς·
εἴρηται γὰρ ἐν τῷ Περὶ ἑρμηνείας ὅτι ἐναντίαι ὄοξαι εἰσὶν οὐχ αἱ περὶ
ἐναντίων ἐναντία λέγουσαι, οἷον ὅτι τὸ μὲν λευκὸν διακρίνει τὸ δὲ μέλαν 45
συγκρίνει, ἀλλ' αἱ περὶ τοῦ αὐτοῦ τὰ ἐναντία λέγουσαι, οἷον ὅτι τὸ λευκὸν καὶ
30 διακρίνει καὶ συγκρίνει. αὗται οὖν εἰσιν αἱ ἐναντίαι δόξαι. εἰ οὖν ἡ κοινὴ
αἴσθησις εἴποι ὅτι τὸ μὲν λευκὸν διακρίνει, τὸ δὲ μέλαν συγκρίνει, οὐδὲν πείσε-
ται, διότι οὐ τὰ ἐναντία ἔκρινε, καὶ ἄμφω ἀληθῶς καὶ οὐ περὶ τοῦ αὐτοῦ ἐναν-
τία ἀπεφήνατο. ὥστε οὐδὲ κριτικῶς τῶν ἐναντίων ἀντιλαμβάνεται. ἡ πρὸ
ταύτης οὖν λύσις καλῶς ἔχει. ὅρα δὲ ὅτι μεμφόμενος Πλάτωνι, διότι κατε-
35 μαθηματικεύσατο τὴν φύσιν, αὐτὸς διὰ μαθηματικῶν ἐπελύσατο τὰ φυσικά· 50

---

1 ἤδη A: εἰ δὴ Dt 6 αὕτη scripsi: αὐτὴ Dt 8 μοι] μὴ t 9 δὴ A: δὲ Dt 10 καὶ ἕν A: καὶ om. Dt πρὸς τὴν—εἴπῃς (12) Dt: τῷ ὑποκειμένῳ καὶ πολλά· κατὰ μὲν γὰρ τὴν οἰκείαν φύσιν ἕν, καθὸ δὲ γραμμῆς ἑκάστης ἀρχὴ ἢ καὶ πέρας, πολλά. καὶ μὴ εἴπῃς A 11 ἓν ἐκεῖνο scripsi: ἐν ἐκεῖνο D: ἐν ἐκείνῳ t 12 ὂν At: om. D ἐκνενέμηται A 13 ἕν ἐστι—φύσει (14) Dt: ἓν μέν ἐστιν πρὸς τὴν φύσιν, ἀλλὰ καὶ πολλά· ὅλον γὰρ ὡς ὅλον ἐν ἑκάστῳ ἐστὶν τῶν ἀτόμων A 15. 16 τῷ ὑποκειμένῳ—γινώσκει πολλά A: om. Dt 19 αὐτὴ A: αὕτη D: καὶ αὕτη t 20 σῶμα om. D 21 ἐν τῷ] αὐτῷ t 22 τῷ om. t 27 ἐν τῷ Περὶ ἑρμηνείας] c. 14 p. 23ᵇ3 sq. 27. 28 περὶ ἐναντίον D 32 οὐ τὰ] αὐτὰ t 33 οὐδὲ At: ὅτε D

ἰδοὺ γὰρ εἶπεν τὴν τῆς στιγμῆς λύσιν. πρὸς ὃ λέγομεν ὅτι οὐ διὰ τὸ p 1r
ἐπιλύεσθαι ἐκ τῶν μαθηματικῶν τὰ φυσικὰ ἐπιμέμφεται αὐτῷ, ἀλλ' ὅτι
τὰ φυσικὰ μεγέθη ἐκ τῶν μαθηματικῶν συνίστησι. / ταῦτα εἰπών, ἐπειδὴ
ταὐτὸν λέγει φαντασίαν καὶ κοινὴν αἴσθησιν, τὸν περὶ φαντασίας λόγον
5 γυμνάζει καὶ τρέπεται εἰς τὴν περὶ τῆς λογικῆς ψυχῆς διδασκαλίαν, ἵνα
δείξῃ ὅτι αὕτη ἐστὶν ἡ πρώτως κινοῦσα καὶ οὐχ ἡ ἄλογος· ἐν οἷς ἡ
θεωρία. |

p. 426b8 Ἑκάστη μὲν οὖν αἴσθησις τοῦ ὑποκειμένου αἰσθητοῦ p 1v
ἐστιν, ὑπάρχουσα ἐν τῷ αἰσθητηρίῳ ᾗ αἰσθητήριον.

10 Ἑκάστη, φησίν, αἴσθησις τῶν οἰκείων αἰσθητῶν ἀντιλαμβάνεται, οὖσα
ἐν τῷ αἰσθητηρίῳ ἑαυτῆς, ὅτε κατὰ φύσιν ἔχει τὸ αἰσθητήριον. αἰσθητή- 5
ριον δὲ λέγει ἢ τὸ πνεῦμα ἢ τὸ ὀστρέινον. ἡ αἴσθησις οὖν ἡ οὖσα ἐν τῷ
αἰσθητηρίῳ αὐτὴ οἶδε τὰ ὁμογενῆ, ἐντεῦθεν δὲ εὐφυῶς εἰσβάλλει εἰς τὴν
κοινὴν αἴσθησιν. εἰ γὰρ ἑκάστη αἴσθησις τὰ ἴδια ὁμογενῆ οἶδεν ἐναντία,
15 τὰ δὲ [ἐναντία] ἀνομογενῆ ἡ κοινὴ αἴσθησις οἶδεν, ἔστιν ἄρα ἡ κοινὴ
αἴσθησις. καὶ Πλάτων δὲ πρὸ Ἀριστοτέλους καλεῖ κοινὴν αἴσθησιν, ἔνθα
φησὶν 'εἰ γὰρ μή ἐστιν, ὅμοιοί ἐσμεν τοῖς ἐν τῷ δουρίῳ ἵππῳ', ἐν οἷς οὐκ
ἔστι κοινὴ αἴσθησις ἐν τῷ δουρίῳ οὖσα ἵππῳ.

p. 426b12 Ἐπεὶ δὲ τὸ λευκὸν καὶ τὸ γλυκὺ καὶ ἕκαστον τῶν 10
20 αἰσθητῶν πρὸς ἕκαστον κρίνομεν, τινὶ καὶ αἰσθανόμεθα ὅτι
διαφέρει. ἀνάγκη δὴ αἰσθήσει· αἰσθητὰ γάρ ἐστιν.

Ἀνάγκη, φησί, τὰ ἀνομογενῆ αἰσθήσει τινὶ γινώσκειν, ἐπειδὴ αἰσθητῶν
ἀντιλαμβάνεται, τὰ δὲ αἰσθητὰ πρὸς ἀναφορὰν αἰσθήσεων λέγεται, ὡς
ὅτι ὁ λόγος οὐκ ἀντιλαμβάνεται αἰσθητῶν, ὥστε οὐδὲν ἔδειξεν ἐκ τούτου.
25 ἀλλ' ἡμεῖς καλῶς ἐδείξαμεν ἐκ τῶν ἀλόγων τοῦτο ὅτι οὐκ ἔστι λογικῆς·
καὶ κύων γὰρ κρίνει διαφορὰν γλυκέος καὶ λευκοῦ, εἴπερ οὐ παντὶ λευκῷ 15
ἐπέρχεται (οὐ γὰρ λίθῳ), ἀλλὰ μόνον τῷ ἐγχύμῳ.

p. 426b15 Ἢι καὶ δῆλον ὅτι ἡ σὰρξ οὐκ ἔστι τὸ ἔσχατον αἰσθη-
τήριον.

30 Ἐντεῦθέν ἐστι τὸ δεύτερον κεφάλαιον· καὶ σημείωσαι ὅτι τὸ σῶμα

---

5 γυμνάζει t: om. D 15 ἐναντία delevi post ἀνομογενῆ add. d t 16 Πλάτων] cf. Theaet. p. 184D δεινὸν γὰρ — εἰ πολλαί τινες ἐν ἡμῖν, ὥσπερ ἐν δουρείοις ἵπποις, αἰσθήσεις ἐγκάθηνται καλεῖ] κατα (sic) D post αἴσθησιν add. εἶναι D
19 δὲ τὸ D Arist. TUVWy: δὲ καὶ τὸ t Arist. ELX 20 αἰσθητηρίων D τινα t Arist. L 21 δὴ om. D 23. 24 ὡς ὅτι] cf. p. 134,10 27 ἐγχύμῳ scripsi: ἐν χυμῷ D: εὐχυμῷ t

σάρκα ἐκάλεσε καὶ τὴν αἴσθησιν αἰσθητήριον. δέον δὲ ἦν αὐτὴν εἰπεῖν p 1ᵛ
ὅτι ἡ ἐσχάτη αἴσθησις οὐκ ἔστι σῶμα· εἶπε δὲ αὐτὸς ὅτι τὸ ἔσχατον
αἰσθητήριον οὐκ ἔστι σάρξ. ἐσχάτην δὲ αἴσθησιν ἀκουστέον τὴν κοινὴν 21
αἴσθησιν· ἐσχάτην δὲ αὐτὴν ἐκάλεσε, διότι εἰς αὐτὴν ἀποπερατοῦνται αἱ
5 αἰσθήσεις, καὶ οἱ ἐν αὐταῖς τύποι μετὰ τὸ παρελθεῖν πάντα εἰς αὐτὴν
ἔρχονται. εἰ δὲ ἦν σῶμα, φησίν, ἡ κοινὴ αἴσθησις, ἀνάγκη ἦν αὐτὴν
ἁπτομένην τῶν αἰσθητῶν κρίνειν αὐτά. καὶ ὅτι οὐ κεχωρισμένως ἐν ἄλλῳ
καὶ ἄλλῳ μορίῳ αἰσθάνεται οὗ ἐστι σώματος, ἐπεὶ ἔσται ὡς εἰ τοῦ μὲν
ἐγώ, σὺ δὲ τοῦδε αἴσθοιο. εἰ γὰρ μὴ μία ἐστὶ δύναμις ἡ κρίνουσα τὸ λευκὸν 25
10 καὶ τὸ γλυκύ, ὅμοιόν ἐστιν ὡς εἰ δύο τινὲς διαφόρων αἰσθανόμενοι διάφορα αὐτὰ ἔφασαν, ὧν ἑκάτερος οὐκ οἶδε τίνος ὁ ἕτερος ᾔσθετο.

p. 426ᵇ20 Δεῖ δὲ τὸ ἓν λέγειν ὅτι ἕτερον.

Μίαν, φησίν, αἴσθησιν δεῖ εἰπεῖν ὅτι ἕτερόν ἐστι τὸ γλυκὺ καὶ τὸ λευκόν, καὶ τὸ λευκὸν καὶ τὸ γλυκύ. τὸ γὰρ αὐτὸ λέγει, καὶ οὐ δεῖ κεχω- 30
15 ρισμένον εἶναι σῶμα τὸ λέγον. ὥστε ὡς λέγει, οὕτως καὶ νοεῖ καὶ αἰσθάνεται. νοεῖ λέγει ἀντὶ τοῦ φαντάζεται.

p. 426ᵇ23 Ὅτι δ' οὐδ' ἐν κεχωρισμένῳ χρόνῳ.

Ἐντεῦθεν τὸ τρίτον τῆς θεωρίας κεφάλαιον λέγεται, ὅτι ἀχρόνως 35
ἐνεργεῖ ἡ κοινὴ αἴσθησις. ὥσπερ γάρ, φησί, μία ἐστὶν ἀσώματος αἴσθησις
20 ἡ λέγουσα ὅτι διαφέρει τὸ ἀγαθὸν τοῦ κακοῦ, καὶ τὸ κακὸν ἄρα ὅτε λέγει διαφέρειν τοῦ ἀγαθοῦ, ἐν τῷ αὐτῷ χρόνῳ τῷ πρώτῳ λέγει· νῦν γὰρ λέγει ἄμφω, καὶ νῦν κατὰ τὸ κύριον νῦν καὶ οὐ κατὰ συμβεβηκός, ⟨ὡς⟩ ὅταν τὸ πάλαι γενόμενον νῦν εἴπω γενέσθαι, οἷον ἐπειδὴ νῦν ἤκουσα, νῦν ἐγένετο τὰ Τρωϊκά. λέγεται δὲ καὶ κυρίως νῦν, ὅταν τὸ νῦν γινόμενον νῦν εἰδῶ, 40
25 ὥσπερ, φησί, καὶ ἡ κοινὴ αἴσθησις νῦν λέγει τὴν διάκρισιν κατὰ τὸ κυρίως νῦν· ὅτε γὰρ αἰσθάνεται, διακρίνει· τὸ γὰρ περὶ ἀπὸν ἐνεργεῖν φαντασίας ἐστίν.

p. 426ᵇ28 Ὥστε ἀχώριστον καὶ ἐν ἀχωρίστῳ χρόνῳ.

Τοῦτο κοινόν ἐστι συμπέρασμα τῶν δύο κεφαλαίων· φησὶ γὰρ ὅτι εἰ ἅμα ἐν τῷ αὐτῷ νῦν διακρίνει καὶ τὸ γλυκὺ τοῦ λευκοῦ καὶ θάτερον,
30 τουτέστι τὸ λευκὸν τοῦ γλυκέος, δῆλον ὅτι καὶ ἀχώριστός ἐστι σώματι καὶ ἐν ἀχωρίστῳ χρόνῳ ἐνεργεῖ, τουτέστιν ἀχρόνως. 45

---

1 δὲ] fort. γὰρ 8 ὅ ἐστι D 11 τίνος ὁ scripsi: τινος ὁ D: τινος οὗ t 14 αὐτῶ D 15 τὸ λέγων t 17 οὐδ' ἐν D Arist. vulg.: οὐδὲ Arist. E: οὐδὲν t (cum Ald.) post κεχωρισμένῳ add. ἐστὶ (cum Ald.) t (cf. Arist. S) 21 τῷ πρώτῳ scripsi: τοῦ πρώτου Dt 22 ὡς addidi 23 εἴπη t 24 εἰδῶ scripsi: εἴδω D: ἴδω t 30 σώματι scripsi: σώματος Dt 31 ἐνεργεῖ scripsi: ἐνέργει D: ἐνήργει t

p. 426b29 Ἀλλὰ μὴν οὐ δυνατὸν ἅμα τὰς ἐναντίας κινήσεις κινεῖσθαι τὸ αὐτό. p 1r

Ἐντεῦθέν ἐστι τὸ τέταρτον κεφάλαιον τῆς θεωρίας, ἐν ᾧ ἄρχεται τῆς ἀπορίας καί φησιν, εἰ ἀσώματός ἐστιν ἡ κοινὴ αἴσθησις καὶ ἀχρόνως ἐνεργεῖ, πῶς δύναται ἅμα τῶν ἐναντίων ἀντιλαμβάνεσθαι: εἰ γὰρ ἦν σῶμα, ἠδύνατο κατ' ἄλλο καὶ ἄλλο καὶ λευκοῦ καὶ μέλανος ἀντιλαμβάνεσθαι ἅμα. νόησιν δὲ ἢ τὴν φαντασίαν λέγει ἢ τὴν ἐνέργειαν τοῦ νοῦ.

p. 427a2 Ἆρ' οὖν ἅμα μὲν καὶ ἀριθμῷ ἀδιαίρετον καὶ χρόνῳ ἀχώριστον τὸ κρῖνον. |

Ἐντεῦθεν ἡ ψευδὴς ἐστι λύσις τῆς ἀπορίας. ἀριθμῷ δὲ μίαν καὶ χρόνῳ ἀχώριστον λέγει, τουτέστι μίαν μὲν τῷ ὑποκειμένῳ, πολλὰς δὲ τῷ λόγῳ· ἀντὶ δὲ τοῦ εἰπεῖν τῷ λόγῳ εἶπεν πολλὰς δὲ τῷ εἶναι. καθὸ μὲν οὖν ἐστι πολλά, τὰ ἐναντία δέχεται, καθὸ δὲ ἕν ἐστι, κρίνει αὐτά· τῷ μὲν γὰρ λόγῳ διαιρετόν ἐστι, τουτέστι πολλά (τὸ γὰρ διαιρούμενον πολλὰ γίνεται), τῷ δὲ ὑποκειμένῳ ἀδιαίρετον καὶ ἕν. ὅπερ ὑποκείμενον δηλῶσαι βουλόμενος εἶπεν ἀριθμῷ δὲ καὶ τόπῳ ἀδιαίρετον. p 2r

p. 427a5 Ἢ οὐχ οἷόν τε;

Ἐντεῦθέν ἐστιν ἡ ἀνατροπὴ τῆς ψευδοῦς λύσεως τῆς ἀπορίας. δυνάμει γάρ, φησί, τὸ αὐτὸ δύναται δέχεσθαι τὰ ἐναντία ἀδιαίρετον ὄν, τῷ δὲ εἶναι οὔ, ἀντὶ τοῦ ἐνεργείᾳ δὲ οὐ δύναται δέξασθαι τὰ ἐναντία· ἐν γὰρ τῷ ἐνεργεῖσθαι διαιρεῖται. ἐνεργοῦντος γὰρ φέρε εἰπεῖν τοῦ λευκοῦ καὶ τοῦ μέλανος διαιρεῖται τὸ ὑποκείμενον καὶ διασπᾶται καὶ οὐ μένει ἀδιαίρετον.

p. 427a9 Ἀλλ' ὥσπερ ἣν καλοῦσί τινες στιγμήν, ᾗ μία καὶ δύο, ταύτῃ καὶ διαιρετή.

Ἐντεῦθέν ἐστιν ἡ δευτέρα λύσις, ὅτι ὥσπερ ἡ στιγμὴ καὶ μία ἐστὶν ὡς στιγμὴ καὶ δύο καὶ πολλαί, καθὸ συμπερατοῦται ταῖς εὐθείαις καὶ ὡς πολλαὶ κεχώρισται, οὕτω καὶ ἡ αἴσθησις· καθὸ ὡς στιγμή ἐστιν, ἕν ἐστι τὸ αἰσθανόμενον καὶ ἅμα, καθὸ ⟨δὲ⟩ συνεξέρχεται τοῖς αἰσθητοῖς, ὡς ἡ στιγμὴ ταῖς εὐθείαις, καὶ δύο καὶ πολλὰ κρίνει· καθὸ δὲ ἕν ἐστιν, ἅμα καὶ ἀχρόνως ἀντιλαμβάνεται.

---

1 οὐ δυνατὸν D: ἀδύνατον t Arist. 8 χρόνῳ t Arist. Uym.rec. E (cf. etiam v. 10): om. D Arist. vulg. 12 ἀντὶ δὲ τοῦ Diels: εἶτα δὲ Dt 15 ὅπερ t 19. 20 ἀδιαίρετα ὄντα δὲ εἶναι t 20 οὐ] οὐ D 23 καὶ δύο D Arist. L: καὶ ᾗ δύο t: ἢ δύο Arist. plerique 27 ἕν ἐστι om. t 28 δὲ addidi 29 καὶ (post δύο) om. D

p. 427a14 Περὶ μὲν οὖν τῆς ἀρχῆς ᾗ φαμεν τὸ ζῷον αἰσθητικὸν p 2r
εἶναι, διωρίσθω τὸν τρόπον τοῦτον. 20

Τὸ ᾗ ἀντὶ τοῦ καθό ἐστι· οὐχ ὅτι πολλὰς ἔχει ἀρχὰς τὸ ζῷον, διὰ τοῦτο εἶπεν Ἀριστοτέλης ὅτι περὶ ἐκείνης τῆς ἀρχῆς λέγω [περὶ] ᾗ τὸ ζῷον λέγομεν αἰσθάνεσθαι, ἀλλ' ὅτι μία ἐστὶ καὶ πολλαί, ὥς φησιν ὁ Πλούταρχος. ἐν οἷς ἡ πρᾶξις καὶ τὸ πρῶτον τμῆμα σὺν θεῷ πληροῦται.

p. 427a17 Ἐπεὶ δὲ δύο διαφοραῖς ὁρίζονται μάλιστα τὴν ψυχήν, κινήσει τε τῇ κατὰ τόπον καὶ τῷ νοεῖν καὶ κρίνειν καὶ αἰσθάνεσθαι, καὶ τὰ λοιπά.

Ἐπειδὴ ἡ ἀθρόα μεταβολὴ καὶ ἐν λόγῳ καὶ ἐν πράγματι κακή, διὰ τοῦτο οὐκ εὐθὺς ἀπὸ τῆς ἀλόγου χωρεῖ ἐπὶ τὴν λογικήν, ἀλλὰ πρότερον λέγει διάκρισίν τινα τῶν γνωστικῶν τῆς ἀλόγου καὶ τῆς λογικῆς, εἶτα καὶ φαντασίαν διακρίνει ἀπὸ τῆς γνώσεως τοῦ λόγου, καὶ ἐν τῷ μέσῳ διακρίνει φαντασίαν ἀπὸ τῶν κατὰ μέρος αἰσθήσεων, αὐτὴν τὴν ἄλογον πρὸς ἑαυτὴν διακρίνων, ὅπερ οὐκ ἦν σκοπός, καὶ λέγει ὅτι ἡ φαντασία οὔτε αἴσθησίς ἐστιν οὔτε δόξα οὔτε δὲ ἐξ ἀμφοτέρων συνίσταται. πρὶν δὲ διακρίνει ταῦτα, θέλων αὐξῆσαι τὴν διάκρισιν κοινωνίαν αὐτῶν λέγει· κοινωνοῦσι γάρ, φησίν, αἱ γνώσεις τῆς ἀλόγου καὶ τῆς λογικῆς, ἐπειδὴ ἄμφω κρίσεις εἰσί. καὶ κατ' ἄλλο δὲ κοινωνοῦσι, κατὰ τὸ συγχύσαι τοὺς ἀρχαίους τὰς γνωστικὰς δυνάμεις τῆς τε λογικῆς καὶ τῆς ἀλόγου· τὰς γὰρ τῶν αἰσθήσεων ἐνεργείας νόησιν ἐκάλεσαν, καὶ τὸ ὄνομα τῆς ἀλόγου ἐνεργείας τῷ ὀνόματι τῆς λογικῆς ἐνεργείας ὠνόμασαν, τὴν αἴσθησιν καὶ τὴν φαντασίαν καλέσαντες νόησιν. τοῦτο δὲ πεποίηκεν Ἐμπεδοκλῆς εἰπὼν "πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν". συλλογιζόμεθα γὰρ ἐκ τῆς χρήσεως ταύτης ὅτι τὴν μῆτιν καὶ τὴν νόησιν εἶπε τῶν αἰσθητῶν εἶναι. ὁ δὲ συλλογισμὸς τοιοῦτος· ἡ αἴσθησις τῶν αἰσθητῶν ἀντιλαμβάνεται· τὸ τῶν αἰσθητῶν ἀντιλαμβανόμενον τῶν παρόντων ἀντιλαμβάνεται· ἡ αἴσθησις ἄρα τῶν παρόντων ἀντιλαμβάνεται. οὕτως ἐν πρώτῳ σχήματι συνῆκται ὅτι ἡ αἴσθησίς ἐστιν ἡ τῶν παρόντων ἀντιλαμβανομένη. ἣν αὐτὸς μῆτιν ἐκάλεσεν. ὥστε συνέχυσε τὰ ὀνόματα τὴν αἴσθησιν νοῦν καλέσας. τινὲς δέ φασιν

---

2 τόν τε τρόπον t 4 ᾗ scripsi: περὶ ἧς Dt 6 post πληροῦται add. πρᾶξις σὺν θεῷ πέμπτη t: eadem in marg. exhibet D[1] 8 τῷ νοεῖν καὶ κρίνειν] τὸ νοεῖν καὶ κρίνειν D: τῷ νοεῖν καὶ τὸ κρ. t 16. 17 διακρίνει D: διακρίνη t 19 καὶ κατ' ἄλλο δὲ κοινωνοῦσι om. A κατ' ἄλλο D: καθὸ t κατὰ τὸ D: ante κατὰ add. καὶ μὴν καὶ At συγχύσαι At: συγχύσει D 21 νοήσειν D τὸ ὄνομα τῆς ἀλόγου ἐνεργείας om. A 22 ὠνόμασε D 23. 24 πρὸς παρεὸν κτλ.] Empedocl. fragm. v. 375 Mullach 24 ἀέξηται t 25 ὁ δὲ scripsi: ὅτι δὲ ὁ D: ὁ δὲ ὁ t 28 ἐν πρώτῳ scripsi: ἐν ᾧ (volebat ἐν ᾷ) D: ἑνὶ t 29 ἀντιλαμβανόμενος D 30 φησιν D

ὅτι οὐ τὸν νοῦν ἐκάλεσε μῆτιν, ἀλλὰ τὴν διάνοιαν· πρὸς τὸ παρὸν γάρ, p 2r
φησίν, ἡ διάνοια ἐνεργεῖ. τὸ γὰρ ἀέξεται ἀντὶ τοῦ ἐνεργεῖ ἔλαβε, καὶ καλῶς
εἶπεν αὔξεται· ἡ γὰρ ἐνέργεια αὔξει τὴν δύναμιν, ὥσπερ καὶ τοὐναντίον
ἡ ἡσυχία βλάπτει· κίνησις γὰρ κρατύνει. εἰ οὖν περὶ τὰ παρόντα λέγει
5 τὴν διάνοιαν ἐνεργεῖν, τὸ δὲ παρὸν ἡ αἴσθησις οἶδε, ταὐτὸν ἄρα ⟨λέγει⟩
αἴσθησιν καὶ διάνοιαν. κακῶς δὲ τοῦτο λαμβάνεται· οὐδὲ γὰρ περὶ τὸ
παρὸν μόνη αἴσθησις ἐνεργεῖ, ἀλλὰ καὶ διάνοια· ἀλλὰ καὶ μᾶλλον αὕτη,
εἴπερ ἡ μὲν αἴσθησις ἔξω ἔχει τὸ αἰσθητόν, ἡ δὲ διάνοια ἐντὸς τὸ ἴδιον 15
πρᾶγμα καὶ ὅτε θέλει προχειρίζεται αὐτό. ὥστε κἂν εἶπε τὴν διάνοιαν
10 περὶ τὸ παρὸν ἐνεργεῖν, οὐκ αἴσθησιν αὐτὴν ἐποίησεν. τὸ αὐτὸ δὲ ἔστιν
εἰπεῖν καὶ ἐὰν τὴν αἴσθησιν εἶπε νοῦν. καὶ αὕτη μὲν ἡ πρώτη χρῆσις, ἣν
ἐδείξαμεν νῦν ἀπρόσφορον οὖσαν· φέρει δὲ καὶ ἄλλην χρῆσιν αὐτοῦ Ἐμπεδο-
κλέους πρόσφορον τῷ ὄντι. ὁ γὰρ Ἐμπεδοκλῆς τὰς διαφορὰς τῶν ὀνει-
ράτων λέγων φησὶν ὅτι ἐκ τῶν μεθ' ἡμέραν ἐνεργημάτων αἱ νυκτεριναὶ
15 γίνονται φαντασίαι· ταύτην δὲ τὴν φαντασίαν φρόνησιν καλεῖ ἐν οἷς φησιν 50
"ὅθεν σφίσιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται". ἰδοὺ γὰρ τηλαυγῶς
τὴν γνῶσιν τῆς ἀλόγου, τὴν φαντασίαν φημί, φρόνησιν καλεῖ· καὶ οὐ μόνον
Ἐμπεδοκλῆς, ἀλλὰ καὶ Ὅμηρος αὐτός φησι "τοῖος γὰρ νόος ἐστὶν ἐπιχθο-
νίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε". νόον
20 γὰρ νῦν λέγει τὴν αἴσθησιν, ἐπ' ἦμαρ δὲ τὸ αἰσθητόν· τοιαύτη οὖν ἐστιν
ἡ αἴσθησις οἷον τὸ αἰσθητόν. ἰδοὺ οὖν, φησί, καὶ Ὅμηρος τὴν αἴσθησιν
νοῦν καλεῖ, καὶ ἐντεῦθεν τύρβη γέγονε τῶν ὀνομάτων. λέγομεν δὲ ἡμεῖς
ὑπὲρ Ὁμήρου ὅτι, ὦ Ἀρι|στότελες, κακῶς ἐνόησας τὸ διστίχιον· νόον γὰρ p 2v
λέγει τὸν νοῦν, ἐπ' ἦμαρ δὲ οὐ τὸ αἰσθητόν, ἀλλὰ τὴν τύχην ἤτοι τὴν εἱ-
25 μαρμένην. οἱ στίχοι οὖν τοιαύτην ἔννοιαν ἔχουσιν ὅτι ὁ νοῦς τῶν ἀνθρώ-
πων τοιοῦτός ἐστιν, οἷα καὶ ἡ τύχη αὐτῶν. καὶ ἐοικὸς τὸ διστίχιον τοῦτο
ἐκείνῳ τῷ τραγικῷ τῷ λέγοντι "πρὸς τὰς τύχας δὲ τὰς φρένας κεκτήμεθα".
πένης γάρ τις ὢν μέτριός ἐστι τὸ ἦθος, πλουτήσας δὲ μοχθηρὸς γίνεται.
τοῦτο δὲ οὐκ ἐπὶ παντὸς ἀνθρώπου ἁρμόζει τὸ πρὸς τὰς τύχας εἶναι τὰς 5
30 φρένας, ἀλλ' ἐπὶ μόνων τῶν ῥᾳθύμων καὶ ἀκολάστων καὶ ἔνυλον ζωὴν
ἐχόντων· ὅθεν ὁ ποιητὴς οὐκ εἶπεν ἀνθρώπων μόνον καὶ ἐσιώπησεν, ἀλλὰ
προσέθηκε τὸ ἐπιχθονίων, τὸ ἔνυλον τῆς ζωῆς ἐντεῦθεν ἐμφαίνων ἡμῖν.
οἱ δὲ μὴ ἐνύλως ζῶντες οὐχ οὕτω συμμετατρέπονται. ὥστε οὐδὲ ἡ Ὁμή-
ρου χρῆσις συνέχουσε τὰ ὀνόματα. ἀπελογήσαντο δέ τινες καὶ ὑπὲρ Ἐμπε-
35 δοκλέους ὅτι οὐ μόνον ἐκ τῶν λειψάνων τῶν αἰσθήσεων τὰ ἐνύπνια γίνονται,
ἀλλὰ καὶ ἐξ ἄλλων. τρεῖς γὰρ τούτου εἰσὶν αἰτίαι, τό τε εἰρημένον, ὅταν 10
ἡ φαντασία ἐκ τῶν αἰσθήσεων ποιήσῃ τὰ ὀνείρατα· ἀλλὰ μὴν καὶ ἡ λογικὴ
ψυχή ἐστιν αἰτία τῶν ὀνειράτων, ὅταν ζητοῦσα εὕρῃ, καὶ ἡ θεία ἔκλαμ-

---

1 παρὸν] παλαιὸν D 5 λέγει addidi 6 τοῦτο scripsi: αὐτοῦ Dt 11 ἐὰν — νοῦν] exspectas ἐὰν μῆτιν εἶπε τὸν νοῦν 16 ὅθεν σφίσιν — παρίσταται] Empedocl. fragm. vv. 376 sq. Mullach ἰδοὺ scripsi: οὐδὲν, ut vid., D: οὐδὲ t 18 Ὅμηρος — φησὶ] Od. Σ 136 sq. 19 τε καὶ θεῶν τε t 22 καὶ om. t 26 ἐοικῶς D 27 πρὸς τὰς — κεκτήμεθα] Eurip. Hippol. v. 701 δὲ] γὰρ Eur. 33 ἡ] ὁ D

ψις, ὅτε τὰ μέλλοντα προλέγομεν. εἰ οὖν φησιν "ὅθεν σφίσιν αἰεὶ καὶ τὸ p 2v
φρονεῖν ἀλλοῖα παρίσταται", ὡς πρὸς τοὺς ὀνείρους ἀπέβλεψεν τοὺς ἀπὸ
τῆς λογικῆς ψυχῆς. ἀλλοία δὲ γίνεται ἡ φρόνησις ἐν ὀνείροις, διότι ἐν
νυκτὶ ἐναργέστεραι αἱ φυσικαὶ δυνάμεις εἰσὶ καὶ ἀμβλύνεται ἡ λογική, ἐν
5 δὲ τῇ ἡμέρᾳ αὕτη μᾶλλον ἐνεργεῖ. ἐγκαλεῖ δὲ πάλιν Ἀριστοτέλης τῷ 15
Ἐμπεδοκλεῖ οὐ μόνον ὅτι σύγχυσιν ἐποιήσατο τῶν ὀνομάτων, ἀλλ' ὅτι καὶ
εἰπὼν ὡς τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται, περὶ μὲν γνώσεως εἶπε, περὶ
δὲ ἀπάτης οὐκ εἶπε· καίτοι ἐχρῆν περὶ ἀπάτης μᾶλλον εἰπεῖν ἢ περὶ ἐπι-
στήμης, διότι πλέον οὗ γινώσκομεν ἀπατώμεθα. τούτου δὲ αἴτιον ἡ γένε-
10 σις καὶ ἡ ἐν τῇ ὅλῃ ἀμβλυωπία τῆς ψυχῆς. ὥσπερ γὰρ τῶν ἐν λοιμώδει
χωρίῳ ὄντων πλείους νοσοῦσι τῶν ὑγιαινόντων, οὕτω καὶ τῶν ἐν γενέσει
ψυχῶν μᾶλλον αὐθεντεῖ ἄγνοια ἤπερ γνῶσις. ἐπειδὴ οὖν μᾶλλον ἀπατώ- 20
μεθα, ἐχρῆν αὐτὸν πλέον περὶ ἀπάτης διαλεχθῆναι· οὐδὲ γὰρ ὁ Ἐμπεδο-
κλῆς δοξάζει μὴ εἶναι ἀπάτην. αὐτὴ γὰρ ἡ δόξα ἡ λέγουσα μὴ εἶναι
15 ἀπάτην ἠλέγχθη ὑπὸ Πλάτωνος. εἰ μὲν οὖν μὴ δοξάζει εἶναι ἀπάτην,
τοῖς Πρωταγορείοις ἐλεγχέσθω λόγοις· εἰ δὲ δοξάζει, διὰ τί μὴ εἶπεν τὸ
αἴτιον αὐτῆς; εἰ μή τι ἄρα συνάξομεν ὅτι εἰ ἡ γνῶσις τοῦ ὁμοίου ἐστὶ
γνῶσις, ἡ ἀπάτη ἄρα τοῦ ἀνομοίου ἐστὶ θίξις, καὶ διὰ τοῦ ἀντικειμένου
ἠθέλησε καὶ τὸ ἀντικείμενον ὑπακουσθῆναι. καὶ τοῦτο μὲν αὐτῷ συνά- 25
20 γεται, ἡμεῖς δὲ οὐ συγχωροῦμεν τὴν ἐπιστήμην τοῦ ὁμοίου γνῶσιν εἶναι,
διὰ συλλογισμοῦ τοῦτο ἀναιροῦντες· εἰ τὰ ἐναντία μία ἐπιστήμη οἶδε, τὰ
δὲ ἐναντία ἀνόμοιά ἐστιν, οὐκ ἄρα τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται. ἰδοὺ
γὰρ ἡ ἐπιστήμη μία ἐστί, καὶ δύο ἐναντία οἶδεν· εἰ οὖν ἑνὶ τῶν ἐναν-
τίων ἐστὶν ὁμοία ἡ ἐπιστήμη, τῷ ἄλλῳ ἄρα οὐκ ἔστιν ὁμοία, καίτοι γινώ-
25 σκουσα αὐτό. ὥστε οὐ τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται, ὦ Ἐμπεδόκλεις.
εἰ οὖν ἡ γνῶσις οὐκ ἔστι τοῦ ὁμοίου θίξις, οὐδὲ ἡ ἀπάτη τοῦ ἀνομοίου
θίξις ἐστί. καὶ ταῦτα μὲν πρὸς τὸν Ἐμπεδοκλέα.

Λοιπὸν δὲ τὴν διαφορὰν τῶν γνωστικῶν δυνάμεων τῆς ἀλόγου, 30
ὅ ἐστιν αἰσθήσεως καὶ φαντασίας, πρὸς τὰς γνωστικὰς δυνάμεις τῆς
30 λογικῆς παραδίδωσι. καὶ πρῶτον μὲν λέγει τὴν διαφορὰν αἰσθήσεως
πρὸς νοῦν, διότι καὶ πλείστην κοινωνίαν ἔχουσι· μόναι γὰρ αὗται τῶν
ἄλλων δυνάμεων καὶ τῆς ἀλόγου καὶ τῆς λογικῆς ἀμερῶς ἐπιβάλλουσι
τοῖς πράγμασιν. ἥ τε γὰρ αἴσθησις ἀχρόνως ἀντιλαμβάνεται τῶν
οἰκείων αἰσθητῶν, ὡς δέδεικται μικρὸν ἀνωτέρω, καὶ ὁ νοῦς δὲ ὁμοίως
35 ἀχρόνως ἐνεργεῖ. ἐπειδὴ οὖν πολλή ἐστιν αὐτῶν ἡ κοινωνία, διὰ 35
τοῦτο πρῶτον αὐτῶν λέγει τὴν διαφοράν. διαφέρει τοίνυν ὁ νοῦς τῆς
αἰσθήσεως, ὅτι ἡ μὲν αἴσθησις ἐν πᾶσι τοῖς ζῴοις ἐστίν, ὁ δὲ νοῦς
οὐκ ἐν πᾶσιν, ἀλλ' ἐν μόνῳ ἀνθρώπῳ. οὕτω μὲν οὖν διαφέρει νοῦς
αἰσθήσεως. εἶτα μετὰ ταῦτα λέγει διαφορὰν αἰσθήσεως καὶ διανοίας· φησὶ

---

1 ἀεὶ t 8 καίτοι] καί τι t 9 γινώσκωμεν t 10 ἀμβλυωπία S: ἀμβλυωπεία D: ἀμβλυοπία t 15 ὑπὸ Πλάτωνος] Theaet. p. 170 C sqq.
17 συναξόμενον D 21 post μία add. ἐστὶν D 23 ἑνὶ τῷ t 25 Ἐμπεδόκλεις scripsi: ἐμπεδόκλες D: ἐμπέδοκλες t 35 πολλή] πολύ t

γὰρ ὅτι ἡ μὲν αἴσθησις οὐ ταχέως ἀπατᾶται, ἡ δὲ διάνοια ταχέως ἀπα- p 2v
τᾶται. ταχέως δὲ ἀπατᾶται ἡ διάνοια διὰ δύο αἰτίας, ἢ ὅτι ἡ μὲν αἴσθησις
περὶ φανερὰ καὶ ὅῆλα καταγίνεται πράγματα, ἡ δὲ διάνοια περὶ κρυπτά, 10
ἢ ὅτι ἡ μὲν αἴσθησις ἀχρόνως καὶ ἁπλῶς εἰπεῖν κατὰ πρώτην προσβολὴν
5 προσβάλλει τοῖς πράγμασιν, ἡ δὲ διάνοια διὰ μέσων προτάσεων καὶ συμπε-
ρασμάτων, ἐξ ὧν ἀπάτη φιλεῖ γίνεσθαι· μόνη γὰρ διάνοιά ἐστιν ἡ συλλο-
γιζομένη, ὅθεν καὶ ἀπατᾶται. καὶ οὗτοί εἰσιν οἱ δύο λόγοι δι' οὓς ἡ διάνοια
ἀπατᾶται. ἢ οὖν ταύτῃ διαφέρει αἴσθησις διανοίας ἢ ὅτι ἡ μὲν αἴσθησις
πᾶσι τοῖς ζῴοις ὑπάρχει, ἡ δὲ διάνοια τοῖς ἔχουσι λόγον. εἶτα μετὰ τοῦτο
10 λέγει διαφορὰν φαντασίας πρὸς αἴσθησιν καὶ διάνοιαν, καί φησιν ὅτι δια- 45
φέρει τούτων ἡ φαντασία, καθὸ μέση ἐστὶν αἰσθήσεως καὶ διανοίας. ἄρχε-
ται μὲν γὰρ ἀπὸ τῆς αἰσθήσεως· ἀρχὰς γὰρ ἡ αἴσθησις δίδωσιν τῇ φαν-
τασίᾳ· ἐκείνη δὲ λοιπὸν τῇ διανοίᾳ ἀρχὰς δίδωσιν· ἄνευ γὰρ φαντασίας οὐ
δύναται ἡ διάνοια ἐνεργῆσαι. καὶ ταύτῃ διαφέρει φαντασία αἰσθήσεως καὶ
15 διανοίας. εἶτα πρὸς τούτοις λέγει δόξης καὶ φαντασίας διαφοράν, ὅτι φαν-
τασθῆναι μὲν ὅτι καὶ θέλομεν δυνάμεθα (καὶ γὰρ καὶ τρίπηχυν καὶ εἰκο-
σάπηχυν ἄνθρωπον φανταζόμεθα, καὶ δυνάμεθα ἀναπλάσασθαι καὶ τραγέ- 50
λαφον καὶ Ἱπποκένταυρον) δοξάσαι δὲ ἃ θέλομεν οὐ δυνάμεθα. τὸ γὰρ δὶς
δύο εἰπεῖν μὲν δέκα δυνάμεθα, δοξάσαι δὲ τοῦτο οὐ δυνάμεθα· καὶ τὸ πῦρ
20 δὲ εἰπεῖν ὅτι οὐ θερμαίνει δυνάμεθα, δοξάσαι δὲ τοῦτο οὐ δυνάμεθα. ὥστε
ἡ μὲν φαντασία ἐφ' ἡμῖν, ἡ δὲ δόξα οὐκ ἐφ' ἡμῖν. εἰ δὲ δεῖ τἀληθὲς
εἰπεῖν, οὐδὲ πᾶσα φαντασία ἐφ' ἡμῖν ἐστιν· ἡ γὰρ ἐν τῷ καθεύδειν γινο-
μένη οὐκ ἔστιν ἐφ' ἡμῖν· οὐ γὰρ ἃ | θέλομεν ἐν τοῖς ὕπνοις φανταζόμεθα. p 3r
καὶ τί λέγω τὴν ἐν τῷ καθεύδειν; ἀλλ' οὐδὲ πᾶσα ἐν τῷ ἐγρηγορέναι.
25 ὅτε μὲν γὰρ τὰ ὄντα ὡς ὄντα φαντάζομαι, οὐ δύναμαι εἰ μὴ ὡς ἔχουσι
φαντάζεσθαι αὐτά, οἷον τὸν Σωκράτην εἰ προθῶμαι φαντάζεσθαι, οὐ
δύναμαι αὐτὸν φανασθῆναι ἀστεῖον καὶ λευκὸν καὶ κομῶντα, ἀλλὰ πάν-
τως φαλακρὸν καὶ μέλανα καὶ προγάστορα. ὥστε ἡ ἀκριβὴς διαφορὰ
αὕτη ἐστίν, ὅτι ἡ μὲν δόξα οὐδέποτε ἐφ' ἡμῖν ἐστιν, ἡ δὲ φαντασία 5
30 ἐστί ποτε ἐφ' ἡμῖν. αὕτη μὲν ἡ πρώτη διαφορά, λέγω δὲ καὶ δευτέραν
τοιαύτην διαφοράν· φανασθέντες μὲν πόλεμον οὐδέποτε φοβούμεθα, ἀλλ'
οὕτως ἐσμὲν ὡς ἐν γραφῇ τοῦτον θεώμενοι. δοξάσαντες δὲ πόλεμον εὐθὺς
καὶ φοβούμεθα. αὕτη ἐστὶ καὶ ἡ δευτέρα διαφορά. πρὸς ἣν ἔστιν ἀπο-
ρῆσαι οὕτω· τί φῄς; φανταζόμενοι τὰ δεινὰ οὐ πτοούμεθα; καὶ μὴν καὶ
35 ἵππος δόξαν μὴ ἔχων, ἐὰν ἴδῃ μάστιγα ἀναταθεῖσαν ἀναποδίζει ὡς ἂν τῇ
φαντασίᾳ τῶν δεινῶν φοβηθείς. αὕτη μέν ἐστιν ἡ ἀπορία. πρὸς ἣν 10

---

1 διάνοια δὲ coll. t 9 εἶτα—διανοίας (11)] ἔτι φησὶν διαφέρειν φαντασίαν αἰσθήσεως καὶ διανοίας, καθὸ ἡ μὲν μέση τούτων ἐστίν, τὰ δὲ παρ' ἑκάτερα A Pal. 18 τὶ γὰρ t 24 οὐδὲ scripsi: οὔτε ADt 26 προθῶμεν t 27. 28 καὶ λευκὸν—πάντως om. A πάντως D Pal.: om. t 28 ἡ A Pal.: om. Dt post ἀκριβὴς add. διόλου t 30 ποτε AD: πῶς t ἡ At: om. D 31 μὲν om. D 35 ἀναταθεῖσαν A: ἀναστασθεῖσαν Dt ἀναποδείξει t

ἐροῦμεν ὅτι ἐστὶ συγκατάθεσις, ἥτις καθ' αὑτὸ μὲν ὑπάρχει τῇ δόξῃ καὶ p 3r
οὐσία ἐστὶ τῆς δόξης, συμβεβηκὸς δὲ τῇ φαντασίᾳ· καὶ ὅταν οὖν δοξάσας
τὰ δεινὰ συγκαταθῶμαι, πτοοῦμαι, καὶ πάλιν ὅταν φαντασθεὶς τὰ δεινὰ
συγκαταθῶμαι, πτοοῦμαι. καὶ ὁ ἵππος οὖν πτοεῖται ὑπὸ τῆς φαντασίας
5 διὰ τὴν συγκατάθεσιν, ὡς εἴ γε μὴ γένηται συγκατάθεσις, οὐ πτοεῖται.
ἐπεὶ οὖν ταῦτα εἴρηται, ἐν τούτοις ἡ θεωρία σὺν θεῷ πληροῦται.

p. 427a17 Ἐπεὶ δὲ δύο διαφοραῖς ὁρίζονται μάλιστα τὴν ψυχήν, 15
κινήσει τε τῇ κατὰ τόπον καὶ τῷ νοεῖν καὶ κρίνειν.

Ἀλέξανδρος δοκεῖ μάτην εἶναι τὸ ἐπειδή· οὔτε γὰρ ἔχει ἀπόδοσιν· ὁ
10 μέντοι Πλούταρχός φησι κατωτέρω εἶναι τὴν ἀπόδοσιν, ὅπου λέγει 'ὅτι
μὲν οὖν οὐ ταὐτὸν τὸ αἰσθάνεσθαι καὶ φρονεῖν'. καὶ ἔστιν ὁ νοῦς ὅλου
τοῦ ῥητοῦ οὗτος· ἐπειδὴ δύο διαφοραῖς ὁρίζονται τὴν ψυχὴν οἱ παλαιοί,
κινήσει τε τῇ κατὰ τόπον καὶ τῷ νοεῖν καὶ τῷ κρίνειν καὶ αἰσθάνεσθαι,
καὶ τὸ νοεῖν καὶ τὸ αἰσθάνεσθαι ἓν καὶ τὸ αὐτὸ ὑπολαμβάνουσιν, ὅτι δὲ
15 οὐ ταὐτὸν τὸ φρονεῖν καὶ αἰσθάνεσθαι φανερὸν ἐκ τούτου. τοῦτο δὲ 20
ἐποίησεν Ἀριστοτέλης, ἵνα τὴν πλάνην τῶν ὀνομάτων διελέγξῃ Ὁμήρου
καὶ Ἐμπεδοκλέους. ἰστέον δὲ ὅτι τὸ κρίνειν ὡς κοινότερον ἔλαβε καὶ
κατὰ λογικῆς καὶ ἀλόγου φερόμενον, τὸ δὲ νοεῖν ἐπὶ μόνης τῆς λογικῆς
εἶπεν, τὸ δὲ αἰσθάνεσθαι ἐπὶ μόνης τῆς ἀλόγου.

20 p. 427a19 Δοκεῖ δὲ καὶ τὸ νοεῖν καὶ τὸ φρονεῖν ὥσπερ αἰσθά-
νεσθαί τι εἶναι· ἐν ἀμφοτέροις γὰρ τούτοις ἡ ψυχὴ κρίνει. 25

Διὰ τῶν παρόντων ῥητῶν τὴν αἰτίαν τῆς πλάνης τῶν παλαιῶν Ἀρι-
στοτέλης διεξέρχεται, τὸ πόθεν ἐπλανήθησαν. φησὶ γὰρ ὅτι ἐπειδὴ κοινὴ 35
τῇ αἰσθήσει πρὸς τὴν λοιπὴν ἅπασαν γνῶσιν ἡ κρίσις, διὰ τοῦτο ταὐτὸν
25 πάντα ὑπέλαβον, καὶ τοῦτο γέγονεν αὐτοῖς αἴτιον τῆς πλάνης, ὥσπερ καὶ
ἐν τοῖς κατ' ἀρχὰς λόγοις διωρίσαμεν. εἴρηται γὰρ ἄνω ὅτι τῷ ὁμοίῳ
γίνεται ἡ γνῶσις, ἔνθα εἴπομεν "γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ'
ὕδωρ", καὶ τὰ λοιπὰ τοῦ Ἐμπεδοκλέους ῥήματα. ἐντεῦθεν δὲ ἄλλο ἐπι-
λαμβάνεται Ἐμπεδοκλέους· λέγει γὰρ ὅτι ταὐτὸν ποιεῖ τῇ ἁφῇ τὴν διάνοιαν.
30 τῇ γὰρ θίξει τοῦ ὁμοίου λέγει γίνεσθαι τὴν νόησιν· θίξει δὲ ἡ ἁφὴ ἀντι- 40
λαμβάνεται μόνη, ὥστε τὴν νόησιν ἁφὴν εἶπεν. ἔστι δὲ εἰπεῖν πρὸς Ἀρι-
στοτέλην ὅτι ὁμώνυμός ἐστιν ἡ θίξις καὶ ἐν αὐταῖς ταῖς αἰσθήσεσιν· ἄλλη
γὰρ θίξις ἁφῆς καὶ ἄλλη ὄψεως. ἔστω οὖν εἶναι καὶ ἄλλην θίξιν τῆς
νοήσεως καὶ μὴ συνάγεσθαι ταὐτὸν εἶναι τῇ ἁφῇ τὴν νόησιν. ἢ τὴν
35 τοῦ ἀνομοίου θίξιν ἀπάτην εἶναι. ὥσπερ, φησί, τοῦ ὁμοίου ἡ θίξις

---

3. 4 καὶ πάλιν — πτοοῦμαι At: om. D 7 Ἐπεὶ δὲ Dt, ut Arist. codd.; cf. etiam p. 490,13 sed ἐπειδὴ v. 9 et 12 Dt 12 οὗτος scripsi: οὕτως Dt 13 τῷ κρίνειν D: τὸ φρονεῖν t 14 καὶ τὸ νοεῖν καὶ τὸ αἰσθάνεσθαι om. D 20 δοκεῖ δὲ καὶ D Arist. vulg.: καὶ om. t Arist. LT 23 κοινὴ scripsi: κοινὸν ᾗ Dt 27 δ' om. t

γνῶσίς ἐστιν, οὕτως ἡ τοῦ ἀνομοίου θέξις ἀπάτη ἐστίν, ἵνα θέξιν λάβῃς p 3r
μὴ πάντως τὸ ἅπτεσθαι· ὁμώνυμος γὰρ αὕτη, ὡς εἴπομεν. εἰ δὲ τοῦτο
οὕτω, φησί, καὶ οἶδας τί ἐστι γνῶσις, ἔχεις καὶ τί ἐστιν ἀπάτη· μία γὰρ
τῶν ἀντικειμένων ἡ γνῶσις. ἀπορία δέ τις ἡμᾶς οὐχ ἡ τυχοῦσα δια-
5 δέχεται· εἰ γὰρ τῇ θέξει τοῦ ὁμοίου ἡ γνῶσις, μία δὲ τῶν ἀντικειμένων
ἡ γνῶσις, ἔσται ἄρα ἡ αἴσθησις ἅμα πρὸς τὰ ἀντικείμενα ὁμοιουμένη,
ὅπερ ἄτοπον, ἐπειδὴ ὁμοιουμένη ἐνεργεῖ, ἅμα δὲ τῶν ἀντικειμένων ἀντι-
λαμβάνεται. ἀλλ' οὐδὲν ἄτοπον ὁμοιοῦσθαι τοῖς ἀντικειμένοις κατὰ κρίσιν.
εἰ γὰρ ὁ ἀὴρ ἄψυχος ὢν ἅμα τὰ ἐναντία διακρίνει, πῶς οὐκ ἄτοπον τὴν
10 ἔμψυχον αἴσθησιν μὴ ἅμα τὰ ἐναντία κρίνειν. 50

p. 427b6 Ὅτι μὲν οὖν οὐ ταὐτόν ἐστι τὸ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν, φανερόν.

Ἰδοὺ ἡ ἀπόδοσις τοῦ ἄνω· ἐπεὶ δὲ δύο διαφοραῖς ὁρίζεται ἡ ψυχή,
κινήσει τε καὶ τῷ νοεῖν, ὅτι μὲν οὐ ταὐτόν ἐστι γνῶσις ψυχῆς καὶ
15 αἴσθησις, ἐντεῦθεν δῆλον. τὸ δὲ οὖν διὰ τὴν μεταξυλογίαν κεῖται· ἔθος p 3v
γὰρ εἶχον οἱ παλαιοὶ ἐν ταῖς μακραῖς ἀποδόσεσι προστιθέναι τὸ οὖν. ὅρα
δὲ ὅτι τὸν θεωρητικὸν νοῦν ἐνταῦθα καταχρηστικῶς φρονεῖν ἐκάλεσε·
τοῦτο γὰρ τοῦ δυνάμει ἐστὶ νοῦ. ἐπειδὴ οὖν κέχρηταί τισι λέξεσι πῇ μὲν
κυριολεκτῶν, πῇ δὲ καταχρηστικῶς, φέρε ἀπὸ διαιρέσεως τὴν τῆς λέξεως
20 τραχύτητα ἐξομαλίσωμεν. ἡ τοίνυν γνῶσις ἢ περὶ τὰ ἔξω καταγίνεται καὶ
ποιεῖ τὴν αἴσθησιν, ἢ περὶ τὰ ἐντὸς καὶ ποιεῖ τὴν κοινοτέραν νόησιν. 5
καλῶς δὲ εἶπον κοινοτέραν, ἐπειδὴ καὶ ἡ φαντασία περὶ τὰ ἐντὸς ἐνεργεῖ,
ἥτις καὶ παθητικὸς νοῦς λέγεται. ἀλλ' ἡ περὶ τὰ ἐντὸς ἐνέργεια ἢ περὶ
καθόλου τι καταγίνεται ἢ περὶ μερικόν· καὶ εἰ μὲν περὶ μερικόν, ποιεῖ
25 φαντασίαν, εἰ δὲ περὶ καθόλου, ποιεῖ τὸν κυρίως νοῦν. ἀλλ' αὐτὴ ἡ περὶ
τὰ καθόλου γνῶσις ἢ κρείττων γίνεται ἢ κατὰ συλλογισμὸν καὶ ποιεῖ τὸν
θεωρητικὸν νοῦν τὸν καθ' ἕξιν καὶ κατ' ἐνέργειαν, ἢ κατὰ συλλογισμὸν
ἐνεργεῖ καὶ ποιεῖ τὴν κυρίως διάνοιαν καὶ κοινοτέραν ὑπόληψιν· ἡ γὰρ 10
ὑπόληψις καὶ κατὰ διανοίας καὶ κατὰ δόξης φέρεται· εἰ δὲ χειρόνως ἢ
30 κατὰ συλλογισμὸν ἐνεργήσει, ποιεῖ τὴν κυρίως δόξαν καὶ ὑπόληψιν. ἡ μέντοι
διάνοια ἢ περὶ θεωρητὰ γίνεται καὶ ποιεῖ τὴν ἐπιστήμην, ἢ περὶ πρακτά·
καὶ εἰ μὲν βουλῆς δεῖται τὰ πρακτά, ποιεῖ φρόνησιν· ἐνδεῖ γὰρ βουλῆς ἡ
φρόνησις· εἰ δὲ οὐ δεῖται βουλῆς τὰ πρακτά, ποιεῖ τὰς τέχνας· ὁ γὰρ
τεχνίτης, καθὸ μὲν τεχνίτης, οὐ βουλεύεται, ἀλλὰ καθὸ ἄνθρωπος. ἐκ
35 τῆς διαιρέσεως οὖν ἀνεφάνη ὅτι καταχρηστικῶς εἶπεν ἐνταῦθα τὸν θεωρη- 15
τικὸν νοῦν φρονεῖν. ἐν τῷ τεθέντι δὲ ῥητῷ διακρίνει τὸν ἐνεργείᾳ νοῦν

---

3 φασὶ t οἶδας τίς ἐστι t 3. 4 μία γὰρ—γνῶσις] exspectas tale quid εἴπερ τῶν ἀντικειμένων εἰσὶν ἡ ἀπάτη καὶ ἡ γνῶσις; cf. de an. p. 427b5 7. 8 ἀντιλαμβάνηται t 8 ἀλλ'] καὶ D 14 τὸ νοεῖν D 18 οὖν] οὐ t 22 εἰπὼν D 26 κρείττων A: κρεῖττον Dt γίνεται At: om. D καὶ ποιεῖ—συλλογισμὸν (30) At: om. D 30 μέντοι At: δὲ D 32 et 33 πρακτικὰ D 32 ἐνδεῖ At: ἔνδεια D 36 δὲ om. t

ἀπὸ τῆς αἰσθήσεως. ὅτι ἡ μὲν αἴσθησις παντὶ ζῴῳ ὑπάρχει (οὐσία γὰρ p 3v
ἔμψυχος αἰσθητικὴ πᾶν ζῷον), ὁ μέντοι νοῦς οὐ παντὶ ζῴῳ ὑπάρχει, ἀλλὰ καὶ οἷς ὑπάρχει, οὐκ ἀεὶ κατ' ἐνέργειαν ὑπάρχει, εἰ καὶ καθ' ἕξιν· ἀγαπητὸν γὰρ ὅτῳ κἂν ἐν γήρᾳ σοφία προσέλθῃ.

5 p. 427ᵇ8 Ἀλλ' οὐδὲ τὸ νοεῖν, ἐν ᾧ ἐστι τὸ ὀρθῶς καὶ μὴ ὀρθῶς.

Οὐδὲ ὁ δυνάμει νοῦς, φησί, ταὐτόν ἐστι τῇ αἰσθήσει. βουλόμενος δὲ εἰπεῖν τίς ἐστιν ὁ δυνάμει νοῦς, φησὶν ἐν ᾧ ἐστι τὸ ὀρθῶς καὶ τὸ μὴ ὀρθῶς. ἐντεῦθεν δὴ τὴν διαφορὰν λέγει διανοίας καὶ αἰσθήσεως. δυνά-
10 μει γὰρ νοῦν καλεῖ τὴν διάνοιαν· ἐν αὐτῇ γὰρ θεωρεῖται τὸ ὀρθὸν καὶ τὸ 25
μὴ ὀρθόν. ὁ γὰρ ἐνεργείᾳ νοῦς ἀεὶ ὀρθῶς νοεῖ· ἢ γὰρ ἥψατο ἢ οὐχ ἥψατο, ὥστε ἀναμάρτητος· ὁ δὲ δυνάμει νοῦς, τουτέστιν ἡ διάνοια, ποτὲ μὲν ὀρθῶς, ποτὲ δὲ οὐκ ὀρθῶς· ποτὲ μὲν γὰρ ἀληθεύει, ποτὲ δὲ ψεύδεται. καὶ κατὰ τοῦτο διαφέρει τοῦ ἐνεργείᾳ νοῦ, ἐπειδὴ ἐκεῖνος ἀεὶ ἀναμάρτητος.
15 διακρίνει δὲ τὸν δυνάμει νοῦν ἤτοι τὴν διάνοιαν τῆς αἰσθήσεως τῷ τὴν μὲν αἴσθησιν ὡς ἐπίπαν ἀληθεύειν τῶν οἰκείων αὐτῆς σωζομένων προσδιορισμῶν, οἷον συμμέτρου τοῦ διαστήματος ὄντος καὶ τῆς αἰσθήσεως ἀπαθοῦς 30
οὔσης, ἡ μέντοι διάνοια ὡς ἐπίπαν ψεύδεται, ἐπειδὴ ἐν τῷ τῆς ἀπάτης ἐστὶ χωρίῳ. καὶ μὴ νόμιζε ἐκ τοῦ τὴν αἴσθησιν μᾶλλον ἀληθεύειν τῆς
20 διανοίας ἤδη καὶ τιμιωτέραν αὐτὴν εἶναι. διὰ γὰρ τὰς αἰσθήσεις ἡ διάνοια ψεύδεται συμπλεκομένη αὐταῖς. ἀμέλει καὶ ὅταν χωρισθῇ ῥακέων, τὸν ἀποδεικτικὸν ποιεῖ συλλογισμόν, καὶ πολύμητις γίνεται κατὰ τὸν ποιητὴν εἰπόντα "αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς". τοῦτο δὲ μὴ νομίσῃς ἄπορον, εἰ καθ' ἑαυτὴν μὲν ἡ αἴσθησις ἀληθεύει, συμπλεκο- 35
25 μένη δὲ τῇ διανοίᾳ ψεύδους αὐτῇ παραίτιον γίνεται. τοῦτο γὰρ γίνεται, ἐπειδὴ ἡνίκα μὲν καθ' ἑαυτὴν ἐνεργεῖ, περὶ μερικὰ καταγίνεται καὶ ἀληθεύει. ἡνίκα δὲ συμπλακῇ τῇ διανοίᾳ περὶ ⟨τῶν⟩ καθόλου ἐνεργούσῃ, ποιεῖ αὐτὴν τὰ καθόλου ἀτομῶσαι, ὅθεν ἡ ἀπάτη γίνεται. ἀεὶ γὰρ τὰ μὲν κρείττω τῇ παρουσίᾳ τῶν χειρόνων νοθεύεται, τὰ δὲ χείρω οὐ νοθεύεται ἐκ τῶν
30 κρειττόνων. τὸ μὲν ὀρθῶς φρόνησις καὶ ἐπιστήμη ⟨καὶ⟩ δόξα ἀληθής, τὸ δὲ μὴ ὀρθῶς τἀναντία τούτων. ἐπειδὴ εἶπεν ὅτι ὁ δυνάμει 40
νοῦς καὶ ὀρθῶς φρονεῖ καὶ οὐκ ὀρθῶς, λέγει τὰ ἴδια τοῦ ὀρθοῦ φρόνησιν, ἐπιστήμην, δόξαν ἀληθῆ, τοῦ δὲ μὴ ὀρθῶς ἀφροσύνην, ἀνεπιστημοσύνην, ψευδοδοξίαν. καὶ διὰ μὲν τῆς φρονήσεως τὸ ὀρθὸν τοῦ νοῦ ἐδήλωσε κατα-
35 χρηστικῶς, ὡς ἐρρήθη, διὰ δὲ τῆς ἐπιστήμης τὸ ὀρθὸν τῆς διανοίας· τὸ

---

3. 4 ἀγαπητὸν — προσέλθῃ] cf. Plat. Legg. B p. 653 A 5 καὶ μὴ D Arist. T: καὶ τὸ μὴ t Arist. vulg. 9 δὴ scripsi: δεῖ D: δὲ t 10 νοῦς t 12 ὁ δὲ — τουτέστιν At: om. D ἡ δὲ διάνοια D 13 ὀρθῶς ποτὲ δὲ — μὲν γὰρ At: om. D 23 εἰπόντα] Od. X 1 24 μὴ] μὴν t 25 ψεύδους αὐτῇ παραίτιον γίνεται At: ψεύδεται D 26 fort. ἐνεργῇ 27 συμπλακῇ scripsi: συμπλακεῖ AD: συμπλοκῇ t τῇ om. t τῶν addidi 30 καὶ (ante δόξα) ex Aristotele addidi

δὲ ἕτερον δῆλον ὅτι ἐπὶ τῆς δόξης εἴρηται. οὐδὲ τοῦτό ἐστι ταὐτὸν p 3ᵛ
τῷ αἰσθάνεσθαι. ἐπειδὴ τὴν διάνοιαν διεῖλεν εἰς τὸ ὀρθῶς καὶ οὐκ
ὀρθῶς διανοεῖσθαι, λέγει λοιπὸν διαφορὰν πρὸς ἀμφότερα τῆς αἰσθήσεως.

p. 427ᵇ14 Φαντασία γὰρ ἕτερον καὶ αἰσθήσεως καὶ διανοίας.

Τί θέλει; ὁ γὰρ σύνδεσμος ὡς πρὸς ἀπορίαν ἐστίν. ὥς τινος ἀποροῦν-
τος, εἰ ἡ αἴσθησις διαφέρει τοῦ νοῦ, ταὐτὸν ἄρα ἐστὶ τῇ φαντασίᾳ. διὸ
λύων εἶπεν ὅτι καὶ ἡ φαντασία ἑτέρα ἐστὶ παρὰ τὴν αἴσθησιν καὶ τὴν
δόξαν. λέγει δὲ ἐντεῦθεν τὴν διαφορὰν φαντασίας πρὸς διάνοιαν καὶ
αἴσθησιν. αὐτή τε οὐ γίνεται ἄνευ αἰσθήσεως, καὶ ἄνευ ταύτης
10 οὐκ ἔστιν ὑπόληψις. αὐτή, φησίν, ἡ διάνοια λέγω, οὐ γίνεται ἄνευ
αἰσθήσεως, καὶ ἄνευ ταύτης, φησί, τῆς διανοίας οὐκ ἔστιν ὑπόληψις·
εἴρηται γὰρ ὅτι ὑπόληψις κατ' ἐπιστήμης καὶ φρονήσεως καὶ δόξης λέγεται.
τινὲς δὲ τῶν ἐξηγητῶν φασιν ὅτι οὐδέτερον ἀληθεύει. ἔστι γὰρ καὶ δίχα
αἰσθήσεως φαντασία ἡ τοῦ τραγελάφου. ἀλλ' | εἶπον ὅτι ἡ περὶ αἰ- p 4ʳ
15 σθητὰ φαντασία οὐκ ἔστιν ἄνευ αἰσθήσεως. ἀλλὰ μὴν καὶ δόξα ἐστίν, ἣν
εἶπεν ὑπόληψιν, ἄνευ φαντασίας, ἡ περὶ θείων δόξα. πρόσθες οὖν ὅτι ἡ
περὶ τὰ ἀπ' αἰσθητῶν δόξα ἢ μερικῶν δεῖται φαντασίας. καὶ ὅρα ὅτι
ἐντεῦθεν ἔχεις ὡς ἡ φαντασία οὐκ ἔστι ταὐτὸν δόξῃ καὶ αἰσθήσει, ἀλλὰ
μέση ἐστὶ δεχομένη ἀπ' αἰσθήσεως καὶ δόξῃ διδοῦσα· μέση οὖν. τὸ δὲ
20 μέσον διαφέρει τῶν ἄκρων, οὐχ ὅτι ταὐτὸν φαντασία καὶ δόξα καὶ
αἴσθησις.

p. 427ᵇ16 Ὅτι δ' οὐκ ἔστιν ἡ αὐτὴ νόησις καὶ ὑπόληψις, φανε-
ρόν. τοῦτο μὲν γὰρ τὸ πάθος ἐφ' ἡμῖν.

Τὴν δόξαν ὑπόληψιν καλεῖ, νόησιν δὲ τὴν φαντασίαν. λέγει οὖν τὴν
25 διαφορὰν φαντασίας καὶ δόξης, ὅτι τὸ μὲν φαντάζεσθαι ἐφ' ἡμῖν ἐστι, τὸ
δὲ δοξάσαι οὐκ ἔστιν ἐφ' ἡμῖν. ὅθεν ψευδῆ μὲν φαντασθῆναι δυνάμεθα,
δοξάσαι δὲ οὐ δυνάμεθα. τὸ γὰρ δὶς δύο πέντε φαντασθῆναι μὲν ἔστι,
δοξάσαι δὲ οὐκ ἔστιν, εἰ μὴ καθ' ὑπόκρισιν, ἔνθα ἔστιν εἰπεῖν "ἡ γλῶττ'
ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος". ἃ γὰρ ἀνυποκρίτως τις δοξάζει, ὡς
30 ἀληθῆ κατέχει. καὶ εἰ μή τι λόγῳ, οὐ μετατρέπεται. ἔνθα προσφυῶς λέγεται
"λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ". ἀποροῦσι δέ τινες λέγοντες 'τί οὖν;
οὐ πολλάκις προσπίπτομεν φαντάσμασιν οὐκ ἐθέλοντες'; οὐκ εἶπεν ὅτι κύριοί

---

2 τὸ αἰσθάνεσθαι D 7 καὶ (post αἴσθησιν) om. t 9 αὐτή t Arist. vulg. (cf. v. 10): ἡ αὐτή D Arist. SVX 10 διάνοια et 11 διανοίας] legendum φαντασία et φαντασίας 14 ἡ (post ὅτι) scripsi: εἰ Dt 16 ὑπόληψιν] ὑπόληται (sic) t 17 ἢ] ἡ t 18 ἔχει t 19 οὖν μέση coll. D 22 νόησις D Arist.: φαντασία t (c. Ald.) Arist. mrg. U 28. 29 ἡ γλῶττ' ὀμώμοχ' ἡ κτλ.] Eurip. Hippol. v. 612 29 ὀμώμοχ' ἡ Eurip.: ὀμώμοκεν ἡ Dt 30 κατατρέπεται t ἔνθα προσφυῶς D: ἔνθαπερ εὐφυῶς t 31 λόγῳ — σοφωτάτῳ] cf. Nauck Tr. gr. fr. ed. II Adesp. 317 p. 899 μ' ἔπεισας Nauck: με πείσας Dt 32 προπίπτομεν t

ἐσμεν τοῦ φαντάζεσθαι. ἀλλὰ τοῦ ὅτε θέλομεν φαντάζεσθαι. καὶ ἄλλως ἐν p 4r
ἡμῖν ἐστι τὸ φαντάζεσθαι ὅτε θέλομεν, οὐ μὴν ἐν ἡμῖν ἐστι καὶ τὸ ὅτε 15
οὐ θέλομεν. εἰ οὖν οὐκ ἔστιν ἐν ἡμῖν τὸ ὅτε οὐ θέλομεν, φανταζόμεθα
ἄρα καὶ ἑκόντες.

5 p. 427b19 Ὥσπερ οἱ ἐν τοῖς μνημονικοῖς τιθέμενοι καὶ εἰδωλοποιοῦντες.

Μνημονικοὺς λέγει τοὺς ἐκ τῶν αἰσθητῶν τόπους λαμβάνοντας, οἳ καὶ ἀληθεύουσιν, εἰδωλοποιοὺς δὲ λέγει τοὺς ἀναπλαττομένους τι, οἳ καὶ ψεύδονται. ἔστιν οὖν ἡ μὲν φαντασία ἀνάλογος εἰδωλοποιῷ, ἡ δὲ δόξα 20
10 τῷ μνημονικῷ. πρὸ ὀμμάτων δὲ λέγει ἀντὶ τοῦ πρόχειρον.

p. 427b20 Δοξάζειν δ' οὐκ ἐφ' ἡμῖν· ἀνάγκη γὰρ ψεύδεσθαι ἢ ἀληθεύειν.

Ἐπὶ τῆς δόξης, φησίν, ἢ τὸ ψεῦδος δείκνυται, ἢ ⟨τὸ⟩ ἀληθές, ἡ δὲ φαντασία καὶ τὸ ψεῦδος ὡς ἀληθὲς ἔχει.

15 p. 427b21 Ἔτι δὲ ὅταν μὲν δοξάζωμεν δεινόν τι ἢ φοβερόν.

Ἐντεῦθέν ἐστιν ἡ διαφορὰ δόξης καὶ φαντασίας, ὅτι ἐπὶ μὲν τῆς δόξης εὐθέως φοβούμεθα, ἐὰν φοβερόν τι δοξάσωμεν, ἐπὶ δὲ τῆς φαντασίας, φησίν, ὡσαύτως ἔχομεν. τουτέστιν οὔτε φοβούμεθα οὔτε ταραττόμεθα, ἀλλ' ὥσπερ πρώην, οὕτω καὶ ἔχομεν μηδὲν παρατρεπόμενοι.

20 p. 427b24 Εἰσὶ δὲ καὶ αὐτῆς τῆς ὑπολήψεως διαφοραί, ἐπιστήμη καὶ δόξα καὶ φρόνησις.

Ὑπόληψιν νῦν κοινότερον τὴν λογικὴν ψυχὴν εἶπεν. ἔχει δὲ αὐτή. φησί, διαφοράς, ἃς ὕστερον ἐροῦμεν, οὐχ ὅτι ἐν ἑτέρᾳ πραγματείᾳ ταύτας βούλεται εἰπεῖν, ἀλλ' ὅτι μέλλει παρακατιὼν λέγειν τὴν τοιαύτην διαφοράν.
25 νυνὶ δέ, φησί, δεῖ διακρῖναι φαντασίαν ἀπὸ δόξης καὶ αἰσθήσεως· καὶ ἤδη μὲν ἀπὸ δόξης διεκρίθη, δεῖ δὲ καὶ ἀπὸ αἰσθήσεως αὐτὴν διακρῖναι. τοῦτο δὲ ἡ ἑξῆς θεωρία σὺν θεῷ πραγματεύεται. ἐν οἷς ἡ πρᾶξις. 35

---

9 εἰδωλοποιῶν t 10 τῶν μνημονικῶν t 11 γὰρ ψεύδεσθαι D Arist. STUWX: post γὰρ add. ἢ t Arist. ELV 13 τὸ ante ἀληθές addidi 15 δοξάζωμεν D Arist. LSUW (sed cf. v. 17): δοξάσωμεν t Arist. vulg. 19 καὶ τότε ἔχομεν t παρατρεπόμενος t 24 μέλλει scripsi: μέλει Dt λέγει t 25 διακρίνας t 27 in mg. habet πρᾶξις σὺν θεῷ ε̄ D

p. 427b27 Περὶ δὲ τοῦ νοεῖν, ἐπεὶ ἕτερον τοῦ αἰσθάνεσθαι, p 4r
τούτου δὲ τὸ μὲν φαντασία δοκεῖ εἶναι τὸ δὲ ὑπόληψις, περὶ
φαντασίας διορίσαντας οὕτω περὶ θατέρου λεκτέον.

Ἐπειδὴ διὰ τῶν φθασάντων διέκρινεν Ἀριστοτέλης φαντασίαν ἀπὸ δόξης, βούλεται νῦν διακρῖναι αὐτὴν τὴν φαντασίαν καὶ ἀπὸ αἰσθήσεως. ὅθεν καὶ ἀπορῆσαι ἄξιον· εἰ γὰρ σκοπὸς ἦν τῷ τρίτῳ λόγῳ περὶ λογικῆς ψυχῆς διαλεχθῆναι, καὶ εἰ ὅλως ἐμνήσθη τῶν δυνάμεων τῆς ἀλόγου ψυχῆς, διὰ τοῦτο αὐτῶν ἐμνήσθη, ἵνα διακρίνῃ αὐτὰς τῶν λογικῶν, πῶς νῦν οὐκ ἀπὸ τῆς λογικῆς διακρίνει αὐτάς, ἀλλ' αὐτὰς ἀφ' ἑαυτῶν διακρίνει; νυνὶ γὰρ φαντασίαν ἀπὸ αἰσθήσεως διακρίνει. ἄμφω δυνάμεων οὐσῶν τῆς ἀλόγου. καὶ αὕτη μέν ἐστιν ἡ ἀπορία. λέγομεν δὲ ὅτι διὰ τὸ τέλειον τοῦ λόγου τοῦτο πεποίηκεν, ἵνα μὴ ἐκκρεμές τι ἐάσῃ, ἢ ὅτι ἐφεξῆς μέλλει διακρῖναι φαντασίαν ἀπὸ δόξης ἅμα καὶ αἰσθήσεως· ἐπειδὴ οὖν οὐκ ἔμελλεν σαφὴς εἶναι ἡ διάκρισις τῆς φαντασίας ἀπὸ τῆς δόξης καὶ τῆς αἰσθήσεως ἅμα γινομένη, εἰ μὴ πρότερον ἰδίᾳ αὐτὰ διέκρινεν, διὰ τοῦτο ἐν τῇ προτεραίᾳ ἀπὸ δόξης μόνης διακρίνας τὴν φαντασίαν βούλεται νῦν καὶ ἀπὸ τῶν αἰσθήσεων αὐτὴν διακρῖναι, ἵνα ἑξῆς δήλη γένηται ἡ διάκρισις τῆς φαντασίας, ὅτε κοινῶς ἀπὸ δόξης καὶ αἰσθήσεως αὐτὴν διακρίνει. ἐξ τοίνυν λόγοις διακρίνει φαντασίαν ἀπὸ αἰσθήσεως, ὧν πρῶτός ἐστιν οὗτος. εἰ ταὐτόν ἐστι φαντασία καὶ αἴσθησις, ἐπειδὴ ὅτε ὀνειρώττομεν φανταζόμεθα, ἐχρῆν ἡμᾶς τότε καὶ αἰσθάνεσθαι· ἀλλὰ μὴν οὐκ αἰσθανόμεθα· οὐκ ἄρα ταὐτὸν φαντασία καὶ αἴσθησις. τί γάρ; λέγεις ὅτι τῆς δυνάμει αἰσθήσεώς εἰσιν οἱ ὄνειροι; ἀλλ' ἐνέργειά τίς εἰσιν οἱ ὄνειροι· ὅτε δὲ δυνάμει ἐστὶν ἡ αἴσθησις, ἠρεμεῖ καὶ οὐκ ἐνεργεῖ. ἀλλ' οὐδὲ τῆς ἐνεργείᾳ αἰσθήσεώς εἰσιν· ἐν γὰρ τοῖς ὀνείροις πᾶσα αἴσθησις ἠρεμεῖ. αὕτη πρώτη διάκρισις. δευτέρα δέ ἐστι διάκρισις ἀπὸ τῶν νεογενῶν παίδων εἰλημμένη. ὁρῶμεν, φησίν, ὅτι τὰ νεογενῆ παιδία κατ' αἴσθησιν μὲν ἐνεργοῦσιν (ἡ γὰρ αἴσθησις | ἡμῖν ὑπάρχει), κατὰ δὲ φαντασίαν οὐκ ἐνεργοῦσιν. εἰ οὖν τὰ νεο- p 4v
γενῆ παιδία κατ' αἴσθησιν μὲν ἐνεργοῦσι, κατὰ φαντασίαν δὲ οὐκ ἐνεργοῦσι, διαφέρει ἄρα αἴσθησις φαντασίας. καὶ πόθεν δῆλον ὅτι οὐκ ἐνεργοῦσιν κατὰ φαντασίαν τὰ νεογενῆ παιδία; ἐκ τοῦ πάντα μαστὸν βάλλειν κατ' ἀρχάς, κἂν λίθινος ᾖ ὁ μαστὸς κἂν βόειος κἂν οἰοσοῦν, ὕστερον δὲ τὸν τῆς μητρὸς μόνον. τοῦτο δὲ οὐκ ἂν ἐγένετο, εἰ μὴ ὅτι κατ' ἀρχὰς οὐκ ἀποτίθενται οἱ τύποι τοῦ μητρῴου μαστοῦ, ἀλλ' ὕστερον. καὶ οὐ μόνον ἐκ τούτου δείκνυται τὸ προκείμενον, ἀλλ' ὅτι καὶ πάλαι πυρὶ προσομιλήσαντα καὶ

---

2 φαντασίαν D 3 διορίσαντας Arist.: διορίσαντες Dt 5 διακρίνειν t
9 νῦν t 12 ἐκτρεμές t μέλει t 19 φαντασίας D 28 ἡμῖν] exspectas αὐτοῖς τ'
29 κατὰ—ἐνεργοῦσι t: κατὰ δὲ φαντασίαν οὐκέτι A: om. D 31 πάντα A: παν D: παντὸς t 31. 32. 34 μασθὸν, μασθὸς, μασθοῦ D 33 ἂν ἐγένετο A: ἐγενέτο ἂν t: ἂν om. D οὐκ ἦσαν ἀποτεθειμένοι A 35. p. 495, 1 προσομιλήσαντες καὶ καέντες t

καέντα πάλιν προσβάλλουσι τῷ πυρί. τοῦτο δὲ γίνεται ἐκ τοῦ μὴ ἐνεργεῖν p 4ᵛ
τὴν φαντασίαν· εἰ γὰρ ἐνήργει, ἐδέχετο ἂν τὸν τόπον τῆς πάλαι καύσεως
καὶ οὐκ ἐπέβαλλε τὸ δεύτερον. ἔκ τε οὖν τοῦ προσβάλλειν πυρὶ καὶ ἐκ
τοῦ πάντα μαστὸν βδάλλειν δῆλόν ἐστιν ὅτι κατὰ φαντασίαν οὐκ ἐνεργοῦσι.
5 τρίτη ἔστι διάκρισις ἀπὸ τῶν σκωλήκων καὶ μυιῶν καὶ μυρμήκων. ἰδοὺ 10
γὰρ ταῦτα αἴσθησιν μὲν ἔχουσι, φαντασίαν δὲ οὐκ ἔχουσιν, ὡς δηλοῖ τὸ
πεπλανημένον τῆς πορείας αὐτῶν· πλανῶνται γὰρ ἅτε τῆς πάλαι ὁδοῦ τοὺς
τόπους μὴ ἀποδεξαμένης τῆς φαντασίας. τοῦτο καὶ τὸ τρίτον ἐπιχείρημα.
δοκεῖ δὲ καὶ αὐτὸ καὶ τὸ δεύτερον λογικὸν εἶναι καὶ ἐναντίον τοῖς ἐν τῷ
10 δευτέρῳ λόγῳ εἰρημένοις. ἐλέγετο γὰρ ἐκεῖ ὅτι ὅπου ἐστὶν αἴσθησις, ἐκεῖ
καὶ ὄρεξις ὑπάρχει, καὶ ὅπου ὄρεξις, ἐκεῖ καὶ φαντασία, ὡς ἂν διὰ μέσης
ὀρέξεως πάντως ἑπομένης τῆς φαντασίας τῇ αἰσθήσει. πῶς οὖν φησιν 15
ὅτι οἱ σκώληκες αἴσθησιν μὲν ἔχουσιν, φαντασίαν δὲ οὐκ ἔχουσιν; ἢ τάχα
καὶ οἱ σκώληκες ἔχουσι φαντασίαν, ἀλλὰ συγκεχυμένην καὶ ἀμυδράν, καὶ
15 διὰ τὸ ἀμυδρὰν αὐτὴν εἶναι οὐκ ἐνεργεῖ. ὡς ἀληθεύειν καὶ τὰ ἐνταῦθα
καὶ τὰ ἐκεῖ, τὰ ἐκεῖ μὲν ὅτι ὅπου αἴσθησις, πάντως καὶ φαντασία, τὰ
ἐνταῦθα δὲ ὅτι οὐχ ὅπου αἴσθησις ἤδη καὶ φαντασία· ἀμυδρὰ γάρ ἐστι
καὶ συγκεχυμένη. ἄλλο δὲ ἄπορον τοιοῦτον ἄξιον ἀπορῆσαι· ἔστω τοὺς
σκώληκας μὴ ἔχειν φαντασίαν· διὰ τί δὲ καὶ τοὺς μύρμηκας καὶ τὰς μυίας
20 ἔφη μὴ ἔχειν φαντασίαν; ψεύδεται γὰρ ἐν τούτῳ· ἔχουσι γὰρ καὶ οἱ μύρ- 20
μηκες φαντασίαν, ὡς δηλοῖ τὸ ἐπίστασθαι αὐτοὺς τὴν κατάδυσιν αὐτῶν.
ἀλλὰ μὴν καὶ αἱ μέλιτται ἔχουσι φαντασίαν· ἐπίστανται γὰρ τὰ σμήνη
αὐτῶν κἀκεῖ τὸ μέλι ἀποτίκτουσιν. εἰ οὖν ἡ ἐνάργεια λέγει ταῦτα φαντα-
σίαν ἔχειν, πῶς αὐτὸς λέγει αὐτὰ μὴ ἔχειν φαντασίαν; αὕτη ἡ ἀπορία.
25 πρὸς ἣν ἐροῦμεν ὅτι διττὴ ἡ φαντασία, ἡ μὲν ἀναμνηστικὴ ἡ δὲ διδακτή,
καθ' ἣν διδασκόμεθα, ἣν καὶ ψιττακὸς ἔχει· κατ' αὐτὴν γὰρ διδάσκεται
τοὺς ἀνθρωπείους λόγους. ποίαν οὖν ἄρα φαντασίαν ἀπὸ τούτων τῶν ζῴων 25
ἀφαιρεῖται ὁ Ἀριστοτέλης; καὶ λέγομεν ὅτι οὐ τὴν ἀναμνηστικήν, ἀλλὰ
τὴν διδακτήν. // αὕτη καὶ ἡ τρίτη διάκρισις. τετάρτη ἐστὶ διάκρισις ἀπὸ
30 τοῦ τρόπου τῆς γνώσεως προϊοῦσα. ἡ γὰρ αἴσθησις περὶ ὄντα πράγματα
ἐνεργεῖ, ἡ δὲ φαντασία καὶ περὶ μὴ ὄντα, καὶ διὰ τοῦτο συμβέβηκε τῇ
μὲν αἰσθήσει κατὰ φύσιν ἐχούσῃ ἀεὶ ἀληθεύειν, τὴν δὲ φαντασίαν ποτὲ
ψεύδεσθαι· ἀναπλάττεται γὰρ καὶ τὰ μὴ ὄντα ὡς ὄντα. αὕτη καὶ ἡ τε-
τάρτη διάκρισις. πέμπτη ἐστὶ διάκρισις ὡς πρὸς ἀπορίαν ὑπαντῶσα· ἴσως 30
35 γάρ τις ἀπορήσοι τοιαύτην ἀπορίαν. ὅτι τοσοῦτον ταὐτόν ἐστιν αἴσθησις καὶ

---

1 τὸ πυρί D τούτου D 2 ἂν om. D 3 post προσβάλλειν versus quinque vacui relicti D 4 παντὸς t μαστὸν] μισθὸν D βδάλλειν] διαβάλλειν D οὐκ om. t 5 ante ἀπὸ add. ἡ A 7 πορείας t 8 ἀποδεξαμένης D: δεξαμένης A: ὑποδεξαμένης t 9 καὶ τὸν δεύτερον λόγον εἶναι ἐναντίον t 10. 11 ἐκεῖ καὶ ὄρεξις—αἴσθησις (16) At: om. D 15 ὡς A: οὐκ t 19 δὲ A: om. Dt καὶ τοὺς—τούτῳ (20) Dt: μηδὲ τοὺς μύρμηκας μηδὲ τὰς μύας (sic) A 21 αὐτοὺς D: τοὺς t: αὐτὰ A 23 ἐνέργεια t 27 τούτων At: τοῦ D 30 προϊοῦσαν t ἡ γὰρ t: γὰρ om. D: οἷον ἡ A 32 ἐχούσῃ At: ἔχουσιν D 34 ὑπαντῶσα D: ἀπαντῶσα At 35 τοιαύτην scripsi: τὴν αὐτὴν Dt

φαντασία, ἐπειδὴ τὴν ἀμυδρὰν αἴσθησιν καὶ τοῖς ἄλλοις μὴ ὑποπίπτουσαν p 4v
φαντασίαν καλοῦμεν. καὶ γοῦν πόρρωθέν τις ἰδών τινα λέγει ὅτι ἦ φαντά-
ζομαι ἢ τόδε βλέπω πόρρω. ὅθεν ἐὰν μὴ ἴδωσιν αὐτὸ οἱ παρεστῶτές
φασιν αὐτῷ 'φαντάζῃ, ἑταῖρε', ἀντὶ τοῦ ἀμυδρῶς βλέπεις. ὁρᾷς οὖν πῶς
5 ἡ ἀμυδρὰ αἴσθησις φαντασία καλεῖται. ὡς πρὸς ταύτην οὖν τὴν ἀπορίαν
ὑπαντᾷ ἐν τῇ πέμπτῃ διακρίσει ὁ Ἀριστοτέλης καί φησιν ὅτι οὐκ ἐπειδὴ
ἡ ἀμυδρὰ αἴσθησις φαντασία λέγεται τῇ συνηθείᾳ, ἤδη ταὐτὸν οἰητέον
φαντασίαν καὶ αἴσθησιν. εἰ γὰρ ταὐτὸν ἦν, οὐ μόνον ἡ ἀμυδρὰ αἴσθησις
φαντασία ὤφειλεν λέγεσθαι, ἀλλὰ καὶ ἡ ἀκριβής· νυνὶ δὲ οὐδεὶς λέγει τὴν
10 ἀκριβῆ αἴσθησιν φαντασίαν. οὐκ ἄρα ταὐτὸν αἴσθησις καὶ φαντασία. ἕκτη
λοιπὸν καὶ τελευταία διάκρισις· ἐὰν λάβωμέν τινα μύσαντα τοὺς ὀφθαλ-
μούς, οὗτος χρώματα μὲν οὐχ ὁρᾷ (πῶς γὰρ ἔχει ὁρᾶν μύσας τοὺς ὀφθαλ-
μούς;) ὅμως δὲ φαντάζεται χρώματα. εἰ οὖν μὴ συνεργοῦσιν, οὐδὲ ταὐτόν
ἐστιν αἴσθησις καὶ φαντασία. καλῶς δὲ ὁ Ἀριστοτέλης ἔλαβέ τινα μύ-
15 σαντα τοὺς ὀφθαλμούς, καὶ οὐκ ἔλαβε τυφλόν· εἰ γὰρ ὑπέθετο τυφλόν,
ἴσως καὶ τοὺς ἐκ γενετῆς τυφλοὺς ἐνόει, οἵτινες οὐδὲ ὅλως περὶ χρωμά-
των φαντάζονται, διὰ τὸ μὴ ἔχειν αὐτῶν τοὺς τόπους. ἓξ τοίνυν εἰσὶ δια-
κρίσεις ἀπὸ τῶν ὀνειράτων, ἀπὸ τῶν νεογενῶν παίδων, ἀπὸ τῶν σκωλήκων
καὶ μυιῶν καὶ μυρμήκων, ἀπὸ τοῦ τρόπου τῆς γνώσεως, ἀπὸ τῆς ἀπορίας,
20 ἀπὸ τῶν μυόντων τοὺς ὀφθαλμούς. ἐν οἷς τὸ πρῶτον πληροῦται κεφάλαιον.

Δεύτερόν ἐστι κεφάλαιον ἐν ᾧ διακρίνει τὴν φαντασίαν ἀπὸ πασῶν
τῶν δυνάμεων τῆς λογικῆς ψυχῆς. αἱ μέν εἰσιν ἀεὶ ἀληθεῖς, ὡς νοῦς καὶ
ἐπιστήμη, αἱ δὲ ποτὲ μέν εἰσιν ἀληθεῖς ποτὲ δὲ ψευδεῖς, ὡς διάνοια καὶ
δόξα. ἡ οὖν φαντασία τῶν μὲν ἀεὶ ἀληθευουσῶν διαφέρει, καθὸ αὐτή
25 ποτε καὶ ψεύδεται, ἐκεῖναι δὲ ἀεὶ ἀληθεῖς εἰσι, τῶν δὲ ποτὲ μὲν ἀλη-
θευουσῶν ποτὲ δὲ ψευδομένων διαφέρει, καθὸ ἐκεῖναι μὲν ἐν λογικοῖς
ζῴοις εἰσίν, αὕτη δὲ οὐ μόνον ἐν λογικοῖς, ἀλλὰ καὶ ἐν ἀλόγοις. καὶ
πόθεν δῆλον, εἴποι τις ἄν, ὡς καὶ ἡ διάνοια καὶ ἡ δόξα οὐκ εἰσιν ἐν τοῖς
ἀλόγοις ζῴοις: λοιπὸν ἐντεῦθεν πλέκονται συλλογισμοὶ ὅτι ἡ δόξα οὐκ
30 ἔστιν ἐν ἀλόγοις. καὶ ἔστιν ὁ πρῶτος συλλογισμὸς ἐν δευτέρῳ πλεκόμενος
σχήματι οὗτος· τὰ ἔχοντα δόξαν καὶ πίστιν ἔχει, τὰ ἄλογα ζῷα οὐκ ἔχει
πίστιν, τὰ ἄλογα ἄρα ζῷα οὐκ ἔχει δόξαν. πόθεν δὲ δῆλον ὅτι τὰ
ἄλογα οὐ πιστεύει; πλέκεται λοιπὸν ἄλλος συλλογισμὸς τοιοῦτος· τὰ ἄλογα
οὐ πείθεται, τὰ δὲ πειθόμενα αὐτά ἐστι τὰ πιστεύοντα· ποιητικὸν γὰρ p 5r
35 αἴτιον τῆς πίστεως ἡ πειθώ, καὶ τέλος ἐστὶ τῆς πειθοῦς ἡ πίστις. ἔστιν
οὖν ὁ συλλογισμός, ἵνα ἀναλάβω αὐτόν, ἐν πρώτῳ σχήματι οὗτος· τὰ

---

1 ἐπειδὴ] ὡς καὶ A 2 καλοῦμεν] καὶ νομίζειν καὶ ὀνομάζειν A 7 ἤδη D: om. At 9 ἡ ἀκριβῶς D 13 συνεργοῦσα (sic) μηδὲ σύνεισιν, οὐδὲ ταὐτόν A 14 ἔσται A δὲ] οὖν t 16 τοὺς om. t ἐνόεις scripsi: ἐννοεῖς D: ἐνόης t 17 αὐτῶν τοὺς scripsi: αὐτοὺς Dt 22 post αἱ μὲν add. γὰρ t 23 αἱ δὲ ποτὲ] οὐδέποτε t 25 ἀεὶ om. t 26 et 27 ἐν λογικοῖς] εὐλογικοῖς t 33. 34 πλέκεται — πιστεύοντα] ἢ ἐξ ὧν οὐδὲ πείθεται· τὰ γὰρ πειθόμενά ἐστιν τὰ πιστεύοντα A 34. 35 διότι ποιητικὸν αἴτιον A

ἄλογα οὐ πείθεται, τὰ μὴ πειθόμενα πίστιν οὐκ ἔχει, τὰ ἄλογα ἄρα πίστιν p 5r
οὐκ ἔχει. ἀλλ' ἀποροῦμεν καὶ πρὸς τοῦτο, πόθεν δῆλον ὅτι τὰ ἄλογα οὐ
πείθεται· καίτοι ὁρῶμεν ὅτι ὁ ὄφις ὅρκοις πειθόμενος εἰς πῦρ ἑαυτὸν ἐμ-
βάλλει· πάλιν λέων ἡμεροῦται πειθόμενος τῷ θηρευτῇ καὶ ἵππος τῷ 5
5 πωλοδάμνῃ. λέγομεν δὲ πρὸς ταῦτα ὅτι ὁ ὄφις οὐ πείθεται, ἀλλ' ὑπὸ
τῆς τῶν ὅρκων ἀνάγκης καὶ ἄκων ἄγεται. οὔτε δὲ λέων οὔτε ἵππος οὔτε
πᾶν τιθασευόμενον πείθεται, ἀλλ' ἐθίζουσιν· οὐ ταὐτὸν δὲ πείθεσθαι καὶ
ἐθίζειν. ἡ γὰρ συγκατάθεσις κοινὸν γένος ἐστὶ πειθοῦς καὶ ἐθισμοῦ, ἀλλ'
ὁ μὲν ἐθισμὸς ζωτικῇ τινι προσκλήσει γίνεται, ἡ δὲ πειθὼ γνώσει γίνεται.
10 τὰ οὖν τιθασευόμενα οὐ πείθεται ἀλλ' ἐθίζει, διότι συγκατατίθεται· τὸ μὲν
γὰρ πείθεσθαι, ὡς ἐρρήθη, διὰ λόγου γίνεται καὶ λογικῆς ἐστι ψυχῆς,
τὸ δὲ ἐθίζειν οὐ μόνον λογικῆς ἐστι ψυχῆς, ἀλλὰ καὶ ἀλόγου. ἐν οἷς ἡ 10
θεωρία.

Περὶ δὲ τοῦ νοεῖν, ἐπεὶ ἕτερον τοῦ αἰσθάνεσθαι. εἴρηται καὶ
15 ἀνωτέρω ὅτι τῷ τοῦ νοεῖν ὀνόματι ἀδιαφόρως κέχρηται. νῦν οὖν νοεῖν
λέγει τὴν φαντασίαν καὶ τὴν ὑπόληψιν. ὅθεν καὶ διαιρεῖ αὐτὸ εἰς ταῦτα
καί φησιν ὅτι περὶ πρώτης τῆς φαντασίας τῆς κυρίως λεγομένης καὶ οὐκ
ἐκ μεταφορᾶς ἐπὶ τῶν αἰσθήσεων καὶ περὶ ὑπολήψεως εἴπωμεν.

p. 428a1 Εἰ δή ἐστιν ἡ φαντασία καθ' ἣν λέγομεν φάντασμά τι
20 ἡμῖν γίνεσθαι καὶ μὴ εἴ τι κατὰ μεταφορὰν λέγομεν. 15

Ἐπειδὴ ἀνωτέρω ἔλεγεν ὅτι ἐν ἡμῖν ἐστι φανασθῆναι ὃ ἂν βου-
λώμεθα, καὶ τοῦτο ἐπὶ τῆς ἑκουσίου φαντασίας ἥρμοζεν, ἔστι δὲ καὶ ἀκού-
σιος φαντασία ἡ ἐκ τῶν φαντασμάτων λαμβανομένη, τουτέστιν ἐκ τῶν
αἰσθητῶν. καὶ οὐ μόνη ἐστὶν ἡ ἑκούσιος, ἣν εἶπεν ἐκ μεταφορᾶς δικαίως.
25 ἐπειδὴ ἐκ τῶν ὄντων μεταφέρει ἀνάπλασμα τοῦ μὴ ὄντος, ἐξ ἵππου φέρε 20
εἰπεῖν καὶ ταύρου Ἱπποκένταυρον, εἰ οὖν ἐστιν ἡ ἀκούσιος φαντασία, οὐκ
ἄρα ὃ θέλω φαντάζομαι, ἀλλὰ μιᾷ τινι δυνάμει κριτικῇ τὸ ψεῦδος ὡς
ψεῦδος φαντάζομαι καὶ τὴν ἀλήθειαν ὡς ἀλήθειαν· ταύτῃ γὰρ καὶ διακρί-
νεται ψεῦδος ἀπ' ἀληθείας. καὶ ἡ δόξα δὲ καὶ ἡ αἴσθησις οὕτω διακρίνει
30 ψεῦδος ἀπ' ἀληθείας, τῷ γινώσκειν ὥς ἐστι τὰ πράγματα. τοιαῦται δέ
εἰσιν αἴσθησις, δόξα, νοῦς, ἐπιστήμη. ἀλλ' ἐρεῖ τις πῶς ἀνωτέρω
τὸν νοῦν εἶπεν ἀεὶ ἀληθεύειν, νυνὶ δέ φησιν ὅτι ποτὲ καὶ ψεύδεται. ἔφη 25
γὰρ καθ' ἣν κρίνομεν ἢ ἀληθεύομεν ἢ ψευδόμεθα, οἷον ἐπιστήμη
καὶ νοῦς, καὶ συγκατηριθμήσατο τοῖς ποτὲ ψευδομένοις τὸν νοῦν καὶ τὴν
35 ἐπιστήμην. καὶ λέγομεν ὅτι οὐ πᾶσι τοῖς εἰρημένοις ἁρμόζει τὸ ἀληθὲς

---

3 post ὅρκοις add. τῶν ἐπᾳδόντων A 7 πᾶν τιθασευόμενον scripsi: πάντι θασευόμενον D: πάντη θασσευόμενον t 9 προσκλήσει] fort. προσκλίσει 10 τιθασσευόμενα At τὰ μὲν t 12 μόνου t 14 ἕτερόν ἐστιν αἰσθάνεσθαι t 15 ἀδιαφόρος t 18 εἴπωμεν scripsi: εἴπομεν Dt 20 γίνεσθαι D Arist. vulg.: γενέσθαι t Arist. STVX 21 ὃ ἂν D: ὅτι ἂν t 21. 22 βουλώμεθα scripsi: βουλόμεθα Dt 28 ἀλήθειαν ὡς ἀλήθειαν scripsi: ἀλη ὡς ἀλή D: ἀληθὴ ὡς ἀληθή t 30 τὸ γινώσκειν D

καὶ τὸ ψεῦδος, ἀλλὰ τοῖς μὲν τὸ ἀληθές, οἷον τῷ νῷ καὶ τῇ ἐπιστήμῃ p 5
(ταῦτα γὰρ κρίνει τὸ ἀληθές). τοῖς δὲ ἀμφότερα τό τε ἀληθὲς καὶ τὸ
ψεῦδος, οἷον δόξῃ καὶ αἰσθήσει. ἔστι δὲ καὶ ἄλλην διαφορὰν προσευπορῆσαι
νοῦ καὶ αἰσθήσεως· πρῶτον μὲν ταύτην. ἐπειδὴ περὶ ἃ ἐνεργεῖ αἴσθησις,
5 καὶ νοῦς ἐνεργεῖ, καὶ κρεῖττον αἰσθήσεως (μὴ γὰρ νόμιζε ἄτοπον τὸ καὶ 30
περὶ μερικὰ τὸν νοῦν ποτε καταγίνεσθαι), περὶ ἃ δὲ ἐνεργεῖ ὁ νοῦς, οὐκ
ἐνεργεῖ ἡ αἴσθησις· οὐσίαν μὲν γὰρ ὁ νοῦς οἶδεν, ἀτυχὴς δὲ τῆς οὐσίας
ἡ αἴσθησις. δεύτερον δὲ ὅτι ἡ μὲν αἴσθησις οὐκ οἶδεν τὴν οἰκείαν ἐνέρ-
γειαν, ὁ δὲ νοῦς οἶδεν καὶ τὴν οἰκείαν καὶ τὴν τῶν ἄλλων. τὸ δὲ εἰπεῖν
10 ὅτι ὁ μὲν νοῦς περὶ τὰ καθόλου ἐνεργεῖ καὶ ἐντὸς ἔχει τὸ αἰσθητόν, ἡ δὲ
αἴσθησις περὶ μερικὸν καὶ ἔξω δῆλόν ἐστιν.

p. 428ᵃ5 Ὅτι μὲν οὐκ ἔστιν αἴσθησις, δῆλον ἐκ τῶνδε. 35

Ἐντεῦθέν ἐστιν ἡ πρώτη διάκρισις αἰσθήσεως καὶ φαντασίας. διαιρεῖ
δὲ τὴν αἴσθησιν εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ καὶ λέγει ὅτι ἡ φαντασία οὔτε
15 τῇ δυνάμει αἰσθήσει ταὐτόν ἐστιν οὔτε τῇ ἐνεργείᾳ, τῇ μὲν δυνάμει,
ἐπειδὴ ἐνεργοῦμεν σαφῶς ἐν τοῖς ὀνείροις, τότε δὲ δυνάμει ἐστὶν ἡ
αἴσθησις καὶ οὐκ ἐνεργεῖ· ἀλλ' οὐδὲ τῇ ἐνεργείᾳ, ἐπεὶ οὐδέποτε ἂν ἐφαν- 40
ταζόμεθα ἐν τοῖς ὕπνοις (νῦν δὲ φανταζόμεθα), ἐπειδὴ δυνάμει ἐστὶν ἐν
τοῖς ὕπνοις καὶ οὐκ ἐνεργείᾳ· ὥστε οὐ ταὐτὸν ἡ φαντασία τῇ κατ' ἐνέρ-
20 γειαν αἰσθήσει. εἰ οὖν ἐδείχθη μήτε τῇ δυνάμει αἰσθήσει ἡ αὐτὴ οὖσα
μήτε τῇ ἐνεργείᾳ, διαφέρει ἄρα ἡ αἴσθησις τῆς φαντασίας.

p. 428ᵃ8 Εἶτα αἴσθησις μὲν ἀεὶ πάρεστι.

Ἐντεῦθέν ἐστιν ἡ δευτέρα διάκρισις αἰσθήσεως καὶ φαντασίας.

p. 428ᵃ9 Εἰ δὲ τῇ ἐνεργείᾳ τὸ αὐτό, πᾶσιν. 45

25 Ἐντεῦθεν ἡ τρίτη διάκρισις· τινὲς δὲ ἐνόμισαν ὅτι ἐπειδὴ τὴν αἴσθη-
σιν διεῖλεν εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ, ὅτι τὴν φαντασίαν ἀπὸ τῆς ἐνερ-
γείᾳ αἰσθήσεως ἐντεῦθεν διακρίνει. ἔχει γὰρ ἡ διάκρισις αὐτῶν οὕτως·
εἰ ταὐτὸν ἦν ἡ φαντασία τῇ αἰσθήσει, ἔδει πᾶν ἔχον ἐνεργείᾳ αἴσθησιν
καὶ φαντασίαν ἔχειν, ὅπερ οὐ δοκεῖ· φαντασίαν γὰρ λέγομεν ἔχειν ὅσα 50
30 διηρθρωμένην ταύτην ἔχει καὶ τελείαν, ὡς δύνασθαι καί τι μανθάνειν· ὁ
δὲ σκώληξ καὶ ὁ μύρμηξ εἰ καὶ ἔχει φαντασίαν, ἀλλ' ἀμυδρὰν ταύτην

4 ἐπειδὴ περὶ scripsi: ἐπειδήπερ Dt: διότι περὶ A 5 καὶ κρεῖττον] κρεῖττον δὲ A
6 7. οὐκ ἐνεργεῖ — νοῦς (9) At: om. D 7 ἀτυχὴς A¹: μὴ τυγχάνουσα A²t 9. 10 τὸ δὲ εἰπεῖν ὅτι D: om. t: καὶ A 11 μερικὸν D: μερικὰ At δῆλον D: δηλονότι At
12 μὲν οὐκ D Arist. SUX: post μὲν add. οὖν t Arist. vulg. post αἴσθησις add. ἡ φαντασία t (cum Ald.) Arist. y 17 ἂν At: om. D 17. 18 ἐφανταζόμεθα A: φανταζόμεθα Dt 18 νῦν δὲ — ὕπνοις (19) At: om. D ἐστὶν scripsi: εἰσὶν At 31 ἡ μύρμηξ t

ἔχει καὶ ἀδιάρθρωτον. εἰ οὖν οὐκ ἔχουσι ταῦτα φαντασίαν, δῆλον ὅτι οὐ p 5r
ταὐτὸν αἴσθησις καὶ φαντασία. τινὲς δὲ εἶπον ὅτι καλῶς εἶπεν εἰ δὲ τῇ
ἐνεργείᾳ τὸ αὐτό, ζητητέον· δυνάμει γὰρ δύναται φαντασία καὶ αἴσθησις
ταὐτὸν εἶναι· ἀπὸ γὰρ αἰσθήσεως ποτὲ φαντασία δέχεται. |

p. 428a11 Εἶτα αἱ μὲν ἀληθεῖς ἀεί, αἱ δὲ φαντασίαι γίνονται p 5v
αἱ πλείους ψευδεῖς.

Ἐντεῦθεν τὴν τετάρτην λέγει διάκρισιν αἰσθήσεως καὶ φαντασίας.

p. 428a12 Ἔπειτα οὐδὲ λέγομεν, ὅταν ἐνεργῶμεν ἀκριβῶς.

Ἐντεῦθέν ἐστιν ἡ πέμπτη διαφορά.

p. 428a15 Καὶ ὅπερ δὴ ἐλέγομεν πρότερον, φαίνεται καὶ μύουσιν
ὁράματα.

Ἐντεῦθέν ἐστιν ἡ ἕκτη διαφορά. τινὲς δὲ λέγουσιν ὅτι τὴν φαντασίαν ἀπὸ τῆς δυνάμει αἰσθήσεως βούλεται διακρῖναι. ἔστι δὲ ἡ διάκρισις ὅτι πῶς μύων τις τοὺς ὀφθαλμοὺς φαντάζεται χρώματα; εἰ γὰρ ἐν τῷ μύειν δυνάμει ἐστὶν ἡ ὄψις, φαντάζεται δέ, καὶ πάλιν μετὰ τὸ ἀνοῖξαι τοὺς ὀφθαλμοὺς φαντάζεται, δῆλον ὅτι οὐ ταὐτὸν φαντασία καὶ δυνάμει αἴσθησις. διὰ τοῦτο δὲ εἶπεν ὃ ἐλέγομεν πρότερον, ἐπειδὴ καὶ ἄνω ἐμνήσθη τῶν λαμπάδων τῶν πρὸ τῆς ὄψεως ἀεὶ μενουσῶν, αἵτινες καὶ αἰσθηταί εἰσιν ὡς ὁρώμεναι καὶ οὐκ αἰσθηταί, ἐπειδὴ ἄπεστι τὸ αἰσθητόν, καὶ φαντασία, διότι μύοντες τοὺς ὀφθαλμοὺς ὁρῶμεν αὐτάς, καὶ οὐ φαντασία, ἐπειδὴ ἀθρόαι εἰσὶ τοῦ αἰσθητοῦ πληγαὶ αἱ λαμπάδες, ἔνθα δὲ πάρεστιν ἡ πληγή, οὐκ ἐνεργεῖ ἡ φαντασία. εἰ οὖν ὅτε ἡ λαμπὰς αὕτη οὐκ ἔστιν αἰσθήσεως, φαντασίας ἔστι, καὶ ὅτε ἔστιν αἰσθήσεως, οὐκ ἔστι φαντασίας, οὐκ ἄρα ταὐτὸν φαντασία καὶ αἴσθησις.

p. 428a16 Ἀλλὰ μὴν οὐδὲ τῶν ἀεὶ ἀληθευόντων οὐδεμία ἔσται.

Ἐντεῦθέν ἐστι τὸ δεύτερον κεφάλαιον, ἐν ᾧ διακρίνει τὴν φαντασίαν ἀπὸ τοῦ νοῦ καὶ τῆς ἐπιστήμης. νῦν δὲ νοῦν τὴν διάνοιαν ἀκουστέον. ὅρα δὲ πῶς τὴν ἔκθεσιν αὐτοῦ ὡς ἐπιχείρημα προέθετο· ἐκ τοῦ γὰρ ἀεὶ ἀληθεύειν τὸν νοῦν καὶ τὴν ἐπιστήμην, τὴν δὲ φαντασίαν ποτὲ καὶ ψεύδεσθαι διακρίνονται.

---

1 διάρθρωτον t 2 εἶπον] εἶπεν t 4 ταὐτὸν] αὐτὸ D 24 ταὐτὸν] αὐτὸν t
28 πρόσθετο t

p. 428a18 Λείπεται ἄρα ἰδεῖν εἰ δόξα· γίγνεται γὰρ δόξα καὶ ἀληθὴς καὶ ψευδής. p. 5v

Ἐντεῦθεν βούλεται δεῖξαι ὅτι οὐκ ἔστιν ἡ φαντασία ταὐτὸν τῇ δόξῃ. καὶ ἄξιον ἀπορῆσαι πῶς ἄνω τοῦτο δείξας καὶ πάλιν τοῦτο δείκνυσιν. καὶ μήποτε ἔστιν εἰπεῖν ὅτι ἐπειδὴ αὗται πολὺ κοινωνοῦσι, διὰ τοῦτο πολλάκις αὐτῶν λέγει διάκρισιν. κοινωνοῦσι μὲν γάρ, ἐπειδὴ ἀεὶ αἱ ἐσχατιαὶ τῶν πρώτων αἱ αὐταί εἰσι τοῖς πρώτοις τῶν ὑστέρων, ἵνα μηδὲν ᾖ κενόν· ἐσχατιὰ δὲ τοῦ λόγου ἡ δόξα, πρώτη δὲ τῆς ἀλόγου ἡ φαντασία, διὸ σχεδὸν αἱ αὐταί εἰσιν. εἰπὲ δὲ καὶ ἄλλο, ὅτι ἄμφω καὶ ἡ δόξα καὶ ἡ φαντασία περὶ ἀληθὲς καὶ ψεῦδος καταγίνονται, διὸ καὶ κατὰ τοῦτο κοινωνοῦσι, καὶ τούτου ἕνεκεν αὐτῶν λέγει διάκρισιν. διακρίνεται δὲ ταῦτα συλλογιστικῶς οὕτως· ἡ φαντασία ἢ πᾶσι τοῖς ἀλόγοις ὑπάρχει κατὰ τὸν πάλαι Ἀριστοτέλην, πᾶσι τοῖς ἀλόγοις ἀμυδρὰν ἐντιθέντα φαντασίαν, ἢ ἐνίοις κατὰ τὸν νῦν Ἀριστοτέλην, οὐκ ἐν παντὶ ἀλόγῳ τιθέντα φαντασίαν ἀκριβῆ. εἰ οὖν ἡ φαντασία ἢ ἐνίοις ὑπάρχει ἀλόγοις ἢ πᾶσιν, ἡ δὲ δόξα οὐδενὶ ἀλόγῳ ὑπάρχει, οὐκ ἄρα ταὐτὸν φαντασία καὶ δόξα. ἐν τρίτῳ σχήματι ἡ πλοκή. ἀλλὰ δόξῃ μὲν ἕπεται πίστις. τοῦτο καὶ διαφορά ἐστι πρὸς φαντασίαν καὶ ἀπόδειξις τῆς μιᾶς προτάσεως τοῦ συλλογισμοῦ τῆς λεγούσης ὅτι δόξα οὐδενὶ ἀλόγῳ ὑπάρχει. ὅπου γὰρ δόξα, καὶ πειθὼ καὶ πίστις καὶ πεπεῖσθαι· οὐκ ἐνδέχεται γάρ τινα δοξάζοντα οἷς δοξάζει μὴ πιστεύειν· ὅπου δὲ πειθὼ καὶ πίστις, λόγος· λόγος δὲ οὐχ ὑπάρχει ἐν ἀλόγοις· οὐκ ἄρα οὖν οὔτε δόξα ἐστὶν ἐν ἀλόγοις. πειθὼ δέ ἐστιν ἐνέργεια τοῦ πείθοντος πρὸς τὸ πειθόμενον, πίστις δὲ ἀποτέλεσμα καὶ γνῶσις τοῦ πειθομένου, πεπεῖσθαι δὲ ἡ ἀμυδρὰ γνῶσις καὶ ὁδὸς ἐπὶ τὴν δόξαν, δόξα δὲ ἡ μετὰ ταῦτα κρατουμένη ἔννοια. τῶν δὲ θηρίων οὐδενὶ ὑπάρχει πίστις. ἠπόρησαν περὶ τοῦ ἵππου πῶς φοβεῖται τὴν μάστιγα καὶ ὑπόκειται τῷ πωλοδάμνῃ οὐχὶ πειθοῖ τινι. καὶ εἴπομεν ὅτι οὐ διὰ πειθώ, ἀλλὰ δι' ἐθισμόν τινα, ἐπειδὴ ἔθος εἶχεν ἀεὶ πλήττεσθαι ἐξ αὐτῆς καὶ συγκατατίθεται· εἴπομεν γὰρ ὅτι ἡ συγκατάθεσις κοινὸν γένος ἐστὶ πειθοῦς καὶ ἐθισμοῦ. ἠπόρησε δὲ πάλιν καὶ πῶς ὁ ὄφις ὅρκῳ πείθεται, εἰ μὴ ἔχει πειθὼ τὰ ἄλογα. ἐλέγομεν ὅτι οὐδὲ οὕτω πείθεται· οὐ γὰρ διαλέκτου ἀκούει, ἀλλὰ φωνῆς· ὑποχωρεῖ δὲ πρὸς πῦρ ὁρκούμενος, ἐπειδὴ ὑπὸ δαιμόνων τινῶν συνωθεῖται τῶν τρεμόντων τὸν ὅρκον. καὶ ἁπλῶς εἰπεῖν τὸ πειθόμενον καὶ μεταπείθεται, τὸ δὲ μεταπείθεσθαι γνώσεώς ἐστι· ἡ γὰρ γνῶσις περὶ τὸ αὐτὸ οὐκ ἀεὶ ὡσαύτως ἔχει. ὁ δὲ ἐθίζων ἀεὶ ὡσαύτως ἔχει περὶ τὸ αὐτό· ἀεὶ γὰρ φοβεῖται ὁ ἵππος τὴν μάστιγα. οὐκ ἄρα οὖν ὁ ἐθισμὸς γνώσεώς ἐστιν οὐδὲ ὁ αὐτὸς τῇ πειθοῖ. ὅτι δὲ ἡ γνῶσις οὐκ ἀεὶ περὶ τὸ αὐτὸ ὡσαύτως ἔχει, δῆλον, ἐπειδὴ τὸν ἀράχνην

1 Λείπεται—γίγνεται ad lemma revocavi: cum superioribus vv. coniungunt Dt γίγνεται iterat t 13 ἐντιθέντα] ἐντιθεῖται vel ἐντιθοῦνται D 14 ἀλόγῳ] λόγῳ D τιθοῦντι, ut videtur, D 26 et 30 fort. legendum ἠπόρησα vel ἠπορήσαμεν coll. p. 497,2 30 ἡ ὄφις t 36 ὡσαύτως] ὡς αὐτος D

διὰ τοῦτο οὐ λέγομεν ἀπὸ προβουλήσεως καὶ γνώσεως τὸ ἀράχνιον ποιεῖν, p 5v
ἐπειδὴ ἀεὶ ὡσαύτως αὐτὸ ποιεῖ, ὁμοίως δὲ καὶ μέλισσα τὴν σμήνην· εἰ δὲ 50
ἦν ἀπὸ προβουλῆς, ἄλλως καὶ ἄλλως ἐποίει ἂν τὸ αὐτό.

p. 428ª 22 Ἔτι εἰ πάσῃ μὲν δόξῃ ἀκολουθεῖ πίστις.

Τὸ ἔτι δοκεῖ μὲν εἰσάγειν ἕτερον ἐπιχείρημα τοῦ διαφέρειν φαντασίαν δόξης, οὐκ ἔστι δέ, ἀλλὰ κατασκευή | ἐστι τοῦ πρώτου ἐπιχειρήματος. p 6r
ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

p. 428ª 24 Φανερὸν τοίνυν ὅτι οὐδὲ δόξα μετ' αἰσθήσεως οὐδὲ δι' αἰσθήσεως οὐδὲ συμπλοκὴ δόξης καὶ αἰσθήσεως φαντασία ἂν εἴη, καὶ τὰ ἑξῆς.

Ἐπειδὴ διὰ τῶν προλαβόντων ἀπὸ δόξης διέκρινε τὴν φαντασίαν καὶ αἰσθήσεως καὶ ἰδίᾳ πρὸς ἑκάτερον αὐτῶν ἐνέστη, νῦν βούλεται δεῖξαι ὅτι οὐκ ἔστιν ἡ φαντασία ἐπιπλοκὴ αἰσθήσεως καὶ δόξης οὔτε δόξα ἅμα καὶ αἴσθησις οὔτε δόξα δι' αἰσθήσεως. ταῦτα τοίνυν τὰ τρία βούλεται Ἀριστοτέλης δεῖξαι μὴ οὖσαν τὴν φαντασίαν. δείκνυσι δὲ τὴν φαντασίαν μηδὲν τούτων οὖσαν δι' ἑνὸς λόγου. μή τις δὲ οἰέσθω ὅτι τὰ τρία ταῦτα ταὐτά ἐστιν ἀλλήλοις· ἔχουσι γὰρ διαφορὰν πρὸς ἑαυτά. εἰ μὲν γὰρ εἴπω 10
ὅτι φαντασία οὐκ ἔστι δόξα ἅμα καὶ αἴσθησις [εἰ δὲ εἴπω ὅτι φαντασία ἐστὶ δόξα μετ' αἰσθήσεως], ἀμφότερα ποιητικὰ λαμβάνω τῆς φαντασίας, ὡς εἰ δύο εἶεν ἰατροὶ ποιητικοὶ ὑγιείας· ὥστε τὸ πρῶτον τοῦτο λέγει ὅτι οὐκ ἔστι ποιητικὰ τῆς φαντασίας δόξα καὶ αἴσθησις ἅμα. εἰ δὲ εἴπω ὅτι οὐκ ἔστι φαντασία δόξα δι' αἰσθήσεως, τοῦτο λέγω ὅτι οὐκ ἔστι τῆς φαντασίας ποιητικὸν αἴτιον ἡ δόξα, ὅπερ ποιητικὸν αἴτιον ποιεῖ τὴν φαντασίαν δι' 15
ὀργανικοῦ αἰτίου τῆς αἰσθήσεως, ἵνα ᾖ ἡ μὲν δόξα ποιητικὸν αἴτιον τῆς φαντασίας, ἡ δὲ αἴσθησις ὀργανικόν, ὥσπερ ὁ ἰατρὸς διὰ φλεβοτόμου ὑγίειαν λέγεται ποιεῖν. ἐὰν οὖν εἴπω ὅτι οὐκ ἔστιν ἡ φαντασία δόξα δι' αἰσθήσεως, τοῦτο λέγω ὅτι οὐκ ἔστιν ἡ δόξα ποιητικὸν αἴτιον φαντασίας δι' ὀργανικοῦ αἰτίου τῆς αἰσθήσεως. ἀλλ' οὐδὲ συμπλοκή ἐστι δόξης καὶ αἰσθήσεως ἡ φαντασία, τουτέστιν οὐκ ἔστιν ὑλικὰ αἴτια τῆς φαντασίας δόξα

---

2 αὐτὸ om. t τὴν ὁσμήνην D 4 εἰ πάσῃ D Arist. SXy: εἰ om. t Arist. vulg.: εἰ πᾶσι Arist. W 7 post πληροῦται add. πρᾶξις σὺν θεῷ ζ t: eadem in marg. D¹ 8 ante δόξα add. ἡ t Arist. U 14 δι' αἰσθήσεως A: δι' om. Dt 16 μηδὲ D 17 ταὐτά] ἑαυτά D εἰ μὲν γὰρ — τοῦτο λέγω (22)] ὁ μὲν γὰρ λέγων ὅτι φαντασία ἐστὶν δόξα ἅμα καὶ αἴσθησις τοῦτο λέγει ὅτι οὐκ ἔστιν ποιητικὸν αἴτιον τῆς φαντασίας ἡ δόξα, ἀλλὰ καὶ ἡ αἴσθησις. ὁ δὲ λέγων ὅτι οὐκ ἔστιν φαντασία δόξα δι' αἰσθήσεως τοῦτο λέγει A 18 αἴσθησις A: ἡ αἴσθησις Dt post αἴσθησις add. λέγω ὅτι οὐκ ἔστιν ἐκ δόξης καὶ αἰσθήσεως συμπλοκὴ ἡ φαντασία ὡς ὑλῶν t εἰ δὲ — αἰσθήσεως (19) delevi coll. A et p. 502,6 sqq. 26. 27 δι' αἰσθήσεως A: om. Dt 28 ὀργανικοῦ A: ὀργάνου Dt 29 οὐκ ἔστιν A: om. Dt

καὶ αἴσθησις. ὥσπερ γὰρ ὅλη ἐστὶ τοῦ οἰνομέλιτος ἡ συμπλοκὴ τοῦ οἴνου καὶ p 6r
τοῦ μέλιτος, οὕτω καὶ τῆς φαντασίας ὅλη ἔσται ἡ συμπλοκὴ τῆς δόξης καὶ
τῆς αἰσθήσεως. οὐκ ἔστι δὲ συμπλοκή, ἐπειδὴ οὐκέτι φυλαττομένη δόξα καὶ 20
αἴσθησις ποιεῖ τὴν φαντασίαν, ἀλλὰ κιρνωμένη. ἐπὶ δὲ τῶν πρώτων δύο
5 σκελῶν καὶ ἡ δόξα καὶ ἡ αἴσθησις ἐφυλάττετο, καὶ ὅτε ἦν ἄμφω ποιητικὰ
καὶ ὅτε ἦν τὸ μὲν ἓν ποιητικόν, τὸ δὲ ἕτερον ὀργανικόν. ἡ φαντασία τοίνυν
οὔτε δόξα ἔστι καὶ αἴσθησις ἅμα, ἵνα ὦσιν ἄμφω ποιητικά, οὔτε δόξα δι'
αἰσθήσεως, ἵνα τὸ μὲν ᾖ ποιητικὸν τὸ δὲ ὀργανικόν, ἀλλ' οὐδὲ συμπλοκὴ 25
δόξης καὶ αἰσθήσεως, ἵνα ὦσιν ἄμφω ὑλικά. ὅτι δὲ οὐδὲν τούτων ἐστὶν ἡ
10 φαντασία, δείκνυσιν Ἀριστοτέλης δι' ἑνὸς λόγου τοιούτου· ἡ δόξα, φησί,
τῇ αἰσθήσει μάχεται, οὐδὲν δὲ πρᾶγμα ἐκ δύο μαχομένων καὶ ἐνεργοῦν-
των κατὰ τὴν μάχην συνίσταται· οὐκ ἄρα οὖν ἡ φαντασία συνίσταται ἐκ
δόξης τε καὶ αἰσθήσεως. ὅτι δὲ μάχεται ἡ δόξα καὶ ἡ αἴσθησις, δῆλον ἐν-
τεῦθεν· ἡ αἴσθησις τὴν ἐν ὕδατι κώπην κεκλασμένην ὁρᾷ, ἡ δὲ δόξα ἐν
15 τῷ αὐτῷ νῦν σῶαν αὐτὴν εἶναι πεπίστευκεν· ὥστε μάχεται ἡ δόξα τῇ αἰ- 30
σθήσει. πάλιν τὸν μὲν ἥλιον ἡ ὄψις ποδιαῖον ὁρᾷ, καὶ ἐν τῷ αὐτῷ νῦν
ἡ δόξα δείκνυσιν αὐτὸν πολλαπλασίονα τῆς γῆς ὅλης. οὐδὲν δὲ ἐκ μαχο-
μένων ἐν τῷ αὐτῷ νῦν συνίσταται· οὔτε ἡ φαντασία ἄρα σύγκειται ἐκ δόξης
καὶ αἰσθήσεως. εἰ γὰρ περὶ τὸ αὐτὸ δόξα μὲν ἀληθεύει, αἴσθησις δὲ ψεύ-
20 δεται, ἐκ τούτων δὲ συνίσταται φαντασία, ἔσται ἄρα περὶ τὸ αὐτὸ καὶ ἀλη-
θεύουσα καὶ ψευδομένη, ὅπερ ἄτοπον. ἀλλ' ἐρεῖ τις ὅτι μήποτε, εἰ καὶ ἡ
δόξα οὕτως ἡγεῖται τὸν ἥλιον καθ' ἑαυτὴν ἐνεργοῦσα, ἀλλ' οὖν ὅταν συμ- 35
πλακῇ αἰσθήσει συμμεταβάλλεται αὐτῇ καὶ ψεύδεται· τὸ γὰρ κῦρος ἀεὶ ἡ
αἴσθησις ἔχει, εἴπερ καὶ περὶ τὰ αἰσθητὰ ἀεὶ γίνονται οἱ ὅρκοι. ὅταν οὖν
25 συμφωνοῦσα εὑρεθῇ ἡ δόξα τῇ αἰσθήσει καὶ μηκέτι μάχηται, δῆλον ὅτι
ἑνὸς τῶν μαχομένων φθαρέντος οὐδὲν ἄτοπον συγκεῖσθαί τι ἐξ αὐτῶν.
λέγομεν δὲ πρὸς τοῦτο ὅτι ἡ δόξα κατὰ τέσσαρας τρόπους φθείρεται, ἢ τοῦ
δοξάζοντος φθειρομένου, οἷον τοῦ ἀνθρώπου θνήσκοντος, ἢ τοῦ δοξαστοῦ
πράγματος μεταβάλλοντος. οἷον ἐὰν νῦν δοξάζω ὅτι Σωκράτης καθέζεται, 40
30 καὶ ἀναστῇ Σωκράτης, ἐφθάρη δηλονότι ἡ τοῦ καθέζεσθαι αὐτὸν δόξα ὡς
ἀληθής. ἢ οὖν τοῦ δοξάζοντος φθειρομένου ἢ τοῦ δοξαστοῦ πράγματος μετα-
βάλλοντος φθείρεται ἡ ἀληθὴς δόξα· φθείρεται δὲ δόξα καὶ λήθης παρα-
κολουθούσης ἢ ἐναντίας δόξης τὴν πρώτην καταβαλούσης. νυνὶ δὲ οὐδὲν
τῶν τεσσάρων παρηκολούθησεν· οὔτε γὰρ ὁ δοξάσας ἄνθρωπος ἀπώλετο
35 οὔτε τὸ δοξαστὸν μετέβαλε (μεμένηκε γὰρ ὁ ἥλιος πολλαπλάσιος ὢν τῆς

---

2 ἔσται scripsi: ἐστὶν ADt 4 ποιεῖ] exspectas ἐποίει ἂν κιρναμένη t
8 οὐδὲ scripsi: οὔτε A^2D: οὐ t 9 δὲ om. t 10 ὁ ἀριστοτέλης t
δὲ ἑνὸς t 12 κατὰ τὴν μάχην At: om. D 14. 15 ἐν τῷ αὐτῷ νῦν At:
om. D 15 σῶαν A: σῶαν t: σω ἂν D 16 post ὁρᾷ iterat τὸν ἥλιον D
17 δείκνυσιν — ὅλης] πολλαπλασίονα τῆς γῆς αὐτὸν οἴεται A αὐτὸν D: αὐτῶν t
19 δόξα μὲν] δοξάζομεν D^1, sed in mrg. corr. D^2 22 ἑαυτὴν τὴν ἐνεργοῦσαν t
24 οἱ ὅρκοιοι t 25 τῇ ἐνσθήσει t 27 τέσσαρες t 33 κατα-
βάλουσιν D

γῆς) οὔτε λήθη παρέδραμεν (ὅτε γὰρ βούλει, ἀστρονομία ἀναγκάζει σε τὸν p 6ʳ
ἥλιον μείζονα τῆς γῆς εἰπεῖν) οὔτε ἐναντία δόξα τὴν ψυχὴν κατέβαλεν·
ἔμεινε γὰρ ἡ αὐτὴ καταναγκάζουσα. εἰ οὖν σώζονται οἱ τέσσαρες κανόνες 16
οἱ μὴ φθείροντες τὴν δόξαν, ἔμεινεν ἄρα, καὶ οὐδὲν τῶν μαχομένων φθεί-
5 ρεται. οὗτος οὖν ἐστιν ὁ λόγος Ἀριστοτέλους· ἔστι δὲ ὁ δεικνὺς τὴν φαν-
τασίαν μὴ συγκεῖσθαι ἐκ δόξης καὶ αἰσθήσεως τῷ μηδὲν ἐκ μαχομένων
συγκεῖσθαι· μάχονται δὲ δόξα καὶ αἴσθησις· οὐκ ἄρα ἡ φαντασία σύγκει-
ται ἐκ δόξης καὶ αἰσθήσεως. καὶ οὗτος μέν ἐστιν ὁ λόγος Ἀριστοτέλους. 50
ἔστι δὲ καὶ ἔξωθεν προσευπορῆσαι καὶ ἄλλους τρεῖς λόγους συνηγοροῦντας
10 Ἀριστοτέλει. ὧν πρῶτός ἐστιν οὗτος· εἰ ἡ φαντασία σύγκειται ἐκ δόξης
καὶ αἰσθήσεως, ἐχρῆν τὰ ἄλογα ζῷα μὴ ἔχειν φαντασίαν, διότι οὐδὲ
δόξαν ἔχουσιν ἐξ ἧς ἡ φαντασία καθ' ὑμᾶς σύγκειται. ὅτι δὲ οὐκ ἔχουσι
δόξαν τὰ ἄλογα, ἤδη δῆλον γέγονεν ἐν τοῖς προλαβοῦσιν, ἡνίκα ἐλέγομεν
ὅτι ἡ δόξα τῆς λογικῆς ψυχῆς ἐστι μέρος, τὰ δὲ ἄλογα λογικὴν ψυχὴν οὐκ
15 ἔχει, οὐκοῦν οὐδὲ δόξαν. οὗτος ὁ πρῶτος λόγος. δεύτερος λόγος· | ἡ δόξα p 6ᵛ
ὥσπερ ἔχει τὰ πράγματα, οὕτω καὶ δοξάζει, ἀλλὰ καὶ ἡ αἴσθησις ὡς ἐπὶ
τὸ πολὺ ἀληθεύει· ἡ δὲ φαντασία πολὺ πλεονάκις ψεύδεται· οὐκ ἄρα οὖν
ἡ φαντασία σύγκειται ἀπὸ δόξης καὶ αἰσθήσεως. / ψευδὴς δὲ οὗτος ὁ λόγος,
ὡς οἶμαι, διότι ἐνδέχεται εἶναί τι ἐν τῷ συνθέτῳ, ὅπερ οὐκ ἦν ἐν τοῖς
20 ἁπλοῖς, οἷον ἐν τοῖς τῶν ζῴων σώμασίν ἐστι χροιὰ φέρε εἰπεῖν ἐρυθρά,
ἥτις οὐκ ἦν ἐν τοῖς στοιχείοις· οὐκ ἄτοπον οὖν καὶ τὴν φαντασίαν συγ- 5
κεῖσθαι ἀπὸ δόξης καὶ αἰσθήσεως μὴ ψευδομένων, αὐτὴν δὲ ψεύδεσθαι
διὰ τὸ εἶναί τι ἐν συνθέτῳ, ὃ μή ἐστιν ἐν τοῖς ἁπλοῖς. ὥστε οὗτος ὁ λόγος
οὐ πάνυ ἐστὶν ἀναγκαῖος. / ὁ δὲ τρίτος ἀναγκαῖος· ἔστι δὲ τοιοῦτος. οὐδὲν
25 ἐκ τῶν μὴ ἐφ' ἡμῖν συγκείμενον ἐφ' ἡμῖν ἐστιν. εἰ οὖν ἡ δόξα οὐκ
ἔστιν ἐφ' ἡμῖν, ἀλλ' οὐδὲ ἡ αἴσθησις ἐφ' ἡμῖν ἐστιν (ἀδύνατον γὰρ παρόν-
των τῶν χρωμάτων καὶ πεφωτισμένου τοῦ ἀέρος καὶ μὴ κεκλεισμένων
τῶν βλεφάρων μὴ ὁρᾶν, καὶ ὁρῶντα δὲ πάλιν ἀδύνατόν ἐστι τὸ λευκὸν 10
χρῶμα μέλαν ὁρᾶν ἢ φαιὸν ἤ τι τοιοῦτον) εἰ οὖν τὰ ἁπλᾶ, ὅ ἐστι δόξα
30 καὶ αἴσθησις, οὐκ ἔστιν ἐφ' ἡμῖν, οὐδὲ ἡ φαντασία ἄρα ἡ ἐκ τούτων
συγκειμένη ἐφ' ἡμῖν ἐστιν. ἀλλὰ μὴν ἡ φαντασία ἐφ' ἡμῖν ἐστιν· ἀνα-
πλάττομαι γὰρ οὐρανομήκη ἄνθρωπον καὶ τραγέλαφον. εἰ οὖν ἡ φαντασία
ἐφ' ἡμῖν ἐστιν, οὐκ ἄρα σύγκειται ἀπὸ δόξης καὶ αἰσθήσεως· οὐδὲν γὰρ
τῶν ἐφ' ἡμῖν σύγκειται ἐκ τῶν οὐκ ἐφ' ἡμῖν. οὗτός ἐστι καὶ ὁ τρίτος
35 λόγος. ἡμεῖς δὲ δείξομεν ὅτι οὐδὲ κρᾶμα δόξης καὶ αἰσθήσεώς ἐστιν ἡ 15
φαντασία. εἰ γὰρ ἦν κρᾶμα τούτων, ἔδει τὸ μέσον γινώσκειν τῶν δύο
τὴν φαντασίαν, καὶ ἐπειδὴ ἡ μὲν δόξα ἑκατονεβδομηκονταπλάσιον λέγει
τῆς γῆς τὸν ἥλιον, ἡ δὲ αἴσθησις ποδιαῖον οἶδε τὸν ἥλιον, ὤφειλεν ἡ φαντα-

---

1 βούλεται t 10 ἀριστοτέλης t 12 ἡμᾶς t 15 οὐδὲ scripsi: οὔτε Dt
16 ὡς περιέχει t 17 post τὸ πολὺ add. ἀεὶ D 24 ὁ δὲ — ἀναγκαῖος A: om. D:
τρίτος λόγος πρὸς τούτοις οὗτος t 30 οὐδὲ scripsi: οὔτε ADt 31 post φαντασία
add. ἡ μὴ ἐκ τούτων ὑποτιθεμένη συγκεῖσθαι A 35 δείξομεν scripsi: ἐδείξαμεν Dt
κρᾶμα A: τὸ κρᾶμα Dt 38 ὤφελεν D

τίν ὡς μέση τούτων ἑκατέρων τῶν ἄκρων τὴν γνῶσιν ἀποφυγεῖν καὶ εἰ- p 6
πεῖν τὸν ἥλιον ἑκατονταπλάσιον εἶναι τῆς γῆς. ἀλλὰ μὴν οὐ λέγει τοῦτο·
οὐκ ἄρα κρᾶσίς ἐστιν ἡ φαντασία δόξης τε καὶ αἰσθήσεως. καὶ ταῦτα μὲν
ἐν τούτοις. φαίνεται δὲ πρὸς Πλάτωνα ταῦτα λέγων ὁ Ἀριστοτέλης ὅτι 20
5 οὐκ ἔστιν ἐκ τοῦ κράματος δόξης καὶ αἰσθήσεως ἡ φαντασία. ἐν γὰρ τῷ
Σοφιστῇ φαίνεται λέγων ὁ Πλάτων ὅτι ἡ φαντασία ἀπὸ δόξης ἐστὶ καὶ
αἰσθήσεως. μήποτε οὖν οὐ τοῦτο λέγει ὁ Πλάτων, ἀλλ' ἐπειδὴ ἡ φαν-
τασία μέση ἐστὶ δόξης καὶ αἰσθήσεως, ἔθος δὲ ἔχει τὰ μέσα ὑπὸ τῶν
ἄκρων λέγειν γίνεσθαι, διὰ τοῦτο οὕτως εἶπε τοῦτο. καὶ ἐν Τιμαίῳ γὰρ
10 τὴν ψυχὴν λέγει ἐξ ἀμεροῦς οὐσίας γίνεσθαι καὶ μεριστῆς· καὶ μὴν οὐ
κιρνᾶται ἡ ἀμερής, ἀλλὰ διὰ τὸ μέσην εἶναι τούτων τὴν ψυχήν, διὰ τοῦτο
λέγει αὐτὴν ἐκ τούτων. ἢ εἰπὲ ὅτι οὐδὲ λέγει τὴν κυρίως φαντασίαν τὴν 25
δύναμιν, ἀλλὰ τὰ ψευδῆ φαντάσματα τὰ δοκοῦντα ἀληθῆ εἶναι λέγει ἐκεῖ
φαντασίαν. ἔστι γὰρ ἡ περιπέτεια τοῦ λόγου τοῦ ἐν τῷ Σοφιστῇ αὕτη·
15 τοῦ Σωκράτους λέγοντος τῷ σοφιστῇ ὅτι 'γόης εἶ· περὶ γὰρ τὸ μὴ ὂν κα-
ταγίνῃ,' ὁ σοφιστὴς ἀποκρινόμενος εἶπε 'κατά σε ἄρα ἔστι τὸ μὴ ὄν, εἴ
γε περὶ αὐτὸ καταγίνομαι· πᾶν γὰρ περὶ ὃ καταγίνεταί τις καὶ ἔστι
τοῦτο· εἰ οὖν περὶ τὸ μὴ ὂν καταγίνομαι, ἔστιν ἄρα τὸ μὴ ὄν.' ταῦτα
τοῦ σοφιστοῦ εἰπόντος ὁ Σωκράτης ἀντεῖπεν, ὅτι πολλαχῶς τὸ μὴ ὄν· 30
20 ἢ γὰρ τὸ ἄρρητον τὸ μηδαμῇ μηδαμῶς ὄν, ἢ τὸ καθ' ἑτερότητα ἢ τὸ
κρεῖττον οὐσίας, ὃ ὑπερούσιον λέγεται, ἢ τὸ χεῖρον οὐσίας, ὁ μετούσιον
λέγεται· λέγεται δὲ μὴ ὂν καὶ τὸ ψεῦδος. καὶ πολλὰς διαφορὰς λέγων
ἐκεῖ τοῦ ψεύδους λέγει καὶ ἓν εἶδος ψεύδους τὸ περὶ τὰ δοκοῦντα ἀληθῆ,
ὡς ἐν τῇ κεκλασμένῃ κώπῃ, ὅπερ ψεῦδος εἶπε φαντασίαν ἀπὸ δόξης καὶ
25 αἰσθήσεως μέσην οὖσαν τούτων, ἐπειδὴ καὶ δόξα καὶ αἴσθησις ἀληθεύει,
ὡς ἐπίπαν δὲ ἡ αἴσθησις. ταῦτα ὑπὲρ Πλάτωνος. ἔστι δὲ εἰπεῖν καὶ πρὸς 35
Ἀριστοτέλην ὅτι μέμφῃ τῷ Πλάτωνι ταῦτα λέγοντι καὶ αὐτὸς εἰρηκὼς τὴν
ἀμυδρὰν αἴσθησιν φαντασίαν καὶ τὴν δόξαν ἀπ' αἰσθήσεως εἰπὼν καὶ
φαντασίας, διότι ταῦτα προηγεῖται τῆς δόξης· τοιαῦτα οὖν λέγων ἑτέροις
30 πῶς ἐπιπλήττεις; ἐν οἷς ἡ θεωρία σὺν θεῷ πληροῦται.

Διά τε ταῦτα. τί αὐτῷ δύναται τὸ παρὸν ῥητόν, ὅτι εἶπε διά τε ταῦτα; ἢ διὰ τὰ μέλλοντα ῥηθῆναι ἢ διὰ τὰ παρελθόντα· εἰ γὰρ ἐδείχθη ἡ δόξα καὶ ἡ αἴσθησις μὴ ὄντα ἐφ' ἡμῖν, οὐκ ἄρα ἐκ τούτων ἡ φαντασία, ἐπεὶ ἔσται καὶ αὐτὴ μὴ οὖσα ἐφ' ἡμῖν. 40

35 Καὶ δῆλον ὅτι οὐκ ἄλλη τίς ἐστιν ἡ δόξα ἀλλ' ἢ ἐκείνη οὗπερ ἐστὶν ὁμοῦ καὶ αἴσθησις. τί φησιν: ὅτι εἰ ὅλως ἦν ἡ φαντασία ἀπὸ δόξης καὶ αἰσθήσεως, ἔδει ταύτας περὶ τὸ αὐτὸ καταγίνεσθαι. δόξαν

---

5. 6 ἐν τῷ Σοφιστῇ] p. 264 B 7 οὐ τοῦτο] αὐτοῦ τὸ t 9 ἐν Τιμαίῳ] p. 35 A
11 ἀμερεῖς D: fort. legendum κιρνᾶται ἡ ⟨μεριστὴ τῇ⟩ ἀμερεῖ 12 εἰπὲ scripsi: εἶπε Dt
14 φαντασίαν scripsi coll. Plat. Soph. p. 260 C: φαντάσματα Dt 15 τῇ σοφιστῇ t
17 τις] τι D 24 ὡς D²: γὰρ t κοπῇ D 26 καὶ om. t 28 post εἰπὼν
add. διαφέρειν t 30 ἐπιπλάττεις t 35. 36 Καὶ δῆλον — αἴσθησις om. t 35 ἄλλου
τινός et 35. 36 ἀλλ' ἐκείνου ἐστὶν οὗ καὶ αἴσθησις Arist. vulg.

φημὶ καὶ αἴσθησιν. οὐ γὰρ ἡ δόξα τοῦ εἶναι Σωκράτην δίκαιον καὶ ἡ p 6ᵛ
αἴσθησις τοῦ εἶναι αὐτὸν λευκὸν ποιεῖ φαντασίαν, ἀλλὰ δεῖ καὶ δόξαν καὶ
αἴσθησιν Σωκράτην οἴεσθαι δίκαιον· καὶ ὅταν περὶ τὸ αὐτὸ καταγένηται
ἄμφω, οὐ δεῖ τὸ μὲν καθ' αὑτὸ εἶναι, οἷον ἡ μὲν δόξα Σωκράτην λογικὸν
5 δοξάζει, ἡ ⟨δ'⟩ αἴσθησις κατὰ συμβεβηκός, ἵνα οἴηται αὐτὸν λευκὸν εἶναι,
ἀλλ' ἵνα καὶ αὐτὴ λογικὸν καὶ καθ' αὑτό. ὥστε δόξα καὶ αἴσθησις περὶ 45
τὸ αὐτὸ καταγινόμεναι καὶ ἄμφω καθ' αὑτό, εἰ ὅλως ἦν δυνατόν,
ἐποίουν φαντασίαν.

p. 428ᵇ1 Τὸ οὖν φαίνεσθαί ἐστι τὸ δοξάζειν ὅπερ αἰσθάνεται
10 μὴ κατὰ συμβεβηκός.

Τὸ φαίνεσθαι ἀντὶ τοῦ φαντάζεσθαι ἔκλαβε, ὡσεὶ ἔλεγε τὸ οὖν φαν-
τάζεσθαι κατ' ἐκείνους τοὺς λέγοντας ἐκ συμπλοκῆς εἶναι ἀπὸ δόξης ἐστὶ
καὶ αἰσθήσεως· καὶ καλῶς πρόσκειται τὸ μὴ κατὰ συμβεβηκός, ἵνα 50
καθ' αὑτὸ αἰσθάνηται αὐτοῦ ἡ αἴσθησις, ὥσπερ πρὸ ὀλίγου εἴρηται.

15 p. 428ᵇ2 Φαίνεται δέ γε καὶ ψευδῆ, περὶ ὧν ἅμα ὑπόληψιν
ἀληθῆ ἔχει.

Ἐντεῦθεν ἐλέγχει τοὺς λέγοντας τὴν φαντασίαν ἐκ συμπλοκῆς εἶναι
δόξης καὶ αἰσθήσεως. φησὶ γὰρ ὅτι εἰ τοῦτο ἦν, ἐπειδὴ ἡ αἴσθησις ποδιαῖον
τὸν ἥλιον ὁρᾷ, ἡ δὲ δόξα πολλαπλάσιον αὐτὸν οἴεται τῆς γῆς, | συμβήσεται p 7ʳ
20 τὴν φαντασίαν καὶ ἀληθῆ καὶ ψευδῆ λέγειν, ὅπερ ἐστὶν ἄτοπον· ὑπόληψιν
δὲ τὴν δόξαν ἐκάλεσε.

p. 428ᵇ4 Συμβαίνει οὖν ἤτοι ἀποβεβληκέναι τὴν ἑαυτοῦ δόξαν.

Ἐντεῦθεν ἄρχεται ἀπαριθμεῖσθαι κατὰ πόσους τρόπους δυνατὸν ἀπολέ-
σθαι δόξαν. εἰσὶ δὲ τέσσαρες, οὓς ἡμεῖς εἴπομεν ἐν τῇ θεωρίᾳ. εἶπε δὲ 5
25 σωζομένου τοῦ πράγματος, ἵνα δείξῃ ὅτι ἡ δόξα καὶ ἡ αἴσθησις ἐνεργοῦσα οὐ βλάπτεται. καὶ ἔδει εἰπεῖν σωζόμενος καὶ σωζομένου καὶ σωζομένη, ἵνα τὸ μὲν σωζόμενος πρὸς τὸν δοξάζοντα ᾖ, τὸ δὲ σωζομένου πρὸς τὸ δοξαστόν, τὸ δὲ σωζομένη πρὸς τὴν ἐνέργειαν. εἰ γὰρ ταῦτα ᾖ, οὐ βλάπτεται ἡ δόξα.

---

5 δ' addidi οἴεται t 11 τοῦ om. t ἐξέλαβε t 14 αἰσθάνεται t
15 δέ γε D Arist. plerique: δὲ Arist. EL: γε t (c. Ald.) 17 post εἶναι IV litt. eras. D 18 post δόξης II vel III litt. eras. D φησὶ γάρ — ἡ δὲ (19) in ras. D¹
εἰ τοῦτο] τοιοῦτο t 22 οὖν D Arist. vulg.: γοῦν t Arist. X ἑαυτοῦ δόξαν D Arist. SUWX (qui porro ἦν εἶχεν ἀληθῆ exh.): ἑαυτοῦ ἀληθῆ δόξαν t Arist. vulg.
23 δυνατὸν scripsi: δύναται Dt 26 et 27 σωζόμενος, ut vid., D: σωζόμενον t
28 ᾖ scripsi: ἦ Dt 29 ἡ scripsi: ἦ Dt

p. 428b7 Ἢ εἴ τι ἔχει, τὴν αὐτὴν ἀνάγκη ἀληθῆ εἶναι καὶ ψευδῆ. p 7r

Τὸ ἄτοπον λέγει ἐνταῦθα. φησὶ γὰρ ὅτι εἴ τι ἔχει τὴν αὐτὴν δόξαν καὶ μὴ ἀπώλετο ἐξ ἑνὸς τῶν εἰρημένων αὐτὴν κανόνων ἀλλόναι δυναμένων. δῆλον ὅτι καθ' ὑμᾶς τοὺς ταῦτα λέγοντας ἡ φαντασία σύγκειται ἐκ ψευδῶν ἅμα καὶ ἀληθινῶν, ὅπερ ἄτοπον, ψευδοῦς μὲν τῆς αἰσθήσεως τὸν ἥλιον ὁρώσης, ἀληθοῦς δὲ τῆς δόξης πολλαπλασίονα τῆς γῆς αὐτὸν γινωσκούσης. 11 5

p. 428b8 Ἀλλὰ ψευδὴς ἐγίνετο, ὅτε λάθοι μεταπεσὸν τὸ πρᾶγμα.

Ἐντεῦθέν φησιν ὅτι ἐνδέχεται ἅμα τὴν δόξαν καὶ τὴν αἴσθησιν ψεύδεσθαι, ἐὰν λήθη γένηται ἢ μεταπέσῃ καὶ οἷον μεταβολὴ γένηται τοῦ πράγματος τοῦ δοξαστοῦ. 10

p. 428b9 Οὐκ ἄρα ἕν τι τούτων ἐστὶν οὔτε ἐκ τούτων ἡ φαντασία.

Οὐκ ἄρα, φησί, καθ' αὑτὸ αἴσθησις οὔτε δόξα ἐστὶν ἡ φαντασία, οὔτε ἐκ τούτων, τουτέστιν οὔτε ἐκ συμπλοκῆς δόξης καὶ αἰσθήσεως. ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται. 20 15

p. 428b10 Ἀλλ' ἐπειδή ἐστι κινηθέντος τοῦδὶ κινεῖσθαι ἕτερον ὑπὸ τούτου, ἡ δὲ φαντασία κίνησίς τις δοκεῖ εἶναι καὶ οὐκ ἄνευ αἰσθήσεως γίγνεσθαι ἀλλ' αἰσθανομένοις καὶ ὧν αἴσθησίς ἐστι, καὶ τὰ ἑξῆς.

Ἡ παροῦσα θεωρία τέσσαρά τινα διδάσκει, πρῶτον μὲν τί ἐστι φαντασία, καὶ εἰκότως· ἄνω γὰρ εἰπὼν ὅτι οὐκ ἔστιν, νυνὶ λέγει τί ἐστι. καὶ δι' ἄλλο δὲ τοῦτο ποιεῖ, ἐπειδὴ πρόκειται αὐτῷ τὰ λογοειδῆ τῆς ἀλόγου διδάξαι· ἐπειδὴ οὖν ἄνω οὐκ ἐδίδαξε περὶ φαντασίας, νυνὶ διδάσκει. ὅτι γὰρ λογοειδής ἐστιν ἡ φαντασία, δηλοῖ τὸ παθητικὸν νοῦν λέγεσθαι αὐτήν. διὰ τοῦτο οὖν διδάσκει τί ἐστι φαντασία. εἶτα ἐπὶ τούτοις λέγει κοινωνίαν φαντασίας καὶ αἰσθήσεως. καὶ ὡς εἰκὸς ἀπορήσειέ τις ὅτι ἔδει μᾶλλον τῶν πάνυ ἀπεχόντων εἰπεῖν κοινωνίαν, δόξης καὶ φαντασίας· διαλεκτικὸς γάρ ἐστι λόγος, ὅτι δεῖ τῶν πάνυ ἀπεχόντων λέγειν κοινωνίας, ἀπέχει δὲ 20 25 25 26

---

1 εἴ τι D; cf. v. 3: εἴ ἔτι Arist. vulg.: ὅτι t Arist. L τὴν αὐτὴν ἀνάγκη D Arist. LWy: ἀνάγκη τὴν αὐτὴν t Arist. vulg. 3 εἴ τε t 4 ἀπόλετο t δυνάμεων t 5 ἡμᾶς t 6 ψεύδους D 7 αὐτῶν t 8 ἐγίνετο D Arist. plerique: ἐγένετο t Arist. ETW 12 οὐκ ἄρα Dt Arist. ELTWy: οὔτ' ἄρα Arist. vulg. 15 post πληροῦται add. πρᾶξις σὺν θεῷ η' t: eadem in marg. D[1] 17 τις om. D 18 ἀλλ'—ἑξῆς (19) om. t 20 τέσσαρά τινα] τετάρτη t 22 πρόκειται scripsi: πρόσκειται Dt 26 ὡς om. D

δόξα φαντασίας, εἴπερ ἡ μὲν ἀλόγου ἡ δὲ λογικῆς· αἴσθησις δὲ φαντασίας p 7r
οὐ πάνυ ἀπέχει· μιᾶς γάρ εἰσι ψυχῆς, φημὶ δὴ τῆς ἀλόγου. διὰ τί οὖν 30
τούτων λέγει κοινωνίαν; εἰπὲ πρὸς τοῦτο ὅτι εἰκότως τοῦτο πεποίηκεν.
ἐπειδὴ γὰρ ἄνω ἠπορεῖτο ὅτι προθέμενος διακρῖναι τὰς ἀλόγους τῶν λογι-
5 κῶν, πῶς νῦν διακρίνει τὴν ἄλογον πρὸς ἑαυτήν, ἵνα οὖν δείξῃ σπουδαίαν
τὴν ἄνω διάκρισιν, διὰ τοῦτο κοινωνίας αὐτῶν λέγει. τοῦτο καὶ τὸ δεύ-
τερον κεφάλαιον. τρίτον ἐστὶ κεφάλαιον ἐν ᾧ ζητεῖ διὰ τί φαντασία λέ-
γεται. ἐν δὲ τῷ τετάρτῳ κεφαλαίῳ ζητεῖ διὰ τί δέδοται ἡμῖν αὐτὴ ἐκ
τοῦ δημιουργοῦ. ἀρξόμεθα τοῦ πρώτου καὶ εἴπωμεν τί ἐστι φαντασία. 35
10 ἀλλὰ πρὸ τούτου λῆμμα προλάβωμεν συμβαλλόμενον ἡμῖν εἰς τὸν ὅρον.
δεῖ τοίνυν εἰδέναι ὅτι ὥσπερ ἐν τοῖς οὖσι τὸ μὲν μόνως κινεῖ, τὸ δὲ μό-
νως κινεῖται, τὰ δὲ καὶ κινεῖ καὶ κινεῖται, οὕτως καὶ ἐν ἡμῖν ἐστι. μόνως
μὲν γὰρ κινοῦν τὸ αἰσθητόν, κινοῦν δὲ καὶ κινούμενον ἡ αἴσθησις (κινεῖ-
ται μὲν γὰρ ὑπὸ τοῦ αἰσθητοῦ, κινεῖ δὲ τὴν φαντασίαν) μόνως δὲ κινού-
15 μενον ἐπὶ ἀλόγων ἡ φαντασία· ἐπὶ ἡμῶν γὰρ κινουμένη ἐκ τῆς αἰσθήσεως
κινεῖ τὴν δόξαν. τούτων προληφθέντων δεῖ εἰδέναι, ὅτι φαντασία ἐστὶ 40
δύναμις δεκτικὴ διὰ μέσης αἰσθήσεως τῶν αἰσθητῶν εἰδῶν. καὶ οὗτος
μέν ἐστιν ὁρισμὸς τῆς φαντασίας. ἀποροῦσι δὲ εὐθὺς ἐκ θυρῶν πρὸς αὐτὸν
ὅτι τούτῳ τῷ λόγῳ οὐδὲν διενήνοχε ἡ φαντασία τῆς κοινῆς αἰσθήσεως·
20 καὶ ἡ κοινὴ γὰρ αἴσθησις δύναμίς ἐστι δεκτικὴ τῶν αἰσθητῶν εἰδῶν διὰ
μέσης αἰσθήσεως. εἰ δέ τις εἴποι ὅτι οὐχ ἁρμόζει τῇ κοινῇ αἰσθήσει
οὗτος ὁ ὁρισμός (αὕτη γὰρ ἀμέσως οἶδε τὴν διαφορὰν λευκοῦ καὶ γλυκέος
ἅμα ταῖς αἰσθήσεσιν ἐνεργοῦσα, καὶ οὐ διὰ μέσου αἰσθήσεως), λέγομεν 45
πρὸς αὐτὸν ὅτι εἰ καὶ ἅμα ταῖς αἰσθήσεσιν ἐνεργεῖ, ἀλλ' οὖν οὐκ ἀμέσως
25 τούτων ἀντιλαμβάνεται, ἀλλὰ δεχομένη ἀπὸ μὲν ὄψεως τύπον λευκοῦ, ἀπὸ
δὲ γεύσεως τύπον γλυκέος, καὶ κρίνουσα λέγει τὴν διαφοράν· ὥστε καὶ
αὐτῇ ἁρμόζει ὁ παρὼν ὁρισμός. λέγομεν δὲ ὅτι ἡ μὲν φαντασία δεκτική
ἐστι τῶν εἰδῶν διὰ μέσης πάσης αἰσθήσεως, καὶ κοινῆς καὶ μερικῆς, ἡ δὲ κοινὴ
αἴσθησις διὰ μέσου τῆς μερικῆς αἰσθήσεως μόνης δεκτική ἐστι τῶν εἰδῶν·
30 ὥστε αὕτη ἐστὶ διαφορὰ φαντασίας καὶ κοινῆς αἰσθήσεως. καὶ αὕτη ἐστὶν 50
ἡ λύσις. ὅτι δὲ ἀληθεύει ὁ ὁρισμὸς οὗτος, καὶ διὰ μέσης αἰσθήσεως ἡ
φαντασία ἐνεργεῖ, δῆλον ἐκ τῶν τυφλῶν· οἱ γὰρ ἐκ γενετῆς τυφλοὶ περὶ
χρωμάτων ὅλως οὐδὲν φαντάζονται. ὁμοίως δὲ οἱ ἐκ γενετῆς κωφοὶ περὶ
ψόφων τί ποτε φαντάζονται; ᾧ δῆλον ὅτι ἡ φαντασία ἀεὶ διὰ μέσου τῶν
35 αἰσθήσεων ἐνεργεῖ. ὅθεν καὶ ἀπορῆσαι ἄξιον· τί οὖν; οὐκ ἀναπλάττεταί
τινα ἡ φαντασία, ἅπερ αἴσθησις οὐκ οἶδε; τραγέλαφον γοῦν ἢ οὐρανομήκη

---

3 τούτων] τοῦτο D εἰπὲ scripsi: εἶπε Dt 5 τὴν om. D 9 δημιουργῶν t
12 καὶ κινεῖ A: καὶ om. Dt 13 γὰρ At: om. D 14 ὑπὸ τῆς τοῦ D 19 ἡ
φαντασία At: om. D 23 διὰ μέσου D: διὰ μέσης A^2t 24 ἀλλ' οὖν At: om. D
26. 27 καὶ αὐτῇ] μὴ αὐτῇ t 27 παρὸν t post λέγομεν δὲ add. πρὸς τὴν ἔνστασιν
ταύτην A 29 μέσου A: μέσον Dt 30 αὕτη (post ὥστε) A^2: αὐτὴ A^1: αὐτὴ Dt
34 ᾧ scripsi: ὅ AD: ὁ t μέσου AD: μέσων t 36 οὐρανομήκη A: οὐρανο-
μήκει Dt

ἄνθρωπον αἴσθησις μὲν οὐκ οἶδε, καὶ ὅμως ἡ φανταsία ἀναπλάττεται p 7v
ταῦτα. ὥστε ἀναπλάττεται καὶ ἃ μὴ αἴσθησις οἶδεν ἡ φαντασία καὶ ἐνεργεῖ ἄνευ αἰσθήσεως. αὕτη ἡ ἀπορία. πρὸς ἣν ἐροῦμεν ὅτι καὶ ἡνίκα ἀναπλάττεται. πάλιν ἀρχὰς λαμβάνει ἀπὸ τῆς αἰσθήσεως. ἐπεὶ γὰρ εἶδεν ἰδίᾳ τράγον
5 καὶ ἰδίᾳ ἔλαφον, ἔλαβε ταύτας τὰς ἀρχὰς ἁπλᾶς οὔσας ἀπὸ τῆς αἰσθήσεως καὶ τὸ σύνθημα ἀνεπλάσατο. εἰ δὲ καὶ ἄνθρωπον οὐρανομήκη ἀναπλάττεται. ἀλλὰ πρότερον εἶδεν ἄνθρωπον τὸν καθ' ἕκαστα. οὕτως οὖν καὶ ταύτην 5
λυτέον τὴν ἀπορίαν. καὶ δι' ἄλλο δὲ καλῶς εἶπεν διὰ μέσης αἰσθήσεως, διὰ τὸ μεταξύ· κἀκεῖνο γὰρ δεκτικόν ἐστι τῶν αἰσθητῶν εἰδῶν, ἀλλ' οὐ
10 διὰ μέσης αἰσθήσεως. μὴ νόμιζε δὲ διὰ τοῦτο κρείττονα εἶναι τὴν αἴσθησιν τῆς φαντασίας, ἐπειδὴ δι' αὐτῆς ἐνεργεῖ ἡ φαντασία· οὐ γὰρ ὡς ποιητικὴ τῆς φανταsίας ἡ αἴσθησις συμβάλλεται αὐτῇ, ἀλλ' ὡς διακονοῦσα μόνον, ὥσπερ τὸ μεταξύ· διὸ οὐκ ἔστι κρείττων· ἐπεὶ τούτῳ τῷ λόγῳ καὶ τὴν φαντασίαν εἰπὲ κρείττονα τῆς δόξης, ἐπειδὴ αὐτὴ διακονεῖ τῇ 10
15 δόξῃ· καὶ μὴν ὡμολόγηται ὅτι ἡ δόξα κρείττων ἐστὶν ὡς τῆς λογικῆς ψυχῆς ὑπάρχουσα τῆς φανταsίας ἀλόγου οὔσης. // ὅταν δὲ λέγω ὅτι ἡ φαντασία δεκτική ἐστι τῶν αἰσθητῶν εἰδῶν, μὴ νόμιζε ὅτι τυποῦται πρὸς τὰ αἰσθητά, ἐπεὶ ἠφανίζοντο ἂν οἱ πρῶτοι τύποι ἐκ τῶν δευτέρων, ἀλλὰ μόνον τοὺς λόγους δέχεται. ἐκ δὲ τοῦ ῥηθῆναι ὅτι ἡ φαντασία διὰ μέσου
20 αἰσθήσεως ἐνεργεῖ συνάγει ὁ Θεμίστιος ὅτι δείκνυται ἡ φαντασία οὐ μόνον μετὰ τὰς αἰσθήσεις ἐνεργοῦσα, ἀλλ' ἅμα αὐταῖς. εἰ γὰρ ἐνεργουσῶν τῶν 15
αἰσθήσεων δέχεται τοὺς τύπους ἐξ αὐτῶν οὐχ ὁμοίως ἀψύχῳ ἀγγείῳ, ἀλλ' ἅμα δέξεται ⟨καὶ⟩ γινώσκει αὐτά, δῆλον ὅτι ἡ φαντασία ἅμα τῇ αἰσθήσει ἐνεργεῖ, καὶ τοῦτο ἐν τῇ λέξει Ἀριστοτέλην λέγοντα δείξομεν. κακῶς δὲ
25 λέγει· οὐ γάρ ὅτε δέχεται ἡ φαντασία τὰ εἴδη ἀπὸ τῶν αἰσθήσεων, τότε καὶ ἐνεργεῖ, ἀλλὰ μετὰ τὸ παύσασθαι τὰς αἰσθήσεις τότε ἐνεργεῖ ἡ φαντασία· ἐπεὶ εἰ ἅμα τῇ αἰσθήσει ἐνήργει, τί διέφερε τῆς κοινῆς αἰσθήσεως; ἡ γὰρ κοινὴ αἴσθησίς ἐστιν ἡ ἅμα ταῖς μερικαῖς αἰσθήσεσιν ἐνεργοῦσα. ὥστε οὖν ἡ φαντασία μετὰ τὰς αἰσθήσεις ἐνεργεῖ· δεῖ γὰρ αὐτὴν 20
30 προσδέχεσθαι τὰ εἴδη ἀπὸ τῆς αἰσθήσεως καὶ οὕτως ἐνεργεῖν· ἐὰν οὖν μὴ πέμψωσιν αἱ αἰσθήσεις, οὐκ ἐνεργεῖ ἡ φαντασία· δεῖ οὖν αὐτὴν ἐνεργεῖν μετὰ τὸ παύσασθαι τὰς αἰσθήσεις. καὶ ἄξιον ἀπορῆσαι ὅτι ἰδοὺ ἀτενίζω εἰς τὸν ἥλιον καὶ ἀναπέμπω τὸν τύπον τῇ φαντασίᾳ καὶ ἐπιμένω θεωρῶν τὸν ἥλιον ἐπὶ ἄλλην μίαν ὥραν, καὶ ἡ φαντασία ἐνεργεῖ ἐν τῷ
35 ἔτι με ἀτενίζειν πρὸς τὸν ἥλιον ὁρῶντα. ἀλλ' οὖν ἡ πρώτη θέα καθ' ἣν 25

---

1 μὲν At: om. D οἶδε] εἶδεν A 2 εἶδεν AD 3. 4 ἀναπλάττεται At: ἀναπλάττηται D 4 et 7 οἶδεν t 4. 5 ἐπεὶ — αἰσθήσεως iterat D 5 ταύτας τὰς AD: τὰς om. t ἁπλᾶ t 6 οὐρανομήκει t 8 δι' ἄλλο (o m. alt. in ras.) A: δι' om. D: ἄλλως t 12 ἄλλως D 13 κρείττων A: κρεῖττον Dt ἐπεὶ A: ἐπὶ Dt 14 εἴπε A 15 κρείττων At: κρεῖττον D 18 ἂν At: om. D 19 διὰ μέσου A¹D: διὰ μέσης A²t 20 Θεμίστιος] cf. Paraphr. II 169,12 sqq. Sp. 21 μετὰ] κατὰ t 23 καὶ addidi 24 ἀριστοτέλει t 26. 27 ἡ ἡ φαντασία (sic) D 35 ἔτι] ὅτι t ὁρῶν D

τὸ εἶδος ἔπεμψα τῇ φαντασίᾳ ἐπαύσατο· ὥστε μετὰ τὴν αἴσθησιν ἐνεργεῖ p 7v
ἡ φαντασία, καὶ ἔρρωται ὁ λόγος Ἀριστοτέλους. ἐν οἷς τὸ πρῶτον πληροῦται κεφάλαιον.

Δεύτερόν ἐστι κεφάλαιον ἐν ᾧ λέγει κοινωνίαν φαντασίας καὶ αἰσθή-
5 σεως. δεῖ τοίνυν εἰδέναι ὅτι τὰ αὐτὰ ἔχει αἰσθητὰ φαντασία καὶ αἴσθησις· διὸ κοινωνοῦσι καὶ ὡσαύτως περὶ αὐτὰ ἀμφότεραι καταγίνονται. ὥσπερ γὰρ ἡ αἴσθησις ἔχει καὶ κοινὰ καὶ ἰδικὰ αἰσθητὰ καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, ὡς ἤδη εἴρηται, οὕτω καὶ ἡ φαντασία περὶ ταῦτα καταγίνε- 30
ται. καὶ αὕτη μὲν ἡ πρώτη κοινωνία. δευτέρα κοινωνία· ὥσπερ ἡ α�ί-
10 σθησις ἀεὶ μὲν ἀληθεύει περὶ τὰ ἴδια αἰσθητά, ἧττον δὲ περὶ τὰ κατὰ συμβεβηκός, ἔτι δὲ ἧττον περὶ τὰ κοινά, οὕτω καὶ ἡ φαντασία. καὶ αὗταί εἰσιν αἱ δύο κοινωνίαι αἰσθήσεως καὶ φαντασίας. καὶ ταῦτα μὲν Ἀριστοτέλης· ἄξιον δὲ ἀπορῆσαι δύο ἀπορίας, ὧν πρώτη ἐστὶν αὕτη, πῶς Ἀριστοτέλης νῦν φησιν ὅτι ἡ φαντασία περὶ τὰ ἴδια αἰσθητὰ ἀεὶ ἀληθεύει
15 ἀνωτέρω φάμενος ὅτι ἡ φαντασία οὐκ ἀεὶ ἀληθεύει, ἀλλά ποτε καὶ ψεύδε- 35
ται. καὶ αὕτη μὲν ἡ ἀπορία. πρὸς ἣν ἔστιν εἰπεῖν ὅτι διττή ἐστιν ἡ φαντασία, ἡ μὲν μόνως δεχομένη τὰ εἴδη καὶ οἱονεὶ δοχεῖον οὖσα, ἡ δὲ ἀναζωγραφοῦσα ὅτι καὶ βούλεται. ἡ μὲν οὖν δεχομένη τὰ εἴδη ἀεὶ ἀληθεύει. καὶ ταύτῃ ἀληθής ἐστιν οὗτος ὁ λόγος ὁ λέγων φαντασίαν ἀεὶ περὶ τὰ
20 ἴδια αἰσθητὰ ἀληθεύειν· ἡ δὲ ἀναζωγραφοῦσα ὅτι καὶ βούλεται, αὕτη ἐστὶν ἡ ψευδομένη· ἡνίκα γὰρ τὰ μὴ ὄντα ἀναζωγραφεῖ, ψεύδεται, καὶ ταύτῃ τὰ ἀνωτέρω ῥηθέντα ἐστὶν ἀληθῆ, ὅτι ἡ φαντασία ψεύδεται. αὕτη ἡ 40
πρώτη ἀπορία καὶ ἡ λύσις αὐτῆς. δευτέρα ἀπορία, πῶς ἀνωτέρω ἔφασκε περὶ τὰ κοινὰ αἰσθητὰ μᾶλλον ἀληθεύειν τὴν αἴσθησιν ἤπερ περὶ τὰ κατὰ
25 συμβεβηκὸς αἰσθητά, νυνὶ δὲ τοὐναντίον λέγει ὅτι περὶ τὰ κατὰ συμβεβηκὸς μᾶλλον ἀληθεύει ἤπερ περὶ τὰ κοινά. καὶ αὕτη μὲν ἡ ἀπορία. ἵνα δὲ αὐτὸν Ἀριστοτέλην πρὸς ἑαυτὸν ἄμαχον καταστήσωμεν καὶ πρὸς τὰ πράγματα, ἐπιλυσόμεθα τὴν ἀπορίαν οὕτως, ὅτι διττά εἰσιν, ὡς καὶ ἀνωτέρω εἴρηται, τὰ κατὰ συμβεβηκὸς αἰσθητά, αἵ τε ἄτομοι οὐσίαι, αἵτινες 45
30 οὐδεμιᾷ αἰσθήσει τὸ παράπαν ὑποπίπτουσιν. ἀλλ' ἐκ τῶν ἐν αὐταῖς συμβεβηκότων νοοῦνται, ἢ κατὰ συμβεβηκός ἐστιν αἰσθητὸν τὸ ἄλλῳ ὑποπίπτον αἰσθήσει, οἷον τῇ ὄψει τὸ γλυκύ· καθ' αὑτὸ γὰρ αἰσθητόν ἐστι τῇ γεύσει. διττοῦ οὖν ὄντος τοῦ κατὰ συμβεβηκὸς αἰσθητοῦ δύναται καὶ οὗτος ὁ λόγος ἀληθεύειν καὶ ὁ ἀνωτέρω εἰρημένος. εἰ μὲν γὰρ κατὰ συμ-
35 βεβηκὸς αἰσθητὸν λάβοις τὰς ἀτόμους οὐσίας, ἀληθεύει ὁ ἀνωτέρω λόγος· μᾶλλον γὰρ ἡ αἴσθησις ἀληθεύει περὶ τὰ κοινὰ αἰσθητὰ ἤπερ περὶ τὰς 50
ἀτόμους οὐσίας. ὅτι δὲ μᾶλλον ἀληθεύει ἡ αἴσθησις περὶ τὰ κοινὰ αἰ-

---

5 τοίνυν D: τὸν νῦν t: δ' οὖν A 6 ἀμφότεραι καταγίνονται t: ἀμφότερα καταγίνεται AD 10 τὰ (ante κατὰ) om. t 11 οὕτω—φαντασία A: om. Dt
11. 12 καὶ αὗταί εἰσιν in ras. D¹ 14. 15 περὶ τὰ—φαντασία At: om. D
19 ταύτης t ὁ δὲ λέγων t 31 αἰσθητὸν A: τὸ αἰσθητὸν Dt 34 εἰρημένως t
35 λάβοις A: λάβῃ D: ἡ λάβῃ t 36 ἤπερ D (περ supra add. m. pr.) et t: ἢ A 37 ἡ om. t

σθητὰ ἢ περὶ τὰς ἀτόμους οὐσίας, δῆλον ἐκ τοῦ μᾶλλον πάσχειν τὴν p 7r
αἴσθησιν ἐκ τῶν κοινῶν αἰσθητῶν. ἐκ γὰρ τῶν ἀτόμων οὐσιῶν οὐδὲ ὅλως
πάσχει· ἀπὸ οὐσίας γὰρ καθὸ οὐσία οὐδὲν πάσχει ἡ αἴσθησις· ἐκ δὲ τῶν
κοινῶν αἰσθητῶν πάσχει, ὡς ἤδη δέδεικται· διακρίνεται γὰρ ὑπὸ
5 τοῦ μεγάλου καὶ συγκρίνεται ὑπὸ τοῦ μικροῦ μεγέθους, ὁμοίως δὲ
καὶ ὑπὸ τῶν ἄλλων πάσχει. ἐξ οὗ δὲ πάσχει ἡ αἴσθησις, τοῦτο μᾶλλον
γινώσκει· ὃ δὲ μᾶλλον | γινώσκει, περὶ τοῦτο ἀληθεύει· περὶ τὰ p 8r
κοινὰ ἄρα αἰσθητὰ μᾶλλον ἀληθεύει ἡ αἴσθησις ἢ περὶ τὰς ἀτόμους
οὐσίας, καὶ ταύτῃ ἀληθεύει ὁ ἄνω λόγος. εἰ δὲ κατὰ συμβεβηκὸς
10 αἰσθητὸν λάβοις τὸ ἄλλο σημαινόμενον τοῦ κατὰ συμβεβηκός, τότε
ἀληθὴς ὁ λέγων λόγος μᾶλλον ἀληθεύειν τὴν αἴσθησιν περὶ τὸ ἄλλῃ αἰ-
σθήσει αἰσθητὸν ἤπερ περὶ τὰ κοινὰ αἰσθητά. τοῦτο δὲ δείκνυται οὕτως·
τὸ πλησιάζον τῷ ἀεὶ ἀληθεύοντι μᾶλλον ἀληθεύει τοῦ μὴ πλησιάζοντος·
ἀεὶ δὲ ἀληθεύει τὰ ἴδια αἰσθητά, τὸ δὲ ἄλλῃ αἰσθήσει αἰσθητὸν μᾶλλον 5
15 πλησιάζει, ὡς δείξω, τοῖς ἰδίοις αἰσθητοῖς ἤπερ τὰ κοινὰ αἰσθητά· μᾶλλον
ἄρα ἀληθεύει τὸ ἄλλῃ αἰσθήσει αἰσθητὸν τῶν κοινῶν αἰσθητῶν. ὅτι δὲ
τοῦτο μᾶλλον πλησιάζει, οὐ χαλεπόν ἐστιν ὁρᾶν. ἰστέον γὰρ ὅτι οὔτε
τὰ ἴδια αἰσθητὰ οὔτε τὰ [τῇ] ἄλλῃ αἰσθήσει αἰσθητὰ χωριστά ἐστι τῆς
ὕλης, ὥστε πλησιάζουσιν ἀλλήλοις, διότι χωρισθῆναι τῆς ὕλης οὐ δύναν-
20 ται. οὔτε γὰρ λευκότης, ὅ ἐστιν ἴδιον αἰσθητὸν τῆς ὄψεως, οὔτε γλυκύτης,
ὅ ἐστιν ἴδιον αἰσθητὸν τῆς γεύσεως, δύναται χωρὶς ὕλης νοηθῆναι. τὰ 10
δὲ κοινὰ αἰσθητὰ δύναται χωρὶς ὕλης νοηθῆναι· χωρίσαντες γὰρ αὐτὰ τῆς
ὕλης οἱ φιλόσοφοι τὰ μαθήματα συνεστήσαντο· ἐκ γὰρ τῶν κοινῶν αἰσθη-
τῶν ἐστι τὰ μαθήματα. εἰ οὖν τὰ ἄλλῃ αἰσθήσει αἰσθητὰ μᾶλλον πλη-
25 σιάζει τοῖς ἰδίοις αἰσθητοῖς ἤπερ τὰ κοινὰ αἰσθητά, τὰ δὲ μᾶλλον πλη-
σιάζοντα τοῖς ἰδίοις αἰσθητοῖς μᾶλλον ἀληθεύει, τὰ ἄρα ἄλλῃ αἰσθήσει
αἰσθητὰ μᾶλλον ἀληθεύει. ὅπερ ἐστὶν ἓν σημαινόμενον τοῦ κατὰ συμβεβη-
κός, τῶν κοινῶν αἰσθητῶν. ὥστε καὶ οὗτος ὁ λόγος ἀληθὴς ἐστιν ὁ λέ- 15
γων περὶ τὰ κατὰ συμβεβηκὸς μᾶλλον ἀληθεύειν τὴν αἴσθησιν ἤπερ περὶ
30 τὰ κοινὰ αἰσθητά, καὶ ὁ ἄνω λόγος πάλιν ἀληθεύει ὁ λέγων περὶ τὰ κοινὰ
μᾶλλον ἀληθεύειν τὴν αἴσθησιν ἤπερ περὶ τὰ κατὰ συμβεβηκός. ἰστέον δὲ
ὅτι τὰ κοινὰ αἰσθητὰ καὶ παχυμερῆ ἐστι καὶ ἀκριβῆ. ὡς μὲν γὰρ ὑπὸ
μιᾶς αἰσθήσεως καταλαμβανόμενα παχυμερῆ ἐστιν, ὡς δὲ ὑπὸ πασῶν
ἀκριβῆ. ὅτι δὲ μιᾷ αἰσθήσει οὐκ ἀκριβῶς γινώσκεται τὰ κοινὰ αἰσθητά,
35 δηλοῦσιν οἱ παραπλέοντες τὴν μὲν γῆν οἰόμενοι κινεῖσθαι, τὸ δὲ πλοῖον 20
ἑστάναι. ἰδοὺ γὰρ περὶ τὸ ἠρεμοῦν ἡμάρτανον, τουτέστιν τὴν γῆν, καὶ
περὶ τὸ κινούμενον, τουτέστι τὸ πλοῖον, διότι ὄψει μόνῃ ταῦτα ἠθέλησαν
γνῶναι. καὶ ἄλλως δὲ ἔστιν ἰδεῖν περὶ ἠρεμίας ἡμᾶς ἁμαρτάνοντας· τὰ

---

10. 11 τότε — περὶ A: om. Dt 12 post αἰσθητὸν add. ἀληθεύει μᾶλλον t
τούτω t 14 τὰ ἄιδια t 15. 16 μᾶλλον ἄρα — ὁρᾶν (17) At: om. D 17 γὰρ At:
om. D 18 τῇ delevi 21 ὅ At: om. D τῆς γεύσεως D: γεύσεως A:
αἰσθήσεως t νοησθῆναι t 30 ὁ ante ἄνω om. t 33 πασῶν t: πάντων D et
fort. A 37 τὸν κοινούμενον t τουτέστι τὸ πλοῖον A^2t: om. A^1D ἐθέλησαν D

γὰρ ὄντα ἀεικίνητα ἄστρα ἑστάναι νομίζομεν. καὶ περὶ ἀριθμῶν δὲ ἁμαρ- p 8r
τάνει ἡ ὄψις οἰομένη τὰ ἐν διαφόροις σφαίραις ἐν μιᾷ εἶναι. ἰδοὺ γὰρ
λέγομεν τὴν σελήνην ἐν κριῷ εἶναι ἢ ταύρῳ· ἐν ἄλλῃ δὲ σφαίρᾳ ἐστὶ τῇ
ἀπλανεῖ ὁ κριὸς καὶ ἐν ἄλλῃ ἡ σελήνη. καὶ περὶ σχῆμα δὲ ἁμαρτάνομεν 25
καὶ μέγεθος· τὰ γὰρ μακρόθεν τετράγωνα καὶ μεγάλα μικρὰ νομίζομεν
εἶναι καὶ στρογγύλα διὰ τὸ τὰς γωνίας μὴ φαίνεσθαι. ἀλλ' ἐρεῖ τις ὅτι
ὅσον ἐπὶ τούτῳ οὐδὲ τὰ κατὰ συμβεβηκὸς ἔστι γνῶναι. εἰ γὰρ λέγεις διὰ
μῆκος τὰ κοινὰ μὴ δύνασθαι εἰδέναι, οὐδὲ τὰ κατὰ συμβεβηκὸς διὰ
μῆκος ὁραθήσεται. ὅτι μὲν γὰρ ὁ πόρρωθεν προσιὼν λευκός ἐστιν, ἴσμεν.
ὅτι δὲ Θεαίτητος ἢ Σωκράτης, οὐκ ἴσμεν. πρὸς ὃ ἔστιν εἰπεῖν ὅτι τὰ
κατὰ συμβεβηκὸς διὰ μῆκος μόνον οὐχ ὁρᾶται, τὰ μέντοι κοινὰ οὐδὲ ἐκ
τοῦ ἐγγὺς ὡς ἔστιν ὁρᾶται. ἰδοὺ γὰρ τὸν ἠρτημένον κάλων κυκλοτερῆ 30
ὄντα κατὰ κάθετον θεασάμενοι νομίζομεν τοῦτον κατ' εὐθὺ ἐκτετάσθαι.
καὶ ἐν γραφῇ δὲ ὁρῶμεν τὰ μὲν λευκὰ ἐξέχοντα, τὰ δὲ μέλανα ὡς ἐγκε-
κολαμμένα· διὸ καὶ τοὺς μαζοὺς λευκοὺς ποιοῦσι· τούτου δὲ τὸ σχῆμα
αἴτιον. λέλυται οὖν καὶ τοῦτο. ἐν οἷς καὶ τὸ δεύτερον πληροῦται κε-
φάλαιον.

Τρίτον κεφάλαιόν ἐστιν ἐν ᾧ ζητοῦμεν, διὰ τί φαντασία ἐκλήθη·
ἐπειδὴ στάσις ἐστὶν ἐν τῇ φαντασίᾳ τῶν αἰσθητῶν· διὰ οὖν τὸ εἶναι
αὐτὴν τῶν φανθέντων στάσιν, διὰ τοῦτο λέγεται φαντασία. φανθέντα δὲ 35
λέγει πάντα τὰ φανερωθέντα αἰσθητά· πασῶν μὲν γὰρ τῶν αἰσθήσεων
τοὺς τύπους δέχεται, ἀλλ' ἐπειδὴ πασῶν ἡ ὄψις κρείττων, διὰ τοῦτο ἐκ
τοῦ ὑποκειμένου αὐτῇ τοῦ φωτὸς ὠνομάσθη· ἐκ τοῦ φάους γὰρ ὠνόμα-
σται φαντασία. ἐν οἷς καὶ τὸ τρίτον πληροῦται κεφάλαιον.

Τέταρτόν ἐστι καὶ τελευταῖον τῆς θεωρίας κεφάλαιον ἐν ᾧ ζητοῦμεν.
διὰ τί ἡμῖν ἡ φαντασία δεδώρηται καὶ τί τὸ τέλος αὐτῆς. δεῖ τοίνυν εἰ-
δέναι, ὅτι ἀλόγοις μὲν δεδώρηται ἢ διὰ τὸ ἔχειν αὐτὰ τὸ ἀναλογοῦν λόγῳ 40
ἢ διὰ τὸ πορίζεσθαι αὐτὰ διὰ ταύτης τροφήν· κατὰ φαντασίαν γὰρ ἐνερ-
γοῦντες οἱ μύρμηκες προθησαυρίζουσιν ἑαυτοῖς κριθὰς πρὸς τροφήν· τοῖς
δὲ λογικοῖς δεδώρηται ἡ φαντασία ἢ διὰ τὸ εὐεργέστερον γίνεσθαι τὸ
σῶμα καὶ ἐπιτήδειον πρὸς ὑποδοχὴν τοῦ κρείττονος· εἰ γὰρ μὴ γέγονεν
ἐπιτήδειον πρὸς τὸ δέξασθαι φαντασίαν. πῶς ἂν καὶ λογικὴν ψυχὴν ἐπε-
δέχετο; καὶ δι' ἄλλο δέ ἐστιν ἡμῖν ἡ φαντασία, ἵνα ἡνίκα παραφρονῇ ὁ
λόγος κατακρυπτόμενος ὑπὸ παθῶν τινων, ἔχωμεν ταύτην διοικοῦσαν. οἷον 45
ἐν νόσοις, ἐν μέθαις, ὅτε οὐ δύνανται σχεδὸν κατὰ λογικὴν ψυχὴν ἐνεργῆ-
σαι διὰ τὴν ἀνεπιτηδειότητα τοῦ ὀργάνου. ἐν οἷς καὶ τὸ τέταρτον κεφά-
λαιον καὶ ἡ θεωρία καὶ τὸ δεύτερον τμῆμα σὺν θεῷ πληροῦται, ἐν ᾧ
διέκρινε τὴν λογικὴν ψυχὴν ἀπὸ τῆς ἀλόγου. ἐν μὲν γὰρ τῷ πρώτῳ

---

4 ἀπλανῆ D 6 μὴ] καὶ t 7 ἐπὶ τούτῳ] ἐκ τούτου A 9 ὁρασθήσεται t ἐστιν om. D
11 μέντοι] μὲν t 12 ἠρτημένον] εἰρημένον t κάλων A²t: κάλον A¹D κυκλωτερῆ t
19 ἐπειδὴ] καὶ λέγει διότι A 20 τῶν φανέντων t 22 τόπους t 23 φάους] fort.
φάνους D 26 ἡ φαντασία At: om. D 30 ἐνεργέστερον t 32 πρὸς om. D 33 δέ
ἐστιν D: δὲ δέδοται A: δέδωται t 34 ἔχωμεν A²: ἔχομεν A¹Dt 35 ὅτι t

τμήματι διάκρισιν ἐποιήσατο τῆς ἀλόγου ψυχῆς πρὸς ἑαυτήν, ἐν δὲ τῷ p 8r
παρόντι δευτέρῳ τμήματι, ὡς εἴπομεν, διάκρισιν εἶπε τῆς λογικῆς ψυχῆς πρὸς
τὴν ἄλογον, ἐν δὲ τῷ ἑξῆς τμήματι αὐτὴν τὴν λογικὴν πρὸς ἑαυτὴν συγκρίνει.

Ἀλλ' ἐπειδή ἐστι κινηθέντος τουδὶ κινεῖσθαι ἕτερον ὑπὸ 50
5 τούτου. ἀπὸ τοῦ λήμματος ἄρχεται καί φησιν ὅτι ἐπειδή ἐστί τι
κινούμενον ὑπό τινος ἐν τοῖς οὖσι καὶ ὑπὸ τοῦ κινηθέντος ἕτερον
κινεῖται, καὶ ἐπὶ ψυχῆς τοῦτό ἐστιν. ὥσπερ γὰρ ἐν τοῖς πράγμασιν
ὁρῶμεν ὅτι τὸν μὲν μοχλὸν ἡ χεὶρ κινεῖ, ὁ δὲ μοχλὸς τὸν λίθον,
οὕτως ἡ μὲν αἴσθησις κινεῖται ὑπὸ τοῦ αἰσθητοῦ, αὐτὴ δὲ κινεῖ τὴν
10 φαντασίαν.// μετὰ γὰρ τὸ προσβαλεῖν τῷ αἰσθητῷ τὴν αἴσθησιν καὶ
τὸ εἶδος δέξασθαι αὐτὴν τοῦ αἰσθητοῦ κατέχει αὐτό, | καὶ τούτῳ p 8v
τῷ εἴδει προσβάλλει ἡ φαντασία. καὶ ταύτῃ γίνεται φαντασία. ὥς φησιν ὁ
Πλούταρχος, ὅθεν καὶ ὁρίζεται αὐτὴν ψυχῆς κίνησιν ὑπὸ τῆς κατ' ἐνέρ-
γειαν αἰσθήσεως προσεχῶς διεγειρομένην.// μὴ ἀπορήσῃς δὲ πῶς τυχὸν ἐν
15 νυκτὶ φανταζόμεθα τόνδε τὸν ἄνθρωπον μὴ ἐνεργούσης τότε τῆς αἰσθή-
σεως· μένει γὰρ ἡ φαντασία ἔχουσα τοὺς τύπους ἀπὸ τῆς ἤδη γενομένης
θέας, καὶ διὰ τοῦτο καὶ μὴ ἐνεργούσης ἐν νυκτὶ τῆς αἰσθήσεως φαντάζομαι. 5
τὸ δὲ ἀλλ' ἐπειδὴ πρὸς τὰ ἄνω ἐστίν· ἐπειδὴ γὰρ εἶπεν ἄνω ὅτι οὐκ
ἔστι δόξα ἢ αἴσθησις, νῦν φησιν ἀλλ' ἐπειδὴ κινεῖται ὑπὸ τῆς αἰσθήσεως
20 φαντασία ἂν εἴη δύναμις δεκτικὴ τῶν αἰσθητῶν εἰδῶν διὰ μέσης αἰσθήσεως.

p. 428b12 Ἀλλ' αἰσθανομένοις καὶ ὧν αἴσθησίς ἐστιν.

Δεῖ, φησίν, αἰσθάνεσθαι καὶ οὕτω φαντάζεσθαι· οἱ γὰρ ἐξ ἀρχῆς πηροὶ 10
οὐ φαντάζονται· διὸ εἶπεν αἰσθανομένοις. διὰ τί δὲ εἶπε καὶ ὧν
ἐστιν αἴσθησις; διὰ τοὺς μὴ ἐκ γενετῆς μὲν τυφλούς, ἀποβαλόντας δὲ
25 τὴν ὅρασιν περὶ τὸ δεύτερον ἔτος, πρὶν φαντασθῶσι· καὶ οὗτοι γὰρ οὐ
δύνανται φαντάζεσθαι περὶ χρωμάτων. καὶ οἷς οὖν ἐστιν αἴσθησις, ἐὰν ἐξ
ἀρχῆς ταύτην ἀποβάλωνται, οὐ φαντάζονται· ὥστε οὖν περὶ τῶν μὴ
ὑποπιπτόντων ἡμῖν διὰ τῶν αἰσθήσεων οὐκ ἔστι φαντάζεσθαι.

p. 428b14 Καὶ ταύτην ὁμοίαν ἀνάγκη εἶναι τῇ αἰσθήσει. 15

30 Ἐντεῦθέν ἐστι τὸ δεύτερον κεφάλαιον, ἐν ᾧ τὰς κοινωνίας ἡμῖν λέ-
γει φαντασίας καὶ αἰσθήσεως μήπω ὁρισάμενος τί ἐστι φαντασία· ὅθεν
ἀνατρέχει πάλιν καὶ ὁρίζεται αὐτήν, καὶ εἶθ' οὕτω πλατύτερον λέγει
πάλιν τὴν κοινωνίαν. νῦν οὖν φησιν ὅτι ἀνάγκη τὴν φαντασίαν ὁμοίαν 20
εἶναι τῇ αἰσθήσει, διότι οὐ δυνατὸν ἄνευ αἰσθήσεως γίνεσθαι τὴν περὶ
35 τὰ αἰσθητὰ φαντασίαν. καλῶς δὲ πρόσκειται τὸ ἐνδεχομένη, ἵνα μή τις

---

4 τουδὶ Arist.: τοῦ δι' ὃν D: τοῦ διὸ t 9 αὐτὴ A: αὕτη Dt 10 προσβάλαι D
12 ταύτῃ] ταύτης A 19 ἢ scripsi: ἡ D: om. t 21 αἴσθησίς ἐστιν D Arist. vulg.:
αἰσθήσεις εἰσίν t Arist. TUVW et omisso εἰσίν S 23 οὐ om. D διὰ δέ τι t
29 ὁμοία D 34 post ἄνευ add. τῆς t

νομίσῃ ὅτι ἐνδεχομένως χωρὶς αἰσθήσεως [οὐκ] ἔστι φαντασθῆναι· ἐξ ἀνάγ- p 8ᵛ
κης γὰρ ἕπεται τοῦτο. καὶ πολλὰ κατ' αὐτὴν ποιεῖν καὶ πάσχειν τὸ ἔχον. καλῶς εἶπε τὸ πολλά· οὐ γὰρ πάντα κατὰ φαντασίαν ποιεῖ, ἀλλὰ τὰ ἔχοντα αὐτὴν ἄνευ λόγου κατ' αὐτὴν ποιεῖ, οἷον μύρμηκες κατ' αὐτὴν ὁρμῶσιν συνάξαι τροφήν. ἀλλὰ μὴν οὐδὲ πάσχομεν πάντοτε κατὰ φαντασίαν. ἔνθα γὰρ συνουσιάζοντες ἐκκρίνομεν σπέρμα μηδὲν προφαντασθέντες, ὡς ἐν ὕπνοις ποτὲ ἡμῖν συμβαίνει, τότε οὐχ ὑπὸ φαντασίας πάσχομεν. καλῶς οὖν εἶπεν ὅτι οὔτε ποιοῦμεν οὔτε πάσχομεν πάντα κατὰ φαντασίαν. καὶ ὅρα ὅτι πρὶν πληρῶσαι τὴν κοινωνίαν τί ἐστι τὸ τέλος τῆς φαντασίας διεξέρχεται. καὶ εἶναι καὶ ἀληθῆ καὶ ψευδῆ. ἐπὶ τὴν κοινωνίαν πάλιν ὑπέστρεψε. φησὶν οὖν ὅτι κοινωνοῦσιν αἴσθησις καὶ φαντασία κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι. τοῦτο δὲ τὸ κοινωνεῖν συμβαίνει αὐταῖς διὰ τὸ ἔχειν τὰ αὐτὰ αἰσθητὰ καὶ ὁμοίως αὐτῶν ἀντιλαμβάνεσθαι.

p. 428ᵇ18 Ἡ αἴσθησις τῶν μὲν ἰδίων ἀληθής ἐστιν ἢ ὅτι ὀλίγιστον ἔχουσα τὸ ψεῦδος.

Νῦν ἀσφαλέστερον εἶπε τοῦ ἄνω εἰρημένου. ἄνω μὲν γὰρ εἶπεν ὅτι ἡ αἴσθησις οὐδὲ ὅλως ψεύδεται περὶ τὰ ἴδια αἰσθητά, ἐνταῦθα δὲ λέγει ὅτι ποτὲ καὶ ψεύδεται. διὰ τί δὲ ὀλίγον λέγει ἔχειν ψεῦδος τὴν αἴσθησιν περὶ τὰ ἴδια αἰσθητά; διὰ τὴν σμικρότητα αὐτῶν· ῥανίδα γὰρ μέλανος συμμιγῆ οὖσαν πολλῷ λευκῷ οὐ δύναται διακρῖναι.

p. 428ᵇ19 Δεύτερον δὲ τοῦ συμβεβηκέναι ταῦτα, κἀνταῦθα ἤδη ἐνδέχεται διαψεύδεσθαι.

Δεύτερα αἰσθητά, φησίν, ἐστὶν τὰ κατὰ συμβεβηκός. καὶ ἀποροῦμεν, εἰ κατὰ συμβεβηκὸς αἰσθητὰ λέγομεν εἶναι τὰς οὐσίας, πῶς φαμεν αὐτὰς συμβεβηκέναι οὐσίας οὔσας. λέγομεν ὅτι οὐδὲν ἄτοπον· ᾧ γὰρ τρόπῳ λέγομεν συμβεβηκέναι τῷ δεσπότῃ ἀνθρώπῳ εἶναι, τούτῳ τῷ τρόπῳ λέγομεν καὶ νῦν τὴν οὐσίαν συμβεβηκέναι τοῖς χρώμασιν. ἰδοὺ γὰρ ἐκεῖ τὸν ἄνθρωπον οὐσίαν ὄντα συμβεβηκέναι λέγομεν τῷ δεσπότῃ, συμβεβηκότι ὄντι, παρὰ φύσιν κατηγορήσαντες. κἀνταῦθα δὲ εἶπεν ἀντὶ τοῦ καὶ ἐν τῇ φαντασίᾳ· καὶ ἐν αὐτῇ γάρ ἐστι κατὰ συμβεβηκὸς αἰσθητά.

p. 428ᵇ21 Ὅτι μὲν γὰρ λευκόν, οὐ διαψεύδεται· εἰ δὲ τοῦτο τὸ λευκὸν ἢ ἄλλο, ψεύδεται.

Ἐνταῦθα πάλιν περὶ τῆς αἰσθήσεως διαλέγεται. ὅτι μὲν γὰρ λευκόν ἐστιν, οἶδεν ἡ ὄψις· ἴδιον γὰρ αἰσθητὸν ὄψεως τὸ λευκόν, περὶ δὲ τὰ ἴδια

---

1 ἐνδεχομένας t οὐκ delevi 2 καθ' αὐτὴν t 9 πληρώσει D 12 τὸ (ante κοινωνεῖν) om. t 14. 15 ὀλίγιστον D Arist. vulg.: ὀλιγοστὸν t Arist. LSUVX 19 τὰ ἀίδια t 21 τοῦ ᾧ συμβέβηκε καὶ ταῦτα (cf. Ald.) t 25 τρόπῳ] πρώτω t 26 συμβεβηκέναι scripsi: συμβέβηκε Dt 31 τὸ t Arist. vulg.: om. D (sed. cf. p. 514,1. 3) et Arist. codd. ESVX 32 ἄλλο D Arist. plerique: ἄλλο τι t Arist. ELy

αἰσθητὰ ὡς ἐπίπαν ἀληθεύει· τίνος δέ ἐστι τοῦτο τὸ λευκόν, οἷον ποίας p 8ᵛ
ἀτόμου οὐσίας, ἆρα τῆς Κλέωνος ἢ τῆς Ἀλκιβιάδου, ψεύδεται· οὔτε γὰρ οἶδε τοῦτο τὸ λευκὸν εἰ Κλέωνός ἐστιν, εἰ καὶ οἶδεν ὅτι ἁπλῶς λευκόν ἐστι.

5 p. 428ᵇ22 Τρίτον δὲ τῶν κοινῶν καὶ ἑπομένων τοῖς συμβεβη- 50
κόσιν, οἷς ὑπάρχει τὰ ἴδια.

Τρίτον, φησίν, αἰσθητόν ἐστι τὰ κοινὰ αἰσθητά. εἶτα βουλόμενος σαφηνίσαι ποῖα λέγει κοινὰ αἰσθητά, φησὶ τὰ ἑπόμενα τοῖς κατὰ συμβεβηκὸς αἰσθητοῖς, ἐν οἷς καὶ τὰ ἴδια ὑπάρχει. κατὰ συμβεβηκὸς γὰρ
10 ἐλέγομεν αἰσθητὰ εἶναι τὰς ἀτόμους οὐσίας· ἐν τῇ ἀτόμῳ δέ ἐστιν οὐσίᾳ κίνησις, μέγεθος καὶ τὰ ἄλλα κοινὰ αἰσθητά, | ὥσπερ καὶ τὰ q 1ʳ
ἴδια· χρῶμα γὰρ ἐν ἀτόμῳ οὐσίᾳ.

p. 428ᵇ25 Ἡ δὲ κίνησις ἡ ὑπὸ τῆς ἐνεργείας γινομένη διοίσει
τῆς αἰσθήσεως.

15 Ἐντεῦθεν τὸ δεύτερον κοινὸν λέγει αἰσθήσεως καὶ φαντασίας. ἀναγνωστέον δὲ τὸν λόγον ἐν ὑπερβατῷ. ἡ κίνησις, φησίν, ἡ γινομένη ὑπὸ τῆς 5
κατ' ἐνέργειαν αἰσθήσεως, τουτέστιν ἡ φαντασία, ἥτις ἀπὸ τούτων τῶν εἰρημένων τριῶν αἰσθήσεων διεγείρεται, τῆς τε τῶν ἰδίων καὶ τῆς κατὰ συμβεβηκὸς καὶ τῆς τῶν κοινῶν, αὕτη οὖν, φησίν, ἡ φαντασία διοίσει τῶν
20 αἰσθήσεων πασῶν ἀφ' ὧν γέγονεν, εἴπερ ἐναργές ἐστιν ἕτερον εἶναι τὸ πάντως παρόντος τοῦ αἰσθητοῦ γινόμενον τοῦ ποτὲ καὶ ἀπόντος. ἔχει μέντοι, φησί, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἀνάλογον ταῖς αἰσθήσεσιν. ὥσπερ γὰρ ἐπὶ ἐκείνων ἡ πρώτη ῥηθεῖσα, τουτέστιν ἡ τῶν ἰδίων αἰσθητῶν, ἀληθὴς ἦν. 10
οὕτω καὶ ἡ φαντασία παρούσης μάλιστα τῆς τοιαύτης αἰσθήσεως ἀληθὴς
25 ἂν εἴη· ὥσπερ δὲ αἱ λειπόμεναι δύο αἰσθήσεις, ἥ τε τῶν κατὰ συμβεβηκὸς καὶ ἡ τῶν κοινῶν, ποτὲ μὲν ἀληθεῖς ἦσαν ποτὲ δὲ ψευδεῖς, οὕτως ἂν ἔχοιεν καὶ αἱ ἀπ' αὐτῶν φαντασίαι, εἴτε εἶεν παροῦσαι αἱ αἰσθήσεις εἴτε μή.

p. 428ᵇ27 Καὶ ἡ μὲν πρώτη παρούσης τῆς αἰσθήσεως ἀληθής. 15

Ἐκ τούτου τοῦ ῥητοῦ συνάγων ὁ Θεμίστιος εἶπεν ὅτι ἅμα τῇ αἰσθή-
30 σει ἡ φαντασία ἐνεργεῖ, ἐπειδὴ λέγει παρούσης τῆς αἰσθήσεως ἀληθεύειν τὴν φαντασίαν. εἰ οὖν μηδὲν ἄλλο ἔχει τὰ εἰρημένα, τουτέστι πλὴν φαντασίας, ἡ δὲ φαντασία ἐστὶν ἡ ἔχουσα τὰ λεχθέντα, 20
ἅτινα καὶ τὴν οὐσίαν αὐτῆς συμπληροῦσι, λέγω δὴ τὸν ὁρισμόν, δῆλον

---

8 κοινὰ αἰσθητά om. t 13 δὲ t Arist. vulg.: δὴ Arist. TU: δ' ἡ D Arist. W
16 γενομένη t 17 ἐνεργείας t 23 ἦν] οὖν t 24 τῆς A: om. Dt
25 δὲ A: om. Dt 26 post ἂν add. οὖν t 27 φαντασία t 31 ἔχει t Arist. vulg.: ἔχοι D Arist. Ly: ἔχοι ἢ Arist. E 32 τὰ om. t 33 λέγω δὲ t

ὅτι φαντασία ἐστὶ κίνησις ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως q 1r γινομένη. καὶ σκόπει ποῦ ὡρίσατο τὴν φαντασίαν τοσαῦτα μεταξὺ εἰπών.

p. 429a2 Ἐπεὶ δ' ἡ ὄψις μάλιστα αἴσθησις.

Ἐντεῦθεν τὴν ἐτυμολογίαν τῆς φαντασίας βούλεται εἰπεῖν.

p. 429a5 Πολλὰ κατ' αὐτὰς πράττει τὰ ζῷα.

Εἰπὼν διὰ τί λέγεται φαντασία καὶ ἐτυμολογήσας τὸ ὄνομα νυνὶ βούλεται εἰπεῖν καὶ διὰ τί ἐδόθη ἡμῖν. τὰ μὲν διὰ τὸ μὴ ἔχειν νοῦν, οἷον τὰ θηρία. ἰστέον ὅτι ὅπερ ἐστὶν ἐν ἡμῖν νοῦς, τοῦτο τοῖς ἀλόγοις ἐστὶ φαντασία. ἡμεῖς γὰρ τῶν αἰσθητῶν ἀφιστάμενοι κατὰ νοῦν ἐνεργοῦμεν, τὰ δὲ ἄλογα κατὰ φαντασίαν. τὰ μὲν γὰρ αἰσθητὰ ταχέως χωρίζεται, νοῦς δὲ καὶ φαντασία ἀεί ἐστιν ἐν τοῖς ἔχουσιν. τὴν δὲ φαντασίαν διττὴν οἴεται Πλούταρχος· καὶ τὸ μὲν πέρας αὐτῆς τὸ ἐπὶ τὰ ἄνω, ἤγουν ἡ ἀρχὴ αὐτῆς, πέρας ἐστὶ τοῦ διανοητικοῦ, τὸ δὲ ἄλλο πέρας αὐτῆς κορυφή ἐστι τῶν αἰσθήσεων. ἡ μὲν οὖν φαντασία τῷ νῷ καὶ τῇ διανοίᾳ οὐδὲν συμβάλλεται, ἀλλὰ καὶ τοὐναντίον ἀπὸ τοῦ νοῦ καὶ τῆς διανοίας ἀνακαθαίρεται, καὶ τὸ ἀτελὲς αὐτῆς ὑπὸ τούτων τελειοῦται, ἀλλὰ καὶ ἄγεται ὑπὸ τούτων εἰς ἀλήθειαν, καθ' ὅσον πέφυκεν ἔχειν ἀλήθειαν. ὅθεν ἡ φαντασία καὶ πανταχοῦ παρέπεσθαι βούλεται καὶ συγκινεῖσθαι, λόγου καὶ ἀληθείας μεταλαβεῖν βουλομένη. ὁ δὲ θαυμάσιος Πλούταρχος καὶ καλὸν αὐτῆς εἶπε παράδειγμα, ὅθεν καὶ ἄξιον αὐτὸ εἰπεῖν. φησὶ γὰρ ὅτι ὥσπερ εἰσὶ δύο γραμμαὶ καθ' ἓν σημεῖον ἀλλήλων ἁπτόμεναι, οὕτω τὸ ἄνω μέρος τῆς φαντασίας τὸ συναπτόμενον τῷ διανοητικῷ ἐστιν. ὥσπερ γὰρ ἐκεῖνο τὸ σημεῖον καὶ ταὐτόν ἐστι καὶ ἕτερον, ταὐτὸν μὲν ὡς ἕν, ἕτερον δὲ διότι καὶ μετὰ τῆς ἄνω δύναται λαμβάνεσθαι εὐθείας καὶ μετὰ τῆς κάτω, οὕτω καὶ ἡ φαντασία δύναται καὶ ὡς ἓν καὶ ὡς δύο λαμβάνεσθαι, διότι τῶν μὲν αἰσθητῶν τὸ διῃρημένον εἰς ἓν συναθροίζει, τῶν δὲ θείων τὸ ἁπλοῦν καὶ ὡς ἄν τις εἴποι ἐνιαῖον εἰς τύπους τινὰς καὶ μορφὰς διαφόρους ἀναμάττεται.

p. 429a7 Τὰ δὲ διὰ τὸ ἐπικαλύπτεσθαι τὸν νοῦν.

Καλῶς εἶπεν ἐπικαλύπτεσθαι· ἀεὶ γάρ ἐστιν ἐν ἡμῖν ὁ νοῦς καὶ ἐνεργεῖ, κρύπτεται δὲ ἐνίοτε διὰ νόσον ἢ θυμὸν ἢ μέθην. ταῦτα γὰρ ἀντιφράττουσιν αὐτὸν πρὸς τὸ μὴ γινώσκεσθαι αὐτοῦ τότε τὴν ἐνέργειαν.

---

2 γινομένη Dt Arist. L: γιγνομένης Arist. vulg. 4 ἐπειδὴ ὄψις D 5 βούληται t 6 κατ' αὐτὰς t Arist. vulg.: κατὰ ταύτας Arist. ELy: κατὰ ταύτης D 7 λέγηται t νυνὶ] καὶ t 13 οἴεται] ὁρίζεται A 21 αὐτὸ] αὐτῶ D 27 τῶν δὲ A: τῶν δὲ τῶν D: τὸ δὲ τῶν t 28 τὸ om. t ἐνιαῖον] ἐνικῶν t

εἰ δὲ ταῦτα οὕτως, δῆλός ἐστιν ἀθάνατον δοξάζων τὴν λογικὴν ψυχήν. q 1r
οὐ γὰρ εἶπεν αὐτὴν πάσχειν ἐν τῇ παραφροσύνῃ. ἀλλ' ἐπικαλύπτεσθαι.
ἐν οἷς τὸ δεύτερον τμῆμα καὶ ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

p. 429a10 Περὶ δὲ τοῦ μορίου τῆς ψυχῆς ᾧ γινώσκει τε ἡ ψυχὴ
καὶ φρονεῖ, εἴτε χωριστοῦ ὄντος εἴτε καὶ μὴ χωριστοῦ κατὰ 50
μέγεθος ἀλλὰ κατὰ λόγον, σκεπτέον, τίνα ἔχει διαφοράν, καὶ
πῶς ποτε γίνεται τὸ νοεῖν.

Μετὰ τὸ διακρῖναι τὴν ἄλογον ψυχὴν ἀπὸ τῆς λογικῆς νῦν ἔρχεται καὶ ἐπὶ τὸ διακρῖναι τὴν λογικὴν αὐτὴν ἀφ' ἑαυτῆς. ἐπὶ τῆς λογικῆς τοίνυν τρία τινὰ ζητεῖ, πρῶτον μὲν εἰ φθαρτή ἐστιν ἢ ἄφθαρτος, δεύτερον δὲ διάκρισιν ποιεῖται τῆς λογικῆς ἀπὸ τῆς αἰσθήσεως. καὶ μὴ ἀπόρει πῶς ἄνω διακρίνας αἴσθησιν | ἀπὸ λογικῆς ψυχῆς πάλιν τὸ αὐτὸ ποιεῖ q 1v
νῦν· ἐπειδὴ γὰρ συμβάλλεται αὐτῷ ἡ διάκρισις αὕτη πρὸς τὸ δεῖξαι ὅτι ἀίδιός ἐστιν ἡ λογικὴ ψυχή, διὰ τοῦτο λέγει αὐτήν. εἶτα τρίτον κεφάλαιον ζητεῖ πῶς τὸ νοεῖν γίνεται· ἡ δὲ παροῦσα θεωρία τὰ δύο πρῶτα κεφάλαια ζητεῖ. ἄρχεται δὲ ἀπὸ τοῦ δευτέρου κεφαλαίου, τουτέστι τῆς διαφορᾶς λόγου καὶ αἰσθήσεως, διότι αὕτη συμβάλλεται καὶ ἐπιχειρήματος λόγον ἐπέχει πρὸς τὸ δεῖξαι ὅτι ἀίδιός ἐστιν ἡ λογικὴ ψυχή. θέλων δὲ κατεπείγουσαν ποιῆσαι τὴν διαφορὰν κοινωνίαν προλέγει λόγου καὶ αἰσθήσεως. καὶ μὴ ἀπόρει ὅτι πῶς ἄνω εἰπὼν τούτων κοινωνίαν καὶ νῦν τοῦτο λέγει· γνῶθι γὰρ ὅτι καὶ ἡ κοινωνία πρὸς τὸ δεῖξαι ἀθάνατον τὴν ψυχὴν συμβάλλεται. ἄρχεται οὖν ἐκ τῆς κοινωνίας λόγου καὶ αἰσθήσεως. καὶ πρώτην μὲν κοινωνίαν λέγει κατὰ τὸ ἄμφω δυνάμει εἶναι καὶ λόγον καὶ αἴσθησιν, καὶ ὅτι οὐδὲ ἡ ψυχὴ ἔχει λόγους τῶν νοητῶν (ἀγράφῳ γὰρ γραμματείῳ ἔοικε κατὰ τὸν Ἀριστοτέλην) οὔτε δὲ ἡ αἴσθησις ἔχει λόγους τῶν αἰσθητῶν, ἀλλὰ δέχονται τύπους καὶ εἴδη μόνον. ἡ γὰρ αἴσθησις οὐκ ἀντιλαμβάνεται τοῦ αἰσθητοῦ, ἀλλὰ τύπου τινὸς τοῦ αἰσθητοῦ· ἀτυχὴς γὰρ οὐσίας ἡ αἴσθησις· ἡ μέντοι λογικὴ ψυχὴ κἂν νοῇ οὐσίαν, ἀλλ' οὖν ὅμως οὐδὲ αὐτὴ ἔχει τύπους τῶν νοητῶν. καὶ αὕτη πρώτη κοινωνία. δευτέρα κοινωνία· εἰ δυνάμει ἐστὶ καὶ ἡ λογικὴ ψυχὴ καὶ ἡ αἴσθησις, ἀλλ' ἡ μὲν λογικὴ κατ' ἐπιτηδειότητα. ἡ δὲ αἴσθησις καθ' ἕξιν. πλὴν ὅμως ἄμφω δυνάμει, εἰ οὖν δυνάμει εἰσί. πάντως διὰ πάθους ἔρχονται εἰς ἐνέργειαν· κοινὸν ἄρα ἐν αὐταῖς τὸ πάσχειν. ἀλλ' ἐπειδὴ τὸ πάσχειν φθαρτὴν ἐδείκνυε τὴν λογικὴν ψυχήν. διὰ τοῦτό φησιν ὅτι πάθος πάσχουσι τελειωτικόν, οὐ φθαρτικόν. οὐ γὰρ κατὰ τὴν οὐσίαν πάσχει, ἀλλὰ κατὰ

---

3 post πληροῦται add. πρᾶξις σὺν θεῷ θ̄ marg. D 9 ἐφ' ἑαυτῆς t 10 μὲν ἐφθάρτη t 14 ἀίδιά t 17 καὶ (post συμβάλλεται) om. t 19 κοινωνίαν A: κοινωνίας Dt 25 γραμματείῳ A²t: γραμματίῳ A¹D οὔτε γὰρ t 27 οὐ καταλαμβάνεται t τόπου D ἀτυχὴς scripsi: ἀτυχῆς AD: ἀτυχεῖ t 29 ἔχει τοὺς τύπους A νοητῶν] αἰσθητῶν D sed νοητῶν marg. D post πρώτη add. ἡ t 32 ἔρχονται] ἄρχονται t 35 τελειωτικόν t

τὴν ἐνέργειαν· ἡ γὰρ γνῶσις ἐνέργειά ἐστι τοῦ νοῦ, ἥτις μεταβάλλει ἀπὸ q 1v
τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. καὶ αὕτη ἐστὶν ἡ τρίτη κοινωνία, τὸ ἄμφω
τελειωτικὰ ἔχειν πάθη. ἀλλ' ἵνα καὶ ἐκ τῆς κοινωνίας μάθῃς τὸ ἀίδιον
τῆς ψυχῆς, δεῖ εἰδέναι ὅτι ἡ ψυχὴ κυρίως μᾶλλον πάσχει τελειωτικὸν 20
5 πάθος ἤπερ ἡ αἴσθησις. ἡ γὰρ αἴσθησις ἐκ τῶν ὑπερβολῶν φθείρεται,
ἡ δὲ ψυχὴ μᾶλλον γυμνάζεται ἐκ τῶν ὑπερβολῶν. ᾧ δῆλον ὅτι ἀίδιός
ἐστιν· οὐ γὰρ φθείρεταί ποτε. αὗται μὲν αἱ κοινωνίαι· διαφέρει δὲ ἡ
αἴσθησις τῆς λογικῆς ψυχῆς, ὅτι ἡ μὲν αἴσθησις περὶ τὸ μᾶλλον αἰσθητὸν
ἐνεργοῦσα ἀμβλυώττει περὶ τὰ ἥττω, ἡ μέντοι λογικὴ ψυχὴ περὶ τὰ
10 μᾶλλον ἐνεργοῦσα πλέον ἐνεργεῖ περὶ τὰ ἥττω. οἷον ἐὰν ἴδῃ ἡ ὄψις ἄμε- 25
τρον λευκὸν ἢ λαβυρινθῶδες σχῆμα, πάσχει ἐκ τούτων καὶ τοῦ ἥττονος
λευκοῦ οὐκ ἀντιλαμβάνεται· ὁ μέντοι νοῦς κἂν περὶ μεγάλα ἐνεργήσῃ,
γυμνάζεται ἐν αὐτοῖς καὶ μᾶλλον ἐνεργεῖ περὶ τὰ ἥττω. καὶ τίς ἡ αἰτία
τούτου; ἐπειδὴ ἡ μὲν αἴσθησις δεῖται τοῦ σώματος καὶ ἄνευ αὐτοῦ οὐκ
15 ἐνεργεῖ, καὶ ἐπειδὴ τοῦτο συγκρίνεται ἢ διακρίνεται ἐκ τῶν ὑπερβολῶν
καὶ πάσχει, διὰ τοῦτο περὶ τὰ ἥττω οὐ δύναται ἐνεργῆσαι· ὁ μέντοι
νοῦς οὐ δεῖται σώματος, ἵνα πάσχοντος ἐκείνου πάθῃ, ἀλλὰ γυμνάζεται
περὶ τὰ κρείττω καὶ εὐχερῶς τὰ ἥττω καταλαμβάνει. καὶ τοῦτο δὲ ἀιδιό- 30
τητα βοᾷ τῆς ψυχῆς· ὥστε καὶ ἐκ τῆς διαφορᾶς αἰσθήσεως καὶ τοῦ νοῦ
20 ἐδείχθη τὸ ἀίδιον. δείξομεν δὲ καὶ ἰδικῷ ἐπιχειρήματι ὅτι ἀίδιός ἐστιν ἡ
ψυχή, ὅπερ ἦν τὸ πρῶτον κεφάλαιον. εἰ πάντα νοεῖ ἡ ψυχή, ἀίδιός ἐστιν.
οὔτε γὰρ σῶμα οὖσα δύναται πάντα νοεῖν οὔτε ἔνυλον εἶδος. εἰ γὰρ
σῶμά ἐστι, πάντως κρᾶσίς τίς ἐστιν ἢ θερμὴ ἢ ψυχρά, ἡ δὲ κρᾶσις τὰς
ὁμοίας κράσεις οὐ νοεῖ· τὰς ὁμοίας ἄρα κράσεις οὐ νοήσει, καὶ οὐκέτι
25 ἔσται πάντα νοοῦσα. καὶ ἡ ἀφὴ γὰρ ἐλέγετο ὅτι οὐκ ἀντιλαμβάνεται τοῦ 35
ὁμοίως ψυχροῦ ἢ θερμοῦ. ἀλλὰ τί ⟨οὐ⟩ λέγεις αὐτὴν ἔνυλον εἶδος καὶ
κεχρημένην αὐτὴν ὀργάνῳ τῷ σώματι; ἀλλ' εἰ ὡς ὀργάνῳ κέχρηται αὐτῷ.
τὸ ὄργανον οὐ νοήσει, καὶ πάλιν ἔσται μὴ πάντα νοοῦσα. εἰ δὲ καὶ νοεῖ
αὐτό, ἑτέρου δεήσει ὀργάνου, καὶ τοῦτο ἐπ' ἄπειρον. ἄλλως τε δὲ τὸ
30 ὄργανον συμβάλλεται ἐκείνῳ οὗ ἐστιν ὄργανον· τὸ δὲ σῶμα ἐμποδίζει τῇ
ψυχῇ εἰς τὸ ἐνεργεῖν· οὐκ ἄρα ἐστὶν ὄργανον αὐτῆς. ἐπεὶ οὖν καὶ τοῦτο
εἴρηται, ἐν τούτοις ἡ θεωρία σὺν θεῷ πληροῦται.

Περὶ δὲ τοῦ μορίου τῆς ψυχῆς ᾧ γινώσκει τε ἡ ψυχή. 40
οὐκ ἔστιν ἐκ τούτου συνάξαι τὸ τοῦ Πλουτάρχου ὅτι πᾶσαι αἱ ψυχαὶ μία
35 οὐσία ἐστὶ πολυδύναμος. καὶ ὅτι τοῦτο ἀληθές, δηλοῖ τὸ εἰπεῖν αὐτὸν ἓν
μόριον τῆς ψυχῆς τὴν λογικήν. μόριον γὰρ νῦν λέγει τούτῳ τῷ τρόπῳ·

---

4 κυρίως μᾶλλον t: μᾶλλον om. AD, fort. recte 6 ᾧ A: ὅ D: ὁ t 7 ἡ om. t
8 τὸ μᾶλλον αἰσθητὸν A: τὸ μᾶλλον D: τὰ μᾶλλον αἰσθητὰ t 9 μέντοι D: δὲ At
10 ἐνεργεῖ] ἐνεργεῖν t 15 συνεκκρίνεται t 20 ὅτι post δείξομεν δὲ coll. Dt: post ἐπιχειρήματι ipse transposui ἰδικῷ scripsi: ἰδικῶς Dt 22 δυνατὰ t 23 ἡ δὲ A^2t: εἰ δὲ A^1D 23. 24 τὰς ὁμοίας — νοεῖ om. D 25 οὐ καταλαμβάνεται t 26 οὐ addidi 27 ὡς om. t 30 ἐκείνῳ At: ἐκεῖνο D
33 γινώσκειται ἡ t

ἐπειδὴ γὰρ πολλά ἐστι τὰ συμβαλλόμενα εἰς σύστασιν τοῦ σώματος, φησὶν q 1v
ὅτι καὶ τοῦτο ἕν ἐστι τῶν συμβαλλομένων τῷ σώματι τὸ μόριον τῆς
ψυχῆς, τουτέστιν ἡ λογικὴ ψυχή. ποῦ γὰρ ἠδύνατο εἰπεῖν μίαν οὐσίαν
πολυδύναμον, ὅπου γε ὑπέθετο ψυχὴν ἄφθαρτον καὶ φθαρτήν; τῆς δὲ 15
5 αὐτῆς οὐσίας οὐ δύναται τὸ μὲν εἶναι φθαρτὸν τὸ δὲ ἄφθαρτον. οὕτως
μὲν πρὸς τοῦτον ἔστιν εἰπεῖν. // καὶ πρὸς Ἀλέξανδρον δὲ ὅτι ὅρα πῶς τὸν
νοῦν μόριον εἶπε τῆς ψυχῆς· ὅταν οὖν εἴπῃ τὸν νοῦν ἀίδιον, μὴ λέγε ὅτι
τὸν θύραθεν νοῦν λέγει· τὸν γὰρ ἐν ἡμῖν λέγει. // ἰστέον γὰρ ὅτι ὁ νοῦς
τρία τινὰ σημαίνει παρὰ Ἀριστοτέλει. ταῦτα δὲ τὰ τρία ἄλλως μὲν λέγει
10 Ἀλέξανδρος ὁ Ἀφροδισιεύς. ἄλλως δὲ ὁ Πλούταρχος· ἀλλ' ὁ μὲν Ἀλέξανδρος 30
πρῶτον σημαινόμενον λέγει τοῦ νοῦ τὸν δυνάμει νοῦν, ὥσπερ ἐστὶν ὁ
ἐπὶ τῶν παίδων· ἐν γὰρ τοῖς παισὶν ὁ δυνάμει νοῦς ἐστι. δεύτερον
σημαινόμενον τοῦ δυνάμει ὁ καθ' ἕξιν νοῦς, ὥσπερ ὁ ἐπὶ τῶν τελείων
ἀνθρώπων· οἱ γὰρ τέλειοι ἄνθρωποι εἴδησιν λοιπὸν ἔχοντες τῶν πραγμά-
15 των τὸν καθ' ἕξιν νοῦν ἔχειν λέγονται. τρίτον σημαινόμενόν ἐστι τοῦ
νοῦ ὁ ἐνεργείᾳ νοῦς, ὅ ἐστιν ὁ θύραθεν, ὁ παντέλειος, ὁ μὴ ὢν καθ'
ἕξιν ἢ κατὰ τὸ δυνάμει, ἵνα καὶ ἁπλοῦς ᾖ ἀεὶ ἐνεργείᾳ ὤν, ὁ κυβερνῶν
τὸ πᾶν. ταῦτα τὰ τρία σημαινόμενα τοῦ νοῦ κατὰ τὸν Ἀλέξανδρον,
Πλούταρχος δὲ οὐ παραδέχεται ταῦτα. ἀλλὰ ἄλλως λέγει τὰ σημαινόμενα q 2r
20 τοῦ νοῦ. φησὶ γὰρ ὅτι πρῶτον σημαινόμενόν ἐστι τοῦ νοῦ ὁ καθ' ἕξιν
νοῦς, οἷός ἐστιν ἐπὶ τῶν παίδων· βούλεται γὰρ Πλούταρχος κατ' Ἀριστο-
τέλην τὰ παιδία λόγους ἔχειν τῶν πραγμάτων καὶ τὴν λογικὴν ψυχὴν
πάντα εἰδέναι, καὶ τὰς μαθήσεις μὴ εἶναι κυρίως μαθήσεις, ἀλλ' ἀναμνή-
σεις. καὶ διὰ τοῦτο τὸν νοῦν ἐπὶ τῶν παίδων καθ' ἕξιν δίδωσι καὶ ἔχοντα 5
25 τοὺς λόγους τῶν πραγμάτων, ἀλλ' ἀγνοοῦσι, φησί, τὰ πράγματα διὰ τὸ
δεῖσθαι μαθήσεως. ἥτις μάθησις ἀνάμνησίς ἐστι. δεύτερον σημαινόμενόν
ἐστι τοῦ νοῦ τὸ καθ' ἕξιν ἅμα καὶ ἐνέργειαν, ὥσπερ ἐστὶν ἐπὶ τῶν τελείων
ἀνθρώπων ὁ νοῦς. ἐν τούτοις γὰρ καὶ καθ' ἕξιν ἐστὶ καὶ κατ' ἐνέργειαν·
ἔμαθε γὰρ ἤδη καὶ ἔγνω τὰ πράγματα, καὶ οἱονεὶ ἀνεμνήσθη αὐτὰ διὰ τῆς
30 μαθήσεως. τρίτον σημαινόμενόν ἐστιν ὁ κατ' ἐνέργειαν μόνως νοῦς, οἷός
ἐστιν ὁ θύραθεν νοῦς ὁ τέλειος. ταῦτα τὰ τρία τοῦ νοῦ σημαινόμενα κατὰ 10
τὸν Πλούταρχον. // Ἀμμώνιος δὲ ἀμφοτέρους ἐκάκισεν, Ἀλέξανδρόν τε καὶ
Πλούταρχον, λέγων ὅτι ἀμφότεροι ἥμαρτον καὶ ἰδίαν καὶ κοινὴν ἁμαρτίαν.
κοινὴν μὲν οὖν, ὅτι ἀμφότεροι τρίτον σημαινόμενον εἶπον τοῦ νοῦ τὸν
35 θύραθεν κατ' ἐνέργειαν νοῦν, ὅς ἐστιν ὡς λόγῳ εἰπεῖν ὁ θεός· οὔτε γάρ
ἐστι νῦν Ἀριστοτέλει περὶ τοῦ θύραθεν νοῦ λόγος. ὅπου οὐ θεολογικὴν

---

5 δύνατο t 9 Ἀριστοτέλει A: Ἀριστοτέλους Dt ἄλλως μὲν] ἄλλα μὲν t
10 ὁ (ante Ἀφροδισιεύς) om. t ὁ πλούταρχος AD: ὁ om. t 11 ὥσπερ D:
ὅσπερ t: ὅστις A ἐστὶν om. A 11. 12 ὁ ἐπὶ S, cf. v. 13: ὁ om. ADt
12 ἐπὶ τῶν παίδων ὁρᾶται A ὁ] οὐ t 13 ὥσπερ] ὅσπερ t 15 λέγονται D:
λέγοντας t 16 ὅ Dt: ὅς A 18 ταῦτα—Ἀλέξανδρον Dt: ὁ μὲν οὖν Ἀλέξανδρος
οὕτω A: deficit A 30 παθήσεως t 33 καὶ κοινὴν ἁμαρτίαν t: om. D
34. 35 τὸν θύραθεν t: τὴν D 36 Ἀριστοτέλης t

ἐνεστήσατο πραγματείαν, καὶ ἄλλως νῦν περὶ νοῦ ἐστιν ὁ λόγος, ὃς νοῦς q 2r
μέρος ἐστὶ τῆς ψυχῆς. ἀρχόμενος γοῦν φησι 'περὶ τοῦ μορίου τῆς ψυχῆς
ᾧ νοεῖ καὶ γινώσκει· εἰ οὖν περὶ νοῦ λέγει νῦν τοῦ ὄντος μορίου τῆς 15
ψυχῆς, πῶς οὗτος τὸν θύραθεν σημαίνει νοῦν; ὁ γὰρ θύραθεν οὐκ ἔστι
5 μέρος τῆς ψυχῆς. καὶ ὅτι τὸν νοῦν τοῦτον τὸν ἐνεργείᾳ ἐκ τοῦ δυνάμει
ἐν ἡμῖν λέγει νοῦ γίνεσθαι παρακατιών, ὁ δὲ θύραθεν νοῦς οὐκ ἔστιν ἐκ
τοῦ ἐν ἡμῖν δυνάμει νοῦ. / εἰ δὲ καὶ εἴποιεν ὅτι, ἡνίκα λέγῃ πάντα νοεῖν
τὸν νοῦν, περὶ τοῦ θύραθεν νοῦ διαλέγεται, καὶ εἰς τοῦτο ψεύδονται· ὁ γὰρ
ἐν ἡμῖν δυνάμει νοῦς πάντων ἔχει τὴν νόησιν, ὥσπερ καὶ ἡ σκιαγραφία
10 ἐν εἰκόνι πάντων ἔχει τοὺς τύπους, εἰ καὶ μὴ φανερούς. ὧν μέλλει δέξα- 20
σθαι. καὶ ὁ νοῦς οὖν πάντων ἔχει τὰς νοήσεις, εἰ καὶ μὴ φανεράς· ὅταν
δὲ νοήσῃ, τότε ἤδη φανεραὶ γίνονται. ὅτι δὲ καὶ ὃ εἶπεν μόριον τῆς
ψυχῆς, τοῦτο λέγει ἀίδιον παρακατιών, δηλοῖ τὸ εἰπεῖν αὐτὸν 'τοῦτο δὲ τὸ
μόριον τῆς ψυχῆς μόνον ἀίδιον', μόνον τὸ τῆς λογικῆς καὶ οὐ τὰ ἄλλα.
15 ἀμφότεροι μὲν οὖν κοινὴν ταύτην ἥμαρτον τὴν ἁμαρτίαν. ἰδίᾳ δὲ πάλιν
ἕκαστος αὐτῶν ἁμαρτάνει οὕτως, ὁ μὲν Ἀλέξανδρος διότι οὐδὲν βούλεται
ἐπιλέγειν τῇ λέξει, ἀλλ' ἀεὶ κατακολουθῶν αὐτῇ ἐναντιολογίαις καὶ νῦν 25
περιπίπτει. ἀφορμὰς γὰρ λαβὼν ἐκ τῆς λέξεως οἴεται ὅτι αὐτὸς ὁ νοῦς
καὶ ἡ οὐσία αὐτοῦ δυνάμει ἐστίν, καὶ οὐ λέγει ὅτι κατὰ τὰς ἐνεργείας
20 αὐτοῦ ἐστι δυνάμει, οἷον ὁ ἐπὶ τῶν παίδων νοῦς καθ' ἡμᾶς δυνάμει
ἐστι, διότι οὔπω οἶδεν τὰ εἴδη τῶν πραγμάτων. ἐπιτηδείως δὲ ἔχει πρὸς
τὸ γνῶναι αὐτά, καὶ ταύτῃ δυνάμει ἐστὶ διὰ τὸ τὴν ἐνέργειαν αὐτοῦ μήπω
γνῶναι τὰ ὄντα. ὁ δὲ Ἀλέξανδρος αὐτὴν τὴν οὐσίαν τοῦ νοῦ ἐπὶ τῶν
παίδων λέγει εἶναι δυνάμει, καὶ κατασκευάζει αὐτὸ φάσκων ὅτι ὁ νοῦς 30
25 δυνάμει ἐστί, εἰ δὲ δυνάμει ἐστὶ κατὰ τὴν ἐπιτηδειότητα, δῆλον ὅτι οὐκ
ἔχει εἶδος, ἀλλ' ὕλη ἐστὶ μόνον· πᾶν γὰρ τὸ πρῶτον δυνάμει ἐν ὕλῃ
ἐστίν. ὁ νοῦς ἄρα ὕλη ἐστὶ καὶ εἶδος οὐκ ἔχει, ἵνα μὴ θολούμενος ὑπὸ τοῦ εἴδους
ῥέψῃ εἰς τὴν τοῦ οἰκείου εἴδους γνῶσιν καὶ τὰ ἐναντία αὐτῷ εἴδη μὴ γνῷ.
ὥσπερ γὰρ τὸ διαφανὲς ἀχρωμάτιστόν ἐστιν, ἵνα ἀδεκάστως διακονῇ τὰ χρώ-
30 ματα, οὕτω καὶ ὁ νοῦς, φησίν. ἀνείδεός ἐστιν. ἵνα γνῷ πάντα τὰ εἴδη. ταῦτα
μὲν Ἀλέξανδρος, πάνυ δὲ ἁμαρτάνει. / εἰ γὰρ διὰ τοῦτο ἀνείδεός ἐστιν, 35
ἵνα γνῷ πάντα τὰ ὄντα, καὶ ἔδει τὸν λόγον ἐπιτεῖναι, οὔτε μηδαμῇ μηδα-
μῶς ὤφειλεν εἶναι· οἶδε γὰρ καὶ τὸ μηδαμῶς ὄν. καὶ οὐ μόνον ἐντεῦ-
θεν ἀναιροῦμεν Ἀλέξανδρον, ἀλλὰ καὶ ἐξ αὐτοῦ Ἀριστοτέλους· αὐτὸς γὰρ
35 Ἀριστοτέλης εἶδος εἰδῶν λέγει τὴν ψυχήν. καὶ αὕτη ἐστὶν ἡ ἰδία ἁμαρτία
Ἀλεξάνδρου, διότι ἀνείδεον λέγει τὸν νοῦν· φησὶ γὰρ ὅτι δυνάμει ἐστὶν ἡ
οὐσία αὐτοῦ ἐν τοῖς παισί, τὸ δὲ δυνάμει ἀνείδεόν ἐστι. καὶ ὁ Πλούταρ-
χος δὲ ἁμαρτάνει ἰδίαν ἁμαρτίαν, διότι τὰ Πλάτωνος Ἀριστοτέλει προσάπ- 40

---

1 ἐνστήσατο D 7 λέγει t 14 μόνον (post ἀίδιον) om. t 16 αὐτῶν] ἑαυτῷ t 22 διὰ τὸ t: om. D 23 Ἀλέξανδρος] cf. Alex. de an. libri mant. p. 106,19 sqq. Bruns 24 φάσκον t 28 κατὰ τὰ ἐναντία D 32 post καὶ add. ᾗ t ἔδει scripsi: εἰ δεῖ Dt 33 ὤφελεν D 34 ἀλέξανδρος t 38 Ἀριστοτέλει scripsi: ἀριστοτέλη Dt

τει. Πλάτων γάρ ἐστιν ὁ οἰόμενος τὸν τῶν παίδων νοῦν καθ' ἕξιν εἶναι q 2r
καὶ λόγους ἔχειν τῶν πραγμάτων, οὐ μὴν Ἀριστοτέλης· ὁ δὲ Πλούταρχος
καὶ αὐτὸν οἴεται Ἀριστοτέλην ταῦτα λέγειν. καὶ πῶς οὐ ψεύδεται, ὅπου
γε Ἀριστοτέλης ἐλέγχει αὐτόν; τὸν γὰρ τῶν παίδων νοῦν ἀγράφῳ γραμ-
5 ματείῳ ἐοικέναι φησίν, διότι ἐπιτήδειός ἐστι πρὸς τὸ δέξασθαι τοὺς λόγους
τῶν πραγμάτων, οὐ μὴν ἤδη καὶ ἐδέξατο. διὸ καὶ κοινῶς καὶ ἰδίᾳ ἁμαρ-
τάνουσιν Ἀλέξανδρός τε καὶ Πλούταρχος. φέρε οὖν ἡμεῖς τὴν ἀλήθειαν 45
εἴπωμεν. ἰστέον τοίνυν ὅτι δοξάζομεν ἡμεῖς ἀεὶ τὸν νοῦν εἶδος εἶναι.
ἔστι γὰρ νοῦς παίδων εἶδος, δυνάμει δεκτικὸς εἰδῶν, καὶ καθὸ μὲν εἰδός
10 ἐστιν, οὐκ ἔστι δυνάμει, ὡς Ἀλεξάνδρῳ δοκεῖ, καθὸ δὲ δυνάμει ἐστὶ
δεκτικὸς τῶν εἰδῶν, οὐκ ἔχει τοὺς λόγους τῶν πραγμάτων, ὡς Πλουτάρχῳ
δοκεῖ. εἴπωμεν οὖν λοιπὸν τὰ σημαινόμενα τοῦ νοῦ. πρῶτον τοίνυν ἐστὶ
σημαινόμενον ὁ νοῦς ὁ δυνάμει εἰδὼς τὰ πράγματα, ὥσπερ ἐπὶ τῶν παί-
δων ἐστίν. δεύτερον σημαινόμενόν ἐστιν ὁ νοῦς ὁ καθ' ἕξιν εἰδὼς τὰ
15 πράγματα, ὥσπερ ἐπὶ τῶν τελείων τῶν ἐπισταμένων μὲν τὰ πράγματα. 50
ἠρεμούντων δὲ καὶ μὴ ἐνεργούντων κατὰ ταῦτα. τρίτον σημαινόμενόν
ἐστιν ὁ νοῦς οὐχ ὁ θύραθεν εἰσιών, ὡς ἐκεῖνοι οἴονται, ἀλλὰ καθ' ἕξιν
ἅμα καὶ ἐνέργειαν. ὥσπερ ὁ τῶν τελείων νοῦς τῶν εἰδότων τὰ πράγματα
καὶ προχειριζομένων τὴν εἴδησιν καὶ ἐνεργούντων κατ' αὐτήν. οὕτως οὖν
20 ἡμεῖς λέγομεν τὰ σημαινόμενα τοῦ νοῦ.

Περὶ δὲ τοῦ μορίου τῆς ψυχῆς ᾧ γινώσκει τε ἡ ψυχὴ καὶ
φρονεῖ. μόριον ἐκάλεσε τὸν νοῦν τῆς ψυχῆς οὐχ ὡς ἐλάχιστον ὄντα
τῆς ψυχῆς, | ἀλλ' ὡς εἴ τις τὸν ἅπαντα κόσμον ἀριθμήσει, τάξει δὲ καὶ q 2v
τὸν ἥλιον μετὰ πάντων, εἶτα τελευταῖον εἴποι μόριον εἶναι τοῦ παντὸς
25 τὸν ἥλιον. καλῶς δὲ εἶπεν ᾧ γινώσκει τε ἡ ψυχὴ καὶ φρονεῖ. ἡ γὰρ
ψυχὴ καὶ θεωρητικὸν μέρος ἔχει καὶ πρακτικόν. καὶ διὰ μὲν τοῦ εἰπεῖν
ᾧ φρονεῖ τὸ πρακτικὸν αὐτῆς μέρος ἐδήλωσε, διὰ δὲ τοῦ εἰπεῖν ᾧ γινώ-
σκει τὸ θεωρητικόν. τί δὲ βούλεται εἰπεῖν ὅτι περὶ τούτου τοῦ μορίου
τῆς ψυχῆς ἐν ᾧ γινώσκει καὶ φρονεῖ δεῖ ζητῆσαι, εἴτε ἀίδιον εἴτε οὔ, εἴτε 5
30 χωριστοῦ ὄντος, εἴτε καὶ μὴ χωριστοῦ κατὰ μέγεθος ἀλλὰ
κατὰ λόγον; τινὲς οὕτως ἐξηγήσαντο τὸ παρὸν ῥητόν, ὅτι εἴτε χωριστός
ἐστι σώματος ὁ νοῦς εἴτε μὴ χωριστός ἐστι σώματος, ἀλλὰ μόνῃ μὲν τῇ
ἐπινοίᾳ χωριστός ἐστιν, οὐκέτι δὲ καὶ τῇ ἐνεργείᾳ. τοῦτο δέ ἐστι τὸ
πρῶτον πρόβλημα. εἰ χωριστὸς ὁ νοῦς καὶ ἀίδιος. τῷ δὲ Πλουτάρχῳ
35 οὐδαμῶς ἡ παροῦσα ἐξήγησις ἀρέσκει, ἀλλὰ καὶ πάνυ αὐτῆς καταγινώσκει.
αὐτὸς δέ φησιν ἐξηγούμενος ὅτι ὁ Ἀριστοτέλης βουλόμενος εἰπεῖν 'εἴτε ὁ 10

---

2 ἔχει t 3 αὐτὸν scripsi: αὐτὸς Dt 5 ἐστι om. t 9 post παίδων εἶδος fort. addendum καὶ 10 ante οὐκ add. καὶ t 12 εἴπωμεν scripsi: εἴπομεν Dt 13 ὁ (ante δυνάμει) om. t εἰδὼς] εἷς t 15 μὲν om. t 17 εἰσιών] εἰ τῶν t 19 προχειριζομένην D 21 δὲ om. t γινώσκει ἡ D: γινώσκεται ἡ t 24 εἴπει D 27 ᾧ (ante φρονεῖ)] ᾗ t 29 ἐν om. t 36 ὁ (ante Ἀριστοτέλης) om. t

νοῦς χωριστός ἐστι φαντασίας καὶ αἰσθήσεως, ὡς ἄλλην αὐτὸν ἔχειν οὐσίαν q 2v
παρὰ ταῦτα, εἴτε μία ἐστὶν οὐσία, ἥτις τοῦ νοῦ προβάλλεται καὶ φαντασίαν
καὶ αἴσθησιν, τῷ δὲ λόγῳ μόνῳ ἐστὶ πολλά', ταῦτα εἶπεν. ὅτι γὰρ πρὸς
ταῦτα ἀπεῖδεν, δῆλον ἐκ τοῦ καὶ ἀρτίως αὐτὸν παύσασθαι περὶ τούτων
5 διαλεγόμενον. οὐ γὰρ εἴτε χωριστός ἐστι σώματος εἴτε μὴ ζητεῖ· ὁ γὰρ
δεδωκὼς φαντασίαν κεχωρίσθαι σώματος πῶς περὶ νοῦ διστάζειν εἶχε τοῦ
πάσας ἐπαναβεβηκότος τὰς δυνάμεις, εἴτε χωρὶς σώματός ἐστιν εἴτε οὐκ 15
ἔστι; μέγεθος δὲ λαβὲ τὴν οὐσίαν. ὥστε καὶ τὸ πρῶτον πρόβλημα τοῦτό
ἐστιν, εἴτε κεχώρισται ὁ νοῦς τῇ οὐσίᾳ φαντασίας καὶ αἰσθήσεως, εἴτε
10 μία οὐσία ἐστὶ πάντων καὶ τῷ λόγῳ μόνον διαφέρουσι. καὶ ταῦτα μὲν
περὶ τούτου. / ἐπειδὴ δὲ μέμνηται ὁ Ἀριστοτέλης τοῦ ἀμιγοῦς καὶ ἀπα-
θοῦς καὶ χωριστοῦ πρὸς τὸ δεῖξαι ὅτι ἀίδιος ἡ ψυχή, ὁ Ἀλέξανδρος
παραφθείρει τὰ τρία ταῦτα. πρῶτον μὲν τὸ ἀμιγές· φησὶ γὰρ ὅτι ἀμιγῆ
λέγει τὴν ψυχήν, ἐπειδὴ νόμος ἐστὶ τῶν μισγομένων τὸ πρῶτον καθ'
15 αὐτὸ εἶναι καὶ οὕτω συμμίσγεσθαι. ἰδοὺ γὰρ ἐν τῷ οἰνομέλιτι πρῶτον 20
ἦν καθ' ἑαυτὸ τὸ μέλι καὶ ὁ οἶνος, καὶ εἶθ' οὕτω συνεπλάκη. ἐπεὶ οὖν
οὐ πρώτη οὖσα καθ' ἑαυτὴν ἡ ψυχὴ τῷ σώματι συνεμίγη, ἀλλ' ἅμα τῇ
γενέσει συνεμίγη τῷ σώματι, διὰ τοῦτο ἀμιγῆ λέγει τὴν ψυχήν. ἀπαθῆ
δὲ αὐτὴν λέγει, φησίν, ὅτι οὐκ αὐτὴ ἡ ἐπιτηδειότης τῆς ψυχῆς ἔπαθεν,
20 ἀλλὰ τὸ σῶμα κατὰ τὴν ἐπιτηδειότητα. ἐπεὶ οὖν πάθος λέγομεν τὸ
παθεῖν τὴν ἐπιτηδειότητα, νυνὶ δὲ οὐκ ἔπαθεν, διὰ τοῦτο ἀπαθῆ αὐτὴν
λέγει. χωριστὴν δὲ αὐτὴν λέγει, φησί, κατὰ τὴν ἑτερότητα, καθὸ ὅλως 25
διαφέρει σώματος καλῶν αὐτὴν χωριστήν. οὗτος δὲ κακῶς λέγει. // ᾧ γὰρ
λόγῳ ἔδειξε τὴν λογικὴν ψυχὴν ἀμιγῆ, ἀπαθῆ, χωριστήν, τούτῳ τῷ λόγῳ
25 καὶ ἐπὶ αἰσθήσεως δυνατὸν δεῖξαι. νυνὶ δὲ διακρίνων λόγον ἀπὸ αἰσθή-
σεως εἶπε ταῦτα ὑπάρχειν τῇ λογικῇ ψυχῇ· οὐκ ἄρα οὖν καὶ αἰσθήσει ὑπάρ-
ξει. σὺ οὖν δέξαι ταῦτα ὡς βοῶντα τὴν ἀιδιότητα τῆς ψυχῆς, καὶ μὴ ὡς
Ἀλέξανδρος· εἰ γὰρ ἀίδιος, πάντως καὶ ἀμιγής ἐστι τῆς ὕλης καὶ χωριστὴ
αὐτῆς καὶ ἀπαθής. καὶ ταῦτα μὲν ἐν μέσῳ. ἡ δὲ παροῦσα λέξις, ὡς 30
30 εἴπομεν, τὸ πρῶτον λέγει κεφάλαιον τέως ἐν ἀπαριθμήσει, εἴτε ἄφθαρτός
ἐστιν ἡ ψυχὴ εἴτε οὔ. σκεπτέον τίνα ἔχει διαφορὰν καὶ πῶς ποτε
γίνεται τὸ νοεῖν. ἐκ μὲν τοῦ εἰπεῖν σκεπτέον τίνα ἔχει διαφορὰν
τὸ δεύτερον ἀπαριθμεῖται κεφάλαιον, ἐν ᾧ βούλεται εἰπεῖν τὴν διαφορὰν
λόγου καὶ αἰσθήσεως· ἐκ δὲ τοῦ εἰπεῖν πῶς γίνεται τὸ νοεῖν τὸ τρίτον
35 λέγει κεφάλαιον.

p. 429a13 Εἰ δή ἐστι τὸ νοεῖν ὥσπερ τὸ αἰσθάνεσθαι. 35

Ἐντεῦθεν ἄρχεται ἐκ τῶν κοινωνιῶν λόγου καὶ αἰσθήσεως, καὶ δοκεῖ

---

4 τούτων scripsi: τοῦτον Dt 6 πῶς om. D διαστάζειν D 9 ἐχώρισται t
10 μόνῳ t 13 ἀμιγῆ scripsi: ἀμιγὴ D: ἀμιγεῖ t 14 νόμως t ἐστὶ D: ἐπὶ t
σμιγομένων D 15 συμμίγεσθαι D 19 οὐκ αὐτὴ scripsi: οὐχ αὕτη Dt 25 λόγον]
λόγων D 28 χωριστὸς t 29 καὶ (post αὐτῆς) om. t 36 ὥσπερ τὸ D Arist.
vulg.: τὸ om. t Arist. SV

μὲν ἐκ τῆς δευτέρας ἄρχεσθαι κοινωνίας, ὅτι ἄμφω πάσχουσιν, εἰ καὶ q 2ᵛ
ἀτάκτως· ἔδει γὰρ τὴν τοῦ δυνάμει προηγεῖσθαι· ἐκ ταύτης γὰρ γίνεται ἡ
δευτέρα κοινωνία. εἰ γὰρ ἄμφω δυνάμει, τὸ δὲ δυνάμει, ἵνα γένηται ἐνερ-
γείᾳ, ἐδέησε πάθους, διὰ τοῦτο ἔχουσι κοινὸν καὶ τὸ πάσχειν. πλὴν ἔστιν
5 εἰπεῖν ὅτι ἀπὸ τῆς πρώτης κοινωνίας ἤρξατο. εἰπὼν γὰρ ὅτι τὸ νοεῖν 10
ἐστιν ὡς τὸ αἰσθάνεσθαι, τὸ δὲ αἰσθάνεσθαι δυνάμει, καὶ τὸ νοεῖν ἄρα
δυνάμει· παρακατιὼν δὲ καὶ σαφῶς λέγει τὴν κοινωνίαν ταύτην. ἔστι δὲ
ὡς τύπῳ φράσαι τὸ ῥησίδιον τοιοῦτον· εἰ ἔστιν ὥσπερ ἡ αἴσθησις ὁ
νοῦς, ἀντὶ τοῦ εἰ ὑποθῇ τὸν νοῦν ἐοικέναι τῇ αἰσθήσει, πάντως καὶ ὁ
10 νοῦς πάσχον τι ἂν εἴη ὑπὸ τοῦ νοητοῦ, ὥσπερ καὶ ἡ αἴσθησις ὑπὸ τοῦ
αἰσθητοῦ πάσχει· εἰ δὲ μὴ πάσχει ὑπὸ τοῦ νοητοῦ, ἕτερόν τι τοιοῦτόν
ἐστιν, ἀντὶ τοῦ ἀπαθής ἐστιν. ἐπειδὴ γὰρ ἐδόκει φορτικὸν εἶναι τὸ λέγειν 15
πάσχειν τὴν λογικὴν ψυχήν, διὰ τοῦτο εἶπεν ἤ τι τοιοῦτον ἕτερον.
τουτέστι τελειωτικὸν πάθος καὶ οὐ φθαρτικόν. εἶτα ὡς ἐπικρίνων τῷ
15 λόγῳ ἐπάγει ἀπαθὲς ἄρα δεῖ εἶναι. τίνος δὲ ἕνεκεν προσκείται τὸ
ἄρα; οὐχ ὅτι φησὶ 'δεκτική ἐστι τῶν εἰδῶν ἡ λογικὴ ψυχή', διὰ τοῦτο
συνάγεται ὅτι ἀπαθής (οὐ γὰρ ἕπεται τοῦτο), ἀλλ' ἐπειδὴ εἶπεν ἤ τι
τοιοῦτον πάσχει τελειωτικὸν πάθος, διὰ τοῦτο συνῆξεν ὅτι ὅσον οὖν ἐπὶ
τούτῳ ἀπαθές ἐστι.

20 p. 429ᵃ15 Δεκτικὸν δὲ τοῦ εἴδους καὶ δυνάμει τοιοῦτον, ἀλλὰ μὴ τοῦτο.

Ἐντεῦθεν ἠπατήθη Ἀλέξανδρος καὶ ἐνόμισεν αὐτὸν δεκτικὸν εἶναι 50
τῶν εἰδῶν. λέγω δὴ τὸν νοῦν. καὶ δυνάμει εἶναι, ἀλλὰ μὴ τοῦτο. ἀντὶ
τοῦ ἀλλὰ μὴ εἶδος. κακῶς δὲ ἐξέλαβεν τὸ ἀλλὰ μὴ τοῦτο· δεῖ γὰρ
25 τὸ ἀλλὰ μὴ τοῦτο νοῆσαι 'ἀλλὰ μὴ ἐνεργείᾳ τοῦτο ὅπερ νοεῖ,' ὡς εἴπομεν
ἀνωτέρω. ἔχει μὲν γὰρ εἶδος, μᾶλλον δὲ εἶδός ἐστιν ὁ νοῦς, ἀλλὰ τὸ
εἶδος ὃ γινώσκει οὐκ ἔχει ἐνεργείᾳ. ἀλλὰ δυνάμει· δυνάμει γάρ | ἐστιν q 3ʳ
ὁ νοῦς τὰ νοητὰ καὶ ἡ αἴσθησις τὰ αἰσθητὰ καὶ οὐκ ἐνεργείᾳ.

p. 429ᵃ18 Ἀνάγκη ἄρα, ἐπειδὴ πάντα νοεῖ, ἀμιγῆ εἶναι, ὥσπερ
30 φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ, τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ.

Εἰ θέλεις, φησί, τὸν νοῦν πάντα νοεῖν, ἀμιγῆ δεῖ αὐτὸν ὑποθέσθαι
τῆς ὕλης· εἰ γὰρ εἴποις αὐτὸν ἐκ τῆς ὕλης, οὐ νοήσει αὐτήν. ἀμέλει καὶ 5
διὰ τοῦτο ἡ ἁφὴ τοῦ ὁμοίου θερμοῦ αὐτῆς οὐκ ἀντιλαμβάνεται· διὰ τοῦτο
δὲ καὶ Ἀναξαγόρας πάντα λέγων ἐκ τῶν ὁμοιομερειῶν τὸν νοῦν οὐχ

---

8 ἡ] καὶ t 10 πάσχον] πάσχειν D 11 post τοιοῦτόν add. τί D 14 τελειο-
τικὸν t 18 post τοιοῦτον fort. addendum τουτέστι 19 τούτῳ scripsi:
τοῦτο t: τοῦ D ἀπαθός D 29 ἐπειδὴ D Arist. plerique: ἐπεὶ t Arist. ELT
post ὥσπερ add. γὰρ D 34 ὁμοιομερῶν t

ὑπέθετο ἐξ αὐτῶν, ἵνα πάντων κρατῇ, τουτέστιν ἵνα πάντα γινώσκῃ· τὸ γὰρ παρὰ Ἀναξαγόρᾳ κρατεῖν παρ' Ἀριστοτέλει γινώσκειν ἐστί. καὶ δικαίως ἐξ ὧν ἐστί τι, οὐ γινώσκει αὐτό· ἕτερον γὰρ θέλει εἶναι τὸ γινῶσκον τοῦ γινωσκομένου. ὁ δὲ Ἀλέξανδρος πάλιν ἄλλως νοεῖ· φησὶ γὰρ ὅτι εἰ πάντα νοεῖ, ἀμιγής ἐστι τῶν εἰδῶν καὶ οὐκ ἔχει εἶδος. ἡμεῖς δὲ μετὰ προσδιορισμοῦ λέγομεν ὅτι ἀμιγής ἐστι τῶν εἰδῶν ὧν γινώσκει, ἐπεὶ αὐτὸς αὐτόθεν εἶδος ὑπάρχει. εἴποι δὲ πρὸς ταῦτα ὁ Ἀλέξανδρος ὅτι εἰ καθ' ὑμᾶς ὁ νοῦς ἀμιγής ἐστιν ὧν γινώσκει εἰδῶν, ἐπειδὴ καὶ ἑαυτὸν γινώσκει, λέγετε δὲ αὐτὸν εἶδος εἶναι, οὐκοῦν καὶ ἑαυτοῦ ἀμιγής ἐστιν ὁ νοῦς, ὅπερ ἐστὶν ἄτοπον. λέγομεν δὲ πρὸς τοῦτον ὅτι ὡς νοοῦν νοουμένου ἀμιγής ἐστι καὶ ἕτερος.

p. 429ᵃ20 Παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλότριον καὶ ἀντιφράξει.

Τί φησιν; ὅτι εἰ ἦν ἐκ τῆς ὕλης ὁ νοῦς, αὕτη ἡ ὕλη παρεμφαινομένη καὶ ἀντιφράττουσα αὐτὸν ἐκώλυε νοεῖν οὐ μόνον ἑαυτήν, ἀλλὰ καὶ τὰ ἀλλότρια νοητά, τουτέστι τὰ ἄλλα. οὐκ ἄρα οὖν ἐστιν ἐκ τῆς ὕλης. δύνῃ δὲ καὶ ἄλλως αὐτὸ ἐξηγήσασθαι καὶ εἰπεῖν, εἰ εἶχέν τινα εἴδη τῶν γινωσκομένων ἐνεργείᾳ ὁ νοῦς, ἀλλὰ μὴ πάντα ἦν δυνάμει, ἐπεθολοῦτο καὶ οὐκ ἐγίνωσκεν ἀκριβῶς, ὥσπερ οὐδὲ ἡ ὄψις, ἐὰν ᾖ τὸ διαφανὲς κεχρωματισμένον, πάντα ἀκριβῶς τὰ χρώματα γνώσεται. καὶ ἡμεῖς μὲν οὕτως, ὁ δὲ Ἀλέξανδρός φησιν ὅτι καὶ ἐνταῦθα βούλεται τὸν νοῦν μὴ ἔχειν εἶδος καὶ ἐξ ὧν ἐπάγει· φησὶ γὰρ μὴ εἶναι αὐτοῦ φύσιν, ἀλλὰ μόνον ὅτι δυνάμει ἐστίν. ἡμεῖς δέ φαμεν ὅτι κατὰ τοῦτο λέγει μὴ εἶναι αὐτοῦ φύσιν Ἀριστοτέλης, καθὸ οὐκ ἔστιν ἡ φύσις αὐτοῦ τοιαύτη ὡς ἐνεργείᾳ τὰ εἴδη ἔχειν τῶν νοητῶν, καθὰ Πλάτωνι δοκεῖ, ἀλλὰ δυνάμει μόνον, ἐπεὶ αὐτὸς εἰδός ἐστι καὶ ἐνεργείᾳ ἐστὶν ἡ οὐσία αὐτοῦ.

p. 429ᵃ23 Λέγω δὲ νοῦν, ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή.

Ἐπειδὴ καὶ ἡ φαντασία λέγεται παθητικὸς νοῦς, φησὶν ὅτι οὐ περὶ ταύτης ἡμῖν ὁ λόγος νῦν, ἀλλὰ περὶ τοῦ νοῦ καθ' ὃν διανοούμεθα καὶ ὑπολαμβάνομεν. νοῦν δὲ ἐνταῦθα κοινότερον εἶπε· διὰ μὲν γὰρ τοῦ διανοεῖσθαι τὴν διάνοιαν εἰσάγει, διὰ δὲ τοῦ ὑπολαμβάνειν τὴν δόξαν. φησὶν οὖν ὅτι ὁ νοῦς οὐδέν ἐστιν ἐνεργείᾳ πρὶν νοήσῃ, ἀλλὰ δυνάμει, καὶ δυνάμει οὐχ ἡ οὐσία αὐτοῦ, ἀλλ' ἡ ἐνέργεια. καὶ διὰ τοῦτο ὁ νοῦς οὐκ ἔστι

---

1 πάντα] πάντων D 5 καὶ οὐκ ἔχει in ras. D¹ 9 λέγετε scripsi: λέγεται Dt αὐτὸν D: αὐτὸς t 10 νοοῦν D: νοῦν t 13 ἀντιφράξει D Arist. UWy: ἀντιφράττει t Arist. vulg.: ἀντιφράζει Arist. SVX 19. 20 κεχρωματισμένων t 22 αὐτοῦ] αὐτὰς D 23 ἡμᾶς t 32 δὲ διὰ t 33 οὖν om. t νοήσῃ scripsi: νοήσει Dt

σῶμα· ποιὸς γὰρ ἂν ἦν, θερμὸς ἢ ψυχρός· οὔτε μὴν ὀργάνῳ κέχρηται q 3r
τῷ σώματι· δύναται γὰρ ὁμοίως τὰ μεγάλα καὶ μικρὰ νοεῖν, ὅπερ ἡ
αἴσθησις ὀργάνῳ κεχρημένη τῷ σώματι οὐ δύναται ποιῆσαι.

p. 429a27 Καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν.

Ἐπαινεῖ Πλάτωνα· ἐπειδὴ γὰρ εἶπεν ἄνω ὅτι δέχεται ἡ ψυχὴ τὰ εἴδη τῶν νοητῶν καὶ οὕτως ἐνεργεῖ, διὰ τοῦτο ἐπαινεῖ Πλάτωνα τὴν ψυχὴν εἰπόντα τόπον εἰδῶν. πλὴν μέμφεται αὐτῷ εἰς δύο τινά, πρῶτον μὲν ὅτι πᾶσαν ψυχὴν λέγει τόπον εἰδῶν καὶ οὐ μόνον τὴν λογικήν, εἰ καὶ ἔστιν ὑπὲρ Πλάτωνος εἰπεῖν ὅτι μόνην τὴν λογικὴν ψυχὴν λέγει, τὰς δὲ ἄλλας ἐμψυχίας· διὸ λέγει "πᾶσα ψυχὴ ἀθάνατος". κἂν οὖν τὴν ψυχὴν λέγει τόπον εἰδῶν, ἀλλ' οὖν τὴν λογικὴν μόνον λέγει. μέμφεται δὲ αὐτῷ καὶ εἰς ἄλλο ὅτι ἐνεργείᾳ λέγει ἐν τῇ ψυχῇ τὰ εἴδη καὶ οὐ δυνάμει. ὁ γὰρ Ἀριστοτέλης ἀγράφῳ γραμματείῳ αὐτὴν εἰκάζει καὶ κυρίως λέγει μάθησιν, ὁ μέντοι Πλάτων ἐγγράφῳ γραμματείῳ, καὶ τὴν μάθησιν ἀνάμνησιν λέγει.

p. 429b7 Τοῦτο δὲ συμβαίνει, ὅταν δύνηται ἐνεργεῖν δι' ἑαυτοῦ.

Τί φησιν; ὅτι ὁ νοῦς δυνάμει ὢν τότε γίνεται ἐνεργείᾳ, ὅταν ἐπιστημονικῶς δύνηται ἐνεργῆσαι καὶ θεωρητικῶς. συμβαίνει δὲ ἐπιστημονικῶς τὸν νοῦν ἐνεργεῖν, ὅταν δύνηται κατ' αὐτὸν ἐνεργεῖν ἡ ψυχή. τοῦτο δὲ οὐκ ἀεί· μόλις γὰρ ἐν γήρᾳ.

p. 429b8 Ἔστι μὲν οὖν καὶ τότε δυνάμει πως, οὐ μὴν ὁμοίως καὶ πρὶν μαθεῖν ἢ εὑρεῖν· καὶ αὐτὸς δὲ ἑαυτὸν τότε δύναται νοεῖν. |

Καὶ μετὰ τὸ μαθεῖν, φησί, τὰ πράγματα καὶ ἠρεμεῖν δυνάμει ἐστὶν q 3v
ὁ νοῦς, οὐ μὴν ὁμοίως ἐστὶ δυνάμει οἷος ἦν πρὸ τοῦ μαθεῖν αὐτόν τι ἢ εὑρεῖν. τὸ γὰρ πρὶν τοῦ μαθεῖν ἢ εὑρεῖν δυνάμει ἐστὶν ὁ νοῦς κατὰ τὸ πρότερον σημαινόμενον τοῦ δυνάμει, τουτέστι τὸ κατ' ἐπιτηδειότητα, τὸ δὲ μετὰ τὸ μαθεῖν δυνάμει καθ' ἕξιν ἐστίν, ὅπερ ἦν δεύτερον σημαινόμενον τοῦ δυνάμει, ὅπερ αὐτὸς εἶπε δυνάμει πως. καλῶς δὲ ἐμνήσθη μαθήσεως

---

1 ποιὸς scripsi: ποῖος Dt ἢ om. D 9 post εἰ καὶ add. ὅτι D
10 μόνον t λέγει om. D 11 πᾶσα — ἀθάνατος] Phaedr. p. 245 C
12 αὐτὸ D 15. 16 ἀνάμνησιν λέγει] Phaed. p. 72 E 18 αὐτοῦ t 23 μὲν οὖν D: μὲν οὖν ὁμοίως Arist. LW: μὲν ὁμοίως t Arist. vulg.: μὲν Arist. E¹
24 ἑαυτὸς δὲ (sic) D δὲ αὐτὸν t Arist. y 27 ἢ om. D 28 ὁ νοῦς fort. delendum; cf. v. 30

καὶ εὑρήσεως, ἐπειδὴ πᾶσα ἐπιστήμη ἢ μαθήσει ἢ εὑρήσει καταλαμβάνε- q 3ᵛ
ται. ἐν οἷς ἡ πρᾶξις.

p. 429ᵇ10 Ἐπεὶ δ' ἄλλο ἐστὶ τὸ μέγεθος καὶ τὸ μεγέθει εἶναι καὶ ὕδωρ καὶ ὕδατι εἶναι, οὕτω δὲ καὶ ἐφ' ἑτέρων πολλῶν, ἀλλ' οὐ καὶ ἐπὶ πάντων.

Τρία περὶ τοῦ νοῦ προθέμενος ζητῆσαι, ἓν μὲν εἰ ἀίδιος ἢ φθαρτός, δεύτερον δὲ κοινωνίαν καὶ διαφορὰν αὐτοῦ πρὸς αἴσθησιν, ἐξ οὗ πάλιν τὸ ἀίδιον ἠγρεύετο, καὶ τρίτον πῶς γίνεται τὸ νοεῖν, τὰ μὲν πρῶτα δύο ἱκανῶς διὰ τῶν φθασάντων ἀπέδειξεν· νυνὶ δὲ τὸ λοιπὸν αὐτῷ πρόκειται εἰς ἀπόδειξιν, καὶ πάρεστιν ἐξετάσων πῶς τὸ νοεῖν γίνεται. ἀπορεῖ τοίνυν κατ' ἀρχὰς Ἀριστοτέλης. διττῆς γὰρ οὔσης ἐν ἡμῖν τῆς γνώσεως, τῆς μὲν ἀλόγου οἷον τῶν αἰσθήσεων, τῆς δὲ λογικῆς οἷον τοῦ νοῦ, διττά ἐστι καὶ τὰ γινωσκόμενα, τὰ μὲν ἔνυλα καὶ αἰσθητά, τὰ δὲ ἄυλα. ζητεῖ οὖν διὰ τούτων Ἀριστοτέλης πότερον ἑκάστη γνῶσις τὸ οἰκεῖον γινώσκει, οἷον ἡ μὲν ἄλογος τὰ ἔνυλα ἡ δὲ λογικὴ τὰ ἄυλα μόνον, ἢ ἡ μὲν ἄλογος τὰ ἔνυλα οἶδε μόνον, ἡ δὲ λογικὴ ὡς κρείττων οὖσα οὐ μόνον τὰ ἄυλα οἶδεν, ἀλλὰ καὶ τὰ ἔνυλα. καὶ τοιαύτης οὔσης τῆς ἀπορίας ἐπικρίνει Ἀριστοτέλης λέγων ὅτι ἡ λογικὴ οὐ μόνον τὰ ἄυλα οἶδεν, ἀλλὰ καὶ τὰ ἔνυλα. ὁ γὰρ εἰδὼς τὰ κρείττονα, πολλῷ πλέον καὶ τὰ χείρονα οἶδεν· εἰ οὖν οἶδε τὰ ἄυλα, σκοπήσει πάντως καὶ τὰ χείρονα τῶν ἀύλων, ὅ ἐστι τὰ ἔνυλα. εἰ γὰρ ὁ νοῦς, ὅ ἐστιν ἡ λογικὴ γνῶσις, μόνον οἶδεν τὰ ἄυλα, μὴ γινώσκει δὲ καὶ τὰ ἔνυλα, ἔσται ὁ νοῦς κατά τι ἄνους· τὰ γὰρ ἔνυλα μὴ νοῶν ἄνους ἔσται κατὰ ταῦτα. ἀλλὰ μὴν ἄτοπον τὸν νοῦν κατά τι ἄνουν εἶναι· οὐκ ἄρα τὰ ἄυλα μόνον οἶδεν, ἀλλὰ καὶ τὰ ἔνυλα. καὶ ταῦτα μὲν Ἀριστοτέλης. ἔχομεν δὲ καὶ ἡμεῖς ἔξωθεν δεῖξαι ὅτι καὶ τὰ ἔνυλα οἶδεν ὁ νοῦς. εἰ γὰρ μὴ ἠπίστατο τὰ ἔνυλα, πῶς ἐπιδιωρθοῦτο τὴν αἴσθησιν; ἡ γὰρ αἴσθησις τὴν ἐν ὕδατι κώπην κεκλασμένην ὁρᾷ καὶ τὸν ἥλιον ποδιαῖον, ὁ δὲ νοῦς ἐπιδιορθοῦται δεικνὺς ὅτι οὐδὲ ἡ κώπη κεκλασμένη ἐστίν, ἀλλ' ὅτι καὶ ὁ ἥλιος μείζων ἐστὶ τῆς γῆς. πῶς οὖν εἶχεν ὁ νοῦς ἐπιδιορθοῦσθαι τὴν αἴσθησιν, εἰ μὴ ἐνόει τὰ ἔνυλα, τουτέστι τὰ αἰσθητά; ἄλλως τε δὲ ἔχομεν κανόνα ἄνω ὅτι τὸ ἐπιστάμενον διαφορὰν πραγμάτων πολλῷ μᾶλλον αὐτὰ τὰ διαφέροντα οἶδεν. εἰ οὖν ὁ νοῦς οἶδε τὴν διαφορὰν τῶν ἀύλων πρὸς τὰ ἔνυλα, οἶδεν ἄρα τὰ ἔνυλα. ἀλλ' ἐρεῖς ἴσως ὅτι ἄτοπόν ἐστι τὸν νοῦν τὰ ἔξω εἰδέναι· ταῦτα γὰρ αἰσθήσεώς ἐστι τῷ τὰ ἔνυλα καὶ τὰ κατὰ μέρος γινώσκειν. ὁ μὲν γὰρ νοῦς τὸ καθόλου

---

1 εὑρέσεως t 2 post πρᾶξις add. πρᾶξις σὺν θεῷ δεκάτη t: eadem in marg. D¹ 4 ὕδατι D Arist. vulg.: τὸ ὕδατι t Arist. E 5 οὐ καὶ D: οὐκ t Arist. 6 εἰ] ἢ D 10 ἐξετάζων t 15. 16 ἡ δὲ λογικὴ — τὰ ἔνυλα Pal.: om. Dt 16 κρείττων Pal.: κρεῖττον Dt τὰ (ante ἄυλα)] ὄντα t 20 ἅ ἐστι Pal. 22 γινώσκει Pal. t: γινώσκειν D 23 κατ' αὐτὰ Pal. κατά τι Pal.: κατά τινα Dt 26 ἐπίστατο t ἐπιδιωρθοῦτο Pal.: ἐπεδιωρθοῦτο Dt 27 εἰ γὰρ D 31 ἄνω om. Pal. 33 ἄρα καὶ τὰ Pal. 34 ὅτι om. t 35 τῷ] τὸ Pal.

οἶδεν μόνον. τῆς δὲ αἰσθήσεώς ἐστι τὸ εἰδέναι μερικά. ἅτινά ἐστιν ἔνυλα. q 3v
ἐρῶ δὲ πρός σε ὅτι ὁ νοῦς τῷ μὲν ὑποκειμένῳ εἷς ἐστιν, τῷ δὲ λόγῳ 30
διάφορος. ὁ γὰρ νοῦς ἢ καθ' ἑαυτὸν μόνον ἐνεργεῖ, καὶ τότε τὰ καθόλου
μόνον οἶδεν, ἢ μετ' αἰσθήσεως ἐνεργεῖ ὀργάνῳ αὐτῇ κεχρημένος, καὶ τότε
5 τὰ ἔνυλα καὶ μερικὰ οἶδεν. ὥσπερ γὰρ ἡ αὐτὴ εὐθεῖα τῷ μὲν ὑποκει-
μένῳ ἡ αὐτή ἐστι, τῷ δὲ λόγῳ διάφορος (ἡ γὰρ νῦν εὐθεῖα οὖσα δύναται
κλασθῆναι καὶ ἐπικαμπὴς γενέσθαι), οὕτω καὶ ὁ νοῦς ὁ αὐτὸς ὢν τῷ
ὑποκειμένῳ ἄλλοτε μὲν εὐθείᾳ ἀναλογεῖ, ὅτε καὶ καθ' ἑαυτὸν ἐνεργεῖ καὶ
τὰ ἄυλα οἶδεν, ἄλλοτε δὲ κεκλασμένῃ εὐθείᾳ ἐπικαμπτόμενος πρὸς τὴν 35
10 αἴσθησιν καὶ ὀργάνῳ αὐτῇ κεχρημένος, ὅτε καὶ τὰ ἔνυλα οἶδεν. τοῦτο
μὲν οὖν ἐστι τὸ πρῶτον ἄπορον καὶ ἡ λύσις αὐτοῦ.

Δεύτερόν ἐστιν ἄπορον, οὗτινος χρὴ λῆμμα προλαβεῖν τοιοῦτον, ὅτι
τὸ ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ἀγόμενον πάντως ἀλλοιοῦται, ἡ δὲ
ἀλλοίωσις πάθος ἐστί. τούτου προληφθέντος πρόεισι λοιπὸν τὸ ἄπορον·
15 εἰ γινώσκει ὁ νοῦς τὰ ἔνυλα, δῆλον ὅτι πάσχει ὑπ' αὐτῶν· ἄγεται γὰρ
ὑπ' αὐτῶν ἀπὸ τῆς δυνάμει γνώσεως εἰς τὴν ἐνεργείᾳ γνῶσιν. τὸ δὲ ἀπὸ 40
τοῦ δυνάμει ἀγόμενον εἰς τὸ ἐνεργείᾳ ἀλλοιοῦται, τὸ δὲ ἀλλοιούμενον
πάσχει· ὁ νοῦς ἄρα πάσχει ἀπὸ τῶν ἐνύλων. καὶ ἐπειδὴ οὐδὲν ἐκ τοῦ ἀνο-
μούλου πάσχει, δῆλον ἄρα ὅτι ὁμόυλός ἐστιν ὁ νοῦς τοῖς ἐνύλοις καὶ
20 ἔστιν αὐτὸς ἔνυλος καὶ φθαρτός· τὰ γὰρ ἔνυλα φθαρτά. καὶ πῶς ἄρα
φθαρτὸς ἔσται ἢ κατ' Ἀριστοτέλην ἢ κατ' Ἀναξαγόραν λέγοντας αὐτὸν
ἀμιγῆ τῆς ὕλης; αὕτη ἡ ἀπορία. ἣν ἐπιλυόμενοί φαμεν ὅτι κακῶς ἐλά-
βετε ὡς πᾶν ποιοῦν καὶ πάσχει· οὗτος γὰρ ὁ λόγος ψευδής ἐστι. τότε
γὰρ τὸ ποιοῦν ἀντιπάσχει, ὅτε ὁμόυλόν ἐστι τῷ πάσχοντι. ἐπειδὴ οὖν 45
25 ὁ νοῦς οὐκ ἔστιν ὁμόυλος τοῖς ἐνύλοις, οὐκ ἀνάγκη πάσχειν αὐτὸν ὑπὸ
τῶν ἐνύλων, ὅτε γινώσκει αὐτά. ποιεῖ γὰρ καὶ ὁ δημιουργὸς εὐεργετῶν
ἡμᾶς καὶ ὅμως οὐκ ἀντιπάσχει ὑφ' ἡμῶν. ὥστε ἐκεῖνα μόνον τῶν ποι-
ούντων ἀντιπάσχει, ὅσα ὁμόυλά ἐστι τοῖς πάσχουσι. καὶ ἡ μὲν λύσις
αὕτη ἔξωθεν λέλεκται· ὁ δὲ Ἀριστοτέλης ἄλλην λύσιν φησίν, ἣν καὶ ἐν
30 ἄλλοις εἶπεν, ὅτι διττὸν τὸ πάθος, τὸ μὲν τελειωτικόν, τὸ δὲ φθαρτικόν.
ἐπὶ μὲν οὖν τοῦ φθαρτικοῦ ἔρρωται ὁ λόγος ὅτι ὅμοιον γίνεται τῷ ποι- 50
οῦντι τὸ πάσχον· ὁ δὲ νοῦς γινώσκων τὰ αἰσθητὰ πάσχει πάθος τελειωτι-
κόν, ὅπερ ἀπάθεια μᾶλλον λέγεται ἤπερ πάθος, ὥστε πάλιν οὐ πάσχει ὁ
νοῦς. τὰ γὰρ τελειούμενα ὑπό τινος οὐ πάντως καὶ ὁμόυλα αὐτῷ ἐστιν.
35 ἰδοὺ γὰρ ὁ κόσμος τελειοῦται ὑπὸ τοῦ δημιουργοῦ, καὶ ὁμόυλος αὐτῷ οὐ
γίνεται. πάλιν ὑπὸ τῶν οὐρανίων διοικεῖται τὰ τῇδε καὶ τελειοῦται, καὶ
οὐκ ἔστιν αὐτοῖς ὁμόυλα. | πάλιν ὁ ἀὴρ τελειοῦται ἐκ τοῦ φωτός, καὶ οὐκ q 4r
ἔστιν ὁμόυλος αὐτῷ. ὥστε καὶ ὁ νοῦς πάσχει μὲν ὑπὸ τῶν αἰσθητῶν

---

6 αὐτή ἐστι] αὐτῇ t ἡ γὰρ Pal.: εἰ γὰρ Dt 8 καὶ καθ' Pal., cf. v. 10: καὶ om. Dt συνεργεῖ t 15 ἄγεται] ἄγε t 16 ἐνέργειαν D 18. 19 ἐκ τοῦ ἀνομοῦλου D Pal.: ὑπὸ ἀνωμωῦλου t 24 ἀντιπάσχειν, ut vid., D 27 ἡμᾶς] ἡμῶν t 31. 32 τὸ ποιοῦντι D 33 ἀπάθειαν t 34 post πάντως add. ὅτι D 36 τῇδε scripsi: τῇ δὲ Dt 38 τὸν αἰσθητὸν t

τὸ τελειωτικὸν πάθος, τελειούμενος δὲ ὑπ' αὐτῶν οὐκ ἔστιν αὐτοῖς q 4r
ὁμόυλος. σημειωτέον δὲ ὅτι κἂν τελειωτικὸν λέγομεν αὐτὸν πάσχειν πάθος,
οὐ τῆς οὐσίας τοῦ νοῦ ἅπτεται τὸ πάθος, ἀλλὰ τῆς ἐνεργείας αὐτοῦ.
αὕτη καὶ ἡ δευτέρα ἀπορία καὶ ἡ λύσις αὐτῆς.

5 Ἐπειδὴ δὲ αἱ δύο αὗται ἀπορίαι ἀπὸ τῶν ἐνύλων ἔσχον τὴν ἀφορ-
μήν, δίκαιον καὶ περὶ τῶν ἀύλων τι ἀπορῆσαι. ἐπειδὴ γὰρ ὁ νοῦς οἶδεν 5
ἑαυτὸν καὶ ἐπιστρέφει πρὸς ἑαυτόν, ⟨ἑαυτὸν⟩ ἄρα πῶς οἶδε; πότερον καθὸ
νοῦς, ἢ κατ' ἄλλο μέν ἐστι νοῦς, κατ' ἄλλο δὲ νοητός; εἰ μὲν οὖν κατ'
ἄλλο μέν ἐστι νοῦς, κατ' ἄλλο δὲ νοεῖται, δῆλον ἄρα ὅτι οὐκ ἔστιν ἁπλοῦς
10 ὁ νοῦς, ἀλλὰ σύνθετος· σύγκειται γὰρ καθὸ νοῦς ἐστι καὶ καθὸ νοεῖται.
εἰ δὲ τὸ ἄτοπον τοῦτο ἐκφυγὼν εἴποις ὅτι καθὸ νοῦς ἐστι νοεῖται, ἄλλῳ
ἀτόπῳ περιπεσῇ· δείκνυται γὰρ ἐν τῇ Ἀποδεικτικῇ ὅτι τὸ καθὸ ἀντιστρέ- 10
φει. εἰ οὖν καθὸ νοῦς ἐστι νοεῖται, οὐκοῦν καὶ καθὸ νοεῖται νοῦς ἐστι,
ἵνα ἀντιστρέψῃ. εἰ δὲ καθὸ νοεῖται νοῦς ἐστι, συνάγεται ὅτι πᾶν
15 τὸ νοούμενον νοῦς ἐστι, καὶ ἐπειδὴ τὰ μαθήματα νοητά ἐστι, ἔσται
καὶ ταῦτα νόες, ὅπερ ἄτοπον. εἰ δὲ εἴποις ὅτι οὐ νοεῖ αὐτόν,
ψεύδῃ· εἰ γὰρ μὴ νοεῖ ἑαυτόν, πῶς οἶδεν ὅτι χωρίζεται τοῦ σώματος;
τοιαύτη μέν ἐστι πᾶσα ἡ ἀπορία· διὰ δὲ τὸ ἀσαφὲς συντόμως αὐτὴν ἐπα-
λαλάβωμεν. ἐπειδὴ ὁ νοῦς νοεῖ ἑαυτόν, ἢ καθὸ νοῦς ἐστι νοεῖ ἑαυτόν,
20 καὶ ἐπειδὴ τὸ καθὸ ἀντιστρέφει, ἔσται καὶ καθὸ νοητὸς νοῦς, ὡς συνά- 15
γεσθαι πάντα τὰ νοητὰ καὶ τὰ μαθήματα νόας εἶναι· ἢ κατ' ἄλλο μέν
ἐστι νοῦς, κατ' ἄλλο δὲ νοεῖται, καὶ ἔσται ὁ νοῦς σύνθετος, ὅπερ ἄτοπον.
λύει δὲ τὴν ἀπορίαν τιθέμενος τῷ ἑνὶ σκέλει φάσκων ὅτι πᾶν τὸ κυρίως
νοητὸν νοῦς ἐστι· τὰ γὰρ μαθήματα οὐκ ἔστι κυρίως νοητὰ καὶ διὰ τοῦτο
25 οὔκ εἰσι νόες· ἡμῶν γάρ εἰσιν ἐπίνοια, καὶ ἡμεῖς ἐχωρίσαμεν αὐτὰ τῆς
ὕλης, ἐπεὶ ἔνυλά εἰσιν. ὅσα οὖν οὐκ ἐξ ἡμῶν ἀλλ' οἴκοθεν ἔσχον τὸ νοητὰ
εἶναι, ταῦτα νόες εἰσί. καὶ γὰρ κἂν ἀγγέλους εἴπῃς, καὶ οὗτοι κατὰ τὸν
Ἀριστοτέλην νόες εἰσί, κἂν τὸν ἐπὶ τῆς ἀπλανοῦς περιπολοῦντα εἴπῃς, ὃν 20
δημιουργὸν λέγει, καὶ οὗτος κατὰ τὸν Ἀριστοτέλην νοῦς ἐστιν. ἀλλ'
30 ἐπειδὴ οὔτε Πλάτωνι δοκεῖ τὸ τὸν θεὸν νοῦν εἶναι οὔτε τοῖς εὐσεβέσι
δόγμασιν (ὁ γὰρ θεὸς καὶ ὑπὲρ νοῦν ἐστιν, ὅθεν καὶ πρόνοια ὠνόμασται,
ὡς πρὸ τοῦ νοῦ ὤν), φέρε ἡμεῖς ἄλλως λύσωμεν τὴν ἀπορίαν. φαμὲν
γὰρ ὅτι οὐ συνάγεται πᾶν τὸ νοητὸν νοῦς. πρῶτον μὲν γὰρ τὰ νοητὰ ἢ
κυρίως ἐστὶ νοητά, ὡς τὰ πάντῃ ἄυλα, ἢ οὐ κυρίως, ἀλλὰ καθὸ αἰσθητὰ
35 λέγεται νοητά, ὡς λίθος. νῦν οὖν περὶ τῶν κυρίως νοητῶν ἐστιν ὁ λόγος.
εἰ δὲ τοῦτο, ἔσται τὰ κυρίως νοητὰ νοῦς, καὶ οὐδὲν ἄτοπον ἐπακολου- 25
θήσει. δεύτερον δὲ ὅτι οὐδὲ συνάγεται πᾶν τὸ νοητὸν νοῦς, ἀλλὰ πᾶν
τὸ νοοῦν ἑαυτὸ νοῦς. τί γὰρ ἔφη ἡ ἀπορία; καθὸ νοῦς νοεῖται· ὑπὸ
τίνος; δῆλον ὅτι ὑφ' ἑαυτοῦ. οὐκοῦν, εἰ βούλει, ἀντίστρεφε διὰ τὸ καθὸ

---

1 ὑπ' αὐτοῦ t 6 τι scripsi: τί D: τῇ t 7 ἑαυτὸν tertium add. Diels
12 περιπέσεις D ἐν τῇ Ἀποδεικτικῇ] quem locum respiciat nescio; ceterum cf. Top. A 5 p. 102a18 sqq. 14 πᾶν Diels: περὶ D: περ t 15 νοητά scripsi: νοούμενα t: om. D 16 αὐτόν scripsi: αὐτὸν Dt 17 ἑαυτόν D: αὐτὸν t 25 ἐχωρήσαμεν t 26 τὰ νοητὰ t 32 λύσομεν D

ὅλην τὴν πρότασιν καὶ εἰπέ, καθὸ ὑφ' ἑαυτοῦ νοεῖται, νοῦς ἐστιν· αὕτη q 4r
γάρ ἐστιν ἡ ὑγιὴς ἀντιστροφή. εἰ οὖν συνήχθη ἐκ τῆς ἀντιστροφῆς ὅτι
οὐ δήπου τὸ νοητὸν νοῦς, ἀλλὰ πᾶν τὸ ὑφ' ἑαυτοῦ νοητὸν νοῦς ἐστιν,
οὐκέτι πᾶν τὸ νοητὸν νοῦς ἐστι. καὶ οὐ μόνον διὰ τὸ θεῖον τῇ λύσει 30
5 Ἀριστοτέλους οὐκ ἀρεσκόμεθα, ἀλλὰ καὶ ὅτι τὰ καθόλου νοητά ἐστιν. ἀλλ'
οὐ νόες. τὸ δὲ λέγειν ὅτι οὐχ ᾗ νοῦς γινώσκει ἑαυτὸν ἄτοπον. πρῶτον
μὲν γάρ, ὡς εἴπομεν, ἔσται διπλοῦς ὁ μονοειδὴς καὶ ὁ αὐτὸς νοῶν καὶ
νοούμενος, καὶ μὴ πάντα ἑαυτὸν γινώσκων· καθὸ γὰρ νοεῖται, νοεῖ ἑαυτόν,
καὶ οὐ καθὸ νοεῖ. ὥστε ᾗ νοῦς ἑαυτὸν γινώσκει ὁ νοῦς. τοῦτο καὶ τὸ
10 τρίτον ζήτημα.

Τέταρτον ζήτημα· εἰ ὁ νοῦς νοεῖ ἑαυτόν, ἀεὶ δὲ πάρεστιν ἑαυτῷ ὁ
νοῦς, διὰ τί μὴ ἀεὶ ἑαυτὸν νοεῖ; θεωροῦμεν γὰρ ὅτι ὀλιγάκις οἱ ἄνθρω- 35
ποι ἐπιστρεφόμεθα πρὸς ἑαυτούς, ἀλλ' ἢ περὶ θεοῦ νοοῦμεν ἢ περὶ κόσμου.
ὀλιγάκις δὲ περὶ ἑαυτῶν· καίτοι ἐχρῆν ἀεὶ ἑαυτοὺς νοεῖν, διότι ὁ νοῦς
15 ἀεὶ πάρεστιν ἑαυτῷ. αὕτη μὲν ἡ ἀπορία. λέγομεν δὲ ὅτι διὰ τὴν ἐπι-
μιξίαν καὶ τὴν κατανόησιν τῶν ὄντων τοῦτο γίνεται. ὥσπερ γὰρ ἐὰν δύο
παραγένωνται καὶ ὁ μὲν εἷς ᾖ φίλος ὁ δὲ ἕτερος λαμπρός τις, οὐδὲ
προσκυνοῦμεν τὸν φίλον ἅτε συνήθη ὄντα, τὸν δὲ ἄλλον δεξιούμεθα,
οὕτω καὶ ὁ νοῦς γινώσκων ὅτι ἀεὶ πάρεστιν ἑαυτῷ, ὀλιγάκις μὲν ἑαυτὸν
20 νοεῖ, πολλάκις δὲ τὰ ἐγκόσμια πράγματα ἢ ὑπερκόσμια. οὐ καθὸ οὖν 40
νοῦς ὁ νοῦς οὐκ ἀεὶ ἑαυτὸν γινώσκει, ἀλλὰ διὰ τὴν ἐνέργειαν αὐτοῦ τοῦτο
γίνεται. ὥσπερ γὰρ ἐν μελαγχολίαις παντελῶς οὐ γινώσκει ὁ νοῦς διὰ
τὸ παρεκτρέπεσθαι αὐτοῦ, οὕτως καὶ ἡνίκα ἀλλοτριοπραγῇ περὶ τὸ σῶμα
σχολάζων, οὐ γινώσκει ἑαυτόν, ὅτε οὐκ ἔστιν ἐνεργείᾳ νοῦς, ἀλλὰ δυνάμει.
25 ὁ μέντοι Πλωτῖνός φησιν ὅτι ἔστι νοῦς ὁ ἀεὶ γινώσκων ἑαυτὸν καὶ ὁ μὴ
ἀεὶ γινώσκων ἑαυτόν, ἵνα πάλιν λάβῃς τὸν μὲν ἐνεργείᾳ ἀεὶ γινώσκοντα
ἑαυτόν, τὸν δὲ δυνάμει μὴ ἀεί. τὸ δὲ ἀεὶ γινώσκειν ἔλεγεν διὰ τὸν 45
Πλάτωνα λέγοντα ἀεικίνητον τὴν ψυχήν· τὸ γὰρ ἀεικίνητον ἐπὶ τοῦ ἀεί-
ζωον ποιεῖν τὸ σῶμα ἐλάμβανεν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀεὶ γνωστικὸν αὐτὸ
30 ποιεῖν· καὶ ἀεὶ μέν, φησί, γινώσκει ὁ νοῦς, εἰ δὲ καὶ μὴ αἰσθανόμεθα ὅτι
ἀεὶ γινώσκει, τοῦτο διὰ τὸν τοῦ σώματος θόρυβον γίνεται. ἐν οἷς ἡ θεω-
ρία σὺν θεῷ πληροῦται.

Ἐπεὶ δὲ ἄλλο ἔστι μέγεθος καὶ μεγέθει εἶναι καὶ τὸ ὕδωρ
καὶ τὸ ὕδατι εἶναι. εἴρηται καὶ ἐν Κατηγορίαις καὶ ἐν τῇ Φυσικῇ ὅτι
35 ἄλλο ἐστὶ τὸ τόδε καὶ ἄλλο τὸ τῷδε. τὸ μὲν γὰρ τόδε τὸ συναμφότερον 50
σημαίνει, ὅ ἐστι τὸ εἶδος μετὰ τῆς ὕλης, οἷον τὸ ὕδωρ καὶ τὸ μέγεθος,
τὸ δὲ τῷδε τὸ εἶδος μόνον σημαίνει ἄνευ τῆς ὕλης, οἷον τὸ ὕδατι εἶναι

---

1 ὅλην] ὕλην t 2 post γάρ add. τί t 8 νοεῖ iterat D 9 τὸ om. t
13 ἀλλ' ἢ scripsi: ἀλλ' ᾗ Dt 18 προσκινοῦμεν t 21 νοῦς (post οὖν) om. D
αὐτοῦ] αὐτῆς t 23 αὐτοῦ scripsi: αὐτοῦ Dt ἀλλοτριοπραγεῖ t 25 Πλωτῖνός
φησιν] cf. Enn. V, 9,5 25. 26 μὴ ἀεὶ scripsi coll. v. 27 p. 535,9 536,35: ἀεὶ μὴ Dt
28 ἀεικίνητα τὴν t 34 τὸ ὕδατι scripsi coll. v. 37: τῷ ὕδατι Dt εἴρηται κτλ.]
certos quosdam locos respicere non videtur 37 τὸ ὕδατι D: τῷ ὕδατι t

καὶ τὸ μεγέθει εἶναι. καὶ ἐπὶ μὲν τῶν ἐνύλων πραγμάτων οὕτως ἐστὶν ἡ q 4ʳ σημασία, ἐπὶ δὲ τῶν ἀύλων πραγμάτων ταὐτόν ἐστι τὸ τόδε καὶ τῷδε, οἷον ἐπὶ θεοῦ, ἐπὶ σημείου καὶ τῶν τοιούτων· τὸ αὐτὸ γὰρ σημαίνεται κατὰ τὰς δύο πτώσεις. ἔστιν οὖν ὅλος ὁ νοῦς Ἀριστοτέλους οὗτος· ἆρα 5 ὁ νοῦς οἶδεν ἐφ' ὧν ἕτερόν ἐστι | τὸ τόδε καὶ τῷδε, τουτέστι τὰ ἔνυλα, q 4ᵛ ἢ ὁ νοῦς ἐκεῖνα μόνον οἶδεν, ἐφ' ὧν ταὐτόν ἐστι τὸ τόδε καὶ τῷδε, τουτέστι τὰ ἄυλα; μέγεθος οὖν λέγει τὸ συναμφότερον, μεγέθει δὲ εἶναι τὸ εἶδος μόνον, καὶ ὕδωρ λέγει τὸ συναμφότερον, ὕδατι δὲ τὸ εἶδος μόνον. ἐπ' ἐνίων γὰρ ταὐτόν ἐστι τὸ σαρκὶ εἶναι καὶ σάρκα. 10 ἀνοικείῳ παραδείγματι ἐχρήσατο· ἐπὶ γὰρ τῆς σαρκὸς οὐ ταὐτὸν σημαίνει τὸ τόδε καὶ τὸ τῷδε· τοῦτο γὰρ ἐπὶ μόνων τῶν νοητῶν ἐστιν. ἀλλ' ὡς 5 εἴπομεν, ἐπὶ τῶν ἐνύλων ἄλλο σημαίνει ἡ αἰτιατικὴ καὶ ἄλλο ἡ δοτική. εἰ οὖν καὶ ἡ σὰρξ τῶν ἐνύλων, ἄλλως καὶ ἄλλως σημαίνεται ὑπὸ τῆς αἰτιατικῆς καὶ τῆς δοτικῆς. τοῦτο δὲ ἐποίησεν διὰ μεγαλοφυΐαν καταφρο- 15 νήσας τῶν παραδειγμάτων, ὡς πολλάκις ἔθος αὐτῷ.

p. 429ᵇ13 Ἢ ἄλλῳ ἢ ἄλλως ἔχοντι κρίνει.

Ἔτι μὲν ἀπορεῖ, συναπτέον δὲ αὐτὰ τοῖς ἄνω. ἀνωτέρω μὲν γὰρ ἠπόρει, εἰ ὅλως ὁ νοῦς νοεῖ τὰ ἔνυλα, νυνὶ δὲ ὡς συγχωρήσας αὐτὸν νοεῖν τὰ 10 ἔνυλα κατὰ τὸ σιωπώμενον ἀπορεῖ μήποτε ἄλλῳ μὲν μέρει ἑαυτοῦ ὁ νοῦς 20 νοεῖ τὰ ἔνυλα, ἄλλῳ δὲ τὰ ἄυλα. τοῦτο οὖν ἐστιν ὃ λέγει 'ἢ ἄλλῳ καὶ ἄλλῳ κρίνει', ἀντὶ τοῦ ἄλλῳ μὲν μέρει ἑαυτοῦ τὰ νοητά, ἄλλῳ δὲ τὰ ἔνυλα. Πλούταρχος μὲν οὖν καὶ Ἀλέξανδρος βούλεται τῷ μὲν ἀύλῳ τὰ ἄυλα γινώσκεσθαι, τῷ δὲ ἐνύλῳ τὰ ἔνυλα· Ἀριστοτέλης δέ φησιν ὅτι τῷ αὐτῷ νῷ ἄμφω γινώσκεται, καὶ τὰ ἔνυλα καὶ τὰ ἄυλα, ἀλλὰ ἄλλως καὶ 25 ἄλλως ἔχοντι, πῇ μὲν κεχρημένῳ ὀργάνῳ τῷ σώματι, ἐπὶ τῶν ἐνύλων, 15 πῇ δὲ οὔ, ὡς ἐπὶ τῶν ἀύλων καὶ νοητῶν.

p. 429ᵇ13 Ἡ γὰρ σὰρξ οὐκ ἄνευ τῆς ὕλης. ἀλλ' ὥσπερ τὸ σιμὸν τόδε ἐν τῷδε.

Τοῦτο τὸ ῥητὸν συνηγορία ἐστὶ τοῦ ἀντικειμένου δόγματος, ἤτοι τῆς 30 ἀπορίας τῆς ἀρτίως ῥηθείσης. ἐπειδὴ γὰρ ἠπόρησε λέγων μήποτε ὁ νοῦς ἄλλῳ μὲν μέρει ἑαυτοῦ νοεῖ τὰ ἔνυλα, ἄλλῳ δὲ τὰ ἄυλα, συνηγορεῖ διὰ τούτων τῇ ἀπορίᾳ καί φησι δίκαιον εἶναι, ἄλλῳ μὲν μέρει νοεῖν αὐτὸν τὰ ἔνυλα, ἄλλῳ δὲ τὰ ἄυλα· ἡ γὰρ σὰρξ οὐκ ἔστιν ἄνευ ὕλης, ἀλλ' ἔνυλον 20 πρᾶγμά ἐστιν. ὥσπερ γὰρ ἡ σιμότης τόδε ἐν τῷδέ ἐστιν, ἀντὶ τοῦ εἶδος

1 τὸ scripsi: τῷ Dt 4 τὰς δευτέρας πτώσεις t 5 ἑτέρων D 6 ἐκείνων D 7 ἔνυλα D 9 τοῦτόν t 11 μόνων scripsi: μόνον Dt 12 δεκτική D, sed corr. D¹ 13 ἀνύλων t 15 αὐτῷ om. t 16 ἢ ἄλλῳ Arist. vulg.: καὶ ἄλλῳ t Arist. y: καὶ ἢ ἄλλῳ Ar. E: ἢ ἄλλο D 18 νοεῖ] νοῦ t 19 ἄλλο μὲν D 21 ἄλλο δὲ D 31 ἄλλως μὲν D 32 αὐτῶν t

ἐν ὕλῃ, οὕτω καὶ ἡ σάρξ εἶδος ἐν ὕλῃ ἐστίν. ὥστε εὔλογόν ἐστι τὸν q 4ᵛ
νοῦν μὴ τῷ αὐτῷ μέρει ἑαυτοῦ νοεῖν τὰ ἔνυλα καὶ τὰ ἄυλα.

p. 429ᵇ14 Τῷ μὲν οὖν αἰσθητικῷ τὸ θερμὸν καὶ τὸ ψυχρὸν κρίνει, καὶ ὧν λόγος τις ἡ σάρξ.

Ἐντεῦθεν Πλούταρχος καὶ Ἀλέξανδρος πιστοῦνται ὅτι ἰδοὺ αὐτὸς λέγει ὡς τῷ ἐνύλῳ τὰ ἔνυλα γινώσκεται· τῷ γὰρ αἰσθητικῷ εἶπε γινώσκεσθαι τὸ θερμόν. τί οὖν ἡμεῖς λέγομεν; ὅτι οὐ τοῦτό φησιν, ἀλλὰ συνηγορήσας τῇ ἀπορίᾳ λοιπὸν ἐντεῦθεν τὴν ἀληθῆ λύσιν ἐπάγει. φησὶ γὰρ ὅτι ὁ νοῦς τῷ αἰσθητικῷ ὀργάνῳ κεχρημένος κρίνει τὰ ἔνυλα, τουτέστι τὸ θερμὸν καὶ τὸ ψυχρόν· εἶτα ἐπειδὴ ψυχροῦ καὶ θερμοῦ ἐμνήσθη, οὐ μόνον δὲ ταῦτα κρίνει ἡ σάρξ, ἀλλὰ καὶ ἐξ ὅσων ἄλλων ἐστὶν ἡ συμμετρία αὐτῆς, οἷον τὸ ξηρόν, τὸ ὑγρόν, τὸ μαλακὸν καὶ ὅσα ἄλλα τοιαῦτα, οὐκ ἠδύνατο δὲ πάντων μνησθῆναι ἐν τῇ λέξει, ἵνα μὴ μηκύνῃ αὐτήν, διὰ τοῦτο συντόμως τὰ λοιπὰ ἐσήμανεν ἐπαγαγὼν καὶ ὧν λόγος τίς ἐστιν ἡ σάρξ, τουτέστιν ἐξ ὧν συνέστηκεν ὁ λόγος τῆς σαρκὸς ἤτοι ὁ ὁρισμὸς αὐτῆς. ὁ νοῦς οὖν τῷ αἰσθητικῷ ὀργάνῳ κεχρημένος κρίνει τὸ ψυχρὸν καὶ τὸ θερμὸν καὶ τὰ ἄλλα ἐξ ὧν ὁ ὁρισμὸς τῆς σαρκὸς συνέστηκε. καὶ ταύτης τῆς δόξης ἐστὶν Ἀριστοτέλης, πρῶτον μὲν ἐκ τοῦ ἐπιλύσασθαι τὴν τρίτην ἀπορίαν τὴν λέγουσαν ὅτι εἰ τὸ νοητὸν νοῦς, ἔσται καὶ ὁ λίθος ὢν νοητὸς νοῦς· φησὶ γὰρ ἐκεῖ ὅτι νοητὰ ἢ κυρίως ἐστὶ νοητὰ ἢ οὐ κυρίως, ὡς τὰ αἰσθητά. τὰ οὖν αἰσθητὰ νοητὰ εἶπεν, ⟨εἰ⟩ καὶ μὴ κυρίως· εἰ δὲ τοῦτο, οὕτω δῆλον ὅτι ὑπὸ νοῦ δοξάζει αὐτὰ νοεῖσθαι. καὶ ἐξ ἄλλου δὲ ἔστι πιστώσασθαι· αὐτὸς γάρ ἐστιν ὁ λέγων ὅτι ὥσπερ τὰ μαθήματα λόγῳ χωρίζεται, οὕτω καὶ ὁ νοῦς λόγῳ ἑαυτοῦ διαφέρει. εἰ δὲ διαφέρει ἑαυτοῦ λόγῳ, δῆλον ὅτι διὰ τοῦτο διαφέρει, ἵνα γνῷ τὰ ἔνυλα καὶ ἄυλα· εἰ γὰρ μόνα τὰ ἄυλα ἐγίνωσκε, τί χρεία ἦν διαφορᾶς;

p. 429ᵇ16 Ἄλλῳ δὲ ἤτοι χωριστῷ, ἢ ὡς ἡ κεκλασμένη ἔχει πρὸς ἑαυτὴν ὅταν ἐκταθῇ, τὸ σαρκὶ εἶναι κρίνει.

Τὸ ῥησείδιον τοῦτο πάλιν ἐρωτηματικῶς προέρχεται ἐκ διαιρέσεως ἐρωτῶν. ἔστι δὲ ὁ νοῦς οὗτος· ἐπειδὴ ἄλλῳ μὲν κρίνει ὁ νοῦς τὰ ἔνυλα, ἄλλῳ δὲ τὰ ἄυλα, ἆρα τὰ μέρη ταῦτα τοῦ νοῦ καθ' ἃ κρίνει τὰ ἔνυλα καὶ ἄυλα κεχωρισμένα ἐστὶν ἀλλήλων, ἢ ὥσπερ ἡ εὐθεῖα τῷ μὲν ὑποκειμένῳ ἡ αὐτή ἐστι, τῷ δὲ λόγῳ διάφορος; ἄλλο γάρ ἐστιν εὐθείᾳ εἶναι καὶ ἄλλο κεκλασμένῃ εἶναι. καὶ οὗτος μὲν ὁ σκοπός. ἐρωτηματικῶς δὲ

---

1 ὥστε om. D 12 μαλακὸν] μελανὸν t ταῦτα t 13 ἵνα μὴ κυνῇ D 21 ὡς om. D εἰ addidi 26 μόναι t 27 ἡ] εἰ D 28 ἑαυτὴν D Arist. vulg.: αὐτὴν t Arist. Ey ante σαρκὶ add. (c. Ald.) γὰρ t εἶναι καὶ κρίνει t Arist. LS 30 ἄλλῳ μὲν scripsi: ἄλλο μὲν Dt 31 ἆρα scripsi: ἄρα Dt τὰ (post κρίνει) om. D

χρὴ καὶ τὴν λέξιν παραφραστέον οὕτω ἐν ὑπερβατῷ πεφρασμένην· ἄλλῳ δὲ q 4v
κρίνει τὸ σαρκὶ εἶναι, ἀντὶ τοῦ ἄλλῳ μορίῳ κρίνει τὰ ἄυλα, οὕτως ἐν
ὑπερβατῷ ἄλλῳ δὲ ἤτοι κεχωρισμένῳ τοῦ ἄλλου μορίου τοῦ κρίνοντος τὰ
ἔνυλα, ἢ ὡς ἡ κεκλασμένη εὐθεῖα τῷ μὲν ὑποκειμένῳ εἷς ἐστι νοῦς, τῷ
5 δὲ λόγῳ διάφορος.

p. 429b18 Πάλιν δὲ ἐπὶ τῶν ἐν ἀφαιρέσει ὄντων τὸ εὐθὺ ὡς τὸ σιμόν· μετὰ συνεχοῦς γάρ.

Ἐπὶ τὸ ἄλλο ἔρχεται παράδειγμα τὸ τῶν μαθημάτων. καὶ τί φησιν; 50
ὅτι ὥσπερ τὸ σιμὸν καὶ τὸ εὐθὺ πάντως ἐν ὑποκειμένῳ ἐστὶ τῇ συνεχείᾳ,
10 (ἔν τινι γὰρ σώματί εἰσι συνεχεῖ) καὶ ὅμως χωρίζομεν ταῦτα τῷ λόγῳ
τῆς συνεχείας καὶ λέγομεν ὅτι ἄλλο ἐστὶν ἐπὶ τούτων τὸ τί ἦν εἶναι, του-
τέστι τὸ εἶδος τὸ ἀφαιρεθέν, καὶ ἄλλο ἡ ὕλη, αὐτὴ ἡ συνέχεια, ⟨ὃ⟩ ἐδήλωσε
διὰ τοῦ εἰπεῖν τὸ εὐθὺ εἶναι, ὥσπερ οὖν ἐπὶ τούτων τὸ εἶδος χωρίζομεν
τῆς ὕλης λόγῳ, οὕτω καὶ ὁ νοῦς λόγῳ ἑαυτοῦ διαφέρει. συνηγορεῖ δὲ νῦν
15 ὅτι ἔνυλά ἐστι | τὰ μαθήματα· ὕλη γάρ ἐστιν, ὥς φησιν, τῶν q 5r
σχημάτων τὸ συνεχές, εἶδος δὲ αὐτὰ τὰ σχήματα· ὥστε ἔνυλά ἐστι τὰ
μαθήματα.

p. 429b19 Τὸ δὲ τί ἦν εἶναι, εἰ ἔστιν ἕτερον τὸ εὐθεῖ εἶναι καὶ τὸ εὐθύ, ἄλλῳ.

20 Ἐάν, φησί, τὸ τί ἦν εἶναι, τουτέστι τὸ εἶδος, τῶν μαθημάτων (τὸ
γὰρ τί ἦν εἶναι τὸ εἶδος σημαίνει) ἕτερον ἔχει τὸ εὐθὺ εἶναι, τουτέστιν
ἕτερόν ἐστι τὸ τόδε τοῦ τῷδε, τότε ἄλλο τί ἐστι τὸ ⟨κρῖνον⟩. τὸ ἄλλῳ ἀντὶ 5
τοῦ τότε ἄλλῳ μέρει ἑαυτοῦ ὁ νοῦς κρίνει τὰ μαθήματα, καὶ οὐχ ᾧ κρίνει
τὰ ἄυλα. εἰ γὰρ ἕτερόν ἐστι τὸ τόδε τοῦ τῷδε, δῆλον ὅτι ἔνυλά ἐστι. καὶ
25 σημειωτέον ὅπερ Πλούταρχος ἐν τῷ ὑπομνήματι σημειοῦται, ὅτι ὑποκεί-
μενον λέγει ἔχειν τὰ μαθήματα Ἀριστοτέλης. ἔστιν οὖν τὸ ῥησείδιον·
δῆλον ὅτι εἰ τὸ τί ἦν εἶναι, τουτέστιν εἰ τὸ εἶδος ἕτερον ἔχει τὸ εὐθεῖ
εἶναι, ὅ ἐστι τὸ τῷδε, καὶ ἕτερον τὸ εὐθύ, ὅ ἐστι τὸ τόδε, ἔνυλά εἰσιν·
εἰ δὲ ἔνυλα, ἄλλῳ μέρει ἑαυτοῦ ὁ νοῦς κρίνει αὐτά, καὶ οὐχ ᾧ τὰ 10
30 ἄυλα κρίνει.

---

1 ἄλλῳ scripsi: ἄλλως D: ἄλλο t 3 ἄλλῳ scripsi: ἄλλως Dt 10 συνεχεῖ] συνεχῇ t 12 ὃ addidi 13 τοῦ εὐθὺ εἶναι D: exspectas τὸ εὐθεῖ εἶναι καὶ τὸ εὐθύ 18 εἰ om. D Arist. L 21 τὸ εὐθὺ εἶναι] fort. τὸ εὐθὺ τοῦ εὐθεῖ εἶναι 22 τότε] τῶτε D ἄλλο] ἄλλω D κρῖνον addidi τὸ ἄλλῳ scripsi: τῷ ἄλλο D: τῷ ἄλλῳ t 22. 23 ἀντὶ τοῦ τότε scripsi: ἀντὶ τούτω τε Dt 24 τόδε] τῶδε D 27 εἰ τὸ (post ὅτι) scripsi: εἰ τῷ t: ἐν τῷ D τουτέστιν ἓν τὸ D εὐθεῖ] εὐθὺ t 29 ἄλλο D τὰ] ταῦτα D

p. 429b20 Ἔστω γὰρ δυάς. q 5r

Τοῦτο ὡς πρὸς τί; ὡς πρὸς τὰ ἐν συνεχείᾳ ὄντα εἴδη. τὰ γὰρ ἐν ἀφαιρέσει ἕν τι μόνον δηλοῦσι, τὸ εἶδος, τὰ δὲ οὐκ ἐν ἀφαιρέσει δύο δηλοῦσι, τὸ εἶδος ἅμα τῇ ὕλῃ. καὶ δικαίως ταῦτα δύο λέγεται ὡς ἔνυλα καὶ ἐπιδεχόμενα διαίρεσιν ὡς τὰ δύο· τὰ γὰρ ἐν ἀφαιρέσει ἀδιαίρετα ὄντα μονάδι ἔοικεν. ἀμέλει καὶ ἡ κεκλασμένη εὐθεῖα ὡς δύο οὖσα ἔνυλόν τι ἐδήλου. καὶ τὰ μαθήματα οὖν διττὰ ἔσται, τὰ μὲν κατὰ τὸ εἶδος αὐτῶν, ὅπερ ἐδήλωσεν εἰπὼν εὐθεῖ εἶναι, ἢ κατὰ τὸ εἶδος καὶ τὴν ὕλην, ὅπερ ἐσήμανεν εἰπὼν εὐθύ. ἑτέρῳ ἄρα ἢ ἑτέρως ἔχοντι κρίνει. τὸ συμπέρασμα ὅτι ἀνάγκη ἢ ἑτέρῳ καὶ ἑτέρῳ κρῖναι τὰ ἔνυλα καὶ τὰ ἄυλα, ἢ τῷ αὐτῷ ἑτέρως ἔχοντι. εἶτα λέγων τὴν λύσιν ὅλου τοῦ ἀπόρου, φησὶν ὅλως ἄρα ὡς χωριστὰ τὰ πράγματα τῆς ὕλης, οὕτω καὶ τὰ περὶ τὸν νοῦν. τουτέστιν, ὡς δυνατὸν συντόμως εἰπεῖν, ὥσπερ τὰ εἴδη ἐπινοίᾳ μόνον χωρίζονται τῆς ὕλης καὶ λόγῳ, οὐ μὴν καὶ τῇ ὑποστάσει αὐτῇ, οὕτω καὶ ὁ νοῦς ἀχώριστος τὸ μὲν ἑαυτοῦ ἐστιν ἀεί, ὁ αὐτὸς ὢν ἀεὶ τῷ ὑποκειμένῳ, τῇ δὲ ἐπινοίᾳ καὶ τῷ λόγῳ χωρίζεται πρὸς τὰ γινωσκόμενα.

p. 429b22 Ἀπορήσειε δ' ἄν τις, εἰ ὁ νοῦς ἁπλοῦν ἐστι καὶ ἀπαθές.

Ἐντεῦθέν ἐστιν ἡ δευτέρα ἀπορία ἡ λέγουσα ὅτι εἰ γινώσκει ὁ νοῦς τὰ αἰσθητά, πείσεται ὑπ' αὐτῶν· οὐδὲν δὲ πάσχει ἐξ αὐτῶν, ὃ μή ἐστιν ὁμόυλον αὐτοῖς. τοῦτο γὰρ ἐσήμηνεν ἐπαγαγὼν ἐν τῇ λέξει ἢ γάρ τι κοινὸν ἀμφοῖν ὑπάρχει, τὸ μὲν ποιεῖ τὸ δὲ πάσχει, ἀντὶ τοῦ κατὰ τὸ κοινόν, ὅ ἐστι κατὰ τὴν ὕλην, πάσχει. εἰ οὖν γινώσκει ὁ νοῦς αὐτά, καὶ πάσχει ὑπ' αὐτῶν· εἰ δὲ πάσχει ὑπ' αὐτῶν, ὁμόυλος αὐτοῖς ἐστι· εἰ δὲ ὁμόυλός ἐστι τοῖς αἰσθητοῖς, οὐκέτι ἐστὶν ἁπλοῦς νοῦς, ἀλλὰ σύνθετος. ἔστιν οὖν ὁ λόγος κατ' ἀνάλυσιν πεφρασμένος.

p. 429b26 Ἔτι δ' εἰ νοητὸς καὶ αὐτός.

Πρὸ τοῦ τὴν λύσιν τοῦ δευτέρου ἀπόρου εἰπεῖν, τὸ τρίτον ἄπορον ἐντεῦθεν προβάλλεται καί φησιν ὅτι ⟨εἰ⟩ καὶ αὐτὸς ὁ νοῦς εἴη, ἀντὶ τοῦ ὑπάρχει, νοητός, πῶς οὖν νοεῖ ἑαυτόν; καὶ τέως τὸ πρῶτον λέγει ὅτι ἐὰν καθὸ νοῦς γινώσκῃ ἑαυτόν, ἔσται ἐν πᾶσι τοῖς νοητοῖς ὁ νοῦς, καὶ ἐν λίθῳ ἄρα, καὶ ἔσται ὁ λίθος νοῦς· ἀντιστρέφει γάρ. τοῦτο δὲ αἰνίττεται ἐν τῇ λέξει, ἔνθα φησὶν ἢ γὰρ τοῖς ἄλλοις ὁ νοῦς ὑπάρξει, ἀντὶ τοῦ

---

2 πρὸς τί scripsi: πρός τι Dt 8 αὐτῶ D 9 et 11 ἑτέρως] ἑτέρω D 22 ἢ Arist.: εἰ Dt, sed cf. v. 24 30 εἰ addidi 31 ὑπάρχει t: ὑπάρχεται D: fort. ὑπάρχοι

τοῖς ἄλλοις νοητοῖς ὑπάρξει [ἀντὶ τοῦ εἶναι] νοῦς, ὡς πάντα τὰ νοητὰ νοῦς q 5r
εἶναι. εἶτα πρὶν εἰπεῖν τὸ ἄλλο ἄτοπον, ὅτι 'εἰ δὲ μὴ καθὸ νοῦς γινώσκει,
ἔσται διπλοῦς καὶ νοῶν καὶ νοούμενος, καὶ οὐ πάντῃ ἑαυτὸν γινώσκων·
οὐδὲ γὰρ τὸ νοοῦν,' πρὸ τούτου ἐπάγει λύσιν τοῦ δευτέρου ἀπόρου, λέγων
5 ὅτι τὸ νοητὸν οὐκ ἔστιν ἓν τῷ ἀριθμῷ, ἀλλὰ τῷ εἴδει· ἔστι γὰρ κυρίως
νοητὸν καὶ οὐ κυρίως, τὸ δὲ κυρίως νοητὸν καὶ νοῦς ἐστιν. εἶτα ἐπάγει
τὸ ἄλλο ἄτοπον τοῦ δευτέρου, ὅτι εἰ δὲ μὴ καθὸ νοῦς γινώσκει, ἔσται
διπλοῦς, ὡς εἶναι καὶ νοητὸς καὶ νοῶν. τοῦτο δὲ ἐδήλωσεν εἰπὼν
μεμιγμένον τι ἕξει, ὃ ποιεῖ αὐτὸν νοητὸν ὡς τὰ ἄλλα, ἀντὶ
10 τοῦ σύνθεσίν τινα ἕξει, ἥτις σύνθεσις κατ' ἄλλο μὲν ποιεῖ αὐτὸν νοῦν, κατ'
ἄλλο δὲ νοητὸν ὥσπερ καὶ τὰ ἄλλα νοητά. οὐ τοῦτο δὲ λέγει ὅτι τὰ
ἄλλα νοητὰ σύνθετά ἐστιν (ἁπλᾶ γάρ ἐστι πάντα τὰ νοητά), ἀλλ' ἕξει,
φησί, τι ὁ νοῦς ὃ ποιεῖ αὐτὸν νοητόν, ὡς ἐποίει τὰ ἄλλα ἄυλα νοητά.

p. 429b29 Ἢ τὸ μὲν πάσχειν κατὰ κοινόν τι διῄρηται πρότερον.

15 Ἐντεῦθεν ἐπιλύεται τὰς δύο ἀπορίας, καὶ πρῶτον τὴν δευτέραν τὴν
συνάξασαν ὅτι ὁμόυλος τοῖς αἰσθητοῖς ὁ νοῦς, καί φησιν ὅτι κοινὸν ὄνομά
ἐστι τοῦ πάθους· τὸ μὲν γάρ ἐστι τελειωτικόν, τὸ δὲ φθαρτικόν. τὸ
οὖν πάθος ὃ πάσχει ὁ νοῦς τελειωτικόν ἐστι, τὸ δὲ τελειωτικὸν κυρίως οὐ
λέγεται πάθος.

20 p. 429b30 Ὅτι δυνάμει πώς ἐστι τὰ νοητὰ ὁ νοῦς. |

Ἐπειδὴ εἴρηται ὅτι ἔσται τὰ νοητὰ ὁ νοῦς, καὶ ὁ λίθος, εἰπών q 5v
τε ἄνω διττὸν εἶναι τὸ νοητόν, τό τε κυρίως καὶ οὐ κυρίως,
νῦν φησιν ὅτι τὸ κυρίως δυνάμει ἐστὶν ὁ νοῦς τὰ νοητά, ὅταν δὲ
νοῇ αὐτά, ἐνεργείᾳ· οὐ γὰρ ἔχει, φησί, τὰ νοητὰ ὁ νοῦς, εἰ μὴ
25 νοῇ αὐτά· ἀγράφῳ γὰρ ἔοικε γραμματείῳ. καὶ ὅρα ὅτι γραμματείῳ
εἶπε, φησὶν ὁ Ἰάμβλιχος, καὶ οὐ χαρτίῳ· γραμματεῖον δὲ οὐ λέγεται, εἰ
μὴ ἔχει γράμματα. τοῦτο δὲ εἶπεν βουλόμενος τὴν ψυχὴν τῶν παίδων,
ὅ ἐστιν ὁ δυνάμει νοῦς, ἔχειν τοὺς λόγους τῶν πραγμάτων. ὥστε εἰ
γραμματείῳ αὐτὴν ἀπείκασε, δῆλον ὅτι τοὺς λόγους τῶν πραγμάτων ἔχει,
30 ὥσπερ καὶ τὸ γραμματεῖον ἔχει γράμματα. εἰ δὲ ἀγράφῳ, ἀντὶ τοῦ κακο-
γράφῳ. διὰ τὸ λεπτὰ καὶ ἀφανῆ ἔχειν γράμματα, ἐπεὶ καὶ ἄφωνον λέγο-
μεν τραγῳδὸν τὸν κακόφωνον. ὥστε καὶ Ἀριστοτέλης, φησί, δοξάζει εἶναι
ἐν τῇ ψυχῇ τὰ νοητά, ὡς Πλάτων. καὶ τοὺς λόγους πάντων, καὶ ἀνάμνη-
σιν εἶναι, οὐ μάθησιν. ταῦτα δὲ εἶπεν, ἵνα δείξῃ καὶ Ἀριστοτέλην ὁμό-
35 δοξον αὐτῷ. καὶ αὐτὸς δὲ νοητός ἐστιν ὥσπερ τὰ νοητά.

τ'

1 ἀντὶ τοῦ εἶναι delevi 3 πάντῃ] παν D 11 λέγει scripsi: λέγω Dt
13 αὐτὸν scripsi: ἑαυτὸν Dt 14 διῄρηται] διὸ εἴρηται (ex Ald.) t 20 τὰ διανοητὰ D 21 Ἐπειδὴ — ὁ νοῦς om. t 22 τὸ ἄνω t 24 ἐναργείᾳ D
26 λέγεται] λέγει t 32 δοξάσαι t 35 αὐτὰς δὲ t

ἐντεῦθέν ἐστιν ἡ λύσις τοῦ τρίτου ἀπόρου, ὅτι πᾶν νοητὸν κυρίως ὂν νοη- q 5v
τὸν νοῦς ἐστιν. ἡ γὰρ ἐπιστήμη θεωρητική, τὸ δὲ οὕτως ἐπιστη-
τὸν τὸ αὐτό ἐστιν. τί φησιν; ὅτι οὐδὲν ἄτοπον τὸ αὐτὸ νοοῦν εἶναι
καὶ νοούμενον. τὸ γὰρ κυρίως ὂν νοητόν, ὃ εἶπεν ἐπιστητόν, καὶ ὁ κυρίως
5 νοῦς, ὃ εἶπεν ἐπιστήμην, τὸ αὐτό εἰσι. τὸ δὲ κυρίως πρόσκειται, ὅτι τὰ
μαθήματα οὐκ εἰσι κυρίως νοητά· ὅλως δὲ νοητὰ λέγονται, διότι ὑφ' ἡμῶν 15
ἀνεπλάσθησαν καὶ ἡμετέρᾳ ἐστὶν ἐπινοίᾳ.

p. 430a5 Τοῦ δὲ μὴ ἀεὶ νοεῖν τὸ αἴτιον ἐπισκεπτέον.

Ἐντεῦθεν τὸ τέταρτον ἄπορόν ἐστι, διὰ τί μὴ ἀεὶ νοεῖ ὁ νοῦς. καὶ
10 ἀπορεῖ μέν, οὐ λύει δὲ αὐτό (ἡμεῖς δὲ ἤδη ἐλύσαμεν), ἀλλ' ἔρχεται πάλιν 20
μετὰ τοῦτο εἰς τὴν λύσιν τοῦ ἀπόρου τοῦ λέγοντος ὅτι ἔσται τὰ νοητὰ ὁ
νοῦς. εἰπὼν γὰρ ὅτι ἐπὶ τῶν κυρίως νοητῶν ἀληθές ἐστι, νῦν φησιν ὅτι
ἐπὶ τῶν ἐνύλων τῶν ὄντων δυνάμει νοητῶν καὶ οὐ κυρίως οὐκ ἔστι ταὐ-
τὸν τὸ νοητὸν τῷ νῷ· ὁ γὰρ νοῦς ἄυλόν τι πρᾶγμα. ἐν οἷς ἡ πρᾶξις
15 σὺν θεῷ πληροῦται.

p. 430a10 Ἐπεὶ δ' ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν
ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ 25
τὸ αἴτιον καὶ ποιητικόν, ὃ τῷ ποιεῖν πάντα.

Μετὰ τὸ ζητῆσαι ἐπὶ τοῦ δυνάμει νοῦ τέσσαρά τινα ἔρχεται λοιπὸν
20 καὶ ἐπὶ τὸν ἐνεργείᾳ νοῦν καὶ δέκα ἐπὶ αὐτοῦ ζητεῖ, πρῶτον μὲν ὅτι 30
πάντα ποιεῖ ὁ νοῦς, δεύτερον ὅτι τῇ οὐσίᾳ ἐνεργεῖ. οὐδὲ γὰρ ὡς αἱ ἄλ-
λαι οὐσίαι προβάλλονται ἐνεργείας, οὕτως ἐστὶ καὶ ἐπὶ τοῦ ἐνεργείᾳ νοῦ·
οὐδὲ γὰρ ἡ οὐσία τοῦ ἐνεργείᾳ νοῦ προβάλλεται τὴν ἐνέργειαν, ἀλλ' αὐτό-
θεν αὐτὴ ἡ οὐσία αὐτοῦ ἐνέργειά ἐστι καὶ οὐκ ἔστιν ἕτερον ἡ οὐσία τοῦ
25 ἐνεργείᾳ νοῦ παρὰ τὴν ἐνέργειαν αὐτοῦ. τρίτον, φησί, ὑπάρχει τῷ ἐνερ-
γείᾳ νῷ τὸ ἀεὶ νοεῖν τε καὶ ἐνεργεῖν καὶ μηδέποτε ἀπολήγειν τοῦ ἐνεργεῖν,
τέταρτον ὅτι ψυχικός ἐστι, πέμπτον ὅτι ἀθάνατος, ἕκτον ὅτι χωριστός 35
ἐστιν. ἕβδομον ὅτι ἕξει καὶ φωτὶ ἀναλογεῖ· ὥσπερ γὰρ τὸ φῶς οὐκ
αὐτὸ ποιεῖ τὰ χρώματα, ἀλλὰ τὰ ἤδη ὄντα φανερὰ ποιεῖ, οὕτω καὶ ὁ
30 ἐνεργείᾳ νοῦς οὐ ποιεῖ τὰ πράγματα, ἀλλὰ τὰ ἤδη ὄντα ἐντυποῖ καὶ ἐγχα-
ράττει τῷ δυνάμει νῷ. ὄγδοον ὅτι ὁ δυνάμει νοῦς τοῦ ἐνεργείᾳ χρόνῳ
διαφέρει, καὶ οὐ τῷ ὑποκειμένῳ, ἔνατον ὅτι ἐπιλανθάνεται ὁ νοῦς, δέ-

---

2 ἡ θεωρητικὴ Arist. vulg. τὸ δὲ] καὶ τὸ Arist. 3 νοοῦν] νοῦν t
5 πρόκειται t 15 post πληροῦται add. πρᾶξις σὺν θεῷ ια marg. D² 17 ἑκάστῳ τῷ γένει D, sed cf. p. 539,14 ὃ D Arist. vulg.: ὅτι t Arist. UVX 18 ὃ τῷ D Arist. LTX: ὃ om. t Arist. vulg. 24 ἐνέργειά scripsi coll. v. 25: ἐνεργείᾳ Dt
26 ἀπολογεῖν D 27 ἕκτον] ς D: καὶ t 28 ἕβδομεν] ζ U: ἕκτον t
29 et 30 ἤδη scripsi: εἴδη Dt 30 ὄντα om. t 31 δυνάμει νῷ scripsi: δυναμένῳ Dt 32 οὐ τῷ] αὐτῷ t ὅτι om. t

κατον ὅτι ἀεὶ μετὰ φαντασίας ἐνεργεῖ. ταῦτα τὰ κεφάλαια τῆς λέξεως εἰ- q 5v
πούσης ὑπάρχειν τῷ ἐνεργείᾳ νῷ καὶ μηδὲν ἕτερον εἰπούσης, οἱ ἐξηγηταὶ
ἐπὶ πολλὰς καὶ διαφόρους ὁδοὺς ἐτράπησαν, ἄλλων ἄλλως ἐκλαμβανόντων 40
τὸν ἐνεργείᾳ νοῦν. Ἀλέξανδρος μὲν γὰρ ἐνεργείᾳ νοῦν ἐκάλεσε τὴν μίαν
5 τῶν πάντων ἀρχὴν ἤτοι τὸν θύραθεν νοῦν. Μαρῖνος δὲ ἐνεργείᾳ νοῦν
εἶπεν οὐ τὴν μίαν τῶν πάντων ἀρχὴν ἀλλὰ δαιμόνιόν τινα ἢ ἀγγελικόν·
ἁπλῶς γοῦν οὔτε τὸν ἡμέτερον λέγει ἐνεργείᾳ νοῦν οὔτε τὸν τῆς μιᾶς
τῶν πάντων ἀρχῆς. Πλωτῖνος δὲ ἐνεργείᾳ νοῦν ἐνόησε τὸν ἀνθρώπινον
νοῦν, τὸν μὲν ἀεὶ ἐνεργοῦντα, τὸν δέ ποτε ἐνεργοῦντα. πεπλάνηται δὲ
10 Πλωτῖνος ἀπὸ Πλάτωνος· ἀκούσας γὰρ ἐξ ἐκείνου ὅτι ἡ ψυχὴ ἀεικίνητός 45
ἐστιν, ἐνόμισεν ἀεικίνητον αὐτὸν λέγειν τῷ ἀεὶ νοεῖν, καὶ διὰ τοῦτο οἴεται
εἶναι νοῦν ἀεὶ νοοῦντα. φησὶν οὖν ὁ Πλωτῖνος ὅτι ἐνεργείᾳ νοῦν λέγει
τὸν ἀνθρώπινον νοῦν τὸν ἀεὶ νοοῦντα. Πλούταρχος δέ, ὃ καὶ ἡμεῖς τιθέ-
μεθα, οὐκ οἴεται εἶναι παρ' ἡμῖν διττὸν νοῦν, ἀλλ' ἁπλοῦν, καὶ τοῦτον τὸν
15 ἁπλοῦν οὐ λέγει ἀεὶ νοοῦντα, ἀλλά ποτε νοοῦντα. οἴεται οὖν ὁ Πλούταρχος
ἐνεργείᾳ λέγειν τὸν νοῦν τὸν ἀνθρώπινον, ὃν οἴεται καὶ ποτὲ νοεῖν. τοσαῦταί
εἰσιν αἱ γινόμεναι δόξαι περὶ τοῦ ἐνεργείᾳ νοῦ, τέτταρες τὸν ἀριθμόν, ἡ 50
Ἀλεξάνδρου, ἡ Μαρίνου, ἡ Πλωτίνου, ἡ Πλουτάρχου, καὶ ἑκάστη αὐτῶν
δικαιολογίαις κέχρηται. δίκαιον οὖν ἐκθέσθαι τὰς συνηγορίας ἑκάστης δόξης.
20 Ἀλέξανδρος μὲν οὖν ἔλεγεν ἐνεργείᾳ νοῦν τὸ πρῶτον αἴτιον·
ἐπλανᾶτο δὲ ἐκ τοῦ ἀκούειν αὐτὸν ὅτι πάντα ποιεῖ. τίς γάρ ἐστι
ὁ πάντα ποιῶν, εἰ μὴ ἡ πρώτη αἰτία; εἰ οὖν Ἀριστοτέλης λέγει ὅτι
ὁ κατ' ἐνέργειαν νοῦς πάντα ποιεῖ, δῆλον ὅτι κατ' ἐνέργειαν νοῦν λέγει
τὴν πρώτην αἰτίαν. καὶ ὅτι πάλιν λέγει τῇ οὐσίᾳ σύνδρομον ἔχειν τὴν q 6r
25 ἐνέργειαν τὸν ἐνεργείᾳ νοῦν, ὅπερ μόνῳ θεῷ οἰκεῖον (ὁ γὰρ ἡμέτερος νοῦς
φαίνεται διὰ δυνάμεως τὴν ἐνέργειαν ποιούμενος), καὶ πάλιν ὅτι ἀεὶ ἐνεργεῖ.
ἐντεῦθεν οὖν ὁ Ἀλέξανδρος ἠπατᾶτο καὶ ἔλεγεν ὅτι οὐδενὶ ταῦτα εἰ μὴ
μόνῳ θεῷ ἁρμόττει· θεοῦ γὰρ μόνον οἰκεῖον τὸ σύνδρομον ἔχειν τῇ οὐσίᾳ
τὴν ἐνέργειαν καὶ τὸ ἀεὶ ἐνεργεῖν. ὁ δὲ Πλωτῖνος ἠπατᾶτο ἐκ τοῦ ἀεὶ
30 ἐνεργεῖν καὶ ὑπετίθετο ἐν ἡμῖν νοῦν ἀεὶ ἐνεργοῦντα, καὶ τοῦτον ἔλεγεν 5
ἐνεργείᾳ νοῦν. Μαρῖνος δὲ τοῖς ἐξ ἀμφοῖν χρησάμενος λόγοις δαιμόνιον
νοῦν ἔλεγεν Ἀριστοτέλην εἰπεῖν τὸν ἐνεργείᾳ νοῦν. ἀνθρωπίνου μὲν γὰρ
οὐκ ἔστι, διὰ τὸ εἰπεῖν ὅτι πάντα νοεῖ καὶ τῇ οὐσίᾳ ἐνεργεῖ καὶ ἀεὶ νοεῖ·
ἀλλὰ μὴν οὔτε τοῦ θύραθέν ἐστι νοῦ· εἰ γὰρ λέγει ⟨ὅτι⟩ φωτὶ ἀναλογεῖ
35 καὶ ἕξει καὶ ὅτι μετὰ φαντασίας ἐνεργεῖ καὶ ἐπιλανθάνεται, οὐκ ἔστι
ταῦτα τοῦ θύραθεν νοῦ. τὸ οὖν εἰπεῖν ὅτι φωτὶ καὶ ἕξει ἀναλογεῖ δεί-
κνυσιν ὅτι ταῦτα ἴδιά ἐστι νοῦ τινος μεταξὺ ὄντος τοῦ θύραθεν καὶ τοῦ 10
ἀνθρωπίνου, οἷον ἀγγελικοῦ νοῦ. καὶ τὸ φῶς γὰρ μέσον ἐστὶ φωτίζοντος
καὶ φωτιζομένου, καὶ ἡ ἕξις δὲ μέση ἐστὶν ἐπιτηδειότητος καὶ προχειρί-

---

3 ἐλαμβανόντων t 7 τὸν τῆς] τῶν τῆς t 11 λέγειν τὸ ἀεὶ D 13 ὃ scripsi: ὦ D: ὁ t 17. 18 ἡ quater] ἢ ubique D 21 ἐπλανάτω t 25 ὁ γὰρ Diels: οὐ γὰρ D: οὐ γὰρ ὁ t 27 οὐδενὶ om. D 33 ἐνεργεῖν καὶ ἀεὶ νοεῖν D 34 νοῦν t ὅτι addidi 39. p. 536,1 προχειρίσεως scripsi: προχειρήσεως Dt

σεως· τούτοις δὲ τὸν νοῦν ἀφωμοίωσεν, ὥστε δῆλον ὅτι μέσον τινὰ λέγει q 6r
νοῦν τοῦ τε ἀνθρωπίνου καὶ τοῦ θύραθεν. ὁ δὲ Πλούταρχος δικαιολογεῖται
λέγων ὅτι περὶ ψυχῆς ἐστιν ἡ πραγματεία καὶ οὐκ εἶχεν Ἀριστοτέλης νῦν
περὶ τοῦ θύραθεν νοῦ διαλέγεσθαι· ἀλλ' ἐνεργείᾳ νοῦν καλεῖ τὸν ἀνθρώ-
5 πινον. ἐπειδὴ καὶ περὶ τούτου ἐστὶν ἡ προκειμένη πραγματεία. λοιπὸν 15
κοινὴ καταδρομὴ τῶν τριῶν, Ἀλεξάνδρου φημὶ καὶ Μαρίνου καὶ Πλωτίνου,
⟨ἐκ⟩ τῆς λέξεως γίνεται. εὑρίσκομεν γὰρ τὸν Ἀριστοτέλην λέγοντα ὅτι ὁ
ἐνεργείᾳ νοῦς τῷ μὲν ὑποκειμένῳ ὁ αὐτός ἐστι, τῷ δὲ χρόνῳ διάφορος
παρὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ· πρότερον γὰρ ὢν δυνάμει ὕστερον ἐνερ-
10 γείᾳ γέγονεν. εἰ οὖν ταῦτα ἐν τῇ λέξει φησὶν Ἀριστοτέλης, δῆλον ὅτι
οὔτε θεὸν λέγει νῦν κατ' ἐνέργειαν νοῦν, ὡς Ἀλεξάνδρῳ δοκεῖ (ὁ γὰρ
θεὸς οὐκ ἦν πρότερον δυνάμει, ἀλλ' ἀεὶ ἐνεργείᾳ ἐστί, πηγὴ ὢν ἀγαθό- 20
τητος), οὔτε ὁ δαιμόνιος νοῦς ἢ ὁ ἀγγελικὸς πρότερον δυνάμει ἦν· καὶ
τούτους γὰρ τοὺς νοῦς Ἀριστοτέλης ἐνεργείᾳ βούλεται εἶναι· ὥστε οὖν καὶ
15 ὁ Μαρῖνος κακῶς λέγει. ἀλλὰ καὶ Πλωτίνῳ ἐναντιοῦται. εἰ γὰρ κατ'
αὐτὸν ἀεὶ ἐνεργεῖ, οὐκ ἦν πρότερον δυνάμει· ὁ δὲ Ἀριστοτέλης λέγει ὅτι
πρότερον δυνάμει ἦν. δῆλον οὖν ἄρα γέγονεν διὰ τοῦτο ὅτι οὔτε τὸν θεὸν
λέγει οὔτε τὸν δαιμόνιον ἢ τὸν ἀγγελικὸν οὔτε τῶν ἀεὶ ἐνεργούντων νοῦν,
ἀλλὰ περὶ τοῦ ἐν ἡμῖν νοῦ ἐστιν ὁ λόγος. αὕτη μὲν πρώτη καταδρομή.
20 δευτέρα δέ ἐστιν αὕτη, πῶς λέγει Ἀριστοτέλης ὅτι ὁ νοῦς μόνος ἐστὶν 25
ἀθάνατος καὶ ἀίδιος· ἔφη γὰρ καὶ τοῦτο, μόνον ἀθάνατον καὶ ἀίδιον. εἴ
τε γὰρ τὸ πρῶτον αἴτιον νοήσομεν, οὐκ ἔστι μόνον ἀθάνατον (ἔστι γὰρ
καὶ ἄλλα ἀθάνατα) οὔτε εἰ τὸν ἀγγελικὸν νοήσομεν ἢ τὸν δαιμόνιον, πάλιν
οὗτος μόνος ἀθάνατός ἐστι (καὶ ἡ πρώτη γὰρ αἰτία ἀθάνατος) οὔτε πάλιν
25 κατὰ τὸν Πλωτῖνον εἰ τὸν ἀεὶ νοοῦντα νοῦν νοήσομεν, οὗτος μόνος ἐστὶν
ἀθάνατος· εἰσὶ γὰρ καὶ ἄλλα ἀθάνατα, ὡς οἱ ποτὲ νοοῦντες νόες. οὔτε
γὰρ μόνοι οἱ ἀεὶ νοοῦντες νόες εἰσὶν ἀθάνατοι, ἀλλὰ καὶ οἱ ποτὲ νοοῦντες 30
κατὰ Πλωτῖνον. ὥστε καὶ αὕτη κοινή ἐστι καταδρομὴ αὐτῶν τὸ μὴ εὑρί-
σκειν αὐτοὺς περὶ ποίου νοῦ εἶπεν ὅτι μόνος ἐστὶν ἀθάνατος. οἱ δὲ λέγον-
30 τες τὸν νοῦν τὸν ἀνθρώπινόν ποτε νοεῖν, καὶ τοῦτον μόνον εἶναι καὶ μὴ
ἔχειν ἡμᾶς ἄλλον νοῦν δύνανται ἀπολογήσασθαι καὶ εἰπεῖν οὕτως ὅτι
πολλῶν ὄντων τῶν συμπληρούντων τὸν ἄνθρωπον μόνος ὁ νοῦς ἐστιν
ἀθάνατος καὶ ἀίδιος. τὸ οὖν μόνος πρὸς τὰ συμπληροῦντα τὸν ἄνθρωπον
λογιστέον. Πλωτῖνος δὲ ταύτην τὴν ἀπολογίαν οὐ δύναται εἰπεῖν· δύο γὰρ 35
35 ὑποτίθεται νοῦς, τόν τε ἀεὶ νοοῦντα καὶ τὸν ποτέ· τίνα οὖν ἔχει εἰπεῖν
μόνως ἀθάνατον; εἴτε γὰρ τὸν ἀεὶ νοοῦντα, ψεύδεται· καὶ γὰρ καὶ ὁ ποτὲ
νοῶν ἀθάνατός ἐστιν· εἴτε τὸν ποτὲ νοοῦντα εἴποι ἀθάνατον, ἀλλὰ καὶ ὁ
ἀεὶ νοῶν κατ' αὐτόν. ὥστε οὐδὲ Πλωτῖνος ἔχει λέγειν, πῶς λέγομεν

---

6 καὶ (post φημὶ) om. t 7 ἐκ addidi coll. p. 537.16 7. 8 ὁ ὁ ἐνεργείᾳ (sic) D
8 ὁ αὐτός scripsi: ὁ om. Dt 12 ἀλλ' ἀεὶ scripsi: ἀλλὰ Dt 18 ἐνεργοῦντα t:
fort. τὸν ἀεὶ ἐνεργοῦντα 19 ἡμῖν scripsi: ὑμῖν Dt 27 οἱ (post μόνοι) om. t
28 αὕτη scripsi: αὐτὴ Dt 28. 29 εὑρίσκει t 30 τοῦτον scripsi: τοῦτο Dt
31 ἀπολογίσασθαι D 38 οὐδὲ scripsi: οὔτε Dt

μόνως ἀθάνατον τὸν νοῦν. καλῶς δὲ πρόσκειται τὸ ἀθάνατον καὶ ἀίδιον q 6r
εἶναι τὸν νοῦν· καὶ ἡ ἄλογος γὰρ καὶ ἡ φυτικὴ ἀθάνατοι μέν εἰσιν, οὐκ
ἀίδιοι δέ. εἰ γὰρ χορηγοῦσι ζωήν, οὐδὲν δὲ τὸ ἐναντίον δέχεται οὗ 40
χορηγεῖ, εἰ ἄρα ἔχουσι τὴν ζωήν, καὶ ἀθάνατοί εἰσιν. οὐ μὴν ἀίδιοι·
5 ἀίδιον μὲν γὰρ λέγεται κατὰ τὸ ἀεὶ ὑπάρχειν, ἀθάνατον δὲ κατὰ τὸ ἀεὶ
ζῆν. ὥστε ὁ νοῦς μόνον τῶν ἐν ἡμῖν καὶ ἀεὶ ὑπάρχει καὶ ἀεὶ ζῇ, ἄλο-
γος δὲ καὶ φυτικὴ ἀεὶ μὲν ζῆν λέγεται, οὐκ ἀεὶ δὲ εἶναι. ὥστε καὶ
τοῦτο τῷ ἀνθρωπίνῳ νῷ ὑπάρχει.// αὗταί εἰσιν αἱ κοιναὶ καταδρομαὶ πρὸς
τοὺς τρεῖς. πρὸς Ἀλέξανδρον δὲ καὶ Μαρῖνον ταῦτα λέγειν ἔχομεν ὅτι
10 ἐν τῇ λέξει τὸν κατ' ἐνέργειαν νοῦν χωριστὸν λέγει. οὐ κεχωρισμένον· τὸ
δὲ πρῶτον αἴτιον, ὃ λέγει Ἀλέξανδρος ἐνεργείᾳ νοῦν εἶναι, ἢ ὁ δαιμόνιος, 45
ὃν Μαρῖνος λέγει, κεχωρισμένοι εἰσίν, οὐ μὴν χωριστοί. τὸ μὲν γὰρ
χωριστὸν σημαίνει ὅτι οὔπω μὲν κεχώρισται, δύναται δὲ χωρισθῆναι·
ἐκεῖνοι δὲ ἤδη κεχωρισμένοι εἰσί, καὶ ἡ πρώτη αἰτία καὶ ὁ δαιμόνιος νοῦς
15 ἢ ὁ ἀγγελικός, οὐ μόνον τῷ λόγῳ ἀλλὰ καὶ τῇ οὐσίᾳ, ὅ ἐστι τῷ ὑποκει-
μένῳ. ὥστε καταδρομή ἐστιν ἐκ τῆς λέξεως τὸ εἰπεῖν τὸν κατ' ἐνέργειαν
νοῦν χωριστὸν ἀλλὰ μὴ κεχωρισμένον. καὶ ἄλλη δέ ἐστι καταδρομὴ ὅτι
τὸν νοῦν τοῦτον τὸν κατ' ἐνέργειαν ψυχικὸν καλεῖ· οὔτε δὲ ἡ πρώτη 50
αἰτία, ὦ Ἀλέξανδρε, ψυχική ἐστι οὔτε ⟨ὁ⟩ δαίμων, ὦ Μαρῖνε· ὥστε τὸν κατ'
20 ἐνέργειαν νοῦν οὔτε τὸν δαίμονα δυνάμεθα νοῆσαι οὔτε τὴν πρώτην αἰτίαν,
ἀλλὰ μόνον τὸν ποτὲ ἐνεργοῦντα νοῦν ἐν ἡμῖν, τὸν ἀνθρώπινον. καὶ ὅτι
ἐν τῇ λέξει φησὶ τὸν κατ' ἐνέργειαν νοῦν μετὰ φαντασίας ἐνεργεῖν· οὔτε δὲ
ἡ πρώτη αἰτία μετὰ φαντασίας ἐνεργεῖ οὔτε ὁ δαίμων, ἀλλὰ μόνος ὁ ἐν
ἡμῖν νοῦς. καὶ αὕτη οὖν κοινὴ καταδρομή ἐστιν Ἀλεξάνδρου καὶ Μαρίνου.//
25 πρὸς δέ γε Ἀλέξανδρον ἰδίᾳ ταῦτα ἔχομεν | λέγειν ὅτι πῶς ἔχομεν νοῆσαι q 6v
τὸν κατ' ἐνέργειαν νοῦν λέγειν αὐτὸν τὴν πρώτην αἰτίαν, εἴ γε φωτὶ αὐ-
τὸν ἀπεικάζει καὶ ἕξει; ἡ γὰρ πρώτη αἰτία οὐσία ἐστὶ καὶ οὐχ ἕξις, καὶ
οὐσίας προάγει καὶ οὐδὲν ἀναλογεῖ φωτὶ ἀλλ' αὐτῷ τῷ ἡλίῳ· ὥστε οὖν
καὶ τοῦτο τῷ ἐν ἡμῖν ὑπάρχοντι νῷ ἁρμόζει./ καὶ πάλιν φησὶν Ἀριστο-
30 τέλης ὅτι ὥσπερ τὸ φῶς οὐ ποιεῖ τὰ χρώματα, ἀλλ' ὄντα αὐτὰ φανεροῖ,
οὕτω καὶ ὁ νοῦς πάντα δοκεῖ ποιεῖν τῷ πάντα φανεροῦν. τοῦτο δὲ ἄτοπον 5
περὶ τῆς πρώτης αἰτίας λέγειν· ἡ γὰρ πρώτη αἰτία αὐτὴν τὴν οὐσίαν τῶν
ὄντων παράγει, καὶ οὐδέν ἐστιν ὃ οὐκ αὐτὴ ἐποίησε. καὶ πάλιν, ὦ Ἀλέ-
ξανδρε, ἕξιν αὐτὸν ἐκάλεσεν, ἡ δὲ ἕξις τὸ δεύτερον δυνάμει ἐστίν· ἡ δὲ
35 πρώτη αἰτία κατ' οὐδένα τρόπον δυνάμει ἐστίν. καὶ πάλιν φησὶ περὶ
αὐτοῦ Ἀριστοτέλης ὅτι τῷ μὲν ὑποκειμένῳ ὁ αὐτός ἐστι, τῷ δὲ χρόνῳ
διάφορος παρὰ τὸ δυνάμει καὶ ἐνεργείᾳ· ἡ δὲ πρώτη αἰτία κατ' οὐδένα
τρόπον πρότερον ἑαυτῆς τι ἔχει ἢ δυνάμει ἢ ἐνεργείᾳ. /Ἄλλως τε δὲ καὶ 10
ἐπιλανθάνεσθαι λέγει τὸν νοῦν· τοῦτο δὲ ποῦ ὑπάρξει τῷ θύραθεν; ὁ γὰρ
40 ἐν ἡμῖν νοῦς ἐστιν ὁ ἐπιλανθανόμενος διὰ τὴν πρὸς τὸ σῶμα σχέσιν ἐμ-
ποδιζόμενος. πάντα οὖν ὅσα λέγει ἁρμόζειν Ἀριστοτέλης τῷ ἐνεργείᾳ νῷ,

---

3. 4 οὗ χορηγεῖ] οὐ χορηγία D 5 ὑπάρχον t 8 τούτω D 12 γὰρ om. t 19 ὁ addidi 35 οὐδὲν t 38 ἡ δυνάμει t 39 τῷ] τὸ t

περὶ τοῦ ἀνθρωπίνου νοῦ ἐστιν αὐτῷ ὁ λόγος τοῦ ἀπὸ τοῦ δυνάμει φερο- q 6v
μένου εἰς τὸ ἐνεργείᾳ. // τοῦτο δὲ ἀποδείκνυται, εἰ τὰ δοκοῦντα μὴ ὑπάρ-
χειν αὐτῷ, λέγω δὴ τὸ πάντα ποιεῖν καὶ τῇ οὐσίᾳ ἐνεργεῖν καὶ τὸ ἀεὶ
νοεῖν, δείξομεν αὐτῷ ὑπάρχοντα. δεῖ τοίνυν εἰδέναι ὅτι πάντα λέγεται 15
5 ποιεῖν ὁ ἐνεργείᾳ νοῦς διὰ τὸ πάντων τοὺς τύπους καταγράφειν ἐν τῷ δυ-
νάμει νῷ. διὸ καὶ Πλάτων γραφείῳ τοῦτον εἰκάζει, Ἀριστοτέλης δὲ αὐ-
τόθεν γραφέα αὐτὸν ὑποτίθεται. εἰ γὰρ ὁ δυνάμει νοῦς πάντα γίνεται, ὁ
ἐνεργείᾳ ἄρα πάντα ποιεῖ. ὥστε τοῦτο δυνατὸν ἐπὶ τοῦ ἀνθρωπίνου νοῦ
ὑπάρχειν· ὁ γὰρ θύραθεν οὐ καταγράφει ἐν τῷ δυνάμει νῷ πάντα, ἀλλ'
10 ὁ ἐν ἡμῖν ἐνεργείᾳ. // ἁρμόζει δὲ αὐτῷ καὶ τὸ ἄλλο ῥησίδιον τὸ λέγον
ὅτι τῇ οὐσίᾳ ἐνεργεῖ· καὶ ἵνα τοῦτο νοήσωμεν, ἄνωθεν ὀλίγον προλάβω-
μεν. ὁ ἐπιστήμων οὔτε ψυχή ἐστι μόνον οὔτε ἐπιστήμη μόνον, ἀλλὰ 20
κρᾶμά ἐστιν ἐξ ἀμφοτέρων· σύγκειται γὰρ ὁ ἐπιστήμων ἐκ ψυχῆς καὶ ἐπι-
στήμης. καὶ ἀναλογεῖ ἡ μὲν ψυχὴ ὕλῃ, ἡ δὲ ἐπιστήμη εἴδει· καὶ ἐπειδὴ
15 παντὸς πράγματος, ὡς ἐν τῇ Φυσικῇ ἔγνωμεν, μᾶλλον οὐσία ἐστὶ τὸ εἶ-
δος τῆς ὕλης, οὐσία ἄρα ἐστὶ τοῦ ἐπιστήμονος ἡ ἐπιστήμη, καὶ ὁ ἐπι-
στήμων κατὰ τὴν ἐπιστήμην ἐνεργεῖ, αὕτη δὲ δέδεικται οὐσία οὖσα τοῦ
ἐπιστήμονος. κατὰ τοῦτο οὖν ἄρα λέγεται τῇ οὐσίᾳ ἐνεργεῖν, διὰ τὸ τὴν
ἐπιστήμην οὐσίαν εἶναι τοῦ ἐπιστήμονος· οὔτε γὰρ κατὰ τὸ ὑψηλὸν ἐκεῖνο 25
20 καὶ ἐπηρμένον θεώρημα ὅτι ὡς ἐπὶ θεοῦ ἡ αὐτή ἐστιν ἡ οὐσία τῇ ἐνερ-
γείᾳ· ἐπὶ γὰρ τῶν ψυχῶν καὶ τῶν ἄλλων οὐσιῶν χωρὶς τῆς πρώτης αἰ-
τίας καὶ οὐσία ἐστὶ καὶ δύναμις καὶ ἐνέργεια. τῇ οὖν οὐσίᾳ λέγεται ἐνερ-
γεῖν διὰ τὸ τὴν ἐπιστήμην οἱονεὶ οὐσίαν λέγεσθαι τῆς ψυχῆς. ἐκ τοῦ
κρείττονος οὖν ὠνόμασε τὸν νοῦν· ἐπειδὴ γὰρ τῇ ἐνεργείᾳ ἐνεργεῖ ὁ νοῦς,
25 καὶ ὢν ἐνεργείᾳ ἐνεργεῖ, κρείττων δὲ ἐν πᾶσιν ἡ ἐνέργεια καὶ ἡ οὐσία,
διὰ τοῦτο θέλων εἰπεῖν ὅτι τῇ ἐνεργείᾳ ἐνεργεῖ, εἶπεν τῇ οὐσίᾳ ὡς ἀπὸ 30
κρείττονος, ὥσπερ ἀπὸ ἑνὸς τιμιωτέρου πολλάκις τὸ πᾶν δηλοῦμεν, ὡς τὸ
"Τεῦκρε, φίλη κεφαλή". καὶ τοῦτο οὖν ἁρμόττει τῷ ἐνεργείᾳ νῷ τοῦ ἀν-
θρώπου· ἐνεργείᾳ γὰρ ὢν νοεῖ· ὁ δὲ θύραθεν αὐτόθεν ἐνέργειά ἐστιν. ὅτι
30 δὲ κατὰ τὸ τίμιον ἔλαβε τὴν οὐσίαν, δηλοῖ εἰπὼν 'ὅτι γὰρ τοῦτο οὕτω,
δῆλον· τὸ γὰρ ποιοῦν τοῦ πάσχοντος τιμιώτερον, καὶ ἡ ἀρχὴ τῆς ὕλης'.
ὥστε τὴν οὐσίαν ὡς τιμιωτέραν παρέλαβε. καὶ τὸ τρίτον δὲ ἁρμόζει αὐ-
τῷ, ὅτι ὁ νοῦς ἀεὶ νοεῖ, οὐχ ὡς Πλωτῖνος οἴεται, ὅτι ἀεὶ διὰ παντὸς ὁ
αὐτὸς νοεῖ (οὐ γὰρ τὸν ἕνα τῷ ἀριθμῷ νοῦν λέγομεν ἀεὶ νοεῖν), ἀλλ' ὅτι 35

---

3 ποιεῖν] ποῖον t 6 Πλάτων] Phileb. p. 39 A sqq. (?) γραφείῳ] γραφεῖ D εἰκάζειν D 7 ἡ δυνάμει t 10 ὁ om. t ῥησίδιον] ἀΐδιον D 14 εἰ μὲν t εἴδη t 15 ἐν τῇ Φυσικῇ] B 1 p. 193b6, cf. Metaph. Z 3 p. 1029a29 17 αὕτη] αὐτὴ t δὲ om. D 18 οὖν om. Pal. 20 ἡ αὐτή Pal.: αὐτὴ Dt 21 ἄλλων] ἀύλων Pal. 25 κρείττων Pal.: κρεῖττον Dt ἡ ἐνέργεια καὶ ἡ οὐσία D Pal.: τῆς ἐνεργείας ἡ οὐσία t: ἡ οὐσία ἢ ἡ ἐνέργεια Strehlke; sed nihil mutandum videtur 26 ἐνεργεῖ] ἐνεγεῖν (sic) t 27 τὸ πᾶν Pal.: τὸ om. Dt 28 Τεῦκρε —κεφαλή] Il. Θ 281 29 ἐνέργειά Pal.: ἐνεργείᾳ Dt 33 Πλωτῖνος] Enn. V 9,5

ὁ ἐν ὅλῳ τῷ κόσμῳ ἀνθρώπινος νοῦς ἀεὶ νοεῖ. κἂν γὰρ ἐγὼ μὴ νοῶ, q 6v
ἀλλ' οὖν ἄλλος νοεῖ, καὶ τῇ διαδοχῇ γίνεται τὸ ἀεί, ἵνα μὴ ἐπιλείψῃ ἡ
ἔλλαμψις πρὸς ἡμᾶς ἡ τοῦ θεοῦ· εἰ γὰρ μὴ ἀεὶ νοοῦμεν, ὅτε μὴ νοοῦ-
μεν, ἐπιλείψει. εἰ δὲ οὕτω λέγομεν τὸ ἀεὶ νοεῖν, τοῦτο ἐπὶ τοῦ ἀνθρω-
5 πίνου νοῦ ὑπάρχει· ἀεὶ γὰρ νοεῖν λέγομεν οὐκ ἐπὶ τοῦ ἑνὸς κατ' ἀριθμόν,
ἀλλ' ἐπὶ πάντων, ὥσπερ καὶ ἀεὶ ζῆν λέγομεν ἄνθρωπον οὐ διὰ Σωκρά-
την, ἀλλ' ὅτι τις ἄνθρωπος ἀεὶ ζῇ. ἢ ὅτι ἀεὶ νοεῖν λέγεται, ἐπειδὴ ἀεὶ 10
δύναται νοεῖν· ὁ γὰρ ἔχων τὸν νοῦν ἐν οἵᾳ δή ποτε ὥρᾳ βούλεται νοεῖ.
ὥστε τῷ ἀνθρωπίνῳ νῷ τοῦτο ὑπάρχει· ὁ γὰρ θύραθεν νοῦς ὁ εἷς κατ'
10 ἀριθμὸν πάντα νοεῖ. καὶ ταῦτα μὲν εἴρηται πρὸς ὑποτύπωσιν τῆς θεω-
ρίας· ἀγὼν δὲ ἡμῖν ἐστι τὰ δέκα ταῦτα κεφάλαια δεῖξαι ἐν τῇ λέξει καὶ
πλατῦναι αὐτά. ἐν οἷς ἡ θεωρία.

Ἐπεὶ δὲ ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν ὅλη
ἑκάστῳ γένει, τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα. ἐκ τούτων τί
15 θέλει δεῖξαι; ὅτι πάντα ποιεῖ ὁ νοῦς καὶ ψυχικός ἐστι. προάγει δὲ οὕτω 45
τὸν λόγον ὅτι ὥσπερ ἐν τοῖς φυσικοῖς καὶ τεχνητοῖς ἐστι τὸ μὲν δυνάμει,
ὃ εἶπε ὅλην, τὸ δὲ ἐνεργείᾳ, ὃ εἶπε ποιητικὸν αἴτιον, οὕτω καὶ ἐν τῇ ψυχῇ,
φησί, ἐστὶ δυνάμει νοῦς καὶ ἐνεργείᾳ νοῦς. καὶ διὰ μὲν τοῦ εἰπεῖν ἐν τῇ ψυχῇ
ἔδειξεν ὅτι ψυχικός ἐστιν. ἐνεργείᾳ ἄρα πάντα ποιεῖ, ἐξ οὗ ἔχεις ὅτι
20 πάντα ποιεῖ. ἰδοὺ οὖν δύο κεφάλαια. διὰ τί δὲ εἰπὼν ἐν ἑκάστῃ φύσει,
εἶπεν καὶ ἐν ἑκάστῳ γένει; εἰπὲ ὅτι τὸ ἐν ἑκάστῃ φύσει καθολικώτερον
ἔλαβε, τὸ δὲ ἐν ἑκάστῳ γένει μερικώτερον, ἵνα ᾖ τοιοῦτον ὅτι ὥσπερ ἐν
ἑκάστῳ ζῴῳ, ὃ εἶπε φύσιν, ἔστι τὸ δυνάμει καὶ ἐνεργείᾳ, οὕτω καὶ ἐν 50
ἑκάστῳ γένει ἐστὶ ταῦτα, οἷον ἀνθρωπείῳ ἢ ἱππείῳ, ἢ τῷδε ἢ τῷδε.
25 ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ
δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα. ἰδοὺ ἄλλο ἴδιον τοῦ
νοῦ, τὸ ἕξει καὶ φωτὶ αὐτὸν ἀναλογεῖν, καὶ δικαίως· ὥσπερ γὰρ τὸ φῶς τὰ
χρώματα ποιεῖ ὁρατά (οὐ γὰρ χρώματα αὐτὰ ποιεῖ, ἀλλὰ τὴν ἐνέργειαν
αὐτῶν προβάλλεται), καὶ ὥσπερ ἡ ἕξις ἐνέργειαν προβάλλεται καὶ οὐκ
30 οὐσίαν, οὕτω καὶ ὁ ἐν ἡμῖν νοῦς ἐνέρ|γειαν προβάλλεται καὶ οὐκ οὐσίαν· q 7r
διὸ τούτοις ἀναλογεῖ. εἰ δὲ ταῦτα οὕτως, οὐ περὶ τοῦ θείου νοῦ ἐστιν ὁ
λόγος· ἐκεῖνος γὰρ καὶ οὐσίας προβάλλεται. καὶ κατ' ἄλλο δὲ ἀναλογεῖ
ἕξει ὁ ἡμέτερος νοῦς, οὐχ ὅτι ποιότης τίς ἐστιν, ἀλλ' ὥσπερ ἡ ἕξις ἔχει
πρὸς τὸ πρῶτον δυνάμει (τελειοῖ γὰρ αὐτό) οὕτω καὶ ὁ κατ' ἐνέργειαν
35 νοῦς τελειοῖ τὸ δυνάμει τοῦ νοῦ. διὰ δὲ τὸ εἰκάσαι αὐτὸν φωτὶ ἠπατήθη
ὁ Ἀλέξανδρος, διὰ τὸ εἰπεῖν τὸν Ἀριστοτέλην πάντα ποιεῖν αὐτὸν ὥσπερ 5
τὸ φῶς. ἀλλ' οὐκ ὤφελεν ἀπατηθῆναι· προστέθεικε γὰρ Ἀριστοτέλης
τρόπον τινά, ὁ δὲ θεὸς οὐ τρόπον τινὰ πάντα ποιεῖ, ἀλλὰ κατὰ πάντα
τρόπον ποιεῖ τὰ πάντα.

---

1 ὁ D Pal.: om. t: del. Strehlke γὰρ om. t 3 ἔλλαμψις t Pal.: ἔκλαμψις D 4 τὸ scripsi: τὰ Dt 9 ὥστε] ὥσπερ Pal. 13 δὲ om. t 11 ὅ τε πάντα t
17 ὕλην — εἶπε om. t 21 ἐν utrumque om. t 30 καὶ (ante οὐκ) om. t
34 ὁ] οὐ t 35 τὸ (ante δυνάμει) scripsi: τὰ Dt 37 ὤφειλεν t προστέθηκε t

p. 430a17 Καὶ οὗτος ὁ νοῦς χωριστὸς καὶ ἀμιγὴς καὶ ἀπαθὴς q 7r
τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ.

Ἰδοὺ τὸ ἄλλο ἴδιον λέγει, ὅτι χωριστός ἐστι. καὶ διὰ τί μὴ εἴπομεν ἐν τῇ θεωρίᾳ καὶ τὸ ἀμιγὲς καὶ τὸ ἀπαθές, ὡς νῦν λέγει; ἐπειδὴ ταῦτα 10
5 συμπεριλαμβάνεται ἐν τῷ χωριστῷ· τὸ γὰρ χωριστὸν καὶ ἀμιγές ἐστι καὶ ἀπαθές. διὰ δὲ τοῦ εἰπεῖν τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ τὸ ἄλλο λέγει ἴδιον, ὅτι τῇ οὐσίᾳ ἐνεργεῖ. καὶ ὅτι τοῦτο κατὰ τὸ τίμιον ἔλαβε, δηλοῖ τὸ εἰπεῖν 'ἀεὶ γὰρ τὸ ποιοῦν τοῦ πάσχοντος κρεῖττον', τουτέστι τὸ ἐνεργείᾳ τοῦ δυνάμει· τὸ γὰρ ποιοῦν τὸ ἐνεργείᾳ ἐστί, πάσχον δὲ τὸ δυνάμει. καὶ ἡ
10 ἀρχὴ δὲ τῆς ὕλης τιμιωτέρα, ἀρχὴν λέγων τὸ εἶδος. καὶ ἡ οὐσία οὖν ὡς τιμιωτέρα νῦν εἴρηται, οὐχ ὅτι ὁ νοῦς οὐσίαν ἔχει ἄνευ δυνάμεως· τοῦτο γάρ ἐστιν ἐπὶ τοῦ θύραθεν νοῦ, οὐ περὶ τοῦ ἐν ἡμῖν· οὗτος γὰρ 15
ἔχει δυνάμεις.

p. 430a19 Τὸ αὐτὸ δέ ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ
15 πράγματι.

Τοῦτο ἐν μέσῳ ἔρριψεν ὅτι ὁ κατ' ἐνέργειαν νοῦς τὰ πράγματά ἐστιν, ὥσπερ ὁ δυνάμει νοῦς δυνάμει ἐστὶ τὰ πράγματα.

p. 430a20 Ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί. 20

Τὸ ἄλλο ἴδιον λέγει τοῦ νοῦ ὅτι ὁ δυνάμει νοῦς τοῦ ἐνεργείᾳ πρότε-
20 ρός ἐστι τῷ χρόνῳ. καὶ ἵνα μή τις εἴπῃ ὅτι τοῦτο ψεῦδος ἐν ὅλῳ τῷ κόσμῳ (τὸ γὰρ ἄλλου ἐνεργείᾳ ἄλλου δυνάμει πρότερόν ἐστιν· οὐ γὰρ ποτὲ μὲν ἐνεργεῖ ὁ νοῦς ποτὲ δὲ οὐκ ἐν ὅλῳ τῷ κόσμῳ, ἀλλ' ἀεὶ καὶ τὸ ἄλλου ἐνεργείᾳ ἄλλου δυνάμει πρῶτόν ἐστι, καὶ ἐκ τούτου ἔχεις ἄλλο ἴδιον ὅτι ἀεὶ νοεῖ), διὰ τοῦτο οὖν εἶπεν ὅτι ἐν τῷ ἑνὶ ἀνθρώπῳ τὸ δυνάμει ἐστὶ
25 πρότερον τοῦ ἐνεργείᾳ, οὐκ ἐν τῷ ὅλῳ κόσμῳ· ἐν γὰρ τῷ ὅλῳ κόσμῳ 25
φασί τινες οὐδὲν τοῦ ἄλλου πρότερον, οὔτε τὸ δυνάμει τοῦ ἐνεργείᾳ οὔτε τὸ ἐνεργείᾳ τοῦ δυνάμει. εἰ γὰρ ἀΐδιος ὁ κόσμος κατὰ τὸν Ἀριστοτέλην, οὐδέτερον θατέρου πρότερον, ἀλλ' ὁμόχρονά ἐστι. καὶ ἔοικε τοῦτο τῷ ζητουμένῳ παρὰ τοῖς ἰδιώταις, ὅτι ποῖον πρότερον, τὸ ᾠὸν ἢ ἡ ὄρνις.
30 τοῦτο δὲ αἰνίττεται εἰπὼν ὅτι ὅλως δ' οὐ χρόνῳ. ἀντὶ τοῦ ὅλῳ κόσμῳ. καὶ ὅλως ἀντὶ τοῦ ὁλικῶς καὶ κοσμικῶς, οὐ χρόνῳ προηγεῖται τὸ δυνάμει τοῦ ἐνεργείᾳ.

---

1 οὕτως t 4 νῦν] νοῦν t 9 δὲ τοῦ δυνάμει D 10 λέγω t 13 δυνάμει t 22 οὐκ scripsi: οὐ Dt 28 οὐδέτερον] οὐδὲν ἕτερον Pal.

p. 430a22 Χωρισθεὶς δέ ἐστι μόνον τοῦτο ὅπερ ἐστί. q 7r

Καὶ τοῦτο πάλιν ἐν μέσῳ ἔρριπται ὅτι ἡνίκα χωρισθῇ ὁ νοῦς καὶ γένηται κατ' ἐνέργειαν, τότε γίνεται ὅπερ ἐστί, τούτεστι κυρίως νοῦς· ὁ γὰρ δυνάμει οὐκ ἔστι κυρίως νοῦς.

p. 430a23 Καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀίδιον.

Ἰδοὺ πάλιν ἄλλο ἴδιον λέγει ὅτι ἀθάνατος καὶ ἀίδιός ἐστιν ὁ νοῦς. τοῦτο δὲ μόνον εἶπε τῶν συνιστώντων τὸν ἄνθρωπον· μόνος γὰρ οὗτος ἀίδιος καὶ ἀθάνατος. ἡ γὰρ ἄλογος καὶ ἡ φυτικὴ ψυχή, ὡς ἐρρήθη, ἀθάνατος μέν, οὐκ ἀίδιος δέ· ἀθάνατος δὲ λέγεται κἂν φθαρτὴ ὑπάρχῃ, ἐπειδὴ οὐ καθὸ ψυχὴ φθείρεται, ἀλλὰ καθὸ ἐν σώματί ἐστι. διὸ καὶ ὁ Πλάτων λέγει πᾶσαν ψυχὴν ἀθάνατον, τοῦτο λέγων καὶ ἐπὶ φυτικῆς καὶ ἀλόγου. ἡ δὲ ὅλη τὸ ἀνάπαλιν ἀίδιος μέν, οὐκ ἀθάνατος δέ. διὸ ὁ νοῦς ἀνώλεθρος λέγεται ὡς καὶ ἀίδιος καὶ ἀθάνατος. ὅρα δὲ ὅτι τοῦτο οὐ περὶ τοῦ θύραθεν νοῦ λέγει· τὸ γὰρ τοῦτο μόνον οὐδετέρως κείμενον πρὸς τὸ ἄνω ῥηθὲν συντάττεται ὅτι μόριον ψυχῆς [ὡς] εἶναι τὸν νοῦν· τοῦτο δὲ τὸ μόριον τῆς ψυχῆς ἀθάνατόν τε καὶ ἀίδιον, ὁ δὲ θύραθεν οὐ μόριον.

p. 430a23 Οὐ μνημονεύομεν δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός.

Ὅρα ὅτι τὸ ἄλλο ἴδιον λέγει, ὅτι ἐπιλανθάνεται ὁ νοῦς. ὁ μέντοι Πλούταρχός φησιν ὅτι τοῦτο ὡς πρὸς ἀπορίαν εἴρηται τὴν λέγουσαν 'διὰ τί οὐκ ἀεὶ νοεῖ ὁ νοῦς, εἴπερ ἔνδον ἔχει τὸ γνωστικόν'; καὶ λύων φησὶν ὅτι τούτου αἴτιον τὸ μετὰ φαντασίας ἐνεργεῖν αὐτόν, κἀκείνης φθαρείσης οὐκέτι ἐνεργεῖ δι' ἐκείνην καὶ οὐχὶ δι' ἑαυτόν. ἀποροῦσι δὲ ὅτι καὶ ἐπιλανθάνεται ὁ νοῦς ὧν ἐν τῷ ἄλλῳ βίῳ ἔζησε, τῶν μερικῶν ἐφ' ὧν ἡ φαντασία συνήργησε, διὰ τὸ ἐκείνην φθαρῆναι. διὰ τί οὖν μὴ μνημονεύει ὧν αὐτὸς ὁ νοῦς κατέσχε τύπον ἀπὸ τῆς φαντασίας καὶ ὧν καθ' ἑαυτὸν ἐνήργησεν; ἴσμεν γὰρ ὅτι καὶ αὐτῷ Ἀριστοτέλει δοκεῖ ὅτι ἐστί τινα ἃ ὁ νοῦς δίχα φαντασίας ἐνεργεῖ, οἷον τὴν πρὸς ἑαυτὸν ἐπιστροφήν, τὴν τῶν ἀσωμάτων ἔννοιαν, τὴν πρὸς τὸ θεῖον ἐπιστροφήν, τὴν γνῶσιν τῶν καθόλου, καὶ ἁπλῶς ὅσα χωρὶς αἰσθήσεως νοεῖ, ταῦτα καὶ χωρὶς φαντασίας νοεῖ. πρὸς ὃ ἔστιν εἰπεῖν ὅτι εἰ ἐν νόσῳ μερικῇ ἐκτρέπονται καὶ ἐπιλανθάνονται τῶν πρώην, ὡς καὶ Θουκυδίδης ἱστορεῖ λέγων 'σφᾶς τε αὐτοὺς ἔλαθον,'

---

6 ἀίδιός] ἴδιός t 7 συνιστόντων D 9 post φθαρτὴ add. καὶ οὐκ ἀίδιος Pal.
10. 11 ὁ Πλάτων] Phaedr. p. 245 C 14 οὐ δευτέρως t 15 ὡς delevi
23 τούτου] τούτω t 26 μὴ om. t 33 Θουκυδίδης] II 49 ἠγνόησαν σφᾶς τε αὐτοὺς σφατ ἑαυτοὺς (sic) D

πόσῳ μᾶλλον ἐν μεταβολῇ ὅλου βίου οὐκ ἐπιλανθάνονται τῶν πρώην. ἐκ q 7r
τούτου δὲ τρία ἔχε δόγματα, ὅτι τὴν φαντασίαν φθαρτὴν δοξάζει· ἰδοὺ γὰρ
λέγει ὅτι ὁ παθητικὸς νοῦς φθαρτός· καὶ ἄλλο δόγμα ὅτι ὃν νοῦν εἶπε μὴ
μνημονεύειν, | τοῦτον εἶπεν ἀπαθῆ· ὥστε τὸν ἐν ἡμῖν λέγει ἀπαθῆ· ὁ q 7v
5 γὰρ θύραθεν οὐ λέγεται ἐπιλανθάνεσθαι.

p. 430a25 Καὶ ἄνευ τούτου οὐθὲν νοεῖ.

Τὸ ἄλλο ἴδιον λέγει ὅτι ἄνευ φαντασίας ὁ νοῦς οὐκ ἐνεργεῖ. ὅρα δὲ ὅτι παραμυθίας δεῖται ὁ λόγος· οὐ γὰρ ἀεὶ ἐνεργεῖ μετὰ φαντασίας, εἰ μὴ ἄρα εἴποις ὅτι ἡνίκα περὶ τὰ μερικὰ καταγένηται. ἢ εἰπὲ καὶ τὸ ἄλλο 5
10 ὅτι ὀλίγαι εἰσὶν ἀφάνταστοι ἐνέργειαι· καὶ ὅτε γὰρ περὶ τὰ θεῖα ἐνεργεῖ, παρεισπορεύεται ἡ φαντασία, τόπον ἐντιθεῖσα τοῖς ἀτυπώτοις, καὶ διὰ τοῦτο ὁ Πλάτων ἔσχατον αὐτὴν λέγει κακόν. εἰ οὖν ὡς ἐπίπαν μετὰ φαντασίας ἐνεργεῖ, εἰπὲ ὅτι νῦν τὸ ὡς ἐπίπαν ἀντὶ τοῦ ἀεὶ ἔλαβεν. ἢ εἰπὲ καὶ τὸ ἄλλο ὅτι ἀεὶ ὁ νοῦς μετὰ φαντασίας ἐνεργεῖ. εἰ γὰρ πάσης ἐπιστήμης
15 ἀρχὴ ἡ αἴσθησις, καὶ ἐὰν ἐκλείψῃ αἴσθησις, καὶ φαντασία ἐκλείπει, εἰ δὲ φαντασία, ἐκλείψει καὶ νόησις (διὸ οἱ ἐκ γενετῆς τυφλοὶ οὔτε φαντάζονται περὶ χρωμάτων οὔτε νοοῦσι), δῆλον ἄρα ὅτι δίχα φαντασίας οὐκ ἐνεργεῖ ὁ 10
νοῦς. ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

p. 430a26 Ἡ μὲν οὖν τῶν ἀδιαιρέτων νόησις ἐν τούτοις, περὶ
20 ἃ οὐκ ἔστι τὸ ψεῦδος.

Μετὰ τὸν δυνάμει νοῦν τέσσαρα ἐσχηκότα κεφάλαια καὶ τὸν ἐνεργείᾳ νοῦν τὰ ῥηθέντα δέκα κεφάλαια ἐσχηκότα ἔρχεται λοιπὸν ἐπὶ τὰ νοητά. 15
ἰστέον δὲ ὅτι ἐπὶ μὲν τῆς λογικῆς ψυχῆς ἀπὸ τοῦ νοῦ δεῖ ἄρξασθαι ὡς σαφεστέρου τῶν νοητῶν, ἐπὶ δὲ τῆς ἀλόγου ἀπὸ τῶν αἰσθητῶν ὡς σαφε-
25 στέρων· πανταχοῦ γὰρ τῆς διδασκαλίας ἀπὸ τῶν σαφεστέρων καλὸν τὴν ἀρχὴν ποιήσασθαι. περὶ τοῦ νοῦ οὖν διδάξας ἦλθεν ἐπὶ τὸ νοητόν. φησὶ τοίνυν ὅτι τὸ νοητὸν ἀδιαίρετόν ἐστι· μὴ ἐκ τούτου δὲ νομίσῃς ὅτι τὸν νοῦν λέγει μόνα τὰ ἀδιαίρετα εἰδέναι. οἶδε γὰρ καὶ τὰ ἀδιαίρετα καὶ τὰ διαιρούμενα, ἀλλ' ἀδιαιρέτως καὶ κεντρικῶς οἶδε τὰ διαιρού- 20
30 μενα· καὶ τὸ κέντρον γὰρ τὸν κύκλον σπερματικῶς περιέχει. πάντα οὖν νοεῖ ὁ νοῦς ἀδιαιρέτως· τοῦτο γὰρ ἴδιον τοῦ νοῦ, τὸ συνάγειν καὶ ἑνοποιεῖν τὰ διαιρετὰ καὶ ἀδιαιρέτως αὐτὰ νοεῖν. ὅτι δὲ καὶ τὰ διαιρετὰ οἶδεν

---

2 τρία] legendum δύο 3 ὃν] παθητικὸν D εἶπε νοῦν coll. t 9 καταγένεται t εἰπὲ scripsi: εἶπε Dt 11 παρατρέχει t ἀτυπώτοις] ἀτυπότοις t: τυπωτοῖς D 12 ὁ Πλάτων] Phaed. p. 66 D 13 εἰπὲ bis scripsi: εἶπε Dt ἐπίπαν] ἐποίησαν t ἀεὶ ἔλαβεν — καὶ τὸ iterat D 15 ἡ om. t ἐκλείψῃ scripsi: ἐκλείψει Dt 18 post πληροῦται add. πρᾶξις σὺν θεῷ ιβ' t: eadem in marg. exhibet D[1] 21 τῶν ἐνεργείᾳ t 23 ἄρξεσθαι t 25 καλῶν D 31. 32 ἑνοποιεῖν scripsi: ἑνοποιῶν D

ἀδιαιρέτως, δηλοῖ τὸ εἰπεῖν αὐτὸν ἐν τῇ Ἀποδεικτικῇ ὅτι οὐ μόνον ἐπι- q 7v
στήμη ἀλλὰ καὶ ἀρχὴ ἐπιστήμης ἐστὶν ᾗ τοὺς ὅρους γινώσκει, ἀρχὴν
ἐπιστήμης τὸν νοῦν καλέσας, ἐπιστήμην δὲ τὴν διάνοιαν. καὶ ἰδοὺ τὸν
νοῦν ὁρικῶς καὶ ἀδιαιρέτως φησὶν εἰδέναι τὰ πράγματα. ἐπειδὴ δὲ περὶ 25
5 τοῦ ἀδιαιρέτου ἐστὶν ὁ λόγος, δεῖ εἰδέναι ὅτι πενταχῶς λαμβάνει τὸ ἀδιαί-
ρετον. λέγεται γὰρ ἀδιαίρετον ὁ ὅρος. ἴσμεν γὰρ ὅτι ἡ πρότασις δύο
ὅρους ἔχει τὸν ὑποκείμενον καὶ τὸν κατηγορούμενον, οἷόν ἐστι πρότασις
Πλάτων περιπατεῖ. καὶ Πλάτων ὅρος ἐστὶ καὶ τὸ περιπατεῖ ὅρος. καὶ ἁπλῶς
ὅρος ἐστίν, ὡς ἐν τῷ Περὶ ἑρμηνείας ἐμάθομεν, ἡ ἁπλῆ φωνή. τοῦτο
10 οὖν ἐστι πρῶτον σημαινόμενον τοῦ ἀδιαιρέτου, ὁ ὅρος. δεύτερόν ἐστι 30
σημαινόμενον τὸ συνεχὲς μέγεθος· τοῦτο γὰρ δυνάμει μὲν διαιρετόν
ἐστιν, ἐνεργείᾳ δὲ ἀδιαίρετον. τρίτον ἐστὶ σημαινόμενον τὸ ἐν ποσῷ ἀμερές,
οἷον στιγμή, μονάς, νῦν· ταῦτα γάρ ἐστι τὰ ἐν ποσῷ ἀδιαίρετα. τέταρτον
σημαινόμενόν ἐστι τοῦ ἀδιαιρέτου τὸ ἔνυλον εἶδος· οὐ γὰρ αὐτὸ διαιρεῖται,
15 ἀλλὰ τὸ ὑποκείμενον αὐτῷ. πέμπτον σημαινόμενόν ἐστι τὸ ἄυλον εἶδος.
ταῦτά ἐστι τὰ πέντε σημαινόμενα τοῦ ἀδιαιρέτου. ὅθεν καὶ ἀπορῆσαι
ἔχομεν δύο ἀπορίας, μίαν μὲν ὅτι πῶς ἀντιδιέστειλε τῷ ὅρῳ τὰ ἄλλα
δ ἀδιαίρετα, εἴ γε καὶ τὰ ἄλλα τέσσαρα ὅρος εἰσί; ἕκαστον γὰρ αὐτῶν 35
ἁπλῆ φωνή ἐστι, καὶ διὰ τοῦτο ὅρος· οὔτε γὰρ πρότασίς ἐστι τὸ λέγειν
20 συνεχὲς μέγεθος, οὔτε πάλιν πρότασίς ἐστι τὸ εἰπεῖν ἄυλον εἶδος· εἷς γάρ
ἐστιν ὅρος μόνον ἕκαστον τούτων, ἐξ ἑνὸς δὲ μόνον ὅρου πρότασις οὐ
γίνεται. εἰ οὖν ταῦτα οὕτως, πῶς ἀντιδιέστειλεν αὐτὰ τῷ ὅρῳ, εἴ γε καὶ
αὐτὰ ὅροι εἰσίν; αὕτη ἐστὶν ἡ πρώτη ἀπορία. πρὸς ἣν ἐροῦμεν ὅτι ἄλλο
ἐστὶ τὸ εἰπεῖν ἁπλῶς ὅρον καὶ ἄλλο ἐστὶ τὸ εἰπεῖν τοιόνδε ὅρον. τὸ οὖν
25 πρῶτον σημαινόμενον τοῦ ἀδιαιρέτου τὸν ἁπλῶς ὅρον αἰνίττεται, τὰ δὲ ἄλλα 40
δ τὸν τοιόνδε ὅρον. οὐκ ἀντιδιέστειλεν οὖν ἀλόγως ἀλλὰ καὶ εὐλόγως τὸν
ἁπλῶς ὅρον τῷ τοιῷδε ὅρῳ. αὕτη καὶ ἡ ἐπίλυσις. δευτέραν ἀπορίαν
ἀπορροῦσι τοιαύτην. διὰ τί ἀντιδιέστειλεν τὸ ἔνυλον εἶδος τῷ μεγέθει; καίτοι
αὐτὸ τὸ μέγεθος ἔνυλον εἶδός ἐστι· τῇ γὰρ ἀνειδέῳ ὕλῃ πρῶτον εἶδος
30 πρὸ τῶν ἄλλων πάντων εἰδῶν τοῦτο ἐπιγίνεται. τὸ μέγεθος· πρῶτον γὰρ
ποσοῦται, εἶθ' οὕτω ποιοῦται. εἰ οὖν τὸ μέγεθος ἔνυλον εἶδός ἐστι. διὰ
τί ἀντιδιέστειλεν αὐτὸ τῷ ἐνύλῳ εἴδει. εἴ γε τὸ μέγεθος ὑπὸ τὸ ἔνυλον
εἶδος ἀνάγεται; αὕτη ἡ ἀπορία. πρὸς ἣν ἐροῦμεν ὅτι οὐ πᾶν τὸ ἔνυλον 45
εἶδος ἀντιδιέστειλε τῷ μεγέθει, ἀλλ' ἐκεῖνο ὃ μετὰ τὸ μεγεθυνθῆναι τὴν
35 ὕλην ἐπιγίνεται. ἡ γὰρ ὕλη ἐπιδεξαμένη τὸ τοῦ μεγέθους εἶδος ἔμεινεν
ἐπινοίᾳ, τὰ δὲ ἄλλα εἴδη δεξαμένη αἰσθητὴ γέγονεν. ἀντιδιέστειλεν οὖν
τὸ ἐνεργείᾳ εἶδος τῷ ἐπινοίᾳ, ὅ ἐστι τῷ εἴδει τοῦ μεγέθους· τοῦτο γὰρ
καὶ προσελθὸν τῇ ὕλῃ ἐπινοίᾳ αὐτὴν εἴασεν· οὐκ ἔστι γὰρ ἰδεῖν ὕλην

---

1 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 3 p. 72b23 2 ᾗ] ἡ D 5 πενταχὸς D, sed corr. D¹: πανταχῶς t 6 ἔσμεν t ἡ] ὁ t 9 ἐν τῷ Περὶ ἑρμηνείας] cf. Steph. in l. de interpr. comm. p. 8,32 sqq. Hd. 12 τῶ ἐν D 14 διαιρέτου t 19 ἁπλῆ] ἁπλανῆ t 22 et 26 ἀντεδιέστειλεν D 22 αὐτῶ τῶ D 26 τὸν (post εὐλόγως) scripsi: τὸ Dt 27 β ἀπορία D 31 ἄνυλον t 38 προσελθὼν D

μεμεγεθυσμένην αὐτὴν καθ' ἑαυτὴν ἄνευ ἄλλου εἴδους, εἰ μὴ ἐπινοίᾳ μόνον. q 7r
ὥστε εἰ καὶ ἔνυλον εἶδός ἐστι τὸ μέγεθος, ἀλλ' οὖν ἀντιδιέστειλεν αὐτὸ 50
τῷ ἐνύλῳ εἴδει οὐ παντί, ὡς ἤδη εἶπον, ἀλλὰ τῷ ἐνεργείᾳ καὶ αἰσθητὸν
ἀποφαίνοντι τὴν ὕλην. ὥστε καὶ ὑπὸ διαίρεσίν τινα πίπτειν τὰ πέντε
5 ταῦτα τοῦ ἀδιαιρέτου σημαινόμενα. ἔστι δὲ ἡ διαίρεσις αὕτη· ὁ ὅρος ἢ
ἁπλῶς ἐστιν ὅρος ἢ τοιόσδε. εἰ μὲν οὖν ἐστιν ἁπλῶς ὅρος, ποιεῖ ἓν
σημαινόμενον τοῦ ἀδιαιρέτου, τὸν ὅρον. εἰ δὲ τοιόσδε ἐστὶν ὁ ὅρος, ἢ
δυνάμει μὲν μεριστός ἐστιν. ἐνεργείᾳ δὲ ἀμερής, ⟨ἢ καὶ δυνάμει καὶ ἐνεργείᾳ
ἀμερής⟩. εἰ μὲν οὖν δυνάμει μέν ἐστι μεριστός, ἐνεργείᾳ δὲ ἀμερής, ἢ
10 καθ' αὑτό | ἐστι μεριστὸς ἢ κατὰ συμβεβηκός. εἰ μὲν οὖν καθ' αὑτὸ q 8r
εἴη μεριστός, ποιεῖ τὸ συνεχὲς μέγεθος· εἰ δὲ κατὰ συμβεβηκὸς εἴη
μεριστός, ποιεῖ τὸ ἔνυλον εἶδος. οὕτω μὲν οὖν, ἐὰν δυνάμει μὲν ᾖ μεριστός,
ἐνεργείᾳ δὲ ἀμερής· εἰ δὲ καὶ δυνάμει καὶ ἐνεργείᾳ ἐστὶν ἀμερής, ἢ μετὰ
ὕλης ἐστὶ καὶ ποιεῖ τὸ ἐν ποσῷ ἀδιαίρετον, οἷον μονάδα, στιγμήν, νῦν, ἢ
15 ἄυλόν ἐστι καὶ ποιεῖ τὸ ἄυλον εἶδος. ἐπεὶ οὖν ἐκ διαιρέσεως μεμαθήκαμεν
ὅτι πέντε εἰσὶν σημαινόμενα τοῦ ἀδιαιρέτου, ἴδωμεν λοιπὸν πῶς ὁ νοῦς 5
ἕκαστον τούτων νοεῖ.

Ἰστέον τοίνυν ὅτι τὸν ὅρον νοεῖ ἀμερῆ ὄντα ἀμερὴς ὢν ὡς ἁπλῆν
φωνήν, ὥστε οὔτε ὡς ψευδῆ οὔτε ὡς ἀληθῆ· περὶ γὰρ τὰς ἁπλᾶς φωνὰς
20 οὐ θεωρεῖται οὔτε ἡ ἀλήθεια οὔτε τὸ ψεῦδος, ἀλλὰ περὶ τὰς συνθέτους.
καὶ τί δήποτε ἐν τῇ λέξει τοῦ ψεύδους μόνου ἐμνήσθη, οὐκέτι δὲ καὶ τῆς
ἀληθείας; ἔφη γὰρ ὅτι ἡ μὲν ἐν τοῖς ἀδιαιρέτοις νόησις περὶ ἃ οὐκ ἔστι
τὸ ψεῦδος, καὶ οὐκ ἐπήγαγε καὶ περὶ ἃ οὐκ ἔστιν ἡ ἀλήθεια. ἔγνωμεν
γὰρ ἐν τῷ Περὶ ἑρμηνείας ὅτι οὐ μόνον ψεῦδος ἀλλὰ ἀλήθεια οὐκ ἔστιν 10
25 ἐν ταῖς ἁπλαῖς φωναῖς· πῶς οὖν αὐτὸς ἐν τῇ λέξει μόνου τοῦ ψεύδους
ἐμνήσθη; καὶ λέγομεν ὅτι ἐν τῇ Μετὰ τὰ φυσικὰ δοξάζει ἐναντία τῷ Περὶ
ἑρμηνείας· ἐν μὲν γὰρ τῷ Περὶ ἑρμηνείας οὔτε ἀλήθειαν οὔτε ψεῦδος ἔφη
θεωρεῖσθαι περὶ τὰς ἁπλᾶς φωνάς, ἤγουν ἐν τοῖς ὅροις, ἀλλ' ἐν ταῖς προ-
τάσεσιν εἶπε φαίνεσθαι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· ἐν δὲ τῇ Μετὰ τὰ φυ-
30 σικά φησιν ὅτι ἐν ταῖς ἁπλαῖς φωναῖς, ἤγουν ἐν τοῖς ὅροις, ψεῦδος μὲν
οὐ θεωρεῖται, ἀλήθεια δὲ θεωρεῖται. ὁ γὰρ νοῦς ὁπηνίκα ἁπλῇ προσβολῇ 15
ἐπιβαλὼν ἑκάστην ἁπλῆν φωνήν, ταὐτὸν δὲ εἰπεῖν ὅρον, ἰδίᾳ καὶ καθ'
ἑαυτὸν νοήσῃ. ἀληθῶς ἐνόησε μηδὲν ἕτερον προσθείς. οἷον ἐν τῷ εἰπεῖν
περιπατεῖ ἐξαπίνης ὁ νοῦς βάδισιν ἐνόησε μηδὲν ἄλλο προσθείς. ἀλλ' αὐτὸ
35 μόνον. πάλιν ἐν τῷ ἐσθίειν μάσησιν ἐνόησεν εὐθέως. τουτέστιν ὀδόντα

1 μεγμεγεθυσμένην D: μεγεγεθυσμένην t 6 εἰ—ἁπλῶς] ἡ μὲν οὖν εἶναι ἁπλῶς εἶναι D 7 τὸν ὅρον scripsi: τῶν ὅρων Dt 8 μεριστός] μεριστῶς D 8. 9 ἢ καὶ—ἀμερής addidi coll. v. 13 12 ante μὲν οὖν add. τὸ t 14 τῷ ἐν t 16 εἴδωμεν D 17 τοῦτον D νοεῖ scripsi: νοεῖν Dt 24 ἐν τῷ Περὶ ἑρμηνείας] c. 1 p. 16a13 sqq. οὐκ om. D 27 ἀλήθειαν] ἀλη D: ἀληθὲς t 29. 30 ἐν τῇ Μετὰ τὰ φυσικά] Θ 10 p. 1051b24 sqq. 31 οὐ] οὖν D, sed corr., ut vid., D¹ 32 post ἐπιβαλὼν add. ὁ νοῦς D 34 ἄλλο προσθεὶς ἀλλ' in ras. D¹ 35 ἐσθίειν] ἐσθίην D: αἰσθίειν t

ἐπιστροφῇ δονούμενον, χωρὶς ἄλλης προσθήκης. ταῦτα μὲν οὖν ἐν τῇ q 8r
Μετὰ τὰ φυσικά φησι· νῦν δὲ ἐκείνῃ ἠκολούθησε τῇ πραγματείᾳ καὶ διὰ
τοῦτο ἐκ τῶν ἁπλῶν φωνῶν οὐκ ἀπηγόρευσε τὴν ἀλήθειαν, ἀλλὰ μόνον
τὸ ψεῦδος, διότι ὁ νοῦς οὐδέποτε ψεύδεται, ἀλλ' ἀεὶ ἀληθεύει κατὰ τὸν
Πλωτῖνον εἰπόντα 'ὁ γὰρ νοῦς ἢ ἥψατο ἢ οὐχ ἥψατο, ὥστε ἀναμάρτητος'.
ἰστέον δὲ ὅτι διττὴ ἡ ἀλήθεια, ἡ ὑπαρκτικὴ ἢ ἀντιδιῃρημένη τῷ ψεύδει,
ὑπαρκτικὴ μὲν ὡς ἵνα εἴπω 'οὗτος ἄνθρωπός ἐστι κυρίως'. τοῦτο δὲ λέγω
ὡς πρὸς τὸν ἐν ζωγραφίᾳ· ἐκεῖνος γὰρ οὐκ ἔστι κυρίως ἄνθρωπος· διὰ
οὖν τὸ ὑπάρχειν αὐτὸν μόνον ἀληθῶς λέγεται ἄνθρωπος. καὶ ἐν τῷ ὅρῳ
οὖν ὑπαρκτικὴν λέγομεν εἶναι τὴν ἀλήθειαν, ὅτι καθό ἐστιν ὅρος, ἀληθές
ἐστι τὸ εἶναι αὐτόν, καὶ οὐ κατ' ἀντιδιαστολὴν ψεύδους τοῦτο λέγομεν.
ταῦτα εἰπὼν περὶ τοῦ νοῦ ὅτι τὸν ὅρον ἀληθῶς γινώσκει, τρέπεται ἐπὶ
τὴν διάνοιαν καί φησιν ὅτι αὕτη οὐ μόνον ἀληθεύει, ἀλλὰ καὶ ψεύδεται.
καὶ τὸ ἄλλο δὲ ὁ νοῦς πάντα ἑνοειδῶς οἶδεν, ἡ δὲ διάνοια ὡς ἐν συν-
θέσει, καὶ οὐ ταὐτόν ἐστιν. ὁ μὲν γὰρ νοῦς ὡς συνεχὲς καὶ ἓν οἶδεν, ἡ
δὲ διάνοια ὡς συντιθέμενον ἐκ πολλῶν αὐτὸ οἶδεν, οἷον ἐπὶ θύρας· αὕτη
γὰρ ἐκ πολλῶν ἐστι ξύλων. καὶ ἔοικεν ἡ διάνοια τῇ Ἐμπεδοκλείῳ φιλίᾳ,
ἥτις συνετίθη τὰ ἐκ τοῦ νείκους διῃρημένα. ἀμέλει καὶ εἴρηται τῷ Ἐμπε-
δοκλεῖ ὅτι εἰ μὴ ἦν ἡ φιλία, 'πολλῶν ἂν κόρσαι ἀναύχενες ἐβλάστησαν',
τουτέστιν ἐγίνοντο κεφαλαὶ ἄνευ αὐχένος, εἰ μὴ ἦν ἡ συνάπτουσα φιλία.
τρίτον ἐπὶ τούτοις ἴδιόν φησι τῆς διανοίας τὸ ψεύδεσθαι αὐτὴν ἢ διὰ τὸν
κατηγορούμενον ἢ διὰ τὸν χρόνον. ἐὰν γὰρ εἴπω ὅτι ὁ ἄνθρωπος πτερωτὸς ἢ
ἔστιν ἢ ἔσται ἢ ἐγεγόνει, ψευδής ἐστιν ἡ πρότασις διὰ τὸν κατηγορούμενον
ὅρον, ψημὶ δὴ τὸ πτερωτόν· εἰ δὲ εἴπω ὅτι χθὲς ἦν τὰ Τρωϊκά, ἐνταῦθα
διὰ τὸν χρόνον γέγονεν ἡ πρότασις ψευδής. ἐπὶ δὲ τῶν ἀιδίων παρὰ τὸν
κατηγορούμενον μόνον γίνεται τὸ ψεῦδος, οὐκέτι δὲ καὶ παρὰ τὸν χρόνον·
ἐὰν γὰρ εἴπω ὅτι ἦν ἢ ἔστιν ἢ ἔσται ὁ θεός, ἀεὶ ἀληθεύω· τὸ γὰρ ἀεὶ
ὂν λέγω. ἐπὶ δὲ τῶν μὴ ἀιδίων καὶ παρὰ τὸν χρόνον γίνεται ψευδὴς ἡ πρό-
τασις καὶ παρὰ τὸν κατηγορούμενον· παρὰ μὲν τὸν κατηγορούμενον ὡς
ἐὰν εἴπω ὅτι τραγέλαφός ἐστι νῦν· τὸ ψεῦδος γὰρ γέγονεν οὐ παρὰ τὸν
νῦν χρόνον, ἀλλὰ παρὰ τὸ ἐστὶ κατηγορούμενον. καὶ πάλιν ἐὰν εἴπω 'ἡ
σκιὰ νῦν σῶμά ἐστι', τὸ ψεῦδος γέγονεν οὐ παρὰ τὸ νῦν (οὐ μόνον γὰρ
νῦν οὐκ ἔστι σῶμα, ἀλλ' οὔτε ἦν οὔτε ἔσται), ἀλλὰ παρὰ τὸ εἰπεῖν ὅτι
σῶμά ἐστιν. ὥστε ἐπὶ μὲν τῶν γενητῶν διχόθεν γίνεται τὸ ψεῦδος ἐν τῇ
διανοίᾳ, ἢ παρὰ τὸν κατηγορούμενον ἢ παρὰ τὸν χρόνον, ἐπὶ δὲ τῶν
ἀιδίων παρὰ μόνον τὸν κατηγορούμενον. ὁ δὲ νοῦς οὐδὲν τούτων ἔχει·
ἀεὶ γὰρ νοεῖ πάντα καὶ οὐκ ἔχει ψεῦδος οὔτε παρὰ τὸν κατηγορούμενον
οὔτε παρὰ τὸν χρόνον. τέταρτον ἐπὶ τούτοις λέγει ἴδιον τῆς διανοίας ὅτι

---

1 ἐπιστροφῇ scripsi: ἐπιστροφή Dt 2 δὲ] δὴ t 3 ἁπλῶν scripsi: ἁπλῶς Dt
4. 5 κατὰ τὸν Πλωτῖνον] cf. Enn. V 3,17 5 ἀναμάρτητον D 7 ὡς ἵνα] cf. 605,29
8. 9 διὰ οὖν τὸ scripsi: δὴ οὖν τὸ D: τὸ δὴ οὖν t 9 μόνου t 18. 19 τῷ Ἐμπεδοκλεῖ] fragm. 307 Mullach 19 πολλῶν ἂν] ἢ πολλαὶ μὲν Emp. κόρσαι Emp.: κόρος, ut vid., D: κάρα t 22 ὁ om. t 24 δὴ] δὲ t 25 παρὰ] περὶ t 28 καὶ] ἦν D

αὕτη μὲν περὶ προτάσεις καταγίνεται, ὁ δὲ νοῦς περὶ ὅρους. ὅταν δὲ q 8
λέγω περὶ προτάσεις, μὴ νόμιζε ὅτι τοῦτο λέγω κατὰ τὸν τρόπον τὸν εἰρη- 45
μένον ἐν τῇ λογικῇ. ὅτι περὶ μὲν κατάφασιν καταγίνεται ὥσπερ σύνθεσιν.
ἐπειδὴ αὕτη συντίθησι τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ, περὶ δὲ ἀπό-
5 φασιν ὡς διαίρεσιν, ἐπειδὴ αὕτη ἀποφάσκει καὶ διαιρεῖ τὸ κατηγορούμενον
ἐκ τοῦ ὑποκειμένου· οὐ λευκὸς γάρ, φησίν, ἄνθρωπος. νυνὶ γὰρ λέγομεν ὅτι
ἡ διάνοια καὶ περὶ κατάφασιν καταγίνεται ὡς διαίρεσιν καὶ σύνθεσιν, καὶ περὶ
ἀπόφασιν ὡς διαίρεσιν καὶ σύνθεσιν. ἡ γὰρ κατάφασις καθὸ μὲν συνάπτει,
σύνθεσις λέγεται, καθὸ δὲ ἐν δύο ἐστὶ δυναμένοις διαιρεθῆναι. διαίρεσίς ἐστι. 50
10 καὶ ἡ ἀπόφασις δὲ εἰ καὶ λέγει 'οὐ λευκὸς Σωκράτης', τὸ μέλαν αὐτῷ συν-
άπτει καὶ πάλιν σύνθεσίς ἐστιν. ἔστι δὲ καὶ διαίρεσις. καθὸ ἀποχωρίζει ἐξ
αὐτοῦ τὸ λευκόν. καὶ οὕτως νῦν ἡ διάνοια λέγεται περὶ προτάσεις καταγίνεσθαι.

Ταῦτα εἰπὼν ὡς ἐν παρεκβάσει, ἐπειδὴ εἶπε πῶς νοεῖ ὁ νοῦς τὸν
ὅρον, ζητεῖ λοιπὸν πῶς νοεῖ τὸ ἀδιαίρετον μέγεθος, ὅπερ ἦν δεύτερον
15 σημαινόμενον τοῦ ἀδιαιρέτου. τοῦτο δὲ τριττόν ἐστι· τὸ γὰρ μέγεθος
τριττόν ἐστι· καὶ | ὅλον γάρ ἐστι καὶ μέρη ἔχει καὶ συντιθέμενόν q 8v
ἐστι. καὶ ὡς μὲν ὅλον ἀχρόνως αὐτὸ νοεῖ ὁ νοῦς καὶ ἐν τῷ νῦν· οὐδὲ
γὰρ δύναται ἐν χρόνῳ αὐτὸ νοῆσαι ὁ νοῦς. πᾶς γὰρ χρόνος διαιρετός
ἐστιν· εἰ οὖν ἐν διαιρετῷ ἐνόει, καὶ τὸ νοούμενον, ὅ ἐστι τὸ μέγεθος,
20 διαιρετὸν ἦν· ὡς γὰρ ἔχει ὁ χρόνος, οὕτως ἔχει καὶ τὸ μέγεθος. ἀλλὰ
μὴν ἀδιαίρετόν ἐστιν ἐνεργείᾳ· ὡς ὅλον γὰρ νοεῖ αὐτό, τὸ δὲ ὅλον ἀδιαί-
ρετόν ἐστιν· οὐκ ἄρα ἐν χρόνῳ νοεῖ αὐτό, ἀλλ' ἐν τῷ νῦν. καὶ ὅτι εἰ 5
μὴ ἀχρόνως καὶ ἐν τῷ νῦν ἠπίστατο αὐτὰ ὁ νοῦς, οὐκέτι ὅλον ἐνόει ἐν
τῷ αὐτῷ χρόνῳ, καὶ εὑρίσκετό ποτε μὴ γινώσκων. ἡ δὲ διάνοια ἐν χρόνῳ
25 γινώσκει αὐτό. ἀλλὰ μὴν καὶ ὡς μέρη ἔχον τὸ μέγεθος νοεῖ αὐτὸ ὁ νοῦς,
τὰ διάφορα μέρη ἐν διαφόροις νῦν νοῶν. ἕκαστον μέρος ἐνεργείᾳ νῦν νοῶν.
ὡς δὲ συντιθέμενον αὐτὸ οὐκέτι ὁ νοῦς νοεῖ, ἀλλ' ἡ διάνοια. τριχῶς
οὖν τοῦ μεγέθους νοουμένου. ὡς ὅλου. ὡς μέρη ἔχοντος. ὡς συντιθεμένου.
τὰ μὲν δύο ὁ νοῦς νοεῖ, ὡς ὅλον καὶ ὡς μέρη ἔχον, τὸ δὲ ὡς συντιθέ- 10
30 μενον ἡ διάνοια. τὸ δὲ ἔνυλον εἶδος οἶδεν ὁ νοῦς οὐκέτι καθ' ἑαυτόν,
ἀλλὰ διὰ μέσης τῆς φαντασίας· τὰ γὰρ αἰσθητὰ οὐ δύναται καθ' ἑαυτὸν
νοῆσαι ὁ νοῦς· χρεία γὰρ φαντασίας. νοεῖ οὖν αὐτὰ διὰ μέσης φαντασίας·
οὐχ ὅτι δὲ διὰ μέσης φαντασίας νοεῖ ὁ νοῦς, ἤδη διὰ τοῦτο μεριστῶς νοεῖ·
ἔνεστι γὰρ καὶ ἐν τῇ φαντασίᾳ ἀδιαίρετόν τι. καὶ ὅτι τοῦτο ἀληθές,
35 δῆλον ἐκ τοῦ τοὺς πρώτους τύπους μὴ ἀφανίζεσθαι ἐκ τῶν δευτέρων· ᾧ
δῆλον ὅτι ἐστί τι ἐν αὐτῇ ἀμερές. καὶ κατὰ τὸ ἀμερὲς τοῦτο νοεῖ ὁ νοῦς. 15
ὡς πάλιν ἀμερῶς αὐτὸν νοεῖν. πάλιν τὸ ἐν τῷ ποσῷ ἀμέριστον νοεῖ ὁ νοῦς

---

5 αὕτη scripsi: αὐτὴ Dt διαιρεῖτο τὸ t 6 γάρ (post νυνὶ) iterat D
7 et 8 διαίρεσιν καὶ σύνθεσιν scripsi: διαίρεσις καὶ σύνθεσις Dt 8 εἰ γάρ t
11 post ἐστιν add. καὶ ἡ ἀπόφασις D, sed del. D¹ 13 ἐν] ἐκ t 15 et 16 τριττόν scripsi: τρίτον Dt 19 τὸν νοούμενον t 27 αὐτὸ scripsi: αὐτῶ D: αὐτὰ t 29 ἔχον scripsi: ἔχοντος Dt 33 μεριστὸς D 35 ᾧ] ὃ D
37 ἀμερῶς scripsi: ἀμερὲς Dt αὐτὸ t

κατ' ἀπόφασιν· ὥσπερ γὰρ τῇ ἀποφάσει τοῦ φωτὸς τὸ σκότος νοοῦμεν, q 8v
οὕτω καὶ τῇ ἀποφάσει τοῦ ἀριθμοῦ νοοῦμεν τὴν μονάδα καὶ τῇ ἀποφάσει
τοῦ χρόνου τὸ νῦν καὶ τῇ ἀποφάσει τοῦ μεγέθους τὴν στιγμήν· ὥστε
κατ' ἀπόφασιν νοοῦμεν τὸ ἐν ποσῷ ἀμέριστον. εἰ δέ τις εἴποι ὅτι καὶ
5 τὸ μέλαν κατ' ἀπόφασιν τοῦ λευκοῦ γινώσκεται, ψεύδεται· ἄμφω γὰρ εἰδο-
πεποίηται καὶ ἄμφω ποιεῖ, τὸ μὲν συγκρῖνον τὸ δὲ διακρῖνον, καὶ καθ' 20
αὐτὸ ἄμφω γινώσκεται καταφατικῶς· εἰ μὴ ἄρα τὸ μέλαν λάβοις ἀντὶ τοῦ
σκότου, ὡς τὸ μέλανος θανάτοιο. καὶ ταῦτα μὲν ὁ ἡμέτερος νοῦς ἀπο-
φατικῶς οἶδεν, ὁ δὲ θεῖος νοῦς πάντα καταφατικῶς καὶ ἐπιβλητικῶς
10 οἶδεν χωρὶς τοῦ κακοῦ· τοῦτο γὰρ οὐκ οἶδεν, ἵνα μὴ ποιήσῃ αὐτό. ὃ γὰρ
γινώσκει, τοῦτο καὶ ποιεῖ· ὑποστατικὴ γάρ ἐστιν ἡ γνῶσις αὐτοῦ. διὸ
εἴρηται 'εἶπε καὶ ἐγένετο'. τοῦτο δὲ τὸ λόγιον διχῶς ἔστιν ἐξηγήσασθαι·
ἐπειδὴ ὃ γινώσκει καὶ λέγει, τοῦτο καὶ γίνεται. ἢ ὅτι ἐπειδὴ ἀθρόα ἐστὶν
ἡ ἐνέργεια αὐτοῦ, διὰ τοῦτο εἴρηται 'εἶπε καὶ ἐγένετο'. ἔχεις δὲ καὶ ἐκ 25
15 τούτου πόρισμά τι· εἰ γὰρ ἀποφατικῶς λέγει τὸν νοῦν ἐνεργεῖν, οὐκέτι
περὶ τοῦ θείου νοῦ ἐστιν αὐτῷ ὁ λόγος. καὶ οὕτω μὲν ὁ ἐν ἡμῖν νοῦς
γινώσκει τὸ ἐν ποσῷ ἀμέριστον. τὸ δὲ ἄυλον εἶδος γινώσκει κατὰ πέντε
ταῦτα· ἢ γὰρ ὡς αἴτιον, καὶ τοῦτο ἢ ποιητικὸν ἢ τελειωτικόν· οὐδὲ γὰρ
ὡς τελικὸν μόνον, ὥς τινες ἐνόμισαν, γινώσκει αὐτό· καὶ ὡς μὴ ἔχον δὲ
20 ἐναντίον γινώσκει αὐτό (τῷ γὰρ ἐν ἡμῖν φωτὶ καὶ ἀγαθῷ ἐστιν ἐναντίον
τι, παρ' αὐτῷ δὲ οὐκ ἔστι), γινώσκει δὲ αὐτὸ καὶ ὡς νοοῦν καὶ ὡς νοού- 30
μενον· ἔνδον γὰρ ἔχον τὸ θεῖον τὸ γνωστικὸν καὶ ἑαυτὸ νοεῖ. ἐπεὶ οὖν
ταῦτα εἴρηται, ἐν τούτοις ἡ θεωρία σὺν θεῷ πληροῦται.

p. 430a28 Ὥσπερ ἐν ὄντων.

25 Ὅρα τί φησιν· ὅτι ὁ μὲν νοῦς ἀλήθειαν μόνον οἶδεν, ἐν οἷς δέ ἐστι
ψεῦδος καὶ ἀλήθεια, διανοίας τοῦτο· καὶ ἐν οἷς ἐστι σύνθεσις, πάλιν δια- 35
νοίας ἐστὶ τοῦτο. καὶ ἰδοὺ τὰ δύο ἴδια τῆς διανοίας τέως εἶπε. ταύτην
δέ, φησίν, τὴν σύνθεσιν ὥσπερ ἐν διανοεῖται ἡ διάνοια. καὶ καλῶς εἶπε
τὸ ὥσπερ· οὐδὲ γὰρ ὡς κυρίως ἐν οἶδεν αὐτήν (τὸ γὰρ ὡς κυρίως ἐν εἰ-
30 δέναι τοῦ νοῦ ἐστιν), ἀλλ' ὡς ἐν παραθέσει ἐν οἶδεν αὐτὴν ἡ διάνοια. διὸ
καὶ τῇ φιλίᾳ Ἐμπεδοκλέους κοινωνεῖ, καθὸ κἀκείνη ἐν παραθέσει ἑνοῖ καὶ
οὐ κυρίως.

p. 430a31 Οἷον τὸ ἀσύμμετρον καὶ ἡ διάμετρος.

Τί βούλεται εἰπεῖν; ὅτι καὶ παρὰ τὸν κατηγορούμενον ἀληθεύει ἢ 40
35 ψεύδεται ἡ διάνοια. εἰ μὲν γὰρ εἴποι τὴν διάμετρον σύμμετρον, ψεύδεται

---

2 καὶ (post οὕτω) om. t 6 συγκρίνων et διακρίνων D 7. 8 τοῦ σκότος t
8 θανάτοις D 11 γάρ om. D 14 καὶ (post δὲ) om. t 16 νοῦ]
νοῦν t 17 κατὰ] καὶ τὰ D 19 ἐνομίσων t 20 ἀγαθὸν D
25 φησιν ὅτι iterat t ἀλήθειαν] ἀληθὴ t

διὰ τὸν κατηγορούμενον, τὸ σύμμετρον· ἀεὶ γὰρ ἀσύμμετρός ἐστι τῇ πλευρᾷ q 8ᵛ
* * * ἀληθεύει διὰ τὸν κατηγορούμενον.

p. 430ᵃ31 Ἐὰν δὲ γενομένων ἢ ἐσομένων, τὸν χρόνον προσεννοῶν καὶ συντιθείς.

Τί διὰ τούτων προτίθεται εἰπεῖν; ὅτι καὶ παρὰ τὸν χρόνον καλῶς ἢ κακῶς συντιθέμενον γίνεται ἡ ἀλήθεια ἢ ψεῦδος ἐν τοῖς πράγμασιν. εἰ μὲν γὰρ εἴποις 'ἔσται τὰ Τρωϊκά', ψεύδῃ διὰ τὸ μέλλον τοῦ χρόνου· εἰ δὲ εἴποις 'γέγονεν', ἀληθεύεις διὰ τὸ παρελθὸν τοῦ χρόνου. ἀεὶ γάρ, φησίν, ἐν τῇ συνθέσει ἐστὶν ἀλήθεια καὶ ψεῦδος, οὐκ ἐν ἁπλοῖς πράγμασι. καὶ γὰρ ἐὰν τὸ λευκὸν ⟨οἷον⟩ Σωκράτην εἴποις μὴ λευκόν, ψεύδῃ, κἂν τὸ μὴ λευκὸν εἴποις λευκόν, ψεύδῃ διὰ τὴν σύνθεσιν ἀναρμόδιον οὖσαν. καὶ ὅρα ὅτι καὶ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν σύνθεσιν εἶπεν· δυνατὸν δέ, φησίν, καὶ διαίρεσιν ἄμφω εἰπεῖν, διότι ἐκ διαφόρων ἐστὶ πραγμάτων καὶ δυνατόν ἐστιν αὐτὰς διαιρεθῆναι εἰς τοὺς ὅρους ἐξ ὧν συνετέθησαν. καλῶς δὲ εἶπε τὸ ἐνδέχεται· ὅτῳ γὰρ ἀκολουθίας μέλει, δυνατὸν φάναι τὴν μὲν κατάφασιν διαίρεσιν, ἅτε διαιρουμένην σαφῶς εἰς ὑποκείμενον καὶ κατηγορούμενον, τὴν δὲ ἀπόφασιν σύνθεσίν τινα λέγειν ὡς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου | συγκειμένην. καὶ οὕτω μὲν ἐνταῦθά φησιν· ἐν μέντοι r 1ᵛ τῇ λογικῇ τὴν μὲν κατάφασιν σύνθεσιν λέγει μόνως, τὴν δὲ ἀπόφασιν διαίρεσιν. ἀλλὰ καὶ ὅτι ἦν ἢ ἔσται. τί φησιν; ὅτι ἐὰν ᾖ ὁ κατηγορούμενος ψευδής, ἐν ἑκάστῳ χρόνῳ λεγόμενος ψευδής ἐστιν, οἷον ἐὰν εἴπῃς Κλέωνα λευκὸν μὴ ὄντα λευκόν, κἂν εἴπῃς ὅτι ἔστι λευκὸς ἢ ἦν ἢ ἔσται, ψεύδῃ διὰ τὸν κατηγορούμενον· ὁ γὰρ χρόνος διαφορὰν ἐν τούτῳ οὐκ εἰσάγει. καὶ ὅρα ὅτι καὶ τὰ ἄλλα δύο τῆς διανοίας ἴδια, τὸ περὶ ἀπόφασιν καὶ κατάφασιν καταγίνεσθαι, ἣν ἐκάλεσε σύνθεσιν. καὶ τὸ ψεύδεσθαι αὐτὴν ἢ διὰ τὸν κατηγορούμενον ἢ διὰ τὸν χρόνον εἶπε.

p. 430ᵇ5 Τὸ δὴ ἓν ποιοῦν τοῦτο ὁ νοῦς ἕκαστον.

Τοῦτό ἐστι τὸ καὶ ἀνωτέρω εἰρημένον· ἐν ὑπερβατῷ δὲ τὸν λόγον ἀνάγνωθι οὕτως· τὸ δὲ ποιοῦν τούτων ἕκαστον ἓν ὁ νοῦς· εἴπομεν γὰρ ὅτι ὁ νοῦς καὶ τὰ διαιρετὰ ἀδιαιρέτως νοεῖ. καὶ ὅρα ὅτι ἀντὶ τοῦ νοεῖν ποιεῖν εἶπε πάνυ θαυμασίως· ὥσπερ γὰρ τὸ ὂν πᾶσι μεταδίδωσι τοῦ εἶναι, καὶ τὸ καλὸν τοῦ καλοὺς εἶναι, οὕτω καὶ ὁ νοῦς κατὰ τὸ ἑαυτοῦ

---

2 lacunam indicavi: addendum ἡ διάμετρος· εἰ δὲ εἴποι ἀσύμμετρον τῇ πλευρᾷ 3 προσεννοῶν Arist. vulg.: πρὸς ἓν νοῶν Dt Arist. LX 7 ἔσεται Dt 10 ἐὰν τὸν t οἷον addidi τὸ μὴ] μὴ τὸ t 11 ὅρα] ἄρα t 14 αὐτὰς, ut vid., D: αὐτοὺς t 15 ὅτῳ γὰρ ἀκολουθίας om. t μέλει scripsi: ἀμέλει Dt 23 ψεύδω t ἐν] ἐκ t 24 post ἴδια add. προσέθηκε t 27 δὴ D Arist. UX: δὲ t Arist. vulg. 31 ὂν ἐν πᾶσι t 32 τοῦ καλοὺς scripsi: τοῦ κάλους D: τοῖς καλοῖς τοῦ καλὰ t

ἁπλοῦν καὶ ἑνιαῖον τὰ συγκείμενα ἁπλᾶ ποιεῖ· ὡς γὰρ ἁπλᾶ νοεῖ αὐτὰ ὁ r 1r
νοῦς καὶ οὐχ ὡς σύνθετα.

p. 430ᵇ6 Τὸ δὲ ἀδιαίρετον ἐπεὶ διχῶς, ἢ δυνάμει ἢ ἐνεργείᾳ.

Ἐπὶ τὸ δεύτερον σημαινόμενον τοῦ ἀδιαιρέτου ἔρχεται, ὅ ἐστι τὸ 15
5 μέγεθος ἤτοι τὸ συνεχές. ἢ δυνάμει μέν ἐστι διαιρετόν, ἐνεργείᾳ δὲ ἀδιαίρετον, ὡς τὸ μέγεθος, ἢ ἐνεργείᾳ μὲν διαιρετόν, δυνάμει δὲ ἀδιαίρετον. ὡς τὸ ὕδωρ. ὁ νοῦς τοίνυν, φησίν, καὶ τὸ δυνάμει διαιρετὸν ὡς ἐνεργείᾳ ἀδιαίρετον οἶδε, καὶ τὸ ἐνεργείᾳ διαιρετὸν ὡς δυνάμει ἀδιαίρετον. οἶδε δὲ ταῦτα, φησί, καὶ ἐν ἀδιαιρέτῳ χρόνῳ, ἵνα μὴ ἐν τῷ ἡμίσει εἴη τὸ
10 ἥμισυ. καλεῖ δὲ ἀδιαίρετον χρόνον τὸ νῦν, κακῶς λέγων· τὸ γὰρ νῦν οὐ χρόνος, ἀλλ' ἀρχὴ χρόνου. νῦν δέ φημι τὸ ἀκαρές· εἰ δὲ λάβοις τὸ ἐν 20
πλάτει νῦν, τοῦτο καὶ ἀρχὴν ἔχει καὶ πέρας καὶ χρόνος ἐστί· νυνὶ δὲ περὶ τοῦ ἀκαροῦς νῦν ἐστιν ἡμῖν ὁ λόγος. οὐχ ὅτι δὲ διχῶς ἐστι τὸ ἀδιαίρετον μόνον, εἶπεν ὅτι τὸ ἀδιαίρετον διχῶς, ἀλλ' ὅτι κατ' αὐτὴν τὴν τομὴν τοῦ
15 μεγέθους εἰς δύο μόνον διαιρεῖται· τὸ γὰρ μέγεθος ἢ δυνάμει ἐστὶν ἀδιαίρετον ἢ ἐνεργείᾳ. τὸ δὲ μῆκος ἐνεργείᾳ μὲν συνεχές ἐστι, δυνάμει δὲ διῃρημένον· μῆκος δὲ νῦν ἀντὶ τοῦ συνεχὲς ἄκουε. φησὶν οὖν ὅτι οὐδέν
ἐστι τὸ κωλῦον τὸν νοῦν τὸ μῆκος οὐχ ᾗ διῃρημένον ἐστὶ νοεῖν, ἀλλ' ᾗ 25
συνεχές· ἐνεργείᾳ γὰρ συνεχές ἐστι. τοῦτο δὲ ὡς κατασκευαστικὸν ἔκλαβε
20 τοῦ ἄνω ῥηθέντος ὅτι καὶ τῶν συνθέτων ὁ νοῦς ὡς ἁπλῶν ἀντιλαμβάνεται.

p. 430ᵇ9 Ὁμοίως γὰρ ὁ χρόνος διαιρετὸς καὶ ἀδιαίρετος.

Ἐπειδὴ εἶπεν ὅτι ἐν ἀδιαιρέτῳ χρόνῳ νοεῖ, ἵνα μή τις εἴπῃ ὅτι οὐκ ἔστιν ἀδιαίρετος χρόνος, φησὶν ὅτι ὁ χρόνος καὶ διαιρετός ἐστι καὶ ἀδιαί-
25 ρετος, κακῶς λέγων· τὸ γὰρ νῦν ἀντὶ χρόνου ἔλαβεν ἀδιαιρέτου ἀγνοῶν 30
ὅτι αἱ ἀρχαὶ τοῦ ποσοῦ οὐ ποσά· καὶ ἡ ἀρχὴ οὖν τοῦ χρόνου οὐκ ἔστι χρόνος.

p. 430ᵇ10 Οὔκουν ἔστιν εἰπεῖν ἐν τῷ ἡμίσει τί ἐνόει ἑκατέρῳ.

Τοῦτο πάλιν τοῦ ἄνω ἐστὶ κατασκευαστικόν, ὅτι εἰ καθὸ διαιρετός
30 ἐστιν ὁ χρόνος ἐνοοῦμεν, καὶ οὐ καθὸ ἀδιαίρετός ἐστι, τὸ δέκα ποδῶν ξύλον, ἐν τῷ ἡμίσει τυχὸν τοῦ χρόνου τὸ ἥμισυ ἐνοοῦμεν τοῦ ξύλου, ὅ ἐστι τοὺς πέντε πόδας, καὶ ἐν τῷ ἄλλῳ ἡμίσει τοῦ χρόνου τοὺς ἄλλους 35

---

6 δυνάμει δὲ ἀδιαίρετα t 11 τῶ ἐν D 12 καὶ (ante πέρας) om. D 19 ἔκλαβε scripsi: ἔλαβε Dt 20 ἁπλῶς D 22 διαιρετὸς] ἀδιαίρετος D 25 ἔλαβεν ἀδιαίρετον t 28 ἐνόει D Arist. L: ἐννοεῖ t Arist. vulg.: ἐνόεις Arist. y: ἐννοεῖν Arist. TUW 29 εἰ om. t 30 et 31 ἐννοοῦμεν t 31 τὸ ἥμισυ scripsi: τὰ ἥμισυ D: τὰ ἡμίση t 32 τὸν χρόνον t

πέντε πόδας, ὅπερ οὐχ οὕτω φαίνεται. τὸ γὰρ μέγεθος, φησίν, οὐκ ἔστιν r 1r
ἐνεργείᾳ διαιρετόν, ἵνα εἴπῃς ὅτι ἥμισυ ἐν τῷ ἡμίσει τοῦ χρόνου ἐνόησεν,
ἀλλὰ δυνάμει μόνον ἐστὶ διαιρετόν· ὁ δὲ νοῦς ὡς ἐνεργείᾳ ἀδιαίρετον
αὐτὸ οἶδε.

p. 430b11 Χωρὶς δὲ ἑκάτερον νοῶν τῶν ἡμίσεων.

Τὸ νοῶν εἶπεν ἀντὶ τοῦ διανοούμενος καταχρησάμενος· περὶ διανοίας γάρ ἐστιν νῦν αὐτῷ ὁ λόγος. ἐπειδὴ γὰρ εἶπεν ὅτι ὁ νοῦς ἀδιαιρέτως νοεῖ, φησὶν ὅτι ἡ δὲ διάνοια διῃρημένως καὶ χωρὶς ἕκαστον οἶδε. καὶ ὅταν δὲ οἶδεν αὐτὰ ἡνωμένα καὶ ἅμα, οὕτως οἶδεν αὐτὰ ὡς μήκη ἐκ δύο τινῶν συντιθέμενα, ὃ εἶπεν ἐξ ἀμφοῖν, καὶ ἐν χρόνῳ οἶδεν αὐτὰ τῷ ἐπ' ἀμφοῖν, τουτέστι διῃρημένως, καὶ οὐκέτι ὡς μῆκος, ἀλλ' ὡς διάφορα μήκη. τοῦτο γάρ ἐστιν ὃ λέγει οἱονεὶ μήκη. καὶ καλῶς πρόσκειται τὸ οἱονεὶ μήκη· ἓν γὰρ μόνον ὑπέκειτο μέγεθος, ὅπερ εἰ κατὰ διαφόρους χρόνους νοεῖ ὁ νοῦς, μεγέθη ἔσονται τὸ ἐνεργείᾳ ὂν ἓν μέγεθος, ὅπερ ἐστὶν ἄτοπον.

p. 430b14 Τὸ δὲ μὴ κατὰ ποσὸν ἀδιαίρετον ἀλλὰ τῷ εἴδει.

Τὸ τρίτον ἐστὶ σημαινόμενον τοῦ ἀδιαιρέτου, ὡσεὶ ἔλεγεν ὅτι καὶ τὸ συνεχὲς μὲν οὐδὲν κωλύει νοεῖν ὡς ἀδιαίρετον, διότι ἐστὶν ἐν αὐτῷ τι ἀδιαίρετον, τὸ δὲ ὂν τῷ εἴδει ἓν καὶ ἀδιαίρετον ὁμολογουμένως ἐν ἀδιαιρέτῳ χρόνῳ καὶ ἐν ἀδιαιρέτῳ τῆς ψυχῆς δυνάμει γινώσκεται. τίς δέ ἐστιν ἡ ἀδιαίρετος τῆς ψυχῆς δύναμις; ἢ δῆλον ὅτι ὁ νοῦς.

p. 430b16 Κατὰ συμβεβηκὸς δὲ καὶ οὐχ ᾗ ἐκεῖνα διαιρετά, ᾧ νοεῖ καὶ ἐν ᾧ χρόνῳ. |

Τὸ ἔνυλον εἶδος, φησίν, ὁ νοῦς νοεῖ ἀδιαίρετον κατὰ συμβεβηκός· r 1v
καθ' ἑαυτὸ γὰρ τὸ ἔνυλον εἶδος διαιρετόν ἐστι, καθὸ καὶ μετ' ἐκτάσεώς τινος θεωροῦμεν τὴν ἐπ' ἄπειρον γινομένην διαίρεσιν τοῦ συνεχοῦς. κατὰ συμβεβηκὸς δὲ λέγονται ἔχειν τὸ ἀδιαίρετον, διότι ἔξωθεν αὐτοῖς ἡ ἕνωσις ἐπεγένετο. τοῦτο οὖν ἐστιν ὃ λέγει, ὅτι οὐχ ᾗ (ἀντὶ τοῦ οὐ καθάπερ) ἐκεῖνα τὰ ἔνυλα εἴδη διαιρετά ἐστιν, οὐχ οὕτως αὐτὰ νοεῖ ὁ νοῦς, ἀλλὰ κἂν ὦσι διαιρετά, ὁ νοῦς ἀδιαιρέτως αὐτὰ νοεῖ, διότι τῷ ἀδιαιρέτῳ ἡ ψυχὴ ἑαυτῆς μέρει νοεῖ αὐτά (ἔστι δὲ τὸ ἀδιαίρετον μέρος τῆς ψυχῆς ὁ νοῦς) καὶ ἐν ἀδιαιρέτῳ χρόνῳ. ἐξήγησαι δὲ καὶ οὕτως ὅτι τὰ μήκη καὶ

---

4 αὐτῷ D 5 νοῶν post ἡμίσεων coll. t Arist. SU 8 διῃρημένω t 10 αὐτα (sic) D τῷ] τῶν t 11 διῃρημένως scripsi: διῃρημένος D: διῃρημένα t 12 et 13 οἱονεὶ μήκει D 19 τὸ δὲ scripsi: τῷ δὲ Dt 25 ἐκστάσεως D 26 τὴν om. t ἐπάπυρον t 27 ἕνωσιν t 30 post αὐτὰ add. τὰ t 32 μήκη] μνήμη t

τὰς μορφὰς ὁ νοῦς γινώσκει ἐν ἀδιαιρέτῳ χρόνῳ καὶ ἐν ἀδιαιρέτῳ τῆς r 1v
ψυχῆς δυνάμει κατὰ συμβεβηκός, διότι οὐδ' ἐκεῖνα καθ' αὑτό εἰσιν ἀδιαί-
ρετα, ἀλλὰ κατὰ συμβεβηκὸς τὴν ἕνωσιν ἔχουσιν. τί οὖν; ἔστι τι ὅπερ
νοεῖ ὁ νοῦς ἀδιαίρετον κατὰ συμβεβηκός; καὶ λέγομεν ὅτι αὐτὸς μὲν ἐκ
5 φύσεως ἔχει τὸ ἀδιαιρέτως νοεῖν, κατὰ δὲ συμβεβηκὸς νοεῖ ἀδιαίρετον, 10
διότι ἐκείνοις τοῖς νοητοῖς συνέβη κατὰ συμβεβηκὸς εἶναι ἀδιαιρέτοις.
τινὲς δέ φασιν αὐτὸν ψυχὴν λέγειν τὴν φαντασίαν. καὶ τί βούλεται εἰπεῖν;
ὅτι κεχρημένος τῇ φαντασίᾳ ὁ νοῦς γινώσκει τὸ ἔνυλον εἶδος· κέχρηται
δέ, φησίν, τῷ ἀδιαιρέτῳ μέρει τῆς φαντασίας· ἔχει γὰρ ἀδιαίρετον μέρος,
10 ὡς δηλοῖ τὸ μὴ ἀφανίζεσθαι ἐν αὐτῇ τοὺς πρώτους τύπους ἐκ τῶν δευ-
τέρων. κατὰ συμβεβηκὸς δέ, φησί, διαιρεῖται καὶ ἡ φαντασία τῷ ἐν ὑπο-
κειμένῳ εἶναι διαιρετῷ· καὶ τὸ εἶδος γὰρ ταύτῃ διαιρετόν. ᾧ οὖν, φησίν, 15
ὀργάνῳ κεχρημένος ὁ νοῦς νοεῖ, οἷον τῇ φαντασίᾳ, κατὰ συμβεβηκός ἐστιν
αὐτὴ διαιρετὴ καὶ οὐχ ᾗ φαντασία. καὶ ἐν τῷ χρόνῳ δὲ ἐν ᾧ νοεῖ ὁ
15 νοῦς, ἀδιαίρετός ἐστι· πάλιν δὲ χρόνον τὸ νῦν εἶπεν. ἔστι δὲ διαιρετὸν
τὸ νῦν καὶ αὐτὸ κατὰ συμβεβηκός, τῷ ἐν χρόνῳ εἶναι διαιρετῷ. ὡς ἔστιν
οὖν συνάξαι, τοῦτο λέγει ὅτι εἰ καὶ κατὰ συμβεβηκὸς διαιρεῖται φαντασία
καὶ ὁ νῦν χρόνος, ἀλλ' οὖν ὡς ἀδιαίρετα λαμβάνων ταῦτα καὶ ὡς ἓν ὁ
νοῦς νοεῖ τὸ ἔνυλον εἶδος. μήποτε δὲ ἔστιν εἰπεῖν ὅτι καὶ κοινωνίαν ἠθέ- 20
20 λησεν εἰπεῖν φαντασίας καὶ ἐνύλου εἴδους, τὸ εἶναι ἀμφότερα κατὰ συμβε-
βηκὸς διαιρετά. ἔνεστι γὰρ κἀν τούτοις τι ἀδιαίρετον, ἀλλ' ἴσως
οὐ χωριστόν. ἔστι, φησί, καὶ ἐν τῷ χρόνῳ ἀδιαίρετον τὸ νῦν (πάλιν
δὲ κατακέχρηται), ἀλλὰ καὶ ἐν τῇ φαντασίᾳ ἐστὶν ἀδιαίρετον, ᾧ κέχρηται
ὁ νοῦς. διὰ τί δὲ εἶπεν ἴσως καὶ ἀμφέβαλεν; οὐχ ὡμολόγηται ὅτι ἡ
25 φαντασία οὐκ ἔστι χωριστὴ ἀλλὰ φθαρτή; μήποτε οὖν ἔστιν εἰπεῖν, ἐπειδὴ
νοῦν αὐτὴν ἐκάλεσε παθητικὸν καὶ συνεργεῖν τῷ νῷ, διὰ τοῦτο οὐκ ἐδυ- 25
νήθη αὐτὴν εἰπεῖν ἀχώριστον ὡς νοῦν· διὸ ἀμφέβαλεν. εἶτα ἐπειδὴ εἶπεν
† ὅτι οὐκ ἔστι χωριστή φησιν ὅτι οὐκ ἔστι χωριστή, ᾧπερ χωριστῷ
πάντα ὡς ἓν νοεῖται καὶ μῆκος καὶ χρόνος· τοῦτο γὰρ τὸ χωριστὸν ἐν
30 ἅπαντι τῷ μήκει ἢ τῷ χρόνῳ ἢ τῷ συνεχεῖ ὡς ἐν ἑνί ἐστιν. διὸ καὶ
ὁ νοῦς ὡς χωριστὸς πάντα ὡς ἓν οἶδεν.

p. 430ᵇ 19 Καὶ τοῦτο ὁμοίως ἐν ἅπαντί ἐστι τῷ συνεχεῖ.

Τοῦτο ποῖον; ἀντὶ τοῦ τὸ εἶδος τὸ ἀμερὲς καὶ ἀχώριστον ἐν ὅλῳ 30
ἐστὶ τῷ χρόνῳ καὶ τῷ μήκει.

---

4 ἀδιαιρέτου t 7 τί scripsi: τι Dt 10 ὡς] ὁς t 11 τῷ] τῶν t 13 ante ἐστιν add. δέ t 14 αὐτὴ διαιρετὴ Diels: αὐτῇ διαιρετῇ Dt ᾗ Diels: ἡ Dt
17 λέγειν t 18 ἀδιαίρετα scripsi: ἀδιαίρε D: ἀδιαίρετον t ὁ (post ἓν) om. D
26. 27 ἠδυνήθη t 28 ὅτι—χωριστή (ante ᾧπερ) depravata sunt 31 χοριστὸς D

p. 430b20 Ἡ δὲ στιγμὴ καὶ πᾶσα διαίρεσις. r 1v

Ἐντεῦθεν ἄλλο ἐστὶ σημαινόμενον τοῦ ἀδιαιρέτου, τὸ ἐν ποσῷ ἀδιαίρετον, ταὐτὸν δὲ εἰπεῖν περὶ τῶν πάντῃ ἀδιαιρέτων. ἀλλ' ἐπειδὴ τῶν πάντῃ ἀδιαιρέτων τὰ μὲν κατὰ στέρησιν γινώσκεται. τὰ δὲ καθ' αὑτά, πρῶτον περὶ τῶν κατὰ στέρησιν λέγει ὡς γνωριμωτέρων ἡμῖν ὄντων, οἷον, φησί, στιγμή· αὕτη γάρ, ὡς ἐν τῇ θεωρίᾳ εἴρηται, τῇ ἀποφάσει τοῦ συνεχοῦς γινώσκεται. καὶ μετὰ τὴν στιγμὴν ἐπάγει καὶ τὸ οὕτως ἀδιαίρετον. ἵνα εἴπῃ γραμμὴν καὶ ἐπιφάνειαν· ταῦτα γὰρ ἑτέρων ἐστὶ πέρατα. καὶ ἴσως ἔστιν εἰπεῖν 'τί οὖν; ἡ γραμμὴ καὶ τὸ ἐπίπεδον ἀδιαίρετά ἐστι; καὶ λέγομεν ὅτι, καθὸ μὲν ἑτέρων εἰσὶ πέρατα, ἀδιαίρετά εἰσιν· ὅλως δὲ τούτων ἐμνήσθη, ὅτι οὐ μόνον ἡ στιγμὴ διαίρεσίς ἐστι γραμμῆς, ἀλλ' ὅτι καὶ γραμμὴ διαίρεσίς ἐστιν ἐπιφανείας καὶ ἡ ἐπιφάνεια στερεοῦ.

p. 430b20 Καὶ τὸ οὕτως ἀδιαίρετον δηλοῦται ὥσπερ ἡ στέρησις.

Καὶ τὸ οὕτω, φησίν, ἀδιαίρετον, τουτέστιν ὥσπερ [δὲ] ἡ στιγμή, οὕτω καὶ αὐτὸ δηλοῦται κατὰ στέρησιν. τοῦτο δὲ εἶπε διὰ τὰ ἀσώματα καὶ τὸ θεῖον, ἅτινα οὐ στερήσει γινώσκονται. στερήσει γὰρ βάθους ἡ ἐπιφάνεια γνωρίζεται, ἡ δὲ γραμμὴ γινώσκεται τῇ στερήσει τοῦ βάθους καὶ τοῦ πλάτους, ἡ δὲ στιγμὴ τῇ στερήσει βάθους, πλάτους, μήκους. ταῦτα δὲ διαιρέσεις ἐκάλεσεν εἰκότως· ἡ γὰρ στιγμὴ τὴν γραμμὴν διαιρεῖ, καὶ ἡ γραμμὴ τὴν ἐπιφάνειαν, καὶ ἡ ἐπιφάνεια τὸ σῶμα· καθ' ἑαυτὰ δὲ ἀδιαίρετά εἰσιν.

p. 430b22 Πῶς τὸ κακὸν γνωρίζει ἢ τὸ μέλαν.

Ὅτι τὸ κακὸν στέρησίς ἐστι καλοῦ ὡμολόγηται· ὅτι δὲ τὸ μέλαν τοῦ λευκοῦ στέρησίς ἐστι ψεῦδος· εἰδοποιεῖται γὰρ τὸ μέλαν, ὡς εἴπομεν. μήποτε οὖν ἀντὶ σκότους εἶπε τὸ μέλαν, ἵνα ᾖ στέρησις τοῦ λευκοῦ τὸ σκότος, λευκὸν δὲ ἵνα νοήσῃς τὸ φῶς· τούτου γὰρ στέρησις τὸ σκότος.

p. 430b23 Δεῖ δὲ δυνάμει εἶναι τὸ γνωρίζον καὶ ἐνεῖναι ἐν αὐτῷ.

Ἐνεῖναι λέγει ἀντὶ τοῦ ἐνυπάρχειν. νυνὶ δὲ ζητεῖ πῶς δεῖ νοεῖν τὸ θεῖον, καὶ προλαμβάνει δύο τινά, πρῶτον μὲν ὅτι δεῖ τὸ νοοῦν δυνάμει εἶναι ὡς τὸ νοούμενον· δυνάμει δὲ λέγει κατ' ἐπιτηδειότητα· οὐ γὰρ βού-

---

3 et 4 ἀδιαιρέτων scripsi: διαιρετῶν Dt 5 οἷον] οἵ D 8 εἴπῃ] εἰπὲ t ἐπιφάνεια t 9 ἔστιν scripsi: τινὰ Dt 14 τουτέστιν scripsi: ἐστιν Dt δὲ delevi 22 Οἷον πῶς t 25 ᾖ] ἡ t 27 ἐνεῖναι Arist. SU: ἐν εἶναι Dt (hic et v. 28) Arist. reliqui 28 λέγεται t ἐνυπάρχειν scripsi coll. p. 553,4: ἐν ὑπάρχειν D: ἐν ὑπάρχει t

λεται Ἀριστοτέλης εἶναι λόγους ἐν τῇ ψυχῇ τῶν πραγμάτων. ὥσπερ οὖν, r 1r
φησί, δυνάμει ἐστὶ τὸ νοούμενον, | οὕτω δεῖ εἶναι καὶ τὸ νοοῦν· δεῖ γὰρ r 2r
τὸ γνωρίζον οὕτως ἐξομοιοῦσθαι τῷ γνωριζομένῳ καὶ ὁμοιοῦσθαι αὐτῷ καὶ
δυνάμει αὐτὸ εἶναι· καὶ πάλιν τὸ γνωριζόμενον ἐνυπάρχειν αὐτῷ τῷ
5 γνωρίζοντι, ὅταν γνωρίζῃ αὐτό, ὅπερ ἐστὶ δεύτερον. καὶ ὅτε οὕτω ταῦτα
ἔχει τὸ νοοῦν, τὸ θεῖον γινώσκει κατὰ τὰ εἰρημένα πέντε. καὶ λέγει
αὐτὰ πλὴν τοῦ ὡς αἰτίου· εἶπε δὲ αὐτὸ μηδὲν ἔχειν ἐναντίον, ὡς μηδε-
μίαν ἔχοντος αὐτοῦ σύζευξιν μετά τινος ἢ ὅλως ἀντίθεσιν διὰ τὸ ἐπαναβεβηκέναι αὐτό. ὅτι δὲ καὶ ἐνεργείᾳ ἐστί, δῆλον, ὅτι καὶ αὐτὸ ἑαυτὸ
10 γινώσκει. τὸ δὲ χωριστόν, ὡς Πλούταρχός φησι, μὴ μόνον νόει μοι τῆς ὅλης τῶν σωμάτων, ἀλλὰ καὶ τῶν ψυχικῶν δυνάμεων, ὧν ὀφείλων εἰπεῖν κεχωρισμένον εἶπε χωριστόν· τὸ θεῖον γὰρ κεχώρισται. ὥστε κατὰ τὸν λόγον Ἀριστοτέλους ᾧτινι πράγματι αἰτίῳ ὄντι ἐναντίον οὐκ ἔστιν. ἐκεῖνο τὸ πρᾶγμα αὐτὸ ἑαυτὸ γινώσκει καὶ ἐνεργείᾳ ἐστὶ καὶ χωριστόν
15 ἐστι, καὶ οὐ μόνον νοῦς, ἀλλὰ καὶ εἴ τι ἕτερον εἴη τοιοῦτον. ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

p. 430ᵇ26 Ἔστι δ' ἡ μὲν φάσις τι κατά τινος, ὥσπερ ἡ κατάφασις.

Δείξας Ἀριστοτέλης ὅτι ἀίδιος ὁ νοῦς καὶ ὅτι διαφέρει αἰσθήσεως
20 καὶ πῶς τὸ νοεῖν γίνεται, καὶ τὴν διαφορὰν τῶν νοητῶν, οὐ πρότερον ἀπαλλάττεται τοῦ νοῦ, πρὶν ἂν εἴπῃ ὁλοτελῶς αὐτοῦ τὴν διάκρισιν. καὶ διακρίνει τριττῶς τὸν νοῦν, τὸν περὶ τὰ ἁπλᾶ καταγινόμενον τοῦ περὶ τὰ σύνθετα καταγινομένου, ὅ ἐστι διανοίας, τὸν δυνάμει νοῦν τοῦ ἐνεργείᾳ, τὸν πρακτικὸν νοῦν τοῦ θεωρητικοῦ. καὶ τὸ μὲν πρῶτον μιᾷ διακρίσει
25 διακρίνει, τὸ δὲ δεύτερον δύο, καὶ τὸ τρίτον τρισίν. διαφέρει τοίνυν, φησίν, ὁ περὶ τὰ ἁπλᾶ καταγινόμενος νοῦς τοῦ περὶ τὰ σύνθετα καταγινομένου, τουτέστι διανοίας (αὕτη γὰρ περὶ τὰ σύνθετα καταγίνεται), ὅτι ὁ μὲν νοῦς ἀεὶ ἀληθεύει, ἡ δὲ διάνοια καὶ ἀληθεύει καὶ ψεύδεται, καὶ οὐδὲ ἔοικε τὸ ἀληθὲς τῆς διανοίας τῷ ἀληθεῖ τοῦ νοῦ· τὸ μὲν γὰρ τοῦ νοῦ ὑπαρκτικόν
30 ἐστιν ἀληθές, τὸ δὲ τῆς διανοίας ἐν συνθέσει ἔστι τινὸς κατά τι. καὶ ἔοικεν ὁ μὲν νοῦς αἰσθήσει περὶ τὰ οἰκεῖα αἰσθητὰ καταγινομένῃ, ἥτις ἀεὶ ἀληθεύει, ἡ δὲ διάνοια ἔοικεν αἰσθήσει τῇ περὶ τὰ κατὰ συμβεβηκὸς αἰσθητὰ καταγινομένῃ· αὕτη γὰρ ποτὲ μὲν ψεύδεται ποτὲ δὲ ἀληθεύει

---

2 νοοῦν] νοῦν D 4 αὐτῷ εἶναι D 5 γνωρίζει Dt ὅτε] ὅτι t
8 σύζευσιν t 8. 9 ἐναπαναβεβηκέναι t 9 αὐτό (ante ὅτι) scripsi: αὐτόν Dt
11 ὧν scripsi: ἣν Dt 12 κεχωρισμένον et χωριστόν scripsi: κεχωρισμένου et χωριστοῦ Dt 15 εἴ τι om. t 16 post πληροῦται add. πρᾶξις ϊγ marg. D¹
17 Ἔστι] ἔτι (c. Ald.) t δὲ καὶ ἡ φάσις D ὥσπερ ἡ t Arist. vulg.: post ὥσπερ add. καὶ D (sed cf. p. 556,8) Arist. W 20 τὴν om. t 22 τριττὸς D
24 πρώτω D 29 τοῦ μὲν γὰρ D 32 αἰσθήσει] αἴσθησις t

καὶ ἐν συνθέσει ἐστίν· ἄλλο γὰρ ἐξ ἄλλου γινώσκει, οἷον ἀπὸ λευκοῦ ὅτι r 2r
ἄνθρωπος. τὰ οὖν ἁπλᾶ νοήματα ὡς ἀναλογοῦντα ἰδιοπραγούσῃ αἰσθήσει
τῇ ἀεὶ ἀληθευούσῃ ἀεὶ ἀληθεύουσιν, τὰ δὲ σύνθετα νοήματα ὡς ἀναλο-
γοῦντα αἰσθήσει ἀλλοτριοπραγούσῃ ποτὲ μὲν ἀληθευούσῃ, ποτὲ δὲ ψευδο- 25
5 μένῃ διὰ τοῦτο καὶ αὐτὰ ποτὲ μὲν ἀληθεύουσι ποτὲ δὲ ψεύδονται. οὕτω
μὲν οὖν διακρίνει τὸν περὶ τὰ ἁπλᾶ καταγινόμενον νοῦν τοῦ περὶ τὰ σύν-
θετα καταγινομένου. εἶτα λοιπὸν διακρίνει τὸν δυνάμει νοῦν τοῦ ἐνεργείᾳ,
πρῶτον μὲν ὅτι ὁ μὲν ἐνεργείᾳ νοῦς αὐτὰ τὰ πράγματά ἐστιν, ὁ δὲ
δυνάμει οὐκ ἔστι τὰ πράγματα, εἰ μὴ νοήσῃ αὐτά, δεύτερον δὲ ὅτι ὁ
10 μὲν δυνάμει νοῦς ἐν τῷ ἑνὶ χρόνῳ προτερεύει τοῦ ἐνεργείᾳ, ἐν δὲ τῷ 30
ὅλῳ οὐ προτερεύει· ἔστι γὰρ ἀεὶ καὶ ἐνεργείᾳ καὶ δυνάμει· δεῖ γὰρ εἶναι
τὸ ἐνεργείᾳ ἀεί, ἵνα ἀνάγῃ τὸ δυνάμει εἰς τὸ ἐνεργείᾳ. οὕτω καὶ τοῦτο
διακρίνας διακρίνει καὶ τὸν θεωρητικὸν νοῦν τοῦ πρακτικοῦ καὶ λέγει
πρώτην διάκρισιν ταύτην, ὅτι ὁ μὲν πρακτικὸς νοῦς ἀεὶ περὶ μερικὰ κατα-
15 γίνεται, ὁ δὲ θεωρητικὸς καὶ περὶ καθόλου. δευτέραν λέγει διάκρισιν· ὁ
μὲν πρακτικὸς ἀεὶ φαντασίᾳ κέχρηται, ὁ δὲ θεωρητικὸς οὐκ ἀεί. τρίτη
διάκρισις τὸ εἶναι ἐν μὲν τῷ θεωρητικῷ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἐν δὲ
τῷ πρακτικῷ τὸ ἀγαθὸν καὶ κακόν. καὶ μᾶλλον αὕτη ἡ διάκρισις κρείτ-
των· ἡ γὰρ δευτέρα οὐ πάνυ ἔχει τὸ ἀναγκαῖον· καὶ ὁ θεωρητικὸς γὰρ 35
20 νοῦς ἀεὶ φαντασίᾳ κέχρηται. ἰστέον δὲ ὅτι οὐχ ἕτερός ἐστιν ὁ θεωρητικὸς
νοῦς παρὰ τὸν πρακτικὸν τῷ ὑποκειμένῳ. ὥσπερ γὰρ οὐκ ἔστιν ἕτερος
ὁ δυνάμει νοῦς παρὰ τὸν ἐνεργείᾳ τῷ ὑποκειμένῳ (ὁ αὐτὸς γάρ ἐστιν),
ἀλλὰ μόνον τῷ χρόνῳ διαφέρει, οὕτω καὶ ὁ πρακτικὸς νοῦς ἔχει πρὸς
τὸν θεωρητικόν· τῷ μὲν γὰρ ὑποκειμένῳ ὁ αὐτός ἐστι, τῇ δὲ σχέσει
25 διάφορος. ἀναλογεῖ μὲν γὰρ ὁ θεωρητικὸς ὄψει μόνον τὰ εἴδη κρινούσῃ 40
τῶν χρωμάτων καὶ γινωσκούσῃ ὅτι τόδε μὲν λευκόν ἐστι, τόδε δὲ μέλαν· 40
ὁ δὲ πρακτικὸς νοῦς ἀναλογεῖ ὄψει μὴ μόνον γινωσκούσῃ τὰ εἴδη τῶν
χρωμάτων, ἀλλὰ καὶ σφετεριζομένῃ μὲν τὸ ἡδύ, ἀποστρεφομένῃ δὲ τὸ
λυποῦν. ὥσπερ γὰρ ἡ ὄψις ἡ πρὸς τῷ λευκῷ καὶ μέλανι καὶ τὸ ἡδὺ καὶ
30 τὸ λυπηρὸν γινώσκουσα, οὕτω καὶ ὁ πρακτικὸς νοῦς οὐ μόνον τὸ ἀληθὲς
καὶ τὸ ψεῦδος οἶδεν, ἀλλὰ καὶ τὸ ἀγαθὸν καὶ κακόν, καὶ ἀναλογεῖ τὸ μὲν
ἐν ὄψει ἡδὺ τῷ ἀγαθῷ, τὸ δὲ ἐν ὄψει λυπηρὸν τῷ κακῷ. πολλάκις δὲ
ὁ νοῦς τὸ λυπηρὸν ἀντὶ τοῦ ἡδέος αἱρεῖται, διὰ τὸ εἶναι τὸ λυπηρὸν 45
ἀγαθόν, τὸ δὲ ἡδύ ποτε καὶ κακόν. ὥστε αὕτη ἐστὶν ἡ διαφορά, ὅτι ὁ
35 μὲν θεωρητικὸς νοῦς ἄνευ ὀρέξεως ἐνεργεῖ, τὴν ἀλήθειαν μόνην καὶ τὸ
ψεῦδος γινώσκων, ὁ δὲ πρακτικὸς νοῦς μετὰ ὀρέξεως ἐνεργεῖ, τῷ εἰδέναι
ποῖον μέν ἐστιν ἀγαθόν, ποῖον δὲ κακόν. μέχρι τούτων προαγαγὼν τὴν
διάκρισιν τοῦ θεωρητικοῦ νοῦ πρὸς τὸν πρακτικόν, καὶ ἑτέραν ἡμῖν διά-
κρισιν παραδίδωσι τοῦ νοῦ πρὸς τὴν αἴσθησιν. ἐπειδὴ γὰρ καὶ ἐν τῇ
40 διακρίσει τοῦ νοῦ πρὸς τὴν διάνοιαν καὶ πάλιν ἐν τῇ διακρίσει τοῦ θεω- 50

---

1 ἀλλὰ γὰρ D ἀπὸ τοῦ λευκοῦ t 2 τὰ οὖν] τὸ οὖ t 10 ἑνὶ] μερικῷ t 18. 19 κρεῖττον D 32 τὸ δὲ scripsi: τῷδε Dt 36 γινῶσκον t 38 νοῦ om. t

ρητικοῦ νοῦ πρὸς τὸν πρακτικὸν νοῦν τῇ αἰσθήσει ἀπείκασεν, ἵνα μή τις r 2r
νομίσῃ ὅτι κατὰ πάντα ἔοικεν ὁ νοῦς τῇ αἰσθήσει, διὰ τοῦτο νῦν διάκρισιν
νοῦ πρὸς αἴσθησιν παραδίδωσι καί φησιν ὅτι ἡ κατὰ μέρος αἴσθησις,
οἷον ἡ ὄψις, οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ κοινὸν καταγώγιόν ἐστι
5 λευκοῦ καὶ μέλανος ἡ ὄψις, λευκοῦ δὲ καὶ γλυκέος ἡ κοινὴ αἴσθησις κοινόν
ἐστι καταγώγιον· τὴν ⟨γὰρ⟩ διαφορὰν ἣν ἔχει τὸ λευκὸν πρὸς τὸ γλυκὺ
οὐκ οἶδεν ἡ ὄψις, ἀλλ' ἡ κοινὴ αἴσθησις. ὥσπερ οὖν ἀποπεράτωσίς ἐστι
τῶν κατὰ | μέρος αἰσθήσεων ἡ κοινὴ αἴσθησις, οὕτω καὶ τῶν θεωρητικῶν r 2v
νοητῶν ἐστι κοινὸν καταγώγιον ἡ νοερὰ γνῶσις, καὶ τῶν πρακτικῶν, οἷον
10 ἀγαθοῦ καὶ κακοῦ, ἡ νοερὰ πρᾶξις· ἀμφοτέρων δέ, καὶ τῶν θεωρητικῶν
καὶ τῶν πρακτικῶν, ὁ νοῦς ἐστι καταγώγιον. καὶ τὴν μὲν νοερὰν γνῶσιν
ὁ Πλάτων προσεκτικὸν ἔλεγε, τὴν δὲ νοερὰν πρᾶξιν συνειδός. ἔλεγε δὲ
ταῦτα τῷ ὑποκειμένῳ τὰ αὐτὰ εἶναι· καὶ ὁ γινώσκων γὰρ πράττει· συνέ- 5
ζευκται γὰρ τῇ γνώσει ἡ ζωή, καὶ ἔν ἐστι τὸ λέγον 'ἐγὼ ἐνόησα καὶ
15 ἐτράφην'. εἰ γὰρ μὴ τοῦτο οὕτως ἔχει, εὔλογόν ἐστιν εἰπεῖν, ὡς σὺ μὲν
τοῦδε, ἐγὼ δὲ τοῦδε αἰσθοίμην. διαφέρει δὲ ταῦτα τῷ λόγῳ τῷ τὸν μὲν
πράττειν τὸν δὲ γινώσκειν. καὶ Ἀριστοτέλης δὲ οὕτω δοξάζει. καὶ κατ'
αὐτὰ δὲ τὰ ὑποκείμενα κοινωνοῦσι· τὸ γὰρ ἀγαθὸν καὶ ἀληθές, τὸ δὲ κακὸν
ψευδές· πλὴν διαφέρουσιν, ἐπειδὴ τὸ ἀγαθὸν πρός τι λέγεται (ὁ γὰρ πρὸς
20 τὴν ψυχὴν ἀγαθὸν ἐν ἀρεταῖς, τοῦτο κακὸν τῷ σώματι), τὸ δὲ ἀληθὲς
οὐ πρός τι λέγεται, ἀλλ' ἀεὶ τὸ αὐτὸ ἀληθὲς καὶ καλόν. οὐ γὰρ δεκτέον 10
Πλάτωνα λέγοντα, ὅτι τὸ ὁμολογῆσαι τῷ μαινομένῳ τὴν παρακαταθήκην
τοῦ ξίφους ἀληθὲς μὲν κακὸν δέ· τὸ γὰρ ἀληθὲς κατὰ τὸν Ἀριστοτέλην
ᾗ ἀληθὲς ἀεὶ καλόν. ἰστέον δὲ ὅτι, εἰ καὶ εἴπομεν ὁμοίαν εἶναι τὴν
25 κοινὴν αἴσθησιν τῷ νῷ, ἐπειδὴ ὥσπερ ἡ κοινὴ αἴσθησις ἀποπεράτωσίς
ἐστι πασῶν τῶν κατὰ μέρος αἰσθήσεων, οὕτω καὶ πάντων τῶν νοητῶν
ἀποπεράτωσίς ἐστιν ὁ νοῦς καὶ τῶν διανοητῶν καὶ τῶν δοξαστῶν, ἀλλ'
οὖν ἐστί τις διαφορά. ἐπὶ γὰρ τῶν αἰσθήσεων ἄλλη τίς ἐστιν ἡ κοινὴ 15
αἴσθησις παρὰ τὰς πέντε αἰσθήσεις, ἐπὶ δὲ τῶν νοητῶν οὐκ ἔστιν ἕτερόν τι
30 τὸ γινῶσκον παρὰ τὰ τρία, ἀλλ' ἓν τῶν τριῶν ἐστι τὸ γινῶσκον τὴν διαφοράν.
ὁ γὰρ νοῦς, μέρος ὢν τῶν τριῶν, δόξης τέ φημι καὶ διανοίας καὶ νοῦ, αὐτὸς
οἶδε τὴν διαφορὰν τῶν νοητῶν πρὸς τὰ διανοητὰ καὶ τῶν διανοητῶν πρὸς
τὰ δοξαστά. αὕτη οὖν ἐστιν ἡ διαφορὰ τοῦ νοῦ πρὸς τὴν κοινὴν αἴσθησιν.
ἰστέον δὲ ὅτι, ὥσπερ ἡ κοινὴ αἴσθησις οὐ μόνον ἃ γινώσκουσιν αἱ κατὰ
35 μέρος αἰσθήσεις οἶδεν, ἀλλὰ καὶ ἄλλα παρὰ ταῦτα (οἶδεν γὰρ ἡ κοινὴ 20
αἴσθησις τὴν διαφορὰν τῶν αἰσθητῶν τῶν ὑποπιπτόντων τῇ αἰσθήσει, τῶν
αἰσθήσεων, ὡς ἤδη εἴπομεν, τοῦτο μὴ ἐπισταμένων· αἱ γὰρ κατὰ μέρος
αἰσθήσεις μόνον γλυκὺ καὶ λευκὸν γινώσκουσιν, ἡ δὲ κοινὴ αἴσθησις οὐ
μόνον ταῦτα, ἀλλὰ καὶ τὴν διαφορὰν αὐτῶν) οὕτως οὖν καὶ ὁ νοῦς οὐ
40 μόνον τὰ νοητὰ καὶ διανοητὰ καὶ δοξαστὰ οἶδεν, ἀλλὰ καὶ τὴν διαφορὰν

---

1 μή τι t 6 γὰρ addidi 8 αἰσθήσεων] αἰσθήσεως t 14 λέγων D
18 κοινοῦσι D 22 Πλάτωνα] Reip. A p. 331 C sq. παρακαθήκην t 32 οἶδε]
δὲ t 35 ἡ om. t

αὐτῶν. ἃ γὰρ τὰ χείρω γινώσκει, καὶ τὰ κρείττω ἐπίσταται· ἃ δὲ τὰ r 2ᵛ
κρείττονα οἶδεν, οὐκ ἐπίσταται τὰ χείρονα. τὴν γοῦν διαφορὰν διανοητῶν
καὶ νοητῶν ἢ διανοητῶν καὶ δοξαστῶν οὐκ οἶδεν οὔτε διάνοια οὔτε δόξα·
νοῦς δὲ αὐτὴν οἶδεν ὡς κρείττων ὢν ἀμφοτέρων, τῆς τε διανοίας καὶ τῆς
5 δόξης. ἔστιν οὖν ἀναλογία τοιαύτη· ὡς μέλαν πρὸς ἴδιον νόημα, οὕτω
καὶ λευκὸν πρὸς ἴδιον νόημα, καὶ ἐναλλὰξ ὡς μέλαν πρὸς λευκόν, οὕτω
νόημα λευκὸν πρὸς νόημα μέλαν. ἐν οἷς ἡ θεωρία σὺν θεῷ πληροῦται.

Ἔστι δὲ ἡ μὲν φάσις τι κατά τινος, ὥσπερ ἡ κατάφασις.
τί βούλεται εἰπεῖν; ὅτι διαφέρει ὁ περὶ τὰ ἁπλᾶ καταγινόμενος νοῦς τοῦ
10 περὶ τὰ σύνθετα καταγινομένου· περὶ γὰρ τὴν ἐνδιάθετον, φησί, κατάφασιν
καταγίνεται· αὕτη γὰρ οἱονεὶ ἁπλῆ ἐστιν ἐν τῇ διαθέσει καὶ ἀληθεύει ἀεί·
ὁ δὲ περὶ τὰ σύνθετα καταγινόμενος νοῦς ἐν τῇ κατὰ προφορὰν καταφάσει
καταγίνεται, ἥτις ἔχει καὶ ἀληθὲς καὶ ψεῦδος καὶ ἐν συνθέσει ἐστὶ διὰ τὴν
προφοράν. τὸ οὖν λέγειν αὐτὸν ἀληθῆ ἢ ψευδῆ κατὰ πάσης λαβὲ τῆς
15 κατὰ προφορὰν καταφάσεως, οὐ τῆς ἐνδιαθέτου. οὐ γὰρ πᾶς νοῦς ψεύδεται.
ἀντὶ τοῦ ἀληθεύει ἢ ψεύδεται· ὁ γὰρ τῶν ἁπλῶν νοημάτων νοῦς ἀληθεύει
μόνον, οὐ μὴν καὶ ψεύδεται, ὥστε οὐ πᾶς νοῦς ἀληθεύει ἢ ψεύδεται * *
διὰ τὸν πρακτικόν φησιν εἰρῆσθαι. ὁ γὰρ θεωρητικὸς τῶν ἁπλῶν καὶ
καθαρῶν νοημάτων ἀντιλαμβανόμενος οὐ ψεύδεται, ὁ δὲ πρακτικὸς ἐπειδὴ
20 συντίθησιν ἑαυτῷ καὶ ἀλλήλοις τὰ ἔνυλα εἴδη, ἐν τούτῳ, φησί, διανοεῖται
καὶ διὰ τοῦτο ψεύδεται· ὥστε πάλιν διὰ τὴν διάνοιαν τὸ ψεῦδος παρα-
κολουθεῖ.

p. 430ᵇ28 Ἀλλ' ὁ τοῦ τί ἐστι κατὰ τὸ τί ἦν εἶναι ἀληθής, καὶ
οὐ τὶ κατά τινος.

25 Ὡσεὶ ἔλεγεν ὅτι ἐκεῖνος μόνος ἀληθεύει ὁ νοῦς ὁ κατὰ τὸ τί ἐστι καὶ
ὁ κατὰ τὸ τί ἦν εἶναι. τὸ μὲν οὖν τί ἐστι τὴν οὐσίαν δηλοῖ, τὸ δὲ τί
ἦν εἶναι τὸ εἶδος· ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον, ὅτι ἐκεῖνος ἀληθεύει ὁ
νοῦς ὁ τῆς οὐσίας τῆς κατὰ τὸ εἶδος ἀντιλαμβανόμενος, τουτέστιν ὁ τοῦ
εἴδους αὐτοῦ καθ' αὑτὸ ἀντιλαμβανόμενος. οὗτος δέ ἐστιν ὁ θεωρητικός,
30 ὅστις καὶ ἀεὶ ἀληθεύει καὶ οὐκ ἔστι τι κατά τινος, τουτέστιν οὐ περὶ
σύνθετα καταγίνεται. τὸ γὰρ περὶ σύνθετα καταγίνεσθαι οὐκ ἔστι τοῦ
κυρίως νοῦ, ἀλλὰ τῆς διανοίας. μὴ νόμιζε δὲ ὅτι ὁ νοῦς τῇ διανοίᾳ τῷ
μὲν ὑποκειμένῳ ὁ αὐτός ἐστι, τῷ δὲ λόγῳ διάφορος, ὡς εἴρηται ἐν τῇ
θεωρίᾳ· καὶ τῷ ὑποκειμένῳ γὰρ διάφορος ὁ νοῦς τῆς διανοίας.

---

2 τὰ χείρονα] χείρωνα t 2. 3 διανοητὸν καὶ νοητὸν ἢ διανοητὸν καὶ δοξαστόν D
3 ante δόξα add. ἡ t 7 post μέλαν in marg. adscr. ὡς οὖν ἡ κοινὴ αἴσθησις κρίνει τὴν διαφορὰν λευκοῦ καὶ μέλανος, καὶ ὁ νοῦς ἄρα κρίνει τὴν διαφορὰν νοήματος λευκοῦ πρὸς νόημα μέλαν t 9 post νοῦς add. ἀπὸ t 9. 10 τοῦ — καταγινομένου om. D
10 γὰρ om. D κατάφασις t 17 μόνος D lacunam indicavi
34 ὁ om. D

p. 430b29 Ἀλλ' ὥσπερ τὸ ὁρᾶν τοῦ ἰδίου ἀληθές, εἰ δὲ ἄνθρω- r 2v
πος τὸ λευκὸν ἢ μή, οὐκ ἀληθὲς ἀεί.

Τί ἐστι τὸ ὁρᾶν τοῦ ἰδίου; ἀντὶ τοῦ ὁρᾶν τὸ ἴδιον καὶ ἰδιοπραγεῖν, οἷον τὸ ὁρᾶν τὸ λευκὸν καὶ μόνον, μηκέτι δὲ καὶ τὴν οὐσίαν ἥτινι τὸ λευκὸν τοῦτο ὑπάρχει· τοῦτο γὰρ οὐκ ἀληθὲς ἀεί. ψεύδεται γὰρ ἔστιν ὅτε ἡ αἴσθησις περὶ τὰ κατὰ συμβεβηκὸς αἰσθητά, ὥσπερ καὶ ἄνω ἐλέγετο.

p. 430b30 Οὕτως ἔχει ὅσα ἄνευ τῆς ὕλης.

Τί φησιν; ὅτι ὥσπερ ἡ αἴσθησις ἔχει πρὸς τὰ οἰκεῖα αἰσθητὰ καὶ οὐκ οἰκεῖα, οὕτω καὶ τὰ ἄνευ ὕλης ἔχει πρὸς τὰ νοητά· ἄνευ δὲ ὕλης λέγει διάνοιαν καὶ νοῦν· ἄυλοι γὰρ δυνάμεις αὗται. καὶ τὰ διανοητὰ καὶ νοητὰ πάλιν ἄυλα πράγματα· καὶ τὰ μὲν νοητά, ἅτινα καὶ ἁπλᾶ λέγει, τῇ ὄψει, φησίν, ἀναλογεῖ τῇ τὸ ἴδιον ὁρώσῃ· | τὰ δὲ διανοητά, ἅπερ r 3r
καὶ σύνθετα καλεῖ, τῇ ὄψει λέγει ἀναλογεῖν τῇ ἀλλοτριοπραγούσῃ καὶ μὴ μόνον ὅτι λευκὸν θελούσῃ γινώσκειν, ἀλλ' ὅτι καὶ λευκὸς ἄνθρωπος ἢ ἵππος.

p. 431a1 Τὸ αὐτὸ δ' ἐστὶν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι.

Πρᾶγμα λέγει τὸ ἐπιστητόν· φησὶν οὖν ὅτι ἡ ἐνεργείᾳ ἐπιστήμη ἡ αὐτή ἐστι τῷ ἐπιστητῷ. οὐ γινώσκει γὰρ ἡ ἐπιστήμη τὸ ἐπιστητόν, εἰ μὴ ἐξομοιωθῇ αὐτῷ καὶ γένοιτο οἷον αὐτό. τοῦτο δὲ οὐ μάτην παρεντέθειται, ἀλλ' ἐπειδὴ περὶ νοητῶν ἐστιν ὁ λόγος, τὰ δὲ νοητὰ διὰ μέσης ἐπιστήμης ἐνεργείᾳ νοητὰ γίνεται καὶ γινώσκεται τῷ νῷ, διὰ τοῦτο μνείαν ἐπιστήμης ἐποιήσατο φήσας ὅτι ἡ ἐπιστήμη ἡ ἐνεργείᾳ οὖσα ὁμοία ἐστὶ τῷ ἐπιστητῷ. ἡ δὲ κατὰ δύναμιν ἐπιστήμη προτέρα ἐστὶ τῆς κατ' ἐνέργειαν ἐπιστήμης ἐν τῷ ἑνὶ ἀτόμῳ.

p. 431a2 Ὅλως δὲ οὐδὲ χρόνῳ.

Τινὰ τῶν βιβλίων ἔχουσιν ὅλως, τινὰ δὲ ἁπλῶς. τοῦτο δέ ἐστιν ὃ λέγει, ὅτι ὁλικῶς καὶ ἁπλῶς εἰπεῖν ἐν ὅλῳ τῷ κόσμῳ οὐκ ἔστι πρότερον τὸ δυνάμει τοῦ ἐνεργείᾳ, διότι πάντα ἐξ ἐντελεχείᾳ τινὸς ὄντος προάγεται εἰς ἐνέργειαν διὰ τοῦ δυναμένου προάγειν. τὸ δὲ ἐξ ἐντελεχείᾳ ὄντος, τινές φασιν, οὐ δεῖ πρὸς τὸν δημιουργὸν λαβεῖν, ἀλλ' ὅτι πᾶν τὸ δυνάμει

---

6 λέγετο t 7 post οὕτως add. δὲ Dt, sed cf. v. 9 9 ἔχει πρὸς—δὲ ὕλης iterat D 13 λέγεται t ἀλλοτρίῳ πραγούσῃ t 20. 21 παρεντέθεινται D 31 πᾶν] πάντα D

ἐν ἄλλῳ ἐστὶν ἐνεργείᾳ ὄντι ἄλλο τι, οἷον τὸ σπέρμα δυνάμει ἐστὶν ἔμβρυον, r 3
ἐνεργείᾳ δὲ σπέρμα, καὶ ὁ ἄρτος δυνάμει ἐστὶν αἷμα, ἐνεργείᾳ δὲ ἄρτος.
νομίζω δὲ μὴ καλῶς λέγειν αὐτούς· οὐδὲν γὰρ μόνως ἀεὶ ἐντελέχειά ἐστιν 15
ἐξ οὗ πάντα προάγεται, εἰ μὴ μόνος ὁ δημιουργός. ἐνταῦθα δὲ γενόμενος
5 Ἀλέξανδρός φησιν ὅτι τετάρακται ὁ λόγος, εἴπερ καὶ ἄνω διέκρινε τὸν
δυνάμει νοῦν ἀπὸ τοῦ ἐνεργείᾳ, καὶ νῦν δὲ τὸ αὐτὸ ποιεῖ. πρὸς ὅ φαμεν
ὅτι διττολογεῖ μέν, οὐ τετάρακται δὲ ὁ λόγος· τοῦτο γὰρ ἐποίησε νῦν, ἵνα
ἅμα εἴπῃ ὅλην τὴν διάκρισιν.

p. 431a4 Φαίνεται δὲ τὸ μὲν αἰσθητὸν ἐκ δυνάμει ὄντος τοῦ αἰ-
10 σθητικοῦ ἐνεργείᾳ ποιοῦν· οὐ γὰρ πάσχει οὐδ' ἀλλοιοῦται. 20

Τί βούλεται ἡ λέξις ἐντεῦθεν; βούλεται διακρῖναι τὸν πρακτικὸν νοῦν
τοῦ θεωρητικοῦ. πρὶν δὲ ἐλθεῖν εἰς τὴν διάκρισιν, βούλεταί τι εἰπεῖν
περὶ αἰσθήσεως διὰ δύο αἰτίας, ἢ ὅτι κοινωνεῖ ὁ νοῦς τῇ αἰσθήσει κατὰ
τὸ ἀμέσως ἐνεργεῖν, ἢ ἐπειδὴ [εἶπε] τρυφᾷ τοῖς παραδείγμασι τῆς αἰσθή-
15 σεως ἐπὶ ταύτης τῆς διακρίσεως, διὰ τοῦτο λέγει τι περὶ αἰσθήσεως ἤδη 25
εἰρημένον, ὅτι δυνάμει ἐστὶν ἡ αἴσθησις καθ' ἕξιν, καὶ οὐ κατ' ἐπιτηδειότητα ὡς ἡ διάνοια, ὅτε οὐκ ἐνεργεῖ· ὁπηνίκα δὲ τὸ αἰσθητὸν παρῇ καὶ ἐνεργήσῃ ἡ αἴσθησις, τότε ὑπὸ τῆς τοῦ αἰσθητοῦ παρουσίας ἄγεται εἰς ἐνέργειαν. ἔρχεται δὲ εἰς τὸ ἐνεργείᾳ οὐ διὰ κινήσεως· οὐδὲν γὰρ
20 πάσχει οὔτε ἀλλοιοῦται ἡ αἴσθησις ἀγομένη ἀπὸ τοῦ δευτέρου δυνάμει εἰς τὸ ἐνεργείᾳ. βούλεται γὰρ Ἀριστοτέλης τὸ ἀπὸ τοῦ δευτέρου δυνάμει εἰς τὸ δεύτερον ἐνεργείᾳ ἀγόμενον μὴ ἀλλοιοῦσθαι μηδὲ πάσχειν, ὅθεν ἢ οὐκ 30
ἔστι κίνησις ἢ ἄλλο εἶδός ἐστι κινήσεως. εἰ γάρ τις κίνησιν ἐθέλοι ταύτην λέγειν, λεγέτω ἄλλο κινήσεως εἶδος παρὰ τὰ ἐν τῇ Φυσικῇ λεχθέντα καὶ
25 καινοτομείτω τὴν φύσιν. εἶτα καὶ κατασκευάζει ὅτι οὐκ ἔστι κίνησις ἡ ἀπὸ τοῦ δευτέρου δυνάμει εἰς τὸ δεύτερον ἐνεργείᾳ πρόοδος. φησὶ γὰρ ὅτι ἡ κίνησις τοῦ ἀτελοῦς ἐστιν ἐνέργεια (ἡ γὰρ κίνησις ἀπὸ ἀτελοῦς εἰς τέλειον φέρεται, καὶ πάσχει καὶ ἀλλοιοῦται), τὸ δὲ δεύτερον δυνάμει τέλειόν ἐστι· τῶν δὲ τελείων ἡ ἐνέργεια οὐκ ἔστι κίνησις, ἀλλ' ἕτερόν τι παρὰ τὴν 35
30 κίνησιν. οὐκ ἄρα οὖν κίνησίς ἐστιν ἡ ἀπὸ τοῦ δευτέρου δυνάμει ἀγωγὴ εἰς τὸ δεύτερον ἐνεργείᾳ, ἀλλὰ μεταβολή.

p. 431a8 Τὸ μὲν οὖν αἰσθάνεσθαι ὅμοιον τῷ φάναι μόνον καὶ νοεῖν.

Ἔτι διακρίνει τὸν θεωρητικὸν νοῦν τοῦ πρακτικοῦ. καί τί φησιν; 40
35 ὅτι ἐὰν ὥσπερ ἡ αἴσθησις τὸ φάναι μόνον ἔχει, τουτέστι τὸ γνῶναι μόνον

14 εἶπε delevi 19 δὲ om. t 24 παρὰ τὰ] παρ' αὐτὰ t ἐν τῇ Φυσικῇ] E 1 25 κενοτομεῖτο D 26 ἐνέργειαν t 27 ἐνέργεια scripsi (cf. Phys. Γ 2 p. 201b31. 32: ἐνεργείᾳ Dt 32 τῷ] τὸ D Arist. TX 34 Ἔτι] ὅτι t 35 ἐὰν] ἂν t

τό τε νοεῖν, λέγεται θεωρητικός· εἰ δὲ ἔχει τὸ ἀνιᾶσθαι καὶ ἥδεσθαι, r 3ᵛ
καταφάσκειν εἶπε καὶ διώκειν, ἐπειδὴ δεχόμεθα αὐτὸ καὶ ἐπὶ αὐτὸ ἐρχόμεθα. τὸ οὖν δέχεσθαι αὐτὸ εἶπε καταφάσκειν, τὸ δὲ ἀνιαρὸν ἀποφάσκομεν· οὐ δεχόμεθα γὰρ αὐτό, ἀλλὰ καὶ φεύγομεν. ὥσπερ δέ, φησί, τῇ
5 κριτικῇ δυνάμει τοῦ πρακτικοῦ νοῦ κρίνεται τὸ ἀγαθὸν καὶ κακόν. μὴ οὖν πάντα ἐπὶ τοῦ αὐτοῦ λάμβανε. εἶτα ἐπειδὴ δέδεικται ἀνωτέρω ὅτι 15
τῷ ὑποκειμένῳ ταὐτόν ἐστιν αἴσθησις τῇ ὀρέξει, δέον [δὲ] εἰπεῖν ὅτι ὁ πρακτικὸς νοῦς μετ' ὀρέξεως ἐνεργεῖ, εἶπεν αὐτὸς ὅτι μετ' αἰσθήσεως, διὰ τὸ ταὐτὸν εἶναι αἴσθησιν καὶ ὄρεξιν τῷ ὑποκειμένῳ. πρὸς τὸ ἀγα-
10 θὸν ἢ κακόν, ᾗ τοιαῦτα. καλῶς πρόσκειται τὸ ᾗ τοιαῦτα· οὐδὲ γὰρ αὐτὰ καθ' ἑαυτὰ ἀγαθά ἐστιν ἢ κακά, ἀλλ' ὡς πρὸς τὸ ζῷον, ὡς τὸ μὲν σῶζον λέγεσθαι ἀγαθόν, τὸ δὲ φθεῖρον λέγεσθαι κακόν.

p. 431ᵃ12 Καὶ ἡ φυγὴ δὲ καὶ ἡ ὄρεξις τοῦτο ἡ κατ' ἐνέργειαν, 50
καὶ οὐχ ἕτερον τὸ ὀρεκτικὸν καὶ φευκτικόν.

15 Τί φησιν; τὸ κατ' ἐνέργειαν λυπηρὸν τῇ κατ' ἐνέργειαν ἡδονῇ παραβάλλων λόγῳ διαφέρειν. ἐκάλεσε δὲ φευκτὸν μὲν τὸ λυπηρόν, ὄρεξιν δὲ τὸ ἡδύ. εἶτα ἵνα μὴ νομίσῃ τις ὅτι ἄλλῃ μὲν δυνάμει ὀρεγόμεθά τινος | ἡδέος, ἄλλῃ δὲ φεύγομεν τὰ λυποῦντα, νυνί φησιν ὅτι οὐ διαφέρει ἡδονὴ r 3ᵛ
λύπης, εἰ μὴ τῷ λόγῳ· οὐ γὰρ τῷ ὑποκειμένῳ· ἄμφω γὰρ ὑπὸ ἀλόγου
20 γίνεται ψυχῆς. καὶ τί λέγω τοῦτο, ὅπου οὐδὲ τὸ αἰσθάνεσθαι τοῦ ἥδεσθαι διαφέρει τῷ ὑποκειμένῳ· καὶ ταῦτα γὰρ ὑπὸ ἀλόγου ἄμφω· τῷ δὲ εἶναι διαφέρει, τουτέστι τῷ λόγῳ. τοῦτο δὲ εἶπεν, ἵνα δείξῃ ὅτι καὶ ὁ θεωρητικὸς νοῦς τοῦ πρακτικοῦ λόγῳ μόνον διαφέρει.

p. 431ᵃ14 Τῇ δὴ διανοητικῇ ψυχῇ τὰ φαντάσματα οἷον αἰσθή- 5
25 μματα ὑπάρχει.

Διανοητικὴν ψυχὴν λέγει καταχρησάμενος τὸν θεωρητικὸν νοῦν. καὶ τί φησιν; ὅτι καὶ αὐτός ποτε κέχρηται φαντασίᾳ ὡς καὶ ὁ πρακτικὸς νοῦς. ἀλλ' εἰ καὶ κέχρηται, φησί, τῇ φαντασίᾳ, τούτῳ τὰ φαντάσματα, φησίν, οἷον αἰσθήματά ἐστιν, τουτέστιν αἴσθησις μόνον ἄνευ ἀνίας καὶ
30 ἡδονῆς· τῷ δὲ πρακτικῷ νῷ τῷ ἔχοντι τὸ ἀγαθὸν καὶ κακὸν τὰ 10
ὑποκείμενα, φησίν, οἱονεὶ καταφάσεις εἰσὶ καὶ ἀποφάσεις, καὶ κέχρηται οὕτως ἡδονῇ καὶ λύπῃ, καὶ διώκει μὲν τὸ ἡδύ, φεύγει δὲ τὸ λυ-

---

1 εἰ] ἡ t 3 καταφάσκειν] καὶ φάσκειν t 4 ὥσπερ δέ depravata esse videntur: exspectas ὡς πρὸς ἕκαστον δὲ 7 δὲ delevi 8 αὐτός] αὐτόν t
10 ἢ τοιαῦτα bis D 13 ἡ φυγὴ oblitt. D δὲ D Arist. EL: δὴ t Arist. SUWX: om. Arist. TV ἡ (ante ὄρεξις) om. D 14 φευκτόν (c. Ald.) t 16 λόγῳ] λέγω D 17 ἵνα scripsi: εἶναι Dt 19 ὑπὸ λόγου t 21 φέρει τῷ t
24 δὴ Dt Arist. S: δὲ Arist. vulg. 28 εἰ] ἡ D 30 πραγματικῷ νῷ t
31 κατάφασις D

πηρόν. οὗτος δὲ καὶ ἀεὶ κέχρηται φαντασίᾳ, διὰ τὸ ἀεὶ ἥδεσθαι ἢ r 3v
λυπεῖσθαι, ὅπερ χωρὶς φαντασίας οὐκ ἔστιν, ὁ δὲ πρῶτος οὐκ ἀεί· τῶν
γὰρ μερικῶν οὐδὲν ἄνευ φαντασίας νοεῖ, τὰ μέντοι καθόλου καὶ χωρὶς
φαντασίας νοεῖ. μὴ νόμιζε δὲ ταὐτὸν εἶναι τὸ ἀγαθὸν καὶ ἡδὺ ἢ τὸ κακὸν
5 καὶ ἀνιαρόν· ἔστι γὰρ ἡδὺ κακὸν τὸ ἀφροδισιάζεσθαι, καὶ ἔστιν ἀνιαρὸν 15
ἀγαθὸν τὸ ἐγκρατεύεσθαι περὶ πάντα. μὴ οὖν νόμιζε τὸ ἡδὺ τοῦ πρακτικοῦ
τὸ αὐτὸ εἶναι τῷ ἀγαθῷ αὐτοῦ.

p. 431a17 Ὥσπερ δὲ ὁ ἀὴρ τὴν κόρην τοιανδὶ ἐποίησεν.

Περὶ τοῦ κοινοῦ καταγωγίου ἐστὶν ὁ λόγος. καὶ τί φησιν; ὅτι ὥσπερ 20
10 ὁ ἀὴρ ἀλλοιοῖ τὴν κόρην καὶ ἡ κόρη τὸ πνεῦμα, κἀκεῖνο τὴν δύναμιν τὴν
⟨ἐν τῷ⟩ κρυσταλλοειδεῖ, καὶ αὕτη ἐγείρεται καὶ ὁρᾷ μία οὖσα καὶ καθὸ
κρίνει μεσότης τυγχάνουσα, τὸ δὲ διάφορός ἐστι, τουτέστι τῷ λόγῳ,
τοῖς ἄλλοις κρίνουσι (καὶ ἡ ἀκοὴ γὰρ ὡσαύτως ἓν ἔχει κρῖνον) ὥσπερ οὖν
ἐν τούτοις, οὕτω καὶ ἐν τῷ νῷ ἐστι κοινὸν καταγώγιον, ὅπερ ἔσχατόν
15 ἐστι καὶ κριτικὸν μέσον. καὶ τὸ μὲν πρῶτον λέγει ἡ λέξις, τὸ περὶ ὄψεως
καὶ ἀκοῆς, τὸ δὲ 'οὕτω καὶ ὁ νοῦς ἔχει καταγώγιον' οὐ λέγει· ἀλλ' εἰπὼν 25
ὁ φιλόσοφος τὰ πρῶτα, εἴασε τὰ λοιπὰ συνυπακούεσθαι, τὰ περὶ τοῦ νοῦ,
καὶ τρέπεται εἰς ἄλλα λέγων ὅτι οὕτω μὲν ἡ μερικὴ αἴσθησις κρίνει, τὸ
δὲ λευκὸν καὶ γλυκὺ οὐκ αὐτὴ κρίνει, ἀλλ' ἄλλη τις ἦν ἄνω, φησίν,
20 εἴπομεν καὶ νῦν δὲ λέξομεν, ἡ κοινὴ αἴσθησις· αὕτη γὰρ τούτων ἐστὶ
κοινὸν καταγώγιον μία οὖσα, φησίν, ὥσπερ ὅρος. ὅρον δὲ καλεῖ νῦν τὸ
κέντρον τοῦ κύκλου, ἀφ' οὗ πολλαὶ εὐθεῖαι ἐκπίπτουσι.

p. 431a22 Καὶ ταῦτα ἓν τῷ ἀνάλογον καὶ τῷ ἀριθμῷ ὂν ἔχει 30
πρὸς ἑκάτερον, ὡς ἐκεῖνα πρὸς ἄλληλα.

25 Τί φησιν; ὅτι ὥσπερ ὁ ὅρος, τουτέστι τὸ κέντρον, οὕτως ἔχει καὶ ἡ
κοινὴ αἴσθησις καὶ τῇ ἀναλογίᾳ καὶ τῷ ἀριθμῷ. τῇ μὲν ἀναλογίᾳ, ὅτι
ὥσπερ τὸ κέντρον ἔχει πρὸς ἑκατέραν τῶν ἀπὸ τοῦ κέντρου γραμμῶν,
οὕτως ἔχει καὶ ἡ κοινὴ αἴσθησις πρὸς ἑκατέραν τῶν αὐτῆς αἰσθήσεων·
καὶ ὥσπερ αἱ εὐθεῖαι πρὸς ἀλλήλας, οὕτω καὶ αἱ κατὰ μέρος αἰσθήσεις
30 πρὸς ἀλλήλας, φησίν, ἀναλογίαν τινὰ ἔχουσιν. οὕτω μὲν τῇ ἀναλογίᾳ· 35
τῷ δὲ ἀριθμῷ πῶς; ὅτι ὥσπερ ἓν ὑπάρχον τὸ κέντρον πρὸς πολλὰς
ἔχει γραμμὰς σχέσιν, οὕτω καὶ ἡ κοινὴ αἴσθησις μία οὖσα πρὸς πολλὰς
αἰσθήσεις ἔχει σχέσιν.

---

4 ἢ] καὶ t 8 τὴν κόρην om. D (ut Arist. X) 9 καταγωγίω t 10 ὁ ἀὴρ] ὁρῶμεν D: exspectas ὅταν ὁρῶμεν, ὁ ἀὴρ 11 ἐν τῷ addidi κρυσταλλοειδῆ t ἐγείρετο t 12 τὸ δὲ] fort. τῷ δὲ εἶναι 14 οὕτω] οὔτε t 15 καὶ κριτικὸν] διακριτικὸν t 19 δὲ om. t ἀλλ' ἄλλη τις ἦν scripsi: ἀλλά τις ἦν Dt 21 μία] μὴ t 23 καὶ τῷ t Arist. ET; cf. v. 26: ἢ τῷ Arist. Ly: ἢ D Arist. UVWX: om. Arist. S 28 αἰσθήσεων] αἰσθήσεως t 29 καὶ ὥσπερ — ἀλλήλας οὕτω] ὥσπερ D κατὰ] μετὰ t

p. 431ᵃ24 Τί γὰρ διαφέρει τὸ διαπορεῖν πῶς τὰ μὴ ὁμογενῆ r 3ᵛ
κρίνει ἢ τὰ ἐναντία, οἷον τὸ λευκὸν καὶ μέλαν;

Ἐπειδὴ εἶπεν ὅτι ὥσπερ ἡ κοινὴ αἴσθησις ἔχει πρὸς τὰ ἴδια * * 41
καὶ μὴ ἀπόρει, φησίν, πῶς τὰ ὁμογενῆ οἶδεν ἡ κατὰ μέρος αἴσθησις,
5 εἴπερ οὐκ ἀπορεῖς πῶς τὰ ἀνομογενῆ οἶδεν ἡ κοινὴ αἴσθησις· τὸ αὐτὸ
γάρ ἐστιν. ὁμογενῆ δὲ ἐκάλεσε τὸ μέλαν καὶ τὸ λευκόν· ὑπὸ τὸ χρῶμα
γὰρ ἄμφω· ἀνομογενῆ δὲ τὸ λευκὸν καὶ γλυκύ· ταῦτα γὰρ ὡς διαφόροις
αἰσθήσεσιν ὑποπίπτοντα ἀνομογενῆ τυγχάνουσιν ὄντα. ἔστω δὴ ὡς τὸ
πρῶτον τὸ λευκὸν πρὸς τὸ δεύτερον τὸ μέλαν, τὸ τρίτον πρὸς τὸ 45
10 τέταρτον ὡς ἐκεῖνα πρὸς ἄλληλα. στοιχεῖα λαμβάνει νῦν πρῶτον μὲν
δηλοῦν τὸ λευκόν, δεύτερον δὲ τὸ μέλαν, ποτὲ δὲ καὶ τὸ γλυκύ, τὸ δὲ τρίτον
καὶ τέταρτον ἀντὶ νοητῶν λαμβάνει, ἵνα ᾖ τὸ μὲν τρίτον ὁ λόγος τοῦ λευκοῦ,
τὸ δὲ τέταρτον ὁ λόγος τοῦ μέλανος. καὶ τί φησιν; ὅτι ὥσπερ οἶδεν ἡ
κοινὴ αἴσθησις τὸ πρῶτον καὶ τὸ δεύτερον (ἵνα λάβῃς τὸ μὲν πρῶτον
15 ὡσαύτως σημαῖνον τὸ λευκόν, τὸ δὲ δεύτερον γλυκύ), οὕτω καὶ ὁ νοῦς
οἶδε τὸ τρίτον καὶ τὸ τέταρτον, τουτέστι τοὺς λόγους τούτων. οἶδε δὲ 50
καὶ ἐναλλάξ, φησίν, ὁ νοῦς τὸ πρῶτον τρίτον καὶ δεύτερον τέταρτον, τουτ-
έστι καὶ τὰ αἰσθητὰ καὶ τὰ νοητά. τὸ αὐτὸ δὲ καὶ ἕν, τὸ δὲ εἶναι
οὐ τὸ αὐτό, κἀκεῖνο ὁμοίως. τῷ μὲν ὑποκειμένῳ, φησί, τὸ αὐτό ἐστι,
20 τὸ εἶδος λέγω λευκοῦ ἢ μέλανος ἢ μέλαν ἢ λευκόν, τῷ δὲ λόγῳ διάφορά
εἰσιν· ἄλλως γὰρ ὁρᾷ λευκὸν καὶ μέλαν καὶ ἄλλως νοεῖ. |

p. 431ᵇ2 Τὰ μὲν οὖν εἴδη τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ. r 4ʳ

Τί φησιν; ὅτι ὁ πρακτικὸς νοῦς τὰ εἴδη τῶν πραγμάτων νοεῖ κεχρη-
μένος τῇ φαντασίᾳ, καὶ ὥσπερ ἐν αὐτῇ, φησί, τὸ διώκειν καὶ φεύγειν 5
25 ὁρέξει οὔσῃ, οὕτω καὶ ἐν τῷ νῷ ἐστι ταῦτα, ἐπειδὴ ἥδεται καὶ λυπεῖται.
ἢ οὖν τοῦτο εἰπὲ ἢ τὸ ἄλλο ὅτι φαντάσματα [τὰ] ἄνω τὰ αἰσθητὰ καλεῖ,
κάτω δὲ τὴν φαντασίαν. καὶ τί φησιν; ὅτι ὁ νοῦς ποτε ἅμα αἰσθητοῖς
ἐνεργῶν ἥδεται καὶ ἀνιᾶται, ποτὲ δὲ ἄνευ τῆς αἰσθήσεως τῇ φαντασίᾳ
κέχρηται καὶ ἐνεργεῖ. ὅταν μὲν γὰρ φρυκτὸν ἰδὼν ἐννοήσῃ ὅτι πολέμιός
30 ἐστιν, αἰσθήσει συνήργησεν· ὅταν δὲ βουλευόμενος ποῦ δεῖ πολεμεῖν, τότε
φαντασίᾳ ἐχρήσατο. οἷον αἰσθανόμενος τὸν φρυκτὸν ὅτι πῦρ τῇ 10
κοινῇ γνωρίζει. τί ἐστι τῇ κοινῇ γνωρίζει; τινὲς μὲν οὖν φασιν
τῇ κινήσει τοῦ πυρός· ἡ γὰρ κίνησις κοινόν ἐστιν αἰσθητόν. ἄτοπον δέ

---

1 τὸ διαπορεῖν D: τὸ ἀπορεῖν Arist. vulg.: τοῦ ἀπορεῖν t Arist. W μὴ D Arist. LSUX: om. t Arist. vulg. 2 τὸ D: om. t Arist. codd. 3 lacunam indicavi 9 πρῶτον, δεύτερον] hic et infra legendum A, B et reliqua perinde (cf. v. 10) πρῶτον] τέταρτον Dt 10 ἐκεῖναι t λαμβάνει scripsi: λαμβάνειν Dt 14 κοινῇ] κατὰ μέρος D 15 ante οὕτω add. ὥσπερ δὲ αὐτῷ D 18 καὶ τὰ νοητά om. t 20 λέγω] λόγον D διάφοροί D 26 εἰπὲ scripsi: εἶπε Dt τὰ delevi 29 πόλεμός D 30 συνέργησεν t

ἐστιν ἐπὶ γνωρίζοντος εἰπεῖν † ἐπὶ αἰσθητοῦ κοινή· γνωρίζον γὰρ εἶπεν. r 4r
εἰπὲ οὖν ὅτι τοῦτο λέγει ὅτι κοινῇ αἰσθήσει γνωρίζομεν τὸ πῦρ· τοῦτο
δὲ εἶπεν ὡς εἰδὼς ὅτι ἅπερ ὑπόκειται τῇ κατὰ μέρος αἰσθήσει, καὶ τῇ
κοινῇ ὑπόκειται.

5 p. 431b6 Ὅτε δὲ τοῖς ἐν τῇ ψυχῇ φαντάσμασιν.

Τί φησιν; ὅτι ἡνίκα δὲ φανταθεὶς βουλεύσηται ποῦ δεῖ πολεμεῖν,
καὶ ἐκ τῶν προλαβόντων τὰ παρόντα βουλεύσηται, καὶ ἐπιλέξηται τὸν
ἡδὺν τόπον, φύγῃ δὲ τὸν ἀνιαρόν, τότε φαντασίᾳ κέχρηται. δεῖ δὲ εἰδέναι, 20
φησίν, ὅτι τὸ ἡδὺ καὶ λυπηρὸν ἀεὶ ἐν τῷ πρακτικῷ νῷ ἐστι, τὸ δὲ ἄνευ
10 πράξεως ἀληθὲς ἢ ψευδὲς ἐν τῷ θεωρητικῷ νῷ ἐστι· καὶ τοῦτο, φησίν,
ἐν τῷ αὐτῷ νῷ ἐστιν, ἐν ᾧ καὶ τὸ ἀγαθὸν καὶ κακόν. διαφέρει δὲ τῷ
ἁπλῶς καὶ τινί. ὅτι τὸ μὲν ἀληθὲς ἁπλῶς λέγεται καὶ ἀεὶ ὡσαύτως ἔχει,
τὸ δὲ ἀγαθὸν πρός τι φαῦλόν ἐστι καὶ ἀστεῖον. ὃ γὰρ πρός τινα ἀγαθόν
ἐστιν. οἷον πρὸς ψυχήν, τοῦτο πρὸς σῶμα οὐκ ἔστιν ἀγαθόν. ἐν οἷς ἡ
15 πρᾶξις σὺν θεῷ πληροῦται.

p. 431b12 Τὰ δὲ ἐν ἀφαιρέσει λεγόμενα νοεῖ ὥσπερ ἂν εἰ τὸ 25
σιμόν, ᾗ μὲν σιμόν, οὐ κεχωρισμένως, ᾗ δὲ καμπύλον.

Διακρίνας ἁπλοῦν νοῦν συνθέτου καὶ πρακτικὸν θεωρητικοῦ καὶ τὸν
δυνάμει τοῦ ἐνεργείᾳ, πάλιν ἔρχεται ἐπὶ τὸ νοητὸν καὶ τοῦτο νυνὶ
20 διδάσκει. καὶ ἐπειδὴ τὸ νοητὸν εἶδός ἐστι, τὸ δὲ εἶδος τριττόν, ἢ πάντῃ
ἔνυλον ὡς τὰ φυσικά, ἢ παντάπασιν ἄυλον, ἢ πῇ μὲν ἔνυλον πῇ δὲ 30
ἄυλον ὡς τὰ μαθήματα. ἄνω δὲ ἐξήτασε καὶ τὸ ἔνυλον εἶδος. ἡνίκα ἔλεγε
τὸ τόδε τι εἶναι, ἀλλὰ μὴν καὶ τὸ ἄυλον, ἔνθα ἐζήτει τὸ τῷδε [τὶ] εἶναι,
νῦν ἔρχεται ἐπὶ τὰ μαθήματα καὶ ζητεῖ πῶς οἶδεν αὐτὰ ὁ νοῦς· καὶ
25 φησὶν ὅτι οὐχ ὡς ἔνυλα αὐτὰ οἶδεν, ἀλλ' ὡς ἄυλα. οὐκ οἶδε γὰρ αὐτὰ
ὡς τὸ σιμόν, ὃ πάντως ἐν ὕλῃ νοεῖται τῇ ῥινί, ἀλλ' οἶδεν αὐτὰ ὡς τὸ
καμπύλον· τοῦτο γὰρ ἄνευ ὕλης νοεῖται. νοεῖ δὲ τὰ μαθήματα ὁ νοῦς
ὀργάνῳ κεχρημένος τῇ ἀμερεῖ φαντασίᾳ. ἡ γὰρ φαντασία ἀμερής ἐστιν· 35
ὅταν γὰρ ἐπινοήσῃ Σωκράτην τρέχοντα ἡ φαντασία, ὡς ἕνα αὐτὸν νοεῖ,
30 καὶ οὐ διάφορον ὄντα παρὰ τὸ τρέχειν. εἰ γὰρ ἡ φαντασία ἀπὸ αἰσθή-
σεώς ἐστι τῆς ἀμεταβάτου οὔσης, δῆλον ὅτι καὶ αὐτὴ ἀμερής ἐστι, καὶ
οὐ μεταβαίνει ἀπὸ ἄλλου εἰς ἄλλο, ἀλλ' ἅμα φαντάζεται. ἐκ τούτου δὲ

---

1 ἐπὶ αἰσθητοῦ—γνωρίζον depravata sunt; exspectas tale quid ἀλλὰ μὴ ἐπὶ αἰσθητοῦ τὸ κοινῇ· γνωρίζει κτλ. 5 ὁτὲ δὲ Arist.: ὅτι δὲ D: ὅτε δ' ἐν (c. Ald.) t 8 ἡδὺ D 11 τῷ (post δὲ) Arist.: τὸ Dt 13 αἰσθεῖον t πρός τι ἀγαθόν t; fort. recte 15 post πληροῦται add. πρᾶξις σὺν θεῷ ιγ marg. D[1] 17 ἡ μὲν et ἡ δὲ D σιμόν alt. om. D (ut de an. L) καμπύλον D Arist. X Simpl.: κοῖλον t Arist. reliqui 22 ἐξέτασε D 23 τόδε τι εἰδέναι D τὶ post τῷδε delevi 24 ἐπὶ D[2]: πρὸς t 31 αὐτὴ scripsi: αὕτη Dt 32 καταβαίνει t

τί συνάγεται; τὸ τὴν φαντασίαν μόνως ἀληθεύειν, ὥσπερ ὁ νοῦς καὶ ἡ r 4r
αἴσθησις, μὴ μέντοι καὶ ψεύδεσθαι, διότι οὐκ ἐν συνθέσει φαντάζεται. ἐκ
τούτου δὲ δείκνυται ὅτι καὶ χωριστή ἐστιν ἡ ψυχή, εἴπερ τὰ μὴ δυνάμενα 40
χωρίζεσθαι, λέγω δὲ τὰ μαθήματα, χωρίζει τῇ ἐπινοίᾳ διὰ τὸ ἔχειν οὐσιῶδες
5 τὸ χωριστόν. ταῦτα εἰπὼν ζητεῖ, εἰ ὁ κατ' ἐνέργειαν νοῦς τὰ πράγματά
ἐστι, καὶ εἰ ἐν τῇ γενέσει ἐστίν, ἆρα δύναται γινώσκειν τὰ ἄυλα ἢ οὔ.
καὶ ἀπορεῖ μέν, τέως δὲ οὐκ ἐπιλύεται. πρὸς τοῦτο δὲ ὁ Πλάτων φησὶν
ὅτι δύναται ὁ νοῦς ἐν γενέσει ὢν οὐρανοπολίτης εἶναι καὶ περὶ τὰ ἄυλα
ἐνεργεῖν καὶ καταφρονεῖν τοῦ σώματος. εἰ γὰρ αἱ ἐκτὸς ψυχαὶ αἱ φιλο-
10 σώματοι ἀεὶ μετὰ σώματός εἰσι καὶ ἐν τάφοις, τί ἄτοπον καὶ τὰς ἐν 45
γενέσει ψυχὰς περὶ τὰ ἄυλα ἐνεργεῖν; καὶ οὕτω μὲν ὁ Πλάτων. ὁ μέντοι
γε Ἀριστοτέλης λέγει ὅτι τριττά ἐστι τὰ νοητὰ παρακατιών. ἔστι γὰρ
ἄυλα νοητὰ πρῶτα, δεύτερα νοητὰ μέσα. καὶ τρίτα τὰ ἔνυλα. καὶ ἐπὶ
μὲν τῶν ἀύλων φησὶν ὅτι οὐκ ἔστι χρεία φαντασίας· ἀφάνταστοι γὰρ αἱ
15 νοήσεις· ὅταν δέ, φησί, τὰ μαθήματα νοῇ, ὑποκειμένῳ κέχρηται τῇ φαν-
τασίᾳ. εἰ δὲ καὶ ὡς ὑποκειμένῳ αὐτῇ κέχρηται εἰς τὸ εἰδέναι τὰ μαθη-
ματικά, οὐ παρὰ τοῦτο τὰ αὐτά ἐστι φαντάσματα καὶ μαθήματα· τὰ γὰρ 50
φαντάσματα μόνῃ φαντασίᾳ ὑπόκειται. τὰ δὲ μαθήματα ψυχῇ ὑποκειμένῳ
κεχρημένῃ τῇ φαντασίᾳ. τὰ δὲ ἔνυλα γινώσκει ἡ ψυχὴ ὀργάνῳ κεχρη-
20 μένῃ τῇ αἰσθήσει καὶ φαντασίᾳ. εἰ οὖν ἐστιν ἀφάνταστος ἐνέργεια, δυ-
νατὸν ἄρα τὸν νοῦν ἐν τῇ γενέσει ὄντα εἰδέναι ταύτην τὴν ἐνέργειαν· οὐ-
δενὸς γὰρ δεῖται εἰς τὸ εἰδέναι ταύτην. συνηγορεῖ δὲ τῇ δόξῃ τῇ λεγούσῃ
ὅτι ὁ νοῦς οὐ γινώσκει τὰ πάντῃ ἄυλα εἴδη. ταῦτα δὲ χωριστὰ τῆς ὕλης
ἐστίν· ὤφειλεν οὖν καὶ αὐτὸς χωριστὸς εἶναι τῆς ὕλης, ἵνα νοήσῃ ταῦτα,
25 εἴ γε δεῖ ἐξομοιοῦσθαι | κατὰ πᾶν τὸ γινῶσκον τῷ γινωσκομένῳ. ἀλλὰ r 4v
μὴν ἐν τῷ ζῴῳ οὐ κεχώρισται· οὐκ ἄρα νοεῖ αὐτά. αὕτη μὲν ἡ πρώτη
συνηγορία. ψευδὴς δέ ἐστιν, ὦ Ἀριστότελες· εἰ γὰρ οὐ νοεῖ ὁ νοῦς
ἐν τῷ ζῴῳ ὢν τὰ πάντῃ ἄυλα, πῶς ἐν τῇ Μετὰ τὰ φυσικά σου πραγ-
ματείᾳ καὶ ἐζήτησας τὰ πάντῃ ἄυλα εἴδη καὶ εὗρες καὶ ἀπήγγειλας
30 ἡμῖν, ὡς δῆλον ὅτι καὶ ἐν τῷ ζῴῳ ὢν ὁ νοῦς γινώσκει τὰ πάντῃ
ἄυλα εἴδη; αὕτη πρώτη συνηγορία καὶ ἡ πρὸς αὐτὴν ἀντίστασις. δευτέρα 5
συνηγορία· ὁ νοῦς οὐ νοεῖ τὰ ἄυλα εἴδη, ἐπειδὴ οὔτε ἔστιν ὅλως ἄυλα
εἴδη, καὶ ἐπειδὴ οὐκ ἔστι, διὰ τοῦτο οὐδὲ νοεῖ αὐτά. αὕτη ἡ δευτέρα
συνηγορία. πρὸς ἣν λέγομεν ὅτι πῶς ταῦτα λέγεις, Ἀριστότελες, ὃς ἐν
35 ἄλλαις πραγματείαις διαρρήδην βοᾷς εἶναι τὰ θεῖα εἴδη, ἅτινά ἐστι τὰ
ἄυλα. ὥστε οὖν εἰσι τὰ ἄυλα εἴδη. τρίτη συνηγορία· ὁ νοῦς ἀεὶ μετὰ
φαντασίας ἐνεργεῖ· εἰ δὲ μηδέποτε καθ' ἑαυτὸν ἐνεργεῖ ἀλλ' ἀεὶ μετὰ
φαντασίας, καὶ ὅτε περὶ τὰ θεῖα ἐνεργεῖ (καὶ γὰρ καὶ τότε μετὰ φαντασίας 10
ἐνεργεῖ, ἡ δὲ φαντασία ἀεὶ τὰ ἔνυλα γινώσκει· ἐκ γὰρ τοῦ γνῶναι τὸν νοῦν
40 τὴν εὐταξίαν τοῦ κόσμου καὶ τὴν ἀρετὴν τῶν πραγμάτων ἀνάγεται ἐπὶ τὸ

---

1 τί scripsi: τι Dt 7 Πλάτων] Phaed. p. 83 A sqq. 81 C sq. 8 ἔνυλα t
23 fort. ταῦτα γὰρ 24 ὤφελεν D οὖν om. D 25 πάντα t 30 ὡς] ὥστε t 39 ἡ δὲ] εἰ δὲ t

γνῶναι τὴν αὐτὰ διακοσμήσασαν πρόνοιαν, ὥστε οὐδὲ ὅτε τὰ θεῖα νοεῖ, r 4v
ἄνευ φαντασίας ἐνεργεῖ), ἡ δὲ φαντασία, ὡς εἴρηται, ἀεὶ τὰ ἔνυλα γινώσκει
(μόνα γὰρ ἐκεῖνα οἶδεν ἡ φαντασία, ἃ ἡ αἴσθησις οἶδεν), εἰ οὖν ὁ νοῦς
οἶδεν μόνον ἃ ἡ φαντασία οἶδεν, διὰ τὸ ἄνευ αὐτῆς μὴ ἐνεργεῖν, ἡ δὲ
5 φαντασία ἐκεῖνα ἐπίσταται, ἃ οἶδεν ἡ αἴσθησις, ἡ δὲ αἴσθησις μόνα τὰ 15
ἔνυλα οἶδεν, ὁ νοῦς ἄρα μόνα τὰ ἔνυλα οἶδεν, οὐδαμῶς δὲ καὶ τὰ ἄυλα.
αὕτη καὶ ἡ τρίτη συνηγορία. καὶ πρὸς ταύτην δὲ ἀντιλέγομεν ὅτι ὁ νοῦς
ὅτε περὶ τὰ μερικὰ αἰσθητὰ ἐνεργεῖ, τότε μετὰ φαντασίας ἐνεργεῖ καὶ
οὐκ ἀφίσταται αὐτῆς ἀπ' ἀρχῆς ἕως τέλους, ἀλλὰ μετ' αὐτῆς ἐστιν ἐν
10 τοῖς αἰσθητοῖς· ὁπηνίκα δὲ τὰ θεῖα νοεῖ, τηνικαῦτα διὰ φαντασίας μὲν
ἐνεργεῖ· εἴπομεν γὰρ ὅτι ἐκ τῆς εὐταξίας καὶ εὐκοσμίας τῆς θεωρουμένης
ἡμῖν μεταγόμεθα ἐπὶ τὸ θεῖον· ὥστε διὰ μὲν φαντασίας, οὐκέτι δὲ μετ' 20
αὐτῆς· οὐδὲ γὰρ ἔτι δεῖται αὐτῆς· τὰ γὰρ ἀσώματα καὶ χωρὶς φαντασίας
νοοῦνται. καὶ αὕτη ἐστὶ τῆς συνηγορίας ἡ λύσις. τετάρτη συνηγορία· οὐ
15 δύναται ὁ νοῦς νοεῖν τὰ ἄυλα, διότι ὁ νοῦς ὁ αὐτός ἐστι τῇ φαντασίᾳ·
ὥσπερ γὰρ ἡ φαντασία οὔτε ἀληθεύει οὔτε ψεύδεται. εἰ οὖν ὁ αὐτός
ἐστιν ὁ νοῦς τῇ φαντασίᾳ, ἡ δὲ φαντασία οὐ νοεῖ τὰ ἄυλα εἴδη, οὐδὲ ὁ
νοῦς ἄρα νοήσει τὰ ἄυλα εἴδη. αὕτη ἐστὶ καὶ ἡ τετάρτη συνηγορία. πρὸς
ἣν λέγομεν ὅτι οὐκ ἔστιν ὁ νοῦς ταὐτὸν τῇ φαντασίᾳ. διότι ἡ φαντασία 25
20 ποιότητας μόνον γινώσκει, ἃς καὶ αἱ αἰσθήσεις γινώσκουσιν (οὐδὲν γὰρ
οἶδεν ἡ φαντασία, ὃ μὴ καὶ ἡ αἴσθησις οἶδεν), ὁ δὲ νοῦς τὰς οὐσίας
οἶδεν. εἰ οὖν ἡ φαντασία οὐκ οἶδε τὰς οὐσίας, ὁ δὲ νοῦς οἶδε τὰς οὐσίας,
οὐκ ἄρα ὁ νοῦς φαντασία ἐστίν. ὅθεν καὶ ἐν Θεαιτήτῳ ὁ Πλάτων φησὶν
'ἡ δὲ φαντασία ἀτυχὴς οὐσίας' ἀντὶ τοῦ οὐ τυγχάνει αὐτῇ γνῶσις οὐσίας.
25 ὥστε οὐκ ἔστι ταὐτὸν νοῦς καὶ φαντασία. ταῦτα εἰπὼν Ἀριστοτέλης καὶ
μέχρι τούτων διαλεχθεὶς περὶ τῶν γνωστικῶν ἐνεργειῶν βούλεται περὶ τῶν
κοινῶν ἐνεργειῶν κοινὸν συναγαγεῖν τῷ λόγῳ συμπέρασμα. φησὶ τοίνυν 30
ὅτι διὰ τὰς γνωστικὰς δυνάμεις ἑαυτῆς ἡ ψυχὴ καὶ ἐνεργείας πάντα τὰ
ὄντα ἐστί. πάντα γὰρ τὰ ὄντα ἢ αἰσθητά ἐστιν ἢ νοητά, ἃ καὶ ἐπιστητὰ
καλεῖ, καὶ ἕκαστον τούτων διττόν ἐστι· πᾶν γὰρ ἢ δυνάμει ἐστὶν ἢ ἐνεργείᾳ· πᾶν ⟨γὰρ⟩ τὸ δυνάμει γίνεται ἐνεργείᾳ. τέσσαρα οὖν γίνονται τὰ πάντα,
δυνάμει αἰσθητά, ἐνεργείᾳ αἰσθητά, δυνάμει ἐπιστητά, ἐνεργείᾳ ἐπιστητά.
καὶ οὐκ ἔστιν ἐν τοῖς οὖσι παρὰ ταῦτα τὰ τέσσαρα. ἀλλὰ δὴ καὶ ἐν τῇ
ψυχῇ ἐστι ταῦτα τὰ τέσσαρα· ἔχει γὰρ ἡ ψυχὴ δυνάμει αἰσθήσεις καὶ 35
35 δυνάμει ἐπιστήμην, καὶ ἐνεργείᾳ αἰσθήσεις καὶ ἐνεργείᾳ ἐπιστήμην. οὐκ
ἐπειδὴ δὲ ἐλέγομεν ὅτι πάντα ἐστὶν ἡ ψυχή, ἤδη παρὰ τοῦτο λίθον λέγομεν εἶναι ἐν τῇ ψυχῇ ἢ ξύλον, ἀλλ' ὅτι ὁμοιοῦται τοῖς πράγμασιν καὶ ἐξεικονίζεται αὐτοῖς, εἴ γε τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται. καὶ πάλιν

---

1 οἶδεν μόνον ἃ scripsi: ἃ οἶδεν μόνον Dt διὰ τὸ scripsi: διὰ τοῦ Dt 6 ἄυλα] ἔνυλα t 7 πρὸς ταύτην] προστάτην D 16 ἡ] τῇ D 17 οὐδὲ scripsi: οὔτε Dt 23 ἐν Θεαιτήτῳ] cf. Theaet. p. 186 C sq. 30. 31 πᾶν γὰρ—ἢ ἐνεργείᾳ om. D 31 γὰρ addidi γίνεται t: καὶ D 35 αἰσθήσεις καὶ ἐνεργείᾳ om. D

μήτις οἰέσθω κατὰ τὰς Πλατωνικὰς ὑποθέσεις τοὺς λόγους εἶναι ἐν τῇ r 4v
ψυχῇ· οὐδὲ γὰρ τοῦτο λέγει Ἀριστοτέλης· ἀλλ' ὅτε μέν εἰσι δυνάμει
αἰσθήσεις καὶ δυνάμει ἐπιστῆμαι, τότε ἐπιτηδειότητα μόνον ἔχουσι τῶν
πραγμάτων, ὁπηνίκα δὲ ἐνεργείᾳ γένωνται αἰσθήσεις καὶ ἐπιστῆμαι, τὸ
τηνικαῦτα τοὺς λόγους τῶν αἰσθητῶν καὶ τῶν ἐπιστητῶν γινώσκει, καὶ
ἁπλῶς τότε γνῶσις γίνεται ἐνεργείᾳ.

Ταῦτα εἰπὼν διὰ τὸ ὡς ἐν κεφαλαίῳ εἰπεῖν τὸν λόγον ὅλον τρέπεται μετὰ τὸν νοῦν ἐπὶ τὸ κατὰ τόπον κινοῦν. καὶ ἔδει μετὰ τὴν αἴσθησιν ἐλθεῖν εἰς αὐτό· ἀπὸ γὰρ τῶν πλείοσιν ὑπαρχόντων ἔδοξε τρέπεσθαι καὶ ἐπὶ τὰ ὀλίγοις ὑπάρχοντα· πλὴν ὕστερον ἔταξε τὸν περὶ αὐτοῦ λόγον πάσης λογικῆς καὶ ἀλόγου, ἐπειδὴ χρείαν ἔχομεν τούτων καὶ ἐν τῷ διδάσκειν τί ἐστι τὸ κατὰ τόπον ⟨κινοῦν⟩ καὶ τί οὐκ ἔστιν. λέγομεν ὅτι οὐκ ἔστι φαντασία οὐδὲ αἴσθησις οὐδὲ νοῦς οὐδὲ τὸ θρεπτικὸν οὐδὲ ἄλλο τι τοιοῦτον· εἰ οὖν μὴ ἦμεν ταῦτα προγινώσκοντες, πῶς ἐγινώσκομεν ὅτι οὐκ ἔστι ταῦτα; ἔστι δὲ τὸ κατὰ τόπον κινοῦν ὄρεξις συμμιγὴς ἀπὸ ἀλόγου καὶ λογικῆς. ἡ μὲν γὰρ ὄρεξις τῆς ἀλόγου κινεῖ ἡμᾶς, ὅτε τοῖς πάθεσιν ἀκολουθοῦμεν, ἡ δὲ ὄρεξις τῆς λογικῆς κινεῖ ἡμᾶς, ὅτε τῷ λόγῳ ἑπόμεθα. εἰ οὖν μὴ ἐγινώσκομεν τί ἐστιν ἄλογος καὶ τί ἐστι λογική, πόθεν ἐγινώσκομεν τὸ συμμιγὲς αὐτῶν; διὸ ὕστερον ἐπὶ τὸ κατὰ τόπον κινοῦν ἦλθε. καὶ τί διδάξει περὶ αὐτοῦ; λαμβάνεται Πλάτωνος εἰς τρία τινά· πρῶτον μὲν διὰ τί διαιρεῖ τὴν ψυχὴν ὡς ὅλον εἰς μέρη, ὀφείλων διελεῖν αὐτὴν ὡς οὐσίαν εἰς δυνάμεις. ἀπολογούμεθα δὲ ὑπὲρ Πλάτωνος ὅτι τὴν μὲν καθόλου ψυχὴν διαιρεῖ ὡς ὅλον εἰς μέρη εἰς φυτικήν, ἄλογον, λογικήν, τὰς δὲ κατὰ μέρος ψυχὰς ὡς οὐσίαν εἰς δυνάμεις διαιρεῖ. οἶδεν οὖν καὶ ταύτην τὴν διαίρεσιν. εἰ δὲ ἀπορεῖς πῶς τὸ θυμικὸν καὶ ἐπι|θυμητικὸν μέρη εἶπεν ὄντα ὑπὸ μίαν ψυχὴν τὴν ἄλογον, r 5r
εἰπὲ καὶ σὺ ὅτι διὰ τί Ἀριστοτέλης μόριον εἶναι λέγει τῆς ψυχῆς τὸν νοῦν; δεύτερον λαμβάνεται Πλάτωνος ὅτι πολλὰ παρέλειψεν. εἰς τρία γὰρ διαιρεῖ τὴν ψυχήν, εἰς θυμόν, λόγον, ἐπιθυμίαν, καὶ κατοικίζει λόγον μὲν ἐν ἐγκεφάλῳ, θυμὸν δὲ ἐν καρδίᾳ, ἐν ἥπατι δὲ ἐπιθυμίαν. παρέλειψεν οὖν καὶ τὸ φανταστικόν καὶ τὸ αἰσθητικόν, τὸ κατὰ τόπον κινοῦν, τὸ ὀρεκτικόν. λέγομεν δὲ ὅτι καὶ ταῦτα οἶδε καὶ μέμνηται τούτων ἐν τῷ Τιμαίῳ φυσιολογῶν· ἐν δὲ τῇ Πολιτείᾳ τῶν τριῶν τούτων ἐμνήσθη, ἐπειδὴ αὐτῶν χρεία πρὸς τὰς πολιτείας πάσας. λόγος μὲν γὰρ κρατῶν ἀριστοκρατίαν ποιεῖ καὶ βασιλείαν, θυμὸς δὲ κρατῶν ποιεῖ δημοκρατίαν, ἐπιθυμία δὲ τὸ πολύμορφον θηρίον κατὰ μὲν τὸ φιλοχρήματον ποιεῖ ὀλιγαρχίαν, κατὰ δὲ τὸ φιλήδονον ἔννομον μὲν ὂν ποιεῖ ἀριστοδημοκρατίαν, ἄνομον δὲ ὂν τυραννίδα. τῶν οὖν

---

9 ἔδοξε] ἔδει t 10 τραπέσθαι t 12 διδάσκει D κινοῦν addidi 13 οὐδὲ νοῦς om. t 14 τοιούτων D μὴ om. t 15 ταῦτα; ἔστι δὲ scripsi: ταῦτα δέ ἐστι Dt 20 post διδάξει add. τι D 26 εἶπεν] εἴπομεν t 27 εἰπὲ] εἶπε t 28 διαιρεῖ] Reip. Δ p. 439 D sqq. 29 μὲν om. t ἐγκεφάλῳ] κεφάλῳ t 31 αἰσθητὸν t 32 ἐν τῷ Τιμαίῳ] cf. p. 43 B sqq. 45 B sqq. 57 D sqq. 65 C sqq. 69 D sqq. 34 ἀριστοκρατείαν D 35 ἐπιθυμίαν t 36 θηρίων t κατὰ μέν] καὶ τὰ μὲν D 37 ἀριστοδημοκρατείαν D

συμβαλλομένων αὐτῷ μόνον ἐμνήσθη, ἐπεὶ ὅλα οἶδε. τρίτον λαμβάνεται Πλάτωνος, ὅτι λέγων, φησίν, ἐν ἐγκεφάλῳ τὸν λόγον, ἐν καρδίᾳ θυμόν, ἐν ἥπατι ἐπιθυμίαν, διασπᾷ τὴν ὄρεξιν ἀφ' ἑαυτῆς· ἡ γὰρ ὄρεξίς ἐστι σύμμιξις λογικῆς πρὸς ἄλογον, ταῦτα δὲ ἐν διαφόροις τόποις· καὶ ἡ ὄρεξις ἄρα διέσπασται. πρὸς ὃ εἰπὲ ὅτι ἐν ἑκάστῳ μὲν μορίῳ λέγει πᾶσαν ὑπάρχειν ψυχήν, κατὰ δὲ τὸ ἐπιτήδειον μόριον μᾶλλον διαφαίνεσθαι λόγον ἢ θυμόν, καὶ οὐ διασπᾷ τὴν ὄρεξιν. ἐν οἷς ἡ θεωρία.

p. 431ᵇ12 Τὰ δ' ἐν ἀφαιρέσει λεγόμενα νοεῖ ὥσπερ ἂν εἰ τὸ σιμόν.

Τὸ τὰ δ' ἐν ἀφαιρέσει οἱονεὶ πρόγραμμά ἐστι τοῦ λόγου, ὥσπερ καὶ ἐν τοῖς Ἱπποκρατείοις εὑρίσκομεν, οἷον ἐν τοῖς γυναικείοις, πρόλογον "τὰ δὲ ἀμφὶ γυναικείων νούσων". οὕτως οὖν καὶ ἐνταῦθα λέγει τὰ δὲ ἐν ἀφαιρέσει. βουλόμενος δεῖξαι πῶς νοοῦνται τὰ ἐν ἀφαιρέσει, ἐπάγει· νοεῖ, φησίν, ὥσπερ σιμόν. τὸ γὰρ σιμὸν μεθ' ὕλης νοεῖται, τὸ δὲ καμπύλον ἄνευ ὕλης. τὰ οὖν μαθήματα, ἃ λέγει ἐν ἀφαιρέσει, τῷ καμπύλῳ ἀναλογεῖ· τὸ γὰρ καμπύλον ὡς ἄυλον γίνεται, ἐν ἀφαιρέσει ὄν. οὕτω τὰ μαθηματικὰ οὐ κεχωρισμένα ὡς κεχωρισμένα νοεῖ. βούλεται διὰ τούτων τὴν φύσιν τῶν μαθημάτων εἰπεῖν, ὅτι ταῦτα κεχωρισμένα νοοῦνται, ἀλλ' οὐχ ὡς κεχωρισμένα τῇ ἐνεργείᾳ ἀλλὰ μόνον τῇ ἐπινοίᾳ. ἐντεῦθεν δὲ τὸ πόρισμα συνήξαμεν ὅτι χωριστή ἐστιν ἡ ψυχή, ἐκ τοῦ χωρίζειν τὰ ἀχώριστα· μὴ οὖσα γὰρ χωριστὴ οὐδαμῶς ἂν ἐχώριζε ταῦτα.

p. 431ᵇ16 Ὅλως δὲ ὁ νοῦς ἐστιν ὁ κατ' ἐνέργειαν τὰ πράγματα.

Ἐπειδὴ εἶπε τὸν νοῦν χωρίζειν τὰ μαθηματικὰ εἴδη καὶ οὕτω νοεῖν αὐτά, διὰ τοῦτο προσέθηκε τὸν αὐτὸν εἶναι τὸν νοῦν τοῖς πράγμασιν, ἵνα καὶ ἡ αὐτοῦ οὐσία χωριζομένη ᾖ, ὅταν τὰ χωριστὰ γινώσκῃ, καὶ εἴη καὶ αὐτὸς χωριστὸς καὶ τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκωμεν.

p. 431ᵇ17 Ἆρα δὲ ἐνδέχεται τῶν κεχωρισμένων τι νοεῖν αὐτὸν ὄντα μὴ κεχωρισμένον μεγέθους, ἢ οὔ, σκεπτέον ὕστερον.

Ἐντεῦθεν τὴν ἀπορίαν ἣν εἴπομεν ἐν τῇ θεωρίᾳ προτίθεται, ὅτι εἰ ὁ κατ' ἐνέργειαν νοῦς τὰ πράγματά ἐστι. τὰ δὲ πράγματα ὡς νοητὰ ἄυλα, ἄυλος ἄρα ὁ νοῦς· καὶ πῶς ἄυλός ἐστιν, εἴπερ κατέχεται ἐν γενέσει; πῶς

---

1 τρίτον scripsi: γ̄ D: τρία t 2. 3 λέγων—ἐπιθυμίαν] Platon. Tim. p. 69 D sqq. 73 C sq. 5 διέσπατε D εἰπὲ scripsi: εἴπες D: εἴπε t 8 ἂν εἰ] ἀνεὶ D: ἀεὶ t 11 ἐν τοῖς γυναικείοις] Hippocr. II p. 606 ed. Kühn 12 νούσων Hippocr.: οὐσῶν Dt οὕτω γοῦν t 17 ante ὡς add. ὄντα t 22 πράγματα D Arist. LU: πράγματα νοῶν t Arist. vulg. 26 γινώσκωμεν scripsi: γινώσκομεν Dt 27. 28 αὐτὸν ὄντα D Arist. SVWXy: ὄντα αὐτὸν t Arist. vulg.

δὲ γνώσεται τὰ ἄυλα ἐν γενέσει κατεχόμενος; τὴν λύσιν δὲ ἐν τοῖς μετὰ r 5r
ταῦτα λέγειν ὑπέσχετο. δέδεικται δὲ καὶ ἐν τοῖς ἀνωτέρω ὅτι δύναται τὰ
πάντη ἄυλα νοεῖν, εἴ γε οὐ προσκέχρηται ὀργάνῳ τῷ σώματι, ἀλλὰ πάν-
των ἐστὶν ἀμιγής.

5 p. 431b20 Νυνὶ δὲ περὶ ψυχῆς τὰ λεχθέντα συγκεφαλαιώσαντες 35
εἴπωμεν πάλιν.

Ἐντεῦθεν κοινὸν συμπέρασμα ἐπάγει τῶν γνωστικῶν ἐνεργειῶν. ἔστι 11
δὲ τὸ συμπέρασμα ὅτι πάντα τὰ ὄντα ἢ αἰσθητά ἐστιν ἢ νοητά· καλεῖ δέ,
ὡς εἴπομεν, τὰ νοητὰ ἐπιστητά. καὶ ταῦτα διαιρεῖ εἰς τὸ δυνάμει καὶ
10 ἐνεργείᾳ καὶ δείκνυσι ταῦτα πάντα ἐν τῇ ψυχῇ ὄντα, καὶ τὸ μὲν δυνάμει
ἐπίστασθαι τὰ δυνάμει, καὶ τὸ ἐνεργείᾳ τὰ ἐνεργείᾳ. ἀποροῦσι δέ τινες, εἰ
πάντα τὰ ὄντα ἢ αἰσθητά ἐστιν ἢ νοητά, τὸ δὲ αἰσθητὸν καὶ νοητὸν τῶν 15
πρός τι, οὐκοῦν καὶ πάντα τὰ ὄντα ἔσται τῶν πρός τι, καὶ τὸ θεῖον, ὅπερ
ἐστὶν ἄτοπον. λέγομεν δὲ ὅτι πάντα τὰ ὄντα, ᾗ μὲν αἰσθητά ἐστι καὶ
15 νοητά, τῶν πρός τί εἰσι, καθὸ δὲ ὕπαρξιν ἔχουσι, καθ' αὑτά εἰσιν. αὐτὸ
γὰρ καὶ τὸ μέλαν, καθὸ μὲν ὕπαρξιν ἔχει καθ' ἑαυτό, οὐκ ἔστι τῶν πρός
τι, καθὸ δὲ αἰσθητόν ἐστι, τῶν πρός τι ὑπάρχει. ὅτι ἡ ψυχὴ τὰ ὄντα
πώς ἐστι πάντα. καλῶς πρόσκειται τὸ πῶς, ἐπειδὴ τὰ εἴδη ἔνυλά ἐστι,
καὶ οἶδεν αὐτὰ ἡ ψυχὴ ἀύλως, οὐκ ἐνύλως· οὐ γὰρ ὁ λίθος ἐν τῇ ψυχῇ
20 ἐστιν, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄνευ τῆς ὕλης· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. 50
διὰ τοῦτο οὖν εἶπε τὸ πῶς. πῶς δὲ τοῦτο, δεῖ ζητεῖν· ὅτι κατὰ τὸ
δυνάμει καὶ ἐνεργείᾳ ἐστὶν ἡ αἴσθησις τὰ αἰσθητὰ καὶ ἡ ἐπιστήμη τὰ
ἐπιστητά. ἀνάγκη δὲ ἢ αὐτὰ ἢ τὰ εἴδη εἶναι· αὐτὰ μὲν δὴ οὔ.
ἐπειδὴ εἶπεν ἐν τοῖς ἄνω ὅτι δεῖ ζητῆσαι πῶς ἡ αἴσθησις τῶν αἰσθητῶν
25 ἀντιλαμβάνεται, νῦν φησιν ὅτι ἀνάγκη ἐστὶν ἢ αὐτὰ τὰ σύνθετα εἴδη ἐν
τῇ ψυχῇ εἶναι, τουτέστι μετὰ τῆς ὕλης καὶ τὸ εἶδος, ἢ αὐτὸ καθ' ἑαυτὸ
τὸ εἶδος. ἀλλὰ μήν, φησίν, αὐτὰ τὰ σύνθετα οὐκ ἔστιν | ἐν τῇ ψυχῇ· r 5v
οὐ δήπου γὰρ λίθος ἐστὶν ἐν αὐτῇ. ἀνάγκη ἄρα τὰ εἴδη μόνα ὑπάρχειν
ἐν τῇ ψυχῇ.

30 p. 432a1 Ὥστε ἡ ψυχὴ ὥσπερ ἡ χείρ ἐστι· καὶ γὰρ ἡ χεὶρ ὄρ-
γανόν ἐστιν ὀργάνων, καὶ ὁ νοῦς εἶδος εἰδῶν καὶ ἡ αἴσθησις
εἶδος αἰσθητῶν.

Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὥσπερ ἡ χεὶρ ὄργανον οὖσα τοῦ σώματος
ὀργάνοις κέχρηται, οἷον σκεπάρνῳ, εἰ τύχοι, τέκτων ἢ καλάμῳ. οὕτω καὶ 5
35 ἡ ψυχὴ αὐτὴ εἶδος οὖσα ἄλλων εἰδῶν ἐστι δεκτική, διότι τοὺς λόγους

---

1. 2 ἐν τῷ μεταταῦτα t 5 νῦν t Arist. 6 εἴπωμεν Arist.: εἴπομεν Dt
15. 16 αὐτῶ γὰρ D 16 post γὰρ addendum τὸ λευκὸν 23 μὲν δὴ Dt Arist.
E¹LVW: μὲν γὰρ δὴ Arist. vulg. 28 ἐν αὐτῇ] ἡ αὐτή t 31 post νοῦς add.
δὲ t Arist. TW

τῶν εἰδῶν ἔχει παρ' ἑαυτῇ. ὁμοίως δὲ καὶ ὁ νοῦς καὶ ἡ αἴσθησις εἴδη r 5v
εἰσὶ καὶ εἰδῶν εἰσι δεκτικά διὰ τὸ ἔχειν τοὺς λόγους τῶν εἰδῶν. ἀλλ' ὁ μὲν
νοῦς εἰδός ἐστι πάντων τῶν εἰδῶν (πάντα γὰρ τὰ εἴδη ὑπάρχει ἐν αὐτῷ
ἐνεργείᾳ ὄντι), ἡ δὲ αἴσθησις τῶν αἰσθητῶν εἰδῶν μόνων ἐστὶν εἶδος διὰ
5 τὸ ἐν τῇ κατ' ἐνέργειαν αἰσθήσει εἶναι τὰ αἰσθητά.

p. 432a3 Ἐπεὶ δὲ οὐδὲ πρᾶγμα οὐδέν ἐστι παρὰ τὰ μεγέθη, ὡς 10
δοκεῖ. τὰ αἰσθητὰ κεχωρισμένον. ἐν τοῖς εἴδεσι τοῖς αἰσθητοῖς
τὰ νοητά ἐστι, τά τε ἀφαιρέσει λεγόμενα, καὶ ὅσα τῶν αἰσθη-
τῶν ἕξεις καὶ πάθη.

10 Ἐντεῦθέν εἰσιν αἱ συνηγορίαι, ὧν πρώτην φησὶν τὴν λέγουσαν ὅτι
οὐδέ εἰσιν ὅλως ἄυλα εἴδη πάντῃ. ἔστιν οὖν ὃ λέγει τοῦτο ἐν ὑπερβατῷ
ἀναγινωσκόμενον οὕτως· οὐδὲν πρᾶγμά ἐστι παρὰ τὰ αἰσθητὰ μεγέθη,
ὡς δοκεῖ πᾶσιν, ἀλλὰ πάντα τὰ ὄντα μεγέθη εἰσὶν αἰσθητά. βούλεται δὲ
εἰπεῖν ὅτι τὰ νοήματα ἢ πρῶτά ἐστιν ἢ δεύτερα ἢ τρίτα, καὶ τὰ μὲν 15
15 πρῶτα ὅτι ἀφαντάστως οἶδε, τὰ δὲ δεύτερα καὶ τρίτα μετὰ φαντασίας, εἰ
καὶ πῇ μὲν ὡς ὀργάνῳ, πῇ δὲ ὡς ὑποκειμένῳ κέχρηται αὐτῇ. τί οὖν
φησιν; ἐπειδὴ οὐκ ἔστι πρᾶγμα οὐδὲν παρὰ τὰ μεγέθη, τουτέστιν ἄνευ
ὕλης, ὡς δοκεῖ ἔνια τῶν αἰσθητῶν, οἷον τὰ μαθήματα (φαίνεται γὰρ ταῦτα
χωριστά, οὐ μὴν ἔστι), διὰ τοῦτο, φησίν, ἐν τοῖς εἴδεσιν τῶν αἰσθητῶν
20 τὰ νοητά ἐστιν, οἷον τὰ μαθήματα, εἰ καὶ δοκεῖ χωριστὰ εἶναι, ὅ ἐστι
δεύτερα. καὶ τὰ τρίτα δὲ ἀχώριστά ἐστιν, οἷον τὰ αἰσθητά. καὶ τὰ μὲν 20
δεύτερα εἶπε διὰ τοῦ εἰπεῖν τὰ ἀφαιρέσει λεγόμενα, τὰ δὲ τρίτα διὰ
τοῦ εἰπεῖν καὶ ὅσα τῶν αἰσθητῶν ἕξεις ἢ πάθη. ταῦτα γὰρ ἔνυλα
εἴδη ἐστὶν καὶ πάθη, ὡς ποιότητες ἔνυλοι ζωαί, ὧν τὸ μέγεθος μόνον
25 λόγῳ χωρίζεται.

p. 432a7 Καὶ διὰ τοῦτο οὖν ὁ μὴ αἰσθανόμενος οὐδὲν ἂν μάθοι
οὐδὲ ξυνείη.

Ἐπειδὴ ταῦτα τὰ τρία αἰσθητά εἰσι. καὶ εἶπεν ἀσαφῶς ἐνταῦθα τὸ
ἐν τῇ Ἀποδεικτικῇ σαφῶς εἰρημένον. ἔφη γὰρ ἐκεῖ ὅτι πάσης ἐπιστήμης 25
30 ἀρχὴ ἡ αἴσθησις. ἐπειδή. ὥς φησιν νῦν. τὰ νοητὰ πάντως ἐν τοῖς αἰσθη-
τοῖς εἴδεσίν ἐστιν· 'ἐφ' ὧν οὖν ἐκλείπει ἡ αἴσθησις, καὶ ἡ τοιαύτη ἐπι-
στήμη ἐκλιμπάνει'. εἶτα ἐπειδὴ εἶπεν οὐδὲν ἂν μάθοι, ἐπάγει τὸ

---

8 τά τε] τάδε t (cf. Ald.) ἀφαιρέσει D Arist. ELSUV: ἐν ἀφαιρέσει t Arist. vulg. 19 ἐν ταῖς t 22 ἐν ἀφαιρέσει, ut supra in lemm., t 24 post ἔνυλοι fort. addendum ἢ 26 οὖν ὁ μὴ D: οὔτε μὴ t Arist. οὐδὲν D Arist.ᵛ y: μηδὲν οὐδὲν t Arist. ceteri 26. 27 ἂν—ξυνείη] οἶδεν D, sed cf. v. 32 p. 569,1 27 ξυνείη de an. Bekker: συνίη Arist. LSX: ξυνίοι t 29 ἐν τῇ Ἀποδεικτικῇ] Anal. post. A 18 p. 81a38. εἰρημένων t 32 ἐπάγοι t

οὐδ' ἂν ξυνείη, τουτέστιν οὐδὲ εὑρίσκει· δύο γὰρ ὁδοὶ γνώσεως, μάθησις r 5v
καὶ εὕρησις.

p. 432a8 Ὅταν τε θεωρῇ, ἀνάγκη ἅμα φάντασμά τι θεωρεῖν.

Ἐπειδὴ εἶπεν ὅτι τὰ εἴδη τῶν νοητῶν ἐν τοῖς αἰσθητοῖς ἐστι, διὰ 30
5 τοῦτο, φησίν, ἐπάναγκές ἐστι τὸν νοῦν ἅμα φάντασμά τι θεωρεῖν, τουτέστιν
ὀργάνῳ τῇ φαντασίᾳ * * εἴ γε καὶ ποιητική ἐστιν αὐτῆς ἡ αἴσθησις· ὥστε
κἂν φαντασίᾳ εἴπωμεν κἂν αἰσθήσει ὅτι κέχρηται, ταὐτόν ἐστι. διὰ
τούτων δὲ τὴν δευτέραν συνηγορίαν λέγει ὅτι ὁ νοῦς ἅμα φαντασίᾳ ἐνεργεῖ,
ἡ δὲ φαντασία οὐκ οἶδε τὰ ἄυλα εἴδη· οὔτε ὁ νοῦς ἄρα.

10 p. 432a10 Πλὴν ἄνευ ὕλης.

Ἐπειδὴ εἶπεν ὅτι φαντάσματα οἷον αἰσθήματά ἐστι, φησὶν ὅτι ἄνευ 35
τῆς ὕλης· αἱ μὲν γὰρ αἰσθήσεις περὶ τὰ ἔνυλα ἐνεργοῦσιν, ἡ δὲ φαντασία
περὶ τὰ εἴδη μόνον. τινὲς δὲ τὸ πλὴν ἄνευ ὕλης τῷ νῷ φασιν αὐτὸν
συνάπτειν· ἐπειδὴ γὰρ εἶπεν ὅτι κἂν φαντασίᾳ κἂν αἰσθήσει εἴπῃς κεχρῆ-
15 σθαι τὸν νοῦν, ταὐτόν ἐστι, φησὶν ὅτι πλὴν ὁ νοῦς τὸ ἄνευ ὕλης γινώσκει.

p. 432a10 Ἔστι δ' ἡ φαντασία ἕτερον φάσεως καὶ ἀποφάσεως.

Περὶ γὰρ τὰ ἁπλᾶ καταγίνεται, ὅθεν καὶ ἀμερής ἐστι περὶ ὅρους 41
καταγινομένη. διὸ ὑπαρκτική ἐστιν ἐν αὐτῇ ἀλήθεια, οὐκ ἐν συνθέσει.
εἰ οὖν μήτε ἀληθεύει μήτε ψεύδεται ὡς μήτε καταφάσκουσα μήτε ἀπο-
20 φάσκουσα, ὁμοίως δὲ καὶ ὁ νοῦς οὔτε ἀληθεύει οὔτε ψεύδεται κατὰ τὴν
συνηγορίαν, τί οὖν διοίσει τὰ πρῶτα νοήματα, ὅ ἐστι τὰ ἁπλᾶ, φαντάσματα
εἶναι; ὡς καὶ τὸν νοῦν φαντασίαν εἶναι. ἰστέον δὲ ὅτι ὁ νοῦς καὶ ἡ 45
φαντασία καὶ αἴσθησις ὑπαρκτικὴν ἔχουσι τὴν ἀλήθειαν καὶ ὁρικῶς
γινώσκουσιν.

25 p. 432a13 Ἢ οὐδὲ τὰ ἄλλα φαντάσματα, ἀλλ' οὐκ ἄνευ φαντα-
σμάτων.

Ταῦτα τὰ ῥητὰ ἀνατροπή ἐστι τῆς τρίτης συνηγορίας. τρεῖς γὰρ
εἰπὼν συνηγορίας τὴν τρίτην μόνην ἀνατρέπει λέγων 'μήποτε οὐδὲ τὰ ἄλλα
φαντάσματα νοήματά εἰσι'. ποῖα δὲ λέγει τὰ νοήματα; ἃ εἴπομεν ἁπλᾶ
30 εἶναι καὶ διὰ τοῦτο ἐοικέναι τῇ φαντασίᾳ. ἀλλ' οὐκ ἄνευ, φησί, φαντα-
σμάτων, τουτέστιν ἀλλ' οὐ χωρίς εἰσι φαντασίας· ὥστε διὰ φαντασίας 50

---

1 ξυνείη] ξυνίη Dt 6 lacunam indicavi: fort. addendum tale quid κεχρῆσθαι. τὰ γὰρ φαντάσματα ὥσπερ αἰσθήματά ἐστιν et porro legendum ἐστιν αὐτῶν ἡ αἴσθησις 7 εἴπωμεν scripsi: εἴπομεν Dt 14 κἂν (post φαντασίᾳ) scripsi: καὶ Dt εἴποις t 18 ὑπαρκτική scripsi: ὑπακτική D: ὑπεκτική t 20 ἀληθεύει] ἀληθεύειν D 23 καὶ αἴσθησις om. t 25 τὰ ἄλλα] ταῦτα (ex Ald.) t 30 ἀλλ' οὐκ ἄνευ scripsi: ἀλλὰ κἄνευ D: ἀλλὰ ἄνευ t

γίνονται τὰ νοήματα, οὐ μὴν ταὐτόν ἐστι φαντασία καὶ νοῦς. πλὴν ὅμως, r 5v
φησίν, ἡνίκα τὰ πρῶτα νοήματα νοῇ, οὐ κέχρηται ὀργάνῳ τῇ φαντασίᾳ,
ἐπὶ δὲ τῶν δευτέρων καὶ τρίτων κέχρηται. ἀλλ' οὖν οὐ ταὐτόν ἐστι φάν-
τασμα καὶ νόημα· τὸ μὲν γὰρ φάντασμα ἔνυλόν πώς ἐστι, τὸ δὲ νόημα
5 ἄυλον. ἰστέον δὲ ὅτι ἐν τῇ θεωρίᾳ καὶ ἄλλα τινὰ ἐκινήσαμεν, ἀλλ' ἐπειδὴ
ἐπιπολαίως αὐτὰ ἐθεωρήσαμεν, ἔδοξεν ἄνωθεν ἀναλαβεῖν τὸν λόγον· παλιν-
δρομεῖν γὰρ κρεῖττον ἢ παρελθεῖν τι. ἐν οἷς ἡ πρᾶξις | σὺν θεῷ r 6r
πληροῦται.

p. 432a15 Ἐπεὶ δὲ ἡ ψυχὴ κατὰ δύο ὥρισται δυνάμεις ἡ τῶν
10 ζῴων, τῷ τε κριτικῷ, ὃ διανοίας ἔργον ἐστὶ καὶ αἰσθήσεως, καὶ
ἔτι τῷ κινεῖν τὴν κατὰ τόπον κίνησιν.

Εἰ μεμνήμεθα, κατ' ἀρχὰς τῆς παρούσης ἐλέγετο πραγματείας ὅτι 5
πάντες οἱ φυσικοὶ δύο τούτοις ὁρίζονται τὴν ψυχήν, τῷ τε γνωστικῷ καὶ
τῷ κατὰ τόπον κινητικῷ· πρὸς ταῦτα γὰρ ἀπεῖδον. καὶ ἀπεδέχετο μὲν
15 αὐτούς, διότι ἀπὸ τῶν ἐνεργειῶν τὴν οὐσίαν τῆς ψυχῆς ἐθήρευον, ὥσπερ
καὶ δεῖ· καὶ αὐτὸς γὰρ οὕτως ποιεῖ· ἀπεβάλλετο δὲ αὐτοὺς πρῶτον μέν,
ὅτι τὴν φυτικὴν ψυχὴν παρῆλθον· αὕτη γὰρ οὔτε κινεῖ τι κατὰ τόπον
οὔτε γινώσκει· καὶ ὅτι ἐντεῦθεν ἐπὶ ψευδεῖς ἐννοίας ἐτράπησαν· ᾤοντο
γὰρ τὴν ψυχὴν κινεῖσθαι. ἐπειδὴ γὰρ ἐναργῶς ἑώρων ὅτι ἡ ψυχὴ κινεῖ 10
20 τὸ σῶμα, ὑπελάμβανον ὅτι κινουμένη κινεῖ καὶ διὰ τοῦτο πᾶν κινοῦν ἔλεγον
καὶ κινεῖσθαι. καὶ εἰς ἄλλο δὲ ἥμαρτον κατὰ τὸ γνωστικόν· ἐνόμιζον γὰρ
τὴν ψυχὴν ἐκ πάντων τῶν ὄντων συγκεῖσθαι, ἵνα ἐκ τῶν ἀρχῶν συγκει-
μένη οἷον ὁμήρους ἔχουσα αὐτῶν γινώσκῃ αὐτά. οὕτω γὰρ καὶ τὸ Ἐμπε-
δόκλειον ἔπος· φησὶ γὰρ 'γαίῃ γαῖαν ὀπώπαμεν'. καταγνοὺς οὖν αὐτὸς
25 τῶν φυσιολόγων καὶ διὰ ταῦτα προσθεὶς τὸν περὶ φυτικῆς ψυχῆς λόγον,
διαλεχθεὶς δὲ καὶ περὶ τοῦ γνωστικοῦ τῆς ψυχῆς, ἐντεῦθεν καὶ περὶ τοῦ 15
κατὰ τόπον κινητικοῦ διαλέγεται, ὃ ἔδει μὲν προτάξαι τῆς λογικῆς, ἐπειδὴ
πανταχοῦ τὰ καθολικώτερα προέταξεν· ἀλλ' ἐπειδὴ χρείαν εἶχε τῆς
διεξόδου τῶν τριῶν ψυχῶν ἐν τῇ διδασκαλίᾳ τοῦ κατὰ τόπον κινητικοῦ
30 πρὸς τὸ εἰπεῖν τί ἐστι καὶ τί οὐκ ἔστι, διὰ τοῦτο νῦν αὐτοῦ ἐμνήσθη.
ἵνα γὰρ διδάξῃ ὅτι οὐκ ἔστιν φυτικὴ ψυχή, οὐκ ἄλογος, οὐχ ὁ νοῦς ἢ
ἁπλᾶ νοῶν ἢ σύνθετα, ἢ φαντασίᾳ χρώμενος ἢ ἄνευ φαντασίας, προ-
εμνήσθη τούτων. ἀλλὰ μὴν καὶ πρὸς τὸ τί ἐστιν αὐτῷ συμβάλλεται τὰ 20
προειρημένα· βούλεται γὰρ δεῖξαι ὅτι τὸ κινοῦν ἐν μὲν λογικοῖς τὸ κοινὸν

---

3 δευτέρων καὶ τρίτων scripsi: β' καὶ τριῶν D: β' καὶ γ' t 5 ἀλλ' om. t 8 post πληροῦται add. πρᾶξις σὺν θεῷ τε marg. D² 9 ὥρισθαι t 12 Εἰ μεμνήμεθα om. t 16 ποιεῖ] ποιοῦν D 17 ὅτι] ὃ D παρῆλθεν t 18 ψευδῆς t 19 ἐνεργῶς t 21 ἄλλω t 23. 24 Ἐμπεδόκλειον] Empedocl. fragm. 378 ed. Mullach 24 γαίῃ om. D 25 φυσικῆς t 28. 29 τῆς ἐξόδου D 30 νῦν scripsi: νοῦν Dt 31 οὐχ om. D 32 νοῶν scripsi: νοῦν D: νοοῦν t 34 ἐν μὲν iterat D post κοινὸν fort. addendum ὀρεκτικόν

ἀλόγου καὶ λογικῆς, ἐν ἀλόγοις δὲ μόνον τὸ τῆς ἀλόγου. ἡνίκα δέ φησιν r 6r
Ἀριστοτέλης τὸ ὀρεκτικὸν κινεῖν, οὐχ ὡς τελικὸν αὐτὸ αἴτιον λέγει, ἀλλ'
ὡς ποιητικόν· καὶ τοῦτο δῆλον, ἐπειδὴ ζητῶν τί τὸ κινοῦν φησιν ὅτι ἢ
νοῦς ἐστιν ἢ ὄρεξις· ὁ δὲ νοῦς ποιητικός ἐστι καὶ οὐ τελικός † οὐδὲ ἄνευ
5 κινήσεως δὲ οὔτε δύναται εἶναι τελικός. τοὐναντίον γὰρ ἡνίκα κατὰ νοῦν
ἐνεργῶμεν, τῆς κινήσεως ἐκτρεπόμεθα· διὸ Θαλῆς ἀστρονομῶν εἰς φρέαρ 25
ἔπεσεν. ὥστε ὡς ποιητικὸν λέγει τὴν ὄρεξιν κινεῖν· ἄλλο γὰρ ποιητικὸν
συνῆψεν αὐτῇ· καὶ ὅτι τὸ ὀρεκτικὸν οὐκ ἔστι τέλος, ἀλλὰ τὸ ὀρεκτόν.
ζητεῖ οὖν Ἀριστοτέλης περὶ τοῦ κατὰ τόπον κινοῦντος ἆρα μέρει κινεῖ ἡ
10 ψυχὴ ἢ ὅλη αὐτὴ κινεῖ. τοῦτο εἰσάγει, ὅτι ὡς οὐσία εἰς δυνάμεις διαι-
ρεῖται· ἡ γὰρ δύναμις δι' ὅλης φοιτᾷ τῆς οὐσίας· ἡ γὰρ εὐωδία τοῦ
μήλου, δύναμις αὐτοῦ οὖσα, ἐξ ὅλου ὡς ὅλου προέρχεται, καὶ οὐχ ὧδὶ μὲν
τοῦ μήλου ἐστὶν ἡ εὐωδία, ὧδὶ δὲ οὐκ ἔστιν, ἀλλ' ἐν ὅλῳ ὡς ὅλῳ ἐστίν.
καὶ κατὰ τοῦτο διαφέρει δύναμις μέρους, ὅτι ἡ μὲν δύναμις, ὡς εἴπομεν, 30
15 δι' ὅλης τῆς οὐσίας κεχώρηκε, τὸ δὲ μέρος οὐκ ἔστιν ἐν ὅλῃ τῇ οὐσίᾳ,
ἀλλ' ἕν τινί ἐστι τῆς οὐσίας, εἴ γε μέρος αὐτῆς ἐστι, καὶ ὅτι ἡ μὲν δύναμις
οὐκ ἔστιν οὐσία, τὸ δὲ μέρος οὐσία ἐστίν, εἴ γε τὰ μέρη τῶν οὐσιῶν
οὐσίαι εἰσίν, ὡς ἐν Κατηγορίαις ἔγνωμεν. πότερον οὖν μέρει κινεῖ ἡ ψυχὴ
ἢ δυνάμει; καὶ εἰ μέρει, ἆρά τινι τῶν εἰωθότων λέγεσθαι (εἰωθότα δὲ
20 λέγει τὰ παρὰ Πλάτωνι τρία μέρη, λόγον, θυμόν, ἐπιθυμίαν) ἢ ἄλλῳ παρὰ
ταῦτα; καὶ εἰ ἄλλῳ, ἆρα ἑτέρῳ ὄντι τούτων ἐπινοίᾳ μόνῃ ἢ καὶ ἐπινοίᾳ 35
καὶ ὑποκειμένῳ; Πλάτωνι μὲν γὰρ ἕπεται λέγειν ὅτι μέρει κινεῖ ἡ ψυχή·
πολυμερῆ γὰρ αὐτὴν εἶναι βούλεται· καὶ τὸ κατὰ τόπον κινοῦν ἕτερον
εἶναι παρὰ λόγον, θυμόν, ἐπιθυμίαν· οὐδενὶ γὰρ τούτων ταὐτὸν εἶπε τὸ
25 κατὰ τόπον κινοῦν, ἀλλ' ἕτερον, ἕτερον δὲ οὐ μόνον ἐπινοίᾳ, ἀλλὰ καὶ
τῷ ὑποκειμένῳ. οὐδὲ γὰρ ταὐτὰ βούλεται εἶναι τῷ ὑποκειμένῳ τὰ μέρη
τῆς ψυχῆς, διορίζων αὐτὰ τόπῳ. διὸ καὶ τρία ταῦτα ἐγκαλεῖ Πλάτωνι,
ἓν μὲν τὸ τὴν ψυχὴν ὡς ὅλον εἰς μέρη διαιρεῖν· οὐδὲ γὰρ δυνατόν ἐστιν 40
εἰς μέρη αὐτὴν διαιρεῖσθαι. ἐπὶ γὰρ τῶν ἀσωμάτων τὸ αὐτό ἐστι μεριστῷ
30 καὶ μεμερισμένῳ εἶναι· οὐδὲ γὰρ ἀναμένει τὰ ἀσώματα χρόνον τινὰ ἢ
τομὴν τοῦ διεξιόντος. εἰ οὖν μεριστή ἐστιν ἡ ψυχή, καὶ μεμερισμένη
ἔσται καὶ οἰχήσεται τὸ ὅλον· φθαρήσεται γὰρ καὶ αὐτὸ τὸ εἶναι κοινὸν
ὅλον τῶν μερῶν διαιρεθέντων ἐνεργείᾳ ἀπ' ἀλλήλων. ἐπὶ δὲ τῶν σω-
μάτων ἄλλο ἐστὶ τὸ μεριστῷ εἶναι καὶ μεμερισμένῳ. ἐνταῦθα δὲ γεγονότες
35 Ἀλέξανδρος καὶ Πλούταρχός φασιν ὅτι ἐγκαλεῖ τῷ Πλάτωνι Ἀριστοτέλης 45
ὡς διελόντι τὴν ψυχὴν ὡς ὅλον εἰς μέρη, ὡς ἂν αὐτὸς ὡς μίαν οὐσίαν
εἰς δυνάμεις διαιρῶν· βούλεται γὰρ τὴν ψυχὴν μίαν οὐσίαν πολυδύναμον.

---

2 ὀρεκτικὸν scripsi: ὀρεκτὸν Dt 4. 5 οὐδὲ ἄνευ — τελικός depravata sunt; ceterum cf. p. 572,37 sqq. 4 ἄνευ] ἄν ἐστι D 5 κατὰ νοοῦν t 6 διὸ scripsi: διὰ Dt 6. 7 Θαλῆς — ἔπεσεν] cf. Platon. Theaet. p. 174 A 8 αὐτὴν D 9 μέρη t 11 ἡ (post διαιρεῖται) scripsi: εἰ Dt 12 ὧδὶ μὲν] ὡδιαμὲν D 18 ἐν Κατηγορίαις] 5 p. 3a29 sqq. 19 et 21 ἄρα Dt 20 ἢ ἄλλῳ] ἢ ἄλλο t 21 εἰ] ἢ t 26 ταὐτὰ scripsi: ταῦτα Dt 31 τομὴ t 33 ὅλων D 34 τὸ] τῷ t

οὗτοι δὲ ψεύδονται· αὐτὸς γὰρ ἀλλαχοῦ ἔφη μηδέποτε τῶν δυνάμεων τῆς r 6r
αὐτῆς οὐσίας τὰς μὲν εἶναι φθαρτὰς τὰς δὲ ἀφθάρτους, ἀλλ' ὁμοίως ἢ
ἀφθάρτους πάσας ἢ φθαρτάς. λέγει δὲ τὸν μὲν νοῦν ἄιδιον, τὴν δὲ ἄλογον
φθαρτήν· ὥστε οὖν οὐ μία. κατ' ἄλλο δὲ ἐγκαλεῖ Πλάτωνι ὡς τὰς δύο
5 ψυχάς, τήν τε λογικήν φημι καὶ τὴν ἄλογον, ὡς μίαν ποιήσαντι, καὶ 50
διελόντι τὴν μίαν ταύτην εἰς τρία. εἰς λόγον. θυμόν. ἐπιθυμίαν· Ἀριστοτέλης
δὲ βούλεται τὰς τρεῖς ψυχάς. μήποτε δὲ ἔστιν εἰπεῖν ὑπὲρ Πλάτωνος ὅτι
διὰ τοῦτο μέρη ἔλεγε τὰ τρία ταῦτα, διὰ τὸ μίαν ἐμψυχίαν ποιεῖν· ἓν γάρ
ἐστι τὸ ἔμψυχον καὶ οὐ τρία. εἶτα καὶ δεύτερον ἐγκαλεῖ τῷ Πλάτωνι,
10 διὰ τί πολλὰ μέρη παρῆκε. καὶ εἴρηται τούτου ἡ ἀπολογία, ὅτι ἐν τῇ
Πολιτείᾳ τοῦτο ἐποίησεν, οὐκ ἐν Τιμαίῳ· αὐτῶν γὰρ μόνων ἐκεῖ ἔχρῃζε
τῶν τριῶν. εἶτα καὶ τρίτον αὐτῷ ἐνεκάλεσεν, ὅτι διέσχισε τὰ μέρη ταῦτα |
ἀπ' ἀλλήλων· ὅσον γὰρ ἐπὶ τούτῳ οὐκ ἔστι ῥᾴδιον εἰπεῖν, τί τὸ κινοῦν· r 6v
οὐδὲ γὰρ κοινὸν πλέγμα ἔστι τῶν ψυχῶν αὐτὸ εἰπεῖν, τῶν μορίων κεχω-
15 ρισμένων κατὰ Πλάτωνα· διασπᾷ οὖν τὸ ὀρεκτικόν. εἴρηται δὲ καὶ τούτου
ἡ ἀπολογία. καὶ ταῦτα μὲν τὰ τῆς λέξεως. εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν,
οὐ συμφέρονται ἀλλήλαις αὗται αἱ δόξαι, αἱ Πλατωνικαὶ καὶ αἱ Ἀριστοτελικαὶ
περὶ τοῦ κατὰ τόπον κινητικοῦ. ὁ μὲν γὰρ Πλάτων βούλεται τὸ κράτιστον 5
ὑπάρχον ἐν ἡμῖν ἐκεῖνο εἶναι τὸ κινοῦν· κρεῖττον δὲ ἐν μὲν ἀλόγοις
20 ζῴοις ἡ φαντασία (διὸ καὶ παθητικὸς νοῦς λέγεται ὡς ἔνδον ἔχουσα τὸ
γνωστόν), ἐν δὲ λογικοῖς ὁ νοῦς. διὰ τοῦτο οὖν κατ' αὐτὸν τὰ μὲν ἄλογα
ζῷα φαντασία κινεῖ, τὰ δὲ λογικὰ ὁ νοῦς· τὸ γὰρ ἄγον καὶ φέρον τὸ ζῷον
δεῖ τὸ κῦρος ἔχειν αὐτοῦ· διὸ δεῖ τὸ κρεῖττον εἶναι τὸ κινοῦν. εἶτα
ἐπειδὴ ἀντιπίπτει τοῖς Πλατωνικοῖς, ἡνίκα τὸ πάθος κατακρατεῖ τοῦ
25 λόγου καὶ ἀπάγει ἡμᾶς εἰς αἰσχρὰν ἡδονήν (οὐ γὰρ νοῦς τοῦτο ποιήσει, 10
ἀλλὰ τὸ πάθος), φασὶν ὅτι καὶ τότε μὲν ὁ λόγος ἐστὶν ὁ κινῶν, ἀνδραποδιζόμενος δὲ μηχανᾶται ὁδοὺς τῷ πάθει. συνάγεται δὲ ἐκ τούτου τῷ
Πλάτωνι ὅτι κατ' αὐτοὺς οὐ τὸ κρατοῦν ἐστι τὸ κινοῦν· ἰδοὺ γὰρ τὸν
κρατούμενον νοῦν εἶπον κινεῖν. καὶ πῶς ἄνω τὸ κρατοῦν εἶπον κινεῖν;
30 Ἀριστοτέλει δὲ δοκεῖ τὸ κινοῦν κατὰ τόπον μὴ εἶναι γνωστικὸν ἰδίωμα,
ἀλλὰ ζωτικόν· βούλεται γὰρ τὸ ὀρεκτικὸν εἶναι τὸ κινοῦν· οἰκεῖον γὰρ
λέγει τὸ κινοῦν μᾶλλον ζωῇ ἤπερ γνώσει. καὶ ἐπὶ μὲν ἀλόγων ζῴων τὸ
ὀρεκτικὸν μόνον τῆς ἀλόγου κινεῖ, ἐπὶ δὲ τῶν λογικῶν ζῴων ποτὲ μὲν τὸ 15
τῆς λογικῆς ὀρεκτικόν, ποτὲ δὲ τὸ τῆς ἀλόγου. ἐπὶ μὲν γὰρ τῶν κατὰ
35 λόγον ζώντων τὸ ὀρεκτικὸν τῆς λογικῆς κινεῖ, ἐπὶ δὲ τῶν πολλῶν ἀνθρώπων καὶ κατὰ τὴν αἴσθησιν ζώντων τὸ ὀρεκτικὸν τῆς ἀλόγου κινεῖ. ὥστε
ζωτικὸν ἰδίωμα μᾶλλόν ἐστι τὸ κατὰ τόπον κινοῦν ἤπερ γνωστικόν. νοῦ
γὰρ ἰδίωμα τὸ γινώσκειν μόνον, οὐ κινεῖν. ἀντιπράττει γὰρ ὁ νοῦς τῇ
κινήσει· οὐ γὰρ συναισθάνονται κινήσεως, ὅπου γε οὐδὲ στάσεως, οἱ περὶ

---

1 ψεύδοντες t ἀλλαχοῦ] nescio quo loco, sed cf. Metaph. I 10 8 διὰ τὸ μέρη D ποιεῖ D 10 τούτῳ t 13 τούτων t ῥᾶον D 17 αἱ (post καὶ) om. t 18 τὸν κράτιστον t 20 τὸν t 24 κατακρατῇ t 28 οὐ τὸ κρατοῦν scripsi: αὐτοκρατοῦν Dt

τὰ νοητὰ ἠσχολημένοι· διὸ καὶ Σωκράτης ἐν τῇ ἐπὶ Δηλίῳ μάχῃ νυχθή- r 6v
μερον στὰς οὐκ ἤσθετο τῆς στάσεως, διὰ τὸ ἐννοεῖν τι. καὶ ὅτι εἰ ἐκίνει
ὁ νοῦς τὸ ζῷον, οὐ πρὸς κακὸν ἂν αὐτοῦ ἐκίνει· εἴπομεν γὰρ ὅτι Θαλῆς 21
ἀστρονομῶν εἰς φρέαρ ἐνέπεσε. τάχα δὲ καὶ κατὰ Ἀριστοτέλην Πλατω-
5 νικὴ διάταξις κρατεῖ, ὅτι τὸ κρεῖττον κινεῖ· κρεῖττον γὰρ πασῶν τῶν δυνά-
μεων ἡ ὄρεξις, εἴ γε τοῦ ἀγαθοῦ ἐστιν. ἐν οἷς ἡ θεωρία.

Ἐπεὶ δὲ ἡ ψυχὴ κατὰ δύο ὥρισται δυνάμεις. δύο λέγει δυνά-
μεις ἢ ὡς [τὸ] πρὸς τὸ ζῷον (τοῦτο γὰρ ἄλογον καὶ λογικὸν συνίστησιν) ἢ
δύο λέγει δυνάμεις ὡς πρὸς τοὺς ἀρχαίους· ἐκεῖνοι γὰρ μόνον γνωστικὸν 25
10 ἔλεγον, ὃ εἶπε κριτικόν, καὶ κινητικόν. ἐπεὶ οὖν, φησί, δύο εἰσὶ δυνάμεις,
καὶ ἤδη εἴπομεν περὶ τοῦ γνωστικοῦ καὶ τῆς διανοίας καὶ τῆς αἰσθήσεως,
ἔλθωμεν καὶ ἐπὶ τὸ κινητικόν.

p. 432a19 Πότερον ἕν τι μόριον αὐτῆς χωριστὸν ὂν ἢ μεγέθει ἢ λόγῳ, ἢ πᾶσα ἡ ψυχή.

15 Ζητητέον, φησίν, εἰ μόριόν ἐστι τῆς ψυχῆς τὸ κινητικόν, καὶ εἰ μόριον,
πότερον τῷ ὑποκειμένῳ καὶ τῇ οὐσίᾳ χωριστόν, ὃ εἶπεν μεγέθει (καὶ 30
μὴ ταραχθῇς, εἰ τὴν οὐσίαν τῆς ψυχῆς μέγεθος καλεῖ· κατεχρήσατο γὰρ
καὶ ἀντὶ τοῦ εἰπεῖν ὑποκείμενον μέγεθος εἶπεν)· εἰ δὲ μή ἐστιν τῷ ὑπο-
κειμένῳ καὶ τῇ οὐσίᾳ χωριστόν, ἆρα δυνάμει ἐστὶ χωριστόν, ὃ εἶπε λόγῳ.
20 ζητητέον δέ, φησί, μήποτε καὶ πᾶσα ἡ ψυχή ἐστι τὸ κινητικόν. παρὰ
τὰ εἰωθότα λέγεσθαι καὶ τὰ εἰρημένα. εἰωθότα λέγεσθαι εἶπε τὰ
παρὰ Πλάτωνι τρία, λόγον, θυμόν, ἐπιθυμίαν, εἰρημένα δὲ εἶπε τὰ παρ'
αὐτοῦ νυνὶ ῥηθέντα, λέγω δὲ νοῦν, διάνοιαν, δόξαν, φαντασίαν, αἴσθησιν
κοινήν τε καὶ ἰδικήν.

25 p. 432a23 Πῶς δεῖ μόρια ψυχῆς λέγειν καὶ πόσα. 35

Εἰς δύο ἤλεγξε διὰ τούτων τὸν Πλάτωνα, καὶ ὅτι μόρια λέγει καὶ
ὅτι πόσα, τουτέστι τρία. ἀντὶ † ἢ ἅπερ ἢ ἄπειρα εἶπεν ὡς πρὸς τὰ
τρία· ὀκτὼ δέ εἰσιν μετὰ τῶν τριῶν τοῦ Πλάτωνος, ἐὰν συνάψῃς καὶ τὰ
πέντε ἃ νῦν εἶπεν ὁ Ἀριστοτέλης.

30 p. 432a26 Οἱ δὲ τὸ λόγον ἔχον καὶ ἄλογον. 40

Τινὲς μέν φασι τρία εἶναι τὰ μέρη τῆς ψυχῆς, ὡς Πλάτων λόγον,

---

1 ἐσχολημένοι D ἐν τῇ ἐπὶ Δηλίῳ μάχῃ] immo ἐν Ποτιδαίᾳ; cf. Plat. Sympos. p. 220 C sq. 2 εἰ om. D 3 οὐ om. D κακῷ D αὐτὸν t 8 τὸ prius delevi συνίστασιν t 15 ἐστι et καὶ εἰ μόριον om. t 16 ὃ εἶπεν — οὐσίᾳ χωριστόν (19) iterat D 17 εἰ] εἰς D 25 πῶς D Arist. L: πῶς τε t Arist. vulg. 26 Εἰς om. t ἔλεγξε t τὸν] τῶν t 27 ἢ ἅπερ ἢ D: οἷά περ ἢ t: exspectas τοῦ ὀκτὼ ἢ ὅσαπερ ἂν ἢ 28 ὀκτὼ scripsi: ἢ D: εἰ t 29 ὁ om. t 30 καὶ ἄλογον D Arist. W: καὶ τὸ ἄλογον t Arist. vulg. 31 φασι scripsi: φησι Dt

θυμὸν καὶ ἐπιθυμίαν, τινὲς δὲ δύο, ἄλογον καὶ λογικόν, ὡς Ἀριστοτέλης· r 6v
ὡς πρὸς τὰ ζῷα γὰρ δύο ἔλεγε ψυχάς· ἡ γὰρ ἄλλη τῶν φυτῶν ἐστι.

p. 432a26 Κατὰ γὰρ τὰς διαφορὰς δι' ἃς ταῦτα χωρίζουσι, καὶ ἄλλα φαίνονται.

Πάλιν τὸν Πλάτωνα ἐλέγχει. εἰ γὰρ διὰ τὸ πάνυ ἀφίστασθαι, φησί, 45
λέγει μόρια ψυχῆς λόγον, θυμόν, ἐπιθυμίαν, ἔδει τὸ θρεπτικὸν μόριον εἰπεῖν τῆς ψυχῆς· μᾶλλον γὰρ τούτων ἀφέστηκε, καὶ μᾶλλον θυμοῦ καὶ ἐπιθυμίας, ἐπειδὴ ἄμφω μὲν αὗται τῆς ἀλόγου ψυχῆς εἰσι, τὸ δὲ θρεπτικὸν τῆς φυτικῆς· πλέον δὲ ἀφέστηκε τῆς ἀλόγου ἡ φυτικὴ ἢ ἡ φυτικὴ αὐτὴ ἑαυτῆς.

p. 432a30 Καὶ τὸ αἰσθητικόν, ὃ οὔτε ὡς ἄλογον οὔτε ὡς λόγον ἔχον θείη ἄν τις ῥᾳδίως.

Τὸ αἰσθητικόν, φησίν, ἤτοι τὴν αἴσθησιν οὔτε ἀλόγου ἄν τις θείη 50
μόνου οὔτε λογικοῦ, ἀλλ' ἀμφοτέρου. διότι μὲν γὰρ ἔξω ἔχει τὸ γνωστὸν ἡ αἴσθησις καὶ κατὰ διάστασιν αὐτὸ οἶδε καὶ μορφωτικῶς καὶ τυπωτικῶς καὶ οὐκ ἐνακούει τῷ λόγῳ ἐν τῷ νομίζειν ποδιαῖον τὸν ἥλιον, κατὰ τοῦτο ἀλόγου ἐστί· καθὸ δὲ αὐτοπτεῖ τὰ πράγματα ὡς ὁ νοῦς, δοκεῖ ἡ αἴσθησις ὑπὸ λόγον ἀνάγεσθαι. ἔστι δὲ καὶ ἄλλως ἐξηγήσασθαι, ὅτι καθὸ μὲν γινώσκει, τῆς λογικῆς ἐστι, καθὸ δὲ πάσχουσα γινώσκει, οὐ δύναται εἶναι τῆς λογικῆς· ἡ γὰρ λογικὴ | οὐ πάσχει, ἀλλὰ τῆς ἀλόγου ἐστὶ τὸ r 7r
πάσχειν.

p. 432a31 Ἔτι δὲ τὸ φανταστικὸν τῷ μὲν εἶναι πάντων ἕτερον. τίνι δὲ τούτων ταὐτὸν ἢ ἕτερον, ἔχει πολλὴν ἀπορίαν.

Ὡς πρὸς λόγον, θυμόν, ἐπιθυμίαν, τὰ μέρη Πλάτωνος, συγκρίνει φαντασίαν καὶ ὄρεξιν. καὶ τὴν μὲν ὄρεξιν πάντῃ τούτων ἑτέραν λέγει, ἐπειδή ἐστιν ὄρεξις καὶ φυτικῆς, τὰ δὲ Πλάτωνος μέρη ἀλόγου ἐστὶ καὶ λογικῆς, ὥστε πάντῃ τούτων ἡ ὄρεξις ἕτερον. τὸ δὲ φανταστικὸν ἐπειδὴ ἀλόγου ἐστί, τῷ μὲν λόγῳ διαφέρει τῶν τριῶν μερῶν τούτων, λογικοῦ, θυμικοῦ, ἐπιθυμητικοῦ· τίνι δέ ἐστι τῷ ὑποκειμένῳ ταὐτὸν ἢ ἕτερον τῶν τριῶν τούτων μερῶν, ἄπορον. μήποτε γὰρ θυμῷ καὶ ἐπιθυμίᾳ ταὐτόν ἐστιν. ἐπειδὴ καὶ αὗται τῆς ἀλόγου εἰσί. καλῶς οὖν οὕτως εἶπεν ὅτι εἰ ὅλως μόρια ἔχει ἡ ψυχὴ κεχωρισμένα, καὶ τὸ φανταστικὸν καὶ τὸ ὀρεκτικὸν μόριόν ἐστι τῆς ψυχῆς,

---

3 δι' ἃς] δια D 4 φαίνονται Dt Arist. LSV: φαίνεται Arist. TUWX: φανεῖται E 5 φησί] φύσει t 9 legendum videtur ἢ ἡ ἄλογος αὐτὴ 15 καὶ ἀντιδιάστασιν t μορφωτικὸς D 16 ἐνακούει scripsi: ἐν ἀκούει Dt 17 αὐτοπτεῖ scripsi: αὐτὸ πτεῖ D: αὐτὸ πτεῖ t 22 τῷ D: τὸ Arist. EL: ὃ τῷ t Arist. vulg. 23 τίνι scripsi coll. v. 29: τινὶ Dt 27 ἕτερον om. D ἄλογός ἐστι t 28 post θυμικοῦ add. καὶ t 29 ταὐτὸν ἢ ἕτερον Arist.: ἢ αὐτὴ ἢ ἑτέρα Dt

ὅπερ ὀρεκτικὸν ἢ παρῆκας, ὦ Πλάτων, ἢ λέγων αὐτὸ διασπᾷς αὐτό. εἰ r 7r
δὲ τρία ἡ ψυχή, ἐν ἑκάστῳ ἔσται ὄρεξις. σημείωσαι τί λέγει ὅτι
ἐὰν τρεῖς ὦσι ψυχαί, καθ' ἑκάστην αὐτῶν ἔσται ὄρεξις· οὐκοῦν καὶ ἐν τῇ 15
φυτικῇ ὄρεξίς ἐστιν. ἰστέον δὲ ὅτι ὡς ἀπομαχόμενος λέγει τοῦτο Ἀριστο-
5 τέλης, ἐπεὶ ἐν τῇ ἀρχῇ τοῦ κειμένου τῆς μελλούσης πράξεως, ἐὰν ἐπι-
σκέψῃ, εὑρίσκεις αὐτὸν οὐκ εἰδότα ἐπὶ φυτῶν ὄρεξιν. ἀλλ' οὐδὲ Πλού-
ταρχος ὑπομνηματίζων λέγει εἶναι ὄρεξιν ἐπὶ φυτῶν, ἀλλὰ τοὐναντίον μὴ
εἶναι. εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, οὐ λέγει ἐπὶ φυτῶν ὄρεξιν, ἀλλὰ τρεῖς
λέγει ὀρέξεις, μίαν μὲν τὴν μετὰ τοῦ πρακτικοῦ νοῦ, ἑτέραν δὲ τὴν θυ-
10 μοειδῆ, καὶ ἄλλην τὴν ἐπιθυμητικήν. 20

p. 432ᵇ8 Τὴν μὲν γὰρ κατ' αὔξησιν καὶ φθίσιν κίνησιν.

Ἐπειδὴ περὶ κινήσεώς ἐστιν αὐτῷ ὁ λόγος, ἡ δὲ κίνησις ὁμώνυμος, διαστέλλεται τὴν ὁμωνυμίαν καί φησιν ὅτι κίνησιν νυνὶ ζητῶ οὐ τὴν αὔξησιν καὶ φθίσιν· αὗται γὰρ ὑπὸ φύσεως γίνονται· νυνὶ δὲ τὴν ψυχικὴν
15 ζητῶ τὴν κατὰ τόπον, καὶ ψυχικὴν οὐ μορίου τινός, ὥσπερ ἐστὶν ἡ ἀνα- 25
πνοή, ἀλλὰ τὴν ὅλου τοῦ ζῴου τὴν πορευτικήν. καὶ ἀλλαχοῦ γὰρ φαίνεται λέγων διττὸν εἶναι τὸ κατὰ τόπον, ἢ πορευτικὸν ἢ κινητικόν, κινητικὸν λέγων τὸ ἀπὸ μέρους, οἷον ἡ ἀναπνοή. οὐ περὶ τούτου δὲ νῦν ὁ λόγος· ἤδη γὰρ καὶ ἀλλαχοῦ ἐζήτηται περὶ ἀναπνοῆς. καὶ ἀπορεῖται, εἴτε φυσικὴ
20 ἐστιν εἴτε ψυχική· φυσικὴ μὲν γὰρ δόξει εἶναι ὡς μὴ δουλεύουσα προ- 30
αιρέσει, ψυχικὴ δὲ ὡς ὑπὸ μυῶν γινομένη καὶ ὅτι ἐν ἐμοί ἐστι τὸ ἐπιτεῖναι αὐτήν. οὐ περὶ ταύτης οὖν ἐστιν ὁ λόγος, ἀλλὰ περὶ τοῦ κατὰ τόπον πορευτικοῦ σημαινομένου τῆς κινήσεως.

p. 432ᵇ11 Περὶ δὲ ἀναπνοῆς καὶ ἐκπνοῆς καὶ ὕπνου καὶ ἐγρη-
25 γόρσεως.

Περὶ τῆς κατὰ τόπον κινήσεως ὄντος τοῦ λόγου, ἢ ἐπειδὴ ἡ ἀναπνοὴ 35
ἐν τῷ ὕπνῳ μᾶλλόν ἐστιν ἤπερ ἐν τῇ ἐγρηγόρσει, διὰ τοῦτο αὐτῶν ἐμνήσθη (τῆς γὰρ ἀναπνοῆς ὡς μερικῆς κινήσεως ἐμνήσθη) ἢ ὅτι καὶ ὕπνος καὶ ἐγρήγορσις μερικαί εἰσι κινήσεις βλεφάρου κατὰ τόπον. φησὶν οὖν ὅτι
30 οὐδὲ περὶ τούτων ἐστὶν ἡμῖν ὁ λόγος· μερικαὶ γὰρ κινήσεις εἰσὶν αὗται. νυνὶ δὲ καθόλου ζητοῦμεν πορευτικὴν κίνησιν· καὶ ὅτι ἐστὶν αὐτῷ γεγραμμένον βιβλίον Περὶ ὕπνου καὶ ἐγρηγόρσεως, ἐν ᾧ περὶ τούτων διαλέγεται. ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται. 40

---

1 ὁ πλάτων t 5. 6 ἐπισκέψῃς D 6 εὑρίσεις t 16 ἀλλαχοῦ] cf. de anim. mot. 11 p. 703ᵇ3 sqq. 17 πορευκτικὸν t 18 τὸ ἀπτομεροῦς D 23 τόπῳ D 26 ἡ om. t 29 μερικαί scripsi: μερικά Dt κινήσεως D 33 post πληροῦται add. πρᾶξις σὺν θεῷ ις t marg. D¹

p. 432b14 Ὅτι μὲν οὖν οὐχ ἡ θρεπτικὴ δύναμις, δῆλον· ἀεί τε γὰρ ἕνεκά του ἡ κίνησις αὕτη, καὶ ἢ μετὰ φαντασίας ἢ ὀρέξεώς ἐστιν. r 7r

Ἡ παροῦσα θεωρία δείκνυσι τί τε οὐκ ἔστι τὸ κατὰ τόπον κινοῦν καὶ τί ἐστι. πρῶτον δὲ δείκνυσι τί οὐκ ἔστι. φησὶ γὰρ ὅτι οὐκ ἔστιν ἡ θρεπτικὴ δύναμις οὔτε αἴσθησις οὔτε νοῦς. καὶ νοῦς οὐχ ὁ θεωρητικὸς ὁ μὴ κεχρημένος ὀργάνῳ, οὐχ ὁ κεχρημένος ὀργάνῳ θεωρητικός, οὐχ ὁ πρακτικὸς νοῦς, οὐκ ὄρεξις· ταῦτα οὐκ ἔστι τὸ κατὰ τόπον κινοῦν. καὶ ὅτι μὲν οὐκ ἔστιν ἡ θρεπτικὴ δύναμις, διὰ τεσσάρων ἐπιχειρημάτων δείκνυσιν, ὧν πρῶτόν ἐστι τοῦτο· ἡ θρεπτικὴ ἓν τέλος ἔχει τὸ τρέφειν, ἡ δὲ κίνησις ἔχει τέλος καὶ πάθος καὶ λόγον· ἔνθα μὲν γὰρ ἐπὶ σπουδαῖα κινούμεθα, ὁ λόγος τέλος ἐστίν, ἔνθα δὲ ἐπὶ ἀφροδίσια, τὸ πάθος ἐστὶ τέλος· ὥστε οὐχ ἡ θρεπτική ἐστι τὸ κατὰ τόπον κινοῦν. τοῦτο δὲ δείκνυται διὰ δύο ἐπιχειρημάτων. εἰ ἀνάγκη τὸ κινούμενον πρῶτον φαντασιοῦσθαι καὶ ὀρεχθῆναι αἰσθητῶς, καὶ εἶθ' οὕτω κινηθῆναι ὑπὸ ὀρέξεως, ταῦτα δὲ οὐκ ἔστιν ἐν τῇ θρεπτικῇ (οὔτε γὰρ φαντασία ἐστὶν οὔτε ὄρεξις αἰσθητική· ἐν γὰρ τῷ κινεῖσθαι αἰσθητικῆς ὀρέξεως χρεία), οὐκ ἄρα τὸ θρεπτικόν ἐστι τὸ κατὰ τόπον κινοῦν. τρίτον ἐπιχείρημα· εἰ τὸ θρεπτικὸν κινεῖ, ἔδει καὶ τὰ φυτὰ κινεῖσθαι, ὡς ἔχοντα τὴν κατὰ τόπον κινητικὴν δύναμιν. ἀλλὰ μὴν οὐδέποτε κατὰ τόπον κινεῖται τὰ φυτά· οὐκ ἄρα ἡ φυτικὴ ψυχή ἐστιν ἡ κατὰ τόπον κινοῦσα. | τέταρτον ἐπιχείρημα· εἰ τὸ θρεπτικὸν r 7v κινεῖ, ἔδει καὶ τὰ φυτὰ πορευτικὰ ἔχειν ὄργανα, ἵνα κινηθῶσιν. ἀλλὰ μὴν οὐκ ἔχουσι πορευτικὰ ὄργανα, τοὐναντίον δὲ καὶ ἐρριζωμένα εἰσίν· οὐκ ἄρα τὸ θρεπτικὸν κινεῖ. ταῦτα μὲν τὰ ἀπὸ τῆς λέξεως· δεῖ δὲ προσευπορῆσαι καὶ ἕτερον ἐπιχείρημα. εἰ ὅτε μᾶλλον ἐνεργεῖ ἡ θρεπτική, ἐν νυκτί φημι, οὐ κινούμεθα καθ' ὁρμήν, οὐκ ἄρα ἡ θρεπτικὴ κινεῖ. εἰ γὰρ καὶ κινούμεθα ἐν νυκτί, ἀλλ' οὐ καθ' ὁρμὴν κινούμεθα· περὶ δὲ τῆς καθ' ὁρμὴν κινήσεως ὁ λόγος ἐστὶ τῷ φιλοσόφῳ. ἀλλ' ἴσως τις ἐρεῖ ὅτι ἡ φυτικὴ μὲν ψυχή ἐστιν ἡ κατὰ τόπον κινοῦσα, οὐ κινοῦνται δὲ τὰ φυτά, καίπερ ἔχοντα τὴν κινητικὴν δύναμιν, διὰ τὸ μὴ ἔχειν ἐπιτήδεια ὄργανα πρὸς κίνησιν. λέγομεν δὲ πρὸς ταύτην τὴν ἀπορίαν, ὅτι πρῶτον μὲν συμβήσεται ἐν ὅλῳ εἴδει μάτην εἶναι δύναμιν· εἰ γάρ ἐστιν ἐν ὅλοις μὲν τοῖς φυτοῖς ἡ κινητικὴ δύναμις, οὐ κινεῖ δὲ διὰ τὴν τῶν ὀργάνων ἀνεπιτηδειότητα, οὐκοῦν μάτην ἔσται ἐν ὅλοις τοῖς εἴδεσι τῶν φυτῶν· ὅπερ ἐστὶν ἄτοπον, τὸ λέγειν μάτην τι γίνεσθαι ὑπὸ τῆς φύσεως. δεύτερον δὲ εἰ ἔχουσι τὰ φυτὰ τὴν κινητικὴν δύναμιν, μὴ κινοῦνται δὲ διὰ τὴν τῶν ὀργάνων ἀπορίαν, διὰ τί οὐκ εὐτρέπισεν ἡ φύσις τούτοις ὄργανα; οὔτε γὰρ

---

1 ἀεί τε D Arist. ET: τε om. t Arist. reliqui 2 ἕνεκά του] ἐν ἑκάστου D
5 post φησὶ add. τί D 7 ὀργάνῳ (ante θεωρητικός) om. t 13. 14 τοῦτο δὲ — ἐπιχειρημάτων depravata sunt: exspectas δεύτερον ἐπιχείρημα 17 ἐν γὰρ] fort. ἐν δὲ
32 εἴδει scripsi: εἴδη Dt

τῶν ἀναγκαίων τι ἐλλείπει οὔτε περιττὰ δημιουργεῖ. δῆλον οὖν πανταχόθεν r 7v γέγονεν ὡς οὐχὶ τὸ θρεπτικόν ἐστι τὸ αἴτιον τῆς κατὰ τόπον κινήσεως. ἀλλὰ μὴν οὐδὲ αἴσθησίς ἐστιν ἡ κατὰ τόπον κινοῦσα. καὶ ἐπειδὴ ἡ αἴσθησις τῆς ἀλόγου ψυχῆς ἐστι, δείκνυσιν ἐπὶ τὸ καθολικώτερον ἀνα- 15
5 τρέχων ὅτι ὅλως οὐκ ἔστιν αἰτία κινήσεως ἡ ἄλογος ψυχή. εἰ γὰρ ἡ ἄλογος ψυχὴ ἦν αἰτία τῆς κατὰ τόπον κινήσεως, ἐχρῆν πάντα τὰ ἔχοντα τὴν ἄλογον ψυχὴν κινεῖσθαι. ἀλλὰ μὴν τὰ ζῳόφυτα ἄλογον ἔχοντα ψυχὴν οὐ κινοῦνται· οὐκ ἄρα τῆς ἀλόγου ψυχῆς ἐστιν ἡ κατὰ τόπον κίνησις. οὐδὲ γὰρ ἔστιν ἐνταῦθα αἰτιάσασθαι τὴν τῶν ὀργάνων ἀνεπιτηδειότητα.
10 ἐκεῖνα γὰρ ἐπιτηδείων ὀργάνων ἀμοιροῦσι τῶν ἐχόντων τὴν ἄλογον ψυχήν. ὅσα ἢ ἀτελῆ ἐστιν ἢ πηρώματα, οἷον τὰ παιδία ἀτελῆ ἐστιν· οὐδὲ γὰρ 20 ἔχει ὀδόντας· πάλιν τὰ τετραδάκτυλα πηρώματά ἐστι. τὰ οὖν ζῳόφυτα οὔτε ἀτελῆ ἐστιν (ἔχουσι γὰρ ἀνάβασιν, ἀκμήν, παρακμήν, τὰ παιδία δὲ οὐδὲν τούτων ἔχει· πάλιν τὰ ζῳόφυτα γεννῶσιν ὅμοια ἑαυτοῖς, τὰ δὲ παι-
15 δία οὐ γεννῶσιν, ἔστ' ἂν ὦσι παιδία, διὰ τὸ ἀτελῆ αὐτὰ εἶναι) οὔτε δὲ πηρώματά εἰσι τὰ ζῳόφυτα· οὕτω γὰρ ὅλον τὸ εἶδος τῶν ζῳοφύτων πήρωμα ἂν ἦν. εἰ οὖν μήτε πηρώματά ἐστι μήτε ἀτελῆ (τὰ μὲν γὰρ μὴ ἔχοντά τι διὰ τὸ ἀτελὲς ὕστερον αὐτὸ προσλαμβάνουσιν, ὥσπερ οἱ παῖδες 25 τοὺς ὀδόντας, τὰ δὲ ζῳόφυτα οὐδὲ αὐξανόμενα προσλαμβάνουσι τὰ κινητικὰ
20 ὄργανα οὐδὲ ἀκμάζοντα), δῆλον ὅτι οὐδὲ τὴν δύναμιν ἔχουσιν ὅλως τὴν βαδιστικήν. εἰ γὰρ εἶχον αὐτήν, καὶ τὰ μόρια εἶχον ἂν τὰ ἐπιτήδεια· ἐκεῖνα γὰρ ἔχουσι τὴν δύναμιν, τὰ δὲ ὄργανα οὐκ ἔχουσιν, ὅσα ἢ ἀτελῆ ἐστιν ἢ πηρώματα. εἰ οὖν τὰ ζῳόφυτα ἄλογον μὲν ἔχουσι ψυχήν, οὐ κινοῦνται δὲ κατὰ τόπον, οὐκ ἄρα τῆς ἀλόγου ψυχῆς ἐστιν ἡ κατὰ τόπον
25 κίνησις. καὶ οὕτω μὲν ἡμεῖς· ἡ δὲ λέξις δι' ἑνὸς ἐδήλωσε παραδείγματος 30 τὸ ἀτελὲς καὶ τὸ πήρωμα. φησὶ γὰρ ὅτι τὰ ζῳόφυτα οὐκ ἔστιν ἀτελῆ ἢ πηρώματα, ἐπειδὴ αὐξάνει καὶ ἀκμάζει καὶ φθίνει καὶ γεννᾷ ὅμοια, διὰ μὲν τοῦ γεννᾶν αἰνιττόμενος ὅτι οὐκ ἔστι πηρώματα (οἱ γὰρ εὐνοῦχοι πηρώματα ὄντες οὐ τίκτουσι), διὰ δὲ τοῦ αὐξάνεσθαι καὶ ἀκμάζειν καὶ
30 φθίνειν ἠνίξατο ὅτι οὐκ εἰσιν ἀτελῆ· προσελάμβανον γὰρ ἂν τῷ χρόνῳ τὰ λείποντα, ὁρῶμεν δὲ ὅτι οὐδὲν προσλαμβάνουσιν. ὥστε ἐδείχθη ὡς οὐκ ἔστιν ἡ ἄλογος ψυχὴ αἰτία τῆς κατὰ τόπον κινήσεως. ἀλλὰ οὐδὲ ἡ αἴσθησις 35 ἐστιν αἰτία τῆς κατὰ τόπον κινήσεως. καὶ γὰρ ἐχρῆν, ὅτε κατὰ τόπον κινούμεθα, ἐνεργεῖν τὴν αἴσθησιν. ἀλλὰ γὰρ καὶ μόνοντες τοὺς ὀφθαλμοὺς
35 κινούμεθα, καὶ μὴ ἀκούοντες μηδὲ ὀσφραινόμενοι, μηδὲ γευόμενοι ἢ ψηλαφῶντες. οὐκ ἄρα ἡ αἴσθησίς ἐστιν ἡ κατὰ τόπον κινοῦσα, διὰ τὸ κινεῖσθαι ἡμᾶς κατὰ τόπον καὶ ἄνευ τοῦ ἐνεργεῖν τὴν αἴσθησιν, καὶ ὅτι πολλάκις αἰσθανόμενοι διακόπτομεν τὴν κίνησιν καὶ ἠρεμίᾳ μᾶλλον αἰσθανόμεθα.

---

4. 5 ἀνατρέχων scripsi: τρέχων (III vel IV litteris deletis) D: om. t 5 ἡ (post γὰρ) om. t 16 οὕτω] οὔτε D 21 ἂν om. D 30 ἂν om. D 32 κατὰ τόπου t ἀλλὰ οὐδὲ — καὶ γὰρ (33) om. D 34 γὰρ καὶ] τοῦτο ψεῦδος. καὶ γὰρ t 35 κινώμεθα t 35. 36 ψηλαφοῦντες D 37 καὶ (ante ἄνευ) om. t

Ταῦτα εἰποῦσα ἡ λέξις φέρεται ἐπὶ τὸν νοῦν, μὴ ζητοῦσα περὶ τῆς r 7v
φαντασίας, εἴτε κινεῖ εἴτε οὔ. καὶ εἰκότως οὐκ ἐμνήσθη ταύτης, ἐπειδὴ οὐδὲν
ἴδιον ἔχει, ἀλλ' ὃ ἂν ἔχῃ ἐκ τῆς αἰσθήσεως ἔχει. πλὴν ἡμεῖς δείξομεν 41
ὅτι οὐδὲ φαντασία κινεῖ. εἰ γὰρ κινεῖ αὕτη, ἔδει ἐν τοῖς ὕπνοις, ὅτε φαν-
5 ταζόμεθα, κινεῖσθαι καθ' ὁρμήν· ἀλλὰ μὴν οὐ κινούμεθα· οὐκ ἄρα φαντα-
σία κινεῖ. ταῦτα μὲν ἔξωθεν. δείξομεν δὲ λοιπὸν ὅτι οὐδὲ νοῦς ἐστιν ὁ
κινῶν. δεῖ γὰρ εἰδέναι ὅτι τριττός ἐστιν ὁ νοῦς, ἢ ὁ θεωρητικὸς ὁ μὴ
κεχρημένος ὀργάνῳ ἢ ὁ θεωρητικὸς ὁ κεχρημένος ὀργάνῳ ἢ ὁ πρακτικὸς
νοῦς. ὁ θεωρητικὸς νοῦς ὁ κεχρημένος ὀργάνῳ οὐ δύναται κινεῖν, ἐπειδὴ 45
10 οὐ καταγίνεται περὶ πρακτά· πρακτὸν δέ τί ἐστιν ἡ κίνησις· καὶ ὅτι τῷ
νῷ τούτῳ στάσις ἁρμόζει ἤπερ κίνησις· ἐννοοῦντες γάρ τι ἱστάμεθα. ἀλλὰ
μὴν οὐδὲ ὁ πρακτικὸς νοῦς ἐστιν ὁ κατὰ τόπον κινῶν· εἰ γὰρ καὶ προαί-
ρεσιν ἔχει οὗτος, δι' ἧς γίνεται ἡ κατὰ τόπον κίνησις, ἀλλ' ὅμως οὐ
κινεῖ. τοῦτο δὲ δῆλόν ἐστιν ἐντεῦθεν· ὁρῶμεν γὰρ ὅτι καὶ ἐπιτρέποντος
15 τοῦ πρακτικοῦ νοῦ μὴ κινεῖσθαι ἐπερχομένου πολεμίου ἡ καρδία κινεῖται· 50
πάλλεται γὰρ φοβουμένη. ἀλλὰ μὴν καὶ ἐπὶ τῶν ἀκρατῶν τοῦ πάθους
ἐπιτρέποντος κινεῖσθαι, κἂν ὁ νοῦς ἐγκρατεύεσθαι ἐπιτρέψῃ, τὸ πάθος
ἐνίοτε κρατεῖ, καὶ κινεῖται τὸ αἰδοῖον πρὸς ἀφροδίσια. ὥστε καὶ ἐναντίως
ἔχει ἡ κίνησις πρὸς τὸν νοῦν ἐπὶ τῶν ἀκρατῶν· οὐκ ἄρα αὐτὸς κινεῖ.
20 καὶ ὅτι ὁ πρακτικὸς νοῦς ἐνεργεῖ πρῶτον, καὶ εἶθ' οὕτω κινούμεθα. εἰ
μὴ γὰρ πρότερον ὁ πρακτικὸς νοῦς βουλεύσεται 'κατέλθω εἰς τὸν λιμένα
καὶ τῷ κυβερνήτῃ λαλήσω καὶ ἐμβάλωμαι τὰ σκεύη;' (ὅλα δὲ ταῦτα ἱστά-
μενος βουλεύεται) * * εἰ οὖν ὁ πρακτικὸς | νοῦς πρῶτον ἐνεργεῖ καὶ μετὰ r 8r
τὸ παύσασθαι αὐτὸν τότε γίνεται ἡ κατὰ τόπον κίνησις, δῆλον ἄρα ὅτι
25 οὐδὲ ὁ πρακτικός ἐστι νοῦς ὁ κατὰ τόπον κινῶν ἡμᾶς. ἀλλὰ μὴν οὐδὲ
ὁ θεωρητικὸς νοῦς ὁ μὴ κεχρημένος ὀργάνῳ, ἐπειδὴ οὗτος οὐκ ἔχει προ-
αίρεσιν. ἀνάγκη δὲ προαιρεῖσθαι τὸ κατὰ τόπον κινοῦν· μὴ προαιρούμενοι
γὰρ οὐ κινούμεθα, ὥσπερ καὶ οἱ ἰατροὶ πολλάκις μὴ προαιρούμενοι οὐχ
ὑγιάζουσί τινα διὰ τὸ συμφέρειν αὐτῷ ἐν νόσῳ εἶναι ἢ διὰ τυραννίδος 5
30 κατάλυσιν ἢ διὰ τὸ φιλοσοφῆσαι, ὥσπερ καὶ Θεάγη ἐν νόσῳ κατέλειψαν
διὰ φιλοσοφίαν, ἐξ οὗ καὶ Θεάγης ὁ διάλογος. ὥστε οὐδὲ οὗτος κινεῖ.
καὶ ἐξ ἄλλου δὲ ἔστι δεῖξαι ὅτι οὐ κινεῖ οὗτος ὁ νοῦς, ἐπειδὴ οὐκ ἔχει
τὸ φεύγειν ἢ διώκειν· πᾶσα δὲ κίνησις ἢ φεύγει τι ἢ διώκει. πᾶν οὖν
σημαινόμενον τοῦ νοῦ ἐδείχθη μὴ κινοῦν κατὰ τόπον. καὶ τοῦτο ἔξωθεν
35 ἔστι κατασκευάσαι διὰ γενναιοτάτου ἐπιχειρήματος, ὅτι εἰ οἷον δή ποτε
σημαινόμενον τοῦ νοῦ ἦν αἴτιον τῆς κατὰ τόπον κινήσεως, ἐχρῆν ἐκεῖνα 10
μὴ κινεῖσθαι τὰ μὴ ἔχοντα οἷον δή ποτε νοῦν. ἀλλὰ μὴν τὰ ἄλογα ζῷα
ὅλως νοῦν μὴ ἔχοντα κατὰ τόπον κινοῦνται· οὐκ ἄρα ὁ θεωρητικὸς νοῦς
ἢ ὁ πρακτικὸς αἴτιός ἐστι τῆς κατὰ τόπον κινήσεως. ὅλως δὲ οὔτε ἡ

---

3 ἔχῃ] ἔχει D 7 τριπτός t 8. 9 ἢ ὁ θεωρητικὸς — ὁ κεχρημένος ὀργάνῳ om. D 13 οὗτος] οὕτως D 18 αἰδοῖον t: αἰδεῖον D 19 πρὸς τὸ t 23 post βουλεύεται tale quid addendum οὐ γίνεται ἡ κατὰ τόπον κίνησις 26 μὴ om. D κεχρημένως t

λογικὴ ψυχή ἐστιν ἡ κινοῦσα οὔτε ἡ ἄλογος. ἡ λογικὴ μὲν γὰρ οὐ κινεῖ r 8r
κατὰ τόπον, διότι ὑπὸ πάθους ἀσελγοῦς κρατούμενοι κατὰ τόπον κινούμεθα,
τὰ δὲ πάθη ὑπὸ τῆς ἀλόγου κινεῖται· πάλιν δὲ ἡ ἄλογος οὐ κινεῖ, διότι
ὁ λόγος ποτὲ κατὰ τόπον ἡμᾶς κινεῖ, οἷον πρὸς διδασκάλους ἢ εἰς εὐχήν. 15
5 καὶ ὅτι ἐπὶ τῶν ἐγκρατῶν δείκνυται σαφῶς μὴ κινοῦσα ἡ ἄλογος· πολλάκις
γὰρ ἐπιτρεπούσης αὐτῆς κινεῖσθαι πρὸς ἀφροδίσια οἱ ἐγκρατεῖς οὐ κινοῦνται
οὐδὲ εἴκουσιν τῇ ἐπιτροπῇ· τὸ δὲ κινοῦν δεῖ πάντως ἐνακούεσθαι. ὥστε
μεμαθήκαμεν τί ἐστι τὰ μὴ κινοῦντα.

Εἴπωμεν λοιπὸν ἀκολούθως τί ἐστι τὸ κατὰ τόπον κινοῦν. ἔστι δὴ
10 τὸ κατὰ τόπον κινοῦν ὁ νοῦς ὁ πρακτικὸς καὶ ἡ ἄλογος ὄρεξις. καὶ τοῦτο
ἐδείχθη ἐκ τοῦ τὴν μὲν ὄρεξιν ἐπὶ τῶν ἀκρατῶν κινεῖν, τὸν δὲ νοῦν ἐπὶ 20
τῶν ἐγκρατῶν. ἀλλ' ἐπειδὴ ἡνίκα δύο τινὰ ἕν τι ποιοῦσι, κατά τι κοινὸν
πάντως τοῦτο ποιοῦσιν, ὥσπερ τὸ δίπουν καὶ τὸ τετράπουν κατά τι κοινὸν
τὸ ὑπόπουν κινοῦνται, οὕτως οὖν ἕδει τὸν νοῦν καὶ τὴν ὄρεξιν κατά τι
15 κοινὸν κινεῖν· τί δέ ἐστι μέσον ζωῆς καὶ γνώσεως. πρὸς ὅ φαμεν ὅτι καὶ
ταῦτα τὰ δύο, νοῦς καὶ ὄρεξις, κατά τι κοινὸν τὸ ὀρεκτικὸν κινοῦσιν * * *
ὥσπερ ὀρεκτικὸν κινεῖ, ὃ καὶ βουλευτικὸν ὁ Ἀριστοτέλης καλεῖ, ἐπὶ ⟨δὲ⟩
τῶν ἀλόγων τὸ τῆς ἀλόγου ὀρεκτικόν. δικαίως δὲ τῷ κοινῷ ὀρεκτικῷ
δίδωσι τὴν κίνησιν, καὶ οὐ τῷ νῷ. ὡς ἐν Τιμαίῳ. ἐπειδὴ ὁ μὲν νοῦς 25
20 ὀρθῶς μόνον κινεῖ, ἡ δὲ ὄρεξις καὶ ὀρθῶς καὶ διεστραμμένως, πρέπει δὲ
τῇ κινήσει τὸ ὀρθὸν καὶ διεστραμμένον. διὸ τῷ κοινῷ ὀρεκτικῷ δοτέον
τὸ κῦρος τῆς κατὰ τόπον κινήσεως. ἀπορροῦσι δὲ λέγοντες ὅτι οὐ δυνατὸν
τὸ ὀρεκτικὸν κατὰ τόπον κινεῖν, ὅσον ἐπὶ τοῖς εἰρημένοις. εἰ γὰρ τὸ κατὰ
τόπον κινοῦν ἕν, αἱ δὲ ὀρέξεις δύο καὶ οὐ μία, οὐκ ἄρα τὸ ὀρεκτικὸν κινεῖ.
25 καὶ πλέκεται ἐν δευτέρῳ σχήματι τοιοῦτος συλλογισμός· τὸ κατὰ τόπον κινοῦν
ἕν· τὸ ὀρεκτικὸν οὐχ ἕν· τὸ κατὰ τόπον ἄρα κινοῦν οὐκ ὀρεκτικόν. πρὸς ὅ 30
φαμεν ὅτι τὸ ὀρεκτικὸν καὶ ἕν ἐστι καὶ οὐχ ἕν, ἓν μὲν τῷ γένει, δύο δὲ τοῖς
εἴδεσιν· ὡς οὖν ἓν τῷ γένει κινεῖ. πῶς δέ ἐστιν τῷ μὲν γένει ἕν, τῷ δὲ
εἴδει δύο τὸ ὀρεκτικόν; ἐπειδὴ ἄλλη ἐστὶν ἡ ὄρεξις τῆς ἀλόγου καὶ ἄλλη
30 ἡ τῆς λογικῆς· ἀνομοειδὴς δὲ ἡ ἄλογος πρὸς τὴν λογικήν, ὥστε καὶ ἡ
ἄλογος ὄρεξις ἀνομοειδής ἐστι πρὸς τὴν ὄρεξιν τῆς λογικῆς. ὥστε τῷ μὲν
γένει μία ἡ ὄρεξις, τῷ δὲ εἴδει διάφορος. ὅτι δὲ δεῖ ἀνομοειδῆ τὴν ὄρεξιν
εἶναι, οὐ μόνον ἐκ τοῦ ἀνομοίου τῶν ψυχῶν δῆλον, ἀλλὰ καὶ ἐντεῦθεν· 35
ἐπιτρέπει ἡ ἄλογος ὄρεξιν πάθους, ἐπιτρέπει δὲ ἡ λογικὴ ὄρεξιν ἀρετῆς·
35 καὶ ἐπειδὴ ἡ ἀρετὴ τῷ πάθει ἐναντία ἐστί, συμβήσεται τῶν ἐναντίων μίαν
εἶναι ἐνέργειαν, ὅπερ ἐστὶν ἄτοπον. γίνεται δὲ ὅλως ἐναντία ὄρεξις, ὅταν
λόγος τῷ θυμῷ ἐναντιωθῇ, ὡς ἐν ἀνθρώπῳ λέγω, ἐπεὶ γίνονται καὶ ἐν
ἀλόγῳ ἐναντίαι ὀρέξεις, οἷον ἐπιθυμία πρὸς θυμόν. ὥστε γίνονται ἐναντίαι
ὀρέξεις, ὅταν λόγος πρὸς ἐπιθυμίαν ἐναντιωθῇ. ταῦτα εἰπὼν λέγει τινὰ

9 Εἴπωμεν scripsi: εἴπομεν Dt κινοῦν] κινοῦντα D 9. 10 ἔστι δὴ — κινοῦν om. D
11 ἐδείχθη ἐκ τοῦ iterat t 13 ὥσπερ t 16 ὁ νοῦς t lacunam indicavi: fort.
addendum ἐπὶ μὲν γὰρ τῶν λόγον ἐχόντων ὁ νοῦς 17 ὥσπερ — κινεῖ om. t 17. 18 ἐπὶ
δὲ τῶν scripsi: ἐπὶ τῶν D: ὡς ἐπὶ t 19 ἐν om. D ἐν Τιμαίῳ] p. 34 A 20 διε-
στραμμένος D 38. 39 ὥστε—ὀρέξεις fort. delenda sunt: exspectas πρὸς θυμόν, ἢ ὅταν

συλλογισμὸν τολμητίαν καὶ παράβολον ἐν πρώτῳ σχήματι. ἔστι δὲ ὁ r 8r
συλλογισμὸς οὗτος· ὅπου ἐναντίαι κινήσεις, ἐκεῖ χρόνου συναίσθησις· 41
ὅπου χρόνου συναίσθησις, ἐκεῖ λόγος καὶ ἐπιθυμία. οὗτος δὲ ὁ συλλο-
γισμὸς δύο τινὰ ἔχει παράβολα, ἓν μὲν ἐπειδή φησιν πάντως εἶναι λόγον
5 καὶ ἐπιθυμίαν, ὅπου ἐστὶ χρόνου συναίσθησις, ὡς ἐκ τούτου συνάγεσθαι
μόνον ἄνθρωπον ἔχειν χρόνου συναίσθησιν. καὶ μὴν ὁρῶμεν ὅτι καὶ
ἄλογα χρόνου συναισθάνονται, ὡς δηλοῖ ἡ γέρανος φεύγουσα ἐν χειμῶνι
τὴν Θράκην, καὶ μύρμηξ προθησαυρίζων αὐτῷ τροφὴν διὰ τὸν χειμῶνα. 15
καὶ ἄλλο δὲ ἄτοπον ἔχει ὁ συλλογισμός. φησὶ γὰρ ὅτι, ὅπου ἐναντίαι εἰσὶ
10 κινήσεις, ἐκεῖ λόγος καὶ ἐπιθυμία, τοῦ μὲν λόγου ἀντὶ τοῦ παρόντος ἡδέος
τὸ μέλλον ἀγαθὸν αἱρουμένου, τῆς δὲ ἐπιθυμίας πρὸς τὸ παρὸν ἤτοι πρὸς
τὸ φαινόμενον ἀγαθὸν ἀφορώσης· ὡς συνάγεσθαι κατ' αὐτὸν ὅτι ἐν ἀν-
θρώπῳ καὶ μόνῳ εἰσὶν ἐναντίαι κινήσεις * * * ὡς εἴπομεν, θυμοῦ πρὸς
ἐπιθυμίαν. ταῦτα ἀπορήσας ἐπιλύεται ἄμφω, τὸ μὲν πρότερον διὰ τριῶν
15 λύσεων· μιᾶς μὲν ὅτι τὰ ἄλογα οὐκ ἔχει συναίσθησιν χρόνου. οὔτε γὰρ 50
αἰσθήσει ἀντιλαμβάνονται αὐτοῦ· ὁ γὰρ χρόνος ἀσώματός ἐστι καὶ κρείττων
σώματος, καὶ αἰσθήσει οὐ θεωρεῖται· ὃ δὲ αἰσθήσει τὰ ἄλογα οὐκ οἶδεν,
οὐδὲ φαντασίᾳ οἶδεν· ὥστε τὰ ἄλογα οὐκ ἔχει χρόνου συναίσθησιν, διὰ
τὸ μὴ ὑποπίπτειν αὐτὸν τῇ αἰσθήσει. αὕτη ἡ πρώτη λύσις. ὅσον δὲ
20 πρὸς ταύτην, οὐδὲ ἡμεῖς ἔχομεν χρόνου συναίσθησιν· οὐδὲ γὰρ ὁρῶμεν
αὐτόν· εἰ δὲ τοῦτο, οὐδὲ φανταζόμεθα αὐτόν. ῥητέον οὖν τὴν δευτέραν
λύσιν ὅτι τὰ ἄλογα οὐκ ἀντιλαμβάνονται χρόνου, ἀλλὰ τῶν ἐν χρόνῳ, |
οἷον ψύχους, θέρμης καὶ τῶν τοιούτων. ὥστε ἀληθεύει Ἀριστοτέλης r 8v
λέγων ὅτι τὰ ἄλογα οὐ συναισθάνονται χρόνου· τῶν ἐν χρόνῳ γὰρ ἀντι-
25 λαμβάνονται καὶ οὐ τοῦ χρόνου. ἡμεῖς γὰρ αὐτὴν τὴν λογικὴν ψυχὴν
ἔχοντες αὐτοῦ τοῦ χρόνου συναίσθησιν ἔχομεν, ἀριθμοῦντες καὶ ὥρας καὶ
ἡμέρας. αὕτη καὶ ἡ δευτέρα λύσις. τρίτη λύσις ὅτι ὁ Ἀριστοτέλης χρόνον
καλεῖ τὸν ὡρισμένον μόνον καὶ οὐχὶ τὸν ἀόριστον. οὕτω γοῦν ἐν τῷ 5
Περὶ ἑρμηνείας φησὶ 'τὰ μὲν ἁπλῶς, τὰ δὲ ἐν χρόνῳ', ἁπλῶς καλέσας
30 τὸν ἀόριστον χρόνον, ἐν χρόνῳ δὲ τὸν ὡρισμένον χρόνον. τὰ οὖν ἄλογα
ζῷα κἂν ἔχωσι συναίσθησιν χρόνου, ἀλλ' οὐ τοῦ ὡρισμένου χρόνου τὴν
συναίσθησιν ἔχουσιν. ἀλλὰ μόνον χειμῶνος φέρε εἰπεῖν ἢ θέρους συναισθά-
νονται· οἱ δὲ ἄνθρωποι ὡρισμένου χρόνου συναίσθησιν ἔχουσιν ἡμέρας καὶ
ὥρας ἀριθμοῦντες· τὸ γὰρ ἀριθμεῖν ψυχῆς μόνης λογικῆς ἐστιν ἴδιον. διὰ
35 τοῦτο οὖν εἶπεν ἄνθρωπον μόνον συναίσθησιν ἔχειν χρόνου τοῦ ὡρισμένου· 10
τοῦ γὰρ ἀορίστου καὶ τὰ ἄλογα ἔχει συναίσθησιν. οὕτω μὲν οὖν τὸ
πρῶτον ἐπελύσατο. ἐπιλύεται δὲ καὶ τὸ δεύτερον λέγων ὅτι καὶ ὅπου

2 χρόνου — συναίσθησις, ἐκεῖ (3) om. D χρόνου scripsi: χρόνον t 3 deest syll. conclusio, sed cf. p. 586,22 4 δύο] ἡ t 5 τούτου] τοῦ t 6 συναίσθησις t 7 ὁ γερανὸς D 13 lacunam indicavi: addendum ἀλλὰ μὴν καὶ ἐν τοῖς ἀλόγοις γίνονται ἐναντίαι κινήσεις 15 οὐκ ἔχει] οὐκέτι t 22 οὐ καταλαμβάνονται t 28. 29 ἐν τῷ Περὶ ἑρμηνείας] c. 1 p. 16a 18, ubi legitur ἢ ἁπλῶς ἢ κατὰ χρόνον 31 συναίσθησιν χρόνον t

ἐναντίαι κινήσεις, ἐκεῖ καὶ λόγος καὶ ἐπιθυμία, ἐὰν προσθῇς κατὰ τὸν r 8v
νῦν καὶ μέλλοντα χρόνον γινόμεναι ἐναντίαι κινήσεις. κατὰ γὰρ τὸ νῦν καὶ τὸ μέλλον μόνον ἄνθρωπος ἐναντίως κινεῖται, τὰ δὲ ἄλογα κατὰ τὸν ἐνεστῶτα χρόνον καὶ μόνον. ὁ γὰρ νοσῶν διὰ τὸν ἐνεστῶτα πορευτὸν
5 ἐφίεται ψυχροῦ, τῆς ὀρέξεως τοῦτο ἐπιτρεπούσης ποιεῖν· ὁ δὲ λόγος διὰ τὸ μέλλον γίνεσθαι κακὸν ἀνακρούεται τὴν ὄρεξιν. τὰ δὲ ἄλογα ἐναντίως 15
κινεῖται οὐ διὰ τὴν τοῦ μέλλοντος οὖσαν πρόνοιαν. * * ὑποκείσθω γὰρ λέων ἐπελθὼν ποίμνῃ καὶ πληγείς, εἶτα ὕστερον ἑτέρᾳ βουλόμενος ἐπελθεῖν ποίμνῃ καὶ δεδιὼς τὴν προτέραν πληγὴν οὐκ ἐπέρχεται, ἵνα μὴ
10 πάλιν πάθῃ. ὁρᾷς οὖν ὅτι περὶ τοῦ μέλλοντος σκοπεῖ, ἵνα μὴ πάθῃ· ὥστε καὶ τὰ ἄλογα περὶ τὸ μέλλον καταγίνονται. πρὸς ὃ ἀπελογήσαντο οἱ ἐξηγηταὶ ὅτι τὸ ἐκ τοῦ παρεληλυθότος περὶ τῶν μελλόντων σκοπεῖν λόγου ἐστὶ καὶ μόνον· ὁ γοῦν λέων οὐκ ἐκ τοῦ παρελθόντος τοῦ μέλλοντος 20
προενοήσατο, ἀλλὰ κατὰ φαντασίαν κινούμενος ὡς ἔχων ἔτι λείψανον τῆς
15 πληγῆς ἀναχαιτίζεται ἐπελθεῖν τῇ ποίμνῃ, τὴν παροῦσαν πληγὴν δεδιώς· ὥστε περὶ τὸ ἐνεστὸς μόνον ἐνεργεῖ. οὐ γάρ ἐστιν ἐν αὐτῷ χρόνου διάκρισις, ὥσπερ οὐδὲ ἀριθμοῦ· οὐ γὰρ οἶδεν ὁ λέων τί ἐστι β ἢ γ, ἀλλὰ μόνον πλῆθος οἶδε καὶ ὀλιγότητα, ὡς δηλοῖ τὸ ὀλίγοις μὲν αὐτὸν ἐπέρχεσθαι, πολλοὺς δὲ φοβεῖσθαι. καὶ ταῦτα μὲν ἐν τούτοις.

20 Ἐφ' οἷς φησιν Ἀριστοτέλης ὅτι τῶν κατὰ τόπον κινούντων τὸ σῶμα τὰ 25
μὲν μόνως κινεῖ, τὰ δὲ καὶ κινεῖ καὶ κινεῖται. τὸ μὲν γὰρ ὀρεκτὸν κινεῖ τὴν ὄρεξιν αὐτὸ παντελῶς μὴ κινούμενον· ἡ δὲ ὄρεξις κινεῖται μὲν ὑπὸ τοῦ ὀρεκτοῦ, κινεῖ δὲ τὸ σῶμα τὴν κατὰ τόπον κίνησιν. καὶ ταῦτα μὲν Ἀριστοτέλης. Πλάτων δὲ οὐ λέγει τὴν ὄρεξιν κινεῖν, ἀλλὰ τὸ ἐν ἑκάστῳ προτερεῦον
25 αὐτὸ λέγει κινεῖν κατὰ τόπον, ἐν ἀνθρώπῳ μὲν τὴν λογικὴν ψυχήν, ἐν ἀλόγοις δὲ τὴν ἄλογον· ἐν ἀμφοτέροις γὰρ αὗταί εἰσιν αἱ προτερεύουσαι. καὶ ἐν ἀνθρώποις γὰρ ἐπὶ τῶν παθῶν οὐκ ἔστιν ἡ ἄλογος ἡ κινοῦσα πρὸς τὰς 30
ἡδονάς, ἀλλὰ καὶ τότε ἡ λογικὴ κινεῖ μὲν κατὰ τόπον τὸν ἄνθρωπον, πλημμελῶς δέ, οἱονεὶ γοητευθεῖσα καὶ ἀπατηθεῖσα ὑπὸ τῆς ἐπιθυμίας. ἰστέον δὲ
30 ὅτι οὐ διαφωνεῖ Πλάτων Ἀριστοτέλει. ὁ μὲν γὰρ Πλάτων τὸ ποιητικὸν αἴτιον εἶπεν, ὁ δὲ Ἀριστοτέλης τὸ τελικόν, εἰπὼν τὴν ὄρεξιν. οὐκ ἔστι δὲ κυρίως αὕτη ἡ ὄρεξις τελικὸν αἴτιον τῆς κατὰ τόπον κινήσεως, ἀλλὰ τὸ ὀρεκτόν· καὶ διὰ τοῦτο γὰρ πορευόμεθα, ἵνα τοῦ ὀρεκτοῦ τύχωμεν. εἰπὲ οὖν ὅτι καὶ Πλάτων καὶ Ἀριστοτέλης τὰ ποιητικὰ αἴτια εἶπον τῆς κατὰ 35
35 τόπον κινήσεως, ἀλλ' ὁ μὲν Πλάτων τὸ πόρρω ποιητικόν, εἰπὼν τὴν λογικὴν ψυχήν, ὁ δὲ Ἀριστοτέλης τὸ προσεχές, εἰπὼν τὴν ὄρεξιν· καὶ ἡ λογικὴ γὰρ διὰ μέσης τῆς ὀρέξεως κινεῖ τὸ σῶμα τὴν κατὰ τόπον κίνησιν. ἐν οἷς ἡ θεωρία σὺν θεῷ πληροῦται.

Ὅτι μὲν οὖν οὐχ ἡ θρεπτικὴ δύναμις, δῆλον· ἀεί τε γὰρ

---

1 προσθεὶς D 7 lacunam indicavi: addendum tale quid πρὸς τοῦτο δὲ ἔστιν ἀπορεῖν 9 δεδειῶς D 10 σκοπεῖν D 16 ἐνεστὸς scripsi: ἐνεστῶς Dt ἐνεργεῖν t 17 β ἢ γ D: δεύτερον ἢ τρίτον t 20 τόπων D τὸ om. t 21 καὶ κινεῖ om. t 28 κατὰ τρόπον t 39 post δύναμις add. τὸ κινοῦν ἐστι t

ἕνεκά του ἡ κίνησις αὕτη καὶ ἢ μετὰ φαντασίας ἢ ὀρέξεώς ἐστι. r 8v
διὰ μὲν τοῦ ἕνεκά του ἡ κίνησις τὸ πρῶτον αἰνίττεται ἐπιχείρημα, ὅτι ἡ μὲν θρεπτικὴ ἓν τέλος ἔχει, ἡ δὲ κίνησις πολλά. δοκεῖ δὲ ἡ λέξις ἄπορον ἐπιδέχεσθαι. λέγει γὰρ ὅτι ἡ κατὰ τόπον κίνησις ἕνεκά του ἐστί, καὶ διὰ τοῦτο ἡ φυτικὴ οὐκ ἔστιν αἰτία τῆς κινήσεως. τί οὖν; ἡ φυτικὴ ἐν τῇ αὐξήσει οὐχ ἕνεκά του κινεῖ; ἤ φαμεν ὅτι οὐ δεῖ τὴν ἀνάγνωσιν ἀποκόπτειν εἰς τὸ ἕνεκά του, ἀλλὰ συνάπτειν καὶ τὰ ἑξῆς τῆς λέξεως, ἵνα ᾖ τὸ λεγόμενον οὕτως 'οὐκ ἔστιν ἡ φυτικὴ ἡ κατὰ τόπον κινοῦσα, διότι ἡ κατὰ τόπον κίνησις ἕνεκά του γινομένη μετὰ φαντασίας γίνεται ἢ ὀρέξεως, ἡ δὲ φυτικὴ εἰ καὶ ἕνεκά του ἐστίν, ἀλλ' οὐ μετὰ φαντασίας. διὰ δὲ τοῦ εἰπεῖν ὅτι ἢ μετὰ φαντασίας ἢ ὀρέξεώς ἐστι τὸ δεύτερον λέγει ἐπιχείρημα. ὅτι δεῖ τὸ κινούμενον καὶ ὀρεχθῆναι. ἵνα φύγῃ ἢ διώκῃ. καὶ φαντασιωθῆναι· πάντως γὰρ ἡ κατὰ τόπον κίνησις ἢ μετὰ φαντασίας ἐστὶν ἢ μετὰ ὀρέξεως. ὅσα γὰρ τῶν ζῴων φαντασίαν ἔχει, καὶ ὄρεξιν ἔχει, τὰ δὲ μὴ ἔχοντα φαντασίαν μόνην ὄρεξιν ἔχει. καὶ ἐφ' ὧν ἐστιν ἡ φαντασία, συγκινεῖται τῇ ὀρέξει, ἐφ' ὧν δὲ μή ἐστιν φαντασία, ἀρκεῖ καὶ ἡ ὄρεξις. οὐδὲν δὲ μὴ ὀρεγόμενον κινεῖται, εἰ μὴ βίᾳ. τοῦτο δὲ εἶπε διὰ τοὺς μὴ θέλοντας μὲν κινηθῆναι, κινουμένους δὲ ἄκοντας, ὥσπερ οἱ συρόμενοι πρὸς δίκην ὑπό τινος.

p. 432b 17 Ἔτι κἂν τὰ φυτὰ κινητικὰ ᾖν.

Τὸ τρίτον ἐστὶν ἐπιχείρημα κατὰ τῶν λεγόντων ὅτι ἡ φυτική ἐστιν ἡ κατὰ τόπον κινοῦσα τὸ ζῷον. ὡσεὶ ἔλεγεν ὅτι εἰ ἡ θρεπτικὴ κινητικὴ ἦν κατὰ φύσιν, οὐκ ἂν ἡ φύσις ἀφείλετο τῶν φυτῶν τὰ κινητικὰ ὄργανα. ὥσπερ γὰρ οὐδὲν μάτην ποιεῖ, οὕτως οὐδὲ ἐλλείπει τι τῶν προσηκόντων.

p. 432b 18 Κἂν εἶχέ τι μόριον ὀργανικὸν πρὸς τὴν κίνησιν s 1r
ταύτην.

Τοῦτο τὸ τέταρτόν ἐστιν ἐπιχείρημα τὸ ἀπὸ τῶν ὀργάνων. καὶ ὅρα πῶς τῆς λέξεως δοκούσης μίαν ἔχειν συνέχειαν εἰς τέτταρα ἐτέμομεν αὐτὴν ἐπιχειρήματα.

p. 432b 19 Ὁμοίως δὲ οὐδὲ τὸ αἰσθητικόν.

Ἐντεῦθεν δείκνυσιν ὅτι οὐδὲ ἡ αἴσθησίς ἐστιν ἡ κινοῦσα, ὥσπερ εἴρηται ἐν τῇ θεωρίᾳ. ἀλλ' ἐπειδὴ μακροαπόδοτός ἐστιν ἡ λέξις, φέρε τὸ ἐφεξῆς αὐτῆς εἴπωμεν οὕτως· εἰ τὸ αἰσθητικὸν ἦν τὸ κινοῦν, ἐπειδὴ ἡ φύσις οὔτε ποιεῖ μάτην οὔτε τῶν ἀναγκαίων παρορᾷ τι καὶ ἀπολείπει, εἶχεν ἂν καὶ τὰ νῦν

1 ἡ μετὰ Dt ἢ (post φαντασίας) om. D: ἡ t 11 ἡ μετὰ t 16 ἡ φαντασία t 17 βίᾳ] βίῳ D 18 ἄκοντας] ἄκουσιν D 20 ante ἦν add. ἂν D 22 εἰ om. D 29 ἐπιχείρημα t 33 εἴπωμεν scripsi: εἴπομεν Dt

μόνιμα τῶν ζῴων τὰ ὀργανικὰ μόρια τῆς πορείας, τέλεια ὄντα καὶ μὴ s 1r
πηρώματα. ὅτι δὲ πηρώματα οὐκ ἔστι, σημεῖον τὸ γεννητικὸν καὶ τὸ
ἀκμὴν ἔχειν καὶ φθίσιν.

p. 432b26 Ἀλλὰ μὴν οὐδὲ τὸ νοητικὸν καὶ ὁ καλούμενος νοῦς.

Ἐντεῦθεν δείκνυσιν ὅτι οὐδὲ ὁ νοῦς ἐστιν ὁ κινῶν. καὶ ἃ μὲν λέγει 17
Ἀριστοτέλης, ἐν τῇ θεωρίᾳ εἴρηται. ἡμεῖς δὲ καὶ ἄλλο ἔξωθεν ἐκ τῆς
ἱστορίας προσευπορήσαμεν ἐπιχείρημα, ὅτι πολλάκις τις θεωρήματά τινα
κινῶν καθ' ἑαυτὸν οὐ μόνον τῆς προκειμένης ὁδοῦ παρεπλανήθη, ἀλλὰ
καὶ κατὰ κρημνῶν ἠνέχθη, ὡς καὶ Θαλῆς πέπτωκεν εἰς φρέαρ. ἐξ οὗ 20
δῆλον ὡς οὐκ ἔστιν ὁ νοῦς ὁ κινῶν κατὰ τόπον.

p. 432b29 Ἀλλ' οὐδ' ὅταν θεωρῇ τι τοιοῦτον, ἤδη κελεύει φεύγειν ἢ διώκειν.

Τὸν πρακτικὸν νοῦν διὰ τούτων σημαίνει. φησὶ γὰρ ὅτι οὐδ' ὅταν
ὁ νοῦς τοιοῦτόν τι γινώσκῃ, τουτέστι πρακτόν, οὐδὲ τότε δύναται κινεῖν.
διὰ τὸ ἀντιπράττειν τὸ πάθος. ἂν δὲ ἡδύ, ἕτερόν τι μόριον. ἐὰν
ἡδύ τι, φησίν, ἐνθυμηθῇ, ἕτερον μόριον κινεῖται τὸ ἧπαρ. ὅτε γὰρ τὸ 25
πάθος κινεῖ, αὐτὸ κινεῖται, κἂν μὴ ἐπιτρέπῃ ὁ νοῦς. ὅρα δὲ ὅτι οὐ καλῶς
ἐχρήσατο τοῖς παραδείγμασιν. περὶ γὰρ τῆς καθ' ὅλον τὸ σῶμα τοῦ
λόγου καθεστηκότος κινήσεως τῆς καθ' ὁρμὴν λεγομένης, ἤγαγεν παρα-
δείγματα μερικῶν μορίων κινήσεως.

p. 433a1 Ἔτι καὶ ἐπιτάττοντος τοῦ νοῦ καὶ λεγούσης τῆς διανοίας φεύγειν τι ἢ διώκειν οὐ κινεῖται.

Τὸ τελευταῖόν ἐστιν ἐπιχείρημα ὅτι οὐχ ὑπὸ τοῦ λόγου κατὰ τόπον 33
κινεῖται τὸ κινούμενον· κἂν γὰρ ἐπιτάξῃ ἡ λογικὴ ψυχή, οὐ κινεῖται τὸ
σῶμα, διὰ τὸ ὑπὸ πάθους κατέχεσθαι, ὥσπερ οἱ ἀκρατεῖς. καὶ γὰρ
κελεύοντος τοῦ νοῦ μὴ κινεῖσθαι πρὸς πόρνην κινεῖται ὁ ἄνθρωπος. 35

p. 433a9 Φαίνεται δέ γε τὰ δύο ταῦτα κινοῦντα.

Ἐντεῦθεν βούλεται εἰπεῖν τί ἐστιν αἴτιον τῆς κατὰ τόπον κινήσεως·
μέχρι γὰρ τῶν ἐνταῦθα τί οὐκ ἔστιν ἔλεγεν. φησὶν οὖν ὅτι δύο ἐστὶ τὰ αἴτια 40
τῆς κατὰ τόπον κινήσεως, νοῦς καὶ ὄρεξις, εἴ τις τὴν φαντασίαν θείη
ὡς νόησίν τινα, ἐπειδὴ ἐν τοῖς ἀνωτέρω πολλάκις τῷ νῷ τὴν φαντασίαν

---

1 ὄντα καὶ μὴ] ἔχειν καὶ μὴ εἶναι D 4 νοητικὸν Dt Arist. L: λογιστικὸν Arist. reliqui 5 ὁ ante νοῦς om. t 6 τῇ om. t 7 προευπορήσαμεν t 9 κατακρημνὸν D 14 γινώσκῃ scripsi: γινώσκει Dt τότε] τὸ t 18 καθ' ὅλου t 27 τὰ D: om. t Arist. codd. 30. 31 τὴν φαντασίαν — τινα in ras. D¹

συνέζευξεν. τὰς γὰρ τῆς ψυχῆς γνωστικὰς δυνάμεις εἰς δύο μόνον διεῖλεν, s 1r
εἰς τὸ μετὰ σώματος ἐνεργεῖν, ὅπερ ἐστὶν αἰσθήσεως, καὶ εἰς τὸ ἄνευ σώματος, ὅπερ νόησιν κοινότερον καλεῖ. νῦν φησιν ὅτι ἐάν τις τὴν φαντασίαν νόησίν τινα θείη, τουτέστι μετὰ τοῦ νοῦ, δύο μόνον ἐστὶ τὰ κινοῦντα,
5 ὄρεξις καὶ νοῦς, εἰ δὲ ἄλλο τι λάβοι τὴν φαντασίαν παρὰ τὸν νοῦν, τρία 45
εὑρίσκονται τὰ κινοῦντα, νοῦς, φαντασία, ὄρεξις. καὶ ταῦτα μέν φησιν ὁ Πλούταρχος· ὁ δὲ αὐτὸς λέγει ὅτι καὶ τὸ τῆς ὀρέξεως ὄνομα κατὰ θυμοῦ καὶ ἐπιθυμίας φέρεται. διὰ τί δὲ ὅλως Ἀριστοτέλης λέγει τὴν φαντασίαν συνάπτεσθαι τῷ νῷ; ἢ ἐπειδὴ ὀλίγαι εἰσὶν ἀφάνταστοι νοήσεις, ὃ ἠνίξατο
10 εἰπὼν πολλὰ γὰρ παρὰ τὴν ἐπιστήμην ἀκολουθεῖ ταῖς φαντασίαις. εἰς πολλὰ γὰρ ἐξακολουθοῦμεν τῇ φαντασίᾳ, ὅ ἐστι τοῖς πάθεσι, παρὰ τὰ δοκοῦντα τῷ νῷ. καὶ τὸ οἰκεῖον τοῦ νοῦ ἡ φαντασία πολλάκις ἀπολαμβάνει· οἰκεῖον γάρ ἐστι τὸ ἀκολουθεῖν τῷ νῷ. ἐπειδὴ οὖν πολλάκις 50
καὶ ταῖς φαντασίαις ἀκολουθοῦμεν ἀφέντες τὸν νοῦν, διὰ τοῦτο νοῦν αὐτὰς
15 καλεῖ, ἢ ὅτι ἐν τοῖς ἀλόγοις ἀντὶ τοῦ νοῦ ἡ φαντασία ἐστὶν ἡ κινοῦσα, ὃ ἠνίξατο εἰπὼν καὶ ἐν τοῖς ἄλλοις ζῴοις οὐ νόησις οὐδὲ λογισμός ἐστιν, ἀλλὰ φαντασία. ἔστι δὲ εἰπεῖν ὅτι ἐπειδὴ καὶ παθητικὸς νοῦς ἐστιν ἡ φαντασία ὡς ἔνδον ἔχουσα τὸ περὶ ὃ ἐνεργεῖ, ὥσπερ ὁ νοῦς, διὰ τοῦτο νοῦν αὐτὴν λέγει. τοῦτο δὲ τὸ ἐπιχείρημα ἡ λέξις οὐκ ἔχει. |

20 p. 433a14 Νοῦς δὲ ὁ ἕνεκά του λογιζόμενος καὶ ὁ πρακτικός. s 1v

Δοκεῖ ἡ λέξις ἕνεκά του λέγειν ἐνεργεῖν τὸν πρακτικὸν νοῦν. ὅθεν καὶ ἀπορῆσαι ἄξιον· τί οὖν; ὁ θεωρητικὸς νοῦς οὐκ ἔστιν ἕνεκά του; ἐπειδὴ ἰδίως τὸν πρακτικὸν ἕνεκά τοῦ ἐκάλεσεν. καὶ μὴν τοῦ θεωρητικοῦ τὸ ἕνεκά του κρεῖττόν ἐστι τοῦ πρακτικοῦ. πρὸς ὃ φαμεν ὅτι καὶ ὁ θεωρητικὸς
25 ἕνεκά του ἐστίν, ἀλλ' ὁ μὲν πρακτικὸς τὸ ἕνεκά του, ὅ ἐστι τὸ τέλος, 5
ἔξωθεν ἔχει, οἷον πλουτῆσαι, πλεῦσαι ἢ ἄλλο τι τοιοῦτον, ὁ δὲ θεωρητικὸς ἔνδον ἔχει τὸ τέλος· πάντα γὰρ ποιεῖ, ἵνα γνῶσιν προσλάβῃ, ὅ ἐστι ψυχῆς οἰκεῖον κατόρθωμα. καὶ ἐπειδὴ ἀφανὲς τὸ ἔνδον, διὰ τοῦτο οἱ πολλοὶ ἀργοὺς λέγουσι τοὺς θεωρητικούς, οἷς ἀκολουθῶν ὁ φιλόσοφος τὸ ἔξω μόνον
30 τέλος ὡρίσατο· διὸ καὶ ἐπὶ αὐτοῦ εἶπεν τὸ ἕνεκά του.

p. 433a14 Διαφέρει δὲ τοῦ θεωρητικοῦ τῷ τέλει.

Ἐντεῦθεν βούλεται εἰπεῖν ὅτι πᾶς νοῦς τῷ μὲν ὑποκειμένῳ ὁ αὐτός 10
ἐστι τῷ ἑτέρῳ, τῷ δὲ λόγῳ διαφέρουσι. τὸ γὰρ τέλος τοῦ θεωρητικοῦ νοῦ ἀρχή ἐστι τοῦ πρακτικοῦ νοῦ, ἀρχή ἐστι τῆς ὀρέξεως. ἐκ τούτου δὲ
35 δύο ἔστι συνάξαι, πρῶτον μὲν ὅτι οὐ περὶ τοῦ θύραθεν νοῦ ἐστιν ὁ λόγος, ὅταν εἴπῃ θεωρητικόν. ἰδοὺ γὰρ τοῦτον τῷ πρακτικῷ νῷ ταὐτὸν εἶπε τῷ ὑποκειμένῳ· ὁ δὲ θύραθεν νοῦς οὐκ ἔστιν ὁ αὐτὸς τῷ πρακτικῷ.

5 κοινότερον καλεῖ om. t 6 τοῦτο t 14 ταῖς φαντασίαις scripsi: τῇ φαντασίᾳ
10 16 εἰπὼν] εἰπὸν t 23 τὸ] τοῦ D 32 ὁ om. t 35 οὐ om. D

δεύτερον δὲ ἔστιν ἐκ τούτου συνάξαι ὅτι καὶ ὁ πρακτικὸς νοῦς ἀθάνατός s 1v
ἐστιν, εἴπερ ὁ αὐτός ἐστι τῷ θεωρητικῷ τῷ ὁμολογουμένῳ ἀθανάτῳ ὄντι. 15

p. 433a15 Οὗ γὰρ ἡ ὄρεξις, αὕτη ἀρχὴ τοῦ πρακτικοῦ νοῦ· τὸ δὲ ἔσχατον ἀρχὴ τῆς πράξεως.

Τὸ οὗ γὰρ ἀντὶ τοῦ οὕτινος γὰρ ἔκλαβε. καὶ δασέως ἀνάγνωθι·
λέγει γὰρ ὅτι οὕτινος πράγματός ἐστιν ἡ ὄρεξις, τοῦτο ἀρχή ἐστι τοῦ 20
πρακτικοῦ νοῦ, τοῦ δὲ νοῦ τὸ τέλος ἀρχή ἐστι τῆς πράξεως. ἐπὶ παρα-
δείγματος δὲ ἔσται σαφὲς τὸ λεγόμενον. ἐν θέρει τις σφοδρῶς σκέπης
ὠρέχθη διὰ τὸ μὴ καίεσθαι ἐκ τοῦ ἡλίου. καὶ αὕτη ἡ ὄρεξις ἕνεκά του
ἐστίν· ἵνα γὰρ μὴ καῇ. αὕτη ἡ σκέπη ἀρχὴ γίνεται τοῦ πρακτικοῦ νοῦ.
ἄρχεται γὰρ στέγην ἐπινοεῖν διὰ τὴν σκιάν. εἶτα τοὺς τοίχους ἀνέχοντας·
καὶ ἀρχόμενος τοῦτο ποιεῖν ἀπὸ τῶν θεμελίων ἄρχεται. καὶ σκόπει ὅτι
τὸ τέλος τοῦ πρακτικοῦ νοῦ, ὅ ἐστι τὰ θεμέλια, ἀρχὴ γέγονε τῆς πράξεως. 25
ὄρεξις καὶ διάνοια πρακτική. σκόπει ὅτι τὸν πρακτικὸν νοῦν διά-
νοιαν ἐκάλεσε πρακτικήν. πάλιν δὲ μετὰ φαντασίας λαμβάνει τὸν νοῦν ἢ
τὴν διάνοιαν.

p. 433a21 Ἓν δή τι τὸ κινοῦν κατὰ τὸ ὀρεκτόν.

Ὃ βούλεται εἰπεῖν τοιοῦτόν ἐστιν. ὅτι εἰ ἦν δύο καὶ ἕτερα ἀλλήλων.
νοῦς καὶ ὄρεξις, ἐκίνουν δὲ ἄμφω, ἄλλη ἄν τις δύναμις ἀμφοτέροις ὑπῆρχεν 35
κοινή, ἥτις ἀμφοτέροις κοινωνοῦσα ἐκίνει τὸ ζῷον, ὡς τῷ δίποδι καὶ τετρά-
ποδι τὸ πόδας ἔχειν. νυνὶ δὲ οὐκ ἄμφω κινεῖ· ὁ μὲν γὰρ νοῦς κινῶν
οὐκ ἄνευ ὀρέξεως κινεῖ (ἡ γὰρ βούλησις ὄρεξίς ἐστι, τότε δὲ κατὰ βού-
λησίν τι κινεῖται. ὅταν κατὰ λογισμὸν κινηθῇ). ἡ δὲ ὄρεξις κινεῖ καὶ παρὰ
λογισμόν· δι' ἐπιθυμίαν γὰρ κινούμεθα, ἡ δὲ ἐπιθυμία ὄρεξίς ἐστι. καὶ
ὅτι οὐ ταὐτὸν ὄρεξις καὶ νοῦς. δῆλον ἐντεῦθεν· ὁ μὲν γὰρ ἀληθινὸς νοῦς 40
ἀεὶ ὀρθός ἐστι καὶ οὐδέποτε ψεύδεται, ἡ δὲ ὄρεξις κἂν μετὰ φαντασίας
γένηται, εἰ καὶ νοῦν αὐτὴν εἰρήκαμεν, καὶ ὀρθή ἐστι καὶ οὐκ ὀρθή. τὸ
μὲν γὰρ ὀρεκτὸν δεῖ κινεῖν τὴν ὄρεξιν· ἀλλὰ τοῦτο ἢ ἀληθινὸν ἀγαθόν
ἐστι καὶ τὴν ἐν τῷ νῷ ὄρεξιν κινεῖ, ἢ φαινόμενον ἀγαθὸν καὶ κινεῖ τὴν
ἄλογον ὄρεξιν· φαινόμενον δὲ ἄκουε τὸ δυνάμενον καὶ ἄλλως ἔχειν. εἰ δὲ
ταῦτα οὕτως ἔχει, δῆλον ὅτι ἡ ὄρεξίς ἐστιν ἡ κινοῦσα, ἥ τε τῆς λογικῆς
καὶ ἡ τῆς ἀλόγου. ὅτι γάρ, φησὶν ὁ Ἀριστοτέλης, οὐχ αἱ δύο δυνάμεις

3 νοῦ om. D 5 ἔλαβε t 6 ἐστι (ante τοῦ) om. t 8 σαφῶς D
11 ἀνέχοντα D: fort. locus sic legendus est εἶτα τοὺς τοίχους, εἶτα τὰ τοὺς τοίχους ἀνέχοντα 15 φαντασίας scripsi: φαντασίαν Dt 17 post κινοῦν add. πρώτως t
κατὰ D Arist. LW: om. t Arist. vulg. ὀρεκτόν D Arist. ELW: ὀρεκτικόν t Arist. vulg. 21 ἔχει t 26 φαντασίαν t 27 αὐτὴν scripsi: αὐτὸν Dt
28 ὄρεξιν scripsi: αἴσθησιν Dt 29 φαινόμενα ἀγαθὸν t 30 ἀκούετο t
31 οὕτως scripsi: οὔ . . . litteris III deletis D: οὕπως t 32 ὁ om. t

κινοῦσι. δῆλον· ὁ μὲν γὰρ νοῦς πάντως μετ' ὀρέξεως κινεῖ, ἡ δὲ ὄρεξις 8 1r
καὶ χωρὶς νοῦ κινεῖ. ὅτε ταῖς ἀλόγοις ἐπιθυμίαις ἑπόμεθα. οὐκοῦν μία 15
δύναμις κινεῖ καὶ οὐ δύο, ἐπεὶ κατὰ κοινὸν γένος ἐκίνουν ⟨ἄν⟩, ὃ εἶπεν αὐτὸς
εἶδος. οὐ πᾶν δέ, ἀλλὰ τὸ πρακτὸν ἀγαθόν. καλῶς εἶπε τὸ οὐ
5 πᾶν ἀγαθόν· τὸ γὰρ πρῶτον ἀγαθὸν τὸ θεῖον οὐχ ὑφ' ἡμῶν γίνεται. εἶτα
λέγει πρακτὸν δέ ἐστι τὸ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν, καὶ
δικαίως τοῦτο εἶπε· τὸ γὰρ ἄλλῳ ἀγαθὸν ἄλλῳ κακόν ἐστι, διὸ ἐνδεχό-
μενον αὐτὸ λέγει. ταῦτα δέ, τὸ ἀγαθόν φημι καὶ τὸ κακόν, τῷ πρακτικῷ
νῷ ἕπεται, τὸ μέντοι ἀληθὲς καὶ τὸ ψεῦδος οὐ τῷ πρακτικῷ ἀλλὰ τῷ 50
10 θεωρητικῷ.

p. 433a31 Τοῖς δὲ διαιροῦσι τὰ μέρη τῆς ψυχῆς.

Ἐντεῦθεν αἰνίττεται Πλάτωνα καί φησιν ὅτι κατ' αὐτὸν οὐκ ἔστιν
εἰπεῖν ἓν τὸ κινοῦν, ἐπειδὴ διαμερίζει | τὰς ψυχάς, καὶ οὔ πως ἔχομεν 8 2r
κοινόν τι εὑρεῖν κατ' αὐτόν. οὐ μόνον δὲ εἰς τοῦτο ἁμαρτάνει, ἀλλ' ὅτι
15 καὶ πολλὰ παραλιμπάνει καὶ πάντα εἰπὼν οὐκ ἐμνήσθη τῆς κατὰ τόπον
κινήσεως, ἢ ὅτι ὑπὸ ὄρεξιν αὕτη ἀνάγεται καὶ συμπεριέλαβεν αὐτήν, ἢ ὅτι
οὐ περὶ αὐτῆς ὁ λόγος.

p. 433b5 Ἐπεὶ δὲ ὀρέξεις γίνονται ἐναντίαι ἀλλήλαις.

Ἐντεῦθεν τὸν τολμητίαν λέγει συλλογισμόν. τῇ δὲ τάξει οὐ καλῶς 7
20 κέχρηται· τὸ γὰρ συμπέρασμα πρῶτον λέγει τῶν προτάσεων. ἦν γὰρ ὁ
συλλογισμὸς οὗτος· ὅπου ἐναντίαι κινήσεις, ἐκεῖ χρόνου συναίσθησις· χρόνου 10
δὲ συναίσθησις ἐν οἷς λόγος καὶ ἐπιθυμία. εἶτα λέγει τὴν πρώτην πρό-
τασιν, ὅτι χρόνου συναίσθησίς ἐστιν, ἔνθα εἰσὶν ἐναντίαι κινήσεις, τῆς δὲ
δευτέρας προτάσεως οὐδὲ μέμνηται. διὰ τὸ μὴ ὁρᾶν τὸ μέλλον· τὴν
25 ἐπιθυμίαν φησὶν μὴ ὁρᾶν τὰ μέλλοντα, ἐπειδὴ δόγμα ἐστὶν Ἀριστοτελικὸν
τὴν ἄλογον ψυχὴν μὴ καταγίνεσθαι περὶ τὰ μέλλοντα, ἡ δὲ ἐπιθυμία τῆς
ἀλόγου ἐστὶ ψυχῆς.

p. 433b10 Εἴδει μὲν οὖν ἂν εἴη ἓν τὸ κινοῦν, τὸ ὀρεκτικόν.

Ὅτι ἡ ὄρεξις τῷ μὲν ἀριθμῷ πολλά ἐστι, τῷ δ' εἴδει ἕν. εἶδος δὲ 15
30 πάλιν εἶπεν ἀντὶ τοῦ γένους· κυρίως μὲν γὰρ τῷ μὲν γένει ἕν ἐστι, τῷ
δὲ εἴδει πολλά· ἀνομοειδεῖς γὰρ καὶ αἱ ψυχαὶ καὶ αἱ θεωρούμεναι ἐν

---

2 νοῦ] οὐ D 3 ἐπεὶ] ἐπὶ t ἄν addidi 7 ἄλλο ἀγαθὸν ἄλλο κακόν D 9. 10 οὐ — θεωρητικῷ om. D τῷ θεωρητικῷ scripsi: τῶν θεωρητικῶν t 13 ἓν τὸ scripsi: ἐν τῷ Dt οὔ πως scripsi: πῶς Dt 16 συμπεριλαβεν t 17 οὐ om. D 18 ὀρέξεις D Arist. vulg.: αἱ ὀρέξεις t Arist. U 19 οὐκ ἄλλως D 28 οὖν D Arist. TVXy: om. t Arist. vulg.

αὐταῖς ὀρέξεις. ταύτην δὲ τὴν ὄρεξιν τὴν μίαν τῷ γένει ἀπέδειξεν s 2r
κινοῦσαν κατὰ τόπον τὰ ζῷα, εἴτε μετὰ λογισμοῦ εἴη εἴτε μετὰ θυμοῦ
εἴτε μετ' ἐπιθυμίας. ὥσπερ γὰρ οὐδὲν ἐκώλυσε τὴν αἰσθητικὴν ἀρχὴν
μίαν εἶναι τῶν αἰσθήσεων πέντε οὐσῶν, οὕτως οὐδὲν κωλύει μίαν εἶναι
5 τὴν ὀρεκτικὴν δύναμιν, τρεῖς δὲ εἶναι τὰς ἐνεργείας, ἐφ' αἷς ἡ ὄρεξις 20
μεταδίδοται εἰς νοῦν, εἰς ἐπιθυμίαν, εἰς θυμόν.

p. 433ᵇ11 Πρῶτον δὲ πάντων τὸ ὀρεκτόν.

Ἐνταῦθα ὑποτίθεται ὅτι οὐ μόνον τὸ ὀρεκτικὸν κινεῖ ἀλλὰ καὶ τὸ
ὀρεκτόν, οἷον ὁ χόρτος. ἔστι δὲ διαφορὰ ὅτι τὸ μὲν ὀρεκτικὸν κινούμενον
10 κινεῖ, τὸ δὲ ὀρεκτὸν ἀκίνητον ὂν κινεῖ ὡς τέλος ὄν· τὸ γὰρ τέλος ἀκίνητον 25
ὂν κινεῖ, ὥσπερ καὶ ὁ θεὸς τέλος ὢν ἀκίνητος ὢν κινεῖ. ἔχεις οὖν ἐντεῦθεν
τὸ ἔσχατον κεφάλαιον, ὅτι τῶν αἰτίων τῶν κατὰ τόπον κινούντων τινὰ
μόνως κινοῦσι μὴ κινούμενα, τινὰ δὲ καὶ κινοῦσι καὶ κινοῦνται, ὡς ἡ
ὄρεξις.

15 p. 433ᵇ12 Ἀριθμῷ δὲ πλείω τὰ κινοῦντα.

Ἐπειδὴ εἶπε γένει ἓν τὸ κινοῦν, διὰ τοῦτό φησιν ὅτι τῷ ἀριθμῷ
πολλά ἐστι· κινεῖ γὰρ φαντασία, νοῦς, ὄρεξις, τὸ ὀρεκτόν, ὥστε πολλά ἐστιν. 30
ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

p. 433ᵇ13 Ἐπεὶ δέ ἐστι τρία, ἓν μὲν τὸ κινοῦν, δεύτερον δὲ ᾧ
20 κινεῖται, τρίτον δὲ τὸ κινούμενον, καὶ τὰ ἑξῆς.

Ἐντεῦθεν ἐπειδὴ εἶπε, τί μὲν οὐκ ἔστιν τὸ κινοῦν, τί δέ ἐστιν, 35
συνάγει πάντα τὰ συντελοῦντα τῇ κινήσει καὶ λέγει ταῦτα τρία εἶναι, τὸ
κινοῦν, οἷον τὸ ὀρεκτόν, καὶ τὸ κινούμενον σῶμα, καὶ ᾧ κινεῖ, τουτέστι τῷ
ὀργανικῷ. ὀργανικὸν δὲ λέγει τὸ πνεῦμα τὸ ἀπὸ καρδίας διὰ τῶν νεύρων
25 φερόμενον· ἐν καρδίᾳ γὰρ ὁ Ἀριστοτέλης δοξάζει τὸ ἡγεμονικόν. τοῦτο
δὲ τὸ ὀργανικὸν καὶ ᾧ κινεῖται καλεῖ, ἐπειδὴ αὐτῷ τῷ πνεύματι κινεῖται
τὸ σῶμα, ποτὲ δὲ καλεῖ αὐτὸ ᾧ κινεῖ, τουτέστιν ᾧ πνεύματι ἡ ψυχὴ κινεῖ
τὸ σῶμα. ταῦτά ἐστι τὰ συντελοῦντα πρὸς κίνησιν. ἄρχεται δὲ τῆς διδασκα- 40
λίας ἐκ τοῦ ὀργανικοῦ, διὰ τὸ συνέχειαν φυλάξαι τῷ λόγῳ. καὶ ἐξετάζει αὐτὸ
30 ἀρχῇ καὶ τέλει καὶ γιγγλύμῳ, καὶ τῇ κατὰ φύσιν κινήσει καὶ τῇ παρὰ φύσιν
κινήσει, ἃς ἀνάγει ὑπὸ ὦσιν καὶ ἕλξιν· ἀλλὰ μὴν καὶ κύκλῳ ἐξετάζει

---

5 ἐφ' αἷς D: ὑφ' ὧν t 7 ὀρεκτόν D Arist. vulg.: ὀρεκτικόν t Arist. SW
12 τῶν καὶ κατὰ t 16 ἓν τὸ] ἐν τῷ t 18 post πληροῦται add. πρᾶξις σὺν θεῷ
ιζ t marg. D² 19 ἐπεὶ D (sed cf. p. 590,38) Arist. Ey: ἐπειδὴ t Arist. vulg.
20 κινεῖται D; cf. v. 26 p. 590,38: κινεῖ t Arist. codd. τρίτον δὲ D: τρίτον Arist.
vulg.: ἔτι τρίτον Arist. ELS: καὶ ἔτι τρίτον t Arist. TXy, cf. p. 590,39 22 τρία]
τρίτον D 25 ὁ om. t

αὐτό. καὶ διὰ τί, πάντων ἔστιν τὴν αἰτίαν εἰπεῖν. ἀρχῇ μὲν γὰρ καὶ s 2r
τέλει ἐξεικάζει αὐτό, ἐπειδὴ τὸ πνεῦμα καὶ πέρας ἐστὶ τῶν ψυχικῶν
ἐλλάμψεων καὶ ἀρχὴ τῶν σωματικῶν ὑποστάσεων, ἢ ἐπειδὴ τὸ πνεῦμα
καὶ συνάρχεται τῇ κινήσει καὶ συμπερατοῦται αὐτῇ. εἰ γὰρ καὶ τὸ ποιη- 15
5 τικὸν συνάρχεται τῇ κινήσει καὶ συμπερατοῦται αὐτῇ, ἀλλὰ μᾶλλον τὸ
ὀργανικὸν προσεχέστερόν ἐστιν. ἔστι δὲ εἰπεῖν ὅτι οὐκ ἀρχὴν αὐτὸ καλεῖ
καὶ τέλος, ἀλλ' ἔνθα ἀρχὴ καὶ τέλος, τουτέστιν ἐν τῇ καρδίᾳ ἐστὶ τὸ
πνεῦμα, ἥτις μέση οὖσα ἀρχή ἐστι καὶ τέλος. τὸ γὰρ μέσον τῶν μὲν
φθασάντων πέρας ἐστί, τῶν δὲ μελλόντων ἀρχή, τῷ νόμῳ τῶν μέσων· ὥστε
10 τὸ πνεῦμα ἔνθα ἐστίν, ἀρχὴ καὶ τέλος ἐκεῖ ὑπάρχει. ἰστέον δὲ ὅτι ἰατροὶ 50
μὲν τὰ νεῦρα λέγουσιν εἶναι τὰ ὄργανα τῆς κινήσεως, φιλόσοφοι δὲ τὸ
ἔμφυτον θερμὸν ὄργανον λέγουσι τῆς ὀρέξεως. καὶ τοῦτο τὸ πνεῦμα τὸ
θερμὸν ἐν τῷ παντὶ σώματί ἐστιν, εἴ γε καὶ ὅλως ὡς ὅλον τὸ σῶμα
ἡμῶν κινεῖται κατὰ τόπον· ἔστιν οὖν ἐν τῷ παντὶ σώματι ὡς ὀφεῖλον τὸ
15 πᾶν σῶμα κινῆσαι. εἰ γὰρ καὶ λέγει αὐτὸ εἶναι ἐν τῇ καρδίᾳ. ἀλλ' οὖν
ὅμως ἐστὶ μὲν ἐν τῷ παντὶ σώματι, ὡς ἀπ' ἀρχῆς δὲ χορηγούμενον τῆς
καρδίας. ἀπεικάζει δὲ τοῦτο τὸ πνεῦμα καὶ γιγγλύμῳ· γίγγλυμος δέ
ἐστι σύνταξις δύο ὀστέων, τοῦ κυρτοῦ ἐμβάλλοντος εἰς τὴν κοιλότητα.
καὶ ταῦτα μὲν τῷ λόγῳ διάφορά ἐστιν (ἐν ἄλλῳ γὰρ σώματί ἐστι τὸ s 2v
20 κυρτὸν καὶ ἐν ἄλλῳ τὸ κοῖλον) τῷ δὲ ὑποκειμένῳ τὰ αὐτά εἰσιν· συναρ-
μόζουσι γὰρ ἀλλήλοις, καὶ γίνεται ἡ κίνησις οὐ τῶν δύο, ἀλλὰ τοῦ κυρτοῦ
μόνου· περὶ τὸ κοῖλον γὰρ μένον καὶ ἀκίνητον ὂν ἡ τοῦ κυρτοῦ γίνεται
κίνησις. τοιαύτη δέ ἐστιν ἡ κατ' ἀγκῶνα τῶν χειρῶν ἡμῶν διάρθρωσις.
ἐπεὶ οὖν τὸ πνεῦμα καὶ ἐζωωμένον ἐστὶ καὶ ἁπλῶς πνεῦμα, καὶ ταῦτα τῷ 5
25 μὲν λόγῳ καὶ τῇ σχέσει διάφορά ἐστι, τῷ δὲ ὑποκειμένῳ τὰ αὐτά (ἐν τῷ
πνεύματι γὰρ ἡ ζωή, καὶ κινεῖται τοῦτο ὡς πνεῦμα, οὐχ ὡς ἐζωωμένον
πνεῦμα· τὴν γὰρ ψυχὴν ἀκίνητον λέγει Ἀριστοτέλης), διὰ τοῦτο οὖν
γιγγλύμῳ αὐτὸ ἀπεικάζει, ἐπειδὴ ὥσπερ ἐν τῷ γιγγλύμῳ ἔστι τι κινοῦν
καὶ ἀκίνητον, καὶ ταῦτα τῷ μὲν λόγῳ καὶ τῇ σχέσει διάφορα, τῷ δὲ ὑπο-
30 κειμένῳ τὰ αὐτά, οὕτω καὶ ἐν τῷ πνεύματί ἐστί τι ἀκίνητον, τὸ ἐζωω- 10
μένον, καὶ κινούμενον, τὸ πνεῦμα, ταῦτα δὲ τῷ λόγῳ διαφέρει, οὐ τῷ ὑπο-
κειμένῳ. παρεικάζει δὲ αὐτὸ καὶ τῇ κατὰ φύσιν κινήσει. ὥσπερ γὰρ ἐν
τῇ κατὰ φύσιν κινήσει ἔστι τι μένον καὶ ἄλλο κινούμενον· οἱ γὰρ ἄνθρω-
ποι οὐ καθ' ὅλους ἑαυτοὺς κινούμεθα, ἐπειδὴ ἡ βαδιστικὴ κίνησις ἐξ
35 ὤσεως καὶ ἕλξεως σύγκειται· ὁ μὲν γὰρ εἷς ἡμῶν ποὺς ὠθεῖ τὴν γῆν·
ἀμέλει ἐὰν ἐν ἰλυώδει τόπῳ εὑρεθῶμεν, ὁ ποὺς ἅτε τῆς γῆς μὴ ἀντιβαι-
νούσης τῇ ὤσει ἐμβαθύνει εἰς τὴν ἰλύν· τῷ δὲ ἄλλῳ ποδὶ ἕλκομεν τὸ
σῶμα· καὶ τὸ μὲν πνεῦμα τὸ ὂν ἐν τῷ ἱσταμένῳ ποδὶ ἠρεμεῖ, τὸ δ' ἐν
τῷ κινουμένῳ ὂν ποδὶ κινεῖται. κινεῖται δὲ ὁ ἕλκων ποὺς· ὁ μὲν γὰρ 15

9 δὲ] δὴ t 14 ὀφεῖλων D 17 γίγγλυμος scripsi: γίγγλυμον Dt 18 ὀστέον t
19 et 20 ἐν ἄλλο D 23 ἀγκόνα D 31 διαφέρει] διαφορὰ D 34 αὐ-
τοὺς t 35 ἕλξεως] ἐλέξεως D ἡμῶν] ἡ ex corr. D¹ 36 γῆς om. t
39 ποδὶ κινουμένω. κινεῖται δὲ D

εἷς ποὺς πάντως ὠθεῖ, ὁ δὲ ἄλλος ἕλκει, ὅστις καὶ ποιεῖ τὴν κίνησιν. 8 2r
ἔστι δὲ εἰπεῖν ὅτι καὶ ἐν τῷ ἑνὶ ποδί ἐστιν ὦσις καὶ ἕλξις, ἵνα ἕλξιν μὲν
λάβῃς τὴν συναίρεσιν τὴν ἐπὶ ἡμᾶς τοῦ ποδός, ὤθησιν δὲ τὴν ἔκστασιν
τοῦ ποδὸς τὴν ἀφ' ἡμῶν· ἡ γὰρ ἕλξις ἐστὶν ἡ ἐπὶ ἡμᾶς γινομένη, ὦσις
5 δὲ ἡ ἀφ' ἡμῶν· ἐπεὶ οὖν ἐν τῇ κατὰ φύσιν κινήσει ἔστι τι μένον καὶ
ἄλλο κινούμενον, τὰ αὐτὰ δέ ἐστι καὶ ἐν τῷ πνεύματι, διὰ τοῦτο παρει-
κάζει αὐτὸ οὕτως. καὶ ὅρα ὅτι νῦν καὶ τὴν κατὰ φύσιν κίνησιν ὑπὸ 20
ὦσιν καὶ ἕλξιν ἀνήγαγεν, ὥσπερ τὴν παρὰ φύσιν, ἐν δὲ τῇ Φυσικῇ μόνην
τὴν παρὰ φύσιν κίνησιν ἐν τῷ ζ̄ λόγῳ ὑπὸ ὦσιν καὶ ἕλξιν ἀνάγει. παρει-
10 κάζει δὲ αὐτὸ καὶ τῇ παρὰ φύσιν κινήσει, ἐπειδὴ καὶ αὐτὴ ἔχει τι μένον
καὶ κινούμενον ὑπὸ ὤσεως καὶ ἕλξεως γινομένη· τὸ γὰρ βίᾳ κινούμενον
ἢ ἀφ' ἡμῶν ὠθεῖται ἢ πρὸς ἡμᾶς ἕλκεται. εἰ δέ τις εἴποι τὴν δίνησιν
μὴ γίνεσθαι ἕλξει καὶ ὤσει, ψεύδεται· καὶ ἐν ταύτῃ γὰρ δύο ἡμικυκλίων
ὄντων τὸ μὲν πρῶτον ἕλκει τὸ ὀπίσω, τὸ δὲ ὀπίσω ὠθεῖ τὸ πρόσω. 25
15 περὶ δὲ τῆς ὀχήσεως ἔστιν εἰπεῖν ὅτι κατὰ συμβεβηκὸς κινεῖται, τῷ κι-
νεῖσθαι τὸ ὀχοῦν. οὐχ ἕλκεται γὰρ ἢ ὠθεῖται, τὸ δὲ ὀχοῦν ἐπειδὴ καθ'
αὐτὸ κινεῖται, ἢ ἕλκεται, ὡς ἅμαξα, ἢ ὠθεῖται, ὡς πλοῖον ὑπὸ ἀνέμων.
καὶ ἐν τῇ παρὰ φύσιν οὖν κινήσει ἐπειδή ἐστι μένον τὸ ὠθοῦν καὶ κινού-
μενον τὸ ἕλκον, διὰ τοῦτο ἀπεικάζει αὐτὴν τῷ ὀργάνῳ. ἀλλὰ μὴν καὶ
20 κύκλῳ ἀπεικάζει τὸ πνεῦμα, διότι ἐν τῷ κύκλῳ περὶ μένον τὸ κέντρον
γίνεται ἡ κίνησις, ὥσπερ καὶ τὸ πνεῦμα περὶ μένουσαν τὴν ζωὴν κινεῖται.
καὶ μᾶλλον τοῦτο τὸ παράδειγμα πρόσφορόν ἐστιν· ἐν ἑκάστῳ γὰρ μέρει 30
τοῦ κύκλου ἐστὶ σημεῖον, ὃ καὶ πρῶτον ὂν δύναται ἕλκειν καὶ ὕστερον ὂν
δύναται ὠθεῖν· ἑκάστου γὰρ σημείου ἐστὶ καὶ πρῶτον καὶ ὕστερον. ἐπεὶ
25 οὖν καὶ τὸ πνεῦμα ἐν ἑκάστῳ μέρει ἑαυτοῦ καὶ ἐζωωμένον * * *
δικαίως κύκλῳ ὡμοίωται.

Ταῦτα εἰπὼν περὶ τοῦ ᾧ κινεῖ ἔρχεται καὶ ἐπὶ τὸ κινούμενον καί
φησιν ὅτι κινοῦνται καὶ τὰ ζῷα καὶ τὰ ζῳόφυτα. καὶ ἀπορεῖ πρὸς τὰ
ζῳόφυτα ὅτι πῶς ταῦτα κινεῖται, εἴπερ τὸ κινούμενον πάντως ὄρεξιν
30 θέλει ἔχειν, ὅπου δὲ ὄρεξις, ἐκεῖ καὶ φαντασία. ἐπειδὴ ὥσπερ περὶ τὸ 35
ἀπὸν ἡ ὄρεξις, οὕτω καὶ ἡ φαντασία περὶ τὸ ἀπὸν καταγίνεται. εἰ δέ τις
εἴποι ὅτι πῶς περὶ τὸ ἀπὸν ἡ ὄρεξις καταγίνεται, εἴπερ ὀρεγόμεθα καὶ
τῆς παρούσης ὑγιείας, λέγομεν ὅτι τῆς ὑγιείας διὰ τὴν μέλλουσαν ἀπό-
λαυσιν ὀρεγόμεθα. τί οὖν συνῆξεν ὁ λόγος; ὅτι εἰ κινοῦνται τὰ ζῳόφυτα,
35 καὶ φαντασίαν ἔχουσιν. πρὸς ὃ ἐπιλυόμενός φησιν ὅτι ἔχουσι φαντασίαν
τὴν σύστοιχον τῇ αἰσθήσει. ἐξ οὗ καὶ διαίρεσις τῆς φαντασίας· τῆς γὰρ
φαντασίας, φησίν, ἡ μὲν βουλευτική ἐστιν, ἡ δὲ σύστοιχος τῇ αἰσθήσει. 40
καὶ ἡ μὲν βουλευτικὴ ἀνθρώποις μόνοις ὑπάρχει, ἡ δὲ σύστοιχος τῇ αἰ-
σθήσει ἢ συγκεχυμένη ἐστὶν ἢ ἀσύγχυτος· καὶ ἡ ἀσύγχυτος ἢ διδακτή

8. 9 ἐν τῇ Φυσικῇ — ἐν τῷ ζ̄ λόγῳ] immo II 2 p. 243a16 sqq. 9 ἀνάγει] ἀνάγκη t
10 κινήσει] κίνησιν D 11 βίᾳ] βιαίως D² 23 ὕστερον ὂν] πτερὸν ὂν D 25 lacunam indicavi: fort. addendum coll. p. 588,24. 26. 30 ἐστὶ καὶ ἁπλῶς πνεῦμα 26 κύκλῳ om. D 27 καὶ (ante ἐπὶ) om. t 33 λέγομεν — ὑγιείας om. D 36 διαίρεσιν D
37 φησίν scripsi: φασίν Dt 38 ἀνθρώποις om. D

ἐστιν ἢ ἀδίδακτος. συγκεχυμένη μέν ἐστιν ὡς ἐπὶ τῶν σκωλήκων· s 2ᵛ
πεπλανημένη γὰρ τούτων ἡ κίνησις· ἀσύγχυτος δὲ καὶ διδακτὴ ὡς ἐπὶ
τῶν κυνῶν καὶ τῶν ψιττακῶν, ἀδίδακτος δὲ ὡς ἐπὶ τῶν μυρμήκων καὶ
τοῦ ἀράχνου. τὰ οὖν ζῳόφυτα φαντασίαν ἔχει τὴν σύστοιχον τῇ αἰσθήσει
5 τὴν ἀσύγχυτον καὶ ἀδίδακτον, τουτέστι τὴν κατὰ τὴν ἁπτικὴν αἴσθησιν. 45

Ταῦτα εἰπὼν καὶ περὶ τοῦ κινουμένου ἔρχεται καὶ ἐπὶ τὸ κινοῦν καί
φησιν ὅτι τοῦτο τριττόν ἐστι. πρῶτον γὰρ τὸ ὀρεκτὸν κινεῖ τὴν ὄρεξιν ἀκίνητον
ὂν ὡς τελικόν, ὥσπερ καὶ τὸ θεῖον· καὶ ἡ ὄρεξις δὲ κινεῖ τὴν ἐναντίαν
ὄρεξιν, καὶ ἡ κρατήσασα τὴν κυρίαν λαβοῦσα κινεῖ τὸ σῶμα· ὥστε τριχῶς
10 ἐστι τὸ κινοῦν. ἔοικε δὲ ὄρεξις σημείῳ ὄντι ἐν σφαίρᾳ, ὅπερ σημεῖον ἐν
μὲν τῷ ὑπὲρ γῆν γινόμενον ἡμισφαιρίῳ ὑπερέχει καὶ μεσουρανοῦν ἐπι-
κρατεῖ, ἐν δὲ τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ γινόμενον ἐπικρατεῖται. ἐπειδὴ δὲ 50
ἐν τῇ ἐναντίᾳ μάχῃ τῶν ὀρέξεων συλλογιζόμενοι κινούμεθα, καὶ ἐν τῷ
συλλογίζεσθαι ἡμᾶς, εἴτε δεῖ πορνεύειν ἢ πρὸς διδάσκαλον τρέχειν, ἢ τὸ
15 πάθος ἐπικρατεῖ ἢ ὁ λόγος, καὶ τὸ ἐπικρατοῦν κινεῖ, ζητεῖ οὖν ἐν τῷ
συλλογισμῷ ποία πρότασις κινεῖ. καί φησιν ἑκατέραν, καὶ τὴν μείζονα καὶ
τὴν ἐλάττονα. ἀλλὰ μᾶλλον τὴν ἐλάττονα ἢ τὴν μείζονα· τῇ γὰρ ἐλάττονι
ἕπεται τὸ συμπέρασμα ὡς χείρονι οὔσῃ. τὸ γὰρ χεῖρον ἀεὶ συνάγεται·
ἐκ καθόλου γὰρ καὶ μερικοῦ μερικὸν συνάγεται, καὶ ἐκ καταφατικοῦ | καὶ s 3ʳ
20 ἀποφατικοῦ ἀποφατικόν. ἐπεὶ οὖν πρὸς τὸ συμπέρασμα γίνεται ἡ κίνησις,
τοῦτο δὲ ἀκολουθεῖ τῇ ἐλάττονι, διὰ τοῦτο μᾶλλον αὕτη κινεῖ. οἷον ὡς
ἐπὶ παραδείγματός ἐστι συλλογισμὸς τοιοῦτος· ὁ δεῖνα φιλόσοφος, αὕτη
ἐστὶν ἡ ἐλάττων· πᾶς φιλόσοφος τιμητέος, αὕτη ἡ μείζων· ὁ δεῖνα ἄρα
τιμητέος. ποία οὖν πρότασίς ἐστιν ἡ κινοῦσα τὴν ὄρεξιν πρὸς τὸ τιμηθῆναι
25 τὸν φιλόσοφον; καὶ δῆλον ὅτι ἀμφότεραι· οὐδὲ γὰρ ἡ ἐλάττων μόνη· καὶ 5
γὰρ οὐκ ἐτιμᾶτο, εἰ μὴ ἔγνωμεν τὴν μείζονα ὅτι πᾶς φιλόσοφος τιμητέος·
οὔτε δὲ ὀρεγόμεθα ὅλως τιμῆσαι τόνδε, εἰ μὴ τὴν ἐλάττονα ἔγνωμεν ὅτι
φιλόσοφός ἐστιν. πῶς γὰρ εἴχομεν τιμῆσαι αὐτόν, κἂν τὰ μάλιστα ἔγνω-
μεν ὅτι πᾶς φιλόσοφος τιμητέος ἐστίν; ὥστε ἄμφω μὲν κινοῦσιν, ἀλλ' ἡ
30 μὲν μείζων πρότασις μὴ κινουμένη κινεῖ (ἀκίνητος γάρ ἐστιν ὡς καθολική,
ἐπειδὴ τὸ καθόλου οὐ μεταβάλλει) ἡ δὲ ἐλάττων κινουμένη κινεῖ· δύναται
γὰρ ἡ ἐλάττων ἀμεῖψαι τὸν ὑποκείμενον, ἵνα εἴπῃ Σωκράτης φιλόσοφος ἢ 10
ἀντὶ Σωκράτους Πλάτωνα, Θεμίστιον. καὶ ἰδοὺ κινεῖται ἡ ἐλάττων καὶ
οὕτω κινεῖ. ἀλλ' ἡ μὲν μείζων κατὰ τὸ πόρρω κινεῖ, ἡ δὲ ἐλάττων κατὰ
35 τὸ προσεχές· ἡ γὰρ ἐλάττων μερική ἐστι, καὶ ἐπειδὴ τῶν μερικῶν ἐστιν
ἡ κίνησις καὶ οὐ τῶν καθόλου, ταύτῃ προσεχῶς κινεῖ ἡ ἐλάττων. ἐν οἷς
ἡ θεωρία.

Ἐπειδή ἐστι τρία, ἓν μὲν τὸ κινοῦν, δεύτερον δὲ ᾧ κινεῖται,
καὶ ἔτι τρίτον τὸ κινούμενον. ὁ μὲν Ἀλέξανδρός φησι μὴ εἶναι

2 καὶ διδακτῶν D 9 ὄρεξιν] κίνησιν t 11 ἡμισφαιρίῳ om. D 11. 12 ἐπικρατεῖ] ἐπικρατεῖν t 12 δὲ (post ἐν) om. t 20 πρὸς om. t 25 καὶ (ante γάρ) om. D 26 τιμητέως t 28 γὰρ om. D ἔχομεν t 31. 32 δύναται—Σωκράτης in ras. D¹ 34 τὸ om. D 38 ὁ κινεῖται t

ἀπόδοσιν τῆς ἐπειδὴ προθέσεως· ὁ δέ γε Πλούταρχος ἀεὶ τοιουτοτρόπως s 3r
ἀκοῦσαι τοῦ λόγου. ἐπειδή γάρ, φησίν, ἐστὶ τρία, ἓν μὲν τὸ κινοῦν, 15
δεύτερον δὲ ᾧ κινεῖται, καὶ τρίτον τὸ κινούμενον, ἔστι δὲ τὸ κινοῦν
διττόν, ἢ ἀκίνητον ὡς τὸ ὀρεκτόν, ὃ καλεῖ πρακτὸν ἀγαθόν, ἢ κινούμενον
5 ὡς τὸ ὀρεκτικόν, εἶτα προσυπακούει 'τέτταρα ἄρα ἔστι τὰ τῇ κινήσει
συμβαλλόμενα', τουτέστιν ἐπειδή ἐστι τρία, καὶ τὸ ἓν εἰς δύο διαιρεῖται,
τέτταρα ἄρα. τοιαύτην ὁ Πλούταρχος ἀπολογίαν λέγει τοῦ ἐπειδή. ἔστι
δὲ τὸ μὲν ἀκίνητον τὸ πρακτὸν ἀγαθόν, τὸ δὲ κινοῦν καὶ
κινούμενον τὸ ὀρεκτικόν. εἴπομεν ὅτι τὸ ὀρεκτὸν πρακτὸν ἀγαθὸν 20
10 ἐκάλεσε· τὸ δὲ πρακτὸν προσέθηκε χωρίζων αὐτὸ ἀπὸ τοῦ καθ' ἑαυτὸ
ὑφεστῶτος ἀγαθοῦ. τὴν δὲ ὄρεξιν τὴν κινοῦσαν καὶ κινουμένην ὀρεκτικὸν
ἐκάλεσεν. κινεῖται γὰρ τὸ κινοῦν ᾗ ὀρέγεται. φησὶν ὅτι τὸ ὀρεκτικὸν κινούμενον κινεῖ, καὶ δῆλον· κινεῖται γὰρ τὸ κινοῦν, καθὸ ὀρέγεται, ἐπειδὴ ἡ ὄρεξις κίνησίς τίς ἐστιν. εἶτα ἐπειδὴ ἔφη τὴν ὄρεξιν κίνησιν
15 εἶναι, βούλεται δὲ τὴν ψυχὴν ὀρέγεσθαι μέν, μὴ κινεῖσθαι δέ, διὰ τοῦτο 25
διορθοῦται τὸ λεχθὲν καί φησιν ὅτι ἡ γὰρ ὄρεξις ἢ κίνησίς ἐστιν ἢ
ἐνέργεια. καὶ ἀποδεκτέον ὅτι ἐνέργεια, διὰ τὸ μὴ κινεῖσθαι τὴν ψυχήν,
καὶ ὅτι ἡ κίνησις ἀτελής ἐστιν ἐνέργεια, ἡ δὲ ὄρεξις τελεία· διὸ κίνησιν
αὐτὴν εἰπὼν οὐκ ἐνέμεινε.

20 p. 433b19 Διὸ καὶ ἐν τοῖς κοινοῖς σώματος καὶ ψυχῆς ἔργοις θεωρητέον περὶ αὐτῶν.

Περὶ τῶν συντελούντων, φησίν, εἰς κίνησιν ἐν τοῖς κοινοῖς σώματος καὶ ψυχῆς ἔργοις σκεπτέον, τουτέστιν ἐν τῇ Περὶ ζῴων ἱστορίᾳ. τὸ γὰρ ζῷον κοινόν ἐστιν ἐκ σώματος καὶ ψυχῆς· ἡ δὲ κατὰ τόπον κίνησις οὔτε
25 ψυχῆς μόνης ἂν εἴη (ἀκίνητος γὰρ αὕτη) οὔτε σώματος μόνου. νυνὶ δὲ 35
περὶ ψυχῆς μόνης ἐστὶν ἡ πραγματεία. ἰστέον δὲ ὅτι τὸ πνεῦμα τὸ
ὀρεκτικὸν τὸ κινοῦν ἐν τοῖς νεύροις ἐστί. διὸ δεῖ ὥσπερ ἐν κύκλῳ μένειν τι καὶ ἐντεῦθεν ἄρχεσθαι τὴν κίνησιν. εἶτα, φησίν, εἰ κίνησις ὥσει καὶ ἕλξει γίνεται, ἀνάγκη τὸ μὲν μένειν. τὸ δὲ κινεῖσθαι, ὥσπερ
30 καὶ ἐν τῷ κύκλῳ περὶ μένον τὸ κέντρον ἡ κίνησις γίνεται. καὶ σημειωτέον ὡς λελῃθότως κατασκευάζει ὅτι περί τι μένον πάντως ἡ κίνησις τῶν βαδιστικῶν ζῴων· ἐπὶ γὰρ ἰχθύων καὶ ἑρπετῶν καὶ τῶν τοιούτων οὐκ ἀναλογεῖ ἡ κίνησις τῇ κυκλικῇ κινήσει· ἐπὶ ἐκείνων γὰρ ἡ κίνησις οὐ γίνεται περὶ μένον τι.

---

1 ἀπόδοσι (sic) D: ἀποδίδοσιν t τοιουτοτρόπως scripsi: τοιοῦτο τρόπος D: τοιούτω τρόπω t 2 τρία] τρίτον D 5 εἶτα προσυπακούει—ὀρεκτικόν (9) iterat D 7 τοιαύτην om. D 8 τὸ (ante πρακτὸν) Arist.: τοῦτο Dt 9 ὀρεκτὸν] ὀρεκτικὸν D 10 καθ' ἑαυτοῦ D 12 κινοῦν Dt: κινούμενον Arist. vulg.: ὀρεγόμενον Arist. TXy 13 κινοῦν scripsi: κινούμενον Dt 16 ὄρεξις ἢ κίνησις Dt: ὄρεξις κίνησις Arist. plerique: κίνησις ὄρεξις EL ἐστιν Dt Arist. TWXy: ante ἐστιν add. τίς Arist. vulg. 16. 17 ἢ ἐνέργεια Arist. plerique 20 διὸ καὶ D: διὸ t Arist. 25 μόνου] μόνον t 28 εἰ om. D 31 λελῃθότος t

p. 433b28 Ὀρεκτικὸν δὲ οὐκ ἄνευ φαντασίας. s 3r

Καλῶς τοῦτο εἶπεν· ἀνάγκη γὰρ τὸ ὀρεγόμενον φαντασθὲν τὸ ὀρεκτὸν ὀρεχθῆναι. τοῦτο δὲ εἴρηται καλῶς ἐπὶ τῶν μετὰ φαντασίας ὀρεγομένων· κοινὸν γὰρ τὸ τῆς ὀρέξεως. ὄρεξις γάρ ἐστι καὶ ἄνευ συναισθήσεως, ἥτις καὶ ἐπὶ τῶν φυτῶν ἐστι καὶ ἐπὶ τῶν ἀψύχων, οἷον ἔχει ὄρεξιν ὁ λίθος, καθ' ἣν ἐφίεται τοῦ κάτω τόπου, καὶ τὸ πῦρ ἔχει ὄρεξιν, καθ' ἣν ἐφίεται τοῦ ἄνω τόπου. ἔστι πάλιν ὄρεξις καὶ μετὰ φαντασίας· ἔστι πάλιν ἄλλη ὄρεξις ἡ μετὰ τοῦ πρακτικοῦ νοῦ, ἥτις καὶ διαφέρει τῆς μετὰ τῆς φαντασίας ὀρέξεως· ὅπου μὲν γὰρ ἡ μετὰ νοήσεως ὄρεξις, ἐκεῖ καὶ ἡ s 3v μετὰ φαντασίας, οἷον ἐπὶ τῶν ἀνθρώπων ἀμφότεραί εἰσιν αἱ ὀρέξεις, καὶ ἡ μετὰ νοήσεως καὶ ἡ μετὰ φαντασίας, τὰ δὲ ἄλλα τῶν ζῴων τὴν μετὰ φαντασίας καὶ μόνον ὄρεξιν ἔχουσιν, ἐὰν ἄρα ἔχωσι τὴν φαντασίαν. ἔστι δὲ καὶ ἄλλην εἰπεῖν διαφοράν, ὅτι ἡ ὄρεξις ἡ μετὰ τοῦ πρακτικοῦ νοῦ δύναται βουλεύεσθαι· βουλεύεσθαι δέ ἐστι τὸ προαιρεῖσθαι, προαιρεῖσθαι δὲ τὸ τόδε πρὸ τοῦδε αἱρεῖσθαι, οἷον πότερον δεῖ περιτυχεῖν τῷ φίλῳ ἢ οὔ, καὶ αἱρεῖται ὅτι δεῖ· καὶ ἆρα ἐν τῷ αὐτῷ τόπῳ μένοντα ἢ ἐκδημοῦντα, καὶ αἱρεῖται ὅτι ἐκδημοῦντα· καὶ ἆρα διὰ θαλάττης ἢ γῆς, καὶ αἱρεῖται διὰ γῆς· καὶ διὰ γῆς πῶς, πεζῇ ἢ ἄλλως πως. λοιπὸν συνάγει ἐκ τῶν πολλῶν τούτων ἕν τι, ὅτι δεῖ ἰδεῖν τὸν φίλον ἐκδημοῦντα διὰ γῆς πεζῇ. ταύτῃ οὖν διαφέρει ἡ μετὰ τοῦ πρακτικοῦ νοῦ ὄρεξις τῆς μετὰ φαντασίας. καὶ σημειωτέον ὅτι τὸν πρακτικὸν νοῦν καὶ τὴν κυρίως φαντασίαν τὰ δύο ταῦτα κοινῶς φαντασίαν καλεῖ. ταύτης μὲν οὖν καὶ τὰ ἄλλα ζῷα μετέχει. ὁ καί σύνδεσμος διὰ τοὺς ἀνθρώπους πρόσκειται· ταύτης γάρ, φησί, τῆς φαντασίας μετέχει καὶ τὰ ἄλλα ζῷα καὶ ὁ ἄνθρωπος. ποίας δὲ λέγει φαντασίας: τῆς συζύγου τῇ αἰσθήσει. ἀορίστως δ' ἔνεστιν. ἐν τοῖς ζωοφύτοις, φησίν, ἀορίστως ἐστὶν ἡ φαντασία, ὡς δηλοῖ τὸ ἀόριστον τῆς κινήσεως αὐτῶν. ἀόριστον δὲ καλεῖ τῶν ζωοφύτων τὴν κίνησιν διὰ τὸ μὴ ὁμοίως συστέλλεσθαί τε καὶ διαστέλλεσθαι, ἀλλά ποτε μὲν μᾶλλον, ποτὲ δὲ ἧττον· ἢ ἀορίστως λέγει ἀντὶ τοῦ ἀμυδρῶς καὶ πεπλανημένως. καὶ ἀνάγκη ἑνὶ μετρεῖν· τὸ μεῖζον γὰρ διώκει. ὥσπερ οἱ τέκτονες τῷ αὐτῷ μέτρῳ τῷ πηχυαίῳ καὶ τὰ μείζονα καὶ τὰ ἐλάττονα τῶν ξύλων καταμετροῦσιν, οὕτω καὶ τὸ ὀρεκτικόν, φησί, τὸ ἐν τοῖς ἀνθρώποις τῷ αὐτῷ ἀγαθῷ τὰς ἐναντίας ὀρέξεις μετρεῖ καὶ τὸ μεῖζον ἀγαθὸν αἱρεῖται, καὶ πρὸς ἐκεῖνο κινεῖται. ὥστε δύναται ἓν ἐκ πλειόνων φαντασμάτων ποιεῖν. ἐπειδή, φησί, βουλευτική ἐστιν ἡ ἐν τοῖς ἀνθρώποις φαντασία (πρὸς τοῦτο γὰρ ἀποδοτέον τὸν λόγον), διὰ τοῦτο καὶ ἓν ἐκ πλειόνων φαντα-

1 ὀρεκτικὸν t Arist.: ὀρεκτὸν D 2 φαντασθέντας D 3 κατὰ φαντασίας t 8 τῆς ante μετὰ om. D 12 ὄρεξιν om. t ἄρα ἔχουσι D 15 πότερον] πρότερον t 16. 17 μένοντι et bis ἐκδημοῦντι t 19 ἰδεῖν scripsi coll. p. 593, 2: εἰδέναι Dt 21 σημειοτέον t 22 φαντασίας t 30 ἑνὶ] ἐν ἢ D 32 τὸ ἐν τοῖς ἀνθρώποις om. D 34 et 36 ἓν ἐκ Arist.: ἓν om. Dt

σμάτων δύναται ποιεῖν, τουτέστιν ἓν κοινὸν φάντασμα ἐκ πολλῶν μερικῶν 8 3v
φαντασμάτων, ὡς ἀνωτέρω μικρὸν εἴπομεν ὅτι δεῖ τὸν φίλον ἰδεῖν ἐκδη-
μοῦντα διὰ γῆς πεζῇ. ἡ μὲν οὖν βουλευτικὴ φαντασία τοιουτοτρόπως ἓν
κοινὸν φάντασμα ποιεῖ, ἡ δὲ ἄλογος οὐκέτι. καὶ τὴν αἰτίαν αὐτὸς ἐπάγει
5 λέγων ὅτι δόξαν οὐκ ἔχει τὰ ἄλογα. δόξαν δὲ οὐκ ἔχει, ὅτι μὴ συλλο-
γίζεται· ἡ γὰρ δόξα διανοίας ἐστὶν ἀποτελεύτησις, ἡ δὲ διάνοια διὰ συλλο-
γισμοῦ τὸ πρακτὸν εὑρίσκει. τεσσάρων ὄντων, φαντασίας, βουλευτικοῦ, 25
δόξης, λογιστικοῦ, τὸ βουλευτικὸν ταὐτὸν οἴονταί τινες ἐν ἡμῖν τῷ λογιστικῷ.
τοῦτο δὲ ἄτοπον· εἰ γὰρ μὴ ταὐτὸν φαντασία καὶ δόξα ἐν ἡμῖν, οὐδὲ τὰ
10 ἑπόμενα τούτοις τὰ αὐτά ἐστιν ἀλλήλοις, βουλευτικὸν καὶ λόγος. ἕπεται
γὰρ τῇ μὲν ἐν ἡμῖν φαντασίᾳ τὸ βουλευτικόν, τῇ δὲ δόξῃ τὸ λογικόν.

p. 434a14 Ὅταν ἀκρασία ἐνῇ.

Ἄλλο ἐστὶν ἀκρασία καὶ ἄλλο ἀκράτεια· ἀκρασία μὲν γάρ ἐστιν ἡ 30
μάχη τῶν παθῶν καὶ τοῦ λόγου, ὅταν μηδέπω μηδὲν κρατήσῃ, ἀλλ'
15 ἀμφήριστος ἡ μάχη καθέστηκεν, ἀκράτεια δέ ἐστιν, ὅταν τὰ πάθη κατα-
κρατήσωσι τοῦ λόγου.

p. 434a16 Τὸ δὲ ἐπιστημονικὸν οὐ κινεῖται, ἀλλὰ μένει.

Ἐπιστημονικὸν καλεῖ τὸν θεωρητικὸν νοῦν· τούτῳ δὲ συμφυὴς ἡ
στάσις, ὡς πολλάκις εἴρηται· ἱστάμενοι γὰρ νοοῦμεν μᾶλλον. 35

20 p. 434a16 Ἐπεὶ δ' ἡ μὲν καθόλου ὑπόληψις καὶ λόγος, ἡ δὲ
τοῦ καθ' ἕκαστα.

Ἐντεῦθεν συλλογισμὸν παρατίθεται καὶ ζητεῖ ποία τούτου πρότασίς
ἐστιν ἡ κινοῦσα. δύο γάρ, φησίν, οὐσῶν τῶν ὑπολήψεων, τουτέστι τῶν 40
προτάσεων, τῆς μὲν καθόλου τῆς δὲ μερικῆς, ἤγουν τῆς μὲν ἐλάττονος,
25 ἣν εἶπε μερικήν, τῆς δὲ μείζονος, ἣν εἶπε καθόλου, ζητητέον τὴν κινοῦ-
σαν. ὑπαινίττεται δὲ τοιοῦτον συλλογισμόν 'ἐγὼ τὸν πολέμιον ἐφόβησα·
πᾶς ὁ τὸν πολέμιον φοβῶν ἀριστεύς· ἐγὼ ἄρα ἀριστεύς. πάντα δὲ ἀριστέα
στεφανοῦσθαι δεῖ· καὶ ἐμὲ ἄρα στεφανοῦσθαι δεῖ. ἐν ταύταις μείζων μὲν
πρότασίς ἐστιν ἡ λέγουσα 'πάντα ἀριστέα στεφανοῦσθαι δεῖ', ἐλάττων δὲ
30 ἡ λέγουσα ἐγὼ ἀριστεύς'. νυνὶ γὰρ ὡς ἐπὶ τοῦ δευτέρου συλλογισμοῦ 45
τὸν λόγον ποιούμεθα· διὰ τοῦτον γὰρ ὁ πρῶτος εἴληπται. ἐν ταύταις οὖν
ταῖς προτάσεσιν ἡ ἐλάττων μᾶλλόν ἐστιν ἡ κινοῦσα, ὡς ἤδη εἴπομεν. ἡ
δὲ μείζων εἰ μὲν καθολικωτάτη ἐστί, παντοίως ἀκίνητός ἐστιν, μᾶλλον δὲ

---

3 τοιοῦτο τρόπως t: τοιουτρόπως (ω ex ρ corr.) D 6 γὰρ δόξαν t 12 ἐνῇ D Arist. EL: γένηται t Arist. vulg. 15 ἀμφήριστος scripsi: ἀμφίριστος D: ἀμφόριστος t 17 δὲ om. D 18 τοῦτο D 20 post μὲν add. τοῦ t Arist. y 27 ὁ τῶν t ante πάντα add. ἐγὼ t 28 μὲν μείζων coll. D 30 ante ἐγὼ add. εἰ D 31 τοῦτον scripsi: τούτων Dt

ἧττον κινεῖ τῆς ἐλάττονος, ὅσον ἧττον αὐτῆς καθόλου ἡ ἐλάττων. διὸ δεῖ s 3v
τῇ ἐλάττονι μᾶλλον δοῦναι τὴν κίνησιν. αἰνίττεται δὲ τοὺς δύο συλλογι-
σμοὺς διὰ τριῶν προτάσεων. τὴν μίαν γὰρ κοινὴν λαμβάνει, τοῦ μὲν
πρώτου συμπέρασμα, τοῦ δὲ δευτέρου πρότασιν. φησὶ γὰρ οὕτως ἡ μὲν 50
5 γὰρ λέγει ὅτι δεῖ τὸν τοιοῦτον τὸ τοιόνδε πράττειν· αὕτη ἐστὶν
ἡ μείζων πρότασις τοῦ πρώτου συλλογισμοῦ ἡ λέγουσα ὅτι τὸ φοβῆσαι
πολέμιον ἀριστεῦσαί ἐστι. κἀγὼ δὲ τοιόσδε· αὕτη ἐστὶν ἡ κοινὴ πρό-
τασις, ἥτις συμπέρασμά ἐστι τοῦ πρώτου συλλογισμοῦ, πρότασις δὲ τοῦ
δευτέρου, ἡ λέγουσα 'κἀγὼ δὲ ἀριστεύς εἰμι'. καὶ ὅρα ὅτι οὐδὲ τῇ τάξει
10 τῶν προτάσεων ὡς ἡμεῖς ἐχρήσατο οὐδὲ οὕτως εἶπε τοὺς ὅρους, ἀλλὰ
παρομοίους τῇ σημασίᾳ τῶν ἡμετέρων ὅρων. ἢ δὴ αὕτη κινεῖ ἡ δόξα,
οὐχ ἡ καθόλου, ὡς ἐν ἀπορίᾳ· ἆρα αὕτη ἡ δόξα ἡ τῆς ἐλάττονος s 4r
κινεῖ καὶ οὐχ ἡ καθόλου πρότασις; εἶτα ἐπιλυόμενός φησιν ἢ ἄμφω,
ἀλλ' οὖν, φησί, τούτων τῶν προτάσεων μᾶλλον ἠρεμεῖ ἡ καθόλου, ὡς
15 εἴπομεν. ἐν οἷς ἡ πρᾶξις.

p. 434a22 Τὴν μὲν οὖν θρεπτικὴν ψυχὴν ἀνάγκη πᾶν ἔχειν ὅτι περ ἂν ζῇ καὶ ψυχὴν ἔχει ἀπὸ γενέσεως καὶ μέχρι φθορᾶς, καὶ τὰ ἑξῆς.

Ἐπειδὴ τῶν ἐμψύχων τὰ μὲν ὅλως ἐστὶν ἀκίνητα, καθάπερ τὰ φυτά,
20 τὰ δὲ κινεῖται, καθάπερ τὰ ζῷα, καὶ τῶν κινουμένων τὰ μὲν καθ' ὅλα
ἑαυτὰ κινεῖται, ὡς τὰ πορευτικά, τὰ δὲ ἀπὸ μέρους, καὶ τούτων τὰ μέν 10
ἐστιν ὑποσέληνα, ὡς τὰ ζῳόφυτα, τὰ δὲ ὑπερσέληνα, καθάπερ τὰ οὐράνια.
διὰ τοῦτο οὖν ἐπὶ τοῦ παρόντος ὁ φιλόσοφος ἐν τῇ παρούσῃ θεωρίᾳ δια-
κρίνει τὰ πορευτικὰ τῶν παντελῶς ἀκινήτων καὶ τῶν κινουμένων μέν,
25 ἀπὸ μέρους δὲ ποιουμένων τὴν κίνησιν· ὡς ἐξ ἀνάγκης τριπλῆν γίνεσθαι
τὴν διάκρισιν τοῦ πορευτικοῦ, λέγω δὴ πρὸς τὰ φυτὰ καὶ τὰ ζῳόφυτα καὶ
πρὸς τὰ οὐράνια. ἄρχεται δὲ τῆς τῶν φυτῶν καὶ τῶν πορευτικῶν διακρί-
σεως, εἰ γὰρ καὶ ἑκάτερα, φησί, τὴν θρεπτικὴν ἔχει ψυχήν, ἀλλ' οὖν τὰ
μὲν φυτὰ οὐκ ἔχει αἰσθητικήν, τὰ δὲ πορευτικὰ ζῷα ἔχει αἰσθητικήν. 15
30 καὶ τούτων ἑκάτερον διὰ δύο ἐπιχειρημάτων δείκνυσι, καὶ πρῶτον ὅτι τὰ
φυτὰ οὐκ ἔχει αἰσθητικὴν εἰκότως. πρόεισι δὲ τῶν λόγων ὁ μὲν ἀπὸ τοῦ
σώματος τῶν φυτῶν, ὁ δὲ ἀπὸ τῆς ψυχῆς. καὶ ἔστιν ὁ ἀπὸ τοῦ σώμα-
τος οὗτος· τὰ φυτά, φησίν, ἁπλοῦν τι δοκοῦσιν εἶναι· εἰ γὰρ καὶ ἐκ τῶν
τεσσάρων στοιχείων συνίστανται, ἀλλ' οὖν τοσοῦτον ἐπικρατεῖ τὸ γήϊνον ἐν
35 αὐτοῖς, ὡς ἐξ αὐτοῦ μόνου δοκεῖν εἶναι. τὸ δὴ γεῶδες ἀναίσθητον, ὡς
μαρτυρεῖ τὰ ἐν ἡμῖν αἰσθητικοῖς οὖσιν γεώδη μόρια μὴ αἰσθανόμενα, λέγω 20

---

1 ἑαυτῆς D ἡ ἐλάττων om. D 2 τοὺς iterat D 4 εἰ μὲν D
7 τοιόσδε t 11 ἢ δὴ scripsi: ἢ δὴ Dt: ἤδη Arist. 12 ὡς om. t 14 ἀλλ' οὖν scripsi: ἄλλως Dt ἡ scripsi: ἢ D: om. t 15 post πρᾶξις add. πρᾶξις σὺν θεῷ ιη marg. D² 17 ἔχει Dt Arist. vulg.: ἔχῃ Arist. X καὶ μέχρι D Arist. ELW: καὶ om. t Arist. vulg. 20 καθόλου t 26 δὴ scripsi: δὲ Dt τὰ ante ζῳόφυτα om. D 27 τῶν πορευτικῶν scripsi: τὸ πορευτικὴν D: ἐπορευτικῶν t

δὴ ὀστᾶ καὶ τρίχες καὶ ὄνυχες. πῶς γὰρ ἂν κτήσαιντο αἴσθησιν τὰ πρὸς s 4r
τῷ γηίνῳ τυγχάνοντα, εἴ γε τὰ τοιαῦτα ἀφὴν ἔχειν οὐ δύνανται; αὕτη
γὰρ πλειόνων ἀντιθέσεων ἀντιλαμβανομένη ἐκ πλειόνων καὶ ἴσως ἰσοσθε-
νούντων θέλει συγκεῖσθαι. τοῦτό ἐστι τὸ πρῶτον ἐπιχείρημα τὸ ἐκ τοῦ
5 σώματος τῶν φυτῶν. τὸ δὲ ἀπὸ τῆς ψυχῆς ὧδέ πως ἔχει. οὐκ ἔχει,
φησίν, αἴσθησιν τὰ φυτά· ἤμελλε γὰρ τῶν αἰσθητῶν εἰδῶν ἄνευ ὕλης ἀντι-
λαμβάνεσθαι. νυνὶ δὲ οὐκ ἀντιλαμβάνεται· μάτην γὰρ ἀντιλήψεται μήτε 25
τοῖς ἡδέσι προσιέναι δυνάμενα διὰ τὸ ἐρριζῶσθαι καὶ ἀκινητεῖν μήτε τὰ
λυπηρὰ ἐκκλῖναι. ὅτι δὲ τὰ πορευτικὰ δικαίως καὶ ἀναγκαίως ἔχουσιν
10 αἴσθησιν διὰ β̄ λόγων ἔστιν ἀποδεῖξαι, ὧν ὁ πρῶτός ἐστι τοιοῦτος· εἰ μὴ
ἔχουσι, φησίν, αἴσθησιν τὰ πορευτικά, μάτην τε καὶ ἐπὶ κακῷ κινηθήσε-
ται, τὸ μὲν ἀγνοοῦν ἔνθα τὸ τέλος ἐστὶ τῆς κινήσεως, τὸ δὲ κατὰ κρημ-
νῶν φερόμενον, διότι οὐ διακρίνει αἰσθήσει. φύσις δὲ οὐδὲν πρὸς ἐπιβουλὴν
ποιεῖ τῶν ζῴων, ἀλλὰ πάντα πάντως ἢ ἕνεκά του ποιεῖ ἢ συμπτώματα 30
15 τῶν ἕνεκά του. ἔστι δὲ τούτων ἑκάτερον ἐκ τῶν τριχῶν πιστώσασθαι.
αἱ μὲν γὰρ ἐν τῇ κεφαλῇ καὶ ταῖς βλεφαρίσι καὶ τῷ γενείῳ τρίχες ἕνεκά
του γεγένηνται· αἱ μὲν γὰρ σκέπης χάριν, ὡς αἱ τῆς κεφαλῆς, αἱ δὲ
φυλακῆς, ὡς αἱ βλεφαρίτιδες, αἱ δὲ διὰ κόσμον, ὡς ἐπὶ τοῦ γενείου. αἱ
δὲ κατὰ τὰς μασχάλας καὶ ἐν τῇ κεφαλῇ ἐν τῷ γήρᾳ πολιαὶ ἕνεκά του
20 μὲν οὔκ εἰσι, συμπτώματα δὲ τῶν ἕνεκά του ὑπάρχουσιν· αἱ μὲν γὰρ διὰ 35
τὴν πλεονάζουσαν ἐν τῇ μασχάλῃ θερμότητα καὶ ὑγρότητα γίνονται, αἱ δὲ
διὰ τὸ ἐν τῷ σώματι τηνικαῦτα πλεονάζον φλέγμα. τὸ δὲ δεύτερον ἐπι-
χείρημα τοιοῦτόν ἐστιν· ἀνάγκη συναίσθησιν ἔχειν τὰ πορευτικά· πολλαῖς
γὰρ ὁμιλοῦντα τροφαῖς διὰ τὸ κινεῖσθαι γνωστικῆς δυνάμεως δεῖται δια-
25 κρῖναι δυναμένης τὴν οἰκείαν τροφὴν ἀπὸ τῆς ἀλλοτρίας. τὰ γὰρ φυτὰ
ταύτης οὐ δεῖται, διά τε τὸ μὴ κινεῖσθαι διά τε τὸ παρακείμενον ἔχειν
τὸ τρέφον, τουτέστι τὴν γῆν. οὕτω διακρίνας τὰ πορευτικὰ τῶν φυτῶν
διακρίνει αὐτὰ καὶ τῶν ζωοφύτων. τὰ ζωόφυτα, φησίν, οὐκ ἔχει τὰς
τελειοτέρας αἰσθήσεις, ὄψιν καὶ ἀκοὴν καὶ ὄσφρησιν, τὰ δὲ πορευτικὰ καὶ 40
30 ταύτας ἐκτήσατο. καὶ ὁ ἀσπάλαξ γὰρ ἔχει τὴν ὄψιν, εἰ καὶ λεπτῷ
χιτῶνι καλύπτεται διὰ τὴν εἰς τὴν γῆν συνεχῆ κατάδυσιν. οἱ γὰρ σκώ-
ληκες εἰ καὶ μὴ ἔχουσιν ὄψιν κινούμενοι, ἀλλ' οὖν ἡ φύσις διὰ τῆς
μαλακότητος τὴν χρείαν ἀνεπλήρωσεν. οὕτω διακρίνας καὶ ἀπὸ τῶν ζωο-
φύτων τὰ πορευτικὰ μέτεισι καὶ ἐπὶ τὴν τῶν οὐρανίων διάκρισιν καί φησι
35 ταῦτα διαφέρειν τῶν πορευτικῶν τῷ τὰ μὲν πορευτικὰ καὶ φυτικὴν ἔχειν
καὶ αἰσθητικὴν ψυχήν, τὰ δὲ οὐράνια μόνην λογικήν. ταῦτα περὶ τῶν 45
οὐρανίων εἰπὼν ἐπιφέρει λέγων 'διὰ τί γὰρ ἕξει ἄλογον'; τοῦτο δὲ τὸ ῥησεί-
διον ἄλλως μὲν ὁ Ἀλέξανδρος, ἄλλως δὲ ὁ Πλούταρχος ἐξηγήσατο. Ἀλέ-
ξανδρος μὲν γὰρ ἔφη 'διὰ τί γὰρ ἕξει τὰ οὐράνια αἴσθησιν'; οὔτε γὰρ τῷ

---

1 δὴ scripsi: δὲ Dt κτήσοιντο D 7 νῦν δὲ t 8 ἡδέσι] εἴδεσι D 12 ἀγνοοῦν scripsi: ἀγνοὸν D:ἀγνοοῦ t 12. 13 κατὰ κρημνὸν D 16 βλεφαρίσι scripsi: βλεφαρίτισι Dt 21 γίνονται om. t 24 δεῖται om. D 27 διακρίνας] διακρίναι t 30 ἀσπάλαξ scripsi: ἀσφάλαξ Dt γὰρ om. t 33 ἀνεπλήρωσαν t 35 φυτικὴν t

σώματι τούτων ἄμεινον αἴσθησιν ἔχειν οὔτε τῇ ψυχῇ, τῷ μὲν σώματι, s 4r
διότι τοῖς παθητοῖς σώμασι συμβάλλοιτ' ἂν ἡ αἴσθησις, τῶν φθαρτικῶν
αὐτὰ διείργουσα, τοῖς δὲ οὐρανίοις ἀπαθέσιν οὖσιν οὐδὲν συμβάλλεται, καὶ
ὅτι τὰ αἰσθανόμενα πάσχοντα αἰσθάνονται. ταῦτα δὲ ἀπαθῆ καὶ ἀθάνατά 50
5 ἐστιν. ἀλλ' οὐδὲ τῇ ψυχῇ αὐτῶν συνοίσει, διότι τὰ τὴν αἴσθησιν ἔχοντα
πρὸς ἀνάμνησιν τῶν καθόλου ταύτην ἐκτήσαντο, ἵνα ἐξ ὧν ἐν τοῖς καθ'
ἕκαστα διὰ τῶν αἰσθήσεων εὑρίσκουσιν. ἐπὶ τοὺς ἐνυπάρχοντας καθολικοὺς
λόγους ἀνάγωνται, τὰ δὲ οὐράνια τῆς αἰσθήσεως οὐ δεῖται· ἀεὶ γὰρ
νοερῶς ἐνεργεῖ καὶ οὐδέποτε τῶν καθόλου ἀφίσταται. ἡ δὲ αἴσθησις
10 μερικῶν ἐστιν ἀντιληπτική· περὶ ταῦτα οὖν ἐκκρουομένη καὶ ἐνειλου-
μένη οὐκ ἐᾷ τὸν νοῦν ἀπασχολεῖσθαι | τοῖς καθόλου, ἀλλ' ἔοικε φλυάρῳ s 4v
γείτονι ὁμιλοῦντι πολλὰ καὶ ἐκκρούοντι τὸν ἀναγινώσκοντα. οὕτω μὲν
οὖν ὁ Ἀλέξανδρος, καὶ κατ' αὐτὸν οὐκ ἔχει τὸ ῥητὸν τὴν οὐ ἄρνησιν, ἀλλ'
οὕτως ἐστὶ 'διὰ τί γὰρ ἕξει', καὶ ἐξηγεῖται αὐτὸ ἐρωτηματικῶς. ὁ δὲ
15 Πλούταρχος τὴν ἐναντίαν βαδίσας προστίθησι τὴν οὐ ἄρνησιν καί φησι
'διὰ τί γὰρ οὐχ ἕξει αἴσθησιν τὰ οὐράνια'; οὔτε γὰρ τῷ σώματι βέλτιόν
ἐστι τὸ μὴ οὕτως ἔχειν· ἄμεινον γὰρ αἰσθητικῷ εἶναι τοῦ ἀναισθήτου, 5
διότι τὸ αἰσθανόμενον τοῦ ἀναισθήτου τιμιώτερόν ἐστιν. εἰ δὲ εἴποις
'οὐκοῦν πάσχοντα αἰσθάνεται καὶ οὐκέτι ἀπαθῆ καὶ ἀθάνατα', λέγω ὅτι
20 οὔ· ἐπὶ γὰρ τῶν ὑπὸ σελήνην ἀληθής ἐστιν ὁ λόγος, ὅτι πάσχοντα αἰσθά-
νονται. ἐκεῖνα δὲ μηδὲν πάσχοντα αἰσθάνεται. ὥστε συμβάλλεται αὐτῶν
τῷ σώματι ἡ αἴσθησις. ἀλλὰ καὶ τῇ ψυχῇ αὐτῶν συμβάλλεται· οὐ γὰρ
ἐμποδίζει αὐτῇ πρὸς τὴν εἴδησιν τῶν καθόλου, διότι διὰ μὲν τῶν αἰσθή-
σεων τὰ μερικὰ γινώσκομεν, ἐκ δὲ τῶν μερικῶν ἀναγόμεθα ἐπὶ τὰ καθό- 10
25 λου, καὶ ὅτι, ἐὰν ἄρα ἐφ' ἡμῶν ὁ λογισμὸς ὑπὸ τῆς αἰσθήσεως ὥσπερ
ὑπὸ φλυάρου γείτονος δικαίως ἐκκρούεται, παρ' οἷς καὶ ὁ τῆς κακίας ἐστὶν
ἵππος, ἐπὶ τῶν οὐρανίων οὐκ ἂν ἐκκρούοιτο, παρ' οἷς ὁ τῆς κακίας ἵππος
οὐκ ἔστι. θεῶν γὰρ ἵπποι, καθάπερ φησὶν ὁ ἐν Φαίδρῳ Σωκράτης, ἀγα-
θοί τε καὶ ἐξ ἀγαθῶν, ἐμφαίνοντος τοῦ λόγου τὴν τῶν ἐν τοῖς οὐρανίοις
30 ψυχῶν συμφωνίαν· ἅμα γὰρ ἀναγωγὸς ἐνεργεῖ καὶ καταγωγός, καὶ οὐκ
ἐμποδίζει αἴσθησις ἐκεῖ· ὥστε συμβάλλεται τῇ ψυχῇ πρὸς τὴν γνῶσιν 15
τῶν μερικῶν καὶ τῶν καθόλου ἡ αἴσθησις. εἶτα ὁ Πλούταρχος οὐκ ἀνα-
γινώσκει τὴν λέξιν ὡς Ἀλέξανδρος, ἀλλ' οὕτω 'διὰ τί γὰρ τὰ οὐράνια οὐχ
ἕξει αἴσθησιν; ἢ γὰρ τῇ ψυχῇ αὐτῶν βέλτιόν ἐστι τὸ μὴ ἔχειν αἴσθησιν'.
35 καὶ τοσαῦτα μὲν περὶ τῆς λέξεως καὶ τῆς ἐν αὐτῇ τῶν ἐξηγητῶν διαφω-
νίας. ἔξεστι δὲ ἐκ τῶν Ἀριστοτελικῶν ὁρμωμένους ἀποδεῖξαι τὰ οὐράνια
ἀμοιροῦντα αἰσθήσεως· ἔξεστι δὲ καὶ τῶν ἐπιχειρημάτων ἁπάντων ἐκ τῶν
Πλατωνικῶν ἐπενέγκαι τὸν ἔλεγχον. φέρε οὖν, εἰ δοκεῖ, τοῦτο ποιήσωμεν. 20
ὅτι μὲν οὖν λογικὴν ἔχει ψυχὴν τὰ οὐράνια, δῆλον ἅπασιν ἐκ τῆς κινήσεως

---

2 συμβάλοιτ' ἂν t 3 διήργουσα t 8 ἀνάγονται D 19 πάσχονται t
20 ἐπεὶ γὰρ t 21 μηδὲ D 24 γινώσκωμεν t 27 ἐπὶ τῶν — οὐκ ἔστι (28) om. D 28 ἐν Φαίδρῳ] p. 246 A 34 ἢ γὰρ scripsi: ἢ γὰρ Dt post αἴσθησιν fort. addendum ἢ τῷ σώματι 38 ποιήσομεν t

αὐτῶν· ἡ γὰρ ἐν τῷ αὐτῷ κυκλικὴ κίνησις ὑπ' οὐδενὸς ἂν γένοιτο, πλὴν s 4v
ὑπὸ λόγου. περὶ δὲ τῆς αἰσθητικῆς διεφώνησαν· οἱ μὲν γὰρ Ἀριστοτελικοί
φασιν ὡς οὐκ ἔστιν ἐν τούτοις αἴσθησις, εἴ γε ταῦτα μὲν ἀπαθῆ, πάσχει
δὲ τῆς αἰσθήσεως τὸ ὑποκείμενον. ἀλλά, φαῖεν ἂν οἱ Πλατωνικοί, ὦ
5 Ἀριστότελες, ἐφ' ἡμῶν πάσχοντος τοῦ ὑποκειμένου κρίνει τὸ πάθος ἡ
δύναμις, ἐπὶ δὲ τῶν οὐρανίων μόνη κρίσις ἐστὶ τῶν εἰδῶν ἄνευ πάθους. 25
πῶς γὰρ οὐκ ἄτοπον τὸν μὲν ἀέρα καὶ τὸ ὕδωρ ἄνευ πάθους διακονεῖν
τὰ εἴδη τῶν αἰσθητῶν καὶ ὑποδέχεσθαι, τὰ δὲ οὐράνια μὴ δύνασθαι πάθους
χωρὶς τῶν αἰσθητῶν ἀντιλαμβάνεσθαι. ἀλλ' εἰ ἔχουσι, φασὶν οἱ Ἀριστο-
10 τελικοί, τὰ οὐράνια αἴσθησιν, καὶ ἁφὴν ἕξουσι πάντως· ἡγεῖται γὰρ αὕτη
πασῶν τῶν αἰσθήσεων ὡς χεῖρον, ὅπου δὲ τὸ κρεῖττον, καὶ τὸ χεῖρον. πῶς
δ' ἂν ἔχοιεν ἁφήν, εἴ γε ἡ μὲν ἁφὴ δεῖται πλειόνων στοιχείων πρὸς γένεσιν
ὡς πλειόνων ἀντιλαμβανομένη, ἐκ μόνης δὲ τῆς πέμπτης οὐσίας τὰ οὐράνια; 30
εἰ δὲ εἴη τὰ οὐράνια ἐκ τῶν στοιχείων, εἴη ἂν καὶ φθαρτά. πρὸς ὅ φασιν
15 οἱ Πλατωνικοὶ ὅτι οὐκ ἀνάγκη τὴν ἁφὴν ἔχειν τὰ οὐράνια· παρ' ἡμῖν
γὰρ ἴσως ἡγεῖται τῶν κρειττόνων τὰ χείρω καὶ σύνεστιν, ἐπ' ἐκείνων δὲ
καὶ αὐτὸς Ἀριστοτέλης τὸν λόγον ἠθέτησεν· ἔφη γὰρ αὐτὰ λογικὴν ἔχειν
μὴ ἔχοντα τὴν ἄλογον. ὅσον δ' ἐπὶ τῷ λόγῳ καὶ ἐν τῷ αὐγοειδεῖ σώματι
πάντως ἔσται καὶ ἡ ἄλογος καὶ ἡ φυτική, εἴπερ ὅπου τὰ κρείττω, καὶ τὰ
20 χείρω, ὅπερ ἄτοπον. οὐκ ἔστιν οὖν πάντως ἐπὶ πάντων, ἔνθα τὸ κρεῖττον, 35
καὶ τὸ χεῖρον. πάλιν, φασὶν οἱ Ἀριστοτελικοί, εἰ ἔχουσιν αἴσθησιν τὰ
οὐράνια, πάντως ἕξουσι καὶ ὄργανα· πᾶσα γὰρ αἴσθησις δι' ὀργάνων ἐνεργεῖ· ὁμοιομερῆ δέ ἐστι τὰ οὐράνια. πρὸς ὅ φασιν οἱ Πλατωνικοὶ ὅτι οὐ πάντως δι' ὀργάνων ἡ τῶν αἰσθητῶν ἀντίληψις γίνεται, ὅπου γε καὶ ἐν
25 ἡμῖν ἡ κοινὴ αἴσθησις ἐν ἑνὶ τυγχάνουσα πνεύματι τὰ τῶν πέντε οἶδεν
αἰσθήσεων αἰσθητά, καὶ ἡ ἄλογος δὲ δι' ἑνὸς πνεύματος τὰ αἰσθητὰ
πάντα καταλαμβάνει. διὸ καὶ αὐτὸς ἔφης 'ἡ γὰρ κυρίως αἴσθησις μία καὶ
τὸ κυρίως αἰσθητήριον ἕν'. ἀλλὰ πάλιν φασὶν οἱ Ἀριστοτελικοὶ ὡς τῶν 40
μὲν ζωτικῶν οὐσῶν οὐκ ἀνάγκη τὰς γνωστικὰς εἶναι δυνάμεις, ὡς δηλοῖ
30 τὰ φυτὰ ζωήν, οὐ γνῶσιν ἔχοντα, τῶν δὲ γνωστικῶν οὐσῶν πάντως εἰσὶ
καὶ αἱ ζωτικαί. εἰ οὖν ἔχει τὰ οὐράνια τὴν γνωστικὴν δύναμιν τῆς ἀλόγου, δῆλον ὅτι καὶ τὴν ζωτικὴν αὐτῆς ἕξει δύναμιν, θυμὸν λέγω καὶ ἐπιθυμίαν. ἄτοπον δὲ τὰ οὐράνια λέγειν ἢ ἐπιθυμεῖν ἢ θυμοῦσθαι, ἐπεὶ καὶ ἐφθείροντ' ἄν. πρὸς ὅ φασιν οἱ Πλατωνικοὶ ὅτι ἔχουσιν ἐπιθυμίαν
35 τὰ οὐράνια· ἐφίενται γὰρ τῆς πρὸς τὸν νοῦν μιμήσεως, εἴ γε ὁ μὲν παντα- 45
χοῦ ἐστι, τὰ δὲ πανταχοῦ γίνεται, εἰ καὶ μὴ ἅμα, ἀλλὰ κατὰ μέρος· θυμὸν δὲ οὐκ ἔχουσιν· οὐ γὰρ ἀνάγκη. ἰδοὺ γὰρ καὶ τὰ ζῳόφυτα ἔχοντα ἐπιθυμίαν· ἀνιᾶται γὰρ καὶ ἥδεται· οὐ θυμοῦται· οὐ γὰρ φαίνεται ἀμυνόμενα. καὶ διὰ πέμπτου δὲ ἐπιχειρήματος κατασκευάζουσιν οἱ Ἀριστοτελικοὶ

---

5 ἀριστοτέλης D 13 ἀντιλαμβανομένης t 18 σώματι] σχήματι D 20 supra ἔστιν add. ἄρα, ut vid., D[1] 21 φησὶν t 27. 28 ἡ γὰρ—ἕν] cf. de somno et vigil. 2 p. 455a20 29 ἀνάγκη τὰς] ἀνάγκης t 34 ἐφθείροντ' ἄν scripsi: φθείρονται Dt 35 ἐφίεται t τῆς om. t

ὅτι οὐκ ἔχει αἴσθησιν τὰ οὐράνια. εἰ γὰρ πᾶσα αἴσθησις περὶ τὰ ἐκτὸς s 4v
καταγίνεται, οὐδὲν δὲ ἔξω τῶν οὐρανίων, οὐκ ἄρα αἰσθάνονται. πρὸς ὅ
ἔστιν εἰπεῖν ὅτι καὶ ἐν τοῖς οὐρανίοις ἐστὶν ἔξω· τῆς γὰρ περιφερείας 50
ἔξω ἐστὶν τὸ κέντρον· ὥστε αἰσθάνονται. οἱ δέ γε Πλατωνικοὶ οὕτω
5 κατασκευάζουσιν ὅτι αἰσθάνεται· εἰ τὸ αἰσθάνεσθαι καὶ γινώσκειν, καὶ τὰ
οὐράνια ὡς κρείττω αἰσθάνεται. ταῦτα εἰπὼν ἔρχεται καὶ ἐπὶ τὸ διακρῖναι τὰ
πορευτικὰ τῶν ζωοφύτων. ἀλλ' ἐν τούτοις ἡ θεωρία σὺν θεῷ πληροῦται.

Τὴν μὲν οὖν θρεπτικὴν ἀνάγκη πᾶν ἔχειν ὅτι περ ἂν ζῇ καὶ
ψυχὴν ἔχει. διάκρισιν λέγει ζῴου καὶ φυτοῦ, ὅτι εἰ καὶ ἄμφω ἔχουσι
10 τὴν θρεπτικήν, ἀλλ' οὐκ ἄμφω ἔχουσι τὴν αἰσθητικήν. θρεπτικὴν | μὲν s 5r
γὰρ ἀνάγκη πᾶν ζῶν ἔχειν· εἰ γὰρ μὴ τρέφεται ἀπὸ ἀρχῆς τῆς γενέσεως
μέχρι τῆς φθορᾶς, ταχύτερον φθείρεται καὶ οὐ φθάνει τὴν ἀκμήν· αἴσθη-
σιν δὲ οὐκ ἀνάγκη πάντα τὰ ζῶντα ἔχειν· τὰ γὰρ ἁπλοῦν σῶμα ἔχοντα,
οἷον τὰ φυτά, οὐκ ἀνάγκη ἔχειν αἴσθησιν. ἁπλοῦν δὲ ἔχειν λέγεται σῶμα
15 τὰ φυτά, ἐπειδὴ τῷ γεώδει μόνῳ χαρακτηρίζεται. τῆς δὲ αἰσθήσεως
χωρὶς ἀδύνατον εἶναι ζῷον. αἴσθησιν δὲ οὐκ ἀναγκαῖον ἐν ἅπασι 5
τοῖς ζῶσιν. διττὴ τούτου τοῦ ῥητοῦ φέρεται γραφή. τὰ μὲν γὰρ ἔχει
ἐν ἅπασι τοῖς ζῴοις, τὰ δ' ἐν ἅπασι τοῖς ζῶσιν. ἀλλ' εἰ μὲν τοῖς ζῴοις
ἔχει, ἀντὶ τοῦ τοῖς ζῶσίν ἐστιν, ἵνα συμπεριλάβῃ καὶ τὰ φυτά. τί γάρ
20 φησιν: ὅτι οὐκ ἀνάγκη πᾶν ζωὴν ἔχον καὶ αἴσθησιν ἔχειν. εἰ δὲ ἐν ἅπασι
τοῖς ζῶσιν ἔχει ἡ γραφή, καλῶς ἂν ἔχοι· μᾶλλον γὰρ οὕτως ἔρρωται ἡ
διάνοια. οὔτε γὰρ ὧν τὸ σῶμα ἁπλοῦν, ἐνδέχεται ἁφὴν ἔχειν.
αὕτη ἐστὶν ἡ ἀπὸ τοῦ σώματος κατασκευὴ δεικνύουσα ὅτι οὐκ ἔστιν ἐν τοῖς
φυτοῖς ἁφή.

25 p. 434ª29 Οὐδὲ ὅσα μὴ δεκτικὰ τῶν εἰδῶν ἄνευ τῆς ὕλης. 10

Περὶ τῶν φυτῶν λέγει· ταῦτα γὰρ οὐ δέχεται τὸ εἶδος ἄνευ τῆς
ὕλης, ὡς αἱ αἰσθήσεις, ἀλλὰ μετὰ τῆς ὕλης. ὅσα οὖν, φησίν, οὐ δέχεται 15
τὰ εἴδη καθ' ἑαυτά, οἷον τὰ φυτά, οὐκ ἔχει αἴσθησιν. τὰ δὲ ζῷα ἔχει
αἴσθησιν, ἐπεὶ μάτην ἂν ἦν ἐν αὐτοῖς ἡ κίνησις· μὴ αἰσθανόμενα γὰρ ἐπὶ
30 κακῷ ἐκινεῖτο καὶ εἰς βόθρους ἔπιπτεν· οὐδὲν δὲ μάτην ἢ ἐπὶ κακῷ ἡ
φύσις ποιεῖ, ἀλλ' ἢ ἕνεκά του ἢ σύμπτωμα τῶν ἕνεκά του. καὶ εἴρηται
ποῖά ἐστι ταῦτα. τὰ δὲ φυτὰ ὡς μόνιμα καὶ ἀκίνητα οὐ χρῄζει αἰσθή-
σεως. ἀποροῦσι δὲ λέγοντες ὅτι οὐ μόνον τὰ φυτά ἐστι τὰ μὴ δεχόμενα
τὰ εἴδη ἄνευ τῆς ὕλης, ἀλλὰ καί τινες αἰσθήσεις. ἡ μὲν γὰρ ὄψις καὶ 20
35 ἀκοὴ τῇ ἀληθείᾳ μόνον τῶν εἰδῶν ἀντιλαμβάνεται, ἡ μὲν τῶν χρωμάτων
ἡ δὲ τῶν ψόφων, καὶ οὐ γίνεται οὔτε ἡ ὄψις χρῶμα, οἷον λευκὴ ἢ μέλαινα,
οὔτε ἡ ἀκοὴ ψόφος, οἷον ὀξεῖα ἢ βαρεῖα· ἡ μέντοι γε ἁφὴ οὐ μόνον τοῦ

---

9 ὅτι καὶ εἰ καὶ t ἔχουσι om. t 12 μέχρι om. D (fort. excidit ἕως) 13 σῶμα om. D 17 ζῶσιν] ζῴοις t 22 ὧν Dt Arist. EL: ὅσων Arist. vulg. 25 οὐδὲ D: οὔτε δὲ t Arist. T: οὔτε Arist. vulg. 27 αἱ om. t 36 μέλανα t

εἴδους ἀντιλαμβάνεται, ἀλλὰ καὶ τῆς ὕλης· τοῦ γὰρ ψυχροῦ οὐκ ἀντιλαμ- s 5r
βάνεται, εἰ μὴ ψυχρὸν γένηται τὸ σῶμα, ὁμοίως καὶ ἐπὶ τοῦ θερμοῦ καὶ
τῶν τοιούτων. λέγομεν δὲ πρὸς τοῦτο ὅτι τοῦ μὲν εἴδους ἡ ψυχὴ ἀντι-
λαμβάνεται, ἡ δὲ ὕλη εἰς τὸ σῶμα δρᾷ· ὥστε πᾶσαι αἱ αἰσθήσεις τοῦ
5 εἴδους μόνου ἀντιλαμβάνονται, τῆς δὲ ὕλης οὐδαμῶς. τὰ δὲ φυτὰ οὐ 25
μόνον τοῦ εἴδους ἀντιλαμβάνεται, ἀλλὰ καὶ αὐτῆς δράττεται τῆς ὕλης, καὶ
πάσχουσιν ὑπ' αὐτῆς καὶ ἀντιδρῶσιν. μήποτε δὲ ἔστι καὶ ἐπὶ τούτων
εἰπεῖν ὅτι ὥσπερ ἐπὶ τῶν ζῴων ἡ μὲν ψυχὴ τοῦ εἴδους ἀντιλαμβάνεται,
τὸ δὲ σῶμα τῆς ὕλης, οὕτω καὶ ἐπὶ τῶν φυτῶν ἡ μὲν ἁπτικὴ δύναμις
10 τοῦ εἴδους τῆς γῆς ἀντιλαμβάνεται, τὸ δὲ σῶμα τῶν φυτῶν ὑπὸ τῆς ὕλης
τῶν ἁπτῶν πάσχει, ὡς συνάγεσθαι καὶ τὰ φυτὰ ἔχειν τὴν ἁπτικὴν δύνα-
μιν. πλὴν ὅτε καὶ τοῦτο δῶμεν, τὰ ἄλλα ἐπιχειρήματα ἀνατρέπει τοῦτο. 30
φθείροιτο ἂν καὶ εἰς τέλος οὐκ ἂν ἔλθοι. ὅ ἐστι φύσεως ἔργον·
πῶς γὰρ θρέψεται; εἰ μὴ ἔχει, φησίν, αἴσθησιν τὰ ζῷα, οὐκ ἔρχεται
15 εἰς τέλος, τουτέστιν εἰς ἀκμήν, ἀλλὰ φθείρεται. εἰ γὰρ δι' ἁφῆς γινώσκει
τὴν ἐπιτηδείαν τροφὴν καὶ αἱρεῖται αὐτήν, ἀποστρέφεται δὲ τὸ λυποῦν, εἰ
μὴ ἔχει ἄρα αἴσθησιν, οὔτε τρέφεται καὶ φθαρήσεται τὰ ζῷα μὴ τρεφόμενα.
τὰ δὲ φυτὰ ὡς μόνιμα οὐ χρείαν ἔχει αἰσθήσεως· παρακειμένην γὰρ ἔχει
τὴν τροφὴν ἐν τῇ γῇ ἐν ᾗ καὶ ἔστι τὸ φυτόν, ὃ εἶπεν ὅθεν πεφύκασιν. 35
20 τῶν φυτῶν οὖν ὡρισμένη ἐστὶν ἡ τροφή, καὶ διὰ τοῦτο αἰσθήσεως οὐ
χρῄζει τὰ φυτά, τῶν δὲ ζῴων ἀδιάφορός ἐστι καὶ ἀόριστος· οὐκ ἀεὶ
γὰρ τὰς αὐτὰς τροφὰς προσφέρεται, καὶ χρῄζει ἔχειν αἴσθησιν τὴν δια-
κρίνουσαν τὰ οἰκεῖα ἀπὸ τῶν ἀλλοτρίων.

p. 434ᵇ3 Οὐχ οἷόν τε δὲ σῶμα ἔχειν μὲν ψυχὴν καὶ νοῦν
25 κριτικόν, αἴσθησιν δὲ μὴ ἔχειν, μὴ μόνιμον ὄν, γενητὸν δέ.

Δικαίως ἔχει τὰ ζῷα, φησίν, αἴσθησιν, ἐπειδὴ ἀδύνατον τὰ ἔχοντα 41
ψυχὴν καὶ ὄντα γενητὰ καὶ μὴ μόνιμα μὴ ἔχειν αἴσθησιν. μὴ ὄντα δὲ
μόνιμα εἶπε διὰ τὰ φυτά· ταῦτα γὰρ καὶ ψυχὴν ἔχει καὶ γενητά ἐστιν·
ἐπειδὴ δὲ μόνιμά ἐστι, διὰ τοῦτο οὐκ ἔχει αἴσθησιν. εἶπε δὲ νοῦν
30 κριτικὸν καὶ οὐχ ἁπλῶς νοῦν, ἵνα μὴ δόξῃ διακρίνειν ζῷα φυτῶν, ἀλλὰ
λογικὰ ζῷα φυτῶν· ἐν γὰρ τούτοις μᾶλλον ἀναγκαία ἡ αἴσθησις, εἴπερ
καὶ ταῦτα μᾶλλον διακρίνουσιν. ἀλλὰ μὴν οὐδὲ τὰ ἀγένητα, φησίν, ἔχει 45
αἴσθησιν, οἷον τὰ οὐράνια· τοῦτο γὰρ καὶ δοξάζει Ἀριστοτέλης· οὔτε γὰρ
τῇ ψυχῇ αὐτῶν οὔτε τῷ σώματι συμβάλλεται τὸ ἔχειν αἴσθησιν. καὶ
35 εἴρηται πῶς ἐν τῇ θεωρίᾳ, καὶ ὅτι ἄλλως μὲν Ἀλέξανδρος, ἄλλως δὲ
Πλούταρχος τὸν λόγον ἐδέξατο. δοξάζει τοίνυν Ἀριστοτέλης τὰ οὐράνια

---

4 αἱ om. t 13 φθείροιτο ἂν Arist.: φθείρει γὰρ t: φθείρ (reliqua evanida) D
16 ἐπιτηδείαν scripsi: ἐπ (reliqua evanida) D: ἐπὶ τὴν vacuo spatio V litt. post τὴν relicto t 17 ἔχει ἄρα] ἔχοιεν t τὰ om. t 18 αἰσθήσεως ex αἴσθησιν corr. D 25 ὄν om. D γενητὸν D: γεννητὸν t Arist.
27 et 28 γεννητὰ t 27 μὴ ante ἔχειν om. D 30 διακρίνει D 32 ἀγέννητα t

καὶ ζῆν καὶ πορευτικὰ εἶναι (ἀεικίνητα γὰρ αὐτὰ λέγει), ὅμως δὲ μὴ s 5r
ἔχειν αἴσθησιν, ἐπειδὴ ἀγένητά ἐστι κατὰ χρόνον. οὐδὲν ἄρα ἔχει
ψυχὴν σῶμα μὴ μόνιμον ἄνευ αἰσθήσεως. τοῦτο τὸ ῥητὸν μᾶλλον
δείκνυσιν Ἀριστοτέλην ὄντα τῆς δόξης Πλουτάρχου. τοῦτο γὰρ λέγει ὅτι
5 οὐδέν ἐστι σῶμα ἔχον ψυχὴν χωρὶς τῶν φυτῶν καὶ μὴ ἔχον τὰς αἰσθή-
σεις, εἰ μή πού τις εἴποι ὅτι τῶν ἄνω ἐστὶ συμπέρασμα καὶ οὐ πρὸς τὸ
προσεχὲς ἀποδέδοται. εἰ γάρ τις τοῦτο εἴποι, οὐδὲν ἔχει ὁ Πλούταρχος ἐκ
τοῦ παρόντος ῥητοῦ. ἐν οἷς ἡ πρᾶξις σὺν θεῷ πληροῦται.

p. 434b8 Ἀλλὰ μὴν εἴ γε αἴσθησιν ἔχει, ἀνάγκη τὸ σῶμα εἶναι
10 ἢ ἁπλοῦν ἢ μικτόν. οὐχ οἷόν τε δὲ ἁπλοῦν· ἁφὴν γὰρ οὐχ ἕξει,
ἔστι δὲ ἀνάγκη ταύτην ἔχειν. | s 5v

Διακρίνας ὁ Ἀριστοτέλης τὰ ζῷα ἀπὸ τῶν φυτῶν καὶ τῶν οὐρανίων
νυνὶ διακρίνει τὰ πορευτικὰ ζῷα ἀπὸ τῶν ζωοφύτων. βουλόμενος δὲ
κατεπείγουσαν δεῖξαι τὴν διάκρισιν αὐτῶν πρῶτον κοινωνίας αὐτῶν λέγει
15 καὶ καλεῖ καὶ τὰ ζῷα τὰ πορευτικὰ καὶ τὰ ζωόφυτα κοινῶς ζῷα, ἐπειδὴ
τὸν ὁρισμὸν τοῦ ζῴου ἄμφω ἐπιδέχονται· οὐσία γὰρ ἔμψυχος αἰσθητικὴ
ἀμφότερα. κοινὸν τοίνυν ἐστὶν ἐν πᾶσι τοῖς ζῴοις τὸ μικτὰ αὐτὰ εἶναι καὶ
οὐχ ἁπλᾶ, κοινὸν δὲ αὐτοῖς καὶ τὸ ἁφὴν ἔχειν· καὶ τὰ ζωόφυτα γὰρ
καὶ τὰ πορευτικὰ μικτά ἐστι καὶ ἁφὴν ἔχει. αὕτη δὲ ἡ κοινωνία οὔτε
20 τοῖς φυτοῖς ὑπῆρχεν οὔτε τοῖς οὐρανίοις. οὔτε γὰρ τὰ φυτὰ σύνθετά
ἐστιν, ἀλλ' οἱονεὶ ἁπλᾶ· τῷ γὰρ γεώδει χαρακτηρίζονται μόνῳ· ἀλλὰ μὴν
οὐδὲ ἁφὴν ἔχει τὰ φυτά. πάλιν τὰ οὐράνια οὐκ ἔστι μικτά· κατὰ γὰρ
Ἀριστοτέλην οὐκ ἔστιν ἐκ τῶν στοιχείων, ἀλλ' ἐκ τῆς πέμπτης οὐσίας·
ἁπλᾶ οὖν. ἀλλὰ μὴν οὐδὲ ἁφὴν ἔχει τὰ οὐράνια κατὰ τὸν Ἀριστοτέλην.
25 καὶ αὗται μὲν αἱ κοινωνίαι τῶν ζῴων. εἶτα μετὰ τὰς κοινωνίας δείκνυσιν
ὅτι ἀληθῶς τὰ ζῷα καὶ μικτά ἐστι καὶ ἁφὴν ἔχει. τοῦτο δὲ καὶ πρὸ
τῆς διακρίσεως δείκνυσι καὶ μετὰ τὴν διάκρισιν οὐ τοῖς αὐτοῖς ἐπιχειρή-
μασιν· ἡμεῖς δὲ πρῶτον εἴπωμεν τὴν διάκρισιν καὶ εἶθ' οὕτω συνάπτωμεν τὰ
συνάγοντα ἐπιχειρήματα ὅτι μικτά ἐστι τὰ ζῷα καὶ ἁφὴν ἔχει. καὶ
30 ποία ἐστὶν ἡ διάκρισις; τὰ ζωόφυτα τοίνυν ἢ μόνην ἁφὴν ἔχει, ὡς ἐπὶ
σπόγγου, ἢ ἁφὴν καὶ γεῦσίν τινα, ὅσα ἔχει ἀνάλογον γαστρὶ καὶ στόματι,
οἷον τὰ ὀστρακόδερμα· τὰ δὲ πορευτικὰ πάσας τὰς αἰσθήσεις ἔχει ἢ τὰ
ἀναλογοῦντα τῇ αἰσθήσει. ὁ γὰρ σκώληξ διὰ τὸ μὴ ἔχειν ὄψιν ἀπαλό-
σαρκός ἐστι. θέλουσι γὰρ τὰ πορευτικὰ ἔχειν καὶ ὄψιν καὶ ἀκοήν, ἵνα καὶ

---

2 ἀγέννητά D οὐδὲν t 5 χωρὶς τῶν scripsi: χωριστῶν Dt 7 ὁ om. t
8 σὺν θεῷ πληροῦται om. t post πληροῦται habet πρᾶξις σὺν θεῷ ιθ̄ mrg. D
9 ἔχει D Arist. vulg.. ἔχοι t Arist. L 11 ἔστι δὲ] ἔτι δὲ D 14 κατεπήγουσαν t 15 ζῷα καὶ πορευτικὰ t 16 ἔμψυχα αἰσθητικά t 17 ἁπᾶσι t
18 καὶ τὰ ἁφὴν t 21 μόνῳ corr. ex μόνον vel vice versa D 24 οὐδὲ scripsi: οὔτε Dt 25 καὶ om. t 26 ἔχειν D 27 καὶ om. D 28 εἴπωμεν et συνάπτωμεν scripsi: εἴπομεν et συνάπτομεν Dt 29 ἀνάγοντα t
31 σπόγγον t

τὰ πόρρω κακὰ ἐκκλίνωσι. διὸ εἴρηται "ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος 8 5v
οὔατα βάλλει" καὶ "ἀμφί μ' Ὀδυσσῆος ταλασίφρονος ἵκετο φωνή". κατὰ
τοῦτο οὖν διαφέρει τὰ πορευτικὰ ζῷα τῶν ζωοφύτων. καὶ αὕτη μὲν ἡ
διάκρισις. ἐπὶ τούτοις οὖν εἴπωμεν τὰ πρὸ τῆς διακρίσεως ἐπιχειρήματα,
5 ἐξ ὧν ἔστι δεῖξαι ὅτι τε μικτά ἐστι τὰ ζῷα καὶ ἁφὴν ἔχει. καὶ πρῶτον
δείξομεν ὅτι μικτά ἐστιν οὕτως. δεῖ τοίνυν εἰδέναι ὅτι πᾶν ζῷον αἰσθητι- 25
κὸν ἁφὴν ἔχει· οὐ γὰρ ἔστι τὸ μὴ ἔχοντα ἁφὴν ἄλλην ἔχειν αἴσθησιν·
δεῖ γὰρ ὑπεστρῶσθαι τὴν χείρονα. πᾶν δὲ ἁφὴν ἔχον μικτόν· καὶ πᾶν
ἄρα ζῷον μικτόν. ὅτι δὲ πᾶν ἁφὴν ἔχον μικτόν ἐστι, δῆλον· ἐξ ὧν γὰρ
10 σύγκειται ἡ ἁφή, τούτων καὶ ἀντιλαμβάνεται· εἰ δὲ ἀντιλαμβάνεται θερμοῦ
καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ, καὶ οὐ μόνον ἑνὸς στοιχείου, δῆλον ὅτι
καὶ ἐκ τούτων συνίσταται καὶ ἔσται μικτόν. ἐπεὶ οὖν ἐκ τούτου τοῦ ἐπι-
χειρήματος ἐδείχθη ὅτι καὶ μικτόν ἐστι τὸ ζῷον καὶ ἁφὴν ἔχει, παρέργως 30
δὲ ἐδείξαμεν ὅτι καὶ ἁφὴν ἔχει, φέρε δείξωμεν πρώτως ὅτι ἁφὴν ἔχει
15 τὸ ζῷον. δεῖ τοίνυν εἰδέναι ὅτι ἐκ τῶν ἁπτῶν τρεφόμεθα κυρίως· οἱ
γὰρ χυμοὶ καρυκεύματος δίκην ἐπέχουσι κατὰ συμβεβηκὸς τρέφοντες, τὰ
δὲ ἄλλα οὐδὲ κατὰ συμβεβηκὸς τρέφει, οἷον τὰ ὀσφραντὰ ἢ τὰ ἀκουστὰ
ἢ τὰ ὁρατά. εἰ οὖν ἐκ τῶν ἁπτῶν τρεφόμεθα, ἀνάγκη δὲ ἀντιλαμβάνε-
σθαι ἐκείνων ἐξ ὧν τρεφόμεθα, ἀνάγκη ἄρα ἐστὶν αὐτῶν ἅπτεσθαι, καὶ
20 ἐξ ἀνάγκης ἐστὶν ἐν ἡμῖν ἁφή, ἵνα τούτων ἀντιλαμβάνηται· αὕτη μὲν γὰρ
μόνη ἀμέσως ἀντιλαμβάνεται, αἱ δὲ ἄλλαι διὰ μέσου. ἔστιν οὖν ἁφὴ ἐν 35
τοῖς ζῴοις. ταῦτα πρὸ τῆς διακρίσεως δείκνυνται ὅτι ἔστιν ἁφὴ ἐν
ἡμῖν, καὶ μικτὰ ὄντα τὰ ζῷα. μετὰ δὲ τὴν διάκρισιν πάλιν δείκνυσιν ὅτι
μικτά ἐστι τὰ ζῷα. φησὶ γὰρ ὅτι εἰ δέδεικται ὅτι πᾶν ζῷον αἰσθητικόν
25 ἐστιν, ἀνάγκη αἰσθητήριον ἔχειν δι' οὗ αἰσθάνεται. τὸ δὲ αἰσθητήριον
ἀνάγκη μικτὸν εἶναι· οὔτε γὰρ ἀπὸ πυρὸς μόνου δύναται εἶναι (τὸ γὰρ
πῦρ φθείρει μᾶλλον ἢ συνίστησι μόριον) οὔτε δὲ ἐξ ἀέρος ἢ ὕδατος δύναται
εἶναι (ταῦτα γὰρ ἄλλας δυνάμεις ἐπιστεύθη, διαφανῆ, διηχῆ, δίοσμον), οὔτε
δὲ ἀπὸ γῆς μόνης δύναται εἶναι· ἀναίσθητα γὰρ τὰ ἐν ἡμῖν γεώδη μόρια, 40
30 οἷον τρίχες, ὄνυχες, ὀστέα· καὶ ὅτι οὐ μόνον τῆς ἀντιθέσεως τῆς γῆς ἀντι-
λαμβανόμεθα, οἷον ξηροῦ καὶ ψυχροῦ, ἀλλὰ καὶ θερμοῦ καὶ ὑγροῦ. ἔδει
οὖν ἐκ πάντων εἶναι τὸ αἰσθητικόν, ἵνα μέσον ὂν πάντων ἀντιλαμβάνηται·
ὥστε μικτόν. ὅτι δὲ καὶ ἁφὴν ἔχει τὸ ζῷον, διὰ πέντε ἐπιχειρημάτων
δείκνυσιν. ὧν τὸ πρῶτόν ἐστι τοῦτο· ἀναγκαία, φησίν, ἐστὶ τῷ ζῴῳ ἡ
35 ἁφή· εἰ γὰρ οἱ ὄψεως ἐστερημένοι ζῶσιν, ἔτι δὲ ζῶσι καὶ κωφοὶ καὶ οἱ
ὀσφρήσεως ἐστερημένοι, οἷον ἐὰν ἔχῃ τις πολύπους ἐν τῇ ῥινί, πρὸς τού- 45
τοις δὲ καὶ οἱ ἀποκεκομμένοι τὴν γλῶτταν ζῶσι, τὸν δὲ ἀπολέσαντα τὴν

---

1. 2 ἵππων—βάλλει] Il. K 535 1 μ' om. Dt 2 ἀμφί—φωνή] Il. Λ 466 ἵκετ' αὐτή Il. l. l. 4 εἴπωμεν scripsi: εἴπομεν Dt 5 ἔστι om. D 8 τὸν χείρονα t 11 στοιχεῖον t 13 πανέργως D 14 φέρε δείξομεν t 16 κατὰ συμβεβηκὸς τρέφοντες] τρέφει t 19 ἀνάγκη scripsi: ἁφὴ Dt 21 ἀμέσος D 23 δεικνύντα D 25 ἔχει D 31 ψυχροῦ—ὑγροῦ scripsi: ὑγροῦ, ἀλλὰ καὶ θερμοῦ καὶ ψυχροῦ Dt

ἁφήν, οἷον τὸν πάρετον, οὐκ ἔστι ζῆν. ἀναγκαία ἄρα πλέον πάντων ἡ s 5ᵛ
ἁφή, καὶ ἔστιν ἐν ἡμῖν. δεύτερον ἐπιχείρημα· εἰ ὅρος τοῦ ζῴου τὸ αἰσθη-
τικὸν καὶ ἀντιστρέφει πρὸς τὸ ζῷον, τὸ δὲ αἰσθητικὸν κατὰ τὴν ἁφὴν
λέγομεν, ἔστιν ἄρα ἐν ἡμῖν ἁφή. τρίτον ἐπιχείρημα τοιοῦτον· ἀναγκαία
5 ἡ ἁφή, εἴπερ αἱ ἄλλαι αἰσθήσεις, ἐπειδὴ αἱ μὲν ἄλλαι αἰσθήσεις ἐν ἑνί
εἰσι μορίῳ, ἡ δὲ ἁφὴ ἐν ὅλῳ ἐστὶ τῷ σώματι. τέταρτον ἐπιχείρημα τοι-
οῦτον· ἀναγκαία ἡ ἁφή, ἐπειδὴ καὶ τὰ ὑποκείμενα αὐτῇ, οἷον τὰ ἁπτά, 50
ὅλον τὸ σῶμα φθείρει, ἐὰν ὦσιν ὑπερβάλλοντα, καὶ δικαίως, ἐπειδὴ ἐν
ὅλῳ τῷ σώματί ἐστιν ἡ ἁφή, αἱ δὲ τῶν ἄλλων αἰσθητῶν ὑπερβολαὶ
10 μόνον τὸ αἰσθητήριον ἐκεῖνο βλάπτουσιν ᾧ ἐστιν αἰσθητά. εἰ γὰρ εἴποις
ὅτι καὶ τὰ γευστὰ φθείρει τὸ ὅλον σῶμα, λέγω σοι ὅτι καὶ ἡ γεῦσις ἁφή
τίς ἐστι καὶ ὡς ἁφὴ μᾶλλον φθείρει τὸ ὅλον σῶμα ἤπερ ὡς γεῦσις. εἰ
δὲ ἀπορήσειέ τις 'τί οὖν, τὰ ὀσφραντὰ οὐ φθείρει τὸ πᾶν σῶμα, οἷον τὰ
Χαρώνια πνεύματα;' λέγομεν ὅτι κατὰ συμβεβηκὸς διὰ ἁφῆς καὶ ταῦτα s 6ʳ
15 φθείρει· τῷ γὰρ ποιεῖν σῆψιν φθείρει, ἡ δὲ σῆψις ἁφῇ ποιεῖ. πάλιν
λέγουσιν ὅτι καὶ τὸ ἀκουστὸν φθείρει τὸ πᾶν σῶμα, οἷον ἐξαίσιος ψόφος.
ἀλλὰ καὶ οὗτος πάλιν τῇ ἁφῇ ποιεῖ· τῇ γὰρ ὤσει, ἡ δὲ ὦσις ἁφή ἐστι.
πάλιν λέγουσιν ὅτι καὶ τὰ ὁρατὰ φθείρει τὸ πᾶν σῶμα· ὁρῶντες γὰρ
ἐνίοτε ὅτι δή ποτε φοβερὸν τῇ δειλίᾳ φθειρόμεθα. πρὸς ὃ ἔστιν εἰπεῖν ὅτι
20 καὶ ἡ δειλία τῷ ποιεῖν ψῦξιν φθείρει, ἡ δὲ ψῦξις ἁφῆς ἐστι. τοῦτο καὶ
τὸ τέταρτον ἐπιχείρημα. πέμπτον ἐπιχείρημα· ἀναγκαία, φησίν, ἐστὶν ἡ 5
ἁφή, ἐπειδὴ αὕτη μόνη εἰς τὸ εἶναι συντελεῖ, αἱ δὲ ἄλλαι αἰσθήσεις εἰς
τὸ εὖ εἶναι συμβάλλονται. φασὶ δὲ ὅτι καὶ τὰ ἄλογα καὶ ὅρασιν ἔχει καὶ
ἀκοὴν καὶ ὄσφρησιν καὶ γεῦσιν· μὴ οὖν ἐπὶ ἐκείνων ἐστὶ μαθεῖν μουσικὴν
25 ἢ ἀστρονομίαν; πρὸς ὃ φαμεν ὅτι γεῦσις μὲν καὶ ὄσφρησις, καθὸ τελειότερα
ποιεῖ ⟨τὰ⟩ ζῷα, λέγεται εἰς τὸ εὖ εἶναι συμβάλλεσθαι, ἀκοὴ δὲ καὶ ὄψις
καὶ ἐπὶ τῶν ἀλόγων εἰς τὸ εὖ εἶναι συμβάλλεται· πρῶτον μὲν ἐπειδὴ 10
ἀκούοντα τῶν γεννημάτων αὐτῶν καὶ ὁρῶντα αὐτὰ κήδεται αὐτῶν, τὸ δὲ
κήδεσθαι τῶν γεννημάτων εὖ εἶναι αὐτοῖς ἐστιν· ἄλλως τε δὲ ἀκούοντα
30 τὰ ἄλογα ἡμεροῦνται, ὥστε χρεία ἀκοῆς, ἵνα ἀκούοντα ἡμερωθῶσιν· τὸ
δὲ ἡμεροῦσθαι εὖ εἶναί ἐστιν, ὅπερ ἔχουσι δι' ἀκοῆς καὶ ὄψεως· ὁρῶντα
γὰρ ἐν φωτὶ τὰ γινόμενα ἐξ ἡμῶν ἡμεροῦνται. καὶ τοῦτο δῆλον ἐκ τοῦ
τὰ ἐν σκότῳ διατρίβοντα θηρία ἄγρια εἶναι. ἐπεὶ οὖν ταῦτα εἴρηται, ἐν
τούτοις ἡ θεωρία καὶ ἡ παροῦσα περὶ ψυχῆς πραγματεία σὺν θεῷ πλη-
35 ροῦται.

Ἀλλὰ μὴν εἴ γε αἴσθησιν ἔχει, ἀνάγκη τὸ σῶμα εἶναι ἢ 15

---

1 πάρετον scripsi: πάρητον Dt 4 et 6. 7 τοιοῦτον scripsi: τοσοῦτον Dt 10 βλάπτουσιν ᾧ ἐστιν αἰσθητά scripsi: βλάπτει οὐκ ἔστιν αἰσθητόν Dt 19 ἐνίοτε ὅτι δή ποτε scripsi: ἐνίοτε τί ποτε Dt εἰπεῖν om. t 20 τὸ ποιεῖν D τοῦτο οὖν t 22 μόνη om. D 23 συμβάλλεται D 23. 24 φασὶ — γεῦσιν om. D 24 καὶ (ante γεῦσιν) scripsi: ἡ t οὖν om. D 25 τελειότερον t 26 τὰ addidi 27 ἐπὶ] γεῦσις t 28 γεννημάτων scripsi: γενημάτων Dt καὶ et αὐτὰ om. t 29 γενημάτων D 30 ἡμεροθῶσιν t 31 ἐξ ἀκοῆς t ὁρῶνται t

ἁπλοῦν ἢ μικτόν. τὰς κοινωνίας λέγει τῶν ζῴων, οὐχ ὡς εἴρηται ἐν 8 6r
τῇ θεωρίᾳ προάγων τὸν λόγον, πλὴν ἡ αὐτή ἐστιν ἔννοια· διὰ τριῶν δὲ
συλλογισμῶν προάγει τὸν λόγον, ὧν ὁ πρῶτός ἐστιν οὗτος. εἰ ἀνάγκη τὰ
ἔχοντα αἴσθησιν σώματα, οἷον τὰ ζῷα, ἢ ἁπλᾶ εἶναι ἢ σύνθετα, οὐκ ἔστι
5 δὲ ἁπλᾶ, σύνθετα ἄρα. οὗτος ὁ πρῶτος συλλογισμός. καὶ πόθεν δῆλον
ὅτι σύνθετά ἐστι; τοῦτο ὁ δεύτερος δείκνυσι συλλογισμός. εἰ γὰρ μὴ ἦν
σύνθετα, οὐδὲ ἁφὴν εἶχον· ὅπου γὰρ ἁφή, καὶ σύνθετον, εἴπερ ἐξ ὧν 20
ἐστι, τούτων καὶ ἅπτεται, ἅπτεται δὲ πολλῶν. καὶ πόθεν δῆλον ἁφὴν
ἔχειν τὰ ζῷα; τοῦτο δι' ἄλλου συλλογισμοῦ δείκνυσιν. εἰ γὰρ τὸ ζῷον
10 σῶμά ἐστιν ἔμψυχον, πᾶν δὲ σῶμα ἁπτόν ἐστι, πᾶν δὲ ἁπτὸν ἁφῇ
καταλαμβάνεται, ἔστιν ἄρα ἁφὴ ἐν ἡμῖν ἡ ἁπτομένη. οὗτοί εἰσιν οἱ τρεῖς
συλλογισμοί. δικαίως δέ, φησίν, ἐστὶν ἡ ἁφή, ἵνα σώζηται δι' αὐτῆς τὸ
ζῷον· εἰ γὰρ μὴ εἶχεν αὐτήν, βόθροις περιέπιπτε καὶ ἀπώλλυτο. ἕως
ποῦ δέ ἐστιν ἕκαστος συλλογισμός; λέγομεν ὅτι ὁ μὲν πρῶτός ἐστιν ἕως
15 τῶν ὧδε, ἀλλὰ μὴν εἴ γε αἴσθησιν ἔχει τὸ σῶμα, ἀνάγκη τὸ 25
σῶμα εἶναι ἢ ἁπλοῦν ἢ μικτόν. λοιπὸν ὁ δεύτερος συλλογισμός
ἐστιν οὗτος, οὐχ οἷόν τε δὲ ἁπλοῦν· ἁφὴν γὰρ οὐχ ἕξει. ὁ δὲ
τρίτος συλλογισμός ἐστιν ὁ λέγων ἔστι δ' ἀνάγκη ταύτην ἔχειν. καὶ
ὅτι ἀνάγκη, κατασκευάζει καί φησιν τοῦτο δὲ ἐκ τῶνδε δῆλον, καὶ λοιπὸν
20 λέγει τὰ εἰρημένα· εἰ πᾶν σῶμα ἁπτόν, πᾶν δὲ ἁπτὸν ἁφῇ καταλαμβάνε-
ται, ἁφὴ ἄρα τούτων ἀντιλαμβάνεται, ἡ δὲ ὄψις καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις
διὰ τοῦ μεταξύ· εἰ δὲ τοῦτο, ἀδύνατον ἔσται σώζεσθαι τὸ ζῷον, εἰ μὴ 30
ἔχει ἁφήν· κρημνῷ γὰρ περιπίπτει καὶ φθείρεται.

p. 434ᵇ18 Διὸ καὶ ἡ γεῦσίς ἐστιν ὥσπερ ἁφή τις.

25 Ἐπειδὴ εἶπεν ἄνω ὅτι ἁφὴ μόνη ἁπτομένη αἰσθάνεται, ἵνα μή τις
εἴπῃ 'τί οὖν; ἡ γεῦσις οὐχ ἁπτομένη ἀντιλαμβάνεται;' διὰ τοῦτο εἶπεν 35
ὅτι καὶ ἡ γεῦσις ὡς ἁφὴ οὖσα ἀμέσως ἀντιλαμβάνεται. ὅτι δὲ ἡ γεῦσις
ἁφή τίς ἐστι, διὰ τριῶν δείκνυσι συλλογισμῶν, ὧν ὁ πρῶτός ἐστιν οὗτος·
εἰ ἀναγκαία ἡ ἁφὴ τῷ ζῴῳ καὶ ἡ γεῦσις δὲ ἀναγκαία (δι' αὐτῆς γὰρ τρεφό-
30 μεθα) ἡ γεῦσις ἄρα ἁφή. τοῦτον δὲ τὸν συλλογισμὸν ἐδήλωσε διὰ τοῦ
εἰπεῖν διὸ καὶ ἡ γεῦσις ὥσπερ ἁφή ἐστιν, τουτέστιν διὰ τὸ ἀναγ-
καία εἶναι ὡς ἡ ἁφή· ὡς πρὸς τὰ ἄνω γὰρ συνέταξε. λέγει καὶ δεύτερον
συλλογισμόν, ὅτι εἰ ἡ γεῦσις τροφῆς, ἔστιν ἁφή. δείκνυσι δὲ τὸ αὐτὸ
καὶ διὰ τρίτου συλλογισμοῦ· εἰ τὸ σῶμα τὸ ἁπτὸν τροφή ἐστιν (ὁ γὰρ 40
35 χυμὸς κατὰ συμβεβηκὸς τρέφει, αὐτὴ δὲ ἡ οὐσία ἐστὶν ἡ προστιθεμένη,
οἷον τὸ ἁπτὸν σῶμα), εἰ οὖν τὸ ἁπτὸν σῶμα τρέφει, ψόφος δὲ ἢ ὀσμὴ ἢ

---

9 ἔχει D 10 ἁπτόν ἐστι] ἅπτοντι t 18. 19 καὶ ὅτι] ὅτι δὲ t 19 τῶνδε Arist.: τῶδε D: τοῦδε t 20. 21 πᾶν δὲ — καταλαμβάνεται om. D 21 ἄρα] ἀνάγκη D ἡ ante ἀκοὴ om. t 22. 23 εἰ μὴ ἔχει ἁφήν om. D 25 ἁπτομένη] ἀντιλαμβανομένη D 34 ἁπτὸν] αὐτὸν t 36 εἰ οὖν — σῶμα om. t

χρῶμα οὐ τρέφει ἢ φθίσιν ποιεῖ μὴ ὄντα, ἀνάγκη οὖν καὶ τὴν γεῦσιν s 6r
ἁφὴν εἶναι, εἴπερ τὸ αὐτό ἐστιν ἁπτὸν καὶ τρέφον. τοῦτον δὲ τὸν συλλο-
γισμὸν ἠνίξατο εἰπὼν ἡ δὲ τροφὴ τὸ σῶμα τὸ ἁπτόν, καὶ τοῦτο
κατασκευάζει ἕως ἂν εἴπῃ 'ταῦτα μὲν ἀναγκαῖα τῷ ζῴῳ'· ἐκεῖθεν γὰρ
5 ἄλλο τι λέγει.

p. 434b22 Αὗται μὲν οὖν ἀναγκαῖαι τῷ ζῴῳ. 45

Εἰπὼν τὴν κοινωνίαν τῶν ζῴων ἅμα καὶ κατασκευάσας διὰ τῶν δύο
ἐπιχειρημάτων τῶν πρὸ τῆς διακρίσεως ὅτι καὶ μικτά ἐστι καὶ ἁφὴν ἔχει, 50
ἐντεῦθεν διακρίνει τὰ ζῷα καί φησιν ὅτι ἡ μὲν ἁφὴ ὡς ἀναγκαία παντὶ
10 ὑπάρχει ζῴῳ, αἱ δὲ ἄλλαι αἰσθήσεις οὐ τῷ τυχόντι ὑπάρχει ζῴῳ, ἀλλὰ
